4 τὰ] τὰσ A^1L^1 ἀσυρίων AC καὶ] AMLat καὶ τὰ V ἢ τὰ LNC et i. marg. V 5 τοσοῦτον (ον repictum L) LN 7 καθ' αὐτοὺσ LVNC ἕκαστοσ V fort. recte 8 ἐπαγγελίαν Hudson 9 μὴν s. C προϊστορηθέντα] μὴ προϊστορηθέντα ex corr. A et Bernard noua — neque ante cognita Lat 10 καὶ τὰ] καὶ τὰ κατὰ LVNC τὸν ἴδιον χρόνον L^2NC et i. marg. V μεθ' ἑαυτὸν LVN συνιστᾶν Casaubonus 11 δὲ] δ' M τε Destinon 14 μεγίστοισ καὶ πόνοισ tr. LVN 15 δὲ γνησίοις] δ' Ἕλλησι Naber 16 λήμματα L: καὶ ἡ γλῶσσα LVNC 17 τὰ ἀληθῆ LVN 18 πόνου] χρόνου VN, i. marg. γρ. πόνου V πεφήμωνται $L^1V^1C^1$ 19 μηδὲ] μὴ LVN γινούσκουσι A 20 δὴ] δὲ AM itaque Lat 21 παρ'] καὶ παρ' A ἀμελεῖται LVNC 22 τὰ ἰουδαϊκά, i. marg. γρ. τὰ ἰουδαίων V 23 τῶν αἰγυπτίων V ὅσην] quantus Lat ἁλώμενοι MC 24 πόσα ἑξῆς] quas uel quotiens Lat ὅπωσ] πῶσ MLVNC τε] ALat, om. MLVNC 25 ἐπειδὴ καὶ LVNC 26 μετὰ MLVNC 27 ἐκεῖνα] ἐπέκεινα A πατρῴα LVN πολλὺ C

διήμαρτον. ὅπου δ' οἵ τε τούτων συγγραφεῖς ἐπαύσαντο καὶ οἱ 18
ἡμέτεροι προφῆται, τὴν ἀρχὴν ἐκεῖθεν ποιήσομαι τῆς συντάξεως·
τούτων δὲ τὰ μὲν τοῦ καθ' ἡμετέραν πολέμου διεξοδικώτερον καὶ
μεθ' ὅσης ἂν ἐξεργασίας δύνωμαι δίειμι, τὰ δὲ προγενέστερα τῆς
ἐμῆς ἡλικίας ἐπιδραμῶ συντόμως. 7. ὡς Ἀντίοχος ὁ κληθεὶς Ἐπι- 19
φανὴς ἑλὼν κατὰ κράτος Ἱεροσόλυμα καὶ κατασχὼν ἔτεσι τρισὶ καὶ
μησὶν ἓξ ὑπὸ τῶν Ἀσαμωναίου παίδων ἐκβάλλεται τῆς χώρας,
ἔπειθ' ὡς οἱ τούτων ἔγγονοι περὶ τῆς βασιλείας διαστασιάσαντες
εἵλκυσαν εἰς τὰ πράγματα Ῥωμαίους καὶ Πομπήιον. καὶ ὡς Ἡρώ-
δης ὁ Ἀντιπάτρου κατέλυσε τὴν δυναστείαν αὐτῶν ἐπαγαγὼν Σόσσιον, 20
ὅπως τε ὁ λαὸς μετὰ τὴν Ἡρώδου τελευτὴν κατεστασίασεν Αὐγούστου
μὲν Ῥωμαίων ἡγεμονεύοντος, Κυιντιλίου δὲ Οὐάρου κατὰ τὴν χώραν
ὄντος, καὶ ὡς ἔτει δωδεκάτῳ τῆς Νέρωνος ἀρχῆς ὁ πόλεμος ἀνερ-
ράγη τά τε συμβάντα κατὰ Κέστιον καὶ ὅσα κατὰ τὰς πρώτας
ὁρμὰς ἐπῆλθον οἱ Ἰουδαῖοι τοῖς ὅπλοις. 8. ὅπως τε τὰς περιοίκους 21
ἐτειχίσαντο, καὶ ὡς Νέρων ἐπὶ τοῖς Κεστίου πταίσμασι δείσας περὶ
τῶν ὅλων Οὐεσπασιανὸν ἐφίστησι τῷ πολέμῳ, καὶ ὡς οὗτος μετὰ
τοῦ πρεσβυτέρου τῶν παίδων εἰς τὴν Ἰουδαίων χώραν ἐνέβαλεν ὅσῃ
τε χρώμενος Ῥωμαίων στρατιᾷ καὶ ὅσοι σύμμαχοι ἐκόπησαν εἰς
ὅλην τὴν Γαλιλαίαν, καὶ ὡς τῶν πόλεων αὐτῆς ἃς μὲν ὁλοσχερῶς
καὶ κατὰ κράτος ἃς δὲ δι' ὁμολογίας ἔλαβεν· ἔνθα δὴ καὶ τὰ περὶ 22
τῆς Ῥωμαίων ἐν πολέμοις εὐταξίας καὶ τὴν ἄσκησιν τῶν ταγμάτων,
τῆς τε Γαλιλαίας ἑκατέρας τὰ διαστήματα καὶ τὴν φύσιν καὶ τοὺς
τῆς Ἰουδαίας ὅρους, ἔτι τε τῆς χώρας τὴν ἰδιότητα, λίμνας τε καὶ
πηγὰς τὰς ἐν αὐτῇ, καὶ τὰ περὶ ἑκάστην πόλιν τῶν ἁλισκομένων

AMLVNCLat

1 δὲ LVNC τούτωντων (των expunxit m. 2) C 2 ποιήσομαι ex ποιησάμενοσ corr. C 4 ἂν deleuit m. 1 A δύνωμαι] ὡσ ἂν δύνωμαι AM ὡσ ἂν δύναμαι (ἂν s.) L ὡσ δύναμαι VN 5 ἐπιδράμω ALVN ἐπιδραμὼν Naber i. marg. α' M 6 κράτοσ, ο ex ου aut ω corr. m. 2 C 7 ἀσαμοναίου V¹ 8 ἔπειτα LVN ἔγγονοι Dindorf 10 ὁ om. A i. marg. β' MV 11 ἐστασίασεν Bekker 12 κυιντιλλίου LC · · ιντιλλίου N 13 ὡς — ὁ om. A 14 Κέστιον] C σόσσιον AMLVN sosium Lat κατὰ] παρὰ LVNC fort. recte 15 i. marg. γ' MV 16 ἐπὶ] περὶ C 18 Ἰουδαίων] om. N i. marg. suppl. L ἰουδαίαν AM 19 ὅσοι] ὡς οἱ Destinon ὅσοις συμμάχοις Niese ἐκόπησαν] caesa fuerit Lat 20 ὅλην suspectum Niesio αὐτῆς] αὐτὸς Cocceji ὁλοσχερῶς — κράτος] victoria (ablat.) Lat ὁλοσχερῶς om. MLN seclusit Dindorf 21 καὶ om. AMLVN seclusit Dindorf τὰ] τὰσ A 22 ἐν] ed. pr. ἔν τε codd. ταγμάτων] πραγμάτων, i. marg. γρ. τῶν ταγμάτων V curamque rerum Lat 23 ἑκατέρας τὰ] ἑκάτερα LVN 25 ἀναλισκομένων LVN

πάθη μετὰ ἀκριβείας, ὡς εἶδον ἢ ἔπαθον, δίειμι. οὐδὲ γὰρ τῶν ἐμαυτοῦ τι συμφορῶν ἀποκρύψομαι μέλλων γε πρὸς εἰδότας ἐρεῖν.

23 9. Ἔπειθ' ὡς ἤδη καμνόντων Ἰουδαίοις τῶν πραγμάτων θνήσκει μὲν Νέρων, Οὐεσπασιανὸς δὲ ἐπὶ Ἱεροσολύμων ὡρμημένος ὑπὸ τῆς ἡγεμονίας ἀνθέλκεται· τά τε γενόμενα περὶ ταύτης αὐτῷ
24 σημεῖα καὶ τὰς ἐπὶ Ῥώμης μεταβολάς, καὶ ὡς αὐτὸς ὑπὸ τῶν στρατιωτῶν ἄκων αὐτοκράτωρ ἀποδείκνυται, καὶ ἀποχωρήσαντος ἐπὶ διοικήσει τῶν ὅλων εἰς τὴν Αἴγυπτον ἐστασιάσθη τὰ τῶν Ἰουδαίων, ὅπως τε ἐπανέστησαν αὐτοῖς οἱ τύραννοι, καὶ τὰς τούτων πρὸς ἀλλήλους διαφοράς.

25 10. Καὶ ὡς ἄρας ἀπὸ τῆς Αἰγύπτου Τίτος δεύτερον εἰς τὴν χώραν ἐνέβαλεν, ὅπως τε τὰς δυνάμεις καὶ ὅπου συνήγαγε καὶ ὁπόσας, καὶ ὅπως ἐκ τῆς στάσεως ἡ πόλις διέκειτο παρόντος αὐτοῦ, προσβολάς τε ὅσας ἐποιήσατο καὶ ὁπόσα χώματα, περιβόλους τε τῶν τριῶν τειχῶν καὶ τὰ μέτρα τούτων, τήν τε τῆς πόλεως ὀχυρό-
26 τητα καὶ τοῦ ἱεροῦ καὶ τοῦ ναοῦ τὴν διάθεσιν, ἔτι δὲ τούτων καὶ τοῦ βωμοῦ τὰ μέτρα πάντα μετ' ἀκριβείας, ἔθη τε ἑορτῶν ἔνια καὶ τὰς ἑπτὰ ἁγνείας καὶ τὰς τῶν ἱερέων λειτουργίας, ἔτι δὲ τὰς ἐσθῆτας τῶν ἱερέων καὶ τοῦ ἀρχιερέως, καὶ οἷον ἦν τοῦ ναοῦ τὸ ἅγιον, οὐδὲν οὔτε ἀποκρυπτόμενος οὔτε προστιθεὶς τοῖς πεφωραμένοις.

27 11. Ἔπειτα διέξειμι τήν τε τῶν τυράννων πρὸς τοὺς ὁμοφύλους ὠμότητα καὶ τὴν Ῥωμαίων φειδὼ πρὸς τοὺς ἀλλοφύλους, καὶ ὁσάκις Τίτος σῶσαι τὴν πόλιν καὶ τὸν ναὸν ἐπιθυμῶν ἐπὶ δεξιὰς τοὺς

AMLVNC Lat

1 *μετ'* C 2 *γε*] *τε* A 3 ἔπειτα LN *Ἰουδαίουσ* C i. marg. *δ'* MV 4 *δ'* C 5 *ἀνθέλκεται ὑπὸ τῆσ ἡγεμονίασ* tr. M 6 *Ῥώμης*] *τῆσ ῥώμησ* L *μεταβολάς*] *καταβάσεισ* LVNC *mutationes* Lat 7 *καὶ*] *καὶ τούτου* AM *καὶ ὡσ* LN *καὶ ὡσ τούτου* VC 8 *ἐστασιάθη* A *ἐστασιάσθη* (*ἐστασι* i. ras. m. 2) C *τῶν* om. MLVNC 9 *ἐπανέστησαν*] *περὶ ἀνέστησαν* C 10 i. marg. *ε'* MV 12 *ὅπου — ὅπως*] *quo in loco congregauerit uel qualiter et quotiens* Lat 13 *ὁπόσας*] *ὁπόσα* A *πόσασ* VN *ποσάκισ* C 14 *ὁπόσα*] *πόσα* MLVNC *περιβόλους*] *καὶ περιβόλουσ* LV i. marg. *ϛ'* M *τε*] *δὲ* A 16 *τὴν* om. LVN *τούτων*] *καὶ τούτων* MLVNC fort. recte 17 *τὰ τοῦ βωμοῦ μέτρα* tr. AM *μετὰ* MLV 18 *ἱερέων*] *ἱερῶν* AM *sacerdotum* Lat 19 *ἱερέων*] *ἀρχιερέων* LVNLat; cf. V 228 sq (5, 7) 19 *καὶ τοῦ ἀρχιερέως* om. LVNLat *καὶ — ἅγιον* u. 16 post *διάθεσιν* tr. Destinon; cf. V 190 sq 20 *τοῖς πεφωραμένοις* om. Lat 22 i. marg. *ϛ'* MV *διέξ·ειμι* C *τῶν*] *περὶ τῶν* (s. m. 2) A *πρὸς τοὺς ὁμοφύλους* om. C 23 *φειδὼ* · V *πρὸσ τοὺσ ἀλλοφύλουσ* suspectum *τοὺς* om. V 24 *σῶισαι* V *δεξιὰς*] *τὰσ δεξιὰσ* N

στασιάζοντας προυκαλέσατο, διακρινῶ δὲ τὰ πάθη τοῦ δήμου καὶ τὰς συμφορὰς ὅσα τε ὑπὸ τοῦ πολέμου καὶ ὅσα ὑπὸ τῆς στάσεως καὶ ὅσα ὑπὸ τοῦ λιμοῦ κακωθέντες ἑάλωσαν. παραλείψω δὲ οὐδὲ 28
τὰς τῶν αὐτομόλων ἀτυχίας οὐδὲ τὰς τῶν αἰχμαλώτων κολάσεις, ὅπως τε ὁ ναὸς ἄκοντος ἐνεπρήσθη Καίσαρος καὶ ὅσα τῶν ἱερῶν κειμηλίων ἐκ τοῦ πυρὸς ἥρπαγη τήν τε τῆς ὅλης πόλεως ἅλωσιν καὶ τὰ πρὸ ταύτης σημεῖα καὶ τέρατα καὶ τὴν αἰχμαλωσίαν τῶν τυράννων τῶν τε ἀνδραποδισθέντων τὸ πλῆθος καὶ εἰς ἣν ἕκαστοι τύχην διενεμήθησαν· καὶ ὡς Ῥωμαῖοι μὲν ἐπεξῆλθον τὰ λείψανα τοῦ 29
πολέμου καὶ τὰ ἐρύματα τῶν χωρίων καθεῖλον, Τίτος δὲ πᾶσαν ἐπελθὼν τὴν χώραν κατεστήσατο, τήν τε ὑποστροφὴν αὐτοῦ τὴν εἰς Ἰταλίαν καὶ τὸν θρίαμβον.

12. Ταῦτα πάντα περιλαβὼν ἐν ἑπτὰ βιβλίοις καὶ μηδεμίαν 30
τοῖς ἐπισταμένοις τὰ πράγματα καὶ παρατυχοῦσι τῷ πολέμῳ κατα-
λιπὼν ἢ μέμψεως ἀφορμὴν ἢ κατηγορίας, τοῖς γε τὴν ἀλήθειαν ἀγαπῶσιν, ἀλλὰ μὴ πρὸς ἡδονὴν ἀνέγραψα. ποιήσομαι δὲ ταύτην τῆς ἐξηγήσεως ἀρχήν, ἣν καὶ τῶν κεφαλαίων ἐποιησάμην.

I. 1. Στάσεως τοῖς δυνατοῖς Ἰουδαίων ἐμπεσούσης καθ' ὃν 31
καιρὸν Ἀντίοχος ὁ κληθεὶς Ἐπιφανὴς διεφέρετο περὶ ὅλης Συρίας πρὸς Πτολεμαῖον τὸν Ἕκτον, ἡ φιλοτιμία δ' ἦν αὐτοῖς περὶ δυνα-στείας ἑκάστου τῶν ἐν ἀξιώματι μὴ φέροντος τοῖς ὁμοίοις ὑποτε-τάχθαι, Ὀνίας μὲν εἷς τῶν ἀρχιερέων ἐπικρατήσας ἐξέβαλε τῆς πόλεως τοὺς Τωβία υἱούς. οἱ δὲ καταφυγόντες πρὸς Ἀντίοχον 32
ἱκέτευσαν αὐτοῖς ἡγεμόσι χρώμενον εἰς τὴν Ἰουδαίαν ἐμβαλεῖν. πεί-θεται δ' ὁ βασιλεὺς ὡρμημένος πάλαι, καὶ μετὰ πλείστης δυνά-

---

AMLVNC Lat Hegesippus I 1 p. 3 Weber

1 *διακρινῶ δὲ*] A Lat *διακρινῶ · δὲ* L *διακρίνων* MC *διακρίνων δὲ* VN *διευκρινῶ δὲ* Niese 3 *ἑ · άλωσαν* (eras. uid. *λ*) V *παραλήψω* C 4 *οὐδὲ*] *οὔτε* LVN 5 *ὅπως τε*] *ὅπου τε* A *ὁπότε* C *ἐνεπρήθη* A 6 *κειμι-λίων* A 7 *πρὸ · ν* V 8 *καὶ*] om. A suppl. M *aut* Lat 10 *δὲ*] *καὶ* A^1 *δὲ καὶ* A^2 11 *ἐπελθὼν, ὢν* i. ras. m. 2 V 13 *βίβλοισ* C *καὶ* — 16 *ἀνέγραψα*] (*perscripsi*) *neque uituperationem a rerum scientibus et qui bello interfuerunt sustineam uerum amantibus, prout uero potui cuncta explicaui* Lat, quae corrupta uid. 14 *παρατυχοῦσι*, utrumque *α* i. ras. V *καὶ* om. N 15 *γε*] C *τε* LNV *γε μὴν* AM 16 *ἡδονὴν*] *ἡδονὴν ἀφορῶσιν* M *ταύτησ* C 18 i. marg. *ἀρχή* MV ante *Στάσεως* tituli loco addunt *ἀντίοχοσ πρῶτοσ* LN *ἀντίοχοσ ὁ ἐπιφανήσ* V; cf. ad p. 11, 20 *ἰουδαίοισ* C 19 *ὅλης*] *κοίλης* Aldrich 20 *δὲ* LVN *δυναστείας*] *δυναστεί * * A *δυναστείασ τῆσ* (*τῆσ* expunxit m. 2) V 21 *ἀξιώμασι* A *ὑπο·τετάχθαι* (eras. uid. *ε*) V 22 *Ὀνίας*] *ὧν Ἰησοῦς* coll. Ant. XII 237 sq. Petitus 23 *τω·βία* V *υἱοὺς τωβία* tr. ed. pr. *Τωβία παῖδας* Niese 24 *εἰσβαλεῖν* LVNC 25 *δὲ* ALVN

μεως αὐτὸς ὁρμήσας τήν τε πόλιν αἱρεῖ κατὰ κράτος καὶ πολὺ πλῆ-
Θος τῶν Πτολεμαίῳ προσεχόντων ἀναιρεῖ, ταῖς τε ἁρπαγαῖς ἀνέδην
ἐπαφιεὶς τοὺς στρατιώτας αὐτὸς καὶ τὸν ναὸν ἐσύλησε καὶ τὸν
ἐνδελεχισμὸν τῶν καθ' ἡμέραν ἐναγισμῶν ἔπαυσεν ἐπ' ἔτη τρία
33 καὶ μῆνας ἕξ. ὁ δ' ἀρχιερεὺς Ὀνίας πρὸς Πτολεμαῖον διαφυγὼν
καὶ παρ' αὐτοῦ λαβὼν τόπον ἐν τῷ Ἡλιοπολίτῃ νομῷ πολίχνην τε
τοῖς Ἱεροσολύμοις ἀπεικασμένην καὶ ναὸν ἔκτισεν ὅμοιον· περὶ ὧν
αὖθις κατὰ χώραν δηλώσομεν.

34 2. Ἀντιόχῳ γε μὴν οὔτε τὸ παρ' ἐλπίδα κρατῆσαι τῆς πόλεως
οὔτε αἱ ἁρπαγαὶ καὶ ὁ τοσοῦτος φόνος ἦρκεσεν, ὑπὸ δὲ ἀκρασίας
παθῶν καὶ κατὰ μνήμην ὧν παρὰ τὴν πολιορκίαν ἔπαθεν ἠνάγ-
καζεν Ἰουδαίους καταλύσαντας τὰ πάτρια βρέφη τε αὐτῶν φυλάτ-
35 τειν ἀπερίτμητα καὶ σῦς ἐπιθύειν τῷ βωμῷ· πρὸς ἃ ἅπαντες μὲν
ἠπείθουν, ἐσφάττοντο δὲ οἱ δοκιμώτατοι. καὶ Βακχίδης ὁ πεμφθεὶς
ὑπὸ Ἀντιόχου φρούραρχος, τῇ φυσικῇ προσλαβὼν ὠμότητι τὰ ἀσεβῆ
παραγγέλματα παρανομίας οὐδεμίαν κατέλιπεν ὑπερβολὴν καὶ κατ'
ἄνδρα τοὺς ἀξιολόγους αἰκιζόμενος καὶ κοινῇ καθ' ἡμέραν ἐνδεικνύ-
μενος ὄψιν ἁλώσεως τῇ πόλει, μέχρι ταῖς ὑπερβολαῖς τῶν ἀδικη-
μάτων τοὺς πάσχοντας εἰς ἀμύνης τόλμαν ἠρέθισε.

36 3. Ματθίας γοῦν υἱὸς Ἀσαμωναίου τῶν ἱερέων εἷς ἀπὸ κώμης
Μωδεεὶν ὄνομα, συνασπίσας μετὰ χειρὸς οἰκείας, πέντε γὰρ υἱεῖς
ἦσαν αὐτῷ, κοπίσιν ἀναιρεῖ τὸν Βακχίδην. καὶ παραχρῆμα μὲν
37 δείσας τὸ πλῆθος τῶν φρουρῶν εἰς τὰ ὄρη καταφεύγει· προσγενο-

---

AMLVNC Lat Hegesippus I 1 p. 3.

1 post ὁρμήσας ras. circiter 5 litt. M αἴρει AV et ex corr. L πολὺ] πολύ τι LVNC 2 τῶν] τῶν τῷ V πτολεμαίων A^1C^1 ἀναιρεῖ] ἀνεῖλε LVNC ἀναίδην L^1N^1C post ἀνέδην ras. circiter 6 litt. V 3 ἐπαφεὶσ LVNC 4 ἐνδελεχησμὸν (η ex ι corr. AML ex υ corr. C) codd. τῶν] τὸν V^1 ἐναγιασμῶι V^1 ἐναγ·σμῶ N, i. marg. τῶν καθ' ἡμέραν ἐναγισμῶν man. recent. aut repictum V 5 καὶ om. M δὲ LVNC πολεμαῖον A 6 ἡλιουπολίτῃ LVNC et ex corr. M *heliopolitana (regione)* Lat νόμω L νομῶ·(ο ex ό corr.) V 7 εἰκασμένην LVN ὅμοιον om. Lat ὧν] οὗ LVNC *quibus* Lat 8 κατὰ χώραν] uide infra VII 421 sq (10, 2) δηλώσωμεν A 9 τὸ] τῶ A 10 οὔθ' C ἀκρασ·ιασ V 11 παρὰ] Naber περὶ codd. *in (obsidione)* Lat 12 τε] τε τὰ Destinon 13 πάντες ed. pr. 14 i. marg. δ' V 15 ὑπ' LVNC παραλαβὼν C 16 παρέλειπεν LN παρέλιπεν VC ἀπέλιπεν L. Dindorf 17 κοινῆ·(eras. ι) V 19 τοὺς πάσχοντας] *qui capiebantur* Lat τόλμαν] τρόπον, i. marg. γρ τόλμην V τόλμην N 20 ματγαθίασ (h. e. ματταθίασ) cod. Lips. *mathathias* Lat Heg ὁ υἱὸσ A ἀσαμομαίου V^1 21 μωδεὶμ A μωδεεὶμ, ει ex η corr. V *modein* Lat 22 βακχίδῖν A 23 καταφεύγει] φεύγει LVN

μένων δὲ ἀπὸ τοῦ δήμου πολλῶν ἀναθαρσήσας κάτεισι καὶ συμβαλὼν μάχῃ νικᾷ τε τοὺς Ἀντιόχου στρατηγοὺς καὶ τῆς Ἰουδαίας ἐξελαύνει. παρελθὼν δὲ ἀπὸ τῆς εὐπραγίας εἰς δυναστείαν καὶ διὰ τὴν ἀπαλλαγὴν τῶν ἀλλοφύλων ἄρξας τῶν σφετέρων ἐκόντων, τελευτᾷ Ἰούδᾳ τῷ πρεσβυτάτῳ τῶν παίδων καταλιπὼν τὴν ἀρχήν.

4. Ὁ δέ, οὐ γὰρ ἠρεμήσειν Ἀντίοχον ὑπελάμβανε, τάς τε ἐπι- 38
χωρίους συγκροτεῖ δυνάμεις, καὶ πρὸς Ῥωμαίους πρῶτος ἐποιήσατο φιλίαν, καὶ τὸν Ἐπιφανῆ πάλιν εἰς τὴν χώραν ἐμβάλλοντα μετὰ καρτερᾶς πληγῆς ἀνέστειλεν. ἀπὸ δὲ θερμοῦ τοῦ κατορθώματος 39
ὥρμησεν ἐπὶ τὴν ἐν τῇ πόλει φρουράν, οὕτω γὰρ ἐκέκοπτο, καὶ ἐκβαλὼν ἀπὸ τῆς ἄνω πόλεως συνωθεῖ τοὺς στρατιώτας εἰς τὴν κάτω· τοῦτο δὲ τοῦ ἄστεος τὸ μέρος Ἄκρα κέκληται· κυριεύσας δὲ τοῦ ἱεροῦ τόν τε χῶρον ἐκάθηρε πάντα καὶ περιετείχισε καὶ τὰ πρὸς τὰς λειτουργίας σκεύη καινὰ κατασκευάσας εἰς τὸν ναὸν εἰσήνεγκεν ὡς τῶν προτέρων μεμιαμμένων, βωμόν τε ᾠκοδόμησεν ἕτερον καὶ τῶν ἐναγισμῶν ἦρξατο. λαμβανούσης δὲ ἄρτι τὸ ἱερὸν κατά- 40
στημα τῆς πόλεως τελευτᾷ μὲν Ἀντίοχος, κληρονόμος δὲ τῆς βασιλείας αὐτοῦ καὶ τῆς πρὸς Ἰουδαίους ἀπεχθείας ὁ υἱὸς Ἀντίοχος γίνεται.

5. Συναγαγὼν γοῦν πεζῶν μὲν μυριάδας πέντε, ἱππεῖς δὲ πεντα- 41
κισχιλίους, ἐλέφαντας δὲ ὀγδοήκοντα ἐμβάλλει διὰ τῆς Ἰουδαίας εἰς τὴν ὀρεινήν. Βηθσουρὸν μὲν οὖν πολίχνην αἱρεῖ, κατὰ δὲ τόπον, ὃς καλεῖται Βεθζαχαρία στενῆς οὔσης τῆς παρόδου Ἰούδας ὑπαντᾷ

AMLVNCLatHegesippus I 1 p. 3.

1 *πολλῶν*] πολλῶν αὐτῶ (*αὐτῶ* suppl. in M) MLVNC *ἀναθαρρήσας* LVNC 2 *μάχην* M *τε* om. LVNC 3 *ἐξελαύνει*·· V 4 *ἀπαλλαγὴν*] *ἁρπαγὴν* VN 5 *τὴν ἀρχὴν καταλιπὼν* tr. LVN 6 *οὐ*] *οὐδὲ* (i. ras. V) LVNC *ἠρεμήσει* N¹ *ὑπελάμβανεν* L *τε*] *τ'* C 7 *συνεκρότει* LVNC 8 *ἐπιφανῆι* V *εἰσβαλόντα* MLVNC *ingredientem* Lat 9 *κρατερᾶσ* LN

10 *τῇ* om. C *ἐκέκοπτο* L *caesa fuerat* Lat *ἐκέκοπτο* L. Dindorf *καὶ*—12 *κέκληται*] *habitoque conflictu* (h. e. *συμβαλὼν*) *milites de superiori ciuitate, quae pars acra dicitur, ad inferiorem conpellit* Lat 11 *ἄνωι* V¹ *συνώθει* AM 12 *κάτωι* V¹ *ἄστεωσ* V¹NC¹ 13 *καὶ τὰ*] *κἄτα* Naber 14 post *καινα* eras. uid. *κατα* V 15 *μεμιασμένων* L² 16 *ἐναγιασμῶν* L¹VN¹ *λαμβανούσης*] (*ritu*) *reddito* Lat *ἀναλαμβανούσησ* Destinon 18 *ὁ* om. LN 20 *δεύτεροσ ἀντίοχοσ* praemittit V *ἀντίοχοσ δεύτεροσ* N i. marg. *ε'* V *γοῦν πεζῶν μὲν*] Destinon *μὲν* A *γοῦν πεζῶν* M *οὖν πεζῶν* LVNC *quare — peditum quidem* Lat *πέντε*] *ε̄* A *δὲ*] *δισ* LVN *δὲ εἰσ* C *autem prope ad* Lat *ε* A 21 *π'* A 22 *βητσουρὸν* A *βηθ'σουρὸν* L *betsuron* Lat *πολίχνην* om L *αἱρεῖ* ALVN 23 *βητζαχαρία* A *βὲθ' ζαχαρία* ·L *βεθζαχαρίασ* VNC *berzachariae* (dat.) Lat *ὑπήντα* LVNC

42 μετὰ τῆς δυνάμεως. πρὶν δὲ συνάψαι τὰς φάλαγγας Ἐλεάζαρος ὁ ἀδελφὸς αὐτοῦ προϊδὼν τὸν ὑψηλότατον τῶν ἐλεφάντων πύργῳ τε μεγάλῳ καὶ περιχρίσοις προτειχίσμασι κεκοσμημένον, ὑπολαβὼν ἐπ' αὐτοῦ τὸν Ἀντίοχον εἶναι, τῶν τε ἰδίων ἐκτρέχει πολὺ καὶ διακόψας τὸ στῖφος τῶν πολεμίων ἐπὶ τὸν ἐλέφαντα διήνυσεν. 5
43 ἐφικέσθαι μὲν οὖν τοῦ δοκοῦντος εἶναι βασιλέως οὐχ οἷός τε ἦν διὰ τὸ ὕψος, ὁ δὲ τὸ θηρίον ὑπὸ τὴν γαστέρα πλήξας ἐπικατέσεισεν ἑαυτῷ καὶ συντριβεὶς ἐτελεύτησεν, μηδὲν πλέον δράσας τοῦ τοῖς
44 μεγάλοις ἐπιβαλέσθαι θέμενος εὐκλείας ἐν δευτέρῳ τὸ ζῆν. ὅ γε μὴν κυβερνῶν τὸν ἐλέφαντα ἰδιώτης ἦν· κἂν εἰ συνέβη δὲ εἶναι τὸν 10
Ἀντίοχον, οὐδὲν πλέον ἤνυσεν ὁ τολμήσας τοῦ δοκεῖν ἐπ' ἐλπίδι
45 μόνῃ λαμπροῦ κατορθώματος ἑλέσθαι τὸν θάνατον. γίνεται δὲ καὶ κληδὼν τἀδελφῷ τῆς ὅλης παρατάξεως· κἀρτερῶς μὲν γὰρ οἱ Ἰουδαῖοι καὶ μέχρι πολλοῦ διηγωνίσαντο, πλήθει δὲ ὑπερέχοντες οἱ βασιλικοὶ καὶ δεξιᾷ χρησάμενοι τύχῃ κρατοῦσι, καὶ πολλῶν ἀναιρε- 15
θέντων τοὺς λοιποὺς ἔχων Ἰούδας εἰς τὴν Γοφνιτικὴν τοπαρχίαν
46 φεύγει. Ἀντίοχος δὲ παρελθὼν εἰς Ἱεροσόλυμα καὶ καθίσας ὀλίγας ἡμέρας ἐν αὐτῇ κατὰ σπάνιν τῶν ἐπιτηδείων ἀπανίσταται, καταλιπὼν μὲν φρουρὰν ὅσην ἀποχρήσειν ὑπελάμβανε, τὴν δὲ λοιπὴν δύναμιν ἀπαγαγὼν χειμεριοῦσαν εἰς τὴν Συρίαν. 20

47 6. Πρὸς δὲ τὴν ὑποχώρησιν τοῦ βασιλέως Ἰούδας οὐκ ἠρέμει, προσγενομένων δ' ἐκ τοῦ ἔθνους πολλῶν καὶ τοὺς διασωθέντας ἐκ τῆς μάχης ἐπισυγκροτήσας κατὰ κώμην Ἀκέδασαν συμβάλλει τοῖς Ἀντιόχου στρατηγοῖς, καὶ φανεὶς ἄριστος κατὰ τὴν μάχην πολλούς τε τῶν πολεμίων ἀποκτείνας ἀναιρεῖται καὶ μεθ' ἡμέρας ὀλίγας 25
ὁ ἀδελφὸς αὐτοῦ Ἰωάννης ἐπιβουλευθεὶς ὑπὸ τῶν τὰ Ἀντιόχου φρονούντων τελευτᾷ.

48 II. 1. Διαδεξάμενος δὲ τοῦτον ὁ ἀδελφὸς Ἰωνάθης τά τε ἄλλα

AMLVNC Lat Hegesippus I 1 p. 4 Suidas s. ἐπικατέσεισεν . εὔκλεια.

1 φάλαγγας — § 60 p. 15, 2 καὶ φεύ absunt uno folio exciso A Ἐλεάζαρος — 9 ἐπιβαλέσθαι habet Suid breuiata mutata ὁ] s. L om. VN 2 τὸν ὑψηλότατον] τὸ μεγαλότατον, μεγα i. ras. man. recent. N 4 αὐτοῦ ex αὐτὸν corr. V προεκτρέχει ex cod. Bodl. Bernard 6 οὐχ οἷόν τε N et i. marg. V 8 δράσασ πλέον (πλεῖον Suid) tr. LVNSuid τοῖς om. LVNCSuid 9 μεγάλοι C θέμενος — ζῆν laudat Suid s. εὔκλεια 10 ἰδιότησ C κἂν] καὶ M 11 ὁ] ἂν ὁ LVNC 13 οἱ om. C 15 καὶ ante δεξιᾷ om. V 16 γνοφιτικὴν (ο ex ω corr. V) VN 19 ἀποχ·ρήσειν C 22 προσγενομένων] accessione — animatus Lat δὲ LVN 23 Ἀκέδασαν] adasa (accus.) Lat, unde Ἀδασὰν Hudson, cf. Ant. XII 408. 422 sq. 24 i. marg. ϛ′ C 27 τελευτᾷ om. LN 28 i. marg. ϛ′ V

πρὸς τοὺς ἐπιχωρίους διὰ φυλακῆς ἦγεν ἑαυτὸν καὶ τῇ πρὸς Ῥωμαίους φιλίᾳ τὴν ἀρχὴν ἐκρατύνατο πρός τε τὸν Ἀντιόχου παῖδα διαλλαγὰς ἐποιήσατο. οὐ μήν τι τούτων ἦρκεσεν αὐτῷ πρὸς ἀσφάλειαν· Τρύφων γὰρ ὁ τύραννος, ἐπίτροπος μὲν ὢν τοῦ Ἀντιόχου 49
παιδὸς ἐπιβουλεύων δ' αὐτῷ καὶ πρόσθεν, ἀποσκευάζεσθαι τοὺς φίλους αὐτοῦ πειρώμενος ἥκοντα τὸν Ἰωνάθην σὺν ὀλίγοις εἰς Πτολεμαΐδα πρὸς Ἀντίοχον δόλῳ συλλαμβάνει καὶ δήσας ἐπὶ Ἰουδαίαν στρατεύει· εἶτ' ἀπελαθεὶς ὑπὸ τοῦ Σίμωνος, ὃς ἦν ἀδελφὸς τοῦ Ἰωνάθου, καὶ πρὸς τὴν ἧτταν ὠργισμένος κτείνει τὸν Ἰωνάθην.

2. Σίμων δὲ γενναίως ἀφηγούμενος τῶν πραγμάτων αἱρεῖ μὲν 50
Γάζαρά τε καὶ Ἰόππην καὶ Ἰάμνειαν τῶν προσοίκων, κατέσκαψε δὲ καὶ τὴν ἄκραν τῶν φρουρῶν κρατήσας. αὖθις δὲ γίνεται καὶ Ἀντιόχῳ σύμμαχος κατὰ Τρύφωνος, ὃν ἐν Δώροις πρὸ τῆς ἐπὶ Μήδους στρατείας ἐπολιόρκει. ἀλλ' οὐκ ἐξεδυσώπησεν τὴν τοῦ βασιλέως 51
ἀπεονεξίαν Τρύφωνα συνεξελών· μετ' οὐ πολὺ γὰρ Ἀντίοχος Κενδεβαῖον τὸν αὐτοῦ στρατηγὸν μετὰ δυνάμεως δηώσοντα τὴν Ἰουδαίαν ἔπεμψεν καὶ καταδουλωσόμενον Σίμωνα. ὁ δὲ καίτοι γε γηραλέος 52
ὢν νεανικώτερον ἀφηγήσατο τοῦ πολέμου· τοὺς μέντοι γε υἱεῖς αὐτοῦ μετὰ τῶν ἐρρωμενεστάτων προεκπέμπει, αὐτὸς δὲ μοῖραν τῆς δυνάμεως ἀναλαβὼν ἐπῆει κατ' ἄλλο μέρος.. πολλοὺς δὲ πολλαχοῦ 53
κἀν τοῖς ὄρεσι προλοχίσας πάσαις κρατεῖ ταῖς ἐπιβολαῖς καὶ νικήσας λαμπρῶς ἀρχιερεὺς ἀποδείκνυται καὶ τῆς Μακεδόνων ἐπικρατείας μετὰ ἑκατὸν καὶ ἑβδομήκοντα ἔτη Ἰουδαίους ἀπαλλάττει.

3. Θνήσκει δὲ καὶ αὐτὸς ἐπιβουλευθεὶς ἐν συμποσίῳ ὑπὸ Πτο- 54
λεμαίου τοῦ γαμβροῦ, ὃς αὐτοῦ τήν τε γυναῖκα καὶ τοὺς δύο παῖδας

---

§ 50 = Ant. Iud. XIII 215.

MLVNCLatHegesippus I 1 p. 4.

1 διὰ] καὶ διὰ LVNC αὐτὸν C 2 ἐκρατύνετο MV ἀντιόχου ex ἀντίοχον corr. V Ἀντίοχον Bernard 3 μὴν] μὲν δέ LVN 5 δὲ LVN πρόσθεν] praeter hoc Lat 8 εἶτα MLVN ἀπελασθεὶς L¹N 10 i. marg. ζ' V αἱρεῖ MLVN μὲν Γάζαρά τε] Bernard τὲ γάζαν M μὲν ζαρά τε LVNC gazam quidem Lat; cf. Ant. XIII 215 11 ἰάμνιαν VC 12 φρουρίων C 13 ad Δώροις i. marg. πόλισ φοινίκησ VN 14 στρατείας] Hauerkamp στρατιᾶσ codd. ἐδυσώπησε LVNC 15 συνεξελὼν τρύφωνα (τὸν τρύφωνα V) tr. LVNC 16 ἑαυτοῦ LVN τὸν — στρατηγὸν] ex ducibus suis Lat, unde τῶν — στρατηγῶν Destinon δηώσοντα] διώξαντα, i. marg. διώσαντα V 17 ἔπεμψεν] ἀνέπεμψε VNC misit Lat γε om. C γηραλέος] γηραλαῖοσ M γηραιὸσ LVNC 18 μέντοι γε] et — quidem Lat μέν γε Destinon, cf. A. I. XIII 227 19 αὐτοῦ] ἐπ' αὐτὸν LVNC suos Lat ἐρρωμενεστέρων V 21 προλοχήσασ L ταῖς ἐπιβολαῖς om. Lat 22 τῆσ τῶν μακεδόνων C 23 καὶ] suppletum L, om. VN τοὺσ ἰουδαίουσ V fort. recte 24 hiatu uitium indicatur

ἐγκαθείρξας ἐπὶ τὸν τρίτον Ἰωάννην, ὃς καὶ Ὑρκανὸς ἐκαλεῖτο, τοὺς
55 ἀναιρήσοντας ἔπεμψεν. προγνοὺς δὲ τὴν ἔφοδον ὁ νεανίσκος παρα-
γενέσθαι εἰς τὴν πόλιν ἠπείγετο, πλεῖστον τῷ λαῷ πεποιθὼς κατά
τε μνήμην τῶν πατρῴων κατορθωμάτων καὶ μῖσος τῆς Πτολεμαίου
παρανομίας. ὥρμησε δὲ καὶ Πτολεμαῖος εἰσελθεῖν καθ' ἑτέραν
πύλην, ἐξεκρούσθη γε μὴν ὑπὸ τοῦ δήμου ταχέως δεδεγμένων ἤδη
56 τὸν Ὑρκανόν. καὶ ὁ μὲν παραχρῆμα ἀνεχώρησεν εἴς τι τῶν ὑπὲρ
Ἰεριχοῦντος ἐρυμάτων, ὃ Δαγὼν καλεῖται· κομισάμενος δὲ τὴν
πατρῴαν ἀρχιερωσύνην Ὑρκανὸς καὶ θύσας τῷ θεῷ μετὰ τάχους
ἐπὶ Πτολεμαῖον ὥρμησεν βοηθήσων τῇ μητρὶ καὶ τοῖς ἀδελφοῖς,
57 4. καὶ προσβαλὼν τῷ φρουρίῳ τὰ μὲν ἄλλα κρείττων ἦν, ἡττᾶτο
δὲ δικαίου πάθους· ὁ γὰρ Πτολεμαῖος ὁπότε καταπονοῖτο, τήν τε
μητέρα καὶ τοὺς ἀδελφοὺς αὐτοῦ προάγων ἐπὶ τοῦ τείχους εἰς
εὐσύνοπτον ἠκίζετο καὶ κατακρημνιεῖν, εἰ μὴ θᾶττον ἀπαναστήσει,
58 διηπείλει. πρὸς ἃ τὸν μὲν Ὑρκανὸν ὀργῆς πλείων οἶκτος εἰσήει
καὶ δέος, ἡ δὲ μήτηρ οὐδὲν οὔτε πρὸς τὰς αἰκίας οὔτε πρὸς τὸν
ἀπειλούμενον αὐτῇ θάνατον ἐνδιδοῦσα χεῖρας ὤρεγε καὶ κατηντι-
βόλει τὸν παῖδα μήτι πρὸς τὴν αὐτῆς ὕβριν ἐπικλασθέντα φείσασθαι
τοῦ δυσσεβοῦς, ὡς αὐτῇ γε κρείττονα τὸν ἐκ Πτολεμαίου θάνατον
ἀθανασίας εἶναι δόντος δίκας ἐφ' οἷς εἰς τὸν οἶκον αὐτῶν παρη-
59 νόμησεν. ὁ δὲ Ἰωάννης ὁπότε μὲν ἐνθυμηθείη τὸ παράστημα τῆς
μητρὸς καὶ κατακούσειε τῆς ἱκεσίας, ὥρμητο προσβάλλειν, ἐπειδὰν
δὲ κατίδοι τυπτομένην τε καὶ σπαραττομένην, ἐθηλύνετο καὶ τοῦ
60 πάθους ὅλος ἦν. τριβομένης δὲ διὰ ταῦτα τῆς πολιορκίας ἐπέστη
τὸ ἀργὸν ἔτος, ὃ κατὰ ἑπταετίαν ἀργεῖται παρὰ Ἰουδαίοις ὁμοίως

§ 54 = Ant. Iud. XIII 228.

MLVNCLatHegesippus I 1 p. 4.

1 *καθείρξας* LVN 2 *ἀναιρήσοντας, ο* ex *α* corr. V *νεανίας* M 3 *ἐπείγετο* LVN *πλεῖστον τῷ*] *multo* Lat 4 *τε*] *τε τὴν* M 6 *δεδεγμένων* C *δεδεγμένου, υ* ut uid. i. ras. L 7 *εἴς*] *ἐπί* LVNC 8 *ὃ* om. LN 9 *πατρῴαν*] *ἀρχαίαν*, i. marg. *γρ. πατρώαν* L *ἀρχιεροσύνην* C 10 *ἐπὶ*] *ἐπὶ τὸν* V *βοηθήσων*] *τιμωρήσων* LVNC *adiumento futurus* Lat *periculo auferre* Heg 11 *καὶ προσβαλὼν*] *προσβαλὼν δὲ* LVNC *κρεῖττον* V 13 *προ· · ἀγων* L *προαναγων* VN *εἰς εὐσύνοπτον* i. marg. suppl. V 14 *διακρημνιεῖν* LVNC *θᾶττον*] *τάχος*, i. marg. *θᾶττον* V *ἀπαναστήσει* L 15 *ἃ·* V *ὀργῆς*] *ὀργῆσ τε* M *πλεῖον* MVL¹N *plus* Lat *εἰσίει* C 18 *μήτι*] *μήτε* LN *μὴδε* V *μὴ* C *ne uel* Lat *αὐτῆς*] *αὐτὴν* ut uid. C¹ 19 *δυσσεβοῦσ* C¹ 20 *δόντος*] *διδόντοσ* LVNC 22 *μητρὸς*] *μητρὸσ αὐτοῦ* LVN *προσβαλεῖν* LVN *ἐπειδὰν δὲ*] *ἐπεὶ δὲ* Dindorf *ἐπεὶ δ' αὖ* Niese 23 *σπαρασσομένην* V 25 *ἑπταετίαν*] *ἑπτὰ ἔτη* LVN

ταῖς ἑβδομάσιν ἡμέραις. κἂν τοίτῳ Πτολεμαῖος ἀνεθεὶς τῆς πολιορκίας ἀναιρεῖ τοὺς ἀδελφοὺς Ἰωάννου σὺν τῇ μητρὶ καὶ φεύγει πρὸς Ζήνωνα τὸν ἐπικληθέντα Κοτυλᾶν· Φιλαδελφείας δ' ἦν τύραννος.

5. Ἀντίοχος δὲ κατ' ὀργὴν ὧν ὑπὸ Σίμωνος ἔπαθεν, στρατεύσας εἰς τὴν Ἰουδαίαν ἐπολιόρκει τὸν Ὑρκανὸν προσκαθεζόμενος τοῖς Ἱεροσολύμοις. ὁ δὲ τὸν Δαυίδου τάφον ἀνοίξας, ὃς δὴ πλουσιώτατος βασιλέων ἐγένετο, καὶ ὑφελόμενος ἐπὲρ τρισχίλια τάλαντα χρημάτων τόν τε Ἀντίοχον ἀνίστησι τῆς πολιορκίας πείσας τριακοσίοις ταλάντοις καὶ δὴ καὶ ξενοτροφεῖν πρῶτος Ἰουδαίων ἐκ τῆς περιουσίας ἤρξατο. 61

6. Αὖθίς γε μὴν Ἀντίοχος ἐπὶ Μήδους στρατεύσας καιρὸν ἀμύνης αὐτῷ παρεῖχεν· εὐθέως γὰρ ὥρμησεν ἐπὶ τὰς ἐν Συρίᾳ πόλεις, κενάς, ὅπερ ἦν, ὑπολαμβάνων τῶν μαχιμωτέρων εὑρήσειν. Μεδάβην μὲν οὖν καὶ Σαμαγὰν ἅμα ταῖς πλησίον, ἔτι δὲ Σίκιμα καὶ Ἀργαρίζειν αὐτὸς αἱρεῖ, πρὸς αἷς τὸ Χουθαίων γένος, οἳ περιῴκουν τὸ εἰκασθὲν τῷ ἐν Ἱεροσολύμοις ἱερῷ. αἱρεῖ δὲ καὶ τῆς Ἰδουμαίας ἄλλας τε οὐκ ὀλίγας καὶ Ἀδωρεὸν καὶ Μάρισαν. 62 63

7. Προελθὼν δὲ καὶ μέχρι Σαμαρείας, ἔνθα νῦν ἐστιν Σεβαστὴ πόλις ὑπὸ Ἡρώδου κτισθεῖσα τοῦ βασιλέως, καὶ πάντοθεν αὐτὴν ἀποτειχίσας τοὺς υἱεῖς ἐπέστησε τῇ πολιορκίᾳ Ἀριστόβουλον καὶ Ἀντίγονον· ὧν οὐδὲν ἀνιέντων λιμοῦ μὲν εἰς τοσοῦτον προῆλθον 64

§ 60 = Ant. Iud. XIII 235. § 64 = Ant. Iud. XIII 275.

AMLVNCLatHegesippus I 1 Exc Peiresc.

1 ἑβδομάσιν] ἑβδομάσι καὶ M 2 (φεύ)‖γει incipit manus uetus A 3 κοτύλαν A κοτυλὰν VN φιλαδελφίας LN δὲ LVN 5 ὢν] ὧν L 7 δανίδου, υἱ i. ras. minore m. 2 L 8 ἀφελόμενος M ἀνελόμενος LVN τρισχίλια] ALVNCLatHeg τρισχίλια ἑξακόσια M, cf. A. I. VII 393. XIII 249 9 ἀπανίστησι LVNC 10 καὶ post δὴ om. C 12 μὴν] μὴν ὡσ (ὡσ expunxit man. 1 A) AMLVNCLat 13 γὰρ om. MLVNCLat 14 τῶν μαχιμωτέρων om. M εὑρήσειν τῶν μαχιμωτέρων (μαχιμωτάτων V) tr. LVN 15 μεδαβην A Μηδάβη alibi uocari solet σαμαγὰν A σάμαγαν M σαμαίαν LN et i. marg. M σαμαῖαν VC *samagam* Lat Σαμόγαν A. I. XIII 255 σίκημα A 16 ἀργαριζην A ἀργαρίζιν (ιν ex ειν corr. V) MV ἀργαριζεὶν N γαριζὶν C *argarizim* Lat Γαριζεὶν Antiq. αἴρει AVN χουθέων A χοθαίων V *cutheorum* Lat γένος] ἔθνος C *genus* Lat 17 αἴρει AVN 18 Ἰδουμαίας] ἰουδαίας AC τε] τε καὶ (καὶ deletum) A τε ἄλλασ tr. C ἀδώρεον A ἀδωρεὸν L δωρεὸν C *adoreon* Lat Ἄδωρα Antiq. μαρισὰν, ι i. ras. maiore L μάρησαν V¹ 19 παρελθὼν C καὶ om. LVN ἔνθα] ἔνθα δὴ LVN *ubi* Lat 20 *sebaste* Lat *sebastia* Heg ὑφ' C 21 *aristobolus* Lat Heg semper

65 οἱ κατὰ τὴν πόλιν, ὡς ἄψασθαι καὶ τῶν ἀηθεστάτων. ἐπικαλοῦνται
δὲ βοηθὸν Ἀντίοχον τὸν ἐπικληθέντα Ἀσπένδιον· κἀκεῖνος ἑτοί-
μως ὑπακούσας ὑπὸ τῶν περὶ Ἀριστόβουλον ἡττᾶται. καὶ ὁ μὲν
μέχρι Σκυθοπόλεως διωχθεὶς ὑπὸ τῶν ἀδελφῶν ἐκφεύγει, οἱ δὲ ἐπὶ
τοὺς Σαμαρεῖς ὑποστρέψαντες τό τε πλῆθος πάλιν εἰς τὸ τεῖχος
συγκλείουσιν καὶ τὴν πόλιν ἑλόντες αὐτήν τε κατασκάπτουσιν καὶ
66 τοὺς ἐνοικοῦντας ἐξηνδραποδίσαντο. προχωρούντων δὲ τῶν κατορ-
θωμάτων τὴν ὁρμὴν οὐ κατέψυξαν, ἀλλὰ προελθόντες ἅμα τῇ
δυνάμει μέχρι τῆς Σκυθοπόλεως ταύτην τε κατέδραμον καὶ τὴν
ἐντὸς Καρμήλου τοῦ ὄρους χώραν ἅπασαν κατενείμαντο.
67 8. Πρὸς δὲ τὰς εὐπραγίας αὐτοῦ τε Ἰωάννου καὶ τῶν παίδων
φθόνος ἐγείρει στάσιν τῶν ἐπιχωρίων, καὶ πολλοὶ κατ' αὐτῶν
συνελθόντες οὐκ ἠρέμουν, μέχρι καὶ πρὸς φανερὸν πόλεμον ἐκρι-
68 πισθέντες ἡττῶνται. τὸ λοιπὸν δ' ἐπιβιοὺς ἐν εὐδαιμονίᾳ Ἰωάννης
καὶ τὰ κατὰ τὴν ἀρχὴν κάλλιστα διοικήσας ἐν τρισὶν ὅλοις καὶ
τριάκοντα ἔτεσιν ἐπὶ πέντε υἱοῖς τελευτᾷ, μακαριστὸς ὄντως καὶ
κατὰ μηδὲν ἐάσας ἐφ' ἑαυτῷ μεμφθῆναι τὴν τύχην. τρία γοῦν
τὰ κρατιστεύοντα μόνος εἶχεν, τήν τε ἀρχὴν τοῦ ἔθνους καὶ τὴν
69 ἀρχιερωσύνην καὶ προφητείαν· ὡμίλει γὰρ αὐτῷ τὸ δαιμόνιον ὡς
μηδὲν τῶν μελλόντων ἀγνοεῖν, ὅς γε καὶ περὶ δύο τῶν πρεσβυτέ-

§ 66 = Ant. Iud. XIII 276.

AMLVNCLatHegesippus I 1 p. 6 Exc. Peiresc.

1 *ἀηθεστάτων*] *ἀηθεστάτων σαρκῶν* AM probante Destinone *insuetam carnem* Lat *tetra alimenta humanorum cadauerum* Heg *ἀηδεστάτων* Naber; cf. Ant. XIII 276 *ἐπεκαλοῦντο* L¹VNC 2 *ἀντί · · οχον* A *ἀντί · οχον, χ* i. ras. L *ἀντίγονον* VN *Ἀσπένδιον*] ed. Gen. *ἀσπόνδιον* codd. Heg *spondium* Lat *Κυζικηνὸν* Ant.; cf. Eusebium chronic. I p. 259 sq. Schöne 3 *ἐπακούσας* N 4 *ἀποδιωχθεὶς* C *δ'* C 5 *τοὺς Σαμαρεῖς*] *τῆς σαμαρείας* (*εἰ* ex *ί* corr. m. 2 C) LVNC *in samariam* Lat 6 *συγκλείουσιν εἰς τὸ τεῖχος* tr. LVN 7 *ἐξηνδραποδίσατο* C¹ 8 *προσελθόντες* A¹ 9 *τῆς*] *τῇ* A *τε* om. AM *κατέδραμεν* V 10 *τοῦ ὄρους* om. N, suppl. i. marg. L 11 *ὅτι ἰωάννης ὁ καὶ ὑρκανὸς πολὺ διῆλθεν ἐπ' εὐπραγίαι* incip. Exc 12 *καὶ*] *καὶ δὴ* Exc *πολλοὶ*] *πολλοὶ τῶν* LN *κατ' αὐτὸν* Exc et ex corr. L 13—14 *οὐχηρέμουν καὶ δὴ τολοιπὸν ἐνευδαιμονίαι βιοὺς ἰωάννης* Exc *ἐκριπισθέντες* om. Lat 14 *δὲ* LVN *λοιπὸν δὲ ἐπιβιούς*, litt. *πὸν δὲ ἐπι* i. ras. 6 litt. V *ὁ ἰωάννης* AM *κάλλιστα* AN 15 *τρισὶν — καὶ τριάκοντα*] codd. Lat *trigesimo et primo* Heg recte; cf. Ant. XIII 299. XX 240; uide Hermes XXVIII 217 *καὶ τριάκοντα* (*λ'* V) *ὅλοις* tr. LVN *ὅλοις* om. Lat 16 *υἱοῖς* corr. ex *υἱεῖς* A *υἱέσι* C *μακαριστότατος* LVNCExcLat 17 *ἐπ' αὐτῷ* M *ὑπ' αὐτῷ* AExc *κατὰ — τύχην*] *qui nullam dedisset occasionem, cur eius causa de fortuna quispiam quereretur* Lat *γοῦν γὰρ* Exc 20 *δύω* Exc *πρεσβυτέρων*] ALat *πρεσβυτάτων* MLVNCExc

ρων τιῶν ὅτι μὴ διαμενοῦσι κύριοι τῶν πραγμάτων προεῖδέν τε καὶ προεφήτευσεν· ὧν τὴν καταστροφὴν ἄξιον ἀφηγήσασθαι, παρ' ὅσον τῆς πατρῴας εὐδαιμονίας ἀπέκλιναν.

III. 1. *Μετὰ γὰρ τὴν τοῦ παρὸς τελευτὴν ὁ πρεσβύτερος* 70
5 *αὐτῶν Ἀριστόβουλος τὴν ἀρχὴν εἰς βασιλείαν μετατιθεὶς περιτίθεται μὲν διάδημα πρῶτος μετὰ τετρακοσιοστὸν καὶ ἑβδομηκοστὸν πρῶτον ἔτος, πρὸς δὲ μῆνας τρεῖς, ἐξ οὗ κατῆλθεν ὁ λαὸς εἰς τὴν χώραν ἀπαλλαγεὶς τῆς ἐν Βαβυλῶνι δουλείας· τῶν δὲ ἀδελφῶν τὸν μὲν* 71
μεθ' ἑαυτὸν Ἀντίγονον, ἐδόκει γὰρ ἀγαπᾶν, ἦγεν ἰσοτίμως, τοὺς δ'
10 *ἄλλους εἴργνυσι δήσας. δεσμεῖ δὲ καὶ τὴν μητέρα διενεχθεῖσαν περὶ τῆς ἐξουσίας, ταύτην γὰρ κυρίαν τῶν ὅλων ὁ Ἰωάννης ἀπολελοίπει, καὶ μέχρι τοσαύτης ὠμότητος προῆλθεν, ὥστε καὶ λιμῷ διαφθεῖραι δεδεμένην.*

2. *Περιέρχεται δὲ αὐτῶν ἡ τίσις εἰς τὸν ἀδελφὸν Ἀντίγονον,* 72
15 *ὃν ἠγάπα τε καὶ τῆς βασιλείας κοινωνὸν εἶχεν· κτείνει γὰρ καὶ τοῦτον ἐκ διαβολῶν, ἃς οἱ πονηροὶ τῶν κατὰ τὸ βασίλειον ἐνεσκευάσαντο. τὰ μὲν δὴ πρῶτα διιπίστει τοῖς λεγομένοις ὁ Ἀριστόβουλος ἅτε δὴ καὶ τὸν ἀδελφὸν ἀγαπῶν καὶ διδοὺς φθόνῳ τὰ πολλὰ τῶν λογοποιουμένων. ὡς δ' ὁ Ἀντίγονος λαμπρὸς ἀπὸ στρατείας ἦλθεν* 73
20 *εἰς τὴν ἑορτήν, ἐν ᾗ σκηνοποιεῖσθαι πάτριον τῷ θεῷ, συνέβη μὲν κατ' ἐκείνας τὰς ἡμέρας νόσῳ χρήσασθαι τὸν Ἀριστόβουλον, τὸν*

---

§ 69 = Ant. Iud. XIII 300.

AMLVNCLatHegesippus I 5 p. 8 Exc Peiresc.

4 *πρεσβύτατος* AMExc 5 *μεταθεὶς* LVNCExc et ex corr. M *ἐπιτίθεται* LVN 6 *τετρακόσια καὶ ἑβδομήκοντα καὶ ἓν* LN *υ καὶ ο καὶ ἓν* V Exc; CCCCLXXXI annos numerant Antiq 7 *πρῶτον*] *α'* C *quinque* Lat *κατῆλθεν*] *κατήει* AM *ὁ λαὸς κατῆλθεν* tr. Exc 8 *δὲ* s. V 9 *μεθ' ἑαυτοῦ* V *μετ' αὐτὸν* C *ἰσωτίμως* A *δὲ* LVN 10 *εἴργνυσι* A¹MVC *δηνεχθῆσαν* V¹ 11 *γὰρ*] *γὰρ δὴ* C *ὁ* om. LExc 12 *ὥστε* — 13 *δεδεμένην*] *ut et ipsam et fratres suos simili modo uinctos arcta custodia detineret, quo prope usque ad mortem suprema fame compellerentur, ni maturius aristobolus scelesti parricidii merita soluisset* Heg 13 *διαφθεῖραι*] *διαφθαρῆναι*, i. marg. *γρ διαφθε* * * * V 14 *περιέρχεται* — *Ἀντίγονον*] *horum autem facinorum poenas antigoni fratris morte persoluit* Lat *αὐτῶν*] V² *αὐτὸν* AMCExc *αὐτῷ* LN *αὐτῶι* V¹ *τίσις*] *ποινὴ* AM 16 *τῶν* om. Exc 17 *δὴ*] codd.Exc *οὖν* ex cod. L. B. Hauerkamp 18 *δὴ* om. LVN 19 *δὲ* LVNExc *λαμπρῶσ* LV *clarus* LatHeg *ἀπὸ*] AMLVExc *ἀπὸ τῆσ* C *στρατείας*] ExcDindorf *στρατιᾶσ* codd. 20 *σκηνοποιεῖσθαι, σθαι* ex corr. m. 2 V 21 *τὸν δὲ* — 18, 3 *τἀδελφοῦ*] *antigonus uero circa festorum sollemnium finem armatis comitatus ad orandum quam maxime potuit plusque in honorem fratris ascenderet ornatus* Lat

δὲ Ἀντίγονον ἐπὶ τέλει τῆς ἑορτῆς ἀναβάντα μετὰ τῶν περὶ αὐτὸν ὁπλιτῶν ὡς ἐνῆν μάλιστα κεκοσμημένον προσκυνῆσαι τὸ πλέον
74 ὑπὲρ τοῦ ἀδελφοῦ. κἂν τούτῳ προσιόντες οἱ πονηροὶ τῷ βασιλεῖ τήν τε πομπὴν τῶν ὁπλιτῶν ἐδήλουν καὶ τὸ παράστημα τοῦ Ἀντιγόνου μεῖζον ἢ κατ' ἰδιώτην, ὅτι τε παρείη μετὰ μεγίστου συντάγματος ἀναιρήσων αὐτόν· οὐ γὰρ ἀνέχεσθαι τιμὴν μόνον ἐκ βασιλείας ἔχων, παρὸν αὐτὴν κατασχεῖν.

75 3. Τούτοις κατὰ μικρὸν ἄκων ἐπίστευσεν ὁ Ἀριστόβουλος, καὶ προνοῶν τοῦ μήθ' ὑποπτεύων φανερὸς γενέσθαι καὶ προησφαλίσθαι πρὸς τὸ ἄδηλον καθίστησι μὲν τοὺς σωματοφύλακας ἔν τινι τῶν ὑπογαίων ἀλαμπεῖ, κατέκειτο δ' ἐν τῇ βάρει πρότερον αὖθις δ' Ἀντωνία μετονομασθείσῃ, προστάξας ἀνόπλου μὲν ἀπέχεσθαι, κτείνειν δὲ τὸν Ἀντίγονον, εἰ μετὰ τῶν ὅπλων προσίοι, καὶ πρὸς
76 αὐτὸν ἔπεμψεν τοὺς προεροῦντας ἄνοπλον ἐλθεῖν. πρὸς τοῦτο πάνυ πανούργως ἡ βασίλισσα συντάσσεται μετὰ τῶν ἐπιβούλων· τοὺς γὰρ πεμφθέντας πείθουσιν τὰ μὲν παρὰ τοῦ βασιλέως σιωπῆσαι, λέγειν δὲ πρὸς τὸν Ἀντίγονον ὡς ὁ ἀδελφὸς ἀκούσας ὅπλα τε αὐτῷ παρεσκευακέναι κάλλιστα καὶ πολεμικὸν κόσμον ἐν τῇ Γαλιλαίᾳ διὰ μὲν τὴν ἀσθένειαν αὐτὸς ἐπιδεῖν ἕκαστα κωλυθείη, νῦν δ' ἐπεὶ καὶ χωρίζεσθαι μέλλοις, θεάσαιτ' ἂν ἥδιστά σε ἐν τοῖς ὅπλοις.

§ 73 = Ant. Iud. XIII 304.

AMLVNC Lat Hegesippus I 5 p. 8 Exc Peiresc.

1 *μετὰ*] *μὲν* Exc *ἑαυτὸν* LVN *αὐτὸν* Exc 2 *μάλιστα*] *κάλλιστα* Naber haud male *τὸ*] suppl. L, om VN 3 *τἀδελφοῦ* C *κἀν*] *καὶ* N *προσιόντες, σ* i. ras. A 4 *τοῦ*] *τὸ* Dindorf *Ἀντιγόνου*] *ἀριστοβούλου* V 5 *κατὰ* LVN *παρείη*] *παρῆει* AMLVNExc *eo uenisset* Lat *μεγίστων συνταγμάτων* LVN *ἀναιρήσων* A 6 *ἔχων*] *ἔχειν, ει* ex *ω* corr. M *ἔχειν* L *ἔχειν* VNCExc 7 *παρ' ὃν* V et ex corr. N *αὐτὴν*] *αὐτὴν ταύτην* Destinon 8 *ὁ* om. MLVNC Exc 9 *μήτε* LVN *φανερῶσ* V¹C¹ *προσησφαλίσθαι* AML *προ-ησφαλίσθαι* V *προσησφαλῆσθαι* ex corr. N *praecaueret* Lat 10 *διίστησι* VN *καθίστησι* L *transire iubet* Lat 11 *ὑπογαίων, αί* i. ras. A *ὑπογείων* L. Dindorf *δὲ* LVN *βάρει*] *βάρει τῇ* MExc et ex corr. L *πρότερον αὖθις δ'* om. Exc *πρότερον*] *πρότερον καλουμένη* VC *δὲ* LVN 12 *μετωνομασθείση* L *προστάξας*] *καὶ προστάξασ* C *ἀνόπλου*] *ὅπλων* LV *ὅπλου* NExc *ἀόπλου* L. Dindorf 13 *τῶν* om. MLVNC Exc *προσίοι*] *προσήει* A *προσίη* M *προίοι* LVN *προσῆει* Exc 14 *προαιροῦντασ* AV et ut uid L¹ *προσεροῦντασ* Exc 15 *μετὰ τῶν ἐπιβούλων συντάσσεται* tr LVN 17 *τὸν* om. LVN *τε*] *σε* Destinon *αὐτῷ*] *σαυτῶ, σ* suppletum A *αὐτῶ* Exc 18 *κατεσκευακέναι* LVNC fort. recte *καὶ*] *διὰ* Hudson 19 *δὲ* LVN 20 *θεάσαιτο* LVN

4. *Ταῦτα ἀκούσας ὁ Ἀντίγονος, ἐνῆγεν δ' ἡ τοῦ ἀδελφοῦ* 77
διάθεσις μηδὲν ὑποπτεύειν πονηρόν, ἐχώρει μετὰ τῶν ὅπλων ὡς
πρὸς ἐπίδειξιν. γενόμενος δὲ κατὰ τὴν σκοτεινὴν πάροδον, Στρά-
τωνος ἐκαλεῖτο πύργος, ὑπὸ τῶν σωματοφυλάκων ἀναιρεῖται, βέβαιον
ἀποδείξας ὅτι πᾶσαν εὔνοιαν καὶ φύσιν κόπτει διαβολὴ καὶ οὐδὲν
οὕτως τῶν ἀγαθῶν παθῶν ἰσχυρόν, ὃ τῷ φθόνῳ μέχρι παντὸς
ἀντέχει.

5. *Θαυμάσαι δ' ἄν τις ἐν τούτῳ καὶ Ἰούδαν, Ἐσσαῖος ἦν γένος* 78
οὐκ ἔστιν ὅτε πταίσας ἢ ψευσθεὶς ἐν τοῖς προαπαγγέλμασιν, ὡς
ἐπειδὴ καὶ τότε τὸν Ἀντίγονον ἐθεάσατο παριόντα διὰ τοῦ ἱεροῦ,
πρὸς τοὺς γνωρίμους ἀνέκραγεν, ἦσαν δ' οὐκ ὀλίγοι παρεδρεύοντες
αὐτῷ τῶν μανθανόντων, „παπαί, νῦν ἐμοὶ καλόν, ἔφη, τὸ θανεῖν, 79
ὅτε μου προτέθνηκεν ἡ ἀλήθεια καὶ τι τῶν ὑπ' ἐμοῦ προρρηθέν-
των διέψευσται· ζῇ γὰρ Ἀντίγονος οὑτοσὶ σήμερον ὀφείλων ἀνη-
ρῆσθαι. χωρίον δὲ αὐτῷ πρὸς σφαγὴν Στράτωνος πύργος εἵμαρτο·
καὶ τοῦτο μὲν ἀπὸ ἑξακοσίων ἐντεῦθεν σταδίων ἐστίν, ὧραι δὲ τῆς
ἡμέρας ἤδη τέσσαρες· ὁ δὴ χρόνος ἐκκρούει τὸ μάντευμα.“ ταῦτα 80
εἰπὼν σκυθρωπὸς ἐπὶ συννοίας ὁ γέρων διεκαρτέρει, καὶ μετ'
ὀλίγον ἀνηρημένος Ἀντίγονος ἠγγέλλετο κατὰ τὸ ὑπόγαιον χωρίον,
ὃ δὴ καὶ αὐτὸ Στράτωνος ἐκαλεῖτο πύργος ὁμωνυμοῦν τῇ παρα-
λίῳ Καισαρείᾳ. τοῦτο γοῦν τὸν μάντιν διετάραξεν.

6. *Ἀριστοβούλῳ γε μὴν εὐθὺς ἡ περὶ τοὺ μύσους μεταμέλεια* 81
νόσον ἐνσκήπτει καὶ πρὸς ἔννοιαν τοῦ φόνου τὴν ψυχὴν ἔχων ἀεὶ

---

§ 77 = Ant. Iud. XIII 309.

AMLVNCLatHegesippus I 6 p. 9 Exc Peiresc.

1 *ταῦτ'* CExc *δὲ* LVN 3 *πρὸς* s. A *Στράτωνος*] *ἢ στράτω-*
νος VC 5 *διαβολῇ* V¹ 6 *οὕτω* LVNC *παθῶν* om. Exc 8 *θαυ-*
μάσοι LVN 9 *ἢ ψευσθεὶς* suspecta Destinoni *ψευθεὶσ* A *τοῖς* om.
LVNC *προαγγέλμασιν* LVN *προαγέλμασιν* C 11 *ἦσαν*—12 *παπαί*] *non*
paucos autem discipulos papas siue consultores habebat Lat *δὲ* LVN
12 *παπαῖ* LV 13 *ὅτε*] *ὅτι* LVNCExc *μου*] Niese *μοι* codd. Heg *ante me* Lat;
i. marg. *γρ ὅτε με πρότερον ἀνῆκεν ἡ ἀλήθεια* L *προτέθνηκεν*, *ν* ante
η i. ras. m. 2 V *τι* ex *τοι* corr. A 14 *οὕτοσ* AM *ἀνῃρῆσθαι*]
ἀποθανεῖν C *occidi* LatHeg 15 *δ'* C 16 *ἀπὸ*] *ἀφ'* C *ἑξα-*
κοσίων] *χ* A *σταδίων ἐντεῦθεν* tr. LVN *ἐστι* Exc 17 *δὴ*] *δὲ* AMExcLat
et ex corr. L *δὲ δὴ* C *τὰ μαντεύματα* V *ταῦτ'* C Exc *σκυθρωπῶσ* A
18 *συννοίαισ* LNC *ἐκαρτέρει* Exc 19 *ἀνηρημένοσ*, *σ* corr. ex *ν* A
ὁ ἀντίγονοσ LVNExc *ὑπογεῖον* L. Dindorf *χωρίον* spurium uid. Desti-
noni 20 *στράτωροσ* Exc *ἐκαλεῖτο*, *ο* ex *αι* corr. V *ὁμωνυμοῦν*]
ὁμωνύμωσ LVNCExc 21 *τὸν*] *καὶ* Exc *μάντι·ν* C *διετάραξεν*] *fefellit* Lat 22 *εὐθέωσ*
LVN *ἡ* s. A 23 *ἔννοιαν*] *ἐννοίαισ* LVNCExc *ἐννοίᾳ* Destinon
ψυχὴν—*συνετήκετο*] *perturbato animo tabescebat* Lat

τεταραγμένην συνετήκετο, μέχρι τῶν σπλάγχνων ὑπ᾽ ἀκράτου τῆς
82 λύπης σπαραττομένων ἄθρουν αἷμα ἀναβάλλει. τοῦτό τις τῶν ἐν
τῇ θεραπείᾳ παίδων ἐκφέρων δαιμονίῳ προνοίᾳ σφάλλεται καθ᾽
ὃν τόπον Ἀντίγονος ἔσφακτο καὶ φαινομένοις ἔτι τοῖς ἀπὸ τοῦ
φόνου σπίλοις τὸ αἷμα τοῦ κτείναντος ἐπέχεεν. ἤρθη δ᾽ εὐθὺς
οἰμωγὴ τῶν θεασαμένων ὥσπερ ἐπίτηδες τοῦ παιδὸς ἐκεῖ ἐπικατα-
83 σπείσαντος τὸ αἷμα. τῆς δὲ βοῆς ἀκούσας ὁ βασιλεὺς τὴν αἰτίαν
ἐπυνθάνετο καὶ μηδενὸς τολμῶντος εἰπεῖν μᾶλλον ἐνέκειτο μαθεῖν
ἐθέλων· τέλος δὲ ἀπειλοῦντι καὶ βιαζομένῳ τἀληθὲς εἶπον. ὁ δὲ
τοὺς ὀφθαλμοὺς ἐμπίπλησι δακρύων καὶ στενάξας ὅσον ἦν αὐτῷ
84 δύναμις εἶπεν· „οὐκ ἄρα θεοῦ μέγαν ὀφθαλμὸν ἐπ᾽ ἔργοις ἀθεμί-
τοις λήσειν ἔμελλον, ἀλλά με ταχεῖα μέτεισι δίκη φόνου συγγενοῦς.
μέχρι τοῦ μοι, σῶμα ἀναιδέστατον, τὴν ἀδελφῷ καὶ μητρὶ κατάκριτον
ψυχὴν καθέξεις; μέχρι τοῦ δ᾽ αὐτοῖς ἐπισπείσω κατὰ μέρος τοὐμὸν
αἷμα; λαβέτωσαν ἀθρόον τοῦτο, καὶ μηκέτι ταῖς ἐκ τῶν ἐμῶν
σπλάγχνων χοαῖς ἐπειρωνευέσθω τὸ δαιμόνιον.“ ταῦτα εἰπὼν εὐθέως
τελευτᾷ βασιλεύσας οὐ πλεῖον ἐνιαυτοῦ.

85 IV. 1. Λύσασα δ᾽ ἡ γυνὴ τοὺς ἀδελφοὺς αὐτοῦ βασιλέα καθί-
στησιν Ἀλέξανδρον τὸν καὶ καθ᾽ ἡλικίαν καὶ μετριότητι προύχειν
δοκοῦντα. ὁ δὲ παρελθὼν εἰς τὴν ἐξουσίαν τὸν ἕτερον μὲν τῶν

§ 81 = Ant. Iud. XIII 314.

PAMLVNCLatHegesippus I 8 p. 10 Exc Peiresc.
1 *σπλάχνων* A *ὑπ᾽*] incipit folium 2 P, uide supra ad p. 5, 17
2 *σπαρασσομένων* N *ἄθρουν*] *ἀθροῦν* (i. marg. ascripsit *πολὺ* N) PN *δὴ* (*ἡ* ex *ι* corr. m. 2) *ἄθρουν* (corr. ex *ἀθροῦν*) L *καὶ πολὺ αθροῦν* V *subito* Lat *ἐν*] *πρὸσ* LVNCExc 4 *ὁ ἀντίγονοσ* LNC *καὶ*] u. 3 ante *καθ᾽* posuit Lat 5 *ἐπεξέχεεν* LNC *ἐπεξέχεσεν* V *δὲ* LNV 6 *ἐκεῖ* om. Lat *ἐπικατασπείσαντος*] PAMCExc *ἐπισπείσαντοσ* L *ἐπισπείσαντοσ* VN *libasse* Lat 8 *ἐπέκειτο* P *ardebat* Lat 9 *δ᾽* C *ἀπηλοῦντι* V¹ 10 *τοὺς*] *τούσ τε* C *ἐμπίμπλησι* LN 11 *ἀθεμήτοις*, *ε* ex *η* corr. V 12 *ἀλλά*] *nam* Lat *δίκη* V 13 *μέχρι τοῦ*] Niese *μέχρι ποῦ* codd *quatenus* Lat *quousque* Heg; cf. Ant. Iud. XIII 317 *σῶμα* V¹ 14 *μέχρι — 15 τοῦτο*] *quamdiu paulatim libabo illis sanguinem meum? simul totum accipiant* Lat *τοῦ*] Niese *ποῦ* codd. *δὲ* LVN *αὐτοῖς*] Destinon ex Lat et Heg *αὐτὸσ* codd. Exc *ἐπισπείσωι* V¹ *τοὐμὸν αἷμα κατὰ μέροσ* tr. A 15 *ἐκ τῶν* om. LN 16 *ταῦτ᾽* CExc i. marg. *ι΄* C 17 *τελευτᾷ*-V *οὐ πλεῖον βασιλεύσασ* tr. N 18 *δὲ* LN *τοὺς ἀδελφοὺς αὐτοῦ*] *τοὺσ αὐτοῦ ἀδελφοὺσ* LVNExc *τοὺσ ἀδελφοὺσ τοῦ βασιλέωσ* PAM *fratrem eius* Lat 19 *ἄλεδρον* Exc *καὶ* om. ALVNExc *κα-θ᾽* A *μετριότητα* LVNCExc *προέχειν* V 20 i. marg. *ι΄* V *τῶν*] *τὸν* C¹Exc

ἀδελφῶν βασιλειῶντα κτείνει. τὸν δὲ καταλιμπανόμενον ἀγαπῶντα τὸ ζῆν δίχα πραγμάτων εἶχεν.

2. Γίνεται δ' αὐτῷ καὶ πρὸς τὸν Λάθουρον ἐπικληθέντα Πτο- 86
λεμαῖον συμβολὴ πόλιν Ἀσωχὶν ἔρημόν τε καὶ πολλοὺς μὲν ἀνεῖλεν τῶν πολεμίων, ἡ δὲ νίκη πρὸς Πτολεμαῖον ἔρρεψεν. ἐπεὶ δ' ὑπὸ τῆς μητρὸς Κλεοπάτρας διωχθεὶς εἰς Αἴγυπτον ἀνεχώρησεν, Ἀλέξανδρος Γαδάρων τε πολιορκίᾳ κρατεῖ καὶ Ἀμαθοῦντος, ὃ δὴ μέγιστον μὲν ἦν ἔρυμα τῶν ὑπὲρ Ἰορδάνην, τὰ τιμιώτατα δὲ τῶν Θεοδώρου τοῦ Ζήνωνος κτημάτων ἦν ἐν αὐτῷ. ἐπελθὼν δ' ἐξαίφνης 87
ὁ Θεόδωρος τά τε σφέτερα καὶ τὴν τοῦ βασιλέως ἀποσκευὴν αἱρεῖ, ιῶν δ' Ἰουδαίων εἰς μυρίους κτείνει. γίνεται δ' ἐνάνω τῆς πλημμῆς Ἀλέξανδρος καὶ τραπόμενος εἰς τὴν παράλιον αἱρεῖ Γάζαν τε καὶ Ῥάφειαν καὶ Ἀνθηδόνα τὴν αὖθις ὑπὸ Ἡρώδου τοῦ βασιλέως Ἀγριππιάδα ἐπικληθεῖσαν.

3. Ἐξανδραποδισαμένῳ δὲ ταύτας ἐπανίσταται τὸ Ἰουδαϊκὸν 88
ἐν ἑορτῇ· μάλιστα γὰρ ἐν ταῖς εὐωχίαις αὐτῶν στάσις ἅπτεται. καὶ δοκεῖ μὴ ἂν κρείττων γενέσθαι τῆς ἐπιβουλῆς, εἰ μὴ τὸ ξενικὸν αὐτῷ παρεβοήθει· Πισίδαι καὶ Κίλικες ἦσαν· Σύρους γὰρ οὐκ ἐδέχετο μισθοφόρους διὰ τὴν ἔμφυτον αὐτῶν πρὸς τὸ ἔθνος ἀπέχ-
θειαν. κτείνας δὲ τῶν ἐπαναστάντων ὑπὲρ ἑξακισχιλίους Ἀραβίας 89
ἥπτετο καὶ ταύτης ἑλὼν Γαλααδίτας καὶ Μωαβίτας φόρον τε αὐτοῖς ἐπιτάξας ἀνέστρεψεν ἐπὶ Ἀμαθοῦν. Θεοδώρου δὲ πρὸς τὰς εὐ-

§ 86 = Ant. Iud. XIII 337 sq.

PAMLVNC LatHegesippus I 9 p. 12 Exc Peiresc.

1 *βασιλιῶντα* N *καταλειπόμενον* LVNC 2 *δίχα, δ* i. ras. A *εἶχεν*] finit Exc *secum habebat* Lat *εἶχεν ἐν τιμῇ* Hudson ex Ant. XIII 323 3 *δὲ* LVN *κάθουρον*, i. marg. *λάθουρον* V *lathyro* LatHeg *τὸν ἐπικληθέντα* L 4 *ἀσώχην* P¹A *ἄσωχην* P² *ἀσωχιν* L *ἀσωχην* (*η* in *ι* corr. m. 2) V *acochim* Lat 5 *τῶν*] om. PA s. M abhinc usque ad u. 8 multa repicta A *τὸν πτολεμαῖον* LVN *δὲ* LVN *ὑπὸ*] *οὗτος ὑπὸ* LVNCLat 7 *gadaram* Lat *ἀμμαθοῦντος* LN 8 *μὲν* om. C *τῶν* ex *τὸν* corr. PV *δὲ*] *τε* PAM 9 *ἐν·αὐτῷ* A *δὲ* LVN *τά τε σφέτερα*] *et proprias res recepit* Lat 10 *αἵρει* AMLVN et ex corr. P ut saepe 11 *δ'*] *τε* LVNCLat *δὲ* LVN 12 *παραλίαν* LVNC 13 *ῥαφίαν* PAL¹VN *rafaim* Lat *ῥαφίαν τε καὶ γάζαν* tr. LVNCLat *ὑφ'* C 16 *ἐν τῇ ἑορτῇ* P; cf. A. I. XIII 372 *μάλλιστα* A *ἅπτεται*] *ἔπεται*, i. marg. *γρ ἅπτεται* V 17 *δοκεῖ*] *ἐδόκει* PAMCLat probante Destinone *κρείττω* PAV *γίνεσθαι* LVNC *ἐπιβολῆς* Destinon 18 *παρεβοήθη* C¹ 19 *μισθοφοροῦσι* V 20 *τῶν*] *τὸν* N *ἑξακισχιλίους*] *ὀκτακοσίους* C *octo milibus* LatHeg 21 *καὶ Μωαβ.*] *τε καὶ Μωαβ.* C *ταύτης — Μωαβίτας*] *ibi sadamitis sub iugum missis* Lat 22 *ἀμμαθοῦν* P¹M¹L *ἀμμαθοῦντα* A et ex corr. M *ἐμαθοῦν* V *ἀμμαθοῦν* N *ἀμαθοῦντα* C *amathunta* LatHeg

πραγίας αὐτὸν καταπλαγέντος ἔρημον λαβὼν τὸ φρούριον κατέσκαψεν.

90 4. Ἔπειτα συμβαλὼν Ὀβαίδᾳ τῷ Ἀράβων βασιλεῖ προλοχίσαντι κατὰ τὴν Γαυλάνην ἐνέδρας αὐτῷ γενομένης πᾶσαν ἀποβάλλει τὴν στρατιὰν συνωσθεῖσαν κατὰ βαθείας φάραγγος καὶ πλήθει καμήλων συντριβεῖσαν. διαφυγὼν δ' αὐτὸς εἰς Ἱεροσόλυμα τῷ μεγέθει τῆς
91 συμφορᾶς πάλαι μισοῦν τὸ ἔθνος ἠρέθισεν εἰς ἐπανάστασιν. γίνεται δὲ καὶ τότε κρείττων καὶ μάχαις ἐπαλλήλοις οὐκ ἔλαττον πεντακισμυρίων Ἰουδαίων ἀνεῖλεν ἐν ἓξ ἔτεσιν· οὐ μὴν εὐφραίνετό γε ταῖς νίκαις τὴν ἑαυτοῦ βασιλείαν ἀναλίσκων· ὅθεν παυσάμενος τῶν
92 ὅπλων λόγοις ἐπεχείρει διαλύεσθαι πρὸς τοὺς ὑποτεταγμένους. οἱ δὲ μᾶλλον ἐμίσουν τὴν μετάνοιαν αὐτοῦ καὶ τοῦ τρόπου τὸ ἀνώμαλον, πυνθανομένῳ τε τὸ αἴτιον, τί ἂν ποιήσας καταστείλειεν αὐτούς, ἀποθανών, ἔλεγον· νεκρῷ γὰρ ἂν διαλλαγῆναι μόλις τῷ τοσαῦτα δράσαντι. ἅμα δὲ καὶ τὸν Ἄκαιρον ἐπικληθέντα Δημήτριον ἐπεκαλοῦντο. ῥᾳδίως δὲ ὑπακούσαντος κατ' ἐλπίδα μειζόνων καὶ μετὰ στρατιᾶς ἥκοντος συνέμισγον οἱ Ἰουδαῖοι τοῖς συμμάχοις περὶ Σίκιμα.

93 5. Λέγεται δ' ἑκατέρους Ἀλέξανδρος ἱππεῦσι μὲν χιλίοις, μισθοφόροις δὲ πεζοῖς ὀκτακισχιλίοις· παρῆν δὲ αὐτῷ καὶ τὸ εὐνοοῦν Ἰουδαϊκὸν εἰς μυρίους. τῶν δ' ἐναντίων ἱππεῖς μὲν ἦσαν τρισχίλιοι, πεζῶν δὲ μύριοι τετρακισχίλιοι. καὶ πρὶν εἰς χεῖρας ἐλθεῖν διακηρύσσοντες οἱ βασιλεῖς ἐπειρῶντο τῶν παρ' ἀλλήλοις ἀποστάσεων,

---

§ 89 = Ant. Iud. XIII 374.

PAMLVNLC Lat Hegesippus I 9 p. 12.

1 αὐτὸν] αὐτῶν V *eius* LatHeg αὐτοῦ Hudson *κατεπλαγέν* | *τος* (s. m. 2) V *καταπλαγέντα* C 3 *ὀβαῖδα* PA *ὀβέδα* M *βόνδα* LVN *ὀβώδη* C *ἔν τισιν εὕρηται βόνδα ἐπ' ἐνίοις, γροβέδα* i. marg. M *γρ καὶ ὀβόδα* i. marg. L *obeodeo* aut *obedeo* Lat *obedas* Heg *Ὀβέδαν* Ant. XIII 375 4 *γαυλήνην* V *γαυλανὴν* N et i. marg. V αὐτῶν V 5 *συνωθεῖσαν* C¹ *φάραγγος, αγ* i. ras. A 6 δὲ LVN 7 *μισῶν, ῶ* ex *ο* corr., *ν* i. ras. L *εἰρέθισεν* P¹C¹ 8 ἔλλατον V *πεντακισμυρίους ἰουδαίους* (ους in *ἰουδαίους* ex corr. V) LVNC 9 *ηὐφραίνετο* C 12 *μετάνοιαν*] *inconstantiam* Lat 13 *πυνθανομένου* LVN *τε*] δὲ ALVN *αἴτιον, τί*] codd. Lat *αἴτιον, καὶ τί* Lips.; *τὸ αἴτιον* ex litt. *τετιαν* ortum et spurium esse putat Destinon *καταστείλαιεν* P 14 *μόγις* LVN 15 *τοιαῦτα* M *multa* Lat *Ἄκαιρον*] *Εὔκαιρον* Spanheim 16 δ' C 17 *συνέσμιγον* N *συμάχοις* C 18 *σίκημα* PA 19 δὲ LVN *χιλίους μισθοφόρους πεζοὺς ὀκτακισχιλίους* C¹ 20 δὲ om. C *πεζοῖς δὲ* tr. LVN *ὀκτακισχιλίοις*] *sex milibus* (ut Ant. XIII 377) LatHeg *εὐνοῦν* C 21 δὲ LVN *τρισχίλιοι*] LVCLatHeg et i. marg. M cum Ant. XIII 377 *ῥ* P *ἑκατὸν* AM 22 *πεζοὶ* Bekker *πεζὸν* Destinon *μύριοι τετρακισχίλιοι*] *milia quadraginta* (ut Ant. XIII 377) LatHeg *πρὶν*] *πρὶν μὲν* LVRN

Δημήτριος μὲν τοὺς Ἀλεξάνδρου μισθοφόρους, Ἀλέξανδρος δὲ τοὺς ἅμα Δημητρίῳ Ἰουδαίους μεταπείσειν ἐλπίσας. ὡς δ' οὔτε Ἰουδαῖοι 94
θυμῶν οὔτε οἱ Ἕλληνες ἐπαύσαντο λίσιτεως, διεκρίνοντο ἤδη τοῖς ὅπλοις συμπεσόντες. κρατεῖ δὲ τῇ μάχῃ Δημήτριος καίτοι πολλὰ 95
τῶν Ἀλεξάνδρου μισθοφόρων καὶ ψυχῆς ἔργα καὶ χειρὸς ἐπιδειξαμένων. χωρεῖ δὲ τὸ τέλος τῆς παρατάξεως παρὰ δόξαν ἀμφοτέροις· οὔτε γὰρ Δημητρίῳ παρέμειναν νικῶντι οἱ καλέσαντες, καὶ κατὰ οἶκτον τῆς μεταβολῆς Ἀλεξάνδρῳ προσεχώρησαν εἰς τὰ ὄρη καταφυγόντι Ἰουδαίων ἑξακισχίλιοι. ταύτην τὴν ῥοπὴν οὐκ ἤνεγκεν
Δημήτριος, ἀλλ' ἐπολαβὼν ἤδη μὲν ἀξιόμαχον εἶναι πάλιν Ἀλέξανδρον, μεταρρεῖν δὲ καὶ πᾶν τὸ ἔθνος εἰς αὐτόν, ἀνεχώρησεν.

6. Οὐ μὴν τό γε λοιπὸν πλῆθος ὑποχωρισάντων τῶν συμμάχων κατέθεντο τὰς διαφοράς, συνεχὴς δὲ πρὸς Ἀλέξανδρον ἦν 96
αὐτοῖς ὁ πόλεμος, μέχρι πλείστους ἀποκτείνας τοὺς λοιποὺς ἀπήλασεν εἰς Βεμέσελιν πόλιν καὶ ταύτην καταστρεψάμενος αἰχμαλώτους ἀνήγαγεν εἰς Ἱεροσόλυμα. προύκοψεν δὲ αὐτῷ δι' ὑπερ- 97
βολὴν ὀργῆς εἰς ἀσέβειαν τὸ τῆς ὠμότητος· τῶν γὰρ ληφθέντων ὀκτακοσίους ἀνεσταύρωσας ἐν μέσῃ τῇ πόλει γυναῖκάς τε καὶ τέκνα αὐτῶν ἀπέσφαξεν ταῖς ὄψεσι· καὶ ταῦτα πίνων καὶ συγκατακείμενος
ταῖς παλλακίσιν ἀφεώρα. τοσαύτη δὲ κατάπληξις ἔσχεν τὸν δῆμον, 98
ὥστε τῶν ἀντιστασιαστῶν κατὰ τὴν ἐπιοῦσαν νύκτα φυγεῖν ὀκτακισχιλίους ἔξω Ἰουδαίας ὅλης, οἷς ὅρος τῆς φυγῆς ὁ Ἀλεξάνδρου

§ 93 = Ant. Iud. XIII 378.

PAMLVRNC Lat Hegesippus I 10 p. 14.

1 *Δημήτριος*] incipit R 2 *Ἰουδαίους* s. P *ἐλπίσας*] *sperantes* Lat *δὲ* LVRN *οὔτε*] *οὔτε οἱ* LVRNC 3 *θυμῶν*] C et i. marg. V *ὅρκων* PAMLat *εὐθύμουν* LVRN *ὀργῶν* Destinon *οὔθ'* C *οἱ* om. V *ἐπαύοντο* LVRNC *contemnerent* Lat *ἤδη*] *δὴ* Destinon 4 *καίτοι*] *καίπερ* ALVRNC *τῶν* V 6 *παρὰ δόξαν*] *παράδοξον* LRN 7 *παρέμειναν* V[1] *exspectare uoluerunt* Lat *κατ'* C 10 *ἀλλ'* — *Ἀλέξανδρον*] *sed alexandrum iam quidem collectis uiribus bello idoneum esse ratus* Lat *μὲν* om. M *πάλιν* om. M et ut uid. Lat 11 *καὶ*] *κἂν* Destinon *ἀνεχώρησεν*] *mox inde digressus est* Lat huc usque collatus N 12 *ἀναχωρησάντων* LVR 13 *συνεχεῖς* C 15 *βεμεσέλην* PAM[1] *βεμεσσελὶν* LR *μεσσελὶν* V *βεμέσελιν* M[2]C et i. marg. V *messelim* Lat *bemeselel* ut uid. Heg *Βαιθομμει* A. I. XIII 380 16 *δ'* C 17 *τὸ*] om. C *τὰ* V 18 *εἰσ ὀκτακοσίους* C *ἀναστανρώσας, ἀνα* corr. ex *ἅμα* L *τέκνα*] *τὰ τέκνα* AM 19 *ἀπέσφαξεν*] *κατέσφαξε* LVR *ἀπέσφαξεν ἐν* Herwerden *ταῖς ὄψεσι*] *in conspectu matrum* Lat *ὄψεσιν* C 20 *παλακίσιν* C *ἀφεωρᾶτο* L[1]VRC 21 *ὥστε*] *ὡσ* V *ἀντιστασιωτῶν* LVR *φεύγειν* LR 22 *ἔξω*] *ἐξ* VC *extra* Lat

θάνατος κατέστη. τοιούτοις ἔργοις ὀψὲ καὶ μόλις ἡσυχίαν τῇ βασι-
λείᾳ πορίσας ἀνεπαύσατο τῶν ὅπλων.

99 7. *Γίνεται δὲ πάλιν ἀρχὴ θορύβων Ἀντίοχος ὁ καὶ Διόνυσος*
ἐπικληθείς, Δημητρίου μὲν ἀδελφὸς ὤν, τελευταῖος δὲ τῶν ἀπὸ
Σελεύκου· τοῦτον γὰρ δείσας στρατεύεσθαι ἐπὶ τοὺς Ἄραβας ὡρμη- 5
μένον τὸ μὲν μεταξὺ τῆς ὑπὲρ Ἀντιπατρίδος παρωρείου καὶ τῶν
Ἰόππης αἰγιαλῶν διαταφρεύει φάραγγι βαθείᾳ, πρὸ δὲ τῆς τάφρου
τεῖχος ἤγειρεν ὑψηλὸν καὶ ξυλίνους πύργους ἐτεκτήνατο τὰς εὐμαρεῖς
100 *ἐμβολὰς ἀποφράττων. οὐ μὴν εἶρξαί γε τὸν Ἀντίοχον ἴσχυσεν·*
ἐμπρήσας γὰρ τοὺς πύργους καὶ τὴν τάφρον χώσας διήλαυνε μετὰ 10
τῆς δυνάμεως. θέμενος δὲ ἐν δευτέρῳ τὴν πρὸς τὸν κωλύσαντα
101 *ἄμυναν εὐθὺς ἐπὶ τοὺς Ἄραβας ἦει. τῶν δὲ ὁ βασιλεὺς ἀναχωρῶν*
εἰς τὰ χρησιμώτερα τῆς χώρας πρὸς τὴν μάχην, ἔπειτα τὴν ἵππον
ἐξαίφνης ἐπιστρέψας, μυρία δ' ἦν τὸν ἀριθμόν, ἀτάκτοις ἐπι-
πίπτει τοῖς περὶ τὸν Ἀντίοχον. καρτερᾶς δὲ μάχης γενομένης ἕως 15
μὲν περιῆν Ἀντίοχος ἀντεῖχεν ἡ δύναμις αὐτοῦ καίπερ ἀνέδην ὑπὸ
102 *τῶν Ἀράβων φονευόμενοι· πεσόντος δέ, καὶ γὰρ προεκινδύνευεν*
ἀεὶ τοῖς ἡττωμένοις παραβοηθῶν, ἐγκλίνουσιν πάντες, καὶ τὸ μὲν
πλεῖστον αὐτῶν ἐπί τε τῆς παρατάξεως κἀν τῇ φυγῇ διαφθείρεται,
τοὺς δὲ λοιποὺς καταφυγόντας εἰς Κανὰ κώμην στάνει τῶν ἐπι- 20
τηδείων ἀναλωθῆναι συνέβη πλὴν ὀλίγων ἅπαντας.

---

§ 99 = Ant. Iud. XIII 387 sq.

PAMLVRCLatHegesippus I 11 p. 15.

1 *τοιούτοις*] PAMLLat *τέλοσ τοιούτοισ* VRC *τέλος δὲ τοιούτοις* Hauerkamp *ἡσυχίαν τῇ βασιλείᾳ*] *otium regnumque* Lat 3 *δ'* AMC *πάλιν*] *αὐτῶ πάλιν* AMLVRCLat *ἀρχὴι* V *καὶ* s. V *Διόνυσος*] Bernard *διονύσιοσ* codd.LatHeg, cf. Ant. Iud. XIII 387 5 *δείσας*] *δήσασ* V^1R^1 6 *τὸ μὲν* — 7 *αἰγιαλῶν*] *totum quidem super antipatrida montibus proximum et inter iopes littora spatium* Lat *inter urbem antipatridem et ioppes littora* Heg *τὸ*] *τὸν* V^1 *ὑπὲρ* om. LVRC *ἀντι··πατρίδοσ* R *παρορείου* ex corr. A *παρορίου* MLVRC *τὸν* PA 7 *αἰγιαλὸν* PA *προ·* (eras *σ*) V 8 *ἐτεκτήνατο*] PAM et ut uid. Lat *ἐνετεκτήνατο* LVR *ἐνεκτήνατο* C 9 *εἶρξαί*] *εἶρξέ* P^1A 11 *δὲ*] om. A *δ'* VC *que* Lat *κωλύσοντα* V 12 *δ'* C *ἀναχωρῶν*] *ἀναχωρήσασ ἦν* LVR *ἀναχωρῶν — μάχην*] *in locis suae nationis commodioribus agens ad pugnam* Lat 13 *χώρασ*] *χώρασ ἦν* ex corr. M *τὴν* — 14 *ἐπιστρέψασ*] *ioppam cum equitatu reuersus* Lat 14 *ἐξαίφνησ* ante *ἐπιπίπτει* tr. Lat *δὲ* LVR *ἦν*] *ἦσαν* V *ἀτάκτωσ* (*ἀτάκτωσ* *οισ* L) *περιπίπτει* LVR 16 *ἀντεῖχεν*] *durabat* Lat *ἀνἐίδην* L *ἀναίδην* R 17 *πεσόντος δὲ* s. P 18 *ἡττομένοισ* M *ἐγκλίνουσιν*] Bekker *ἐκκλίνουσι* (*-σιν* P^1) codd 19 *κἀν τῇ φυγῇ*] *καὶ τῇ φυγῇ* PAM *καὶ τῆσ φυγῆσ* LR *καὶ φυγῆσ* V *in fuga* Lat 20 *καταφυγόντεσ* V^1 *Κανὰ*] *ἀνὰν* PAM *ἄνα* L *anna* (accus.) Lat *annana* Heg *εὕρηται καὶ κανᾶ καὶ γράννα* i. marg. M, cf. A. I. XIII 391 21 *ἅπαντας* om. Lat

8. Ἐκ τούτου Λαμασκηνοὶ διὰ τὸ πρὸς Πτολεμαῖον τὸν Μεν- 103
ναίου μῖσος Ἀρέταν ἐπάγονται καὶ καθιστῶσιν κοίλης Συρίας βασιλέα. στρατεύεται δ' οὗτος ἐπὶ τὴν Ἰουδαίαν καὶ μάχῃ νικήσας Ἀλέξανδρον κατὰ συνθήκας ἀνεχώρησεν. Ἀλέξανδρος δὲ Πέλλαν ἑλὼν ἐπὶ 104
Γέρασαν ἦλθεν πάλιν τῶν Θεοδώρου κτημάτων γλιχόμενος, καὶ τρισὶ τοὺς φρουροὺς περιβόλοις ἀποτειχίσας διὰ μάχης τὸ χωρίον παραλαμβάνει. καταστρέφεται δὲ καὶ Γαυλάνην καὶ Σελεύκειαν καὶ τὴν 105
Ἀντιόχου φάραγγα καλουμένην, πρὸς οἷς Γάμαλα φρούριον καρτερὸν ἑλών, τὸν ἄρχοντα Δημήτριον ἐν αὐτῷ παραλύσας ἐκ πολλῶν ἐγκλημάτων ἐπάνεισιν εἰς Ἰουδαίαν, τρία πληρώσας ἔτη τῆς στρατείας. ἀσμένως δ' ὑπὸ τοῦ ἔθνους ἐδέχθη διὰ τὴν εὐπραγίαν, καὶ λαμβάνει τὴν ἀνάπαυσιν τοῦ πολεμεῖν ἀρχὴν νόσου. τεταρταίαις δὲ 106
περιόδοις πυρετῶν ἐνοχλούμενος ᾠήθη διακρούσεσθαι τὴν νόσον πάλιν ἁψάμενος πραγμάτων. διὸ δὴ στρατείαις ἀκαίροις ἑαυτὸν ἐπιδιδοὺς καὶ βιαζόμενος παρὰ δύναμιν τὸ σῶμα πρὸς τὰς ἐνεργείας ἀπήλλαξεν. τελευτᾷ γοῦν ἐν μέσοις τοῖς θορύβοις στρεφόμενος βασιλεύσας ἑπτὰ πρὸς τοῖς εἴκοσιν ἔτη.

V. 1. Καταλείπει δὲ τὴν βασιλείαν Ἀλεξάνδρᾳ τῇ γυναικὶ 107
πεπεισμένος ταύτῃ μάλιστ' ἂν ὑπακοῦσαι τοὺς Ἰουδαίους, ἐπειδὴ τῆς ὠμότητος αὐτοῦ μακρὰν ἀποδέουσα καὶ ταῖς παρανομίαις

---

§ 103 = Ant. Iud. XIII 392.

PAMLVRC Lat Hegesippus I 12 p. 15.

1 τὸ] τὸ · C *μινναίου* MC *menneae* Lat 3 δὲ LVRC 4 *Πέλλαν*] *πάλιν, α* et *ι* i. ras. m. 2 V *bello* Lat 5 *Γέρασαν*] *geras* Lat *Ἔσσαν* Antiq. *πάλιν*] PALRLatHeg *πόλιν* (*ο* ex *α* corr. uid. M) MVC *πάλαι* Niese *τῶν*] *τῶν δὲ* C 6 *περιβόλοις τοῖσ φρουροῖσ* tr. P *διὰ μάχης*] *ἀμαχὶ* A. I. XIII 393, unde *δίχα μάχης* Destinon 7 *Γαυλάνην*] *gaulenen* Lat *καὶ* (ante *τὴν*) s. A 8 *γάμαλαν* PAMHeg 9 *τὸν*] *τόν τε* Destinon *παραλύσας*] *περιλύσασ* PM *α α*
περιλύσασ A *περιυύσασ* LVRC[1] *περιδήσασ* C[2] (*criminibus*) *inuoluto* Lat 10 *τὴν Ἰουδαίαν* LVR *στρατιᾶσ* PAVRC *τρία — στρατείας*] *expleto in militia triennio* Lat 11 *δὲ* LVR *προσεδέχθη* C *καὶ — 12 νόσου*] *parta bellandi quies exordium tribuit aegritudinis* Heg 12 *λαμβάνει*] *secutum est* Lat *καταλαμβάνει* Destinon, cui infra *ἀρχὴ* magis placuit *πολεμεῖν* ex *πολέμου* corr. P *ἀρχὴν, ν* eras. uid. L *ἀρχὴ* PAMVRLat 13 *περιόδοισ, ο* ante *ι* i. ras. m. 2 V *διακρούσεσθαι*] Bekker *διακρούσασθαι* codd. *depulsum iri* Lat *νόσον*] *ἀρρωστίαν* LVR 14 *πραγμάτων ἁψάμενοσ* tr. P *στρατιᾶσ* PA *δι*
στρατίαισ RC 15 *ἐπιδοὺσ* L *ἐπιδοὺσ* VR 16 *ἀπήλλαξεν — γοῦν*] *moritur* Lat *ἀναστρεφόμενοσ* V 17 *ἑπτὰ*] *sex* Heg *εἴκοσι* P[1]L *triginta* Lat *ἔτη*] *ἔτι* C[1] 18 i. marg. *ια'* V 19 *μάλιστ' ἂν*] *μάλιστα* P *μάλιστα νῦν* LVRC *ὑ*
ἐπακοῦσαι L *ἐπακοῦσαι* V 20 *ἀποδέουσαν* V[1]

108 ἀνθισταμένη τὸν δῆμον εἰς εὔνοιαν προσηγάγετο. καὶ οὐ διήμαρτεν
τῆς ἐλπίδος· ἐκράτησεν γὰρ τῆς ἀρχῆς τὸ γύναιον διὰ δόξαν εὐσε-
βείας· ἠκρίβου γὰρ δὴ μάλιστα τοῦ νόμου τὰ πάτρια καὶ τοὺς
109 πλημμελοῦντας εἰς τοὺς ἱεροὺς νόμους ἐξ ἀρχῆς προεβάλλετο. δύο
δ' αὐτῇ παίδων ὄντων ἐξ Ἀλεξάνδρου τὸν μὲν πρεσβύτερον Ὑρκα-
νὸν διά τε τὴν ἡλικίαν ἀποδείκνυσιν ἀρχιερέα καὶ ἄλλως ὄντα
νωθέστερον ἢ ὥστε ἐνοχλεῖν περὶ τῶν ὅλων, τὸν δὲ νεώτερον Ἀρι-
στόβουλον διὰ θερμότητα κατεῖχεν ἰδιώτην.

110 2. Παραφύονται δὲ αὐτῆς εἰς τὴν ἐξουσίαν Φαρισαῖοι, σύν-
ταγμά τι Ἰουδαίων δοκοῦν εὐσεβέστερον εἶναι τῶν ἄλλων καὶ τοὺς
111 νόμους ἀκριβέστερον ἀφηγεῖσθαι. τούτοις περισσὸν δή τι προσεῖχεν
ἡ Ἀλεξάνδρα σεσοβημένη περὶ τὸ θεῖον. οἱ δὲ τὴν ἀπλότητα τῆς
ἀνθρώπου κατὰ μικρὸν ὑπιόντες ἤδη καὶ διοικηταὶ τῶν ὅλων ἐγί-
νοντο διώκειν τε καὶ κατάγειν οὓς ἐθέλοιεν, λύειν τε καὶ δεσμεῖν.
καθόλου δὲ αἱ μὲν ἀπολαύσεις τῶν βασιλείων ἐκείνων ἦσαν, τὰ δ'
112 ἀναλώματα καὶ αἱ δυσχέρειαι τῆς Ἀλεξάνδρας. δεινὴ δ' ἦν τὰ
μείζω διοικεῖν, δύναμίν τε ἀεὶ συγκροτοῦσα διπλασίονα κατέστησεν
καὶ ξενικὴν συνήγαγεν οὐκ ὀλίγην, ὡς μὴ μόνον κρατύνεσθαι τὸ
οἰκεῖον ἔθνος, φοβερὰν δὲ καὶ τοῖς ἔξωθεν εἶναι δυνάσταις. ἐκράτει
δὲ τῶν μὲν ἄλλων αὐτή, Φαρισαῖοι δ' αὐτῆς.

113 3. Διογένην γοῦν τινα τῶν ἐντίμων φίλον Ἀλεξάνδρῳ γεγενη-
μένον κτείνουσιν αὐτοὶ σύμβουλον ἐγκαλοῦντες γεγονέναι περὶ τῶν

---

§ 108 = Ant. Iud. XIII 405.

PAMLVRC Lat Hegesippus I 12 p. 16.

1 *ἐνισταμένη* LVR *resistens* Lat προ̄ηγάγετο A *προηγάγετο* M fort. recte 3 *ἠκρίβου — πάτρια*] *morem gentis patrium probe nouerat* Lat *νόμου*] ἔθνους (corr. ex *νόμου* M) MLVRC Lat *τοῦ ἔθνους μάλιστα* tr. C 4 *προεβάλλετο*] *προεβάλετο* R *ἀπεβάλλετο* VC et ex corr. M 5 *δὲ* LVR *μὲν* om. C 6 *ἀποδείκνυσιν*] *αὐτοῦ δείκνυσιν* LVR *ἀποδείκνυσιν ἀρχιερέα*] *et declarat pontificem — et — regem constituit* Lat 7 *νοθέστερον* R 9 *αὐτῆς*] PAM Lat *αὐτῇ* LVRC 10 *τοὺ · νόμου ·* (bis eras. *σ*) L 11 *ἀφηγεῖσθαι* ex *ἀφηγήσασθαι* corr. C 12 *σεσοβημένη*] *σεβομένη* codd. *εὕρηται καὶ σεσοβημένη περὶ* i. marg. M *σεσοβημένη — θεῖον*] *diuinae religioni superstitiose inseruiens* Lat *πέρι* MC *τὴν*] *περὶ τὴν* M 13 *ἐγίγνοντο* LVR 14 *δεσμεῖν*] *δεῖν* LVRC *regiis commodis* Lat 15 *δ'* C *ἀπολαύσει* R *τῶν βασιλείων*] *τῆσ βασιλείασ* LVRC *regiis commodis* Lat *δὲ* LVR 16 *δὲ* LVR 17 *δύναμίν*] *manum de suis* Heg *δύναμίν τε*] *δύναμιν δὲ* LVR *itaque exercitum* Lat *καὶ οἰκείαν δύν.* uel *δύναμιν δὴ ἰδίαν* Destinon; cf. Ant. XIII 409 *συγκροτοῦσαν* V 18 *ξενικὸν σ. οὐκ ὀλίγον* Niese *κρατύνασθαι* LVRC 19 *φοβερὰν δὲ καὶ*] *ἀλλὰ καὶ φοβερὰν* LVR *φερὰν δὲ καὶ* C¹ 20 *αὐτῆ* P¹A *αὕτη* Destinon *δὲ* LVR 21 *φίλον* habuisse uid. Heg *ἀλεξάνδρου* C 22 *αὐτοὶ*] *αὐτόν, ὁν* ex *ᾗ* aut *ἣν* corr. m. 2 V *οὗτοι* Destinon

ἀνασταυρωθέντων ὑπὸ τοῦ βασιλέως ὀκτακοσίων. ἐνῆγον δὲ τὴν
Ἀλεξάνδραν εἰς τὸ καὶ τοὺς ἄλλους διαχειρίσασθαι τῶν παροξυνάν-
των ἐπ' ἐκείνους τὸν Ἀλέξανδρον· ἐνδιδούσης δ' ὑπὸ δεισιδαιμο-
νίας ἀνῄρουν οὓς ἐθέλοιεν αὐτοί. προσφεύγουσι δὲ Ἀριστοβούλῳ 114
τῶν κινδυνευόντων οἱ προύχειν δοκοῦντες, κἀκεῖνος πείθει τὴν
μητέρα φείσασθαι μὲν διὰ τὸ ἀξίωμα τῶν ἀνδρῶν, ἐκπέμψαι δ'
αὐτούς, εἰ μὴ καθαροὺς ὑπείληφεν, ἐκ τῆς πόλεως. οἱ μὲν οὖν
δοθείσης ἀδείας ἐσκεδάσθησαν ἀνὰ τὴν χώραν· Ἀλεξάνδρα δὲ ἐκ- 115
πέμψασα ἐπὶ Δαμασκὸν στρατιάν, πρόφασις δ' ἦν Πτολεμαῖος ἀεὶ
θλίβων τὴν λύλιν, ταύτην μὲν ὑπεδέξατο μηθὲν ἀξιόλογον ἐργασα-
μένην. Τιγράνην δὲ τὸν Ἀρμενίων βασιλέα προσκαθεζόμενον Πτο- 116
λεμαΐδι καὶ πολιορκοῦντα Κλεοπάτραν συνθήκαις καὶ δώροις ὑπη-
γάγετο. φθάνει δ' ἐκεῖνος ἀναναστὰς διὰ τὰς οἴκοι ταραχὰς ἐμ-
βεβληκότος εἰς τὴν Ἀρμενίαν Λευκόλλου.

4. Κἀν τούτῳ νοσούσης Ἀλεξάνδρας ὁ νεώτερος τῶν παίδων 117
Ἀριστόβουλος τὸν καιρὸν ἁρπάσας μετὰ τῶν οἰκετῶν, εἶχεν δὲ
πολλοὺς καὶ πάντας εὐνους διὰ τὴν θερμότητα, κρατεῖ μὲν τῶν
ἑρυμάτων ἁπάντων, τοῖς δ' ἐκ τούτων χρήμασιν μισθοφόρους
ἀθροίσας ἑαυτὸν ἀποδείκνυσι βασιλέα. πρὸς ταῦτα ὀδυρόμενον τὸν 118
Ὑρκανὸν ἡ μήτηρ οἰκτείρασα τήν τε γυναῖκα καὶ τοὺς παῖδας Ἀρι-
στοβούλου καθείργνυσιν εἰς τὴν Ἀντωνίαν· φρούριον δ' ἦν τῷ
βορείῳ κλίματι τοῦ ἱεροῦ προσκείμενον, πάλαι μέν, ὡς ἔφην, βᾶρις
ὀνομαζόμενον, αὖθις δὲ ταύτης τυχὸν τῆς προσηγορίας ἐπικρατή-
σαντος Ἀντωνίου, καθάπερ ἀπό τε τοῦ Σεβαστοῦ καὶ Ἀγρίππα
Σεβαστὴ καὶ Ἀγριππιὰς πόλεις ἐπωνομάσθησαν. πρὶν δὲ ἐπεξ- 119

§ 113 = Ant. Iud. XIII 411.

PAMLVRCLatHegesippus I 12 p. 17.

1 δὲ] *δὲ καὶ* M *nihilominus autem* Lat *τοὺς* damnat Destinon 2 *διαχειρίσασθαι*] *διαχρήσασθαι* LR et i. marg. V 3 δὲ LVR 4 *ἀνῄρουν*] *ea specie trucidabant* Lat 6 *ἐκπέμψαι, αι* ex corr. m. 2 C *δὲ* LVR 7 *καθαροὺς* C¹ 9 *δὲ ἦν* LVR 10 *ἀπεδέξατο* LVR *illam* (h. e. *Damascum*) — *suscepit* Lat *μηθ' ἓν* A *μηδὲν* LVRC *εἰργασμένην* LR *εἰργασ·μένην* V 11 *τὸν*] *τῶν* PALRC¹ 13 *δὲ* LVR *ἐπαναστὰς* L *ἐμβεβληκότες* V 14 *λευκούλλου* LVR 16 *τὸν καιρὸν ἁρπάσας* om. Lat, habet Heg *οἰκετῶν*, *ε s. A οἰκείων* Herwerden 17 *τῶν* — 18 *ἁπάντων*] *πάντων τῶν ἑρυμάτων* LVR 18 *δὲ* LVR 20 *παῖδας*] *παῖδασ τουὸσ* LVR 21 *τὴν* om. LR *δὲ* LVR 22 *τοῦ, οῦ* ex *ω* corr. C 23 *τυχὸν*] *τυχὼν* PVL¹ et ex corr. C 24 *ἀγριππία* ex corr. L 25 *πόλεις*] *πόλεισ ἕτεραι* ALVRCLat *μετωνομάσθησαν* LVRC *appellatae sunt* Lat i. marg. *ιβ'* V *δ'* C

ελθεῖν Ἀλεξάνδρα τὸν Ἀριστόβουλον τῆς τἀδελφοῦ καταλύσεως τελευτᾷ διοικήσασα τὴν ἀρχὴν ἔτεσιν ἐννέα.

120 VI. 1. Καὶ κληρονόμος μὲν ἦν τῶν ὅλων Ὑρκανός, ᾧ καὶ ζῶσα τὴν βασιλείαν ἐνεχείρισεν, δυνάμει δὲ καὶ φρονήματι προεῖχεν ὁ Ἀριστόβουλος. γενομένης δὲ αὐτοῖς περὶ τῶν ὅλων συμβολῆς περὶ Ἱεριχοῦντα καταλιπόντες οἱ πολλοὶ τὸν Ὑρκανὸν μεταβαίνουσιν πρὸς
121 τὸν Ἀριστόβουλον. ὁ δὲ μετὰ τῶν συμμεινάντων φθάνει συμφυγὼν ἐπὶ τὴν Ἀντωνίαν καὶ κυριεύσας τῶν πρὸς σωτηρίαν ὁμήρων· ταῦτα δ' ἦν ἡ Ἀριστοβούλου γυνὴ μετὰ τῶν τέκνων. ἀμέλει πρὶν ἀνηκέστου πάθους διελύθησαν, ὥστε βασιλεύειν μὲν Ἀριστόβουλον, Ὑρκανὸν δὲ ἑκστάντα τῆς ἄλλης ἀπολαύειν τιμῆς ὥσπερ ἀδελφὸν
122 βασιλέως. ἐπὶ τούτοις διαλλαγέντες ἐν τῷ ἱερῷ καὶ τοῦ λαοῦ περιεστῶτος φιλοφρόνως ἀλλήλους ἀσπασάμενοι διήμειψαν τὰς οἰκίας· Ἀριστόβουλος μὲν γὰρ εἰς τὰ βασίλεια, Ὑρκανὸς δὲ ἀνεχώρησεν εἰς τὴν Ἀριστοβούλου οἰκίαν.

123 2. Λέος δὲ τοῖς τε ἄλλοις τῶν Ἀριστοβούλου διαφόρων ἐμπίπτει παρ' ἐλπίδα κρατήσαντος καὶ μάλιστα Ἀντιπάτρῳ πάλαι διαμισουμένῳ. γένος δ' ἦν Ἰδουμαῖος προγόνων τε ἕνεκα καὶ πλούτου καὶ
124 τῆς ἄλλης ἰσχύος πρωτεύων τοῦ ἔθνους. οὗτος ἅμα καὶ τὸν Ὑρκανὸν Ἀρέτᾳ προσφυγόντα τῷ βασιλεῖ τῆς Ἀραβίας ἀνακτήσασθαι τὴν βασιλείαν ἔπειθεν καὶ τὸν Ἀρέταν δέξασθαί τε τὸν Ὑρκανὸν καὶ καταγαγεῖν ἐπὶ τὴν ἀρχήν. πολλὰ μὲν τὸν Ἀριστόβουλον εἰς τὸ ἦθος διαβάλλων, πολλὰ δ' ἐπαινῶν τὸν Ὑρκανὸν [παρῆνει δέξασθαι], καὶ ὡς πρέπον εἴη τὸν οὕτω λαμπρᾶς προεστῶτα βασιλείας ὑπερέχειν χεῖρα τῷ ἀδικουμένῳ· ἀδικεῖσθαι δὲ τὸν Ὑρκανὸν

§ 120 = Ant. Iud. XIV 4.

PAMLVRC Lat Hegesippus I 13 p. 18.

1 *ἀλεξάνδραν* LVR *τὸν* om. C *τῆς, τ* i. ras. 2 litt., *η* ex *ι* corr. uid. P *τοῦ ἀδελφοῦ* (του i. ras. 2 litt. P) PLVR 2 *ἐνέα* L *θ'* A 4 *φρονήματι·* V 5 *γενομένοις* L *συμβο·λῆς* C 6 *καταλ·ιπόντες* A *καταλιπόντες, ι* i. ras. maiore L *πολλοὶ*] *πλεῖστοι* LVRC 7 *τῶν συμμεινάντων*] *reliquis* Lat *συμφυγὼν* P 9 *δὲ* LVR 10 *διελύθη* uertit Lat *μὲν* om. LR 11 *δ'* L *τῆς* om. C *ἄλλης*] codd. Lat *ἀρχῆς* Destinon *ὥσπερ*] *ὡς παρ'* VR et ut uid. Heg *ἦσπερ* Destinon *ἀδελφὸν* ex *ἀδελφοῦ* corr. L *ἀδελφοῦ* VR et ut uid. Heg 13 *ἀλλήλοις* M *ἀσπα··σάμενοι* C 14 *δ'* C 16 *τοῖς τε ἄλλοις τῶν Ἀριστοβούλου διαφόρων*] *τοῖσ ἀριστοβούλου διαφόροισ* PAMC *et alios eius inimicos* Lat 18 *δὲ* LVR *Ἰδουμαῖος*] *ἰουδαῖοσ* C *τε*] *δὲ* PAM 19 *οὗτος*] *ὁ αὐτὸσ δὲ* LVR *is* Lat 20 *ἀνακτήσασθαι*] *(ut) eius auxilio — repeteret* Lat 22 *ἐπὶ, ε* ex *ει* corr. uid. M 23 *δὲ* LVR *παρῆνει δέξασθαι* seclusit Bekker *παρῆνει δέξασθαι καὶ*] *simulque admonebat* Lat *δέχεσθαι* LVR 24 *παρεστῶτα* C 25 *ὑπερέχειν*] *porrigere* Lat *τοῖσ ἀδικουμένοισ* MLVR *iniquitate oppressis* Lat *τῶν ἀδικουμένων* Destinon *τὸν* om. LVRC

στερηθέντα τῆς κατὰ τὸ προσβεῖον αὐτῷ προσηκούσης ἀρχῆς. προ- 125
καταασκευάσας δὲ ἀμφοτέρους, νύκτωρ ἀναλαβὼν τὸν Ὑρκανὸν ἀπὸ
τῆς πόλεως ἀποδιδράσκει καὶ συντόνῳ φυγῇ χρώμενος εἰς τὴν κα-
λουμένην Πέτραν διασώζεται· βασίλειον αὕτη τῆς Ἀραβίας ἐστίν.
ἔνθα τῷ Ἀρέτᾳ τὸν Ὑρκανὸν ἐγχειρίσας καὶ πολλὰ μὲν καθομι- 126
λήσας, πολλοῖς δὲ δώροις ὑπελθὼν δοῦναι δύναμιν αὐτῷ πείθει
τὴν κατάξουσαν αὐτόν· ἦν δ' αὕτη πεζῶν τε καὶ ἱππέων πέντε
μυριάδες, πρὸς ἣν οὐκ ἀντέσχεν Ἀριστόβουλος, ἀλλ' ἐν τῇ πρώτῃ
συμβολῇ λειφθεὶς εἰς Ἱεροσόλυμα συνελαύνεται. κἂν ἔφθη κατὰ 127
κράτος λιφθείς, εἰ μὴ Σκαῦρος ὁ Ῥωμαίων στρατηγὸς ἐπαναστὰς
αὐτῶν τοῖς καιροῖς ἔλυσε τὴν πολιορκίαν· ὃς ἐπέμφθη μὲν εἰς
Συρίαν ἀπὸ Ἀρμενίας ὑπὸ Πομπηίου Μάγνου πολεμοῦντος πρὸς
Τιγράνην, παραγενόμενος δὲ εἰς Δαμασκὸν ἐαλωκυῖαν προσφάτως
ὑπὸ Μετέλλου καὶ Ἀολλίου καὶ τούτους μεταστήσας, ἐπειδὴ τὰ
κατὰ τὴν Ἰουδαίαν ἐπύθετο, καθάπερ ἐφ' Ἕρμαιον ἠπείχθη.

3. Παρελθόντος γοῦν εἰς τὴν χώραν πρέσβεις εὐθέως ἦκον 128
παρὰ τῶν ἀδελφῶν ἑκατέρου δεομένου βοηθεῖν αὐτῷ. γίνεται δ'
ἐπίπροσθεν τοῦ δικαίου τὰ παρὰ Ἀριστοβούλου τριακόσια τάλαντα·
τοσοῦτον γὰρ λαβὼν Σκαῦρος ἐπικηρυκεύεται πρός τε Ὑρκανὸν καὶ
τοὺς Ἄραβας ἀπειλῶν Ῥωμαίους καὶ Πομπήιον, εἰ μὴ λύσειαν τὴν
πολιορκίαν. ἀνεχώρει δὲ ἐκ τῆς Ἰουδαίας εἰς Φιλαδέλφειαν Ἀρέ- 129
τας καταπλαγείς, καὶ πάλιν εἰς Δαμασκὸν Σκαῦρος. Ἀριστοβούλῳ 130
δ' οὐκ ἀπέχρησεν τὸ μὴ ἁλῶναι, πᾶσαν δὲ τὴν δύναμιν ἐπισυλλέξας

---

§ 125 = Ant. Iud. XIV 16.

PAMLVRC Lat Hegesippus I 13 p. 19.

1 τὸ om. LVRC προσηκούσης, κούσης i. ras. m. 2 C ἀρχῆς] τιμῆς, i. marg. ἀρχῆς V 2 τὸν] s. L om. VR ἀπὸ] ἐκ LVR, om. C 3 ἀποδι-
δράσκει καὶ om. M καὶ om. PA 5 τῷ Ἀρέτᾳ] εἰ Lat ἀρέτα· C ἐγχειρίσας, γ i. ras. A 6 αὐτῷ · (eras. uid. ι) P 7 δὲ LVR 8 μυριάδας ut uid. C¹
ἀντέσχεν LR 9 λειφθεὶς] ληφθεὶσ V *superatus* Lat litt. εἰς — 10 στρατη | i. ras. 44 litt. (unius uersus) P κἂν s. m. 2 R 10 ληφθείς] λειφθεὶσ P
captus Lat litt. γος ἐπαναστὰς αὐτῶν s. P 11 αὐτῶν] αὐτῷ V
ἐπέφθη C 12 πομπ * * ου L 14 ἐπειδὴ] ἐπεὶ καὶ VC τὰ s. LR
15 ἑρμαῖον L¹VR ἠπείχθη, ἡ i. ras. L ἐπείχθη VRC 17 παρὰ] περὶ V¹
παρὰ — δεομένου] *a fratribus utroque — orantibus* Lat ἑκατέρου] ἑκατέρων
ἑκάστου PAMC βοηθεῖν αὐτῷ δεομένου tr. V δὲ LVR 18 τὰ om.
LVR τριακόσια] τετρακόσια C ut Ant. XIV 30 19 τοσοῦτο C
ἀπειλῶν] ἀπειλῶν γὰρ C 21 ἀνεχώρησε LVRC δὲ] δ' C *itaque* Lat δὴ
Destinon φιλαδελφίαν LR φιλαδέλφειαν V φιλαδελφείαν A¹C 23 δὲ
AMLVR ἁλῶναι] ἁλωθῆναι LVR δὲ] τε LR

εἵπετο τοῖς πολεμίοις καὶ περὶ τὸν καλούμενον Παπυρῶνα συμβαλὼν αὐτοῖς ὑπὲρ ἑξακισχιλίους κτείνει, μεθ' ὧν καὶ τὸν ἀδελφὸν τὸν Ἀντιπάτρου Φαλλίωνα.

131 4. *Ὑρκανὸς δὲ καὶ Ἀντίπατρος τῶν Ἀράβων ἀφαιρεθέντες μετέφερον ἐπὶ τοὺς ἐναντίους τὴν ἐλπίδα, καὶ ἐπειδὴ Πομπήιος ἐπιὼν τὴν Συρίαν εἰς Δαμασκὸν ἦκεν, ἐπ' αὐτὸν καταφεύγουσιν καὶ δίχα δωρεῶν αἷς καὶ πρὸς τὸν Ἀρέταν δικαιολογίαις χρώμενοι κατηντιβόλουν μισῆσαι μὲν τὴν Ἀριστοβούλου βίαν, κατάγειν δὲ ἐπὶ τὴν*
132 *βασιλείαν τὸν καὶ τρόπῳ καὶ καθ' ἡλικίαν προσήκοντα. οὐ μὴν οὐδ' Ἀριστόβουλος ὑστέρει πεποιθὼς τῇ Σκαύρου δωροδοκίᾳ παρῆν τε καὶ αὐτὸς ὡς οἷόν τε βασιλικώτατα κεκοσμημένος ἑαυτόν. ἀδοξήσας δὲ πρὸς τὰς θεραπείας καὶ μὴ φέρων δουλεύειν ταῖς χρείαις ταπεινότερον τοῦ σχήματος ἀπὸ διὸς ἡλίου πόλεως χωρίζεται.*

133 5. *Πρὸς ταῦτ' ἀγανακτήσας Πομπήιος πολλὰ καὶ τῶν περὶ Ὑρκανὸν ἱκετευόντων ὥρμησεν ἐπ' Ἀριστόβουλον, ἀναλαβὼν τήν*
134 *τε Ῥωμαϊκὴν δύναμιν καὶ πολλοὺς ἐκ τῆς Συρίας συμμάχους. ἐπεὶ δὲ παρελαύνων Πέλλαν καὶ Σκυθόπολιν ἦκεν εἰς Κορέας. ὅθεν ἡ Ἰουδαίων ἄρχεται χώρα κατὰ τὴν μεσόγειον ἀνιόντων. ἀκούσας συμπεφευγέναι τὸν Ἀριστόβουλον εἰς Ἀλεξάνδρειον, τοῦτο δ' ἐστὶν φρούριον τῶν πάνυ φιλοτίμως ἐξησκημένων ὑπὲρ ὄρους ὑψηλοῦ*
135 *κείμενον, πέμψας καταβαίνειν αὐτὸν ἐκέλευσεν. τῷ δ' ἦν μὲν ὁρμὴ καλουμένῳ δεσποτικώτερον διακινδυνεύειν μᾶλλον ἢ ὑπακοῦσαι,*

§ 131 = Ant. Iud. XIV 41.

PAMLVRC Lat Hegesippus I 14 p. 20.

1 *papyriona* Lat 2 *ὀκτακισχιλίους* C *μεθ' ὧν*] om. LR *μεθ' ὅν* C¹ post *ἀδελφὸν* ras. 3 litt. A 3 *φιλλίωνα* P 4 i. marg. *ιδ'* VC 5 *κἀπειδὴ* C 6 *ἐπ' αὐτὸν* — p. 33, 20 *ἐν μέσοις* 2 folia a librario saec. XV exarata L *καταφεύγουσιν* — 7 *Ἀρέταν* om. C 7 *δώρων* VRC *αἷς*] *ταῖσ* VR *καὶ* om. VR *τὸν* om. AMLVRC 8 *δ'* C 9 *τρόπῳ*] *τῷ τρόπω* VRC *προήκοντα* Cocceji 10 *οὐδὲ* LR *πεπειθὼσ* L *τῇ*] *τῆσ* V¹ *δωροδοκίασ* V¹ 11 *τε καὶ*] *δὲ καὶ* L *τε*] *τε* (*τ'* C) *ἦν* VRC 12 *ταπεινότεροσ* PAL *abiectius* Lat *ταπεινοτέρως* Destinon 13 *διὸς ἡλίου πόλεως*] PAL *διοσπόλεωσ* MVRC *diospoli* LatHeg *δειλον* aut *δήλιον* Ant. XIV 47; *Λίου πόλεως* Spanheim recte ut uid.; nam quod in PAL est ortum uid. ex *διὸσ ἢ δίου πόλεωσ* 14 *ταῦτ'*] *ταῦτα* VR *τοῦτ'* AML *haec* Lat 15 *ὑρκανῶν* L *τὸν ὑρκανὸν* VR *ἐπὶ* R *ἀναλαβὼν*] *ἀναβὼν* C¹ *ἐπαναλαβὼν* PAML 16 *πολλοὺσ* om. Lat 17 *πέλαν* L *ἡ* s. A 18 *Ἰουδαίων*] *ἰουδαία* L post *ἀκούσας* ras. 2—3 litt. M 19 *ἀλεξάνδρειαν* LV *ἀλεξάνδριον* R *δὲ* AVR 21 *ἐκέλευεν* RC *τῷ*] *τό* L *δὲ* VR *μὲν* om. RC

καθεώρα δὲ τὸ πλῆθος ὀρρωδοῦν, καὶ παρῄνουν οἱ φίλοι σκέπτεσθαι τὴν Ῥωμαίων ἰσχὺν οὖσαν ἀνυπόστατον. οἷς πεισθεὶς κάτεισιν πρὸς Πομπήιον καὶ πολλὰ περὶ τοῦ δικαίως ἄρχειν ἀπολογηθεὶς ὑπέστρεψεν εἰς τὸ ἔρυμα. πάλιν τε τἀδελφοῦ προκαλου- 136
μένου καταβὰς καὶ διαλεχθεὶς περὶ τῶν δικαίων ἄπεισιν μὴ κωλύοντος τοῦ Πομπηΐου. μέσος δ' ἦν ἐλπίδος καὶ δέους, καὶ κατῄει μὲν ὡς ὑποστήσων Πομπήιον πάντ' ἐπιτρέπειν αὐτῷ, πάλιν δὲ ἀνέβαινεν εἰς τὴν ἄκραν, ὡς μὴ προκαταλύειν δόξειεν αὐτόν. ἐπεὶ μέντοι 137
Πομπήιος ἐξίστασθαί τε τῶν φρουρίων ἐκέλευεν αὐτῷ καὶ παράγγελμα τῶν φρουράρχων ἐχόντων μόναις πειθαρχεῖν ταῖς αὐτογράφοις ἐπιστολαῖς, ἠνάγκαζεν αὐτὸν ἑκάστοις γράφειν ἐχωρεῖν, ποιεῖ μὲν τὰ προσταχθέντα, ἀγανακτήσας δὲ ἀνεχώρησεν εἰς Ἱεροσόλυμα καὶ παρεσκευάζετο πολεμεῖν πρὸς Πομπήιον.

6. Ὁ δέ, οὐ γὰρ ἐδίδου χρόνον ταῖς παρασκευαῖς, εὐθέως 138
εἴρετο, καὶ προσεπέρρωσεν τὴν ὁρμὴν ὁ Μιθριδάτου θάνατος ἀγγελθεὶς αὐτῷ περὶ Ἱεριχοῦντα, ἔνθα τῆς Ἰουδαίας τὸ πιότατον φοινικά τε πάμπολυν καὶ βάλσαμον τρέφει. τοῦτο λίθοις ὀξέσιν ἐπιτέμνοντες τὰ πρέμνα συνάγουσιν κατὰ τὰς τομὰς ἐκδακρῖον. καὶ 139

§ 135 = Ant. Iud. XIV 50.

PAMLVRNC Lat Hegesippus I 15 p. 22.

1 *καθεώρα — ὀρρωδοῦν*] *referta populis romana castra desuper spectans* Heg 2 *ἰσχὺν*] VRCLat *ἰσχὺν ἀρχὴν* PML *ἀρχὴν* i. marg. suppl. *ἰσχὺν* (signo posito post *Ῥωμαίων*) A 3 *Πομπήιον*] *πήϊον* L *τὸν πομπήϊον* VR *περὶ τοῦ*] *περὶ τῆσ τοῦ* P ··*ολογηθεὶσ* (eras. *ἀπ*) V 4 *εἰς*] *πρὸσ* VRC *τε*] om. P *δὲ* VR *τοῦ ἀδελφοῦ* VR *προυκαλουμένου* C 5 *διαλεχθεὶς*] *διενεχθεισ* RV *γρ. διαλεχθεὶσ* i. marg. V *concertasset* Lat *διαλεχθεὶς — δικαίων*] *cum adhuc comperendinari cognitionem uideret* Heg *ἄπεισιν*] *ἄνεισι* (*ν* i. ras. M) MVR *denuo regreditur* Lat *κωλύσαντοσ* L 6 *μέσον* VR *δὲ* VR 7 *πάντα* VR *πάλιν* om. Lat (cf. ad u. 5) *δ'* C 8 *ὡς — αὐτόν*] *ne quid regiae dignitatis derogare uideretur* Lat 9 *αὐτόν* codd. *αὐτῶ, ῶ* ex *ὸν* corr. V 11 *γράφων* C 12 *μὲν*] *μέντοι* V *τὸ προσταχθὲν* VRC 13 *παρασκευάζεται* VR *cogitabat* Lat *Πομπήιον*] *πήϊον* L *τὸν πομπήϊον* VR 14 *δ'* C *οὐ*] *οὐδὲ* P *χρόνον*] *χώραν* V i. marg. *χρόνον* V et m. 2 R *ταῖς — p. 33, 12 ἀμύνονται* (§ 146) om. R; huius loco ascriptae sunt codicis N discrepantiae 15 *μιθρηδάτου* LC 16 *ἔνθα*] *ἔνθα δὴ* C *Ἰουδαίας*] *idumeae* Lat *πιώτατον* PA *τὸ τῆσ Ἰουδαίασ πιότατον* tr. VN *φοινικά*] *φοίκα*, i. marg. suppl. *νι* A *φοινικά τε*] *φοινικᾶται* C 17 *πάμπολυ* PA (*palmarum*) *plurimum* Lat *τοῦτο — 18 ἐκδακρῖον*] *cuius inciso lapidibus acutis robore stillantem lacrimam ex uulneribus colligunt* Lat 18 *πρέμνα*] VC *ἄκρα πρέμνα* PAML *ἄκρα* et i. marg. *πρέμνα* N; cf. Ant. Iud. XIV 54 *συνάγουσιν*] PAML *συλλέγουσι* VNC *ἐκδακρῖον*] *ἐκ δακρύων* PALN[1] *ἐκδ·ακρύον*, *ο* ex *ω* corr. V *destillat humor lacrimis pulchre rorantibus* Heg

στρατοπεδευσάμενος ἐν τῷ χωρίῳ μίαν ἑσπέραν ἔωθεν ἠπείγετο πρὸς τὰ Ἱεροσόλυμα. καταπλαγεὶς δὲ τὴν ἔφοδον Ἀριστόβουλος ἱκέτης ἀπαντᾷ χρημάτων τε ὑποσχέσει καὶ τῷ μετὰ τῆς πόλεως
140 ἐπιτρέπειν καὶ ἑαυτὸν καλεπαίνοντα καταστέλλει τὸν Πομπήιον. οὐ μήν τι τῶν ὡμολογημένων ἐγένετο· τὸν γὰρ ἐπὶ τὴν κομιδὴν τῶν χρημάτων ἐκπεμφθέντα Γαβίνιον οἱ τὰ Ἀριστοβούλου φρονοῦντες οὐδὲ τῇ πόλει δέχονται.

141 VII. 1. Πρὸς ταῦτα ἀγανακτήσας Πομπήιος Ἀριστόβουλον μὲν ἐφρούρει, πρὸς δὲ τὴν πόλιν ἐλθὼν περιεσκόπει ὅπως δεῖ προσβαλεῖν, τήν τε ὀχυρότητα τῶν τειχῶν δυσμεταχείριστον ὁρῶν καὶ τὴν πρὸ τούτων φάραγγα φοβερὰν τό τε ἱερὸν ἐντὸς τῆς φάραγγος ὀχυρώτατα τετειχισμένον, ὥστε τοῦ ἄστεος ἁλισκομένου δευτέραν εἶναι καταφυγὴν τοῦτο τοῖς πολεμίοις.

142 2. Διαπορουῦντος δ' ἐπὶ πολὺν χρόνον στάσις τοῖς ἔνδον ἐμπίπτει, τῶν μὲν Ἀριστοβούλου πολεμεῖν ἀξιούντων καὶ ῥύεσθαι τὸν βασιλέα, τῶν δὲ τὰ Ὑρκανοῦ φρονούντων ἀνοίγειν Πομπηίῳ τὰς πύλας· πολλοὺς δὲ τούτους ἐποίει τὸ δέος ἀφορῶντας εἰς τὴν τῶν
143 Ῥωμαίων εὐταξίαν. ἡττώμενον δὲ τὸ Ἀριστοβούλου μέρος εἰς τὸ ἱερὸν ἀνεχώρησεν καὶ τὴν συνάπτουσαν ἀπ' αὐτοῦ τῇ πόλει γέφυραν ἀποκόψαντες ἀντισχεῖν εἰς ἔσχατον παρεσκευάζοντο. τῶν δὲ ἑτέρων δεχομένων Ῥωμαίους τῇ πόλει καὶ τὰ βασίλεια παραδιδόντων ἐπὶ μὲν ταῦτα Πομπήιος ἕνα τῶν ὑφ' ἑαυτῷ στρατηγῶν Πείσωνα

---

§ 139 = Ant. Iud. XIV 55.

PAMLVNC Lat Hegesippus I 16 p. 23.

1 *στρατοπαιδευσάμενος* LV¹N¹ 3 *ἀπαντᾷ*] *ὑπαντᾶ* LVN *ὑπηντᾶ* C *τε*] *δὲ* C *τῷ*] *τὸ* V¹ 5 *ὁμολογημένων* V¹N¹ *ἐγένετο*] *ἔπραττεν* (— *τε* N)VNC *effectum est* Lat *τῇ κομιδῇ* VNC fort. recte 6 *πεμφθέντα* MVNC 7 *οὐδὲ*] *οὐδ' ἐν* C 9 *περιεσκόπει* sq. corrupta putat Destinon *ὅπως*] *ποῖ* · M *ποία* N *ποῖ* VC *δεῖ προσβαλεῖν*] *προσβάλει* VN *προσβάλῃ* C *προσβαλεῖ* Cocceji *ὅπως — προσβαλεῖν*] *qua facilior esset accessus* Lat *quibus in locis temptaret irruptionem* Heg 10 *τε*] *τε γαρ* Dindorf *ὁρῶν*] *ἑώρα* VN Dindorf 11 *τούτων*] *τούτου* L *ἐντὸς*] *ἐγγὺς* AML *proximum* Lat 12 *ἄστεως* V¹ *ἁλισκομένου*] *τετειχισμένου* L 13 *τοῦτο*] *in eo* Lat 14 *διαπορούντων* C¹ *διαπορούντων* C² *δὲ* VN *πολὺν* A *πολλὴν* C¹ *τοῖς* om. V 16 *τὰς πύλας*] *τὴν πόλιν* V 17 *πολλοὺς — δέος*] *πολὺ δὲ τούτοις ἐποίει τὸ δέος* PAL *πολ·ὺ* (eras. *λ*) *δὲ τούτους εἰσήει* (ex *εἰσίη* corr. m. 2) *δέος* C *metus autem hos plures faciebat* Lat et similiter Heg *εἰς* om. PAML *τῶν* om. PAM 18 *δὲ*] *denique* Lat 19 *ἀνεχώρησεν*] *ἀνεχώρη* V¹ *ἀνεχώρει* V²NC *ἀπ'*] *ἐπ'* C 20 *εἰς* om. L 22 *ἑαυτὸν* LNC *πίσωνα* M

εἰσπέμπει μετὰ στρατιᾶς· ὃς διαλαβὼν φρουραῖς τὴν πόλιν, ἐπειδὴ 144
τῶν εἰς τὸ ἱερὸν καταφυγόντων οὐδένα λόγοις ἔπειθεν συμβῆναι,
τὰ πέριξ εἰς προσβολὰς ἐτρέπετο ἔχων τοὺς περὶ τὸν Ὑρκανὸν εἴς
τε τὰς ἐπινοίας καὶ τὰς ὑπηρεσίας προθύμους.

3. Αὐτὸς δὲ κατὰ τὸ προσάρκτιον κλίμα τήν τε τάφρον ἔχου 145
καὶ τὴν φάραγγα πᾶσαν ὕλην συμφορούσης τῆς δυνάμεως. χαλεπὸν
δ' ἦν τὸ ἀναπλήρουν διὰ βάθος ἄπειρον καὶ τῶν Ἰουδαίων πάντα
τρόπον εἰργόντων ἄνωθεν. κἂν ἀτέλεστος ἔμεινεν τοῖς Ῥωμαίοις ὁ 146
πόνος, εἰ μὴ τὰς ἑβδομάδας ἐπιτηρῶν ὁ Πομπήιος, ἐν αἷς πάντως
ἔργου διὰ τὴν θρησκείαν χεῖρας ἀπίσχουσιν Ἰουδαῖοι, τὸ χῶμα ὕψου
τῆς κατὰ χεῖρα συμβολῆς εἴργων τοὺς στρατιώτας· ὑπὲρ μόνου γὰρ
τοῦ σώματος ἀμύνονται τοῖς σαββάτοις. ἤδη δὲ ἀναπεπληρωμένης 147
τῆς φάραγγος πύργους ὑψηλοὺς ἐπιστήσας τῷ χώματι καὶ προσα-
γαγὼν τὰς ἐκ Τύρου κομισθείσας μηχανὰς ἐπειρᾶτο τοῦ τείχους·
ἀνέστελλον δὲ αἱ πετροβόλοι τοὺς καθύπερθεν κωλύοντας. ἀντεῖχον
δ' ἐπὶ πλεῖον οἱ κατὰ τοῦτο τὸ μέρος πύργοι μεγέθει τε καὶ κάλλει
διαφέροντες.

4. Ἔνθα δὴ πολλὰ τῶν Ῥωμαίων κακοπαθούντων ὁ Πομπήιος 148
τά τε ἄλλα τῆς καρτερίας τοὺς Ἰουδαίους ἀπεθαύμαζεν καὶ μάλιστα
τοῦ μηδὲν παραλῦσαι τῆς θρησκείας ἐν μέσοις τοῖς βέλεσιν ἀνει-
λημένους· ὥσπερ γὰρ εἰρήνης βαθείας κατεχούσης τὴν πόλιν αἵ τε

§ 144 = Ant. Iud. XIV 60.

PAMLVNRCLatHegesippus I 16 p. 24.

1 *εἰσπέμπει* V¹ *φρουρᾶ* MVNC *praesidiis* Lat 2 *καταπεφευγότων* C 3 *τὰ* om. PAM *τὰ πέριξ*] *omnia quae circum erant* Lat *ἠτρέπιζεν* C et ex corr. N *τοὺς*] *τοῖς* P 4 *προθύμους* V¹ 5 *ἔχου*] *ἔχον· · ·* N *ἐπλήρου* PAML, *γρ καὶ τήν τε τάφρον ἔχου* i. marg. M *replebat* Lat *ἀνεπλήρου* Destinon 6 *ὕλην*] *ὕλης* VN¹ *συμφερούσης* PAML 7 *δὲ* VN *βάθο·σ*, eras. uid. *υ* V 8 *εἰργόντων* ex corr. A *ἀτελέστατος* P *τοῖς Ῥωμαίοις* om. Lat *ῥωμαίων* ex corr. N *ὁ πόνος* i. ras. L 9 *ὁ* om. C 10 *διὰ τὴν θρησκείαν* om. L *ἐπίσχουσιν* V 11 *χεῖρας* MN¹ *συμβο·λῆς* V *εἴργων*] *εἴργον* PA *εἴργον* C 12 *τοῖς σαββάτοις*] redit R *τοῖς*] *καὶ τοῖσ* VRNC et ex corr. M *etiam per sabbata* Lat, fort. recte *σαββάτοις*] *σάββασιν* C; *καὶ τοῖσ σάββασιν* i. marg. V *δ'* VC *ἀναπληρωμένης* C 13 *ὑψηλοὺς* om. Lat *χόματι* R *καὶ*] *ὕψου καὶ* C 14 *κομισθήσασ* R 15 *αἱ*] *αἵ τε* VRN *οἱ* C *πετροβόλοι*] *πρόβολοι* V *καθύπερθε* V *ἀντεῖχον* — 16 *πύργοι*] *cum diu turres obsidentium — uim repugnantium sustinerent* Lat 16 *δὲ* RN *πλεῖον*] *πλέον* M *πλεῖστον* VRNC *τε*] *τε·* A 17 huc usque collatus N 18 *τῶν ῥωμαίων πολλὰ* tr. VC 19 *ἀπεθαύμασε* (*-σεν* C) VRC 20 *θρησκίασ* C *ἀνειλημμένουσ* PA *ἀνειλουμένουσ* MLVR *ἀνειλουμένοσ* C¹ *ἀνειλουμένοι* C² *pereuntes* Lat

θυσίαι καθ' ἡμέραν καὶ οἱ ἐναγισμοὶ καὶ πᾶσα θεραπεία κατὰ τἀκριβὲς ἐξετελεῖτο τῷ θεῷ, καὶ οὐδὲ κατ' αὐτὴν τὴν ἅλωσιν περὶ τῷ βωμῷ φονευόμενοι τῶν καθ' ἡμέραν νομίμων εἰς τὴν θρησκείαν
149 ἀπέστησαν. τρίτῳ γὰρ μηνὶ τῆς πολιορκίας μόλις ἕνα τῶν πύργων καταρρίψαντες εἰσέπιπτον εἰς τὸ ἱερόν. ὁ δὲ πρῶτος ὑπερβῆναι τολμήσας τὸ τεῖχος Σύλλα παῖς ἦν Φαῦστος Κορνήλιος καὶ μετ' αὐτὸν ἑκατοντάρχαι δύο Φούριος καὶ Φάβιος. εἵπετο δὲ ἑκάστῳ τὸ ἴδιον στῖφος, καὶ περισχόντες πανταχοῦ τὸ ἱερὸν ἔκτεινον οὓς μὲν τῷ ναῷ προσφεύγοντας, οὓς δὲ ἀμυνομένους πρὸς ὀλίγον.
150 5. Ἔνθα πολλοὶ τῶν ἱερέων ξιφήρεις τοὺς πολεμίους ἐπιόντας βλέποντες ἀθορύβως ἐπὶ τῆς θρησκείας ἔμειναν, στένδοντες δὲ ἀπεσφάττοντο καὶ θυμιῶντες καὶ τῆς πρὸς τὸ θεῖον θεραπείας ἐν δευτέρῳ τὴν σωτηρίαν τιθέμενοι. πλεῖστοι δ' ὑπὸ τῶν ὁμοφύλων ἀντιστασιαστῶν ἀνῃροῦντο καὶ κατὰ τῶν κρημνῶν ἔρριπτον ἑαυτοὺς ἄπειροι· καὶ τὰ περὶ τὸ τεῖχος δ' ἔνιοι μανιῶντες ἐν ταῖς ἀμη-
151 χανίαις ὑπέπρησαν καὶ συγκατεφλέγοντο. Ἰουδαίων μὲν οὖν ἀνῃρέθησαν μύριοι καὶ δισχίλιοι, Ῥωμαίων δὲ ὀλίγοι μὲν πάνυ νεκροί, τραυματίαι δ' ἐγένοντο πλείους.
152 6. Οὐδὲν δὲ οὕτως ἐν ταῖς τότε συμφοραῖς καθήψατο τοῦ ἔθνους ὡς τὸ τέως ἀόρατον ἅγιον ἐκκαλυφθὲν ὑπὸ τῶν ἀλλοφύλων· παρελθὼν γοῦν σὺν τοῖς περὶ αὐτὸν ὁ Πομπήιος εἰς τὸν ναόν, ἔνθα μόνῳ θεμιτὸν ἦν κατιέναι τῷ ἀρχιερεῖ, τὰ ἔνδον ἐθεάσατο, λυχνίαν τε καὶ λύχνους καὶ τράπεζαν καὶ σπονδεῖα καὶ θυμιατήρια, ὁλόχρυσα πάντα, πλῆθός τε ἀρωμάτων σεσωρευμένον καὶ τῶν ἱερῶν

§ 148 = Ant. Iud. XIV 65.

PAMLVRCLatHegesippus I 16 p. 25.

1 ‖ πεία κατὰ — p. 35, 4 θυσίας ἔπειτα ‖ repicta fere omnia in A 2 τὸ ἀκριβὲσ PLVR 3 φονευόμενοσ A φονεύομενοι καθ' ἡμέραν τῶν uertit Lat θρησκίαν C¹ 4 μόγισ LV²R μόγησ V¹ ἕνα τῶν πύργων] ἕνα πύργον C 5 καταρίψαντεσ P¹LR ῥίψαντεσ C 6 τὸ τεῖχοσ τολμήσασ tr. C 7 Φούριος] LatHeg Bernard φρούριοσ PAMVRC φ·ούριοσ L 8 πανταχῆ C fort. recte τὸ ἱερὸν] PAMLat τοὺσ ἰουδαίουσ LVRC *templi interiora* Heg ἔκτεινον — 9 ὀλίγον] *alios alio confugientes uel etiam paulisper repugnantes interficiunt* Lat 10 ξιφήρεις post ἐπιόντας tr. C 11 δὲ] τε Destinon 12 καὶ θυμιῶντεσ ἀπεσφάττοντο tr. C καὶ (ante τῆς)] damnat Destinon, u. 13 ante τὴν σωτηρίαν exhibet Lat τιθέμενοσ A δὲ LVR 14 ἐρρίπτουν C 15 τὰ] *cunctis qui* Lat δ'] om. M δὲ LVR μηνιῶντεσ V *furibundi* Lat 16 συγκαταφλέγονται LVRC 18 δὲ AMLR 19 δ' C οὕτωσ — συμφοραῖσ] οὕτωσ ἐστὶν ὃ τότε τῶν συμφορῶν LR 20 τέωσ] om. LR suppl. i. marg. V 21 γοῦν] οὖν V 22 μόνον PA παρεῖναι PAClat ἐθεᾶτο LVR 23 σπονδία LVR θυμιατήριον VR 24 πλῆθοσ — σεσωρευμένον om. C σεσωρευμένον] PAMLatHeg σεσωρευμένων LVR τῶν om. LVR

χρημάτων εἰς τάλαντα δισχίλια. οὔτε δὲ τούτων οὔτε ἄλλου τινὸς 153
τῶν ἱερῶν κειμηλίων ἥψατο. ἀλλὰ καὶ μετὰ μίαν τῆς ἁλώσεως
ἡμέραν καθᾶραι τὸ ἱερὸν τοῖς νεωκόροις προσέταξεν καὶ τὰς ἐξ
ἔθους ἐπιτελεῖν θυσίας. αὐθις δ' ἀποδείξας Ὑρκανὸν ἀρχιερέα τά
τε ἄλλα προθυμότατον ἑαυτὸν ἐν τῇ πολιορκίᾳ παρασχόντα καὶ
διότι τὸ κατὰ τὴν χώραν πλῆθος ἀπέστησεν Ἀριστοβούλῳ συμπο-
λεμεῖν ὁρμημένον. ἐκ τούτων, ὅπερ ἦν προσῆκον ἀγαθῷ στρατηγῷ,
τὸν λαὸν εὐνοίᾳ πλέον ἢ δέει προσηγάγετο. ἐν δὲ τοῖς αἰχμαλώτοις 154
ἐλήφθη καὶ ὁ Ἀριστοβούλου πενθερός, ὁ δ' αὐτὸς ἦν καὶ θεῖος
αὐτῷ. καὶ τοὺς αἰτιωτάτους μὲν τοῦ πολέμου πελέκει κολάζει. Φαῦ-
στον δὲ καὶ τοὺς μετ' αὐτοῦ γενναίως ἀγωνισαμένους λαμπροῖς ἀρι-
στείοις δωρησάμενος τῇ τε χώρᾳ καὶ τοῖς Ἱεροσολύμοις ἐπιτάσσει
φόρον.

7. Ἀφελόμενος δὲ τοῦ ἔθνους καὶ τὰς ἐν κοίλῃ Συρίᾳ πόλεις, 155
ἃς εἶλον, ὑπέταξεν τῷ κατ' ἐκεῖνο Ῥωμαίων στρατηγῷ κατατεταγ-
μένῳ καὶ μόνοις αὐτοὺς τοῖς ἰδίοις ὅροις περιέκλεισεν. ἀνακτίζει
δὲ καὶ Γάδαρα ὑπὸ Ἰουδαίων κατεστραμμένην Γαδαρεῖ τινὶ τῶν
ἰδίων ἀπελευθέρων Δημητρίῳ χαριζόμενος. ἠλευθέρωσεν δὲ ἀπ' 156
αὐτῶν καὶ τὰς ἐν τῇ μεσογείᾳ πόλεις, ὅσας μὴ φθάσαντες κατέ-

§ 153 = Ant. Iud. XIV 72.

PAMLVRCLat Hegesippus I 16.

1 *τούτων*] ταῦτα V *οὔτ'* VC 2 *κειμηλίων* R *opibus siue instrumentis* Lat 3 *τὸ*] *τε τὸ* C fort. recte *τοῖς νεωκόροις προσέταξεν*] *τοῖσ* (*τοῖ* C) *νεωκόροισ ἐκέλευσε* LRC *τοὺσ νεωκόρουσ ἐκέλευσε* V 4 *αὖθις δ' ἀποδείξας*] *αὐτὸσ ἀποδείξασ* PA¹MLat *αὐτὸσ δὲ ἀποδείξασ* LVR *ἔπειτα* ‖ *δείξασ* A repictus, sed sub *ἔπειτα* apparent uestigia scripturae antiquioris satis clara *τὸν ὑρκανὸν* LVR 5 *προθυμότατα* PAM *αὐτὸν* LVR 6 *τῆσ χώρασ* LVR *ἀπέστησεν* L *ἀπέστησαν* VR *Ἀριστοβούλῳ*] PAMVRCHeg *ἀριστοβούλου* LLat *συμπονεῖν* C 7 *τούτου* LVRC 9 *δὲ* LVR 10 *μὲν αἰτιωτάτουσ* tr. LVRC *πέλυκι*, i. marg. *γρ πέλεκει* R *πέλυκι δικάζει*, i. marg. *πελέκει κολάζει* V 11 *αὐτὸν* C 12 *ἱεροσολυμήταισ* C *ἐπιτάττει* C 14 *κοίλῃ* om. Lat *συρίασ* PAMC 15 *ἃς*] *ὅσασ* LVRC *κατ' ἐκεῖνο*] *κατεκείνω* (*-ωι* V) PALVR *κατ' ἐκείνο* C¹ *κατ' ἐκείνουσ* ut uid. C² *κατ' ἐκεῖνο καιροῦ* Med. Lips. ed. pr. *στρατηγῶι*, *ι* ex *ν* corr. V *κατατεταγμένῳ καὶ*] LVRLat *κατατεταγμένω εἰσὶ δὲ νῦν χρηματίζουσαι λαμπρῶσ καὶ* PAM *κατατεταγμένω αἱ νῦν εἰσι χρηματίζουσαι τῶν κατὰ τὴν κοίλην συρίαν ἑλληνίδων πόλεων καὶ* C 16 *μόνοις αὐτοὺς*] MLC *μόνουσ αὐτοὺσ* PA *μόνοισ αὐτοῖσ* VR *propriis tantum* Lat 17 *δὲ* s. V *γάδαραν* PAMVC *gadara* Lat *gadaram* Heg *Γαδαρεῖ*] *γάδαρι* P *γαδαρίτῃ* LVRC *gadorensis* Lat 18 *ἰδίων*] *ἰουδαίων* P *ἀπελευθέρω* PA *Δημητρίῳ χαριζόμενος*] *χαριζόμενοσ δημητρίω τοὔνομα* C *δ'* C 19 *μεσογαία* M *μεσογείω* VC fort. recte

σκαψαν, Ἵππον Σκυθόπολίν τε καὶ Πέλλαν καὶ Σαμάρειαν καὶ Ἰάμνειαν καὶ Μάρισαν Ἄζωτόν τε καὶ Ἀρέθουσαν, ὁμοίως δὲ καὶ τὰς παραλίους Γάζαν Ἰόππην Δῶρα καὶ τὴν πάλαι μὲν Στράτωνος πύργον καλουμένην, ὕστερον δὲ μετακτισθεῖσάν τε ὑφ' Ἡρώδου βασιλέως λαμπροτάτοις κατασκευάσμασιν καὶ μετονομασθεῖσαν Καισά-
157 ρειαν. ἃς πάσας τοῖς γνησίοις ἀποδοὺς πολίταις κατέταξεν εἰς τὴν Συριακὴν ἐπαρχίαν. παραδοὺς δὲ ταύτην τε καὶ τὴν Ἰουδαίαν καὶ τὰ μέχρις Αἰγύπτου καὶ Εὐφράτου Σκαύρῳ διέπειν καὶ δύο τῶν ταγμάτων, αὐτὸς διὰ Κιλικίας εἰς Ῥώμην ἠπείγετο τὸν Ἀριστό-
158 βουλον ἄγων μετὰ τῆς γενεᾶς αἰχμάλωτον. δύο δ' ἦσαν αὐτῷ θυγατέρες καὶ δύο υἱεῖς, ὧν ὁ ἕτερος μὲν Ἀλέξανδρος ἐκ τῆς ὁδοῦ διαδιδράσκει, σὺν δὲ ταῖς ἀδελφαῖς ὁ νεώτερος Ἀντίγονος εἰς Ῥώμην ἐκομίζετο.

159 VIII. 1. Κἀν τούτῳ Σκαῦρος εἰς τὴν Ἀραβίαν ἐμβαλὼν τῆς μὲν Πέτρας εἴργετο ταῖς δυσχωρίαις, ἐπόρθει δὲ τὰ πέριξ πολλὰ κἀν τούτῳ κακοπαθῶν· ἐλίμωττεν γὰρ ἡ στρατιά. καὶ πρὸς τοῦτο Ὑρκανὸς ἐπεβοήθει διὰ Ἀντιπάτρου τὰ ἐπιτήδεια πέμπων. ὃν καὶ καθῆσι Σκαῦρος ὄντα συνήθη πρὸς Ἀρέταν, ὅπως ἐπὶ χρήμασιν διαλύσαιτο τὸν πόλεμον. πείθεται δὲ ὁ Ἄραψ τριακόσια δοῦναι τάλαντα, κἀπὶ τούτοις Σκαῦρος ἐξῆγεν τῆς Ἀραβίας τὴν δύναμιν.

160 2. Ὁ δ' ἀποδρὰς τῶν Ἀριστοβούλου παίδων Πομπήιον Ἀλέξανδρος χρόνῳ συναγαγὼν χεῖρα συχνὴν βαρὺς ἦν Ὑρκανῷ καὶ τὴν Ἰουδαίαν κατέτρεχεν, ἐδόκει τε ἂν καταλῦσαι ταχέως αὐτόν, ὅς γε

---

§ 156 = Ant. Iud. XIV 75.

PAMLVRCLatHegesippus I 17 p. 27.

1 *καὶ Ἰάμνειαν*] PAMHeg, om. LVRCLat 2 *Ἰάμνιαν* PA *μαρησὰν* A *μάρισσαν* VC *marissam* Lat *maresa* (abl.) Heg *Ἄζωτόν τε*] PAMHeg *πρὸς αἰσ ἄζωτον καὶ ἰάμνειαν* (*ἰάμνιαν* VC) LVRC *itemque azotum et iamniam* Lat 3 *Γάζαν* om. C *δωράν* PA *δώραν* MVC *doram* LatHeg 4 *τε* om. ALVRCLat *τοῦ βασιλέως* C 5 *καὶ* om. Lat 6 *ἃς πάσας*] ex *ἁπάσασ* corr. L *ἁπάσασ* R 7 i. marg. *ιε'* V *τε* om. PAM *τὴν* om. PAM *καὶ τὰ* om. Heg 9 *ἠπείγετο, η* corr. m. 2 ex *ει* uid. V 10 *δὲ* LVR 11 *διαδράσκει* C 15 *εἴργετο* AMV *δυσχωρίαις, σ* finale i. ras. V *τὰ πέριξ πολλὰ*] PAMLatHeg *καὶ τὰ περὶ πέλλαν* LVRC 16 *τούτῳ*] *τούτω δὲ* LVRC *τοῦτο*] *τούτω* C 17 *δι'* VC *ταπιτήδεια* C *καθίησι*] *καθίστησι* V 18 *ὄντα συνήθη*] *uelut familiarem* Lat *συνήθει* P¹ et ut uid. A¹ *ὅπως*] *εἴ πωσ* V *διαλύσαιτο*] *διαλύση* LR *διαλύσει, ει* corr. ex *ηι* V 19 *δ'* C *τριακόσια δοῦναι τάλαντα*] *trecentis talentis decedere* Lat *καὶ ἐπὶ* LVR 20 *τούτω* PAM *τὴν* om. C 21 i. marg. *ις'* V *δὲ* LVR ante *Πομπήϊον* 2—3 litt. (*τ··* ut uid.) suppl. deinde erasae A 23 *τε*] *δ'* LVRC *ταχέωσ καταλῦσαι* tr. C

ἤδη καὶ τὸ καταρριφθὲν ὑπὸ Πομπηίου τεῖχος ἐν Ἱεροσολύμοις ἀνακτίζειν ἐθάρρει προσελθών, εἰ μὴ Γαβίνιος εἰς Συρίαν πεμφθεὶς Σκαύρῳ διάδοχος τά τε ἄλλα γενναῖον ἀπέδειξεν ἑαυτὸν ἐν πολλοῖς καὶ ἐπ' Ἀλέξανδρον ὥρμησεν. ὁ δὲ δείσας πρὸς τὴν ἐφοδον δύναμίν 161
τε πλείω συνέλεγεν, ὡς γενέσθαι μυρίους μὲν ὁπλίτας χιλίους δὲ καὶ πεντακοσίους ἱππεῖς, καὶ τὰ ἐπιτήδεια τῶν χωρίων ἐτείχιζεν Ἀλεξάνδρειόν τε καὶ Ὑρκάνειον καὶ Μαχαιροῦντα πρὸς τοῖς Ἀραβίοις ὄρεσιν.

3. Γαβίνιος δὲ μετὰ μέρους τῆς στρατιᾶς Μᾶρκον Ἀντώνιον 162
προπέμψας αὐτὸς εἵπετο τὴν ὅλην ἔχων δύναμιν. οἱ δὲ περὶ τὸν Ἀντίπατρον ἐπίλεκτοι καὶ τὸ ἄλλο τάγμα τῶν Ἰουδαίων, ὧν Μάλιχος ἦρχεν καὶ Πειθόλαος, συμμίξαντες τοῖς περὶ Μᾶρκον Ἀντώνιον ἡγεμόσιν ὑπήντων Ἀλεξάνδρῳ. καὶ μετ' οὐ πολὺ παρῆν ἅμα τῇ φάλαγγι Γαβίνιος. ἑνουμένην δὲ τὴν τῶν πολεμίων δύναμιν οὐχ 163
ὑπομείνας Ἀλέξανδρος ἀνεχώρει καὶ πλησίον ἤδη Ἱεροσολύμων γενόμενος ἀναγκάζεται συμβαλεῖν καὶ κατὰ τὴν μάχην ἑξακισχιλίους ἀπολλύει, ὧν τρισχίλιοι μὲν ἔπεσον τρισχίλιοι δὲ ἐζωγρήθησαν, φεύγει σὺν τοῖς καταλειφθεῖσιν εἰς Ἀλεξάνδρειον.

4. Γαβίνιος δὲ πρὸς τὸ Ἀλεξάνδρειον ἐλθὼν ἐπειδὴ πολλοὺς 164
εὗρεν ἐστρατοπεδευμένους, ἐπειρᾶτο συγγνώμης ὑποσχέσει περὶ τῶν ἡμαρτημένων πρὸ μάχης αὐτοὺς προσαγαγέσθαι· μηδὲν δὲ μέτριον φρονούντων ἀποκτείνας πολλοὺς τοὺς λοιποὺς ἀπέκλεισεν εἰς τὸ ἔρυμα. κατὰ ταύτην ἀριστεύει τὴν μάχην ὁ ἡγεμὼν Μᾶρκος Ἀντώ- 165
νιος, πανταχοῦ μὲν γενναῖος ἀεὶ φανείς, οὐδαμοῦ δ' οὕτως. Γαβίνιος

§ 160 = Ant. Iud. XIV 82.

PAMLVRCLatHegesippus I 19 p. 28.

1 καταριφθὲν P¹ καταρριφὲν C 2 γαβίννιος LR συρίαν, αν s. A 3 σκαύρου C ἐν πολλοῖς om. Lat 4 ἐπὶ LVR ὁ — ἔφοδον] *nec alexander refugiendum arbitratus sed decertare proelio ausus* Heg 5 τε om. LVR ὡς] *donec* Lat 6 ποντακοσίους V¹ 7 ἀλεξάνδριόν AM¹LVR ἀλεξάνδ·ιόν C ὑρκάνιον ALVRC Ὑρκανίαν alibi 10 τὸν om. MLVRC 12 συμμίξαντες, ι i. ras. ex ει corr. uid. V 13 ἡγεμόσιν om. Lat ὑπήντουν A πολυ παρῆν, litt. υ παρ i. ras. 2 litt. V 15 ἀλέξανδρον V¹ γϊνόμενος, ϊ i. ras. A 17 δὲ] δὲ·, δ i. ras. A δ' C ἐζωγρή·θησαν A 18 καταληφθεῖσιν C εἰς Ἀλεξάνδρειον om. LRLat ἀλεξάνδριαν V¹ ἀλεξάνδρειαν V² 19 ἀλεξάνδριον M¹LVR 20 ἐστρατοπεδευμένους] ἐνστρατοπεδευμένονσ C *castra deseruisse* Lat, unde ἐξεστρατοπεδευμένους Destinon συγνώμησ L συγνώμησ R 21 προσάγεσθαι C 22 κατέκλεισεν LVRC 23 κατὰ] καὶ κατὰ P 24 ἀεὶ φανεὶς] φανεὶσ ἀεὶ L φανεὶσ C δ' οὕτως] δὲ οὕτω LVR

δὲ τοὺς ἐξαιρήσοντας τὸ φρούριον καταλιπὼν αὐτὸς ἐπῆλθε τὰς μὲν
166 ἀπορθήτους πόλεις καθιστάμενος, τὰς δὲ κατεστραμμένας ἀνα-
κτίζων. συνεπολίσθησαν γοῦν τούτου κελεύσαντος Σκυθόπολίς τε
καὶ Σαμάρεια καὶ Ἀνθηδὼν καὶ Ἀπολλωνία καὶ Ἰάμνεια καὶ Ῥάφεια
Μάρισά τε καὶ Ἀδώρεος καὶ Γάβαλα καὶ Ἄζωτος καὶ ἄλλαι πολλαί,
τῶν οἰκητόρων ἀσμένως ἐφ' ἑκάστην συνθεόντων.
167 5. Μετὰ δὲ τὴν τούτων ἐπιμέλειαν ἐπανελθὼν πρὸς τὸ Ἀλε-
ξάνδρειον ἐπέρρωσεν τὴν πολιορκίαν, ὥστε Ἀλέξανδρος ἀπογνοὺς
περὶ τῶν ὅλων ἐπικηρυκεύεται πρὸς αὐτόν, συγγνωσθῆναί τε τῶν
ἡμαρτημένων δεόμενος καὶ τὰ συλληφθέντα φρούρια παραδιδοὺς
Ὑρκάνειον καὶ Μαχαιροῦντα· αὖθις δὲ καὶ τὸ Ἀλεξάνδρειον ἐνεχεί-
168 ρισεν. ἃ πάντα Γαβίνιος ἐναγούσης τῆς Ἀλεξάνδρου μητρὸς κατέ-
στρεψεν, ὡς μὴ πάλιν ὁρμητήριον γένοιτο δευτέρου πολέμου· παρῆν
δὲ μειλισσομένη τὸν Γαβίνιον κατὰ θέος τῶν ἐπὶ τῆς Ῥώμης αἰχ-
169 μαλώτων, τοῦ τε ἀνδρὸς καὶ τῶν ἄλλων τέκνων. μετὰ δὲ ταῦτα
εἰς Ἱεροσόλυμα Γαβίνιος Ὑρκανὸν καταγαγὼν καὶ τὴν τοῦ ἱεροῦ
παραδοὺς κηδεμονίαν αὐτῷ καθίστατο τὴν ἄλλην πολιτείαν ἐπὶ
170 προστασίᾳ τῶν ἀρίστων. διεῖλεν δὲ πᾶν τὸ ἔθνος εἰς πέντε συνό-
δους, τὸ μὲν Ἱεροσολύμοις προστάξας, τὸ δὲ Γαδάροις, οἱ δὲ ἵνα
συντελῶσιν εἰς Ἀμαθοῦντα, τὸ δὲ τέταρτον εἰς Ἱεριχοῦντα κεκλή-
ρωτο, καὶ τῷ πέμπτῳ Σέπφωρις ἀπεδείχθη πόλις τῆς Γαλιλαίας.

§ 165 = Ant. Iud. XIV 87.

PAMLVRCLatHegesippus I 19 p. 29.

1 ἐπῆλει] ἀπῆει VC *adire* Lat 2 κατεστρεμμένας A καθισταμένας V 3 συνεπολίσθη LVR τε om. V 4 ἀνθηδών, αν i. ras. 1 litt. m. 2 V ἰάμνια PAVC ῥαφία PA ῥαφεια C ῥαφεία MR *rafia* Lat 5 Μάρισά τε] s. P μάρειϐα τε C καὶ μάρισσα (μάρισα VR) LVR *et marissa* Lat ἀδώρεως P δώρεος ML δωρεὸς VRC *dora* Lat; cf. Ant. XIV 88 γάμαλα VC *gadara* Lat ἄζωτος L καὶ ἄλλαι] ἄλλαι τε LVRC 7 ἀλεξάνδριον LVR 9 τὸν V συγνωσθῆναί R τε] δὲ ut uid. V¹ 10 συλληφθέντα] συμμένοντα LVRC *quae sibi parerent* (*castella*) Lat παραδιδοὺς φρούρια tr. LVR παραδιδοὺς] *tradere non dubitauit* Lat 11 ὑρκάνιον P¹A ὑρκανίαν LVRC; cf. § 161 καὶ ante τὸ om. M ἀλεξάνδριον LVR ἐνεχείρησεν LVR 12 ἃ πάντα] ἃ πάντα γοῦν M ἅπαντα γοῦν LVR *quae quidem omnia* Lat ἀναγούσης L ἐναγούσης — μητρὸς post ἐνεχείρισεν collocanda esse putat Destinon; uide § 174 κατέστρεψεν] κατέσκαψεν LVRC 13 γένοιντο LVRC 14 κατὰ — 15 τέκνων] *uiro suo ceterisque captiuis metuens, qui romam fuerant abducti* Lat τῆς om. LVR 17 κιδεμονίαν R¹ καθίστησι LVRC 18 πέντε] ε' C 19 γαδάροις] γαδώροις VR *doris* Lat *gadoram* cod. Ambros. Heg δ' ἵνα C 20 εἰς (ante Ἱεριχοῦντα) om. LVR *hiericos* (nom.) Lat *hierichu* (acc.) Heg 21 σεπφῶρις A σεπφωρις, π i. ras. 2 litt. M σέπφορις LR σέπφωρισ (ω ex ό corr., ι i. ras. m. 2) V *sefforis* Lat ἀπεδέχθη L

ἀσμένως δὲ τῆς ἐξ ἑνὸς ἐπικρατείας ἐλευθερωθέντες τὸ λοιπὸν ἀριστοκρατίᾳ διῳκοῦντο.

6. Μεθ' οὐ πολύ γε μὴν αὐτοῖς ἀρχὴ γίνεται θορύβων Ἀριστό- 171
βουλος ἀποδρὰς ἐκ Ῥώμης, ὃς αὖθις πολλοὺς Ἰουδαίων ἐπισυνίστη,
τοὺς μὲν ἐπιθυμοῦντας μεταβολῆς, τοὺς δὲ ἀγαπῶντας αὐτὸν πάλαι.
καὶ τὸ μὲν πρῶτον καταλαβόμενος τὸ Ἀλεξάνδρειον ἀνατειχίζειν
ἐπειρᾶτο· ὡς δὲ Γαβίνιος ὑπὸ Σισέννᾳ καὶ Ἀντωνίῳ καὶ Σερουιανῷ
στρατιὰν ἔπεμψεν ἐπ' αὐτόν, γνοὺς ἀνεχώρει ἐπὶ Μαχαιροῦντος.
καὶ τὸν μὲν ἄχρηστον ὄχλον ἀπεφορτίσατο, μόνους δὲ ἐπήγετο 172
τοὺς ὡπλισμένους ὄντας εἰς ὀκτακισχιλίους, ἐν οἷς καὶ Πειθόλαος
ἦν ὁ ἐξ Ἱεροσολύμων ὑποστράτηγος αὐτομολήσας μετὰ χιλίων.
Ῥωμαῖοι δ' ἐπηκολούθουν, καὶ γενομένης συμβολῆς μέχρι πολλοῦ
μὲν οἱ περὶ τὸν Ἀριστόβουλον διεκαρτέρουν γενναίως ἀγωνιζό-
μενοι, τέλος δὲ βιασθέντες ὑπὸ τῶν Ῥωμαίων πίπτουσι μὲν πεν-
τακισχίλιοι, περὶ δὲ δισχιλίους ἀνέφυγον εἰς τινα λόφον, οἱ δὲ
λοιποὶ χίλιοι σὺν Ἀριστοβούλῳ διακόψαντες τὴν φάλαγγα τῶν
Ῥωμαίων εἰς Μαχαιροῦντα συνελαύνονται. ἔνθα δὴ τὴν πρώτην 173
ἑσπέραν ὁ βασιλεὺς τοῖς ἐρειπίοις ἐναυλισάμενος ἐν ἐλπίσι μὲν
ἦν ἄλλην συναθροίσειν δύναμιν ἀνοχὴν τοῦ πολέμου διδόντος καὶ
τὸ φρούριον κακῶς ὠχύρου· προσπεσόντων δὲ Ῥωμαίων ἐπὶ δύο
ἡμέρας ἀντισχὼν ὑπὲρ δύναμιν ἁλίσκεται καὶ μετ' Ἀντιγόνου τοῦ
παιδός, ὃς ἀπὸ Ῥώμης αὐτῷ συναπέδρα, δεσμώτης ἐπὶ Γαβίνιον
ἀνήχθη καὶ ἀπὸ Γαβινίου πάλιν εἰς Ῥώμην. τοῦτον μὲν οὖν ἡ 174
σύγκλητος εἶρξεν, τὰ τέκνα δ' αὐτοῦ διῆγεν εἰς Ἰουδαίαν Γαβινίου

§ 171 = Ant. Iud. XIV 92.

PAMLVRCLatHegesippus I 20 p. 29.

1 *τῆσ* corr. ex *τὴν* M 2 *ἀριστοκρατεία* AM 3 i. marg. *ιζ'* V
4 *ἐπισυνίστη···* A *ἐπισυνίστησι* L *ἐπισυνίστει* R *ἐπισυνίστεῖ* C 5 *δ'* C
6 *ἀλεξάνδριον* LVR 7 *σισιννᾶ* PA *σεσεννᾶ* M *σεσέννα* LVRC *sisennam* Lat *sisinnio* Heg *Σερουιανῷ*] *σερονανῷ* P *σερουιλίῳ* LVRCLatHeg cum Ant. XIV 92 8 *ἐπ'*] *εἰσ* C *ἐπ' αὐτὸν ἔπεμψε* (*-εν* VR) tr. LVR *ἀνεχώρει γνοὺσ* tr. V *γνοὺς*] *ἀπογνοὺς* Naber 9 *δ'* C *ἐπήγετο*] *ἐπείγετο* LRV^{1}C^{1} *secum duxit* Lat 10 *ὁπλισμένουσ* V^{1}C^{1} *εἰς* i. marg. suppl. R 12 *δὲ* LVR *πολοῦ* R
14 *τέλωσ* A *μὲν* om. LVR *πεντακισχίλιοι*] *ε̄* PA 16 *φάλαγγαν* V 17 *δὴ* om. LVR 18 *ἐριπίοισ* LR 19 *συναθροίσειν*] *ἀθροίσειν* LVR 20 *τὸ* om. LR *κακῶς ὠχύρου*] *bene munire* (*sperabat*) Lat *ἐπὶ* om. M 21 *καὶ* om. P *μετὰ* LR 23 *μὲν* om. P *ἡ* i. ras. A 24 *εἶρξε* (*-εν* A) ALV *δὲ* LVR *Ἰουδαίαν*] *bithiniam* Heg *διῆγεν*] *transmissis* Lat, unde *διῆκεν* Destinon *γαβινίου, ἰ* i. ras. m. 2 V

δι᾽ ἐπιστολῶν δηλώσαντος τῇ Ἀριστοβούλου γυναικὶ τοῦτο ἀντὶ τῆς παραδόσεως τῶν ἐρυμάτων ὡμολογηκέναι.

175 7. *Γαβινίῳ δ᾽ ἐπὶ Πάρθους ὡρμημένῳ στρατεύειν γίνεται Πτολεμαῖος ἐμπόδιον· ὃς ὑποστρέψας ἀπ᾽ Εὐφράτου κατῆγεν εἰς Αἴγυπτον ἐπιτηδείοις εἰς ἅπαντα χρώμενος κατὰ τὴν στρατείαν* 5 *Ὑρκανῷ καὶ Ἀντιπάτρῳ· καὶ γὰρ χρήματα καὶ ὅπλα καὶ σῖτον καὶ ἐπικούρους Ἀντίπατρος προσῆγεν, καὶ τοὺς ταύτῃ Ἰουδαίους φρουροῦντας τὰς κατὰ τὸ Πηλούσιον ἐμβολὰς παρεῖναι Γαβίνιον ἔπεισεν.*

176 *τῆς δ᾽ ἄλλης Συρίας πρὸς τὸν Γαβινίου χωρισμὸν κινηθείσης καὶ Ἰουδαίους πάλιν ἀπέστησεν Ἀλέξανδρος ὁ Ἀριστοβούλου, μεγίστην* 10 *δὲ συγκροτήσας δύναμιν ὥρμητο πάντας τοὺς κατὰ τὴν χώραν Ῥω-*

177 *μαίους ἀνελεῖν. πρὸς ὃ Γαβίνιος δείσας, ἤδη δὲ παρῆν ἀπ᾽ Αἰγύπτου τοῖς τῇδε θορύβοις ἠπειγμένος, ἐπὶ τινὰς μὲν τῶν ἀφεστώτων Ἀντίπατρον προπέμψας μετέπεισεν, συνέμενον δὲ Ἀλεξάνδρῳ τρεῖς μυριάδες, κἀκεῖνος ὥρμητο πολεμεῖν. οὕτως ἔξεισιν πρὸς μάχην.* 15 *ὑπήντων δὲ οἱ Ἰουδαῖοι, καὶ συμβαλόντων περὶ τὸ Ἰταβύριον ὄρος μύριοι μὲν ἀναιροῦνται, τὸ δὲ λοιπὸν πλῆθος ἐσκεδάσθη φυγῇ.*

178 *καὶ Γαβίνιος ἐλθὼν εἰς Ἱεροσόλυμα πρὸς τὸ Ἀντιπάτρου βούλημα κατεστήσατο τὴν πολιτείαν. ἔνθεν ὁρμήσας Ναβαταίων τε μάχῃ κρατεῖ καὶ Μιθριδάτην καὶ Ὀρσάνην φυγόντας ἐκ Πάρθων κρύφα* 20 *μὲν ἀπέπεμψεν, παρὰ δὲ τοῖς στρατιώταις ἔλεγεν ἀποδρᾶναι.*

---

§ 174 = Ant. Iud. XIV 97.

PAMLVRCLatHegesippus I 21 p. 30.

1 *ἀριστοβούλου, λου* ex *λω* corr. A 2 *παραδώσεως* L 3 i. marg. *ιή* VC *γαβινίου* A *δὲ* LVR 4 *πτολεμαῖος, τ* suppl., *ος* ex *ο* corr. P *ὃς*] codd. Lat. *ὃν* Hudson *κατῆγεν εἰς Αἴγυπτον*] *aegyptum petebat* Lat *κατῆγεν*] *κατῆρεν* Destinon 5 *στρατείαν*] Destinon *στρατιὰν* codd. *militiae* Lat 6 *γὰρ* om. A 7 *ὁ ἀντίπατροσ* LVRC *ταύτησ* PA *in ea parte* Lat 8 *τὰς* om. A *παρεῖναι*] *παρεᾶσαι* MLVRC *transmittere* Lat *παριέναι* Niese 9 *δὲ* LR 11 *δὲ*] *et* Lat *οὖν* ex L. B. Hauerkamp *τε* Destinon 12 *ὃ*] *ὃν ὁ* P *ὃν* A¹ *quam rem* Lat 13 *ἠπειγμένοσ* C¹ *τοῖς—ἠπειγμένος*] *hoc tumultu instante* Lat *ἐπὶ τινὰς μὲν*] *ἐπεὶ τινὰσ μὲν* M *ἐπί τινασ τε* LVR¹ *ἐπιτείνασ τε* R² 14 *παρέπεισε*, i. marg. *γρ μετέπεισε* m. 2 V *τρὶσ* C 15 *κἀκεῖνος*] *κἀκείνουσ* PA *κἀκεῖνος δ᾽* Niese; sed fort. ante *οὕτως* aliquid deest *μάχην*] *τὴν μάχην* C 16 *δ᾽* C *οἱ* om. AM *οἱ Ἰουδαίων* LR *συμβαλὼν* M *Ἰταβύριον*] *bytabirium* Lat 17 *μυρίοι* L 18 *καὶ Γαβίνιος*] *γαβίνιοσ δὲ* A *καὶ — 19 πολιτείαν*] *et gabinius ad hierosolyma reuersus (id enim antipater uoluit) rempublicam eius composuit* Lat *ἐλθὼν, ἐλθ* i. ras. R 19 *ναβοταίων* L 20 *μιθριδάτην* C *φυγόντας*] *φυγόντασ μὲν* PM *φυγόντας*] *perfugas* aut *profugas* Lat 21 *ἀπέπεμψεν*] *ἔπεμψε* LVR *τοῖστρατιώταισ* A

8. *Κἂν τούτῳ Κράσσος αὐτῷ διάδοχος ἐλθὼν παραλαμβάνει* 179
Συρίαν. οὗτος εἰς τὴν ἐπὶ Πάρθους στρατείαν τόν τε ἄλλον τοῦ
ἐν Ἱεροσολύμοις ναοῦ χρυσὸν πάντα περιεῖλεν καὶ τὰ δισχίλια
τάλαντα ἦρεν, ὧν ἀπέσχετο Πομπήιος. διαβὰς δὲ τὸν Εὐφράτην
αὐτός τε ἀπώλετο καὶ ὁ στρατὸς αὐτοῦ, περὶ ὧν οὐ νῦν καιρὸς λέγειν.

9. *Πάρθους δὲ μετὰ τὸν Κράσσον ἐπιδιαβαίνειν εἰς Συρίαν* 180
ὁρμημένους ἀνέκοπτεν Κάσσιος εἰς τὴν ἐπαρχίαν διαφυγών. περι-
ποιησάμενος δὲ αὐτὴν ἐπὶ Ἰουδαίους ἦλθεν, καὶ Ταριχέας μὲν
ἑλὼν εἰς τρεῖς μυριάδας Ἰουδαίων ἀνδραποδίζεται, κτείνει δὲ καὶ
Πειθόλαον τοὺς Ἀριστοβούλου στασιαστὰς ἐπισυνιστάντα· τοῦ
φόνου δὲ ἦν σύμβουλος Ἀντίπατρος. τούτῳ γήμαντι γυναῖκα τῶν 181
ἐπισήμων ἐξ Ἀραβίας Κύπρον τοὔνομα τέσσαρες μὲν υἱεῖς γίνονται.
Φασάηλος καὶ ὁ βασιλεὺς αὖθις Ἡρώδης, πρὸς οἷς Ἰώσηπος καὶ
Φερώρας καὶ Σαλώμη θυγάτηρ. ἐξορκιωμένος δὲ τοὺς πανταχοῦ
δυνατοὺς φιλίαις τε καὶ ξενίαις μάλιστα προσηγάγετο τὸν Ἀράβων
βασιλέα διὰ τὴν ἐπιγαμβρίαν, κἀπειδὴ τὸν πρὸς τὸν Ἀριστόβουλον
ἀνείλετο πόλεμον, ἐκείνῳ παρακαταθήκην ἔπεμψεν τὰ τέκνα. Κάσ- 182
σιος δὲ κατὰ συνθήκας ἠσυχάζειν Ἀλέξανδρον ἀναγκάσας ἐπὶ τὸν
Εὐφράτην ὑπέστρεψεν Πάρθους διαβαίνειν ἀνείρξων, περὶ ὧν ἐν
ἑτέροις ἐροῦμεν.

IX. 1. *Καῖσαρ δὲ Πομπηίου καὶ τῆς συγκλήτου φυγόντων ὑπὲρ* 183

§ 179 = Ant. Iud. XIV 105 sq.

PAMLVRCLatHegesippus I 22 p. 31.

1 i. marg. *ιθ'* V *κράσσος* A^1V *κρᾶσσος* LV *δοχος ἐλθων* — p. 44, 16 *Ἀντίγονος* duo folia recentiore manu exarata L 2 *στρατιὰν* LVRC 4 *εἶρεν* V^1 *ἀπέσχε* V *δὲ*] *τε* R 5 *οὐ νῦν καιρὸς*] *νῦν οὐ καιρὸς* V *νῦν οὐκ ἔστιν* (*ἔστι* L) *καιρὸς* AL 6 *κρᾶσσον* AC *κρᾶσον* V *ἐπιβαίνειν* M 7 *κάσιος* AML *διεκφυγὼν* AL 8 *δ'* C *περιποιησάμενος δὲ αὐτὴν*] *eius autem fauore quaesito* Lat *Ἰουδαίους*] *ἰουδαίας* ALVR *ἰουδαίαν* MCLat *ἐπείγετο* ALV^1 *ταριχαίας* codd. 9 *τρεῖς μυριάδας*] *τρισμυρίους* VR *μυρίους* C 10 *Πειθόλαον*] *πεισίλαον* VRLat *pitholaum* Heg *ἐπισυνιστάντα*] *ἐπιστομίσαντα*, i. marg. *ἐπισυνιστάντα* V 11 *σύμβουλος*] *σύμμαχος* L *ἀντίπατρος*, litt. *πα* suppl. m. 2 C i. marg. *κ'* V 12 *Κύπρον*] Hudson *κύπριν* codd.LatHeg; cf. Ant. Iud. XIV 121 *τέσσαρες*] *δ'* PA *υἱοὶ* L *γίγνονται* C 13 *αὖθις* om. Lat *iosippum* Lat 14 *καὶ Σαλώμη*] *σαλώμη δὲ* VR *ἐξοικειωμένος* PA^1C^2 *ἐξοικειούμενος* MLVR et ex corr. A *ἐξοικιομένος* C^1 15 *ξενίοις* C *τὸν*] *τῶν* PALVRC^1 *τὸν τῶν* M 16 *ἐπιγαμβρείαν* M *ἐπιγαμίαν* LVRC fort. recte *καὶ ἐπειδὴ* VR *πρὸς τὸν*] *πρὸς* VRC 17 *ἀνείλετο*] *εἵλατο* RV^1 *εἵλετο* V^2 *ἐκείνῳ* ex *ἐκεῖνο* corr. P *κάσιος* AML 19 *ἐπέστρεψε* L *διαβαίνειν ἀνείρξων*, litt. *ειν ἀν* corr. ex *ειν* et *ω* ex *ο* P *ἀνείρξων*] *ἀρείξων* L *ἐροῦμεν* damnat Hudson 21 i. marg. *κα'* VC

τὸν Ἰόνιον Ῥώμης καὶ τῶν ὅλων κρατήσας ἀνίησι μὲν τῶν δεσμῶν τὸν Ἀριστόβουλον, παραδοὺς δ' αὐτῷ δύο τάγματα κατὰ τάχος ἔπεμψεν εἰς Συρίαν, ταύτην τε ῥᾳδίως ἐλπίσας καὶ τὰ περὶ τὴν
184 Ἰουδαίαν δι' αὐτοῦ προσάξεσθαι. φθάνει δ' ὁ φθόνος καὶ τὴν Ἀριστοβούλου προθυμίαν καὶ τὰς Καίσαρος ἐλπίδας· φαρμάκῳ γοῦν ἀναιρεθεὶς ὑπὸ τῶν τὰ Πομπηίου φρονούντων μέχρι πολλοῦ μὲν οὐδὲ ταφῆς ἐν τῇ πατρῴᾳ χώρᾳ μετεῖχεν, ἔκειτο δὲ μέλιτι συντηρούμενος ὁ νεκρὸς αὐτοῦ, ἕως ὑπ' Ἀντωνίου Ἰουδαίοις ἐτέμφθη τοῖς βασιλικοῖς μνημείοις ἐνταφησόμενος.

185 2. Ἀναιρεῖται δὲ καὶ ὁ υἱὸς αὐτοῦ Ἀλέξανδρος πελέκει ὑπὸ Σκιπίωνος ἐν Ἀντιοχείᾳ Πομπηίου τοῦτ' ἐπιστείλαντος καὶ γενομένης κατηγορίας πρὸ τοῦ βήματος ὧν Ῥωμαίους ἔβλαψεν. τοὺς δ' ἀδελφοὺς αὐτοῦ Πτολεμαῖος ὁ Μενναίου παραλαβών, ὃς ἐκράτει τῆς ὑπὸ τῷ Λιβάνῳ Χαλκίδος, Φιλιππίωνα τὸν υἱὸν ἐπ' αὐτοὺς
186 εἰς Ἀσκάλωνα πέμπει. κἀκεῖνος ἀποσπάσας τῆς Ἀριστοβούλου γυναικὸς Ἀντίγονον καὶ τὰς ἀδελφὰς αὐτοῦ πρὸς τὸν πατέρα ἀνήγαγεν. ἁλοὺς δ' ἔρωτι γαμεῖ τὴν ἑτέραν καὶ μετὰ ταῦτα ὑπὸ τοῦ πατρὸς δι' αὐτὴν κτείνεται· γαμεῖ γὰρ Πτολεμαῖος τὴν Ἀλεξάνδραν ἀνελὼν τὸν υἱὸν καὶ διὰ τὸν γάμον κηδεμονικώτερος αὐτὸς ἦν πρὸς τοὺς ἀδελφούς.

187 3. Ἀντίπατρος δὲ μετὰ τὴν Πομπηίου τελευτὴν μεταβὰς ἐθεράπευεν Καίσαρα, κἀπειδὴ Μιθριδάτης ὁ Περγαμηνὸς μεθ' ἧς

---

§ 183 = Ant. Iud. XIV 123.

PAMLVRCLatHegesippus I 22 p. 32.

1 *ἰώνιον* V¹R *καὶ*] *τε καὶ* ex cod. L. B. Hauerkamp 2 *ἀριστόβολον* C *δ'*] om. P *δὲ* VR 3 *τε*] s. P *τε, τ* i. ras. A *δὲ* L 4 *δὲ* AML *προσάξασθαι* VR *προσάξεσθαι* C *δὲ* AMLVRC 6 *γοῦν*] *γαρ* L *μὲν πολλοῦ* tr. VR 7 *τῇ* om. C *δὲ*] *δὲ* (*δ'* C) *ἐν* VRC *μέλιτι*] *μελίτη* V 10 *ἀναιρεῖται, αι* ante *ρ* i. ras. A *Ἀλέξανδρος* om. C *πελέκει* ex *πέλεκι* corr. P *πέλυκι* VR 11 *σκηπίωνος* PAMLV¹ *τοῦτο* VR 12 *πρὸ*] *πρὸς* V¹ *ὧν*] *ὧν*, supra *ν* suppl. ut uid. *ὃν* V 13 *δ'* om. MVRC *μιναίου* MVR *μηναίου* C *manaei* Lat *Μινναῖος* Hudson *παραλαβὼν*] *captis* Lat *ἐκράτει* — 14 *Χαλκίδος*] *qui apud calcida sub libano morabatur* Lat 14 *φιλιππίονα* P 16 *ἀνῆγεν* C 17 *δὲ* VR *ἑτέραν*] PAHeg *νεωτέραν* (*νεωτέ* i. ras. 3 litt. M) MLVRCLat *ταῦθ'* C 18 *δι' αὐτὴν*] om. M *ob eamque causam* Lat *κτείνεται δι' αὐτὴν* tr. VR *γὰρ*] *δὲ* Destinon *τὴν* om. AML *ἀλεξάνδρου* R 19 *αὐτὸς* s. P *ἦν αὐτὸς* tr. Hauerkamp 20 *τοὺς αὐτῆς ἀδελφοὺς* VRC *τοὺς ἀδελφοὺς αὐτῆς* L 21 i. marg. *κβ'* VC *τὴν*] *τὴν τοῦ* AL *μεταβὰς*] *διαβὰς* M, om. Lat 22 *καὶ ἐπειδὴ* VR *κἀπειδήπερ* C *περγαμινὸς* PV¹

ἦγεν ἐπ' Αἴγυπτον δυνάμεως εἰργόμενος τῶν κατὰ τὸ Πηλούσιον ἐμβολῶν ἐν Ἀσκάλωνι κατίσχυε. τούς τε Ἄραβας ξένος ὢν ἔπεισεν ἐπικουρῆσαι καὶ αὐτὸς ἦκεν ἄγων Ἰουδαίων εἰς τρισχιλίους ὁπλίτας. παρώρμησεν δὲ καὶ τοὺς ἐν Συρίᾳ δυνατοὺς ἐπὶ τὴν βοήθειαν τόν 188
τε ἔποικον τοῦ Λιβάνου Πτολεμαῖον καὶ Ἰάμβλιχον, δι' οὓς αἱ ταύτῃ πόλεις ἑτοίμως συνεφίψαντο τοῦ πολέμου. καὶ Θαρρῶν ἤδη 189
Μιθριδάτης τῇ προσγενομένῃ δι' Ἀντίπατρον ἰσχύι πρὸς τὸ Πηλούσιον ἐξελαύνει κωλυόμενός τε διελθεῖν ἐπολιόρκει τὴν πόλιν. γίνεται δὲ κἀν τῇ προσβολῇ διασημότατος Ἀντίπατρος· τὸ γὰρ κατ' αὐτὸν μέρος τοῦ τείχους διαρρήξας πρῶτος εἰσεπήδησεν εἰς τὴν πόλιν μετὰ τῶν σὺν αὐτῷ.

4. Καὶ τὸ Πηλούσιον μὲν ἑάλω, πρόσω δ' αὐτὸν ἰόντα εἶργον 190
αὖθις οἱ τὴν Ὀνίου προσαγορευομένην χώραν κατέχοντες· ἦσαν δὲ Ἰουδαῖοι Αἰγύπτιοι. τούτους Ἀντίπατρος οὐ μόνον μὴ κωλύειν ἔπεισεν, ἀλλὰ καὶ τὰ ἐπιτήδεια τῇ δυνάμει παρασχεῖν· ὅθεν οὐδὲ οἱ κατὰ Μέμφιν ἔτι εἰς χεῖρας ἦλθον, ἑκούσιοι δὲ προσέθεντο Μιθριδάτῃ. κἀκεῖνος ἤδη τὸ Δέλτα περιελθὼν συνέβαλλεν τοῖς λοιποῖς 191
Αἰγυπτίοις εἰς μάχην κατὰ χῶρον, ὃς Ἰουδαίων στρατόπεδον καλεῖται. κινδυνεύοντα δ' αὐτὸν ἐν τῇ παρατάξει σὺν ὅλῳ τῷ δεξιῷ κέρατι ῥύεται περιελθὼν Ἀντίπατρος παρὰ τὸν αἰγιαλὸν τοῦ ποτα-

§ 187 = Ant. Iud. XIV 128.

PAMLVRCLatHegesippus I 23 p. 34.

1 ἐπ' αἰγύπτου M εἰσ αἴγυπτον VR εἰργόμενοσ A τῶν] ex τὸν corr. A ὑπὸ τῶν C 2 ἀσκαλῶνι PA¹ 3 ἰουδαίουσ LVR 4 παρόρμησε C¹ τῶν τε ἐποίκων Aldrich 5 τ' C Πτολεμαῖον s. P καὶ Ἰάμβλιχον om. R Ἰάμβλιχον] ἰάμβλιχον καὶ πτολεμαῖον V *iamblicum et ptolomeum* cod. Vat. Lat *iamblicum et Ptolomaeum alterum* Heg; cf. Ant. Iud. XIV 129 6 *συνεφήπτοντο* L θαρρῶν] καθορῶν C 7 προσγινομένῃ LV 8 διελθεῖν] ἐξελθεῖν VR διεξελθεῖν C *transire* Lat 9 δὲ om. V διασημώτατοσ A καθ' ἑαυτὸν (αὐτὸν C) VRC 12 τὸ om. VRC πρόσω — 14 Αἰγύπτιοι] *ulterius autem eos progredi non sinebant iudaei aegyptii terrarum incolae quae appellantur onium* Lat δὲ VR αὐτὸν ἰόντα] PAMLat αὐτοὺσ ἰόντασ LVRC εἶργον PA 13 Ὀνίου] ὄνιον PAL et ut uid. Lat *oniae* Heg ἦσαν δ'] solito angustius scripsit M, om. VR 14 Αἰγύπτιοι] PALatHeg καὶ αἰγύπτιοι MLVRC τούτουσ] τούτουσ δὲ VR κωλύων C 15 ταπιτήδεια C οὐδ' VC 16 κατὰ τὴν μέμφιν ed. pr. εἰσ χεῖρασ ἦλθον ἔτι tr. V προέθεντο C¹ 17 τὸ — περιελθὼν] *loco illo peragrato* Lat περιελθὼν] περιελὼν L συνέβαλλεν] συνέλαβε L συμβάλλει VR 18 Αἰγυπτίοις] αἰγυπτίοισ κατὰ τὴν C¹ χῶρᾶν, s. m. 2 V 19 κινδυνεύοντα — 20 ποταμοῦ] (*mithridates* —) *paene extinctus foret, nisi antipater uidens totum — dextrum cornu ab hoste urgeri, ex alia quoque parte includi flumine, — irruisset a cornu sinistro* Heg δὲ VRC σὺν ὅλῳ P¹

192 μοῦ· τῶν γὰρ καθ' ἑαυτὸν ἐκράτει τὸ λαιὸν ἔχων κέρας· ἔπειτα προσπεσὼν τοῖς διώκουσι Μιθριδάτην ἀπέκτεινεν πολλοὺς καὶ μέχρι τοσούτου τοὺς καταλειπομένους ἐδίωξεν ὡς καὶ τὸ στρατόπεδον αὐτῶν ἑλεῖν. ὀγδοήκοντα δὲ μόνους τῶν ἰδίων ἀπέβαλεν. καὶ Μιθριδάτης ἐν τῇ τροπῇ περὶ ὀκτακοσίους. σωθεὶς δ' αὐτὸς παρ' ἐλπίδα μάρτυς ἀβάσκανος γίνεται πρὸς Καίσαρα τῶν Ἀντιπάτρου κατορθωμάτων.

193 5. Ὁ δὲ τότε μὲν τὸν ἄνδρα τοῖς ἐπαίνοις καὶ ταῖς ἐλπίσιν εἰς τοὺς ὑπὲρ αὐτοῦ κινδύνους ἐπέρρωσεν, ἐν οἷς πᾶσιν παραβολώτατος ἀγωνιστὴς γενόμενος καὶ πολλὰ τρωθεὶς ἐφ' ὅλου σχεδὸν
194 τοῦ σώματος εἶχεν τὰ σημεῖα τῆς ἀρετῆς. αὖθις δὲ καταστησάμενος τὰ κατὰ τὴν Αἴγυπτον ὡς ἐπανῆκεν εἰς Συρίαν, πολιτείᾳ τε αὐτὸν τῇ Ῥωμαίων ἐδωρήσατο καὶ ἀτελείᾳ τῆς τε ἄλλης τιμῆς καὶ φιλοφρονήσεως ἕνεκεν ζηλωτὸν ἐποίησεν καὶ τὴν ἀρχιερωσύνην δὲ δι' αὐτὸν ἐπεκύρωσεν Ὑρκανῷ.

195 X. 1. Κατ' αὐτὸ δὲ καὶ Ἀντίγονος ὁ Ἀριστοβούλου πρὸς τὸν Καίσαρα παρὼν γίνεται παραδόξως Ἀντιπάτρῳ μείζονος προκοπῆς αἴτιος· δέον γὰρ ἀποδίρεσθαι περὶ τοῦ πατρὸς πεφαρμάχθαι δοκοῦντος ἐκ τῶν πρὸς Πομπήιον διαφορῶν καὶ περὶ τἀδελφοῦ τὴν Σκιπίωνος ὠμότητα μέμφεσθαι καὶ μιδὲν εἰς τὸν ἔλεον παραμῖξαι φθονερὸν πάθος, ὁ δὲ ἐπὶ τούτοις Ὑρκανοῦ καὶ Ἀντιπάτρου
196 κατηγόρει παρελθών, ὡς παρανομώτατα μὲν αὐτὸν μετὰ τῶν ἀδελφῶν πάσης ἀπελαύνοιεν τῆς πατρίου γῆς, πολλὰ δ' εἰς τὸ ἔθνος αὐτοὶ διὰ κόρον ἐξυβρίζοιεν, καὶ ὅτι τὴν εἰς Αἴγυπτον συμμαχίαν

§ 192 = Ant. Iud. XIV 133.

PAMLVRCLatHegesippus I 24 p. 35 Suidas s. *ἀβάσκανος*.

2 *μιθριδάτην, ν* i. ras. m. 1 A *μιθριδάτης* L *ἀπέκτεινεν*] *ἀπεκτείνετο* C^1 *ἀπέκτεινε τε* C^2VR 3 *τοσούτους τοὺς*] *τοσούτους* R *τοσούτου·*, eras. *σ* V *καταλιπομένους* P^1A *καταλειπόμενος* V^2R 4 *ὀγδοήκοντα*] *π̄* PA *ἰδίων*] *ἰουδαίων* R 5 *τροπῇ*] *πρώτῃ* P *cum fugeret* Lat *δὲ* VR *αὐτὸς* om. Lat 6 *ἐλπίδας* C *μάρτυς — ῑ κατορθωμάτων* laudat Suid *τῶν*] *τὸν* MV^1C^1 9 *ὑπὲρ* om. L *ἑαυτοῦ* AMLVRC *παραβο·λότατος*, eras. *υ* P 10 *ἐφ'*] *καθ'* V Hudson 12 *κατὰ*] *περὶ* VR *ὡς* om. P *Συρίαν*] *τὴν συρίαν* V *αὐτὸν, ὸ* ex *ῶ* corr. VC 13 *ἐδωρήσατο*] PAMLLat et i. marg. V *ἐτίμησε* VRC et ut uid. Heg 16 *ὁ*] redit manus antiqua L 18 *γὰρ*] *γοῦν* LVRC *ἀποδύρασθαι* LVR 19 *δοκοῦντος, σ* i. ras. A *καὶ*] *ἢ* V *τοῦ ἀδελφοῦ* LVRC 20 *σκηπίωνος* PAMLR et ex corr. V *παραμίξαι*, utrumque *α* i. ras. m. 2 V 21 *δ'* C 22 *κατηγορεῖ* L *μὲν* om. P 23 *ἀπελαύνοιε·*, eras. *ν* P *πάσης* om. Lat *πατρίου*] *πατρώου* LR *πατρ·ώου* V *δὲ* LVR 24 *διὰ κόρον* om. M *ὅτι*] *διότι* LVR *συμμαχίαν, ι* i. ras. maiore A

οὐκ ἐπ' εὐνοίᾳ αὐτῷ πέμψειαν, ἀλλὰ κατὰ δέος τῶν πάλαι διαφορῶν καὶ τὴν πρὸς τὸν Πομπήιον φιλίαν ἀποσκευαζόμενοι.

2. Πρὸς ταῦτα ὁ Ἀντίπατρος ἀπορρίψας τὴν ἐσθῆτα τὸ 197
πλῆθος ἐπεδείκνυεν τῶν τραυμάτων, καὶ περὶ μὲν τῆς εἰς Καίσαρα εὐνοίας οὐκ ἔφη λόγου δεῖν αὐτῷ· κεκραγέναι γὰρ τὸ σῶμα σιωπῶντος· Ἀντιγόνου δὲ θαυμάζειν τὴν τόλμαν, εἰ πολεμίου Ῥωμαίων 198
υἱὸς ὢν καὶ Ῥωμαίων ἀπαθέστου καὶ τὸ νεωτεροποιὸς εἶναι καὶ στασιώδης αὐτὸς πατρῷον ἔχων, παρὰ τῷ Ῥωμαίων ἡγεμόνι κατηγορεῖν ἐπικεχείρηκεν ἑτέρων καὶ πειρᾶται τυχεῖν ἀγαθοῦ τινος, δέον ἀγαπᾶν ὅτι ζῇ· καὶ γὰρ νῦν ἐφίεσθαι πραγμάτων οὐ τοσούτων δι' ἀπορίαν, ἀλλ' ἵνα Ἰουδαίους διαστασιάσῃ παρελθὼν καὶ χρήσηται κατὰ τῶν δόντων ταῖς ἀφορμαῖς.

3. Τούτων Καῖσαρ ἀκούσας Ὑρκανὸν μὲν ἀξιώτερον τῆς ἀρχιε- 199
ρωσύνης ἀπεφήνατο, Ἀντιπάτρῳ δὲ δυναστείας αἵρεσιν ἔδωκεν. ὁ δ' ἐπὶ τῷ τιμήσαντι τὸ μέτρον τῆς τιμῆς θέμενος πάσις ἐπίτροπος Ἰουδαίας ἀποδείκνυται καὶ προσεπιτυγχάνει τὰ τείχη τῆς πατρίδος ἀνακτίσαι κατεστραμμένα. τὰς μὲν δὴ τιμὰς ταύτας 200
Καῖσαρ ἐπέστελλεν ἐν τῷ Καπετωλίῳ χαραχθῆναι τῆς τε αὐτοῦ δικαιοσύνης σημεῖον καὶ τῆς τἀνδρὸς ἐσομένας ἀρετῆς.

4. Ἀντίπατρος δὲ Καίσαρα προπέμψας ἐκ τῆς Συρίας εἰς Ἰου- 201
δαίαν ὑπέστρεψεν. καὶ πρῶτον μὲν τὸ τεῖχος ἀνεδείματο τῆς πατρίδος ὑπὸ Πομπηίου κατεστραμμένον καὶ τοὺς ἀνὰ τὴν χώραν θορύβους ἐπιὼν κατέστελλεν, ἀπειλητὴς ἅμα καὶ σύμβουλος ὢν ἑκάστοις, ὅτι τὰ μὲν Ὑρκανοῦ φρονοῦντες ἐν ὄλβῳ καὶ καθ' ἡσυ-

§ 196 = Ant. Iud. XIV 140.

PAMLVRCLatHegesippus I 25 p. 36.

1 ἐπ'] ἐξ C ἀπ' Niese αὐτῷ] αὐτῶν LVR *ipsi caesari* Lat διαφορῶν] διαφόρων LRC 2 τὸν om. MLVR πήιον L ὑποσκευαζόμενοι LVRC 3 ταῦτ' M ταῦθ' C τὴν om. L 6 εἰ] εἰσ R¹ 7 ὢν] ἦν LVR¹ τὸ ex τοῦ corr. A 8 αὐτὸσ, σ i. ras. m. 2 R τῷ] τῶν L 9 πειρᾶται τυχεῖν] παρατυχεῖν LR 10 δι'] κατὰ LVR fort. recte 11 ἀλλ' — 12 ἀφορμαῖς] *sed ut in eos qui se dedissent iudaeorum seditiones accenderet* Lat διαστασιάσει LR χρήσητε C 12 ἀφορμάσ C 13 ὑρκανοῦ, i. marg. γρ ὑρκανὸν m. 2 V τῆσ ἱερωσύνησ A τὴν ἀρχιερωσύνην V 15 δὲ ἐπὶ LVR τῷ] τῶ· V τὸ C¹ τιμήσοντι Destinon πάσης om. Lat 17 κατεστρεμμένα R 18 ἐπέστελεν A ἀπέστελλεν ed. pr. καπιτωλίω C 19 τοῦ ἀνδρὸσ PLVR *antipatri* Lat ἐσομένας ἀρετῆς] Niese Hermes XI 471 ἐσομένησ ἀρετῆσ PA ἐσόμενον ἀρετῆσ MC ἀρετῆσ ἐσόμενον (ἐσόμεμενον V) LVR i. marg. κγ' VC 20 ἀντίπατρον (ν finale i. ras. m. 2) δὲ καῖσαρ R ἀποπέμψασ (ο i. ras. m. 2) R εἰς] ὡσ εἰσ τὴν LR ὡσ εἰσ V; uide Ant. XIV 156 21 καὶ om. LVR 24 ὅτι] ὅτι οἱ P

χίαν βιώσονται τῶν τε ἰδίων κτημάτων καὶ κοινῆς εἰρήνης ἀπο-
202 λαύοντες· εἰ δὲ πείθοιντο ταῖς ψυχραῖς ἐλπίσιν τῶν νεωτερίζειν
ἐπὶ κέρδεσιν οἰκείοις ἐθελόντων, ὡς αὐτόν τε πειράσουσιν ἀντὶ
κηδεμόνος δεσπότην καὶ Ὑρκανὸν ἀντὶ βασιλέως τύραννον, Ῥωμαίους
γε μὴν καὶ Καίσαρα πολεμίους ἀνθ' ἡγεμόνων καὶ φίλων· οὐ γὰρ
203 ἀνέξεσθαι μετακινούμενον ἐκ τῆς ἀρχῆς ὃν αὐτοὶ κατέστησαν. ἅμα
δὲ ταῦτα λέγων καὶ δι' αὐτοῦ καθίστατο τὴν χώραν ὁρῶν τὸν
Ὑρκανὸν νωθῆ τε καὶ βασιλείας ἀτονώτερον. Φασάηλον μὲν δὴ
τῶν παίδων τὸν πρεσβύτατον Ἱεροσολύμων καὶ τῶν πέριξ στρατη-
γὸν καθίστησιν, τὸν δὲ μετ' αὐτὸν Ἡρώδην ἐπὶ τοῖς ἴσοις ἔστειλεν
εἰς Γαλιλαίαν κομιδῇ νέον.

204 5. Ὁ δὲ ὢν φύσει δραστήριος ὕλην εὐθέως εὑρίσκει τῷ φρο-
νήματι. καταλαβὼν οὖν Ἐζεκίαν τὸν ἀρχιλῃστὴν τὰ προσεχῆ τῇ
Συρίᾳ κατατρέχοντα μετὰ μεγίστου στίφους αὐτόν τε συλλαβὼν
205 ἀποκτείνει καὶ πολλοὺς τῶν λῃστῶν. ὃ δὴ μάλιστα τοῖς Σύροις
ἡγεῖτο κεχαρισμένον· ὑμνεῖτο γοῦν ἀνά τε τὰς κώμας καὶ ἐν ταῖς
πόλεσιν Ἡρώδης ὡς εἰρήνην αὐτοῖς καὶ τὰς κτήσεις ἀνασεσωκώς.
γίνεται δ' ἐκ τούτου καὶ Σέξτῳ Καίσαρι γνώριμος ὄντι συγγενεῖ
206 τοῦ μεγάλου Καίσαρος καὶ διοικοῦντι τὴν Συρίαν. πρὸς δὲ

§ 201 = Ant. Iud. XIV 157.

PAMLVRCLatHegesippus I 25 p. 38.

1 *ἀπολαύοντες*] *potiturі* Lat *ἀπολαύσονται* Cocceji et cod. Voss. teste Hauerkampo 3 *ὡς* om. MLVRC et fort. Lat 6 *ἅμα*] *quamvis* Lat 7 *καὶ* om. LVRC *δι'* ex corr. M *αὐτοῦ* PAM *ἑαυτοῦ* LVRC *se* Lat 8 *νωθῆ*] *νωθήν* LRV² *segniorem* Lat *ἀτονώτερον*] litt. *το* eras. uid. A *ἀνώτερον* LR *κατώτερον* V *γρ ἀτονώτερον* i. marg. V et m. 2 L 9 *τῶν*] *τὸν* R¹ 10 *μετ' αὐτὸν*] *μετὰ τὸν* L 11 *Γαλιλαίαν*] *τὴν γαλιλαίαν* LVR *κομιδῇ* P¹AM 12 *τῷ*] *τὸ* C¹ 13 *καταλαβὼν οὖν*] *καὶ καταλαβὼν* Bekker *καταλαβὼν γοῦν* Destinon *τῇ Συρίᾳ*] *τῆσ συρίασ* C *τῇ στρατιᾶι* LVR, i. marg. *συρία* m. 2 L *γρ κατατρέχοντα ἐν συρία* V 14 *κατατρέχον*|·····*τα, ον* uid. corr. V *κατατατρέχοντα* C *τε* om. P *συλλαβὼν* — 15 *λῃστῶν*] *συλλαμβάνει καὶ πολλοὺσ τῶν λῃστῶν σὺν αὐτῶι ἀποκ-*

τέινει V 15 *ἀποκταίνει* P¹ *ἀποκταΐνει* A *ἀποκτέννει* MC *ἀποκτένει* LVR et ex corr. P 16 *ἡγεῖτο*] *κατώρθωκε* LVRC² *κατόρθωκε* C¹ *fuit* Lat *ἐγένετο* Destinon *ὑμνεῖ·το*, eras. *ν* V *τε* om. C 17 *ὡς* — *ἀνασεσωκώς*] *ueluti per eum pace reddita et possessionibus restitutis* Lat *quasi qui pacem et quietem publicam multo post tempore reformauisset* Heg *ὡς εἰρήνην αὐτοῖς*] PAM et ex corr. L *ὡσ εἰσ εἰρήνην αὐτοὺσ* L¹R *ὡσ εἰσ ἰρήνην αὐτοὺσ παρὼν* (*παρὼν* expunctum) V *ὡς εἰσ εἰρήνην αὐτοῖσ παρων* C 18 *δὲ* LVR *σέξστω* M 19 *καὶ* om. LR

τὸν ἀδελφὸν εὐδοκιμοῦντα καὶ Φασάηλος ἐφιλοτιμεῖτο τὴν ἀγαθὴν ἔριν τοὺς ἐν τοῖς Ἱεροσολύμοις εὐνοϊστέρους καθιστάμενος καὶ δι' αὐτοῦ μὲν ἔχων τὴν πόλιν μηδὲν δὲ ἀπειροκάλως εἰς τὴν ἐξουσίαν ἐξιβρίζων. ἐντεῦθεν Ἀντιπάτρῳ θεραπεία τε ἦν ἐκ τοῦ ἔθνους βασι- 207
λικὴ καὶ τιμαὶ παρὰ πάντων ὡς δεσπότῃ τῶν ὅλων· οὐ μὴν αὐτὸς τῆς πρὸς Ὑρκανὸν εὐνοίας ἢ πίστεώς τι μετεκίνησεν.

6. Ἀμήχανον δ' ἐν εὐπραγίαις φθόνον διαφυγεῖν· Ὑρκανὸς 208
γοῦν ἤδη μὲν καὶ καθ' ἑαυτὸν ἡσυχῇ πρὸς τὸ κλέος τῶν νεανίσκων ἐδάκνετο, μάλιστα δὲ ἐλύπει τὰ Ἡρώδου κατορθώματα καὶ χήρικες ἐπάλληλοι τῆς καθ' ἕκαστον εὐδοξίας προστρέχοντες πολλοὶ [δὲ] τῶν ἐν τοῖς βασιλείοις βασκάνων ἠρέθιζον, οἷς ἢ τὸ τῶν παίδων ἢ τὸ Ἀντιπάτρου σωφρονικὸν προσίστατο, λέγοντες ὡς Ἀντιπάτρῳ 209
καὶ τοῖς υἱοῖς αὐτοῦ παραχωρήσας τῶν πραγμάτων καθέζοιτο τοὔνομα μόνον βασιλέως ἔχων ἔρημον ἐξουσίας. καὶ μέχρι τοῦ πλανιθήσεται καθ' ἑαυτοῦ βασιλεῖς ἐπιτρέφων; οὐδὲ γὰρ εἰρωνεύεσθαι τὴν ἐπιτροπὴν αὐτοὺς ἔτι, φανεροὺς δὲ εἶναι δεσπότας παρωσαμένους ἐκεῖνον, εἴ γε μήτε ἐντολὰς δόντος μήτε ἐπιστείλαντος αὐτοῦ τοσούτους παρὰ τὸν τῶν Ἰουδαίων νόμιον ἀνῄρηκεν Ἡρώδης· ὃν, εἰ μὴ βασιλεύς ἐστιν ἀλλ' ἔτι ἰδιώτης, δεῖν ἐπὶ δίκην ἧκειν ἀποδώσοντα λόγον αὐτῷ τε καὶ τοῖς πατρίοις νόμοις, οἳ κτείνειν ἀκρίτους οὐκ ἐφιᾶσιν.

7. Τούτοις κατὰ μικρὸν Ὑρκανὸς ἐξεκαίετο καὶ τὴν ὀργὴν τελευ- 210
ταῖον ἐκρήξας ἐκάλει κριθησόμενον τὸν Ἡρώδην. ὁ δὲ καὶ τοῦ

---

§ 206 = Ant. Iud. XIV 161.

PAMLVRCLat Hegesippus I 26 p. 39.

1 *τὸν ἀδελφὸν εὐδοκιμοῦντα*] *fratris indolem* Lat *φασά-* | *ηλοσ* L 2 *καθιστανόμενοσ* LVR *αὐτοῦ*] *αὐτοῦ* PMRC *δι' αὐτοῦ* om. Lat 3 *δ'* C 4 *ἐντεῦθεν*] *ἔνθεν* AMLVRC *ἦν* post *ἔθνους* tr. LVR 7 i. marg. *κδ'* VC *δὲ* LV 9 *δ' ἐλύπει* MLC² *δὲ λύπει* C¹ *τ' ἐλύπει* Destinon *Ἡρώδου*] PAMLat et i. marg. m. 2 L *φασαήλου* LVRC 10 *προ-τρέχοντεσ*, eras. *σ* AC *προτρέχοντεσ* R *πολλοί*] *πολλοὺσ* P *δὲ* seclusit Niese 11 *ἠρέθιζεν* P 12 *σωφρονητικὸν* V *προίστατο* PMV *πρόσ*ίστατο A *officiebat* Lat 14 *τοῦ*] Destinon *ποῦ* codd. 15 *ἐπιστρέφων* C¹ 16 *ἐπιτροπὴν*, *πι* suppl. m. 2 V *αὐτοὺς*] ex *αὐτὸσ* corr. A ex *αὐτοῦ* corr. V *αὐτοῦ* P *φαναιροὺσ* C *δ'* C *παρωσαμένουσ* V 18 *παρὰ*, utrumque *α* i. ras m. 2 V *τῶν* om. LVRC *ἀνήρηκεν* · · P *ἀνηρηκέναι* A *ὅν*] *ὧν* C² *ὣν* V¹, i. marg. *γρ ὅν* V 19 *ἀποδώσοντα*] *ἀποδώσοντον* ex *ἀποδώσωντον* corr. C 20 *ἀκρίτουσ*] L. Dindorf *ἀκρίτωσ* codd. 21 *ἀφιᾶσιν* L¹RC et ex corr. V 22 *τελευταῖον*, *ν* i. ras. m. 2 R 23 *ἐκρήξασ* RC¹

πατρὸς παραινοῦντος καὶ τῶν πραγμάτων διδόντων παρρησίαν ἀνῆει φρουραῖς διαλαβὼν πρότερον τὴν Γαλιλαίαν. ἦει δὲ μετὰ κατεροῦ στίφους, ὡς μήτε καταλύειν δόξειεν Ὑρκανὸν λαμπρὰν
211 ἄγων δύναμιν μήτε γνώμης ἐμπέσοι τῷ φθόνῳ. Σέξτος δὲ Καῖσαρ δείσας περὶ τῷ νεανίᾳ, μή τι παρὰ τοῖς ἐχθροῖς ἀπολιφθεὶς πάθῃ, πέμπει πρὸς Ὑρκανὸν τοὺς παραγγελοῦντας διαρρήδην ἀπολύειν Ἡρώδην τῆς φονικῆς δίκης. ὁ δὲ καὶ ἄλλως ὡρμημένος, ἠγάπα γὰρ Ἡρώδην, ἀποψηφίζεται.

212 8. Καὶ ὃς ὑπολαμβάνων ἄκοντος τοῦ βασιλέως διαφυγεῖν εἰς Λαμασκὸν ἀνεχώρησεν πρὸς Σέξτον παρασκευαζόμενος οὐδὲ αὐθις ὑπακοῦσαι καλοῦντι. καὶ πάλιν οἱ πονηροὶ παρώξυνον τὸν Ὑρκανὸν κατ' ὀργήν τε οἴχεσθαι τὸν Ἡρώδην λέγοντες καὶ παρεσκευασμένον κατ' αὐτοῦ· πιστεύων δ' ὁ βασιλεὺς οὐκ εἶχεν ὅ τι χρὴ ὁρᾶν.
213 ὡς ἑώρα μείζονα τὸν διάφορον. ἐπεὶ δὲ ὑπὸ Σέξτου Καίσαρος στρατηγὸς ἀνεδείχθη κοίλης Συρίας καὶ Σαμαρείας οὐ μόνον τε κατ' εὔνοιαν τὴν ἐκ τοῦ ἔθνους ἀλλὰ καὶ δυνάμει φοβερὸς ἦν, εἰς ἔσχατον δέους κατέπεσεν Ὑρκανός, ὅσον οὔπω προσδοκῶν ἐπ' αὐτὸν ὁρμήσειν μετὰ στρατιᾶς.

214 9. Καὶ οὐ διήμαρτεν τῆς οἰήσεως· ὁ γὰρ Ἡρώδης κατ' ὀργὴν τῆς περὶ τὴν δίκην ἀπειλῆς στρατιὰν ἀθροίσας ἐπὶ Ἱεροσολύμων ἦγεν καταλύσων τὸν Ὑρκανόν. κἂν ἔφθη τοῦτο ποιήσας, εἰ μὴ προεξελθόντες ὅ τε πατὴρ καὶ ὁ ἀδελφὸς ἔκλασαν αὐτοῦ τὴν ὁρμὴν

---

§ 210 = Ant. Iud. XIV 169.

PAMLVRCLatHegesippus I 26 p. 39.

2 *φρουραῖ·σ*, eras. *ο* V *μετὰ κατεροῦ*] *μετ' ἀρχετοῦ* Destinon; cf. Ant. XIV 169 3 *λαμπρὰν*] *ἀδρὰν* LVR *ἀδρὰν* C *plures* Lat 4 *ἐμπέσοι*] *pateret* Lat *σέξτος* M 5 *τῷ νεανίᾳ*] *τὸν νεανίαν* C *τούτου* LVR *τι* ex *τε* corr. L *τοῖς, ισ* i. ras. m. 2 V *ἀπολειφθεὶς* L *ἀπολειφθεὶς* V *πάθοι* V 6 *Ὑρκανὸν*] *τὸν Ὑρκανὸν* LVR 9 *ἀποφυγεῖν* V 10 *πρὸς σέξτον*, litt. *σ σέξ* i. ras. L *σέξτον* M *οὐδ'* C *παρασκευαζόμενος*] *paratus* Lat *proposito studio* Heg *παρεσκευασμένος* Destinon 11 *παρώξυναν* AMLVR *τὸν* om. LVRC 12 *παρασκευασάμενον* LV²R¹ *παρασκευασμένον* V¹ *παρασκευασόμενον* R² *ut se — instrueret* Lat 13 *δὲ* LVR 14 *ὡς*] *ἕως* A *quoniam* Lat *ἐπεὶ δὲ*] *ἐπειδὴ* L¹R *σέξτου* M 15 *καὶ στρατηγὸς* AMV *κοίλης* om. Lat *ἀνεδείχθη*] *declaratus esset herodes* Lat 16 *τὴν ἐκ* om. C *ἀλλὰ καὶ*] PAMCLat *ἀλλ'* (*ἀλλὰ* R) *ὅτι καὶ* LVR *ἦν*] *putabatur* Lat 17 *Ὑρκανὸς* om. AMLVRCLat 19 *οἰκήσεως* C¹ 20 *περὶ τὴν δίκην*] *ἐπὶ τῇ δίκῃ* V 21 *κατασυλῶν* LR, i. marg. m. 2 *καταλύσων* L 22 *συνεξελθόντεσ* LVR *pariter egressi* Lat *ὁ* ante *ἀδελφὸς* om. C *ἔκλασαν* repictum in A

παρακαλοῦντες καὶ αὐτὸν ἀπειλῇ καὶ ἀνατάσει μόνῃ μετρῆσαι τὴν ἄμυναν, φείσασθαι δὲ τοῦ βασιλέως, ὑφ' οὗ μέχρι τοσαύτης δυνάμεως προῆλθεν· δεῖν τε, εἰ κλιθεὶς ἐπὶ δίκην παρώξυνται, καὶ περὶ τῆς ἀφέσεως εὐχαριστεῖν καὶ μὴ πρὸς μὲν τὸ σκυθρωπὸν ἀπαντᾶν, περὶ δὲ τῆς σωτηρίας ἀχάριστον εἶναι. εἰ δὲ δὴ λογι- 215
στέον εἴη καὶ πολέμου δρασὰς βραβεύεσθαι θεῷ, πλέον εἶναι τῆς στρατείας τὸ ἄδικον. διὸ δὴ καὶ περὶ τῆς νίκης οὐ χρὴ κατὰ πᾶν εὔελπιν εἶναι, μέλλοντά γε συμβαλεῖν βασιλεῖ καὶ συντρόφῳ καὶ πολλάκις μὲν εὐεργέτῃ, χαλεπῷ δὲ οὐδέποτε, πλὴν ὅσον πονηροῖς συμβούλοις χρώμενος ἐπισείσειεν αὐτῷ σκιὰν ἀδικήματος. πείθεται τούτοις Ἡρῴδης ὑπολαβὼν εἰς τὰς ἐλπίδας αὐταρκες εἶναι καὶ τὸ τὴν ἰσχὺν ἐπιδείξασθαι τῷ ἔθνει.

10. Κὰν τούτῳ γίνεται περὶ Ἀπάμειαν ταραχὴ Ῥωμαίων 216
καὶ πόλεμος ἐμφύλιος, Καικιλίου μὲν Βάσσου διὰ τὴν εἰς Πομπήιον εὔνοιαν δολοφονήσαντος Σέξτον Καίσαρα καὶ τὴν ἐκείνου δύναμιν παραλαβόντος, τῶν δ' ἄλλων Καίσαρος στρατηγῶν ἐπὶ τιμωρίᾳ τοῦ φόνου μετὰ δυνάμεως συνελθόντων. οἷς καὶ διὰ 217
τὸν ἀνῃρημένον καὶ διὰ τὸν περιόντα Καίσαρα φίλους ὄντας ἀμφοτέρους ὁ Ἀντίπατρος διὰ τῶν παίδων ἔπεμψεν συμμαχίαν. μηχανομένου δὲ τοῦ πολέμου Μοῦρκος μὲν ἀπὸ τῆς Ἰταλίας

§ 214 = Ant. Iud. XIV 181. § 216 = Ant. Iud. XIV 268.

PAMLVRCLatHegesippus I 26 p. 40.

1 *καί*] om. VC *et* Lat *ἀνατάσει*] C *indignatione* Lat *ἀναστάσει* PAMLVRHeg *μετρήσει* L 2 *ὑφ' ὧ* PAC *ἐφ' ὧ* M *sub quo* LatHeg 3 *ἐπὶ, ι* i. ras. maiore m. 2 V 4 *καὶ μὴ*] *μὴ* PAMLVR *neue* Lat 5 *εἰ δὲ* — 7 *ἄδικον*] *quod si etiam momenta bellorum reputanda uiderentur, iniquitatem militiae consideraret* Lat *δὴ*] *δεῖ* L 6 *θεῷ, πλέον εἶναι*] *θεωρητέον εἶναι* PAMLR *θεῶ πλεῖον εἶναι* VC *γρ βραβεύεσθαι θεωρητέον* i. marg. m. 2 V *τῷ θεῷ θεωρητέον εἶναι* Aldrichius; cfr. Ant. Iud. XIV 183 7 *στρατείας*] Destinon *στρατιᾶς* codd. *περὶ*] *τὸ περὶ* LVR *χρὴ*] *χρῆναι* LVRC *κατὰ πᾶν*] *κατὰ πάντα* P *καθ' ἅπαν* M 8 *γε*] Bekker *τε* codd. *συμβάλειν* C *συμβάλλειν* LVR *βασιλεῖ*] om. R i. marg. suppl. m. 2 L 9 *χαλεπῶ* · L *χαλεπῶσ* R *οὐδέποτε* L¹R 10 *χρώμενον* PL²V 11 litt. *λαβὼν* — *εἶναι καὶ* om. R *ὑπολαβὼν* — 12 *ἔθνει*] *qui speratis putauerat posse sufficere suasque uires demonstrare nationi* Lat 12 *τὸ*] *τῶ* PA¹ *τὸ* ex *τα* aut *τω* corr. L *ἔθνει, ει* i. ras. A 13 i. marg. *κε'* VC *περὶ*] *πρὸσ* P *ἀπάμεια* · *ν* A 14 *Καικιλίου*] Dindorf *κεκελλίου* PAM *κικιλίου* LVR *κεκιλλίου* C *caecilius* Lat Heg *βάσσου* PA 15 *σέξτον* M 16 *δὲ* LVR post *ἐπὶ* ras. 2—3 litt. A 17 *μετὰ δυνάμεως συνελθόντων*] *βάσσω συμβαλόντων* (*συμβαλ* | *λόντων* M) *μετὰ πάσης τῆσ δυνάμεωσ* PAMC (*quoniam*) *cunctis uiribus bassum petebant* Lat; cf. Ant. Iud. XIV 268 20 *Μοῦρκος*] *μάρκοσ* MLVRCLat

218 Σέξτου παραγίνεται διάδοχος. XI. 1. συνίσταται δὲ Ῥωμαίοις κατὰ τοῦτον τὸν καιρὸν ὁ μέγας πόλεμος Κασσίου καὶ Βρούτου κτεινάντων δόλῳ Καίσαρα κατασχόντα τὴν ἀρχὴν ἐπ᾽ ἔτη τρία καὶ μῆνας ἑπτά. μεγίστου δ᾽ ἐπὶ τῷ φόνῳ γενομένου κινήματος καὶ διαστασιασθέντων τῶν δυνατῶν ἕκαστος ἐλπίσιν οἰκείαις ἐχώρει πρὸς ὃ συμφέρειν ὑπελάμβανεν, καὶ δὴ καὶ Κάσσιος εἰς Συρίαν
219 καταληψόμενος τὰς περὶ Ἀπάμειαν δυνάμεις. ἔνθα Βάσσῳ τε Μοῦρκον καὶ τὰ διεστῶτα τάγματα διαλλάξας ἐλευθεροῖ μὲν Ἀπάμειαν τῆς πολιορκίας, ἡγούμενος δ᾽ αὐτὸς τῆς στρατιᾶς ἐπήει φορολογῶν τὰς πόλεις καὶ παρὰ δύναμιν τὰς εἰσπράξεις ποιούμενος.
220 2. Κελευσθὲν δὲ καὶ Ἰουδαίοις εἰσενεγκεῖν ἑπτακόσια τάλαντα δείσας Ἀντίπατρος τὴν ἀπειλὴν τοῦ Κασσίου τοῖς τε υἱοῖς διεῖλεν εἰσπράττειν τὰ χρήματα καί τισιν ἄλλοις τῶν ἐπιτηδείων κατὰ τάχος, ἐν οἷς καὶ Μαλίχῳ τινὶ τῶν διαφόρων· οὕτως ἤπειγεν
221 ἡ ἀνάγκη. πρῶτος δ᾽ ἀπεμελίξατο Κάσσιον Ἡρώδης τὴν ἑαυτοῦ μοῖραν ἐκ τῆς Γαλιλαίας κομίσας ἑκατὸν τάλαντα καὶ διὰ τοῦτο ἐν τοῖς μάλιστα φίλος ἦν. τοὺς δὲ λοιποὺς εἰς βραδυτῆτα κακίσας
222 αὐταῖς ἐθυμοῦτο ταῖς πόλεσιν. Γόφνα γοῦν καὶ Ἀμμαοῦν καὶ δύο ἑτέρας τῶν ταπεινοτέρων ἐξανδραποδισάμενος ἐχώρει μὲν ὡς καὶ Μάλιχον ἀναιρήσων, ὅτι μὴ σπεύσας εἰσέπραξεν, ἐπέσχεν δὲ τὴν τούτου καὶ τὴν τῶν ἄλλων πόλεων ἀπώλειαν Ἀντίπατρος ταχέως ἑκατὸν ταλάντοις θεραπεύσας Κάσσιον.

§ 218 = Ant. Iud. XIV 270.

PAMLVRCLatHegesippus I 27 p. 40.

1 *Σέξτου*] *σέξτου* M *σέξτου* LVRC *ἀντὶ κασσίου* P *ἀντὶ κεστίου* A *antistii* Lat fort. recte (uide Cass. Dio 47, 27. Drumann hist. Rom. II 127) *ἀντὶ Σέξτου* Destinon 2 *κατὰ τοῦτον τὸν καιρὸν*] *καὶ κατὰ τὸν καιρὸν* C *eodem tempore* Lat *πόλεμος ὁ μέγας* (corr. m. 2) tr. V *μέγας* om. Lat 3 *κτεινάντων*] *κτείναντος* LVR *ἄφνω κτεινάντων* PAMC *ἐπὶ* LVR 4 *ἑπτὰ* · (eras. uid. *ι*) P *μεγίστου* C¹ *δὲ* LVR 6 *καὶ δὴ καὶ*] PA *καὶ δὴ ἦκε* ML²VRC *καὶ δὴκε* L¹ *itaque cassius (syriam) petit* Lat *εἰσ συρίαν, σ σ* i. ras. m. 2 V post *Συρίαν* excidisse uid. uerbum *καταληψόμενος, ἡ* i. ras. m. 2 V 7 *ἀπάμειαν, πάμει* i. ras. m. 2 C *βάσσον* P *μάρκον* MLVRCLat 8 *τα* om. A¹ 9 *δὲ* LVR *ἐπήει*] *ἀπήει* L¹VR, om. Lat 11 *ἑπτακόσια*] *ὀκτακόσια* Syncellus p. 576 12 *υἱέσι* M 14 *οὕτως*] *οὕτωσ δ᾽* PA *οὕτωσ γὰρ* V 15 *δὲ* LVR 16 *ἐκ, κ* i. ras. m. 2 V *ἑκατὸν*] *ρ̄* PA 17 *φίλοισ* M *φίλο · σ* V *κακίσας*] *κακίασ* L¹ *arguens cassius* Lat, unde *κακίσας Κάσσιος* Destinon 18 *Γόφνα γοῦν*] *γνοφὰν οὖν* PA *γόφναν οὖν* M *τόφνα γοῦν* LR *τόφρα γοῦν*, i. marg. *γνόφαν γρ τόφναν* V *γόφναν γοῦν* C *eaque re gufnam* Lat *amaum* Lat 19 *καὶ Μάλιχον*] *μαλιχον, μαι* m. 2 ut uid. ex *καὶ* corr. C 20 *τὴν*] *τήν τε* LVRC 21 *τὴν* om. V

3. Οὐ μὴν Μάλιχος ἀναχωρήσαντος Κασσίου τῆς χάριτος ἀπε- 223
μνημόνευσεν Ἀντιπάτρῳ, καὶ δὲ τοῦ πολλάκις σωτῆρος ἐπιβουλὴν
ἐνεσκευάζετο σπεύδων ἀνελεῖν τὸν ἐμπόδιον αὐτοῦ τοῖς ἀδικήμασιν
Ἀντίπατρος δὲ τήν τε ἰσχὺν καὶ τὸ πανοῦργον τἀνδρὸς ὑποδείσας
διαβαίνει τὸν Ἰορδάνην στρατὸν ἀθροίσων εἰς τὴν τῆς ἐπιβουλῆς
ἄμυναν. φωραθεὶς δὲ Μάλιχος ἀναιδείᾳ τῶν Ἀντιπάτρου παίδων 224
περιγίνεται· τόν τε γὰρ Ἱεροσολύμων φρούρων Φασάηλον καὶ Ἡρώ-
δην πεπισευμένον τὰ ὅπλα πολλαῖς ἀπολογίαις καὶ ὅρκοις ἐκγοη-
τεύσας διαλλακτὰς αὐτῷ πρὸς τὸν πατέρα πείθει γίνεσθαι. πάλιν
γοῦν ἐπ' Ἀντιπάτρου σώζεται πείσαντος Μοῦρκον τὸν τότε στρα-
τηγοῦντα Συρίας, ὃς ὥρμητο κτεῖναι Μάλιχον ἐφ' οἷς ἐνεωτέρισεν.

4. Συστάντος δὲ τοῦ πρὸς Κάσσιον καὶ Βροῦτον πολέμου 225
Καίσαρί τε τῷ νέῳ καὶ Ἀντωνίῳ Κάσσιος καὶ Μοῦρκος στρατιὰν
ἀθροίσαντες ἐκ τῆς Συρίας, ἐπειδὴ μέγα μέρος εἰς τὰς χρείας
Ἡρώδης ἔδοξε, τότε μὲν αὐτὸν Συρίας ἁπάσης ἐπιμελητὴν καθι-
στᾶσιν δύναμιν πεζήν τε καὶ ἱππικὴν δόντες, μετὰ δὲ τὴν τοῦ
πολέμου κατάλυσιν ἀποδείξειν Κάσσιος ὑπέσχετο καὶ Ἰουδαίας
βασιλέα. συνέβη δ' Ἀντιπάτρῳ τήν τε ἰσχὺν τοῦ παιδὸς καὶ τὴν 226
ἐλπίδα αἰτίαν ἀπωλείας γενέσθαι· ταῦτα γὰρ δείσας ὁ Μάλιχος
διαφθείρει τινὰ τῶν βασιλικῶν οἰνοχόων χρίμασιν δοῦναι φάρμακον
Ἀντιπάτρῳ. καὶ ὁ μὲν ἀγώνισμα τῆς Μαλίχου παρανομίας γενό-
μενος μετὰ τὸ συμπόσιον θνήσκει τά τε ἄλλα δραστήριος ἀνὴρ
ἐν ἀφηγήσει πραγμάτων καὶ τὴν ἀρχὴν ἀνακτησάμενός τε Ὑρκανῷ
καὶ διαφυλάξας· 5. Μάλιχος δὲ καθ' ὑπόνοιαν τῆς φαρμακείας 227

---

§ 223 = Ant. Iud. XIV 277.

PAMLVRCLatHegesippus I 28 p. 41.

1 *οὐ, υ* suppl. m. 2 C *μάλαχοσ* (s. m. 2) V *ἀπεμνημόνευεν* ed. pr. 2 *ἀνεσκευάζετο* ed. pr. 3 *ἀδικήμασιν*] *ἀδικήμασιν ὄντα* LVRC 4 *τοῦ ἀνδρὸς* LVR 5 *τὸν Ἰορδάνην διαβαίνει* tr. V *ἀθροίσασ* LVR *congregaturus* Lat 6 *ἄμυναν, ν* ante *α* i. ras. m. 2 V 9 *διαλλάκται* P *διαλλακταῖσ* L¹R *γενέσθαι* AMLVRC 10 *μάρκον* MLVRCLat *τὸν τότε*] *τόν τε* L¹ *τότε* V 11 *ὃς, ὃ* i. ras. m. 2 V *ἐνεωτέρησεν* C 13 *νεῶ* ALVRC *μάρκοσ* MLVRCLat 14 *χρείας*] *χείρασ* et i. marg. m. 2 *γρ. χρείασ* L 15 *ἔδοξε*] *ἔδοξε συμβεβλῆσθαι* (*η* m. 2 i. ras.) C *ἐπιμελήτην, ή* ex *ί* corr. VC *καθιστᾶσιν*] *κατέστησαν* LVR 16 *πεζήν τε*] *πεζικὴν* P *τε πεζὴν* M *πεζικήν τε* C 18 *βασιλέαι* V *δὲ* LVRC 19 *αἰτίαν, αἱ* i. ras. A 21 *Ἀντιπάτρῳ*] *εἰ* Lat 22 *μετὰ*] *κατα* C *post* LatHeg *θνήσκειν* V¹ *τά τε — 23 πραγμάτων*] *uir ad alia strenuus rebusque administrandis idoneus* Lat *ἀνὴρ*] *ὢν ἀνὴρ* Destinon 23 *κτησάμενόσ* L¹R *τε* om. P 24 *φαρμακίασ* C

ὀργιζόμενον τὸ πλῆθος ἀρνούμενος ἔπειθεν καὶ δυνατώτερον ἑαυτὸν κατεσκεύαζεν ὁπλίτας συγκροτῶν· οὐ γὰρ ἠρεμήσειν Ἡρώδην ὑπελάμβανεν, ὃς δὴ καὶ παρῆν αὐτίκα στρατὸν ἄγων ἐπὶ τιμωρίᾳ
228 τοῦ πατρός. Φασαήλου δὲ τἀδελφοῦ συμβουλεύσαντος αὐτῷ μὴ φανερῶς τὸν ἄνδρα μετιέναι, διαστασιάσειν γὰρ τὸ πλῆθος, τότε μὲν ἀπολογούμενόν τε προσίεται τὸν Μάλιχον καὶ τῆς ὑπονοίας ἀπολύειν ὁμολόγει, λαμπρὰν δὲ πομπὴν ἐπὶ τῷ πατρὶ κηδείας ἐτέλεσεν.

229 6. Τραπεὶς δ' ἐπὶ Σαμάρειαν στάσει τεταραγμένην κατεστήσατο τὴν πόλιν· ἔπειτα καθ' ἑορτὴν ὑπέστρεφεν εἰς Ἱεροσόλυμα τοὺς ὁπλίτας ἄγων. καὶ πέμπων Ὑρκανός, ἐνῆγεν γὰρ δεδοικὼς τὴν ἔφοδον Μάλιχος, ἐκώλυεν τοὺς ἀλλοφύλους εἰσαγαγεῖν ἐφ' ἁγνεύοντας τοὺς ἐπιχωρίους. ὁ δὲ τῆς προφάσεως καταφρονήσας καὶ τοῦ
230 προστάσσοντος εἰσέρχεται διὰ νυκτός. καὶ πάλιν Μάλιχος προσιὼν ἔκλαιεν Ἀντίπατρον· ἀνθυπεκρίνετο δὲ μόλις Ἡρώδης τὸν θυμὸν ἐπέχων καὶ Κασσίῳ δι' ἐπιστολῶν τὴν τοῦ πατρὸς ἀναίρεσιν ἀπωδύρετο μισοῦντι καὶ ἄλλως Μάλιχον. ὁ δ' αὐτῷ μετιέναι τὸν φονέα τοῦ πατρὸς ἀντεπιστείλας καὶ τοῖς ὑφ' ἑαυτὸν χιλιάρχοις λάθρα προσέταξεν Ἡρώδῃ βοηθεῖν εἰς πρᾶξιν δικαίαν.

231 7. Καὶ ἐπειδὴ Λαοδίκειαν ἐλόντος αὐτοῦ συνῆσαν οἱ πανταχόθεν δυνατοὶ δωρεάς τε καὶ στεφάνους φέροντες, Ἡρώδης μὲν τοῦτον

---

§ 227 = Ant. Iud. XIV 281.

PAMLVRCLatHegesippus I 28 p. 41.

1 *δυνατώτερον, ὠ* ex *ὁ* A 2 *ἠρώδην ἠρεμήσειν* tr. LVR 3 *ὃς*] *ὃ* L^1 *δὴ*] *δὲ* V *στρατὸν*] *στρατιὰν* V 4 *τοῦ ἀδελφοῦ* LVRC *συμβουλεύοντος*] *συμβασιλεύσαντος* M 5 *φανερῶι* V^1 6 *τε* om. V 7 *ἀπολύειν*] *liberum esse* Lat *ὁμολογεῖ* V *λαμπρὰν — ἐτέλεσεν*] *clarissimas paterno funeri celebrauit exequias* Lat *δὲ*] *τε* LR, om. V *ἐπὶ τῇ πατρικῇ κηδείᾳ* Bekker *κηδείᾳ*, s. m. 2 V 9 *δὲ* MLVRC 11 *ἐνῆγεν*] *ἐνῇ* A 12 *ἐκώλυεν*] *διεκώλυε* LVR *δ' ἐκώλυε* uertit Lat, qui totam sententiam non intellexit *εἰσάγειν* LVR *ἐφ' ἁγνεύοντας*] *ἐπαγνεύοντα σ* (*ν* post *γ* s. A) PA *ἐπὶ ἁγνεύοντας* LRV^1 *ἐπιαγνεύοντας* V^2

13 *τῆς*] *τῆς τε* Niese 15 *Ἀντίπατρον*] *ἀντίπα τ* C^1 16 *καὶ*] *et tamen* Lat *ἐπωδύρετο* LVR 17 *καὶ ἄλλως μισοῦντι* tr. LVRC *δὲ* LVR 18 *ἀνεπιστείλας* A^1 *χιλιάρχοις τοῖς ἐν Τύρῳ* mallet Destinon; uide Ant. XIV 288 19 *ἠρώδην* L^1 *εἰς πρᾶξιν*] *εἴσπραξιν* PA 20 *καὶπειδὴ* C *συνῆσαν* MC *συνῆσαν* — 21 *Ἡρώδης μὲν*] *ἐπήκοοι πανταχόθεν δυνατοὶ δωρεάς τε καὶ στεφάνους φέροντες παρῆσαν αὐτῷ καὶ ἡρώδης* (*ἠρώδης* iterat V) *μὲν* LVR *undique ad herodem conuenerant optimates cum muneribus et coronis, ipse quidem* Lat 21 *τοῦτον* om. L^1VR

τῇ τιμωρίᾳ τὸν καιρὸν ἀφώρισεν. Μάλιχος δὲ ὑποπτεύσας, ὡς ἐν Τύρῳ γίνεται, τόν τε υἱὸν ὁμηρεύοντα παρὰ τοῖς Τυρίοις ὑπεξαγαγεῖν ἔγνω λάθρα καὶ αὐτὸς εἰς τὴν Ἰουδαίαν ἀποδρᾶναι παρεσκευάζετο· παρώξυνεν δ' αὐτὸν ἡ τῆς σωτηρίας ἀπόγνωσις ἐνθυ- 232
μεῖσθαι καὶ μείζονα· τό τε γὰρ ἔθνος ἐπαναστήσειν Ῥωμαίοις ἤλπισεν Κασσίου τῷ πρὸς Ἀντώνιον πολέμῳ περισπωμένου καὶ βασιλεύσειν αὐτὸς Ὑρκανὸν καταλύσας εὐμαρῶς.

8. Ἐπεγέλα δ' ἄρα τὸ χρεὼν αὐτοῦ ταῖς ἐλπίσιν. ὁ γοῦν Ἡρώδης προϊδόμενος αὐτοῦ τὴν ὁρμὴν τόν τε Ὑρκανὸν κἀκεῖνον ἐπὶ δεῖπνον ἐκάλει, παρεστῶτας ἔπειτα τῶν οἰκετῶν τινας πρὸς αὐτὸν εἰσέπεμψεν ὡς ἐπὶ τὴν τοῦ δείπνου παρασκευήν, τῷ δὲ ὄντι προειπεῖν τοῖς χιλιάρχοις ἐξελθεῖν ἐπὶ τὴν ἐνέδραν. κἀκεῖνοι τῶν Κασσίου προσταγμάτων ἀναμνησθέντες ἐπὶ τὸν πρὸ τῆς πόλεως αἰγιαλὸν ἐξέβησαν ξιφήρεις, ἔνθα περιστάντες τὸν Μάλιχον πολλοῖς τραύμασιν ἀναιροῦσιν. Ὑρκανὸς δὲ παραχρῆμα μὲν λυθεὶς ὑπ' ἐκπλήξεως ἔπεσεν, μόλις δὲ ἀνενεγκὼν Ἡρώδην διηρώτα, τίς ὁ κτείνας εἴη Μάλιχον. ἀποκριναμένου δέ τινος τῶν χιλιάρχων „τὸ Κασσίου πρόσταγμα", „Κάσσιος ἄρα, ἔφη, κἀμὲ καὶ τὴν πατρίδα μου σώζει τὸν ἀμφοτέρων ἐπίβουλον ἀνελών." εἴτε δὲ φρονῶν Ὑρκανὸς οὕτως εἴθ' ὑπὸ δέους ὁμόσε τῇ πράξει χωρῶν εἶπεν, ἄδηλον ἦν. ἀλλὰ γὰρ Μάλιχον μὲν οὕτως Ἡρώδης μετῆλθεν. 233 234 235

---

§ 231 = Ant. Iud. XIV 290.

PAMLVRCLatHegesippus I 28 p. 41.

1 τῇ om. C ἀφώρισεν, ι ex η corr. A ἀφώρσε C^1 ὑποπτεύσας — 2 γίνεται] *id tyri fore suspicabatur et* Lat 2 τυρίοις ἐξαγαγεῖν V^1C 3 ἔγνω om. L^1R ἀποδρᾶναι om. L^1R 4 δὲ LVR 5 ῥωμαίους C 6 τῷ] τοῦ PA^1 τὸ V^1R πολέμου PA^1R^1 7 βασιλεύειν PL^1 βασιλεύσειν, ει ex ι corr. A 8 δὲ LVRC αὐτοῦ om. LVR ἡρῷ $^{\delta}$ C^1 ἡρῷ $^{\delta\iota\sigma}$ C^2 9 προειδόμενος codd., corr. Dindorf τόν — 11 εἰσέπεμψεν] *et ipsum et hyrcanum prope astantes ad coenam uocat. deinde seruorum quendam instruendi conuiuii specie intromittit* Lat 10 ἐκάλει] καλεῖ AMLVR ἔπειτα τῶν οἰκετῶν παρεστῶτας τινὰς tr. P παρεστῶτας] παρεστῶτα δὲ (δ' C) ML^1VRC παρεστῶτας δὲ L^2 τινας] τινὰ MLVRC 11 αὐτὸν PA ἑαυτὸν MLVRC εἰσέπεμψεν] PALat καλέσας εἰσέπεμψεν M καλέσας ἐξέπεμψεν LVRC τῷ] τὸ L 12 προσειπεῖν L 13 ἐπιταγμάτων V ἀναμνησθέντες] *inmemores* Lat πρὸ om. P 14 ἐξέβησαν] ἐξέσαν P ἔβησαν V^1 15 ἐκλυθεὶς C ὑπὸ V 16 μόγις LVR δ' C ἡρῷ $^{\delta}$ C^1 ἡρῷ $^{\delta\eta}$ C^2 17 τὸ] τοῦ ed. pr. 19 τὸν] τῶν RC^1 ἐπίβουλον] *insidiatores* Lat δὲ, ὲ i. ras. m. 2 L δὴ VR φρονῶν] φθονῶν uertit Lat 20 οὕτως ex οὗτος corr. P εἴτε LVR τῇ] τῇ γε LVRC χορῶν V^1 21 ἄδηλον] ἄδηλον δὲ L^1VR ἦν] *est* Lat, damnat Destinon μὲν s. P

236 XII. 1. *Κασσίου δὲ ἀναχωρήσαντος ἐκ Συρίας πάλιν στάσις ἐν*
Ἱεροσολύμοις γίνεται Ἕλικος μετὰ στρατιᾶς ἐπαναστάντος Φασαήλῳ
καὶ κατὰ τὴν ὑπὲρ Μαλίχου τιμωρίαν ἀμύνεσθαι θέλοντος Ἡρώ-
δην εἰς τὸν ἀδελφόν. Ἡρώδης δὲ ἔτυχεν μὲν ὢν παρὰ Φαβίῳ τῷ
στρατηγῷ κατὰ Λαμασκόν, ὡρμημένος δὲ βοηθεῖν ὑπὸ νόσου κατεί-
237 *χετο. κἂν τούτῳ Φασάηλος καθ' ἑαυτὸν Ἕλικος περιγενόμενος*
Ὑρκανὸν ὠνείδιζεν εἰς ἀχαριστίαν ὧν τε Ἕλικι συμπράξειεν, καὶ
ὅτι περιορῴη τὸν ἀδελφὸν τὸν Μαλίχου τὰ φρούρια καταλαμβά-
νοντα· πολλὰ γὰρ δὴ κατείληπτο, καὶ τὸ πάντων ὀχυρώτατον
Μασάδαν.

238 2. *Οὐ μὴν αὐτῷ τι πρὸς τὴν Ἡρώδου βίαν ἤρκεσεν, ὃς ἀναρ-*
ρωσθεὶς τά τε ἄλλα παραλαμβάνει κἀκεῖνον ἐκ τῆς Μασάδας ἐκέ-
την ἀφῆκεν. ἐξήλασεν δὲ καὶ ἐκ τῆς Γαλιλαίας Μαρίωνα τὸν
Τυρίων τύραννον ἤδη τρία κατεσχηκότα τῶν ἐρυμάτων, τοὺς δὲ
ληφθέντας Τυρίους ἔσωσεν μὲν πάντας, ἦσαν δ' οὓς καὶ δωρησά-
239 *μενος ἀνέπεμψεν εὔνοιαν ἑαυτῷ παρὰ τῆς πόλεως καὶ τῷ τυράννῳ*
μῖσος παρασκευαζόμενος. ὁ δὲ Μαρίων ἐξίωτο μὲν τῆς τυραννίδος
ὑπὸ Κασσίου τυραννίσιν πᾶσαν διαλαβόντος τὴν Συρίαν, κατὰ δὲ
τὸ πρὸς Ἡρώδην ἔχθος συγκατήγαγεν Ἀντίγονον τὸν Ἀριστοβούλου,
καὶ τὸ πλέον διὰ Φάβιον, ὃν Ἀντίγονος χρήμασιν προσποιησάμενος
βοηθὸν εἶχεν τῆς καθόδου· χορηγὸς δ' ἦν ἁπάντων ὁ κηδεστὴς
Πτολεμαῖος Ἀντιγόνῳ.

240 3. *Πρὸς οὓς Ἡρώδης ἀντιπαραταξάμενος ἐπὶ τῶν ἐμβολῶν τῆς*

§ 236 = Ant. Iud. XIV 294.

PAMLVRCLatHegesippus I 28 p. 41.

1 *δὲ*] *enim* Lat *Συρίας*] *τῆσ συρίασ* LVR *στάσι* V¹ 2 *ἕλικοσ* P¹ *ἵλικοσ* AV item infra u. 6 sq. *felix* Lat *elichus* (nom.) Heg 3 *θέλοντος*] *μέλλοντοσ* LVR 4 ante *εἰς* ras. 3—4 litt. V *δὲ* | · · · *ἔτυχε* (*δὲ* suppl. m. 2) A *μὲν*, *μ* corr. ex *ν* uid., *ἐν* i. ras. m. 2 A 5 *στατηγῶ* C *ὡρμημένοσ* R *κατείχετο* repictum m. 2 A 6 *τούτῳ*] *τοῦτο* A¹ *περιγενό* | *μενοσ*, litt. *εριγενό* repictae A 7 *ὧν τε*] *qui* Lat 8 *περιορῴη*] *περιορῶν* PA *περ ὁρώη* L 9 *δὴ*] *ἤδη* LVRC fort. recte *ὀχυρότατον* V¹RC 10 *μάσαδαν* LV *μάσαδα* MC *masadam* LatHeg 12 *τά* i. marg. suppl. A *μασάδοσ* V 13 *τὸν*] *τῶν* PA 14 *ἤδη τρία*] *triennium* (*tria iam* Destinon) Lat 15 *ἦσαν*] *ἔστι* C fort. recte *δὲ* LVR 16 *εὔνοιάν τε* C 18 *τυραννίσιν*] *τυραννήσειν* ML¹VR *διαλαβὼν* L¹VR 19 *συγκατῆγεν* Destinon *συγκατήγαγεν Ἀντίγονον τὸν*] PAMLat *συνέλαβε τὸν ἀντίγονον τὸν* LVR *συνέλαβεν ἀντιγόνῳ τῷ* C 20 *καὶ τὸ πλέον*] *et ptolomaeum* Lat *fabianum* Lat *ὃν*] *ὁ* L¹VR 21 *καθόδου*] *incepti* Lat *χορηγὸσ* R *δὲ* LVRC *πάντων* LVR 23 *ἀντιταξάμενοσ* MLVRC

Ἰουδαίας κρατεῖ τῇ μάχῃ καὶ τὸν Ἀντίγονον ἐξελάσας ἐπέστρεψεν εἰς Ἱεροσόλυμα πᾶσιν ἀγαπητὸς ὢν ἐπὶ τῷ κατορθώματι· καὶ γὰρ οἱ μὴ προσέχοντες πάλαι τότε ᾠκείωντο διὰ τὴν πρὸς Ὑρκανὸν ἐπιγαμίαν αὐτῷ. πρότερον μὲν γὰρ ἦκτο γυναῖκα τῶν ἐπιχωρίων 241
οὐκ ἄσημον, Δωρὶς ἐκαλεῖτο, ἐξ ἧς ἐγέννησεν Ἀντίπατρον, τότε δὲ γήμας τὴν Ἀλεξάνδρου τοῦ Ἀριστοβούλου θυγατέρα, θυγατριδῆν δὲ Ὑρκανοῦ Μαριάμην οἰκεῖος τῷ βασιλεῖ γίνεται.

4. Ἐπεὶ δὲ Κάσσιον περὶ Φιλίππους ἀνελόντες ἀνεχώρησαν 242
εἰς μὲν Ἰταλίαν Καῖσαρ ἐπὶ δὲ τῆς Ἀσίας Ἀντώνιος, πρεσβευομένων τῶν ἄλλων πόλεων πρὸς Ἀντώνιον εἰς Βιθυνίαν ἦκον καὶ Ἰουδαίων οἱ δυνατοὶ κατιγοροῦντες Φασαήλου καὶ Ἡρώδου, βίᾳ μὲν αὐτοὺς κρατεῖν τῶν πραγμάτων, ὄνομα δὲ μόνον περιεῖναι Ὑρκανῷ τίμιον. πρὸς ἃ παρὼν Ἡρώδης καὶ τεθεραπευκὼς οὐκ ὀλίγοις Ἀντώνιον χρήμασιν οὕτως διέθηκεν, ὡς μηδὲ λόγου τῶν
ἐχθρῶν ἀνασχέσθαι. καὶ τότε μὲν οὕτως διελύθησαν, 5. αὖθις δὲ 243
οἱ ἐν τέλει Ἰουδαίων ἑκατὸν ἄνδρες ἦκον εἰς τὴν πρὸς Ἀντιόχειαν Δάφνην ἐπ' Ἀντώνιον ἤδη τῷ Κλεοπάτρας ἔρωτι δεδουλωμένον· οἳ προστησάμενοι τοὺς ἀξιώματι καὶ λόγῳ σφῶν δυνατωτάτους κατηγόρουν τῶν ἀδελφῶν. ὑπήντα δὲ Μεσσάλας ἀπολογούμενος
συμπαρεστῶτος Ὑρκανοῦ διὰ τὸ κῆδος. καὶ Ἀντώνιος ἀκούσας 244
ἑκατέρων Ὑρκανοῦ διεπυνθάνετο τοὺς ἐπιτηδειοτέρους ὄντας ἄρχειν· τοῦ δὲ τοὺς περὶ τὸν Ἡρώδην προκρίνοντος, ἡσθείς, ἦν γὰρ δὴ καὶ ξένος αὐτοῖς πατρῷος δεχθεὶς ὑπ' Ἀντιπάτρου φιλοφρόνως ὅτε εἰς τὴν Ἰουδαίαν σὺν Γαβινίῳ παρέβαλλεν, τετράρχας ἀποδείκνυσιν τοὺς ἀδελφοὺς πᾶσαν διοικεῖν τὴν Ἰουδαίαν ἐπιτρέπων.

---

§ 240 = Ant. Iud. XIV 300.

PAMLVRCLatHegesippus I 28 p. 42.

2 ὧν om. LR 3 πάλαι, corr. ex πάλιν uid. M ᾠκείωντο · A οἰκείωντο] L¹V¹R¹ οἰκείωντο ex corr. R 5 Δωρὶς] δωρὶσ δ' (δ' s. A) AV *dosis* LatHeg δὲ] δὴ PA² 7 δὲ] om. L¹VR τε C μαριαμ PA μαριὰμμ··L μαριάμμην VRCLatHeg 8 φιλίππου L¹ 9 μὲν τὴν ἰταλίαν M τὴν ἀσίαν PAMC et ex corr. L 11 καὶ] τε καὶ C 13 τίμιον ὑρκανῷ tr. M 14 οὕτω LVRC 15 ἀνέχεσθαι LVRC οὕτω LVRC et ex corr. P 16 τὴν ἀντιόχειαν LVR Ἀντιοχείᾳ fort. melius 17 δεδουλομένον V¹ 19 μεσσαλὰσ LV μεσσαλᾶσ RC *messala* Lat γρ ἔν τισι μεσσαχϊάσ i. marg. M 20 διὰ — 21 Ὑρκανοῦ om., i. marg. suppl. m. 2 V 21 ἄρχειν] ··ἄρχειν L ὑπάρχειν VR 22 προκρίναντοσ MLVRC ἦν s. L δὴ] ἤδη PAML²C 24 παρέβαλε LVRC 25 ἐπιτρέπων] PAMCLat ἐπιτρέπων καὶ ἐπιτροπεύειν LVR

245 6. *Προσαγανακτούντων δὲ τῶν πρέσβεων πεντεκαίδεκα μὲν συλλαβὼν εἵργνυσιν, οὓς καὶ ἀνελεῖν ὥρμησεν, τοὺς δὲ λοιποὺς μεθ' ὕβρεως ἀπήλασεν. πρὸς ὃ μείζων ἐν τοῖς Ἱεροσολύμοις γίνεται ταραχή· χιλίους γοῦν πάλιν ἔπεμψαν πρέσβεις εἰς Τύρον, ἔνθα διέτριβεν Ἀντώνιος ἐπὶ Ἱεροσολύμων ὡρμημένος. ἐπὶ τούτους κεκραγότας ἐκπέμπει τὸν ἄρχοντα τῶν Τυρίων κολάζειν προστάξας οὓς ἂν λάβῃ, συγκατασκευάζειν δὲ τὴν ἀρχὴν τοῖς ὑπ' αὐτοῦ καταστα-*
θεῖσιν τετράρχαις.

246 7. *Πρὸ δὲ τούτου πολλὰ παρῆνει προελθὼν ἐπὶ τὸν αἰγιαλὸν Ἡρώδης σὺν Ὑρκανῷ μήθ' ἑαυτοῖς ἀπωλείας αἰτίους μήτε τῇ πατρίδι πολέμου γίνεσθαι φιλονεικοῦντας ἀκρίτως. τῶν δὲ ἔτι μᾶλλον ἀγανακτούντων Ἀντώνιος ἐκπέμψας ὁπλίτας πολλοὺς μὲν*
247 *ἀπέκτεινεν, πολλοὺς δὲ ἔτρωσεν· ὧν οἵ τε πεσόντες ταφῆς καὶ οἱ τραυματίαι θεραπείας ἠξιώθησαν ὑπὸ Ὑρκανοῦ. οὐ μὴν οἱ διαφυγόντες ἠρέμουν, ἀλλὰ τὰ κατὰ τὴν πόλιν συνταράσσοντες παρώ-*
248 *ξυναν Ἀντώνιον ὥστε καὶ τοὺς δεσμώτας ἀποκτεῖναι.*

XIII. 1. *Μετὰ δὲ ἔτη δύο Βαζαφράνου τοῦ Πάρθων σατράπου σὺν Πακόρῳ τῷ βασιλέως υἱῷ Συρίαν κατασχόντος Λυσανίας ἀναδεδεγμένος ἤδη τὴν ἀρχὴν τοῦ πατρὸς τελευτήσαντος. Πτολεμαῖος δ' ἦν οὗτος ὁ Μενναίου, πείθει τὸν σατράπην ὑποσχέσει χιλίων*
249 *ταλάντων καὶ πεντακοσίων γυναικῶν καταγαγεῖν ἐπὶ τὰ βασίλεια τὸν Ἀντίγονον, καταλῦσαι δὲ τὸν Ὑρκανόν. τούτοις ὑπαχθεὶς Πάκορος αὐτὸς μὲν ᾔει κατὰ τὴν παράλιον. Βαζαφράνην δὲ διὰ τῆς*

---

§ 245 = Ant. Iud. XIV 326.

PAMLVRCLatHegesippus I 28 p. 43.

1 *παραγανακτούντων* LR *προσαγανακτούντων δὲ*] *πρὸς ἃ ἀγανακτούντων* Destinon *πέντε μὲν καὶ δέκα* tr. LVR 2 *εἵργνυσιν, εἰ* corr. ex *εἰ* PA *ἀνελεῖν ὥρμησεν*] *paene occidit* Lat 3 *μεῖζον* L 4 *ἔπεμψαν πάλιν* tr. V 5 *ἐπὶ τούτους*] *ἐπὶ τοὺσ* P *ὃς ἐπὶ τοὺς* Destinon 7 *συγκατασκευάζειν δὲ*] *praeceptumque ut — confirmare curaret* Lat *δὲ*] PAL² *τὲ* MVC, om. L¹R *τὴν ἀρχὴν* om. L¹R, u. 8 post *τετράρχαις* i. marg. suppl. m. 2 L *ὑπ'*] *ἀπ'* A 8 *τετράρχαις*] *τετράρχαις τολμῶσι* L¹VR 10 *μήτε* LVR *ἑαυτοὺσ* A¹V 11 *γενέσθαι* LVR 14 *ὑπὸ*] *παρὰ*, i. marg. *γρ ὑπὸ* V 15 *παρώξυνον* VRC 16 *τὸν ἀντώνιον* LVRC 17 i. marg. *κή* V *βαρζαφράνου* P *βαρζαφάνου* MLVRC *brazafrane* Lat *barzafrane* Heg *βαρζαφάρνου* ed. pr. *πάρθου* C 18 *τῷ*] *τοῦ* PAMLVR *ἀναδεδεγμένος*] *διαδεγμένοσ* L¹ *διαδεδεγμένοσ* L²VR *exutus* (*potestate*) Heg 19 *ἤδη*] *ἔτι* M 20 *δὲ* LVRC *μινναίου* (*ι* ante *ν* i. ras. m. 2 V) MLVRC *mannei* Lat *menneo* Heg 21 *πεντακοσίων*] *φ* PA *ἐπὶ τὰ βασίλεια*] *ἐπὶ βασιλείαν* L¹VRC 22 *τὸν* om. V *καταλῦσαι δὲ*] *καὶ καταλῦσαι··* C *τὸν* om. LVR *τούτοις*] *ab eo* Lat *πάκορος, ορ* ex *ωρ* corr. A 23 *Βαζαφράνην*] PA *βαρζαφάνην* MLC *βαρζαφάνη* VR *brazafranem* Lat

μεσογείου προσέταξεν ἐμβαλεῖν. τῶν δ' ἐπιθαλαττίων Τύριοι Πάκορον οὐκ ἐδέξαντο καίτοι Πτολεμαιῶν καὶ Σιδωνίων δεδεγμένων. ὁ δ' οἰνοχόῳ τινὶ τῶν βασιλικῶν ὁμωνύμῳ μοῖραν τῆς ἵππου παραδοὺς προεμβαλεῖν ἐκέλευσεν εἰς τὴν Ἰουδαίαν κατασκευψόμενόν τε τὰ τῶν πολεμίων καὶ πρὸς ἃ δέοι βοηθήσοντα Ἀντιγόνῳ.

2. Τῶν δὲ λῃζομένων τὸν Κάρμηλον πολλοὶ Ἰουδαῖοι συνδρα- 250
μόντες πρὸς Ἀντίγονον προθύμους ἑαυτοὺς ἐπὶ τὴν εἰσβολὴν παρεῖχον. ὁ δὲ αὐτοὺς ἐπὶ τὸν καλούμενον Δρυμὸν προέπεμψεν τὸ χωρίον καταλαβεῖν· ἐν ᾧ γενομένης συμβολῆς ὠσάμενοι τοὺς πολεμίους καὶ διώξαντες ἐπὶ Ἱεροσολύμων ἦθεον γενόμενοί τε πλείους μέχρι τῶν βασιλείων προῆλθον. Ὑρκανοῦ δὲ καὶ Φασαήλου 251
δεξαμένων αὐτοὺς καρτερῷ στίφει μάχῃ κατὰ τὴν ἀγορὰν συρρήγνυνται, καθ' ἣν τρεψάμενοι τοὺς πολεμίους οἱ περὶ Ἡρώδην κατακλείουσιν εἰς τὸ ἱερὸν καὶ φρουροὺς αὐτῶν ἄνδρας ἑξήκοντα ταῖς πλησίον οἰκίαις ἐγκατέστησαν. τούτους μὲν ὁ στασιάζων πρὸς 252
τοὺς ἀδελφοὺς λαὸς ἐπελθὼν ἐμπίπρησιν, Ἡρώδης δὲ τοῦ δήμου πολλοὺς κατ' ὀργὴν τῶν ἀπολωλότων ἀναιρεῖ συμβολῶν, καὶ καθ' ἡμέραν ἐπεχθεόντων ἀλλήλοις κατὰ λόχους φόνος ἦν ἀδιάλειπτος.

3. Ἐνστάσης δ' ἑορτῆς, ἣ πεντηκοστὴ καλεῖται, τά τε περὶ τὸ 253
ἱερὸν πάντα καὶ ἡ πόλις ὅλη πλήθους τῶν ἀπὸ τῆς χώρας ἀναπίμπλαται τὸ πλέον ὁπλιτῶν. καὶ Φασάηλος μὲν τὸ τεῖχος, Ἡρώδης δ' οὐ μετὰ πολλῶν ἐφρούρει τὰ βασίλεια· καὶ τοῖς πολεμίοις ἐπεκδρομὰς ἀσυντάκτοις κατὰ τὸ προάστειον πλείστους μὲν ἀναιρεῖ.

---

§ 249 = Ant. Iud. XIV 333.

PAMLVRCLatHegesippus I 19 p. 44.

1 δὲ LVR *πάκορον* C 2 *Πτολεμαιῶν*] *πτολεμαῖον* P *πτολεμαίων* A *πτολεμαίων* MLVRC *ptolomenses* Lat *σιδωνίων, ων* ex *οιν* corr. A 3 δὲ LVRC *οἰνοχόων* A *μοῖραν*] *μύραν* L 4 *προεμβαλεῖν*] *ἐμβάλλειν* LVR *ἐμβάλειν* C *accedere* Lat 6 *λῃζομένων* codd. *ἰουδαίων* V 7 *ἐπὶ*] *κατὰ* P *ad* Lat 8 *αὐτοὺς*] *ἑαυτοὺς* L *Δρυμὸν*] *drymas* (nom.) Lat 9 *συμβουλῆσ* C¹ 10 *τε*] *δὲ* C 11 *Ὑρκανοῦ*] *Ἡρώδου* mallet Destinon; uide u. 13 sq. et Ant. XIV 335 *δὲ* om. P 12 *μάχη·* A *συρρήγνυ·ται* L *συνρήγνυται* R 14 *κακλείουσιν* A *αὐτῶν*] *αὐτῶ* L¹R *αὐτῶι* V *ἑξήκοντα*] *ξ* PA 15 *οἰκείαισ* R *κατέστησαν* V¹ *μὲν*] *μὲν οὖν* MLVRC *sed (hos) quidem* Lat 16 *ἐπελθὼν*] *ἀπελθὼν* PAM, om. Lat *ἐμπίμπρησιν* A *ὑπεμπίπρησιν, ι* ante *π* i. ras. maiore L *ὑποπίμπρησιν* VR 18 *ἐπεχθεόντων* A 19 *δὲ* LVRC *τε* om. PAM 20 *ἀναπίπλαται* LC 21 *πλέον* ex *παλαιὸν* corr. L *παλαιὸν* R 22 *δ' οὐ μετὰ πολλῶν*] PAML² *δὲ μετ' οὐ πολλῶν* VRC et ut uid. L¹ 23 *ἐπιδρομὰν* LVRC *προάστειον*] PALat *προσάρκτιον* MLVRC, quod ex *προάστιον* ortum uid.

τρέπεται δὲ πάντας καὶ τοὺς μὲν εἰς τὴν πόλιν, τοὺς δὲ εἰς τὸ
254 ἱερόν, τοὺς δὲ εἰς τὸ ἔξω χαράκωμα ἐγκλείει. κἀν τούτῳ διαλλακ-
τὴν μὲν Ἀντίγονος παρακαλεῖ Πάκορον εἰσαφεῖναι, Φασάηλος δὲ
πεισθεὶς τῇ τε πόλει καὶ ξενίᾳ τὸν Πάρθον εἰσδέχεται μετὰ πεν-
τακοσίων ἱππέων, προφάσει μὲν ἥκοντα τοῦ παῦσαι τὴν στάσιν,
255 τὸ δὲ ἀληθὲς Ἀντιγόνῳ βοηθόν. τὸν γοῦν Φασάηλον ἐνεδρεύων
ἀνέπεισεν πρὸς Βαζαφράνην πρεσβεύσασθαι περὶ καταλύσεως. καίτοι
γε πολλὰ ἀποτρέποντος Ἡρώδου καὶ παραινοῦντος ἀναιρεῖν τὸν
ἐπίβουλον, ἀλλὰ μὴ ταῖς ἐπιβουλαῖς ἑαυτὸν ἐκδιδόναι, φύσει γὰρ
ἀπίστους εἶναι τοὺς βαρβάρους, ἔξεισιν Ὑρκανὸν παραλαβών, καὶ
Πάκορος, ὡς ἧττον ὑποπτεύοιτο, καταλιπὼν παρ' Ἡρώδῃ τινὰς
τῶν καλουμένων Ἐλευθέρων ἱππέων τοῖς λοιποῖς προέπεμψεν
Φασάηλον.

256 4. Ὡς δ' ἐγένοντο κατὰ τὴν Γαλιλαίαν, τοὺς μὲν ἐπιχωρίους
ἀφεστῶτας κἂν τοῖς ὅπλοις ὄντας καταλαμβάνουσιν, τῷ σατράπῃ
δὲ ἐνετύγχανον πανούργῳ σφόδρα καὶ ταῖς φιλοφρονήσεσιν τὴν
ἐπιβουλὴν καλύπτοντι· δῶρα γοῦν δοὺς αὐτοῖς ἔπειτα ἀναχωροῦν-
257 τας ἑλόχα. τοῖς δ' αἴσθησις γίνεται τῆς ἐπιβουλῆς καταχθεῖσιν
εἴς τι τῶν παραθαλασσίων χωρίων, ὃ καλεῖται Ἐκδίππιον· ἐκεῖ
γὰρ τήν τε ὑπόσχεσιν τῶν χιλίων ἤκουσαν ταλάντων καὶ ὡς Ἀντί-
γονος τὰς πλείστας τῶν παρ' αὐτοῖς γυναικῶν ἐν ταῖς πεντακοσίαις
258 καθοσιώσειεν Πάρθοις, ὅτι τε προλοχίζοιντο μὲν αὐτοῖς αἱ νύκτες

§ 253 = Ant. Iud. XIV 339.

PAMLVRCLatHegesippus I 29 p. 44.

2 *ἐγκλείει*] *συγκλείει* LVRC *includit* Lat *κἀν*] *καὶ* C *τούτῳ* ex *τοῦτο* corr. P 3 *μὲν* om. M *δὲ*] *τε* V 4 *τὸν πάρθον* corr. ex *τῶν πάρθων* A 5 *τοῦ — στάσιν*] *sedandae — concordiae* Lat 6 *δ'* AMC *βοηθῶν* P¹ML¹VRC 7 *βαζαφράνην* PA *βαρζαφάνην* MLVRC *brazafranem* Lat *barzafranen* Heg *καίτοι* *ὃς καίτοι* Destinon 8 *γε*] om. LVR *τε* Niese *ἀναιρεῖν*] *ἀνελεῖν* LVRC 9 *ἐπιδιδόναι* LVR 10 *ἔξεισιν — Πάκορος*] *exiit etiam pacorus cum hyrcano* Lat *ἔξεισιν*] *ἔξεισι δὲ* (*δ'* C) MC 11 *πάκορος, ορ* ex *ωρ* corr. A *ἧττων* M *καταλιπων*] *relictisque* Lat *παρὰ* V 12 *ἐλευθέρων καλουμένων* tr. LVRC *προέπεμπε* LVRC 14 *δὲ* LVR *ἐγένετο* L 15 *ἐφεστῶτας* M *καὶ ἐν* LVR 16 *δ'* C *ἐνετύγχανον, ον* corr. ex *ων* AC *πανούργως* PLVRCLatHeg *τὴν ἐπιβουλὴν*] *τὰς ἐπιβουλὰς* LVR *τὴν ὀργὴν* M 17 *καλύπτοντι*] PAMLatHeg *καλύπτειν ἐνεκελεύοντο* (*ἐκελεύοντο* R) LVRC *αὐτοὺς* V *ἔπειτ'* C *ἀναχωροῦντος* P 18 *δὲ* LVRC ante *καταχθεῖσιν* suppletum *καὶ* P 19 *χωρίον* (*ο* ex *ω* corr. A) ALVRC *egdippon* Lat 20 *ἥκουσαν τῶν χιλίων* tr. C 21 *πεντακοσίαις*] *φ̄* PA 22 *καθωσίωσε* MLRV²C² *καθοσίωσε* V¹C¹ *πάρ · · θοις*, *θ* corr. ex *ν* P *τε*] *δὲ* V *προελοχίζοντο* LVR *παροχλοχίζοιντο* sic C *αἱ νύκτες* om. Lat

ὑπὸ τῶν βαρβάρων ἀεί, κἀκεῖναι δ' ἂν καὶ συνελήφθησαν, εἰ μὴ περιέμενον ἐν Ἱεροσολύμοις Ἡρώδην πρότερον λαβεῖν, ὡς μὴ προπτυθόμενος τὰ κατ' αὐτοὺς φυλάξαιτο. ταῦτ' οὐκέτι λόγος ἦν μόνον, ἀλλὰ καὶ φυλακὰς ἤδη πόρρωθεν ἑαυτῶν ἔβλεπον.

5. Οὐ μὴν Φασάηλος καίτοι πολλὰ παραινοῦντος Ὀφελλίου 259
φεύγειν, πέπυστο γὰρ οἷτος παρὰ Σαραμάλλα τοῦ πλουσιωτάτου τῶν Σύρων τὴν σύνταξιν τῆς ἐπιβουλῆς ὅλην, καταλιπεῖν Ὑρκανὸν ἐτόλμησεν, ἀλλὰ τῷ σατράπῃ προσελθὼν ἀντικρὺς ὠνείδιζεν τὴν ἐπιβουλὴν καὶ μάλισθ' ὅτι γένοιτο τοιοῦτος χρημάτων ἕνεκεν· πλείω γε μὴν αὐτὸς ὑπὲρ σωτηρίας δώσειν ὧν Ἀντίγονος ὑπὲρ βασιλείας ὑπέσχετο. πρὸς ταῦτα πανοῦργος ὁ Πάρθος ἀπολογίας 260
τε καὶ ὅρκοις ἀποσκευασάμενος τὴν ὑποψίαν ᾤχετο πρὸς Πάκορον. εὐθέως δὲ τῶν καταλειφθέντων Πάρθων οἷς προσετέτακτο Φασάηλόν τε καὶ Ὑρκανὸν συνελάμβανον τά τε ἄλλα πρὸς τὴν ἐπιορκίαν καὶ τὸ ἄπιστον αὐτοῖς καταρωμένους.

6. Ἐν δὲ τούτῳ καὶ τὸν Ἡρώδην ὁ πεμφθεὶς οἰνοχόος ἐπε- 261
βούλευε συλλαβεῖν ἔξω τοῦ τείχους ἀπατήσας προελθεῖν, ὥσπερ ἐντολὰς εἶχεν. ὁ δὲ ἀπ' ἀρχῆς ὑποπτεύων τοὺς βαρβάρους καὶ τότε πεπυσμένος εἰς τοὺς πολεμίους ἐμπεπτωκέναι τὰ μιμνύοντα τὴν ἐπιβουλὴν αὐτῷ γράμματα, προελθεῖν οὐκ ἠβούλετο καίτοι

§ 258 = Ant. Iud. XIV 344.

PAMLVRCLatHegesippus I 29 p. 44.

1 *συνελήφθεισαν* P 2 *Ἡρώδην* i. marg. suppl. C *λαμβάνειν* LVR 3 *αὐτοὺς*] *αὐτὸν* L¹VR *φυλάξοιτο* LR *ταῦτα* LVR *λόγος*] *λόχος* typothetae ut uid. errore Bekker 4 *μόνος* LVR *φύλακας* VC *πόρρωθεν*] *haud procul* Lat, unde *οὐ πόρρωθεν* Hudson *αὐτῶν* LVR *αὐτὸν* C *ἔβλεπον*] *conspiciebat* Lat 5 *Ὀφελλίου*] *filius* Lat 7 *καταλειπεῖν* PA 8 *προ·|σελθὼν* A 9 *μάλιστα* LVR *ἕνεκα* V 10 *πλείω* — 11 *ὑπέσχετο*] PAMLatHeg *πλείω γε μὴν αὐτὸς ὑπὲρ σωτηρίας ὑπισχνεῖται* LR *πλείω γε μὴν αὐτὸς ὑπὲρ σωτηρίας ὑπισχνεῖται δώσειν* (*δώσειν ὑπισχνεῖτο* C) *ὧν ἀντίγονος ὑπὲρ βασιλείας ὑπέσχηται* VC 12 *πάκορον, ορ* ex *ωρ* corr. A 13 *τῶν*] *οἱ* C *καταλειφθέντων, ει* ex *η* corr. PV *καταλειφθέντες* C *Πάρθων*] *πάντων* L¹R *προσετετάκτο* C 14 *συνελαμβάνοντο* PAML² *τά* — 15 *καταρωμένους*] *periuria simul ac perfidiam exsecrantes* Lat *exsecrationibus quando aliud iam facere nequibant ultum iri cupientes barbarorum periuria et perfidiam proditionis* Heg *τά τε ἄλλα*] *ἅμα* legisse uid. Lat *πολλὰ* Destinon, ut A. I. XIV 348 *τῇ ἐπιορκίᾳ* MC 15 *αὐτοὺς* V 16 *ἐπεβούλευε* · A *ἐπεβούλευσε* V 17 post *προελθεῖν* eras. *οὐκ ἐβούλετο* C; uide u. 20 *ἀπατήσας*] *αἰτήσας* Naber litt. *περ ἐντολὰς* i. ras. 5—6 litt. m. 2 V 18 *βαρβάρους* — 19 *τοὺς* om. C *πεπυσμένος*] *minime dubitans* (h. e. ut uid. *πεπεισμένος*) Lat 20 *προσελθεῖν* PA *procedere* Lat *ἐβούλετο* LVRC

μάλα ἀξιοπίστως τοῦ Πακόρου φάσκοντος δεῖν αὐτὸν ὑπαντῆσαι τοῖς τὰς ἐπιστολὰς κομίζουσιν· οὔτε γὰρ ἐαλωκέναι τοῖς πολεμίοις αὐτὰς καὶ περιέχειν οὐκ ἐπιβουλήν, ἀλλ' ὑπόσα διεπράξατο Φασάη-
262 λος. ἔτυχεν δὲ παρ' ἄλλων προακηκοὼς τὸν ἀδελφὸν συνειλημμένον, καὶ προσῄει Ὑρκανοῦ θυγάτηρ Μαριάμμη, συνετωτάτη γυναικῶν, καταντιβολοῦσα μὴ προϊέναι μηδ' ἐμπιστεύειν ἑαυτὸν ἤδη φανερῶς ἐπιχειροῦσι τοῖς βαρβάροις.

263 7. Ἔτι δὲ τῶν περὶ Πάκορον σκεπτομένων, πῶς ἂν κρύφα τὴν ἐπιβουλὴν ἀπαρτίσειαν, οὐ γὰρ ἐκ φανεροῦ οἷόν τε ἦν ἀνδρὸς οὕτω δυνατοῦ περιγενέσθαι, προλαβὼν Ἡρώδης μετὰ τῶν οἰκειοτάτων προσώπων νύκτωρ ἐπὶ Ἰδουμαίας ἐχώρει λάθρα τῶν πολε-
264 μίων. αἰσθόμενοι δ' οἱ Πάρθοι κατεδίωκον. κἀκεῖνος τὴν μὲν μητέρα καὶ τοὺς ἀδελφοὺς καὶ τὴν καθωμολογημένην παῖδα μετὰ τῆς μητρὸς καὶ τοῦ νεωτάτου τῶν ἀδελφῶν προστάξας ὁδεύειν αὐτὸς ἀσφαλῶς μετὰ τῶν θεραπόντων ἀνέκοπτε τοὺς βαρβάρους· καὶ πολλοὺς κατὰ πᾶσαν προσβολὴν ἀποκτείνας εἰς Μασάδαν τὸ φρούριον ἠπείγετο.

265 8. Βαρυτέρους δὲ κατὰ τὴν φυγὴν Πάρθων Ἰουδαίους ἐπείρασεν, ἐνοχλήσαντας μὲν διηνεκῶς, ἀπὸ δὲ ἑξήκοντα τῆς πόλεως σταδίων καὶ παραταξαμένους ἐπιεικῶς πολὺν χρόνον. ἔνθα κρατήσας Ἡρώδης καὶ πολλοὺς αὐτῶν ἀποκτείνας αὖθις εἰς μνήμην τοῦ κατορθώματος ἔκτισεν τὸ χωρίον καὶ βασιλείοις πολυτελεστά-

---

§ 261 = Ant. Iud. XIV 350.

PAMLVRCLatHegesippus I 29 p. 45.

2 *κομίζουσι* P^1A^1 4 *προσακηκοὼς* L^1R *προακηκοὼς, ηκ* ex corr. m. 2 V *συνειλημμένον* A 5 *προσῄει*] *προσήει ἡ* ML^2C *προσῆν ἡ* L^1VR *προσῄει — σκαταντιβολοῦσα*] *multis — precibus — orabat* Lat *Μαριάμμη*] suspectum *μαριάμη* M *Μαριάμμης δὲ μήτηρ* Destinon; cf. A. I. XIV 351, ubi nomen mulieris non extat 6 *καταντιβαλοῦσα* C *προσιέναι* C *μηδὲ πιστεύειν* L^1VR 9 *ἀπαρτήσειαν* P *ἀπαρτίσειαν, α* ante *ρ* i. ras. m. 2 C *ἐκ τοῦ φανεροῦ* VC *τ'* C *ἦν*] *εἶναι* uertit Lat 10 *δυνατοῦ*] *συνετοῦ* LVRLat fort. recte *προλαβὼν*] *λαβὼν* M, om. Lat 11 *ἰδουμαίαν* PAM *τῶν πολεμίων* om. LVR 12 *δὲ* LVR *μὲν* om. V 13 *τοὺς ἀδελφοὺς*] *τὴν ἀδελφὴν* Aldrich *τὰς ἀδελφὰς* Niese; uide Ant. Iud. XIV 353 14 *τοῦ — ἀδελφῶν*] *minimosque fratres* Lat *νεωτέρου* V *προτάξας* C^1 16 *μάσαδαν* M *masada* (acc.) Lat *masedam* Heg *ἠπείγετο*] PAMLat *ἀφίκετο* L *ἀφίκτο* VRC 18 *Βαρυτέρους δὲ*] PAMLat *καὶ βαρυτέρους* LVRC *ἐπείρασε* L 19 *ὀχλήσαντας* PAM *δ'* C *ἑξήκοντα*] *ξ* PA 20 *καὶ*] eras. R om. C *παραταξαμένων*, i. marg. *γρ καὶ παραταξαμένους* R 21 *αὖθις* om. Lat 22 *τῶν κατορθωμάτων* LVR *καὶ βασιλείοις τε* C

τοις ἐκόσμησεν καὶ ἀκρόλοφον ὀχυρωτάτην ἀνεδείματο Ἡρώδειόν τε ἐκάλεσεν ἀπὸ ἑαυτοῦ. τηνικαῦτά γε μὴν φεύγοντι καθ' ἡμέραν 266
αὐτῷ προσεγίνοντο πολλοί, καὶ κατὰ Ῥῆσαν γενομένῳ τῆς Ἰδουμαίας Ἰώσηπος ἀδελφὸς ἐπαντήσας συνεβούλευεν τοῖς πολλοῖς τῶν ἑπομένων ἀποφορτίσασθαι· μὴ γὰρ ἂν τοσοῦτον ὄχλον δέξασθαι τὴν Μασάδαν. ἦσαν δὲ ὑπὲρ τοὺς ἐννακισχιλίους. πεισθεὶς Ἡρώδης 267
τοὺς μὲν βαρυτέρους τῆς χρείας διαφῆκεν ἀνὰ τὴν Ἰδουμαίαν δοὺς ἐφόδια, μετὰ δὲ τῶν ἀναγκαιοτάτων τοὺς ἀλκιμωτάτους κατασχὼν εἰς τὸ φρούριον διασώζεται. καταλιπὼν δὲ ἐνταῦθα ταῖς γυναιξὶν ὀκτακοσίους φύλακας καὶ διαρκῆ τὰ ἐπιτήδεια πρὸς πολιορκίαν αὐτὸς εἰς τὴν Ἀραβικὴν Πέτραν ἠπείγετο.

9. Πάρθοι δ' ἐν Ἱεροσολύμοις ἐφ' ἁρπαγὴν τραπόμενοι τῶν 268
φευγόντων εἰς τὰς οἰκίας εἰσέπιπτον καὶ τὸ βασίλειον ἀνεῳγμένοι μόνων τῶν Ὑρκανοῦ χρημάτων· ἦν δ' οὐ πλείω τριακοσίων ταλάντων. ἐπετύγχανον δὲ καὶ τῶν ἄλλων οὐχ ὅσοις ἤλπισαν· ὁ γὰρ Ἡρώδης ἐκ πολλοῦ τὴν ἀπιστίαν τῶν βαρβάρων ὑφορώμενος εἰς τὴν Ἰδουμαίαν τὰ λαμπρότατα τῶν κειμηλίων προανεσκεύασε, καὶ τῶν αὐτῷ προσεχόντων ὁμοίως ἕκαστος. Πάρθοι δὲ μετὰ τὰς 269
ἁρπαγὰς ἐπὶ τοσοῦτον ὕβρεως ἐχώρησαν ὡς ἐμπλῆσαι μὲν ἀκη-

§ 265 = Ant. Iud. XIV 360.

PAMLVRCLatHegesippus I 29 p. 45.

1 ὀχυροτάτην LR ἀνεδείματο] *in eo condidit* Lat, quem ἐνεδείματο fort. legisse adnotat Destinon ἡρώδιόν ALVR 2 ἀφ' C φεύγοντες LVRC *cum fugeret* Lat καθ' ἡμέραν om. Lat 3 κατὰ Ῥῆσαν γενομένῳ] παρῆσαν γενομένω δ' ἐπὶ PAM κατὰ τὴν θρῆσαν LVR κατὰ θρῆσαν C *postea uero quam (ad idumeam) uenit* Lat; cf. infra 294. Ant. Iud. XIV 361. 400 4 *iosippus* Lat ἀδελφὸς] om. C ὁ ἀδελφὸσ V ἀδελφὸς Destinon συνεβούλευσε LR 5 ἀποφροντίσασθαι L 6 μάσαδαν M δ' C τοὺς om. LVRC ἐνακισχιλίους M πεισθεὶς] πεισθεὶσ οὖν MLVRC *itaque paruit* Lat 7 τῆς χρείας] τὴν χρείαν C διαφῆκεν — 8 κατασχὼν] διαφῆκε (διαφῆκεν ἀνὰ L²) τὴν ἰδουμαίαν δοὺσ ἐφόδια· μετὰ δὲ τὴν ἰδουμαίαν ἄγων τοὺσ ἀλκιμωτάτουσ κατασχὼν (κατασχὼν expunxit m. 2) L διαφῆκεν εἰσ τὴν ἰδουμαίαν δοὺσ ἐφόδια μετὰ δὲ τὴν ἰδουμαῖαν ἄγων τοὺσ ἀλκιμωτάτουσ V διαφῆκε τὴν ἰδουμαίαν δοὺσ ἐφόδια μετὰ δὲ τὴν ἰδουμαίαν ἄγων τοὺσ ἀλκιμωτάτουσ κατασχὼν Lips διαφῆκε τὴν ἰδουμαίαν ἄγων τοὺσ ἀλκιμωτάτουσ κατασχὼν (εἰσ s. m. 2) R *per idumeam dimisit cum uiatico ualentissimos autem maximeque necessarios tenuit atque* Lat ἀνὰ] ἐπὶ M 9 τὸ om. M δ' C ἐνταῦθα ταῖς] ἐνταῦθανταῖσ C 10 ταπιτήδεια C 12 δὲ LVR τρεπόμενοι VR 14 μόνον PA¹LV¹ δὲ L οὐ om. Lat τρακοσίων M τ̄ PA 15 ἤλπισαν] ἤπησαν V¹ 16 ἀπιστίαν] ἀποστασίαν C 17 προανεσκενάσατο C καὶ — 18 ἕκαστος] *eiusque sociorum itidem quisque fecerat* Lat 18 ὁμοίως om. PAM μετὰ] κατὰ LVR

ρύκτου πολέμου τὴν χώραν ἅπασαν, ἀνάστατον δὲ ποιῆσαι τὴν Μαρισαίων πόλιν, μὴ μόνον δὲ καταστῆσαι βασιλέα Ἀντίγονον, ἀλλὰ καὶ παραδοῦναι αὐτῷ Φασάηλόν τε καὶ Ὑρκανὸν δεσμώτας
270 αἰκίσασθαι. ὁ δὲ Ὑρκανοῦ μὲν προσπεσὼν αὐτὸς τὰ ὦτα λωβᾶται τοῖς ὀδοῦσιν, ὡς μηδὲ αὖθις ἐν μεταβολῇ ποτε δύναιτο τὴν ἀρχιε- 5
271 ρωσύνην ἀπολαβεῖν· δεῖ γὰρ ὁλοκλήρους ἀρχιερᾶσθαι· 10. τῆς Φασαήλου δὲ ἀρετῆς ὑστερίζει φθάσαντος πέτρᾳ προσρῆξαι τὴν κεφαλήν, ὡς καὶ σιδήρου καὶ χειρῶν εἴργετο. κἀκεῖνος μὲν Ἡρώδου γνήσιον ἑαυτὸν ἀποδείξας ἀδελφὸν καὶ Ὑρκανὸν ἀγεννέστατον, ἀνδρειότατα θνήσκει ποιησάμενος τὴν καταστροφὴν τοῖς κατὰ τὸν 10
272 βίον ἔργοις πρέπουσαν· κατέχει δὲ καὶ ἄλλος λόγος, ὡς ἀνενέγκαι μὲν ἐκ τῆς τότε πληγῆς, πεμφθεὶς δὲ ἰατρὸς ὑπ' Ἀντιγόνου θεραπεῦσαι δῆθεν αὐτὸν ἐμπλήσειεν τὸ τραῦμα δηλητηρίων φαρμάκων καὶ διαφθείρειεν αὐτόν. ὁπότερον δ' ἂν ἀληθὲς ᾖ, τὴν ἀρχὴν ἔχει λαμπράν. φασὶν γοῦν αὐτὸν καὶ πρὶν ἐκπνεῦσαι πυθόμενον παρὰ 15
γναίου τινὸς ὡς Ἡρώδης διαπεφεύγοι, „νῦν, εἰπεῖν, εὔθυμος ἄπειμι τὸν μετελευσόμενον τοὺς ἐχθροὺς καταλιπών ζῶντα."

273 11. Ὁ μὲν οὖν οὕτως τελευτᾷ. Πάρθοι δὲ καίτοι διημαρτηκότες ὧν μάλιστα ἐπεθύμουν γυναικῶν καθιστᾶσιν μὲν ἐν Ἱεροσολύμοις Ἀντιγόνῳ τὰ πράγματα, δεσμώτην δ' Ὑρκανὸν ἀνάγουσιν 20
εἰς τὴν Παρθυηνήν.

274 XIV. 1. Ἡρώδης δὲ συντονώτερον ἤλαυνεν εἰς τὴν Ἀραβίαν

§ 269 = Ant. Iud. XIV 364.

PAMLVRCLatHegesippus I 29 p. 46.

1 ἁπάσασαν C 2 μαρισσαίων C δὲ] τε C 3 παραδοῦναι · · L παραδοῦναι τε VR 4 προσπεσὼν] PAL²Heg προσπεσόντος ML¹VR πατὴρ προσπεσόντος (πατὴρ expunctum) C, om. Lat λοβᾶται V 5 ὀδοῦσι P¹A¹ μηδὲ] μήτε PAM μὴ καὶ, καὶ i. ras. 2 litt. m. 2 L μηδὲ αὖθις] *ne solutus quidem* h. e. μηδὲ λυθεὶς Lat δύναιτο] δύνετο R 6 ἀπολαβεῖν] ἀναλαβεῖν C 7 δὲ] τε L¹R προσρῆξαι] προσράξαι ALVR προσαράξαι MC 8 ὡς καὶ] PAML²Lat ὥσ γε L¹VRC σιδήρου · · L σιδήρου μὲν VR εἴργετο, γ i. ras. ex χ corr. A 9 ἑαυτὸν ἡρώδου γνήσιον tr. LVR ἀποδείξας] om., i. marg. post ἀγεννέστατον suppl. m. 2 A ἀγενέστατον PAC¹V 10 ἀνδρειότα C¹ 11 δὲ om. M ἀνενέγκ · αι A 12 δ' C 13 ἐμπλήσει C 14 διαφθείρει L¹ *peremit* Lat ἀληθὲς ᾖ] C ἀληθὲσ ἦν PAM ᾖ ἀληθὲσ LVR ἔχει] ἔχῃ, η i. ras. A 16 διαφύγοι LVRC εἰπεῖν] εἶπεν PA εὐθύμωσ L¹VR 17 ζῶντα καταλιπών tr. LVRC 18 οὕτω LVR 19 i. marg. κθ' C 20 δὲ LVR ἀνάγουσι L 21 παρθυήνην PAM παρθυηνὴν, υηὴν i. ras. 5 litt. V *parthuenam* Lat *parthienen* Heg 22 i. marg. κθ' V συντομώτερον LVR

ὡς ἔτι τἀδελφοῦ ζῶντος ἐπειγόμενος χρήματα παρὰ τοῦ βασιλέως λαβεῖν, οἷς μόνοις πείσειν ὑπὲρ Φασαήλου τὴν τῶν βαρβάρων ἴλπιζεν πλεονεξίαν. ἐλογίζετο γάρ, εἰ τῆς Ἀραβίας φιλίας ἀμνημονέστερος ὁ Ἄραψ γένοιτο καὶ τοῦ δοῦναι δωρεὰν μικρολογώτερος, δανείσασθαι παρ' αὐτοῦ τὰ λύτρα ῥύσιον θεὶς τὸν τοῦ λυτρουμένου παῖδα· καὶ γὰρ ἐπήγετο τὸν ἀδελφιδοῦν ὄντα ἐτῶν 275
ἑπτά· τάλαντα δ' ἦν ἕτοιμος τριακόσια δοῦναι προστησάμενος Τυρίους παρακαλοῦντας. τὸ χρεὼν δ' ἄρα τὴν αὐτοῦ σπουδὴν ἐφθάκει καὶ Φασαήλου τεθνηκότος εἰς κενὸν Ἡρῴδης φιλάδελφος ἦν· οὐ μὴν οὐδὲ παρὰ Ἄραψιν εὑρίσκει φιλίαν οὖσαν. ὁ γοῦν 276
βασιλεὺς αὐτῶν Μάλχος προπέμψας ἐκ τῆς χώρας κατὰ τάχος προσέτασσεν ἀναστρέφειν, προφάσει μὲν χρώμενος Πάρθοις, ἐπικαιρικεύσασθαι γὰρ αὐτοὺς ἐκβαλεῖν Ἡρῴδην τῆς Ἀραβίας, τῷ δὲ ὄντι κατασχεῖν προαιρούμενος τὰ παρ' Ἀντιπάτρου χρέα καὶ μηδὲν εἰς τὰς ἐκείνου δωρεὰς ἀντιπαρασχεῖν χρήζουσιν τοῖς τέκνοις ἀνσωπεῖσθαι. συμβούλοις δ' ἐχρῆτο τῆς ἀναιδείας τοῖς ὁμοίους ἀποστερεῖν τὰς Ἀντιπάτρου παρακαταθήκας θέλουσιν· ἦσαν δὲ τῶν περὶ αὐτὸν οἱ δυνατώτατοι.

2. Ἡρῴδης μὲν δὴ πολεμίους τοὺς Ἄραβας εὑρὼν δι' ἃ φιλ- 277
τάτους ἤλπισεν καὶ τοῖς ἀγγέλοις ἀποκρινάμενος ὡς ἐπιχώρει τὸ

§ 274 = Ant. Iud. XIV 370.

PAMLVRCLatHegesippus I 29 p. 46.

1 ἔτι] ἐπὶ L¹R τοῦ ἀδελφοῦ LVRC 2 μόνος L¹ πείθειν A 3 ἐλογίζετο om. Lat 4 μικρολογώτερον L¹R et man. 1 Lips 5 τὰ om. L 6 λυτρομένου V ἐπήγετο, η i. ras. A ἐπείγετο P ἐπείγετο L ἐπείγετο, ει adrasum R ἐτῶ C¹ 7 δὲ LVRC 8 παρακαλοῦντας] Tyrios Herodi cauisse Iosephus uoluit dicere, ut adnotat Destinon χρεῶν A χρεὸν LRV¹ δὲ LVR ἄρα] παρὰ L¹R αὐτοῦ om. LR 9 ἐπεφθάκει PM κενον, ε i. ras. R καὶ | νὸν A ἡρῴδ^ισ, ισ suppl. m. 2 C 10 εὑρίσκει] ηὕρισκεν (— κε VC) LVRC οὖσαν] μένουσαν LVRC 11 μάλιχος CLat μάλχος ex μάλιχος corr. Lips *bocchus* Heg κατὰ τάχος ἐκ τῆς χώρας ἀναστρέφειν προσέτασσεν tr. LVR κατὰ τάχος ἐκ τῆς χώρας προσέτασσεν ἀναστρέφειν tr. C 12 προφάσει — 13 αὐτοὺς] *simulatione quidem parthos per legatos petisse ut* Lat πρόφασιν LVR πάρθους P 13 ἐκβάλλειν LVRC 14 προαιρούμενος κατασχεῖν tr. LVRC κατασχεῖν] *negare* Lat παρ' om. LVRC ἀντιπαρασχεῖν] ἀντιπάσχειν L¹R 15 δυσωπεῖσθαι om. C χρήζουσιν — δυσωπεῖσθαι] *filiis — consolatione egentibus* Lat 16 δὲ LVR ὁμοίως om. CLat ἀποστερ·εῖν C 17 ἐθέλουσιν LVRC τῶν om. PALVR 19 δὴ] οὖν M δι' ἃ] δι' ἃ καὶ LR δ' ἃ C 20 ἤλπισε ἔπεισε L ἀποκρινάμενος] ὑποκρινόμενος (corr. ex ἀποκρινάμενος L) PLV

πάθος ὑπέστρεψεν ἐπ' Αἴγυπτον. καὶ τὴν μὲν πρώτην ἐσπέραν κατά τι τῶν ἐπιχωρίων ἱερὸν αὐλίζεται τοὺς ὑπολειφθέντας ἀναλαβών, τῇ δ' ἑξῆς εἰς Ῥινοκούρουρα προελθόντι τὰ περὶ τὴν τὰ-
278 δελφοῦ τελευτὴν ἀπαγγέλλεται. προσλαβὼν δὲ πένθους ὅσον ἀπεθήκατο φροντίδων ἧττον προσωτέρω. καὶ δι' βραδέως δ' Ἄραψ μετανοήσας ἔπεμψεν διὰ τάχους τοὺς ἀνακαλέσοντας τὸν ὑβρισμένον. ἔφθανεν δὲ καὶ τούτους Ἡρώδης εἰς Πηλούσιον ἀφικόμενος. ἔνθα τῆς παρόδου μὴ τυγχάνων ὑπὸ τῶν ἐφορμούντων τοῖς ἡγεμόσιν ἐντυγχάνει· κἀκεῖνοι τήν τε φήμην καὶ τὸ ἀξίωμα τἀνδρὸς αἰδεσ-
279 θέντες προπέμπουσιν αὐτὸν εἰς Ἀλεξάνδρειαν. ὁ δὲ παρελθὼν εἰς τὴν πόλιν ἐδέχθη μὲν λαμπρῶς ὑπὸ Κλεοπάτρας στρατηγὸν ἐλπίζούσης ἕξειν εἰς ἃ παρεσκευάζετο· διακρουσάμενος δὲ τὰς παρακλήσεις τῆς βασιλίδος καὶ μήτε τὴν ἀκμὴν τοῦ χειμῶνος ὑποδείσας μήτε τοὺς κατὰ τὴν Ἰταλίαν θορύβους ἐπὶ Ῥώμης ἔπλει.

280 3. Κινδυνεύσας δὲ περὶ Παμφυλίαν καὶ τοῦ φόρτου τὸ πλεῖον ἐκβαλὼν μόλις εἰς Ῥόδον διασώζεται σφόδρα τῷ πρὸς Κάσσιον πολέμῳ τεθορυβημένην. δεχθεὶς ὑπὸ Πτολεμαίου καὶ Σαπφινίου τῶν φίλων. καίτερ δὲ ὢν ἐν ἀπορίᾳ χρημάτων ναυτηγεῖται τριήρη
281 μεγίστην, ἐν ᾗ μετὰ τῶν φίλων εἰς Βρεντέσιον καταπλεύσας κά-

§ 277 = Ant. Iud. XIV 374.

PAMLVRCLatHegesippus I 29 p. 46.

1 ἐπ' αἴγυπτον L εἰσ αἴγυπτον PAM *aegyptum uersus* Lat 2 ὑπολειφθέντασ (ει i. ras. P) PAMLat et i. marg. m. 2 L ἐπιχωρίουσ LVR ἀπολειφθέντασ C et i. marg. V ἀναλαβών] ἀναλαμβάνων LVR *dum recipiat* Lat 3 δὲ LVR ῥηνοκούρουραν P ῥινοκούρουραν AMLVR *in regiones quas rhinocorii inhabitant* Heg προσελθόντι LC 4 ἀπαγγέλεται V προσλαβὼν δὲ] καὶ προσλαβὼν (καὶ s.) A προσλαβὼν, λαβὼν i. ras. L πένθοσ PA ὅσον] ὅσων A¹ ὅσον ἦν ὡσ L¹VRC ὅσον ἦν ὧν L² ὅσον εἰκὸσ ἦν Naber φροντίδασ C 5 ἧττει om. P προσωτέρω - V δ' Ἄραψ] *bocchus* Heg 6 ἀνακαλέσαντασ V 7 ἔφθανε-, ν ex σ corr. uid. P ἔφθασε V τούτουσ Ἡρώδησ] τούτουσωτηριώδησ R 8 ἐφορμούντων] Spanheim ἐφωρμώντων codd. *ab eius rei speculatoribus* Lat ἐφορμόντων ed. pr. ἡγεμῶσιν V¹ 9 τἀνδρὸσ i. ras. 3—4 litt. M τοῦ ἀνδρὸσ V 10 προ - πέμπουσιν V προσελθὼν V 12 παρεσκευάζετο, ε ante σ i. ras. m. 2 V 13 ἀκμὴν] αὐχμὴν M *asperitatem* Lat ὑποδήσασ V¹ 14 κατὰ Ἰταλίαν] *marina* (h. e. κατὰ θάλατταν) Lat 15 τὴν παμφυλίαν C πλέον LVR 16 μόγισ LVR εἰσ] πρὸσ C τῷ] τὸ C¹ 17 δεχθεὶσ] δεχθεὶσ δὲ MLVRLat σαφηνίου P σαπφηνίου AMC, *safnii* Lat Σαππῖνος A. I. XIV 377, cf. XVI 257 18 δὲ] om. MLVR δ' C ὢν om. LVRC χρημάτων] χρημάτων ἦν L² χρημάτων ὧν C 19 βρεντήσιον PA

κεῖθεν εἰς Ῥώμην ἐπειχθεὶς πρώτῳ διὰ τὴν πατρῴαν φιλίαν ἐνετύγχανεν Ἀντωνίῳ καὶ τάς τε αὐτοῦ καὶ τοῦ γένους συμφορὰς ἐξεδυσωπεῖτο, ὅτι τε τοὺς οἰκειοτάτους ἐν φρουρίῳ καταλιπὼν πολιορκουμένους διὰ χειμῶνος πλεύσειεν ἐπ' αὐτὸν ἱκέτης.

4. Ἀντωνίου δὲ ἥμερον πρὸς τὴν μεταβολὴν οἶκτος, καὶ κατὰ 282
μνήμην μὲν τῆς Ἀντιπάτρου ξενίας, τὸ δὲ ὅλον καὶ διὰ τὴν τοῦ παρόντος ἀρετὴν ἔγνω καὶ τότε βασιλέα καθιστᾶν Ἰουδαίων ὃν πρότερον αὐτὸς ἐποίησεν τετράρχην. ἐνῆγεν δὲ οὐχ ἧττον τῆς εἰς Ἡρῴδην φιλοτιμίας ἡ πρὸς Ἀντίγονον διαφορά· τοῦτον γὰρ δὴ
στασιώδη τε καὶ Ῥωμαίων ἐχθρὸν ἐπελάμβανεν. Καίσαρα μὲν οὖν 283
εἶχεν ἑτοιμότερον αὐτοῦ τὰς Ἀντιπάτρου στρατείας ἀνανεούμενον, ὡς καὶ Αἴγυπτον αὐτοῦ τῷ πατρὶ συνδιήνεγκεν, τήν τε ξενίαν καὶ τὴν ἐν ἅπασιν εὔνοιαν, ὁρῶντά γε μὴν καὶ τὸ Ἡρῴδου θρασύτριον· συνήγαγεν δὲ τὴν βουλήν, ἐν ᾗ Μεσσάλας καὶ μετ' αὐτὸν Ἀτρα- 284
τῖνος παραστησάμενοι τὸν Ἡρῴδην τάς τε πατρῴας εὐεργεσίας καὶ τὴν αὐτοῦ πρὸς Ῥωμαίους εὔνοιαν διεξῆλθον, ἀποδεικνύντες ἅμα καὶ πολέμιον τὸν Ἀντίγονον οὐ μόνον ἐξ ὧν διηνέχθη τάχιον, ἀλλ' ὅτι καὶ τότε διὰ Πάρθων λάβοι τὴν ἀρχὴν Ῥωμαίους ἐπεριδών. τῆς δὲ συγκλήτου πρὸς ταῦτα κεκινημένης ὡς παρελθὼν Ἀντώνιος
καὶ πρὸς τὸν κατὰ Πάρθων πόλεμον βασιλεύειν Ἡρῴδην συμφέρειν ἔλεγεν, ἐπιψηφίζονται πάντες. λυθείσης δὲ τῆς βουλῆς Ἀντωνίου 285

§ 281 = Ant. Iud. XIV 379.

PAMLVRCLatHegesippus I 29 p. 47.

ε ει
1 π · χθεὶς L *ἐνετύχανεν* V 2 τε] γε LVR *αὐτοῦ* Bekker *ἐκδυσσεῖται* ed. pr. 3 τε] δὲ LR 5 Ἀντωνίου — οἶκτος] *itaque tantae miserationis casum admiratus antonius* Lat 6 τὸ δὲ ὅλον] *tunc uero* Lat διὰ τὴν τοῦ] διὰ τὴν αὐτοῦ τοῦ LRC δι' αὐτοῦ τὴν τοῦ V 7 ἀρετὴν om. M ἔγνω καὶ] ἔγνωκε MLVRC *etiam (tunc) constituit* Lat 8 δ' C ἐλάττω PAM *minus* Lat εἰς om. P¹ 9 διαφ · ορὰ, cras. 9 P τοῦτο M δὴ om. L 10 Καίσαρα — 11 ἀνανεούμενον] *caesarem quidem habebat multo quam ipse paratius renouantem antipatri expeditiones* Lat *caesar tamen beniuolentia naturali effusior et toleratam in aegypto antipatri militiam omnibus patris sui caesaris proelis et hospitalem contractionem tamquam renouatis gratiae pignoribus cariora habebat* Heg καῖσαρ PAM probante Destinone 11 στρατηγίας P στρατιὰς AMLVR ἀνανεούμενος PM probante Destinone 13 ὁρῶν Destinon τὸ · L 14 συνῆγε LVRC τὴν] καὶ τὴν LVRC *uerumtamen et* Lat μεσάλας PAM μεσσαλὰς LV μεσσαλᾶς RC Ἀτρατῖνος] LatHeg ἀτραντῖνος PM ἀστραντῖνος A ἀτραγαντῖνος LVR ἀτραγῖνος C 15 πατρώους AMLRC 16 ἀποδειχ · ὑντες V *qui — demonstrarent* Lat 17 οὐ μόνον ἐξ ὧν] M οὐ μόνον ὧν PA ἐξ ὧν οὐ μόνον LVRC *non solum quod* Lat 18 τότε] *antea* Lat 20 Ἡρῴδην iterat M¹ 21 ἐπιψηφίζονται, ζ i. ras. L βουλῆς] συμβουλῆς A ἀρχῆς LR ἀρ / βουχῆς, s. m. 2 V γρ τῆς βουλῆς i. marg. m. 2 L

μὲν καὶ Καῖσαρ μέσον ἔχοντες Ἡρώδην ἐξήεσαν, προῆγον δὲ σὺν ταῖς ἄλλαις ἀρχαῖς οἱ ὕπατοι θύσοντές τε καὶ τὸ δόγμα ἀναθήσοντες εἰς τὸ Καπετώλιον. τὴν δὲ πρώτην Ἡρώδῃ τῆς βασιλείας ἡμέραν Ἀντώνιος εἱστία.

286 XV. 1. Παρὰ δὲ τὸν χρόνον τοῦτον Ἀντίγονος ἐπολιόρκει τοὺς ἐν Μασάδᾳ, τοῖς μὲν ἄλλοις ἐπιτηδείοις διαρκουμένους, σπανίζοντας δὲ ὕδατος· διὸ καὶ Ἰώσηπος ἀδελφὸς Ἡρώδου σὺν διακοσίοις τῶν οἰκείων δρασμὸν ἐβουλεύετο εἰς Ἄραβας ἀκηκοὼς τῶν εἰς
287 Ἡρώδην ἁμαρτημάτων Μάλχῳ μεταμέλειν. κἂν ἔφθη καταλιπὼν τὸ φρούριον, εἰ μὴ περὶ τὴν νύκτα τῆς ἐξόδου συνέβη πλεῖστον ὗσαι· τῶν γὰρ ἐκδοχείων ὕδατος ἀναπλησθέντων οὐκέτ' ἔχρῃζεν φυγῆς, ἀλλ' ἐπεξῆεσαν ἤδη τοῖς περὶ τὸν Ἀντίγονον καὶ τὰ μὲν φανερῶς συμπλεκόμενοι, τὰ δὲ λοχῶντες συχνοὺς διέφθειρον. οὐ μὴν ἐν ἅπασιν εὐστόχουν, ἔστιν δ' ὅπου καὶ αὐτοὶ πταίοντες ἀνέστρεφον.

288 2. Κἀν τούτῳ Βεντίδιος ὁ Ῥωμαίων στρατηγὸς πεμφθεὶς ἐκ Συρίας Πάρθους ἀνείργειν μετ' ἐκείνους εἰς Ἰουδαίαν παρέβαλεν λόγῳ μὲν ὡς βοηθήσων τοῖς περὶ Ἰώσηπον, ἔργῳ δ' Ἀντίγονον
289 ἀργυριούμενος. ἔγγιστα γοῦν Ἱεροσολύμων αὐλισάμενος ὡς ἐνεπλήσθη χρημάτων, αὐτὸς μὲν ἀνεχώρει μετὰ τῆς πλείστης δυνάμεως, Σίλωνα δὲ σὺν μέρει καταλέλοιπεν, ὡς μὴ κατάφωρον τὸ λῆμμα ποιήσειεν πάντας ἀπαναστήσας. Ἀντίγονος δὲ πάλιν ἐλπίζων Πάρθους ἐπα-

§ 285 = Ant. Iud. XIV 388.

PAMLVRCLatHegesippus 1 30 p. 48.

1 *μὲν*] om. P *δὲ* R 2 *τε*] *δὲ* LR 3 *καπιτώλιον* C *Ἡρώδῃ*] *ἡρώδην* C 4 *εἱστία*] ex corr. C *ἡστεία* C¹ *εἱστία αὐτὸν* PAMLVRLatHeg probante Destinone; cf. Ant. Iud. XIV 389 5 i. marg. *λ'* VC *τοὺς*] *τοῖσ* C¹ 6 *μεσάδα* AL *μασσάδα* V *massada* (acc.) Lat *ἐπιτηδείοισ* M¹ 7 *ὁ ἀδελφὸσ* ALVRC *ἀδελφὸς* Destinon *διακό·οισ* L *διακόνοισ* Lips *διακοσίοισ* (*κο* ex *κό* corr., *σίοισ* i. ras. m. 2) R *διακοσίουσ* V *iosippus* Lat 8 *ἐβουλεύοντο* PA *ἐβούλευσεν* LVR *ἐβουλεύσατο* Niese 9 *μαλίχω*] CLat *μεταμε·λεῖν*, eras. *τ*, *λ* ex *α* corr. P 10 *νύκταν* V *πλεῖστον ὗσαι συνέβη* tr. V 11 *ἐκδοχίων* L *ἐκδοχιῶν* R *ἀναπλησθέντων ὕδατοσ* tr. LVR *οὐκέτ' ἔχρῃζεν*] *οὐκέτ' ἔχρῃζον* M *οὐ κατεδέησε* LVR *causa non erat* Lat 12 *ἀλλὰ* C *τὸν* om. LVRC 13 *εἰσπλεκόμενοι* V 14 *δὲ* LVR *ὅπου*] *ὅπη* LVRC *πταίσαντες* Niese 17 *ἀνείργειν*] *ἀναιρεῖν* L¹R *παρενέβαλεν* Naber 18 *βοηθήσων, ησων* i. ras. 2—3 litt. m. 2 L *βοηθῶν* VR *iosippum* Lat *ἔργω, ω* ex *ου* corr. A *δ'*] *δὲ* ALR *δὲ τοῖσ περὶ* V, cf. u. 12 19 *γοῦν*] *οὖν* PAM 21 *σὺν μέρει*] PAML² Lat *συμμερίτην* L¹VRC *κατέλιπεν* Destinon *κατάφορον* PL¹R 22 *ἐπαμυνεῖν*] Destinon *ἐπαμύνειν* PA *ἐπαμύνειν αὐτῶ* MLVRC

μνεῖν καὶ Σίλωνα τέως ἐθεράπευεν, ὡς μηδὲν ἐνοχλοίη πρὸ τῆς ἐλπίδος.

3. Ἤδη δὲ Ἡρώδης καταπεπλικὼς ἀπὸ τῆς Ἰταλίας εἰς Πτολε- 290
μαΐδα καὶ συναγηοχὼς δύναμιν οὐκ ὀλίγην ξένων τε καὶ ὁμοφύλων
ἤλαυνεν διὰ τῆς Γαλιλαίας ἐπ' Ἀντίγονον συλλαμβανόντων Βεντι-
δίου καὶ Σίλωνος, οὓς Λέλλιος ὑπ' Ἀντωνίου πεμφθεὶς Ἡρώδην
συγκαταγαγεῖν ἔπεισεν. ἐνέγκαντες δὲ Βεντίδιος μὲν ἐν ταῖς πόλεσιν 291
τὰς διὰ Πάρθους ταραχὰς καθιστάμενος, Σίλων δὲ ἐν Ἰουδαίᾳ χρή-
μασιν ὑπ' Ἀντιγόνου διεφθαρμένος. οὐ μὴν Ἡρώδης ἰσχύος ἠπόρει.
προϊόντι δ' αὐτῷ καθ' ἡμέραν ηὔξητο τὰ τῆς δυνάμεως, καὶ πλὴν
ὀλίγων πᾶσα ἡ Γαλιλαία προσέθετο. προύκειτο μὲν οὖν τὸ ἀναγ- 292
καιότατον ἀγώνισμα Μασάδα καὶ τὸ ῥύσασθαι πρῶτον τοὺς οἰκείους
ἐκ τῆς πολιορκίας, γίνεται δ' ἐμπόδιον Ἰόππη· ταύτην γὰρ ἐχρῆν
πολεμίαν οὖσαν ἐξελεῖν πρότερον, ὡς μὴ χωροῦντος ἐπὶ Ἱεροσολύ-
μων κατὰ νώτου τι τοῖς ἐχθροῖς ἔρυμα καταλείποιτο. συνῆπτεν
δὲ καὶ Σίλων ἀσμένως τῆς ἀπαναστάσεως πρόφασιν εὑρών, ᾧ προσ-
έκειντο Ἰουδαῖοι διώκοντες. ἐπὶ τούτους Ἡρώδης ἐκδραμὼν μετ'
ὀλίγου στίφους τρέπεται ταχέως καὶ Σίλωνα διασώζει κακῶς ἀμυ-
νόμενον.

4. Ἔπειτα Ἰόππην ἑλὼν πρὸς τὴν Μασάδα ῥυσόμενος τοὺς 293
οἰκείους ἠπείγετο. καὶ τῶν ἐπιχωρίων οὓς μὲν πατρῴα φιλία
προσῆγεν, οὓς δὲ τὸ αὐτοῦ κλέος, οὓς δὲ τῆς ἐξ ἀμφοῖν εὐεργε-
σίας ἀμοιβή, πλείστους γε μὴν ἐλπὶς ὡς ἐκ βασιλέως βεβαίου,

§ 289 = Ant. Iud. 393.

PAMLVRCLatHegesippus I 30 p. 48.

1 *καὶ* om. Lat *ἐθεράπευσεν* ed. pr. *πρὸσ τὰσ ἐλπίδασ* C *pendente spe* Lat 3 i. marg. *λα'* V *ἀπὸ*] *ἐκ* LVRC 4 *συναγειοχὸσ* L *συναγειοχὼσ* R 6 *καὶ*] *τε καὶ* AMC 7 *συγκατάγειν* (*συνε* — V¹) LVRC 8 *πάρθου* L¹VR *δ'* C 10 *δὲ* LVRC *ηὔξετο* MLVRC *καὶ* om. Lat 11 *ἡ* om. AMC *τὸ* om. M 12 *μάσαδα* MVC *μασάδε, ε* paene erasum L *masadam* (acc.) Lat 13 *δ'*] *μὲν* LVR *γὰρ* om. A 15 *νώτου* corr. ex *νῶτον* M *νῶτον* V *ἔρημα* L¹R *καταλείποιτο*] *λίποιτο* LR *λίποι* V *καταλίποιτο* C 16 *καὶ* om. LR *Σίλων*] *σίμων* L¹ *ἐπαναστάσεως* PAML² *resistendi* Lat *ᾧ προσέκειντο*] PA *ὡσ* (*σ* i. ras. m. 2 L) *δὲ προσέκειντο* LMVRC *ᾧ* — 17 *Ἰουδαῖοι*] *quod cum persecutio premeret iudaeorum* Lat 17 *οἱ Ἰουδαῖοι* V *διώκοντεσ*] *προσίκοντεσ* PA, unde *προδιώκοντεσ* Destinon *τούτοισ* ALLips 20 *μασάδᾰ* A *μάσαδαν* MC *μασάδαν* LR *μάσαδα* V *massadam* Lat *masadam* Heg 21 *ἐπείγετο* P^{2} *πείγετο* A 23 *μὴν ἡ ἐλπὶσ* MLVRC

294 δυσκίνητός τε ἤδη δύναμις ἤθροιστο. προϊόντα δ' Ἀντίγονος ἐνίδρυεν τὰ ἐπιτήδεια τῶν παρόδων προλοχίζων, ἐν οἷς οὐδὲν ἧττον μικρὰ τοὺς πολεμίους ἔβλαπτεν. Ἡρώδης δὲ τοὺς ἐκ Μασάδας οἰκείους παραλαβὼν ῥᾳδίως καὶ Ῥῆσαν τὸ φρούριον ἦγεν πρὸς τὰ Ἱεροσόλυμα· συνῆπτε δ' αὐτῷ τὸ μετὰ Σίλωνος στρατιωτικὸν καὶ πολλοὶ τῶν ἐκ τῆς πόλεως τὴν ἰσχὺν καταπλαγέντες.

295 5. Στρατοπεδευσαμένους δὲ κατὰ τὸ πρὸς δύσιν κλίμα τοῦ ἄστεος οἱ ταύτῃ φύλακες ἐτόξευόν τε καὶ ἐξεκόντιζον αὐτούς, ἄλλοι δὲ κατὰ στῖφος ἐκθέοντες ἀπεπειρῶντο τῶν προτεταγμένων. Ἡρώδης δὲ τὸ μὲν πρῶτον κηρύσσειν περὶ τὸ τεῖχος ἐκέλευεν ὡς ἐπ' ἀγαθῷ τε παρείη τοῦ δήμου καὶ ἐπὶ σωτηρίᾳ τῆς πόλεως, μηδὲν μηδὲ τοὺς φανεροὺς ἐχθροὺς ἀμυνούμενος, δώσων δὲ καὶ τοῖς διαφορωτάτοις ἀμνηστίαν. 296 ἐπεὶ δὲ ἀντιπαρηγορουῦντες οἱ περὶ τὸν Ἀντίγονον οὔτε κατακούειν τῶν κηρυγμάτων εἴων τινὰς οὔτε μεταβάλλεσθαι, τὸ λοιπὸν ἀμύνεσθαι τοὺς ἀπὸ τοῦ τείχους ἐπέτρεπεν τοῖς σφετέροις· οἱ δὲ ταχέως ἅπαντας ἀπὸ τῶν πύργων ἐτρέψαντο τοῖς βέλεσιν.

297 6. Ἔνθα δὴ καὶ Σίλων ἀπεκαλύψατο τὴν δωροδοκίαν· ἐπισκευασάμενος γὰρ πολλοὺς τῶν στρατιωτῶν σπάνιν ἐπιτηδείων ἀναβοᾶν καὶ χρήματα εἰς τροφὰς αἰτεῖν ἀπάγειν τε σφᾶς χειμεριοῦντας εἰς τοὺς ἰδίους τόπους, ἐπειδὴ τὰ περὶ τὴν πόλιν

§ 294 = Ant. Iud. XIV 399.

PAMLVRCLatHegesippus I 30 p. 49.

1 *δυσκίνητος*] *ualidissimas* Lat τε] δὲ LVRC *que* Lat ἤδη] ἡ C, om. LR ἤδη ἡ Destinon δὲ LVR ἐνίδρυεν A 2 τἀπιτήδεια C 3 τούσ τε LRC *παραλαβὼν — 4 φρούριον*] *receptis e masada pigneribus suis et rebus a castello* Lat 4 ῥησὰν P θρῆσαν MVC, * * σαν exstat i. marg. m. 2 V; cf. § 266 εἴη R 5 δὲ MLVRC *πολλοί*] *ceteri* Lat 7 *στρατοπεδευσαμένους*] στρατοπεδευσαμένου ML¹VRC, de Lat non liquet 8 ἄστεως V¹R ἠκόντιζον VC αὐτούς] εἰς αὐτούς Bekker cum L. B 10 δὲ τὸ suppl. A *κηρύσσειν*, σ ante ε i. ras. maiore A *περὶ*] ἐπὶ AL *circa* Lat ἐκέλευσεν LVR 11 *παρείη*] παρίη PA παρῆει MLVR *aduenisse* Lat *μηδὲ*] Bekker μήτε codd. 12 *ἀμυνούμενος*] RLat ἀμυνόμενος PAMLVC Lips τοὺσ διαφορωτάτουσ V 13 δὲ·V ἀντικατηγοροῦντεσ A *obstrepentes* Heg, unde ἀντιπαταγοῦντες Destinon οἱ om. V¹ τὸν om. LVR 14 Ἀντίγονον] ἀντώνιον C 15 ἀμύνασθαι LVRC τοὺς] τοῖσ P ἐπι C 16 τοῖσ σφετέροισ ἐπέτρεπεν tr. P 18 καὶ ὁ σίλων LVR 20 εἰς τροφὰς] ταῖσ τροφαῖσ LVR τε εἰς τροφὰς ed. pr. ἀπαγαγεῖν LVR χειμεριοῦντασ, α ex εσ corr. P 21 ἰδίους] ἐπιτηδείους MLVRC *oportuna* Lat

ἦν ἔρημα πάντα τῶν περὶ Ἀντίγονον προαπεσκευασμένων, ἐκίνει τε τὸ
στρατόπεδον καὶ ἀναχωρεῖν ἐπειρᾶτο. Ἡρώδης δ' ἐντυγχάνων τοῖς 298
τε ὑπὸ τὸν Σίλωνα ἡγεμόσιν καὶ κατὰ πλῆθος τοῖς στρατιώταις
ἐδεῖτο μὴ καταλιπεῖν αὐτὸν ὑπό τε Καίσαρος καὶ Ἀντωνίου καὶ
τῆς συγκλήτου προπεμφθέντα· λύσειν γὰρ αὐθημερὸν αἰτῶν τὰς
ἀπορίας. καὶ μετὰ τὴν δέησιν [εὐθέως] ὁρμήσας αὐτὸς εἰς τὴν 299
χώραν τοσαύτην αὐτοῖς ἐπιτιθείων ἀφθονίαν ἐκόμισεν, ὡς πάσας
ἀποκόψαι τὰς Σίλωνος προφάσεις, εἴς τε τὰς ἑξῆς ἡμέρας μὴ
διαλιπεῖν τὴν χορηγίαν προνοούμενος ἐπέστελλεν τοῖς περὶ Σαμά-
ρειαν, ὡκείωτο δ' ἡ πόλις αὐτῷ, σῖτον καὶ οἶνον καὶ ἔλαιον καὶ
βοσκήματα κατάγειν εἰς Ἱεριχοῦντα. ταῦτ' ἀκούσας Ἀντίγονος 300
διέτεμψεν περὶ τὴν χώραν εἴργειν καὶ λοχᾶν τοὺς σιτηγοὺς κελεύων.
οἱ δ' ὑπήκουον, καὶ πολὺ πλῆθος ὁπλιτῶν ὑπὲρ τὴν Ἱεριχοῦντα
συνηθροίσθη· διεκαθέζοντο δὲ ἐπὶ τῶν ὀρῶν παραφυλάσσοντες τοὺς
τὰ ἐπιτήδεια ἐκκομίζοντας. οὐ μὴν Ἡρώδης ἠρέμει, δέκα δὲ σπείρας 301
ἀναλαβών, ὧν πέντε μὲν Ῥωμαίων πέντε δὲ Ἰουδαίων ἦσαν ἔχουσαι
καὶ μισθοφόρους μιγάδας πρὸς οἷς ὀλίγους τῶν ἱππέων, ἐπὶ τὴν
Ἱεριχοῦντα παραγίνεται, καὶ τὴν μὲν πόλιν καταλελειμμένην εὑρίσκει.
πεντακοσίους δὲ τὰ ἄκρα κατειληφότας σὺν γυναιξὶν καὶ γενεαῖς.
αὐτοὺς μὲν οὖν ἀπολύει λαβών, Ῥωμαῖοι δ' εἰσπεσόντες τὸ λοιπὸν 302
ἄστυ διήρπασαν πλήρεις καταλαμβάνοντες τὰς οἰκίας παντοίων κειμη-

§ 297 = Ant. Iud. XIV 406.

PAMLVRCLatHegesippus I 30 p. 49.

ἔρημα

1 ἦν om. LVR ἔρημα πάντα] ἅπαντα L προανεσκευασμένων] M *παρεσκευασμένων* P *προεσκευασμένων*, *ων* i. ras. A *προανασκευασμένων* LVRC *ante prouisis* Lat; cf. Ant. XIV 406 2 δὲ MLVR ἐντυγχάνων] *ἐγγὺς τυγχάνων* PA 3 ὑπὸ] ἐπὶ L¹VR περὶ Niese τοῖς] τοῖσ τε PA στρατιώτες V¹ 4 καταλιπεῖν, ι ex ει corr. A αὐτὸν] τὸν habuisse uid. Heg 5 τὰς] τοὺσ L¹ 6 εὐθέως om. PALatHeg, cf. Ant. Iud. XIV 408 S εἴς] ὥσ A 9 διαλιπεῖν, ι corr. ex ει A διαλείπειν M ἐπέστελεν A 10 οἰκείωτο LR¹ ὠκίωτο C¹ δὲ ALVRC πόλισ, ι i. ras. m. 2 A σῖτον] καὶ σῖτον LVR οἶνον καὶ om. C 11 βοσκήματα] βοσκημάτων καὶ οἴνων C ταῦτα MLVRC ὁ ἀντίγονοσ LVR 12 περὶ] κατὰ LVR εἴργειν P et ex corr. A 13 δὲ LVR πολλὺ A¹ 14 δ' C ὀρέων LVR

προφυλάσσοντεσ R¹ παραφυλάσσοντε V¹ τἀπιτήδεια C 15 διεκομίζοντασ V 16 Ῥωμαίων] ῥωμαικαὶ C δ' C 17 οἷς] οἵσ L¹RV¹ ἱππέων] ἱππέων παραλαβὼν Hauerkamp ex L. B. 18 παραγίνεται] γίνεται LVR καταλελειμμένην] λελειμμένην LR² λελημμένην VR¹ 19 κατειληφότεσ V κατηλειφότασ C γύναιξί τε καὶ L 20 αὐτοὺς] αὐτὸσ L¹VR *hos* Lat τούτους Ant. Iud. XIV 410 ἀπολύει λαβών] ἀπολαβὼν ἀπολύει L¹VR λαβὼν ἀπολύει L² δὲ LVR 21 καταλαβόντεσ P οἰκείασ A et ex corr. P

λίων. Ἰεριχοῦντος μὲν οὖν φρουρὰν ὁ βασιλεὺς καταλιπὼν ὑπέστρεψεν καὶ χειμεριοῦσαν τὴν Ῥωμαίων στρατιὰν εἰς τὰς προσκεχωρηκυίας διαφῆκεν Ἰδουμαίαν καὶ Γαλιλαίαν καὶ Σαμάρειαν. ἐπέτυχεν δὲ καὶ Ἀντίγονος παρὰ τῆς Σίλωνος δωροδοκίας ὑποδέξασθαι τοῦ στρατοῦ μοῖραν ἐν Λύδδοις Θεραπεύων Ἀντώνιον.

303 XVI. 1. Καὶ Ῥωμαῖοι μὲν ἐν ἀφθόνοις διῆγον ἀνειμένοι τῶν ὅπλων, Ἡρώδης δ' οὐκ ἠρέμει, ἀλλὰ τὴν μὲν Ἰδουμαίαν δισχιλίοις πεζοῖς καὶ τετρακοσίοις ἱππεῦσιν διαλαμβάνει πέμψας τὸν ἀδελφὸν Ἰώσηπον, ὡς μή τι νεωτερισθείη πρὸς Ἀντίγονον· αὐτὸς δὲ τὴν μητέρα καὶ ὅσους ἐκ Μασάδας οἰκείους ἐξήγαγεν μεταγαγὼν εἰς Σαμάρειαν καὶ καταστησάμενος ἀσφαλῶς ἦει τὰ λοιπὰ τῆς Γαλιλαίας καταστρεψόμενος καὶ τὰς Ἀντιγόνου φρουρὰς ἐξελάσων.

304 2. Πρὸς δὲ τὴν Σέπφωριν ἐν νιφετῷ σφοδροτάτῳ διανύσας ἀκονιτὶ παραλαμβάνει τὴν πόλιν πρὸ τῆς ἐφόδου τῶν φυλάκων ἐκφυγόντων. ἔνθα τοὺς ἑπομένους ὑπὸ τοῦ χειμῶνος κακωθέντας ἀναλαβών, πολλὴ δ' ἦν ἀφθονία τῶν ἐπιτηδείων, ἐπὶ τοὺς ἐν τοῖς σπηλαίοις ὥρμητο λῃστάς, οἳ πολλὴν τῆς χώρας κατατρέχοντες οὐκ
305 ἐλάττω κακὰ πολέμου διετίθεσαν τοὺς ἐπιχωρίους. προπέμψας δὲ πεζῶν τρία τέλη καὶ μίαν ἴλην ἱππέων πρὸς Ἄρβηλα κώμην αὐτὸς μετὰ τεσσαράκοντα ἡμέρας ἐπῆλθεν μετὰ τῆς λοιπῆς δυνάμεως. οὐ μὴν πρὸς τὴν ἔφοδον ἔδεισαν οἱ πολέμιοι, μετὰ δὲ τῶν ὅπλων ἀπήντων ἐμπειρίαν μὲν πολεμικὴν ἔχοντες, τὸ δὲ θράσος λῃστρι-
306 κόν. συμβαλόντες γοῦν τῷ σφετέρῳ δεξιῷ τὸ εὐώνυμον κέρας τῶν Ἡρώδου τρέπονται. περιελθὼν δὲ ταχέως Ἡρώδης ἐκ τοῦ καθ'

---

§ 302 = Ant. Iud. XIV 411.

PAMLVRCLatHegesippus I 30 p. 49.

1 φρουρὸν V καταλιπών, ι i. ras. maiore A 2 προκεχωρηκυίασ PAMLVR et man. 1 Lips προσκεχωρηκυίασ πόλεισ C προκεχωρηκυίασ πόλεισ ex corr. Lips *quae sibi cesserant* Lat 3 Ἰδουμαίαν] PAMLatHeg ἰουδαίαν LVRC 4 σίλωνοσ C 5 λύδοισ VC θεραπεύων] ὡσ θεραπεύσων C 7 δὲ LVR Ἰδουμαίαν] γρ ἰουδαίαν i. marg. m. 2 Lips 8 τετρακοσίοις] *quingentis* Heg 9 *iosippo* Lat ὡς] PAML²CLat εἰ VL¹ εἰ eras. R ἀντιγόνου VC 11 ᾖει] εἴη R 12 ἐ·ξελάσων P 13 σέπφοριν C ἐπφωριν LR¹ *semforim* Lat *seffore* Heg διανοίσασ C¹ 14 ἀκονιτὶ] ἀκμητὶ LVRC 15 χειμῶνοσ C 16 δὲ LVR 18 κακὰ, κ ante ὰ i. ras. m. 2 C πολέμου κακὰ tr. V διετίθησαν C 19 τρία ex δύο corr. P δύο V ἴλην] C et ex corr. V ἵλην PAM ἴλην, ι ex ει corr. L εἵλην R ἄρβηλαν M *arbelam* Heg 20 τεσαράκοντα A μ' V 22 ἀπήντουν A ἐμπειρίαν μὲν] τὴν μὲν ἐμπειρίαν LVRC 23 συμβάλλοντεσ V συμβαλόντων LR τῶν Ἡρώδου] AMR et ex corr. V τοῦ ἡρώδου (i. marg. suppl. C) PLV¹C 24 κατ' αὐτὸν et i. marg. ἐκ τοῦ καθ' ἑαυτὸν V

ἑαυτὸν δεξιοῦ προσεβοήθει καὶ τὸ μὲν οἰκεῖον ἐπέστρεφεν ἐκ τῆς φυγῆς, τοῖς δὲ διώκουσιν ἐμπίπτων ἀνέκοπτεν τὴν ὁρμὴν μέχρι τὰς κατὰ στόμα προσβολὰς μὴ φέροντες ἐξέκλιναν.

3. Ὁ δὲ ἕως Ἰορδάνου κτείνων εἵπετο καὶ πολὺ μὲν αὐτῶν 307
μέρος διέφθειρεν, οἱ λοιποὶ δ' ὑπὲρ τὸν ποταμὸν ἐσκεδάσθησαν, ὥστε τὴν Γαλιλαίαν ἐκκεκαθάρθαι φόβου, πλὴν καθόσον οἱ τοῖς σπηλαίοις ἐμφωλεύοντες ὑπελείποντο· κἀπὶ τούτοις ἔδει διατριβῆς. διὸ δὴ πρῶτον τοῖς στρατιώταις τὰς ἐκ τῶν πεπονημένων ἐπικαρ- 308
πίας ἀπεδίδου διανέμων ἑκάστῳ δραχμὰς ἑκατὸν πεντήκοντα ἀργυρίου καὶ τοῖς ἡγεμόσιν πολυπλασίονα διέπεμψεν εἰς οὓς ἐχειμέριζον σταθμούς. Φερώρᾳ δὲ τῷ νεωτάτῳ τῶν ἀδελφῶν ἐπέστελλεν τῆς τε ἀγορᾶς αὐτοῖς ποιεῖσθαι πρόνοιαν καὶ τειχίζειν Ἀλεξάνδρειον. κἀκεῖνος ἀμφοτέρων ἐπεμελήθη.

4. Ἐν δὲ τούτῳ περὶ μὲν Ἀθήνας διῆγεν Ἀντώνιος, Βεντίδιος 309
δὲ ἐπὶ τὸν πρὸς Πάρθους πόλεμον Σίλωνά τε καὶ Ἡρώδην μετεπέμπετο καταστήσασθαι πρότερον ἐπιστέλλων τὰ περὶ Ἰουδαίαν. Ἡρώδης δὲ ἀσμένως Σίλωνα πρὸς Βεντίδιον ἀπολύσας αὐτὸς ἐπὶ τοὺς ἐν τοῖς σπηλαίοις ἐστράτευσεν. τὰ δὲ σπήλαια ταῦτα πρὸς 310
ἀποκρήμνοις ὄρεσιν ἦν οὐδαμόθεν προσιτά, πλαγίας δὲ ἀνόδους μόνον ἔχοντα στενοτάτας. ἡ δὲ κατὰ μέτωπον αὐτῶν πέτρα κατέτεινεν εἰς βαθυτάτας φάραγγας ὄρθιος ἐπιρρέπουσα ταῖς χαράδραις, ὥστε τὸν βασιλέα μέχρι πολλοῦ μὲν ἀπορεῖν πρὸς τὸ ἀμήχανον τοῦ τόπου, τελευταῖον δ' ἐπινοίᾳ χρήσασθαι σφαλερωτάτῃ. τοὺς 311

§ 306 = Ant. Iud. XIV 416.

PAMLVRCLatHegesippus I 30 p. 50.

1 ὑπέστρεφεν C 2 ἐμπίπτων, s. m. 2 V ἀνέκοψε (— ψεν A) AM 3 ἐνέκλιναν LV²RC ἐπέκλιναν V¹ 5 δὲ AMLVR 6 ἐκκαθάρθαι M κεκαθάρθαι LVRC φόβων] βόβων ut uid. C¹ γρ φόνων i. marg. m. 2 V οἱ τοῖς] ἐν τοῖσ L¹VR οἱ ἐν τοῖσ L² 7 ἐμφολεύοντεσ C¹ κἀπὶ, ι ex ει corr., P καὶ ἐπὶ LVRC 9 ἐπεδίδου L ἀπονέμων C ἑκατὸν πεντήκοντα] ρ̄ν̄ V 10 πολυπλασίωνα C πυλυπλάσιον L πολλαπλάσιον (πολα— V) VR ἐχειμέριζον] ἔχει μερίζων (ω ex ο corr. A) PA ἐχειμερίζων C 12 ποιεῖσθαι] προεῖσθαι V ἀλεξάνδριον LVR 14 ἐν τούτῳ] itaque Lat 15 δ' C 16 ἐπιστέλλων τὰ] ἐπιστέλλοντα L¹ ἐπιστέλλον τὰ L² 17 δὲ] δ' C μὲν LVR sed Lat ἐπὶ — 19 προσιτά] aduersum latrones in speluncis habitantes mouet exercitum. istae autem speluncae in praeruptis montibus erant undique inaccessae Lat 18 σπηλαίοις — 19 οὐδαμόθεν] σπηλαίοισ ὄρεσιν ἦϊ ληστάσ (ληστάσ om. A) ἦν δ' οὐδαμόθεν PA 20 στενοτάτασ, ο ex ω corr. A στενωτάτουσ L¹ στενωτάτασ L² στενοτάτουσ R ac perangustos Lat μέτωποσ L¹ 21 ὄρθιος] PAMLat et i. marg. V ὀρθίαισ LVRC 22 βασιλέα·, α (ante ras.) ex ο corr. uid. A πολοῦ C 23 δὲ LVR

γοῦν ἀλκίμους καθιμῶν ἐν λάρναξιν ἐνίει τοῖς στομίοις, οἱ δὲ ἀπέσφαττόν τε αὐτοὺς σὺν γενεαῖς καὶ πῦρ ἐνίεσαν τοῖς ἀμυνομένοις. βουληθεὶς δὲ ἐξ αὐτῶν καὶ περισῶσαί τινας Ἡρώδης ἐκήρυξεν ἀναχωρεῖν πρὸς αὐτόν. τῶν δὲ ἐθελουσίως μὲν οὐδεὶς προσέθετο, καὶ τῶν βιαζομένων δὲ πολλοὶ τῆς αἰχμαλωσίας προείλοντο θάνατον. 5
312 ἔνθα καὶ τῶν γηραιῶν τις ἑπτὰ παίδων πατὴρ μετὰ τῆς μητρὸς δεομένους τοὺς παῖδας ἐπιτρέψαι σφίσιν ἐξελθεῖν ἐπὶ δεξιᾷ κτείνει τρόπῳ τοιῷδε· καθ' ἕνα προϊέναι κελεύσας αὐτὸς ἵστατο ἐπὶ τὸ στόμιον καὶ τὸν ἀεὶ προϊόντα τῶν υἱῶν ἀπέσφαττεν. ἐξ ἀπόπτου δὲ Ἡρώδης ἐπιβλέπων τῷ τε πάθει συνείχετο καὶ τῷ πρεσβύτῃ 10
313 δεξιὰν ὤρεγεν φείσασθαι τῶν τέκνων παρακαλῶν. ὁ δὲ πρὸς οὐδὲν ἐνδοὺς τῶν λεγομένων ἀλλὰ καὶ προσονειδίσας τὸν Ἡρώδην εἰς ταπεινότητα ἐπὶ τοῖς παισὶν ἀναιρεῖ καὶ τὴν γυναῖκα καὶ καταβαλὼν κατὰ τοῦ χρημνοῦ τοὺς νεκροὺς τελευταῖον ἑαυτὸν ἔρριψεν.
314 5. Χειροῦται μὲν οὕτως τὰ σπήλαια καὶ τοὺς ἐν αὐτοῖς 15
Ἡρώδης· καταλιπὼν δὲ τοῦ στρατοῦ μοῖραν ὅσην ἀποχρήσειν ὑπελάμβανεν πρὸς τὰς ἐπαναστάσεις καὶ Θολεμαῖον ἐπ' αὐτῆς ἐπὶ Σαμαρείας ὑπέστρεψεν, ὁπλίτας μὲν τρισχιλίους ἱππεῖς δ'
315 ἄγων ἑξακοσίους ἐπ' Ἀντίγονον. ἔνθα πρὸς τὴν ἀποχώρησιν αὐτοῦ λαβόντες ἄδειαν οἷς ἔθος ἦν θορυβεῖν τὴν Γαλιλαίαν 20 κτείνουσιν μὲν Θολεμαῖον τὸν στρατηγὸν ἀδοκήτως προσπεσόντες, ἐπόρθουν δὲ τὴν χώραν ποιούμενοι τὰς ἀναφυγὰς εἰς τὰ
316 ἕλη καὶ τὰ δυσερεύνητα τῶν χωρίων. πυθόμενος δὲ Ἡρώδης τὴν ἐπανάστασιν διὰ τάχους ἐπεβοήθει καὶ πολὺ μὲν αὐτῶν πλῆθος

---

§ 311 = Ant. Iud. XIV 426.

PAMLVRCLatHegesippus I 30 p. 51.

1 *καθιῶν* L¹R *στομίοις*] *τομίοις* R¹ *ἀπέσφατόν* L 2 *ἑαυτοὺς* PAM *σὺν γενεαῖς*] *συγγενεαῖς* L 3 *δ'* C *ἐξ* i. ras. A *ἀναχωρεῖν*] *ἀποχωρεῖν* MLVRC *recederent* Lat *ὑποχωρεῖν* Hudson 4 *ἐθελούσιος* RC *ἐθελουσίως* V 5 *προείλαντο* LR *προήλαντο* V 6 *γηραιῶν*] *γηρεῶν* LR 7 *ἐπιστρέψαι* A¹ 8 *αὐτὸ·σ*, eras. *υ* L *ἵστατο, ο* ex *ε* corr. A *ἵσταται* LVR *ἐπὶ*] *παρὰ* LRC *πρὸς* V *ἐπὶ τοῦ στομίου* Ant. Iud. XIV 429 9 *ἀεὶ* om. C *προσιόντα* LR 10 *ἀποβλέπων* C *prospiciens* Lat *συνείχετο*] V¹ *συνεχεῖτο* PAMLV²RC *conficiebatur* Lat 12 *προσωνειδίσας* L 14 *τελευταῖον*] *τὸ τελευταῖον καὶ* C 15 i. marg. *λβ'* VC *οὕτω* LVR et ex corr. P 17 *ὑπελάμβανεν*] *ἔμελλε* C *Θολεμαῖον*] *πτολεμαῖον* MLVRCLatIleg et Ant. Iud. XIV 431 18 *σαμάρειαν* LVRC *ἑξακοσίους*] *χ* P *πεντακοσίους* A *sexcentos* Lat 20 *θορυβεῖν, εἶν* i. ras. A 21 *μὲν* om. V¹ *πτολεμαῖον* MLVRCLat 22 *εἴσ τε τὰ* C 24 *ἐπανάστασιν*] *ἐπανάστασι* C¹ *ἀνάστασιν* et i. marg. *τὴν ἐπανάστασιν* V *ἀπεβοήθει* L¹

διαφθείρει, τὰ φρούρια δὲ πάντα πολιορκίαις ἑξελὼν ἐντίμιον τῆς μεταβολῆς εἰσεπράξαιτο παρὰ τῶν πόλεων ἑκατὸν τάλαντα.

6. Ἤδη δὲ Πάρθων μὲν ἐξελιλαμένων, ἀνῃρημένου δὲ Πακόρου 317
Βεντίδιος ἐπιστείλαντος Ἀντωνίου πέμπει συμμάχους Ἡρώδῃ κατ' Ἀντιγόνου χιλίους ἱππεῖς καὶ δύο τάγματα. τούτων δὲ τὸν στρατηγὸν Μαχαιρᾶν Ἀντίγονος ἱκέτευσεν δι' ἐπιστολῶν ἑαυτῷ βοηθὸν ἀφικέσθαι πολλά τε περὶ τῆς Ἡρώδου βίας ἀποδυρόμενος καὶ χρήματα δώσειν ὑπισχνούμενος. ὁ δέ, οὐ γὰρ κατεφρόνει τοῦ πέμ- 318
ψαντος ἄλλως τε καὶ πλείον' Ἡρώδου διδόντος, εἰς μὲν τὴν προδοσίαν οὐχ ὑπήκουσεν, ἐπικορινόμενος δὲ φιλίαν κατάσκοπος ἦει τῶν Ἀντιγόνου πραγμάτων Ἡρώδῃ μὴ πειθοῖς ἀποστρέφοντι. προα- 319
σθόμενος δ' αὐτοῦ τὴν διάνοιαν Ἀντίγονος τήν τε πόλιν ἀπέκλεισεν καὶ ἀπὸ τῶν τειχῶν ὡς πολέμιον ἠμύνατο, μέχρις αἰδούμενος Μαχαιρᾶς εἰς Ἀμμαοῦντα πρὸς Ἡρώδην ἀναχωρεῖ καὶ πρὸς τὴν διαμαρτίαν θυμούμενος ὅσοις ἐπετύγχανεν Ἰουδαίοις ἀήρει, μηδεμίαν τῶν Ἡρωδείων φειδὼ ποιούμενος, ἀλλ' ὡς Ἀντιγονείοις χρώμενος ἅπασιν.

7. Ἐφ' οἷς χαλεπήνας Ἡρώδης ὥρμησεν μὲν ἀμύνασθαι Μα- 320
χαιρᾶν ὡς πολέμιον, κρατήσας δὲ τῆς ὀργῆς ἐλαννεν πρὸς Ἀντώνιον κατηγορήσων τῆς Μαχαιρᾶ παρανομίας. ὁ δ' ἐν διαλογισμῷ τῶν ἡμαρτημένων γενόμενος ταχέως μεταδιώκει τε τὸν βασιλέα καὶ πολλὰ δεηθεὶς ἑαυτῷ διαλλάττει. οὐ μὴν Ἡρώδης ἐπαύσατο τῆς 321

§ 316 = Ant. Iud. XIV 433.

PAMLVRCLat.

1 *διέφθειρεν* (— *ρε* R) LVRC *τὰ — ἑξελὼν*] *omnibus autem castellis obsidione liberatis* Lat *πάντα*] LVRC Lat *αὐτῶν ἐν* PAM 2 *πόλεων*] PAMLat *πολεμίων* LVRC *ἑκατὸν*] ρ̄ P 3 *ἐξ ελιλα·μένων* A *ἐξελιλασμένων* V *ἐξελιμένων* R¹ *ἐξειλιμένων* R² 4 *συμμάχους πέμπει* tr. LVRC *κατὰ* LVRC 5 *χιλίους*] *χιλίους μὲν* P *δὲ*] PAMLat, om. LVRC 6 *μαχαιρὰν* P¹A¹MV *macheram* Lat *ἱκέτευε* MLVRC *ἑαυτῷ*] *αὐτῷ* LVR 7 *τε* om. LVRC *περὶ*] Destinon *περί τε* codd. *βίας*] *βιασ καὶ ἐπηρειασ τῆσ βασιλειασ* MVC 8 *ὁ δὲ*] *sed uentidius* Lat 9 *πλεῖον'* P *πλέον* AMLVRC 10 *ὑπήκουσεν* V *ἦει*] *εἴη* L 11 *προεσθόμενος*, s. m. 2 V 12 *δὲ* LVRC 13 *τῶν* om. LR *ἠμύ-ατο, μύν* i. ras. 2—3 litt. m. 2 C *μαχαιρὰσ* P¹A¹ 14 *ἀμαοῦντα* L *amathuntem* Lat *ἀναχωρεῖ*] *ἀνεχώρει* L *ἐχώρει* VRC 15 *τεθυμωμένοσ* LVRC *ὅσουσ* V *ἰουδαίουσ* V 16 *ἡρωδίων* PALV¹R *φειδὼ* PAMLVC *ἀλλ' ὡς*] *ἄλλωσ* C *ἀντιγονίοισ* PAV¹LR 18 *μαχαίραν* A *μαχαιρὰν* P¹M 19 *ὀργῆς*] *ὁρμῆσ* MR 20 *μαχαίρα* A *δὲ* LVRC *ἐπιλογισμῷ* ed. pr. 21 *γενόμενοσ, νό* i. ras. angustiore A *τε τὸν*] *τὸν* V *τόν τε* C 22 *διαλάττει* LRC *τῆσ, σ* i. ras. m. 2 A

πρὸς Ἀντώνιον ὁρμῆς· ἀκηκοὼς δ' αὐτὸν μετὰ πολλῆς δυνάμεως προσπολεμοῦντα Σαμοσάτοις, πόλις δ' ἐστὶν Εὐφράτου πλησίον καρτερά, θᾶττον ἠπείγετο τὸν καιρὸν ἐπιτήδειον ὁρῶν πρός τε
322 ἐπίδειξιν ἀνδρείας καὶ τοῦ μᾶλλον ἀρέσασθαι τὸν Ἀντώνιον. γίνεται γοῦν ἐπελθὼν τέλος αὐτοῖς τῆς πολιορκίας, πολλοὺς μὲν τῶν βαρβάρων ἀποκτείνας, πολλὴν δὲ ἀποτεμόμενος λείαν, ὥστε τὸν μὲν Ἀντώνιον θαυμάζοντα καὶ πάλαι τῆς ἀρετῆς αὐτὸν τότε μᾶλλον οὕτως ἔχειν καὶ προσθεῖναι πολὺ ταῖς τε ἄλλαις τιμαῖς αὐτοῦ καὶ ταῖς εἰς τὴν βασιλείαν ἐλπίσιν, Ἀντίοχον δὲ τὸν βασιλέα ἀναγκασθῆναι παραδοῦναι τὰ Σαμόσατα.

323 XVII. 1. Κἀν τούτῳ θραύεται τὰ κατὰ τὴν Ἰουδαίαν Ἡρώδου πράγματα. κατελελοίπει μὲν γὰρ Ἰώσηπον τὸν ἀδελφὸν ἐπὶ τῶν ὅλων παραγγείλας μηδὲν μέχρι τῆς ὑποστροφῆς αὐτοῦ παρακινεῖν πρὸς Ἀντίγονον· οὐ γὰρ δὴ βέβαιον εἶναι Μαχαιρᾶν σύμμαχον ἐξ ὧν ἔδρασεν. ὁ δὲ ὡς ἤκουσεν ὄντα πορρωτάτω τὸν ἀδελφόν, ἀμελήσας τῶν παραγγελμάτων ἐπὶ Ἱεριχοῦντος ἐχώρει μετὰ πέντε σπειρῶν, ἃς συνέπεμψεν Μαχαιρᾶς· ἦγε δὲ τὸν σῖτον ἁρπάσων ἐν
324 ἀκμῇ τοῦ θέρους. ἐπιθεμένων δὲ ἐν τοῖς ὄρεσιν καὶ ταῖς δυσχωρίαις τῶν ἐναντίων αὐτός τε θνήσκει μάλα γενναῖος ἐν τῇ μάχῃ φανείς, καὶ τὸ Ῥωμαϊκὸν πᾶν διαφθείρεται· νεοσύλλεκτοι γὰρ ἦσαν ἐκ τῆς Συρίας αἱ σπεῖραι, καὶ οὐδὲν αὐταῖς ἐνεκέκρατο τῶν πάλαι στρατιωτῶν καλουμένων ἐταμύνειν τοῖς ἀπείροις πολέμου δυνάμενον.

325 2. Ἀντιγόνῳ δὲ οὐκ ἀπέχρησεν ἡ νίκη, προῆλθεν δὲ εἰς τοσοῦτον ὀργῆς, ὥστε καὶ νεκρὸν αἰκίσασθαι τὸν Ἰώσηπον· κρατήσας γοῦν

---

§ 321 = Ant. Iud. XIV 439. § 323 = Ant. Iud. XIV 448.

PAMLVRCLatHegesippus I 30 p. 51.

1 *δὲ* LVRC 2 *σαμουσάτοις* V¹ *samosatam* Lat *δέ* MLVRC 3 *τε* om. LVR 4 *ἀνδρίας* A²VC² 6 *δὲ*] *τε* PM 7 *τῆς*] *τὰ τῆς* ed. pr. *αὐτὸν τότε*] *αὐτόν τε* L¹R *αὐτὸν δὲ* V *αὐτοῦ τότε* ed. pr. 8 *οὕτως μᾶλλον* tr. V *πολὺ προσθεῖναι* tr. LVRC 10 *τὰ σαμόσατα παραδοῦναι* tr. LVRC *σαμοσάτα* AP¹ 11 *ἥρω* *δου*, s. m. 2 C 12 *γὰρ* om. ed. pr. *iosippum* Lat 13 *μηδὲν*] *neque* Lat *μέχρις* C 14 *ἀντίγονον, ον* finale corr. ex *ων* C *μαχαίραν* A *μαχαιρὰν* P¹V 15 *ἔδρασεν* P 17 *συνέπεμψεν*] *ἔπεμψε* LVR *μαχαιρὰς* P¹ *μαχαίρας* A¹ *μαχερᾶς* R *ἁρπάσων*] *ἁμήσων* Destinon 19 *γενναίως* R¹C *ἐν τῇ μάχῃ* i. marg. suppl. m. 2 V 20 *διαφθείεται* *ρ* A 21 *ἐκ τῆσ συρίασ ἦσαν* tr. LVRC *ἀνεκέκρατο* V *τῶν παλαιστρατιωτῶν* Naber; cf. Ant. Iud. XVI 375 22 *καλουμένων* om. Lat 24 *ἀπέχρησεν, α* i. ras., *ε* ante *χ* corr. m. 2 V 25 *iosippum* Lat

τῶν σωμάτων ἀποτέμνει τὴν κεφαλὴν αὐτοῦ, καίτοι πεντήκοντα τάλαντα λύτρον αὐτῆς Φερώρα τἀδελφοῦ διδόντος. τὰ δὲ τῆς Γαλι- 326
λαίας μετὰ τὴν Ἀντιγόνου νίκην ἐνεωτερίσθη εἰς τοσοῦτον, ὥστε τοὺς τὰ Ἡρῴδου φρονοῦντας τῶν δυνατῶν προαγαγόντες εἰς τὴν λίμνην κατέδυσαν οἱ προσέχοντες Ἀντιγόνῳ. μετεβάλλετο δὲ πολλὰ καὶ τῆς Ἰδουμαίας, ἔνθα Μαχαιρᾶς ἀντεῖχεν τι τῶν ἐρυμάτων, Γιθὰ καλεῖται. τούτων δὲ οὔπω πέπυστο Ἡρῴδης· μετὰ γὰρ τὴν 327
Σαμοσάτων ἅλωσιν Ἀντώνιος μὲν κατασήσας ἐπὶ τῆς Συρίας Σόσσιον καὶ προστάξας Ἡρῴδῃ βοηθεῖν ἐπ' Ἀντίγονον αὐτὸς εἰς Ἄβυλλον ἀνεχώρησεν. Σόσσιος δὲ δύο μὲν τάγματα προαπέστειλεν εἰς Ἰουδαίαν Ἡρῴδῃ συμμαχῶν, αὐτὸς δὲ μετὰ τῆς λοιπῆς δυνάμεως ἠκολούθει σχεδόν.

3. Ὄντι δ' Ἡρῴδῃ κατὰ τὴν πρὸς Ἀντιόχειαν λάφυγγ ὄνειροι 328
σαφεῖς τὸν ἀδελφοῦ θάνατον προσημαίνουσιν, καὶ μετὰ ταραχῆς ἐκθορόντι τῆς κοίτης εἰσῆεσαν ἄγγελοι τῆς συμφορᾶς. ὁ δὲ ὀλίγον μὲν προσοιμώξας τῷ πάθει, τὸ πλεῖον δὲ τοῦ πένθους ὑπερθέμενος ἐπὶ τοὺς ἐχθροὺς ἠτείγετο ποιούμενος τὴν πορείαν ὑπὲρ δύναμιν. καὶ διανύσας ἐπὶ τὸν Λίβανον ὀκτακοσίους μὲν τῶν περὶ 329
τὸ ὄρος προσλαμβάνει συμμάχους, Ῥωμαίων δὲ ἓν τάγμα ταύτῃ συνῆψεν. μεθ' ὃν οὐ περιμείνας ἡμέραν εἰς τὴν Γαλιλαίαν ἐνέβαλεν τούς τε πολεμίους ὑπαντιάσαντας εἰς ὃ καταλελοίπεσαν χωρίον τρέπεται. καὶ προσέβαλλεν μὲν συνεχῶς τῷ φρουρίῳ, πρὶν 330

§ 325 = Ant. Iud. XIV 450.

PAMLVRCLatHegesippus I 30 p. 52.

3 *εἰς*] *πρὸσ* LVRC quo tollitur hiatus *εἰσ τοσοῦτον ἐνεωτερίσθη* tr. M 4 *δυνατῶν*, litt. *τῶν* suppl. m. 2 C *προαγαγόντες*] Niese *productos* Lat *προσαγαγόντεσ* PAM *προσάγοντεσ* LVRC 5 *μετεβάλετο* L 6 *ἰδουμα·ασ* C *μαχαίρασ* A *μαχαιρὰσ* V 7 *γίτθα* A *γιτθᾶ* M *γιδθᾶ* LR *γιθθὰ* V *γιθθα* C *iongitha* (h. e. (ἔρυμα) *τωγιτθα*) Lat *ηττον* aut *γιθαν* aut *γιθταν* codd. Ant. Iud. XIV 450 *οὔπω*] *οὐδὲν οὔπω* M *οὐδέπω* LVR *οὐδὲν οὐδέποτε* C *neque* (*horum*) *quicquam* Lat *οὐδέν πω* Bekker 8 *κατασήσασ*, litt. *καταστήσ* corr. ex *κρατήσασ* M *κατεστήσατο* C 9 *σόσσιον* P¹A *Sosius* latine dicitur o breui *ἀντίγονον*, *τ* et *ον* finale ex corr. M *αὐτὸς* om. Lat 10 *σώσσιοσ* A *μὲν* s. P *προ·απέστειλεν* A *προσαπέστειλεν* L 11 *συμμαχεῖν* Destinon 12 *σχεδὸν* cum insequentibus coniungere uid. Lat. qui u. 13 uertit *herodi autem prope degenti aput dafnen* 13 *δὲ* LVRC *ἡρῴδην* V *Ἀντιοχείᾳ* Destinon 14 *τοῦ ἀδελφοῦ* LVRC *προ·σημαίνουσι* C 15 *ἐκθορῶντι* VR *ὀλίγωι* L 16 *πάθηι* V¹ *πάθη* C¹ *δὲ* i. ras. L 17 *ποιούμενος*] PAMLat *ποιούμενοσ δὲ* LVRC *πορίαν*, *ί* i. ras. m. 2 P 19 *τάγμα··*, eras. *τα* V *ταύτῃ* om. C 20 *συνῆψεν*] PAMLat *συνάψασ* LVRC *ἐνέβαλλε* V 21 *ὑπαντιάσαντασ*, *α* (post *τ*) i. ras. L *ὑπαντιάσαντεσ* R 22 *προσέβαλε* L

δὲ ἑλεῖν χειμῶνι βιασθεὶς χαλεπωτάτῳ ταῖς πλησίον ἐνστρατοπεδεύεται κώμαις. ἐπεὶ δ' αὐτῷ μετ' ὀλίγας ἡμέρας καὶ τὸ δεύτερον παρὰ Ἀντωνίου τάγμα συνέμιξεν, δείσαντες τὴν ἰσχὺν οἱ πολέμιοι διὰ νυκτὸς ἐξέλιπον τὸ ἔρυμα.

331 4. Καὶ τὸ λοιπὸν διὰ Ἱεριχοῦντος ᾖει στεύδων ᾗ τάχιστα τοὺς τἀδελφιροῦ φονεῖς μετελθεῖν· ἔνθα καὶ δαιμόνιόν τι αὐτῷ συμβαίνει τέρας, ἐξ οὗ παρ' ἐλπίδα σωθεὶς ἀνδρὸς θεοφιλεστάτου δόξαν ἀπηνέγκατο· πολλοὶ μὲν γὰρ αὐτῷ τῶν ἐν τέλει συνειστιάθησαν κατ' ἐκείνην τὴν ἑσπέραν, διαλυθέντος δὲ τοῦ συμποσίου μετὰ τὸ πάντας
332 ἐξελθεῖν ὁ οἶκος εὐθέως συνέπεσεν. τοῦτο καὶ κινδύνων καὶ σωτηρίας κοινὸν ἐπὶ τῷ μέλλοντι πολέμῳ κρίνας εἶναι σημεῖον ὑπὸ τὴν ἕω διεκίνει τὴν στρατιάν. καὶ τῶν ἐναντίων εἰς ἑξακισχιλίους ἀπὸ τῶν ὀρῶν κατατρέχοντες ἀπεστειρῶντο τῶν προτεταγμένων. κατὰ χεῖρα μὲν συμπλέκεσθαι τοῖς Ῥωμαίοις οὐ σφόδρα θαρροῦντες, πόρρωθεν δὲ χερμάσιν καὶ παλτοῖς ἔβαλλον, ὥστε συχνοὺς κατατιτρώσκειν. ἐν ᾧ καὶ αὐτὸς Ἡρώδης παρελαύνων παλτῷ κατὰ τὴν πλευρὰν ἀκοντίζεται.

333 5. Βουλόμενος δὲ Ἀντίγονος μὴ μόνον τόλμῃ τῶν σφετέρων ἀλλὰ καὶ πλήθει περιεῖναι δοκεῖν, πάππον τινὰ τῶν ἑταίρων μετὰ
334 στρατιᾶς ἐπὶ Σαμάρειαν περιστέμπει. τούτῳ μὲν οὖν ἦν Μαχαιρᾶς ἀγώνισμα, Ἡρώδης δὲ τὴν πολεμίαν καταδραμὼν πέντε μὲν πολίχνας καταστρέφεται, δισχιλίους δὲ τῶν ἐν αὐταῖς διαφθείρει καὶ τὰς

§ 330 = Ant. Iud. XIV 453.

PAMLVRCLat

1 *ἐνστρατοπεδεύσας* L¹ 2 *δὲ* LVR *ὀλίγας*] *ὀλίγας μὲν* LVRC 3 *παρ'* LVRC *Ἀντωνίου*] *ἀντωνίῳ* PALVRC *quam antonius miserat* Lat *ἔμιξε* LR 4 *ἐξέλειπον* RV¹ 5 *διὰ*] *δι'* A *ᾖει διὰ Ἱεριχοῦντος* tr. LVRC *ᾗ*] *ᾗ* AM *ᾗ* LVRC *ὡς* Bekker cum L. B. 6 *τοῦ ἀδελφοῦ* LVR *ἔνθα*] *ἔνθα δὴ* LVRC *ubi* Lat *τι* om. LVRC 8 *αὐτῷ τῶν*] *αὐτῶν* C¹ *συνειστιά·θησαν* M *κατ' ἐκείνην συνειστιάθησαν* tr. ed. pr. 10 *εὐθέως ὁ οἶκος* tr. LVRC 11 *τῷ*] *το* AV¹ 12 *διεκίνει, ι* ex *εί* corr., *ει* i. ras. ut uid. m. 1 L *διεκ·ίνει* VC 14 *κα·τὰ,* eras. *ι* C *θαρροῦντες* V *θαροῦντες* C¹ *ἐθάρρουν* A 15 *πόρρωθε* V ad *χέρμασι* i. marg. adnotant *χαλίξιν* L *χάλιξιν* VR *παλτοῖς*] Hudson *πελτοῖς* codd. *ὥστε*] *dummodo* Lat 16 *παλτῷ*] *πελτῶ* codd. *παλτῷ* — 17 *ἀκοντίζεται*] *ictus iaculo uulneratur* Lat 18 *ὁ ἀντίγονος* LVRC 19 *πάπον* LR *ἑτέρων* LV *ἑτέρων* R 20 *ἐπιπέμπει* MLVRC *mittit* Lat *τούτῳ*] Destinon *τούτων* codd. Lat *οὖν ἦν*] *ἦν* corr. ex *οὖν* V *μαχαιρὰς* PV *μαχαίρας* A¹ 21 i. marg. *λγ'* V *τὴν*] *τὴν τὲ* C *πολεμίαν*] *πολέμιον* L¹R

οἰκίας ἐμπρήσας ὑπέστρεψεν ἐπὶ τὸ στρατόπεδον· ἵλισιο δὲ περὶ τὴν καλουμένην Κανᾶ κώμην.

6. Προσεγίνετο δ' αὐτῷ καθ' ἡμέραν πολὺ πλῆθος Ἰουδαίων 335
ἔκ τε αὐτῆς Ἱεριχοῦντος καὶ ἐκ τῆς ἄλλης χώρας, οἱ μὲν διὰ μῖσος
τὸ πρὸς Ἀντίγονον, οἱ δὲ ἐπὶ τοῖς αὐτοῦ κατορθώμασιν κεκινη-
μένοι· τούς γε μὴν πολλοὺς ἐνῆγεν ἐπιθυμία μεταβολῆς ἄλογος.
καὶ ὁ μὲν ἡτείγετο συμβαλεῖν, οἱ δὲ περὶ Πάππον οὔτε πρὸς τὸ
πλῆθος οὔτε πρὸς τὴν ὁρμὴν ὑποδείσαντες αὐτοῖ προθύμως ἀντε-
ξῆλθον. γενομένης δὲ τῆς παρατάξεως τὰ μὲν ἄλλα μέρη πρὸς 336
ὀλίγον ἀντέσχεν, Ἡρώδης δὲ κατὰ μνήμην τοῦ φονευθέντος ἀδελφοῦ
παραβαλλόμενος, ὃς ἂν τίσαιτο τοὺς αἰτίους τοῦ φόνου, ταχέως
τῶν καθ' ἑαυτὸν ἐκράτει καὶ μετ' ἐκείνους ἐπὶ τὸ συνεστὸς ἀεὶ
τρεπόμενος ἅπαντας διώκει. φόνος δ' ἦν πολύς, τῶν μὲν εἰς τὴν 337
κώμην συνεξωθουμένων ἐξ ἧς ὥρμητο, τοῦ δὲ προσκειμένου τοῖς
ὑστάτοις καὶ κτείνοντος ἀπείρους. συνεισέπιπτε δὲ τοῖς πολεμίοις
εἴσω, καὶ πᾶσα μὲν ὁπλιτῶν οἰκία νένακτο, τὰ τέγη δ' ἦν ὕπερθεν
ἀμυνομένων κατάπλεα. κἀπειδὴ περιῆν τῶν ἔξωθεν, τὰς οἰκήσεις 338
σπαράττων εἶλκεν τοὺς ἔνδοθεν. καὶ τοῖς μὲν πολλοῖς ἐπικατα-
σείων τοὺς ὀρόφους ἀθρόους ἀνῄρει, τοὺς ὑποφεύγοντας δὲ τῶν
ἐριπίων οἱ στρατιῶται ξιφήρεις ἀνεδέχοντο, καὶ τοσοῦτον ἐσω-
ρεύθη νεκρῶν πλῆθος, ὥστε τὰς ὁδοὺς ἀποφραγῆναι τοῖς κρατοῦσιν.
ταύτην τὴν πληγὴν οὐκ ἤνεγκαν οἱ πολέμιοι· τὸ γοῦν ἐπισυλλεγό- 339

---

§ 334 = Ant. Iud. XIV 458.

PAMLVRCLatHegesippus I 30 p. 52. Suidas s. *νένακτο*.

1 *τὸ στρατόπεδον*] *τὸν Πάππον* ex Ant. Iud. XIV 457 Destinon *circa uicum qui appellatur canacome* Lat 3 *προσεγίνοντο* PC *δὲ* LVR *πολὺ πλῆθος καθ' ἡμέραν* tr. L 4 *αὐτῆς*] *τῆς* Niese *καὶ ἐκ*] *καὶ* LVRC 5 *δ'* MC 6 *ἀλόγους* uertit Lat 7 *πάπον* LR 8 *πρὸς τὴν*] *περὶ τὴν* LVRC 10 *ἀντέσχον* LVRC *μνήμην*] PAMLat *μῆνιν* (*ῆνι* i. ras. m. 2 V) LVRC *εὕρηται καὶ κατὰ μῆνιν* i. marg. M 12 *ἑαυτῶν* A *συνεστὼς* PAMV² et ex corr. C *αἰεὶ* AMLVRC 13 *δ'*] *δὲ* AM *τε* LVRC *enim* Lat *πολλὺς* L *πολ·ὺς* C 14 *συνεξωθουμένων*, *ξ* uid. eras. A *ἐξ ἧς*] *ἐξῆς* P 15 *συνεισπίπτει* — 17 *κατάπλεα* extant apud Suidam *συνεκπίπτει* Suid *συνεισπίπτει* — 16 *εἴσω*] *postremo ruens inter fugientes hostes in ciuitatem incidit* Lat 16 *πᾶσα* — *νένακτο*] PAMLat et omisso *μὲν* Suid *πᾶσαν μὲν ὁπλιτῶν οἰκίαν ἐκτᾶτο* LVRC *δὲ* LVRC *ὕπερ* (s. m. 2) L 17 *ἀμυνομένων*] *τῶν μαινομένων* Suid *καὶ ἐπειδὴ* LVR *περιῆν*] *περιήει* PAML² *facillime superabat* Lat *τῶν* om. L¹ *οἰκίσεις* A¹ 18 *πολλοῖς*] *aliis* Lat 19 *ἀθρόους*] *ἀθρόως* ALVRC *multos simul* Lat *ὑποφυγόντας* L¹VR *φυγόντας* C 20 *ἐριπίων* LV¹R *τοσούτων* R

μενον αὐτῶν πλῆθος ὡς ἐθεάσατο τοὺς ἀνὰ τὴν κώμην διεφθαρμένους, εἰς φυγὴν διεσκεδάσθη, κἂν εὐθέως τῇ νίκῃ τεθαρρηκὼς Ἡρώδης ἐπὶ Ἱεροσολύμων ἦλασεν, εἰ μὴ χειμῶνι διεκωλύθη σφοδροτάτῳ. τοῦτ' ἐμπόδιον ἐκείνῳ τε παντελοῦς κατορθώματος καὶ ἥττης Ἀντιγόνῳ κατέστη βουλευομένῳ καταλιπεῖν ἤδη τὴν πόλιν.

340 *7. Ἡρώδης δὲ πρὸς ἑσπέραν [ἤδη] τοὺς φίλους κεκμηκότας ἐπὶ θεραπείᾳ τοῦ σώματος διαφεὶς καὶ αὐτὸς ὡς ἦν ἔτι θερμὸς ἐκ τῶν ὅπλων λουσόμενος ἦει στρατιωτικώτερον· εἷς γοῦν αὐτῷ παῖς εἵπετο. καὶ πρὶν εἰς τὸ βαλανεῖον εἰσελθεῖν ἐναντίον αὐτοῦ τις ἐκτρέχει τῶν πολεμίων ξιφήρης, ἔπειτα δεύτερος καὶ τρίτος, ἑξῆς*

341 *δὲ πλείους. οἵτοι καταπεφεύγεσαν μὲν ἐκ τῆς παρατάξεως εἰς τὸ βαλανεῖον ὡπλισμένοι, τέως δ' ὑποπεπτηχότες καὶ διαλανθάνοντες ὡς ἐθεάσαντο τὸν βασιλέα, λυθέντες ὑπ' ἐκπλήξεως αὐτὸν μὲν παρέτρεχον γυμνὸν ὄντα τρέμοντες, ἐπὶ δὲ τὰς ἐξόδους ἐχώρουν. τῶν μὲν οὖν ἄλλων οὐδεὶς παρῆν κατὰ τύχην ὁ συλλήψόμενος τοὺς*

342 *ἄνδρας, Ἡρώδῃ δ' ἀπέχρη τὸ μηδὲν παθεῖν, ὥστε διαφεύγουσιν πάντες.*

8. Τῇ δ' ὑστεραίᾳ Πάππον μὲν τὸν Ἀντιγόνου στρατηγὸν καρατομήσας, ἀνήρητο δ' ἐπὶ τῆς παρατάξεως, πέμπει τὴν κεφαλὴν Φερώρᾳ ἀδελφῷ ποινὴν τοῦ φονευθέντος αὐτῶν ἀδελφοῦ· καὶ γὰρ

343 *οὗτος ἦν ὁ τὸν Ἰώσηπτον ἀνελών. λωφήσαντος δὲ τοῦ χειμῶνος ἤλαυνεν ἐπὶ Ἱεροσολύμων καὶ μέχρι τοῦ τείχους ἀγαγὼν τὴν δύναμιν, συνήγετο δ' αὐτῷ τρίτον ἔτος ἐξ οὗ βασιλεὺς ἐν Ῥώμῃ ἀπεδέδεικτο, πρὸ τοῦ ἱεροῦ στρατοπεδεύεται· ταύτῃ γὰρ ἦν ἐπίμαχον,*

---

§ 339 = Ant. Iud. XIV 461.

PAMLVRCLatHegesippus I 30 p. 52.

2 *κἂν*] *καὶ* A 3 *εἰσήλασεν ἐπ' ἱεροσόλυμα* (s. m. 2) V 4 *τοῦτ'*] *τοῦτο* C *τοῦτο τὸ* LVR *παντελῶσ* C 5 *τῶ ἀντιγόνω* LVRC *βουλευομένῳ*] *βουλομένω* MVC *cogitabat* Lat 6 *ἤδη* om. PAMLat 8 *λυσόμενοσ* V^1 9 *ἐναντίων* P 10 *ξιφήρεισ* P *ἑξῆς δὲ*] *καὶ ἑξῆσ* LVRC *ἑξῆς τε* Destinon 11 *μὲν* om. LVR 12 *δὲ* LVRC *ὑποπεπτηκότεσ* V *ὑπεπτηχότες* L. Dindorf *λανθάνοντεσ* V 14 *ἐπὶ — ἐχώρουν*] *exitus uero qua fugerent cursu petebant* Lat 15 *ἄλλων*] *ἁλλων, ω* ex *ο* corr. m. 2 V 16 *ἡρῶ δη* P *δὲ* AMLVRC *ἀπέχρησε* ed. pr. *τὸ*] *τῶ* V^2 18 *δὲ* LVR *πά·πον*, eras. uid. *μ* L *πάπον* R 19 *ἀνήρητο*] *ἀνήρειτο* A *obtruncat* Lat *δὲ* LVRC post *πέμπει* 3 litt. eras. A 20 *Φερώρᾳ*] *ferorae magistro exercitus* Lat, qui uerba *ἐπὶ τῆς παρατάξεως* huc rettulit *τῶ ἀδελφῶ* LVRC 21 i. marg. *λδ'* V *οὗτος*] *pappus* Lat *λοφήσαντοσ* LV^1RC^1 22 *ἤλαυνεν*] *ἤλαυνε μὲν* M *ἀναγαγὼν* Bod teste Hudsono 23 *δὲ* LVRC *ἀποδέδεικτο* MC

καθ' ὃ καὶ πρὶν εἶλεν Πομπήιος τὴν πόλιν. διελὼν δὲ εἰς ἔργα 344
τὴν στρατιὰν καὶ τειχῶν τὰ προάστεια τρία μὲν ἐγείρειν χώματα
καὶ πύργους ἐποικοδομεῖν αὐτοῖς κελεύει, καταλιπὼν δὲ τοὺς ἀντι-
τιχωτάτους τῶν ἑταίρων ἐπὶ τῶν ἔργων αὐτὸς εἰς Σαμάρειαν ᾔει
τὴν Ἀλεξάνδρου τοῦ Ἀριστοβούλου μετιὼν θυγατέρα καθωμολογη-
μένην ὡς ἔφαμεν αὐτῷ καὶ πάρεργον ποιούμενος τῆς λοιπορκίας
τὸν γάμον· ἤδη γὰρ ὑπερηφάνει τοὺς πολεμίους.

9. Γίμας δὲ ἐπέστρεψεν ἐπὶ Ἱεροσολύμων μετὰ μείζονος δυνά- 345
μεως· συνῆπτε δ' αὐτῷ καὶ Σόσσιος μετὰ πλείστης στρατιᾶς
ἱππέων τε καὶ πεζῶν, ἣν προεκπέμψας διὰ τῆς μεσογείου τὴν
λοιπὴν αὐτὸς διὰ Φοινίκης ἐποιήσατο. συναθροισθείσης δὲ τῆς 346
ὅλης δυνάμεως εἰς ἕνδεκα μὲν τέλη πεζῶν, ἱππεῖς δὲ ἑξακισχιλίους
δίχα τῶν ἀπὸ Συρίας συμμάχων, οἳ μέρος οὐκ ὀλίγον ἦσαν, κατα-
στρατοπεδεύονται τοῦ βορείου τείχους πλησίον, αὐτὸς μὲν πεποι-
θὼς τοῖς τῆς συγκλήτου δόγμασιν, δι' ὧν βασιλεὺς ἀπεδέδεικτο.
Σόσσιος δὲ Ἀντωνίῳ τῷ πέμψαντι τὴν ὑπ' αὐτῷ στρατιὰν Ἡρῴδῃ
σύμμαχον.

XVIII. 1. Τῶν δ' ἀνὰ τὴν πόλιν Ἰουδαίων τὸ πλῆθος ποι- 347
κίλως ἐτετάρακτο· καὶ γὰρ περὶ τὸν ναὸν ἀθροιζόμενον τὸ ἀσθε-
νέστερον ἐδαιμονία καὶ πολλὰ θειωδέστερον πρὸς τοὺς καιροὺς
ἐλογοποίει, καὶ τῶν τολμηροτέρων κατὰ στῖφος ἦσαν λῃστεῖαι πολύ-

§ 344 = Ant. Iud. XIV 466.

PAMLVRCLatHegesippus I 31 p. 53.

1 καθ' ὃ] καὶ καθ' ὃ ed. pr. καὶ om. V δὲ i. ras. A ἔργα] τρία Naber 2 ἐγείρειν] PAML²Lat ἐγείρει L¹V²RC ἐγείρι V¹ 3 πύργους — δὲ] super eos (scil. aggeres) turres aedificari iubet, relictis autem Lat πύργον PAM ἐποικοδομήσειν (litt. ο ex ι corr., ικ i. ras., ει ex ι corr. A) PAM αὐτοῖσ ex αὐτοὺσ corr. L αὐτῶ PAM κελεύσασ LVRC δὲ om. LVRC ἀντιτικωτάτους ed. pr. 4 σαμάρειαν ᾖει τὴν, αν i. ras. 1 litt., ᾖ ex ν corr., τ s. M 5 μετιὼν] ἐπιὼν, i. marg. γρ μετιὼν C 6 καὶ — 7 γάμον] et dum obsidet subsicina opera nuptias curaturus Lat ποιούμενος] ποιεῖται MLVRC 8 ἐπέστρεψεν C μετὰ — δυνάμεως] auctus militum copiis Lat μείζονος] πλείστησ PAM, unde πλείονος τῆς Destinon; cf. Ant Iud. XIV 468 9 συνῆπτε] συνείπετε (ει i. ras. A) PA sociatur Lat δὲ LVRC σώσσιος A στρατιᾶς] στραᾶσ, i. marg. suppl. τι A 10 ἣν] PAMCLat ἣν ἦν LV² ἦν V¹ ὃν (ὃ i ras.) ἣν R ἣν · · Lips 11 πορίαν P ἐποιήσατο] PAMCLat ποιησάμενοσ LVR 15 ἀποδέδεικτο MC 16 σώσσιοσ A αὐτῷ] αὐτῶν C 18 δὲ LVRC τὸ om. V¹ 19 περὶ] ἐπὶ Hauerkamp ex L. B. 20 ἐδαιμονία — ἐλογοποίει] εὐδαίμονα καὶ πολλῶ θειωδέστερον τὸν τελευτήσαντα πρὸσ τουσ καιροὺσ ἐλογοποίει MLVRC furore agebatur multaque uelut diuinitus de temporibus dictitabat Lat θειοδέστερον PC 21 πολύτροποι om. M

τροποι, μάλιστα τὰ περὶ τὴν πόλιν ἁρπαζόντων ἐπιτήδεια καὶ
348 μήτε ἵπποις μήτε ἀνδράσιν ὑπολειπομένων τροφήν. τοῦ γε μὴν
μαχίμου τὸ εὐτακτότερον ἐτέτακτο πρὸς ἄμυναν τῆς πολιορκίας τοίς
τε χωννύντας εἶργον ἀπὸ τοῦ τείχους καὶ τοῖς ὀργάνοις ἀντιμηχα-
νώμενον ἀεί τι κώλυμα καινότερον· ἐν οὐδενὶ δ' οὕτως ὡς ἐν ταῖς
μεταλλείαις περιῆσαν τῶν πολεμίων.

349 2. Τῷ δὲ βασιλεῖ πρὸς μὲν τὰς λῃστείας ἀντεπενοήθησαν
λόχοι δι' ὧν ἀνέστελλεν τὰς διεκδρομάς, πρὸς δὲ τὴν τῶν ἐπιτη-
δείων ἀπορίαν αἱ πόρρωθεν συγκομιδαί, τῶν δὲ μαχομένων περιῆν
τῇ Ῥωμαίων ἐμπειρίᾳ καίτοι τόλμης οὐδεμίαν καταλιπόντων ὑπερ-
350 βολήν· φανερῶς μέν γε συνερρήγνυντο τοῖς Ῥωμαίοις ἐπὶ προὐπτῳ
τῷ θανεῖν, διὰ δὲ τῶν ὑπονόμων ἐν μέσοις αὐτοῖς ἐξαπίνης ἐφαί-
νοντο, καὶ πρὶν κατασεισθῆναί τι τοῦ τείχους ἕτερον ἀντωχύρουν·
καθόλου τε οὔτε χερσὶν οὔτ' ἐπινοίαις ἔκαμνον εἰς ἔσχατον ἀντισχεῖν
351 διεγνωκότες. ἀμέλει τηλικαύτης δυνάμεως περικαθεζομένης πέντε
μησὶν διήνεγκαν τὴν πολιορκίαν, ἕως τῶν Ἡρώδου τινὲς ἐπιλέκτων
ἐπιβῆναι τοῦ τείχους θαρσήσαντες εἰσπίπτουσιν εἰς τὴν πόλιν,
ἐφ' οἷς ἑκατοντάρχαι Σοσσίου. πρῶτα δὲ τὰ περὶ τὸ ἱερὸν ἑλίσ-
κετο, καὶ τῆς δυνάμεως ἐπεισχυθείσης πανταχοῦ φόνος ἦν μυρίος,
τῶν μὲν Ῥωμαίων τῇ τριβῇ τῆς πολιορκίας διωργισμένων, τοῦ δὲ
περὶ Ἡρώδην Ἰουδαϊκοῦ μηδὲν ὑπολιπέσθαι σπουδάζοντος ἀντί-
352 παλον. ἐσφάττοντο δὲ παμπληθεῖς ἔν τε τοῖς στενωποῖς καὶ κατὰ

§ 347 = Ant. Iud. XIV 471.

PAMLVRCLatHegesippus I 31 p. 53.

1 *καὶ μάλιστα* MLVRC *τὰ*] s. L, om. VRC *ἁρπαζόντων — 2 τροφήν*] PAMLat *ἁρπαζόντων ἐπειδὴ μήτε ἵπποις μήτε ἀνδράσιν ὑπελέλειπτο* (*ὑπολέλειπτο* C) *τροφή* LVRC 3 *μαχίμου*] ex *μαλίχου* corr. m. 2 L *μαλίχου* R et i. marg. m. 2 V *ἐτέτατο* L¹ 4 *χωννύντας*] *χοννύντασ* RC¹ *εἶργον* A *ἀντιμηχανωμένων* PA 5 *δὲ* LVRC 6 *τῶν πολεμίων* om. Lat 8 *ἐκδρομὰς* ed. pr. 9 *ἀπορ·ιαν* V 10 *τῆσ ῥωμαίων ἐμπειρίασ* A¹ *τὴν ῥωμαίων ἐμπειρίαν* L¹VR *οὐδὲ μίαν* PA *καταλειπόντων* C 11 *μέν γε*] PA *μέν γε οὐ* M *μὲν οὖν οὐ* LVRC *nihilque minus* (*aperte*) Lat 12 *θανεῖν*] *θανάτω* LVRC *διὰ δὲ — 13 πρὶν*] *ex improuiso autem romanis per cuniculos inter medios emergentibus priusquam* Lat 14 *τε*] *τε εἰσεῖν* MLVRC *οὔτ'*] *οὔτε* LVRC 15 *παρακαθεζομένης* L *πέντε*] *δύο* Petitus; cf. Ant. XIV 476 16 *ἅλωσισ ἱεροσολύμων ὑπὸ ἡρώδου καὶ σοσσίου* i. marg. VR *θαρρήσαντεσ* LVRC 18 *σωσσίου* A *σοσίου* R *δὲ*] *μὲν οὖν* Hauerkamp ex L. B. 19 *ἐπισχυθείσης* PL¹V¹ *ἐπιχυθείσης* (ex corr. R) RC 20 *τῇ τριβῇ*] *ἐπὶ τριβῇ* L¹VR *ἐπὶ τῇ τριβῇ* C et ex corr. L 21 *μηδένα* MLVRC *ὑπολίπεσθαι* PLVR *ὑπολείπεσθαι* AM *σπουδάζοντος*] *σπεύδοντοσ* LVRC *ἀντίπαλον* ex *ἀντίπαλοσ* corr. A

τὰς οἰκίας συνωθούμενοι καὶ τῷ παρ' προσφείγοντες· ἵν τε οὔτε νηπίων οὔτε γήρως ἔλεος οὔτε ἀσθενείας γυναικῶν. ἀλλὰ καίτοι περιπέμποντος τοῦ βασιλέως καὶ φείδεσθαι παρακαλοῦντος οὐδεὶς ἐκράτησεν τῆς δεξιᾶς. ἀλλ' ὥσπερ μεμηνότες πᾶσαν ἡλικίαν ἐπεξ-
5 ἦσαν. ἔνθα καὶ Ἀντίγονος μήτε τῆς πάλαι μήτε τῆς τότε τίχης 353
ἔννοιαν λαβὼν κάτεισιν μὲν ἀπὸ τῆς βάρεως, προσπίπτει δὲ τοῖς Σοσσίου ποσίν. κἀκεῖνος μηδὲν αὐτὸν οἰκτείρας πρὸς τὴν μεταβολὴν ἐλεγέλασέν τε ἀκραιῶς καὶ Ἀντιγόνην ἐκάλεσεν· οὐ μὴν ὡς γυναικά γε καὶ φρουρᾶς ἐλεύθερον ἀφῆκεν, ἀλλ' ὁ μὲν δεθεὶς ἐφυ-
10 λάττετο.

3. Πρόνοια δ' ἦν Ἡρώδῃ κρατοῦντι τῶν πολεμίων τότε κρα- 354
τῆσαι καὶ τῶν ἀλλοφύλων συμμάχων· ὥρμητο γὰρ τὸ ξενικὸν πλῆθος ἐπὶ θέαν τοῦ τε ἱεροῦ καὶ τῶν κατὰ τὸν ναὸν ἁγίων. ὁ δὲ βασιλεὺς τοὺς μὲν παρακαλῶν τοῖς δ' ἀπειλούμενος ἔστιν δ' οἷς
15 καὶ τοῖς ὅπλοις ἀνέστειλεν, ἥττης καλεπωτέραν τὴν νίκην ὑπολαμ- 355
βάνων, εἴ τι τῶν ἀθεάτων παρ' αὐτῶν ὀφθείη. διεκώλυσεν δὲ ἦδη καὶ τὰς κατὰ τὴν πόλιν ἁρπαγάς, πολλὰ διατεινόμενος πρὸς Σόσσιον, εἰ χρημάτων τε καὶ ἀνδρῶν τὴν πόλιν Ῥωμαῖοι κενώσαντες καταλείψουσιν αὐτὸν ἐρημίας βασιλέα, καὶ ὡς ἐπὶ τοσούτων πολι-
20 τῶν φόνῳ βραχὺ καὶ τὴν τῆς οἰκουμένης ἡγεμονίαν ἀντάλλαγμα κρίνοι. τοῦ δὲ ἀντὶ τῆς πολιορκίας τὰς ἁρπαγὰς δικαίως τοῖς 356
στρατιώταις ἐπιτρέπειν φαμένου, αὐτὸς ἔφη διανεμεῖν ἐκ τῶν ἰδίων χρημάτων τοὺς μισθοὺς ἑκάστοις. οὕτως τε τὴν λοιπὴν ἐξωνησάμενος πατρίδα τὰς ὑποσχέσεις ἐπλήρωσεν· λαμπρῶς μὲν γὰρ ἕκα-

§ 352 = Ant. Iud. XIV 480.

PAMLVRCLatHegesippus I 31 p. 53.

1 *καὶ — προσφεύγοντες*] *nec si ad templum etiam confugissent* Lat τε] δὲ LVRC 2 *οὔτε νηπίων* om. Lat *γήρως*] *γηραιῶν* LVRC *καίτοι*] *καίτοι γε* LVRC 4 *ἐπεξίεσαν* M 6 *βάρεως*] *domo* Lat 7 *σωσσίου* A *κἀκεῖνος*] *κακεῖνος δὲ* LVR 9 *γε*] *τε* LVR, om. C 11 *δὲ* LVRC *τότε*] om. Lat *τοῦ* Destinon ex Ant. Iud. XIV 482 13 *ἐπὶ θέᾳ* Ant. Iud. *τοῦ τε*] *τοῦ* P *τε τοῦ* LVRC 14 *τοῖς*] *τουσ* VC *δὲ* ALVRC *ἔστι* AMLVC *ἔτι* R *δὲ* LVRC 15 *ἀνέστελλεν* MLVRC cum Ant. Iud. 16 *παρ' αὐτῶν*] *παρ' αὐτοῖς* V *culpa sua* Lat *παρ' αὐτὸν* Destinon 17 *διατεινάμενος* LR fort. recte; cf. Ant. Iud. XIV 484 *σώσσιον* A *σόσιον* C *τὴν*] *τὴν · · L τήν τε* VR 19 *καταλείψωσιν* L¹VR *καταλείψοσιν* ex corr. L *καὶ ὡς*] *qui* Lat *τοσούτων* ex *τοσοῦτον* corr. V *τοσούτῳ* uertit Lat 20 *βραχὺν* V *ἀντάλαγμα* V¹C¹ *κρίνοι ἀντάλλαγμα* tr. V 22 *στρατιῶταισ*, *αισ* i. ras. 2 litt. m. 2 V *διανεμεῖν*] Bekker *διανέμειν* codd. *distributurum esse* Lat *daturum* Heg *ἰδίων*] *οἰκείων* C 23 *οὕτω* LVRC *ἐξονησάμενοσ* R

στον στρατιώτην, ἀναλόγως δὲ τοὺς ἡγεμόνας, βασιλικώτατα δὲ
αὐτὸν ἐδωρήσατο Σόσσιον, ὡς μηδένα χρημάτων ἀπελθεῖν δεόμενον.
357 Σόσσιος δὲ χρυσοῦν ἀναθεὶς τῷ θεῷ στέφανον ἀνέζευξεν ἀπὸ Ἱεροσολύμων ἄγων δεσμώτην Ἀντίγονον Ἀντωνίῳ. τοῦτον μὲν οὖν
φιλοψυχήσαντα μέχρις ἑσχάτου διὰ ψυχρᾶς ἐλπίδος ἄξιος τῆς ἀγεν-
358 νείας τέλεκυς ἐκδέχεται. 4. βασιλεὺς δὲ Ἡρῴδης διακρίνας τὸ κατὰ
τὴν πόλιν πλῆθος τοὺς μὲν τὰ αὐτοῦ φρονήσαντας εὐνουστέρους
ταῖς τιμαῖς καθίστατο, τοὺς δ' Ἀντιγονείους ἀνῄρει. καὶ κατὰ
σπάνιν ἤδη χρημάτων ὅσον εἶχεν κόσμον κατανομιστεύσας Ἀντωνίῳ
359 καὶ τοῖς περὶ αὐτὸν ἀνέπεμψεν. οὐ μὴν εἰς ἅπαν ἐξωνήσατο τὸ
μηδὲν παθεῖν· ἤδη γὰρ Ἀντώνιος τῷ Κλεοπάτρας ἔρωτι διεφθαρμένος ἧττων ἦν ἐν πᾶσιν τῆς ἐπιθυμίας, Κλεοπάτρα δὲ διεξελθοῦσα τὴν γενεὰν τὴν ἑαυτῆς ὡς μηδένα τῶν ἀφ' αἵματος ὑπο-
360 λείπεσθαι, τὸ λοιπὸν ἐπὶ τοὺς ἔξωθεν ἐφόρα. καὶ τοὺς ἐν τέλει
Σύρων διαβάλλουσα πρὸς τὸν Ἀντώνιον ἀναιρεῖν ἔπειθεν ὡς ἂν
τῶν κτήσεων ἑκάστου ῥᾳδίως γινομένη δεσπότις, ἔτι δὲ ἐκτείνουσα
τὴν πλεονεξίαν ἐπὶ Ἰουδαίους καὶ Ἄραβας ὑπεργάζετο τοὺς ἑκατέρων βασιλεῖς Ἡρῴδην καὶ Μάλχον ἀναιρεθῆναι.
361 5. Ἐν μέρει γοῦν τῶν προσταγμάτων ἐπινήψας Ἀντώνιος τὸ
κτεῖναι μὲν ἄνδρας ἀγαθοὺς καὶ βασιλεῖς τηλικούτους ἀνόσιον ἡγήσατο, τὸ δὲ τούτων ἔγγιον φίλους διεκρούσατο, πολλὰ δὲ τῆς
χώρας αὐτῶν ἀποτεμόμενος καὶ δὴ καὶ τὸν ἐν Ἰεριχοῦντι φοινι-

---

§ 356 = Ant. Iud. XIV 486; § 358 = Ant. Iud. XV 2; § 359 = Ant. Iud. XV 88.

PAMLVRCLat Hegesippus I 31 p. 54 ExcPeiresc. Suidas s. *φιλοψυχήσαντα. κατανομιστεύσας.*

2 *σώσσιον* et u. 3 *σώσσιος* A 5 *φιλοψυχήσαντα* — 6 *ἐκδέχεται* extant apud Suidam s. *φιλοψυχήσαντα* *ψυχρᾶς* VR² *ἐλπίδας*, ε ex ο corr. man. 3 V *ἀγενείας* PAMVC *ἡγεμονίας* Suid 6 i. marg. *λε'* VC 8 *δ'*] *δ' ἂν* M *δὲ* LVRC *ἀντιγονίους* PAM¹LRV¹ *κατὰ* — 9 *κατανομιστεύσας* extant apud Suidam 9 *σπάνιν*, ι ex η corr. L *κατανομιτεύσας* PA *diuiso* Lat 10 *εἰσάπαν* M *εἰσ ἅπαξ* (εἰσάπαξ C) LVRC *omnino* Lat 11 *Ἀντώνιος*] *ὅτι Ἀντώνιος* incp. Exc 12 *ἧττον* (ᾗ — Exc) VExc *διελθοῦσα* M 13 *ὑπολιπέσθαι* L¹RC *ἀπολείπεσθαι* Exc 14 *ἐπὶ*] *περὶ* LVRCExc 16 *ῥᾳδίως* om. Exc *γενομένη* Exc *δεσπότης* V¹ *δ'* Exc 18 *μάλιχον* CLat 19 *Ἐν μέρει*] PAMExcLatHeg *μέρει* L² *μέχρι* L¹VRC *προσταγμάτων*] *πραγμάτων* P *ἐπινήψας*] PAMLVRLatHeg *ἐπινεύσας* C et, si Wollenbergi silentio fides, Exc 20 *ἡγήσατο*] PAMExc *ἡγεῖτο* LVRC *duxit* Lat 21 *τὸ* — *διεκρούσατο*] *quod autem his morte propius erat, inter amicos ultra non habuit* Lat *tamen ne immunes dimitteret, amicos eorum perculit* Heg *φίλους*] PAExcLat *φίλος εἶναι* MLVRC 22 *ἀποτεμνόμενος* PAL *ἐν* om. L¹VC

κῶνα, ἐν ᾧ γεννᾶται τὸ βάλσαμον, δίδωσιν αὐτῇ πόλεις τε πλὴν Τύρου καὶ Σιδῶνος τὰς ἐντὸς Ἑλευθέρου ποταμοῦ πάσας. ὧν 362
γενομένη κυρία καὶ προσέμψασα μέχρις Εὐφράτου τὸν Ἀντώνιον ἐπιστρατεύοντα Πάρθοις ἦλθεν εἰς Ἰουδαίαν δι' Ἀπαμείας καὶ Λαμασκοῦ. κἀνταῦθα μεγάλας μὲν αὐτῆς τὴν δυσμένειαν δωρεαῖς Ἡρῴδης ἐκμειλίσσεται, μισθοῦται δὲ καὶ τὰ τῆς βασιλείας ἀποφορᾶς γινόμενα χωρία διακοσίων ταλάντων εἰς ἕκαστον ἐνιαυτόν, προσλέμπει δ' αὐτὴν μέχρι Πηλουσίου πάσῃ θεραπείᾳ καταχρώμενος. καὶ μετ' 363
οὐ πολὺ παρῆν ἐκ Πάρθων Ἀντώνιος ἄγων αἰχμάλωτον Ἀρταβάζην τὸν Τιγράνου παῖδα δῶρον Κλεοπάτρᾳ· μετὰ γὰρ τῶν χρημάτων καὶ τῆς λείας ἁπάσης ὁ Πάρθος εὐθὺς ἐχαρίσθη.

XIX. 1. Τοῦ δ' Ἀκτιακοῦ πολέμου συνερρωγότος παρεσκεύ- 364
αστο μὲν Ἡρῴδης Ἀντωνίῳ συνεξορμᾶν ἤδη τῶν τε ἄλλων τῶν κατὰ Ἰουδαίαν ἀπηλλαγμένος Φορύβων καὶ κεκρατηκὼς Ὑρκανίας. ὁ δὴ χωρίον ἦ Ἀντιγόνου κατεῖχεν ἀδελφή. διεκλείσθη γε μὴν 365
πανούργως ὑπὸ τῆς Κλεοπάτρας συμμετασχεῖν τῶν κινδύνων Ἀντωνίῳ· τοῖς γὰρ βασιλεῦσιν, ὡς ἔφαμεν, ἐπιβουλεύουσα πείθει τὸν Ἀντώνιον Ἡρῴδῃ διαπιστεῦσαι τὸν πρὸς Ἄραβας πόλεμον, ἵν' ἢ κρατήσαντος Ἀραβίας ἢ κρατηθέντος Ἰουδαίας γένηται δεσπότις καὶ θατέρῳ τῶν δυναστῶν καταλύσῃ τὸν ἕτερον.

2. Ἔρρεψεν μέντοι καθ' Ἡρῴδην τὸ βούλευμα· πρῶτον μὲν 366
γὰρ ῥύσια κατὰ τῶν πολεμίων ἄγων καὶ πολὺ συγκροτήσας ἱππικὸν ἐπαρίσησιν αὐτοῖς περὶ Διόσπολιν ἐκράτησέν τε καίτοι καρτερῶς

§ 361 = Ant. Iud. XV 95.

PAMLVRCLatHegesippus I 32 p. 54 ExcPeiresc.

3 *γινομένη* PAM *μέχρι* V¹ 4 *ἦλθεν*] PAMExc *ἦκεν* LVRC 5 *κἀνταῦθα*] *καὶ ταῦτα* PAMExc *atque hic* Lat 6 *ἀποφορᾶς* V 7 *διακοσίων*] *τριῶν* PAExc, i. marg. *γρ* $\overline{\sigma}$ *ταλαν*$^{\tau}$ PA *ducentis* Lat *προπέμπει* — 8 *καταχρώμενος* om. Exc 8 *δὲ* LVRC *αὐτῆ* L 9 *πάρθον* Exc *αἰχμάλωτον* i. marg. suppl. C *ἀρτανάζην* (sic) Exc 11 *ἐχαρίσθη*] codd. Exc *illi condonatus est* Lat *ἐχωρίσθη* ed. pr. *αὐτῇ ἐχαρίσθη* Hudson *ἐχαρίσθη*] fin. Exc 12 *δὲ* LVRC *συνερρωγό* · · *τος* V 13 *ἤδη*] *ὡσ ἤδη* LVRC *τε* om. LVR *κατὰ τὴν ἰουδαίαν* M 14 *θόρυβον* C¹ *καὶ* om. V *κεκρατικὼσ* V¹ *ὑρκανίαν* L¹VR 15 *κατεῖχεν ἡ ἀντιγόνου* tr. PAM *γε μὴν*] *μὲν οὖν* LVR 16 *τῶ ἀντωνίω* L 18 *διαπιστεῦσαι*] *ἐμπιστεῦσαι* C *ἵνα* LVR 19 *δεσπότησ* LV¹ 20 *θατέρῳ*] *θάτερον* L¹VR *καταλύσαι* R *καταλῦσαι* PAMLV 22 *ῥύσια* — *ἄγων*] *pignoribus hostium captis* Lat *ῥύσια*] *συρίαν* L¹VR *σίρονσ* C *εὕρηται καὶ συρίαν κατὰ τῶν πολέμων ἄγων* i. marg. M *κατὰ* om. P; cf. A. I. XVI 282. 343. Polyb. XXII 4, 13. XXXII 17, 4 *καὶ* damnat Destinon 23 *αὐτοῖς*] *αὐτοὺσ* M *περὶ*] *ἐπὶ* P *circa* Lat *καρτερῶσ*, *ρ* i. ras. ex *ρα* corr. uid. A

ἀντιπαραταξαμένων. πρὸς δὲ τὴν ἧττταν μέγα γίνεται κίνημα τῶν
Ἀράβων, καὶ συναθροισθέντες εἰς Κάναθα τῆς κοίλης Συρίας ἄπει-
367 ροι τὸ πλῆθος τοὺς Ἰουδαίους ἔμενον. ἔνθα μετὰ τῆς δυνάμεως
Ἡρώδης ἐπελθὼν ἐπειρᾶτο προμηθέστερον ἀφηγεῖσθαι τοῦ πολέ-
μου καὶ στρατόπεδον ἐκέλευε τειχίζειν. οὐ μὴν ὑπήκουσεν τὸ πλῆ-
θος, ἀλλὰ τῇ προτέρᾳ νίκῃ τεθαρρηκότες ὥρμησαν ἐπὶ τοὺς Ἄρα-
βας καὶ πρὸς μὲν τὴν πρώτην ἐμβολὴν τραπέντας ἐδίωκον, ἐπι-
βουλεύεται δὲ Ἡρώδης ἐν τῇ διώξει τοὺς ἐκ τῶν Κανάθων ἐπιχωρίους
ἄνεντος Ἀθηνίωνος, ὃς ἦν αὐτῷ τῶν Κλεοπάτρας στρατηγῶν αἰεὶ
368 διάφορος· πρὸς γὰρ τὴν τούτων ἐπίθεσιν ἀναθαρρήσαντες οἱ Ἄραβες
ἐπιστρέφονται καὶ συνάψαντες τὸ πλῆθος περὶ πετρώδη καὶ δύσ-
βατα χωρία τοὺς Ἡρώδου τρέπονται πλεῖστόν τε αὐτῶν φόνον
εἰργάσαντο. οἱ δὲ διασωθέντες ἐκ τῆς μάχης εἰς Ὄρμιζα κατα-
φεύγουσιν, ὅπου καὶ τὸ στρατόπεδον αὐτῶν περισχόντες αὐτανδρον
εἷλον οἱ Ἄραβες.

369 3. Μετ' οὐ πολὺ δὲ τῆς συμφορᾶς βοήθειαν ἄγων Ἡρώδης
παρῆν τῆς χρείας ὑστέραν. ταύτης τῆς πληγῆς αἴτιον αὐτῷ τὸ
τῶν ταξιάρχων ἀπειθὲς κατέστη· μὴ γὰρ ἐξαπιναίου τῆς συμβολῆς
γενομένης οὐδ' ἂν Ἀθηνίων εὗρεν καιρὸν ἐπιβουλῆς. ἐτιμωρήσατο
μέντοι τοὺς Ἄραβας αὖθις ἀεὶ τὴν χώραν κατατρέχων. ὡς ἀνα-
370 καλέσασθαι τὸν μίαν αὐτοῖς νίκην πολλάκις. ἀμυνομένῳ δὲ τοὺς
ἐχθροὺς ἐπιπίπτει συμφορὰ δαιμόνιος ἄλλη, κατ' ἔτος μὲν τῆς

§ 366 = Ant. Iud. XV 112.

PAMLVRCLatHegesippus I 32 p. 55.

1 *ἀντιπαραξαμένων* L¹R *μέγα γίνεται κίνημα*] PA *μέγα κίνημα γίνεται* M *γίνεται μετακίνημα* L¹VR *γίνεται μέγα κίνημα* L²C 2 *καμαθὰ* P *κομαθὰ* A *καναθα* M *canatham* Lat *canatha* (acc.) Heg *Κάνατα* Ant. Iud. XV 112 3 *το πλῆθος* i. marg. suppl. V 5 *ἐκέλευε* · A *ἐκέλευσε* LVRC 7 *μὲν* om. MLVRC *ἐδίωκεν* V 8 *ἐν*] *ἐπὶ* C *τῇ, ᾗ* i. ras. m. 2 V *καναθων* (sic) A *uici canathon* Lat 9 *ἀνέντος, ἀνέν* i. ras. 4—5 litt. m. 2 V *ἀθηνιῶνος* L¹VR *αὐτῷ*] *ἀπὸ* V *κλεοπάτας* A *ἀεὶ* MVC 10 *ἀναθαρσήσαντες* M

11 *δύβατα* A 12 *τρέπονται τοὺσ ἡρώδου* (*τοὺσ* ex *τῆσ* corr. m. 2 C) tr. LVRC 13 *εἰργάσατο* C *ὀρμίζα* PA¹ *ὁρμίζα* ex corr. A *ὁρμιζα* L *ὅρμιζα, μι* i. ras. m. 2 V *ὅρμιζα* R¹C *ormizan* Lat 17 *ὑστέραν*] *ὕστεροσ* LVRC *serius* LatHeg *ὑστερῶν* Destinon *τὸ* ex *τῶ* corr. A 18 post *τῶν* ras. 3 litt. V *ταξιαρχῶν* LVRC *ἐξαπηραίου* LV¹R *συμβουλῆσ* C 19 litt. *οὐδ'* — *Ἀθηνί* i. ras. A *οὐδ'*] *οὐκ* LVRC *nullum* Lat *ἀθηνιῶν* V *ἀθηνιων* R litt. *εὗρεν* — *ἐπι* i. ras. A 20 *αἰεὶ* LVR *ὡσ ἀνακαλέσασθαι*] (*et*) *reuocauit* Lat *ut deplorarent* Heg quem *ἀνακλαύσασθαι* et *αὐτους* legisse suspicatur Destinon 21 *αὐτοῖσ, τοῖσ* i. ras. minore A 22 *ἐπίπτει* C¹

βασιλείας ἕβδομον, ἀκμάζοντος δὲ τοῦ Ἀκτίου πολέμου. ἀρχομένου
γὰρ ἔαρος ἡ γῆ σεισθεῖσα βοσκημάτων μὲν ἄπειρον πλῆθος ἀν-
θρώπων δὲ τρεῖς διέφθειρεν μυριάδας. τὸ δὲ στρατιωτικὸν ἔμει-
νεν ἀβλαβές· ὕπαθρον γὰρ ηὐλίζετο. κἂν τούτῳ τοὺς Ἄραβας ἐπὶ 371
μεῖζον θράσος ἦρεν ἡ φήμη προσλογοποιοῦσα τοῖς σκυθρωποῖς
ἀεί τι χαλεπώτερον· ὡς γοῦν ἁπάσης Ἰουδαίας καταρρημένης οἰη-
θέντες ἐρήμου τῆς χώρας κρατήσειν ὥρμησαν εἰς αὐτὴν προθυσά-
μενοι τοὺς πρέσβεις, οἳ παρὰ Ἰουδαίων ἔτυχον ἥκοντες πρὸς αὐτούς.
πρὸς δὲ τὴν ἐμβολὴν καταπλαγὲν τὸ πλῆθος καὶ μεγέθει συμφο- 372
ρῶν ἐναλλήλων ἕκλυτον συναγαγὼν Ἡρώδης ἐπειρᾶτο παρορμᾶν
ἐπὶ τὴν ἄμυναν λέγων τοιάδε·

4. „Παραλογώτατά μοι δοκεῖ τὸ παρὼν ὑμῶν καθάπτεσθαι δέος· 373
πρὸς μέν γε τὰς δαιμονίους πληγὰς ἀθυμεῖν εἰκὸς ἦν, τὸ δ' αὐτὸ
καὶ πρὸς ἀνθρωπίνην ἔφοδον πάσχειν ἀνάνδρων. ἐγὼ γὰρ τοσοῦ-
τον ἀποδέω κατεπτηχέναι τοὺς πολεμίους μετὰ τὸν σεισμόν, ὥσθ'
ὑπολαμβάνειν τὸν θεὸν Ἄραψιν δέλεαρ τοῦτο καθεικέναι τοῦ
δοῦναι δίκας ἡμῖν· οὐ γὰρ τοσοῦτον ὅπλοις ἢ χερσὶν πεποιθότες
ὅσον ταῖς αὐτομάτοις ἡμῶν συμφοραῖς ἦκον· σφαλερὰ δ' ἐλπὶς
οὐκ ἐξ οἰκείας ἰσχύος ἀλλ' ἐξ ἀλλοτρίας ἠρτιμένη κακοπραγίας.
οὔτε δὲ τὸ δυστυχεῖν οὔτε τοὐναντίον ἐν ἀνθρώποις βέβαιον. ἀλλ' 374

§ 370 = cf. Ant. Iud. XV 121.

PAMLVRCLatHegesippus I 32 p. 56.

1 Ἀκτίου] *actiaco* Lat περὶ ἄκτιον (ἄκτι · ον V) MLVRC ἀρχομένου γὰρ] C κατὰ γὰρ ἀρχομένου PAMLVR *namque ueris initio* Lat καὶ γὰρ ἀρχομένου Destinon et Naber 2 πλῆθος ἄπειρον tr. LVRC 5 θράσος] θράσους M θάρσος L¹VRC 6 ὡς γοῦν ἁπάσης] PAMLat ὡσ πάσησ LVRC καταρρημένης PA καταρρημένης M κατερρημένης L κατερρήμένης (s. m. 2) V *subuersa* Lat οἰηθέντες] PAMLat οἰηθέντεσ γοῦν LVRC 7 προθυσόμενοι P 9 πλῆθος] PAMLat ἔθνοσ LVRC εὕρηται καὶ ἔθνοσ i. marg. M καὶ om. C 10 ἔκλυτον ἐπ' ἀλλήλων tr. V ἡρώδησ, ησ i. ras. m. 2 V 13 γε] *nam* Lat γὰρ Hauerkamp ex Lugd. Bat δαιμονίους πληγὰς] *diuinae indignationis plagas* Lat τὸ δ' αὐτὸ καὶ] PAMLat τὸ δὲ (δ' C) αὐτίκα LC τὸ δὲ αὖ τί καὶ VR αὐτὸ] αὐτῶ A 14 ἀνθρωπίνην] ἀνθρωπίνειν M *hostium* Lat ἄνανδρον PAMLat 15 κατατεπτηχέναι P ὥστε LVR 16 ὑπολαμβάνειν, ει ex ω corr. V ὑπολαμβάνω Destinon καθικέναι PA καθεῖναι (ει ex η corr. R, ειν i. ras. m. 2 V) LVRC 17 ἡμῖν om. Lat 18 ταῖς] τοῖσ C¹ αὐτομάτοις, οι i. ras. L, om. Lat ἡμῶν om. M ἦκον, ἦ i. ras. m. 2 C δὲ LVRC 19 οὐκ] ἢ οὐκ Destinon οἰκείας] ἰδίασ LVRC 20 οὔτε δὲ — τοὐναντίον] *neque uero uel secundae res neque contrariae* Lat δὲ] γὰρ Hauerkamp ex L. B. τὸ ἐναντίον LVRC

ἔστιν ἰδεῖν ἐπαμειβομένην εἰς ἑκάτερα τὴν τύχην. καὶ τοῦτο μάθοιτ' ἂν ἐξ οἰκείων ὑποδειγμάτων· τῇ γοῦν προτέρᾳ μάχῃ κρατούντων ἐχράτησαν ὑμῶν οἱ πολέμιοι, καὶ κατὰ τὸ εἰκὸς νῦν ἁλώσονται κρατήσειν δοκοῦντες· τὸ μὲν γὰρ ἄγαν πεποιθὸς ἀφύλακτον, οἱ φόβοι δὲ διδάσκουσιν προμήθειαν· ὥστε ἐμοιγε κἀκ τοῦ δεδοικότος
375 ὑμῶν παρίσταται θαρρεῖν. ὅτε γὰρ ἐθρασύνεσθε πέρα τοῦ δέοντος καὶ κατὰ τῶν ἐχθρῶν παρὰ τὴν ἐμὴν γνώμην ἐξωρμήσατε, καιρὸν ἔσχεν ἡ Ἀθηνίωνος ἐνέδρα· νυνὶ δὲ ὁ ὄκνος ὑμῶν καὶ τὸ δοκοῦν
376 ἄθυμον ἀσφάλειαν ἐμοὶ νίκης ἐγγυᾶται. χρὴ μέντοι γε μέχρι τοῦ μέλλειν οὕτως ἔχειν, ἐν δὲ τοῖς ἔργοις ἐγεῖραι τὰ φρονήματα καὶ σεῖσαι τοὺς ἀσελγεστάτους, ὡς οὔτ' ἀνθρώπειόν τι κακὸν οὔτε δαιμόνιον ταπεινώσει ποτὲ τὴν Ἰουδαίων ἀνδραγαθίαν, ἐφ' ὅσον τὰς ψυχὰς ἔχουσιν, οὐδὲ περιόψεταί τις Ἄραβα τῶν ἑαυτοῦ ἀγα-
377 θῶν δεσπότην γενόμενον, ὃν παρ' ὀλίγον πολλάκις αἰχμάλωτον ἔλαβεν. μηδ' ὑμᾶς ταρασσέτω τὰ τῶν ἀψύχων κινήματα μηδ' ὑπολαμβάνετε τὸν σεισμὸν ἑτέρας συμφορᾶς τέρας γεγονέναι· φυσικὰ γὰρ τὰ τῶν στοιχείων πάθη καὶ οὐδὲν ἀνθρώποις πλέον ἢ τὴν ἐν ἑαυτοῖς βλάβην ἐπιφέρεται· λοιμοῦ μὲν γὰρ καὶ λιμοῦ καὶ τῶν χθονίων βρασμῶν προγένοιτ' ἄν τι σημεῖον βραχύτερον, αὐτὰ δὲ ταῦτα περιγραφὴν ἔχει τὸ μέγεθος· ἐπεὶ τί δύναται μεῖζον ἡμᾶς

§ 374 cf. Ant. Iud. XV 139.

PAMLVRCLatHegesippus I 32 p. 56.

1 *ἐπαμειβομένην* M *ἑκάτερον* LVRC *τοῦτο*] *idem* Lat *μάθοιτε* LVR 3 *ὑμῶν* P *καὶ* om. LR 4 *κρατήσει* R^1 *μὲν* om. V *πεποιθὼς* PAL^1R 5 *ἐμοὶ* PAM *καὶ ἐκ* LVR *τοῦ δεδοικότος ὑμῶν*] *τοῦ δεδοικέναι ὑμᾶς* PAM *hoc ipsum quod timetis* Lat 6 *παρίστασθαι* AMLVR *ἐθρασύνεσθε· Α ἐθρασύνεσθαι* L 7 *καὶ*] PAMLat, om. LVRC *παρὰ*] PAMLat *καὶ παρὰ* LVRC *ἐξωρμήσατε*] *ἐξορμήσαντες* (om. u. 7 *καὶ*) Bekker ex L. B. 8 *ἀθηνιῶνος* L^1VR *δὲ* iterauit R *καὶ* — 9 *ἄθυμον*] *et minus alacer animus ut uidetur* Lat *δοκοῦν*] *δοκοῦντος* PA 9 *γε* om. LVRC *μέχρι τοῦ μέλλειν*] *ante proelium* Lat *μέχρι τοῦ πολεμεῖν* uel *μέλλειν πολεμεῖν* Destinon 10 *ἐγεῖραι*] *ἐγεῖραί τε* LVRC 11 *οὔτ'*] *οὔτ' ἄν* M *οὔτε* LVRC *ἀνθρώπιόν* PA^1 12 *ταπεινώσῃ* M *δαιμόνιον*] *δαιμόνιόν τι* C *ποτὲ ταπεινώσει* tr. LVRC *ἰουδαίων, ων* ex *αν* corr. uid. L 13 *τῶν*] *τὸν* C^1 14 *παρ' ὀλίγον*] *παρὰ λόγον* L^1VR *paene* Lat, graeca corrupta putat Destinon 15 *μηδὲ* LVRC *μηδὲ* LVRC 16 *τέρας γεγονέναι*] *ἕτερον γεγονέναι σημεῖον* LVRC *esse portentum* Lat *indices* (*arbitremini*) Heg 17 *στοιχείων* V *ἢ τὴν*] *τῆσ* LVRC 18 *ἐν*] om. PA *ἐφ'* Hudson *ἑαυτοῖς*] *αὐτοῖσ* LVRC *βλάβησ ἐπιφέρει* LVRC 19 *προσγένοιτ'* PA^1 *προγένοιτο* LVRC *praecesserit* Lat *βραχύτερον*] *tardius* Lat 20 *τοῦ σεισμοῦ μεῖζον ἡμᾶσ* tr. LVRC

τοῦ σεισμοῦ βλάψαι καὶ κρατήσας ὁ πόλεμος; τέρας μέντοι μέγι- 378
στον ἁλώσεως γέγονεν τοῖς ἐχθροῖς οὐκ αὐτομάτως οὐδὲ διὰ χειρὸς
ἀλλοτρίας, οἳ πρέσβεις ἡμετέρους παρὰ τῶν πάντων ἀνθρώπων
νόμον ὡμῶς ἀπέκτειναν καὶ τοιαῦτα τῷ θεῷ θύματα περὶ τοῦ
πολέμου κατέστεψαν. ἀλλ' οὐ διαφεύξονται τὸν μέγαν ὀφθαλμὸν
αὐτοῦ καὶ τὴν ἀνίκητον δεξιάν, δώσουσιν δ' ἡμῖν αὐτίκα δίκας,
ἂν τοῦ πατρίου φρονήματος ἤδη σπάσαντες τιμωροὶ τῶν παρεστον-
δημένων ἀναστῶμεν. ἴτω τις οὐχ ὑπὲρ γυναικὸς οὐδ' ὑπὲρ τέκνων 379
οὐδ' ὑπὲρ κινδυνευούσης πατρίδος, ἀλλ' ὑπὲρ τῶν τρέσβεων ἀμυ-
νόμενος· ἐκεῖνοι στρατιήσουσιν τοῦ πολέμου τῶν ζώντων ἄμει-
νον. προκινδυνεύσω δὲ κἀγὼ χρώμενος ὑμῖν πειθηνίοις· εὖ γὰρ
ἴστε τὴν ἑαυτῶν ἀνδρείαν ἀνυπόστατον, ἐὰν μὴ προπετείᾳ τινὶ
βλαβῆτε."

5. Τούτοις παρακροτήσας τὸν στρατὸν ὡς ἑῴα προθύμους 380
ἔθνεν τῷ θεῷ καὶ μετὰ τὴν θυσίαν διέβαινεν τὸν Ἰορδάνην ποτα-
μὸν μετὰ τῆς δυνάμεως. στρατοπεδευσάμενος δὲ περὶ Φιλαδέλ-
φειαν ἐγγὺς τῶν πολεμίων περὶ τοῦ μεταξὺ φρουρίου πρὸς αὐτοὺς
ἠκροβολίζετο βουλόμενος ἐν τάχει συμβαλεῖν· ἔτυχον γὰρ κἀκεῖνοί
τινας προπεπομφότες τοὺς καταληψομένους τὸ ἔρυμα. τούτους 381
μὲν οὖν ἀπεκρούσαντο ταχέως οἱ πεμφθέντες ὑπὸ τοῦ βασιλέως
καὶ τὸν λόφον κατέσχον, αὐτὸς δὲ καθ' ἡμέραν προάγων τὴν δύνα-
μιν εἰς μάχην παρετάσσετο καὶ προεκαλεῖτο τοὺς Ἄραβας. ὡς δ'

§ 378 cf. Ant. Iud. XV 136; § 380 = Ant. Iud. XV 147.

PAMLVRCLatHegesippus 1 32 p. 57.

1 τοῦ om. M *μέντοι*] *μέντοι γε* ex corr. A *μέγιστον* om. P 2 *γέγονεν*] *γεγονέναι* L¹VRC *οὐκ*] *οὐχ* PA *οὐχὶ* Destinon 3 *τὸν*] *τῶν* PA¹ 4 *τοι·αῦτα* L *τῷ* om. V *θύματα, τα* suppl. m. 2 C 5 *κατέστεψαν*] *κατέστρεψαν* PAMLVR *ceciderunt* Lat *ἀλλ'*] *enim* Lat 6 *δὲ* LVRC 7 *ἄν*] *ἂν* PA *ἄν··* L *ἀντὶ* VR *ἄν τι* C *ἤδη σπάσαντες*] *εἰ δὴ σπεύσαντες* LVRC *repleti* (*spiritu*) Lat *ἔνεκεν σπεύσαντες* Bekker *παρεσπονδισμένων* V 8 *ἀναστῶμεν*] *animos excitemus* Lat *ἀναφανῶμεν* ex cod. Voss. Bekker *ἴτω*] ex *ἤτο* corr. m. recentissima P *ἤτω, ω* ex *ο* corr. AM *ἵστω* C *pergite* Lat *οὐδὲ* LVRC *ὑπὲρ* om. LVRC 9 *οὐδὲ* LVR *ἀμυνούμενος* V 10 *στρατιήσουσιν*] P *στρατηγοῦσι* (*-σιν* A) AMLVRC *exercitum regent* Lat *proeliantur* Heg *ζώντων*] *ζώντων ἡμῶν* MLVRCLat 11 *ὑμῖν* ex *ἡμῖν* corr. V 12 *ἀνδρείαν* V²C et ex corr. A *τινὶ*] *τι* L¹VR 13 *βλαβῆτε*] *laedatur* Lat 16 *φιλαδελφείαν* PC *φιλαδελφιαν* LV²R *περὶ*] *πρὸς* V¹ 17 *περί τον* Destinon *περὶ τοῦ* — 18 *ἠκροβολίζετο*] *quasi de interiacente castello contenderet pugnam eminus iritabat* Lat *ἠκροβολίζετο, ρο* ex *ρι* corr. uid. L 19 *τινας* suspectum uid. Destinoni *προπεπεμφότες, προπ* i. ras. uid. M 20 *οὖν* om. M 22 *παρέτασσε* LVRC *προυκαλεῖτω* L *προυκαλεῖτο* VRC *δὲ* LVRC

οὐδεὶς ἐπεξῄει. δεινὴ γάρ τις αὐτοὺς κατάπληξις εἶχε καὶ πρὸ τοῦ πλήθους ὁ στρατηγὸς Ἔλθεμος αὖος ἦν τῷ δέει, προσελθὼν
382 ἐσπάραττεν αὐτῶν τὸ χαράκωμα. κἂν τούτῳ συναναγκασθέντες ἐξίασιν ἐπὶ τὴν μάχην ἄτακτοι καὶ πεφυρμένοι τοῖς ἱππεῦσιν οἱ πεζοί. πλήθει μὲν οὖν τῶν Ἰουδαίων περιῆσαν, ἐλείποντο δὲ ταῖς προθυμίαις καίτοι διὰ τὴν ἀπόγνωσιν τῆς νίκης ὄντες καὶ αὐτοὶ παράβολοι.

383 6. Διὸ μέχρι μὲν ἀντεῖχον οὐ πολὺς ἦν αὐτῶν φόνος, ὡς δ' ὑπέδειξαν τὰ νῶτα, πολλοὶ μὲν ὑπὸ τῶν Ἰουδαίων πολλοὶ δὲ ὑπὸ σφῶν αὐτῶν συμπατούμενοι διεφθείροντο· πεντακισχίλιοι γοῦν ἔπεσον ἐν τῇ τροπῇ, τὸ δὲ λοιπὸν πλῆθος ἔφθη συνωσθὲν εἰς τὸ χαράκωμα. τούτους περισχὼν ἐπολιόρκει, καὶ μέλλοντας ἁλώσεσθαι τοῖς ὅπλοις προκατήπειγεν ἡ δίψα τῶν ὑδάτων ἐπιλειπόντων.
384 ὑπερηφάνει δὲ πρεσβευομένους ὁ βασιλεὺς καὶ λύτρα διδόντων πεντακόσια τάλαντα μᾶλλον ἐνέκειτο. τοῦ δὲ δίψους ἐκκαίοντος ἐξιόντες κατὰ πλῆθος ἐνεχείριζον σφᾶς αὐτοὺς τοῖς Ἰουδαίοις ἐκόντες, ὡς πέντε μὲν ἡμέραις τετρακισχιλίους δεθῆναι, τῇ δ' ἕκτῃ τὸ λειπόμενον πλῆθος ὑπ' ἀπογνώσεως ἐξελθεῖν ἐπὶ μάχην· οἷς συμ-
385 βαλὼν Ἡρώδης πάλιν εἰς ἑπτακισχιλίους κτείνει. τηλικαύτῃ πληγῇ τὴν Ἀραβίαν ἀμυνάμενος καὶ σβέσας τῶν ἀνδρῶν τὰ φρονήματα προύκοψεν ὥστε καὶ προστάτης ὑπὸ τοῦ ἔθνους αἱρεθῆναι.

386 XX. 1. Μεταλαμβάνει δὲ αὐτὸν εὐθέως ἡ περὶ τῶν ὅλων πραγμάτων φροντὶς διὰ τὴν πρὸς Ἀντώνιον φιλίαν Καίσαρος περὶ Ἄκτιον νενικηκότος. παρεῖχεν μέντοι δέους πλέον ἢ ἔπασχεν·

§ 381 = Ant. Iud. XV 150.

PAMLVRC Lat Hegesippus I 32 p. 58.

1 τις] LVRCLat, om. PAM εἶχε-A 2 Ἔλθεμος] *althemus* Lat αὖος ἦν] αὐτὸς ἦν AP (*timore*) *obrigmerat* Lat προσελθὼν οὖν M 3 ἐσπάρασσεν LVRC 4 ἐξίασιν, ιν ex corr. A ἐξῆεσαν LC κἂν τούτῳ] *eoque modo* Lat 5 ἐλίποντο C^1 6 ὄντες] ἦσαν LVRC 8 Διὸ om. Lat δὲ LVRC 9 ἀπέδειξαν PAM τὰ νῶτα] αὐτῶν τὰ νῶτα LVRC 10 σφῶν] τῶν σφῶν M 12 περισχὼν] *statim circumseptos* Lat ἐπολιόρκει] *obsidebat herodes* Lat 13 ἐπιλειπόντων] ὑπολειπόντων M ἐπιλιπόντων LRC^1 ἐπόλ· ιπόντων V 14 πρεσβευόμενος P διδόντων] PAMCLat διδόντας LVR 15 μᾶλλον] μᾶλλον δὲ LVR 17 δὲ LVRC 18 λιπόμενον C^1 ἐπὶ] εἰς Niese συμβαλὼν C 19 εἰς om. Lat τηλικαύτῃ] PALat τηλικαύτῃ δὲ MLVRC 20 ἀμυνάμενος] Bekker ἀμυνόμενος codd. 22 i. marg. λζ′ VC δὲ] τε PA *autem* Lat περὶ — 23 πραγμάτων] *de summa rerum felicitate* Lat 23 πραγμάτων om. P fort. recte 24 περὶ] om. M δὲ περὶ LVR ἤδη περὶ ed. pr. παρεῖχεν] *habebat* Lat

οὕτω γὰρ ἐαλωκέναι Καῖσαρ Ἀντώνιον ἔχρινεν Ἡρώδου συμμένον-
τος. ὅ γε μὴν βασιλεὺς ὁμόσε χωρῆσαι τῷ κινδύνῳ διέγνω, καὶ 387
πλεύσας εἰς Ῥόδον, ἔνθα διέτριβεν Καῖσαρ, πρόσεισιν αὐτῷ δίχα
διαδήματος, τὴν μὲν ἐσθῆτα καὶ τὸ σχῆμα ἰδιώτης, τὸ δὲ φρόνημα
βασιλεύς· μηδὲν γοῦν τῆς ἀληθείας ὑποστειλάμενος ἄντικρυς εἶπεν·
„ἐγώ, Καῖσαρ, ὑπὸ Ἀντωνίου βασιλεὺς γενόμενος ἐν πᾶσιν ὁμο- 388
λογῶ γεγονέναι χρήσιμος Ἀντωνίῳ. καὶ οὐδὲ τοῦτ' ἂν ὑπο-
στειλαίμην εἰπεῖν, ὅτι πάντως ἄν με μετὰ τῶν ὅπλων ἐπεί-
ρασας εὐχάριστον, εἰ μὴ διεκώλυσαν Ἄραβες. καὶ συμμαχίαν μέντοι
γε αὐτῷ κατὰ τὸ δυνατὸν καὶ σίτου πολλὰς ἔπεμψα μυριάδας, ἀλλ'
οὐδὲ μετὰ τὴν ἐν Ἀκτίῳ πληγὴν κατέλιπον τὸν εὐεργέτην. ἐγε- 389
νόμην δὲ σύμβουλος ἄριστος, ὡς οὐκέτι χρήσιμος ἡμῖν σύμμαχος,
μίαν εἶναι λέγων τῶν ἁπασθέντων διόρθωσιν τὸν Κλεοπάτρας
θάνατον· ἦν ἀνελόντι καὶ χρήματα καὶ τείχη πρὸς ἀσφάλειαν καὶ
στρατιὰν καὶ ἐμαυτὸν ὑπισχνούμην κοινωνὸν τοῦ πρὸς σὲ πολέμου.
τοῦ δ' ἄρα τὰς ἀκοὰς ἀπέφραξαν οἱ Κλεοπάτρας ἵμεροι καὶ θεὸς 390
ὁ σοὶ τὸ κρατεῖν χαριζόμενος. συνήττημαι δ' Ἀντωνίῳ καὶ τέθεικα
μετὰ τῆς ἐκείνου τύχης τὸ διάδημα. πρὸς σὲ δὲ ἦλθον ἔχων τὴν
ἀρετὴν τῆς σωτηρίας ἐλπίδα καὶ προλαβὼν ἐξετασθήσεσθαι, ποτα-
πὸς φίλος, οὐ τίνος, ἐγενόμην."

2. Πρὸς ταῦτα Καῖσαρ „ἀλλὰ σώζου γε, ἔφη, καὶ βασίλευε 391
νῦν βεβαιότερον· ἄξιος γὰρ εἶ πολλῶν ἄρχειν οὕτω φιλίας προϊστά-

§ 387 = Ant. Iud. XV 187.

PAMLVRCLatHegesippus I 33 p. 58.

2 ὁμόσε, ε i. ras. M *τῶν κινδύνων* MLR *periculis* Lat *τοῖς κινδύνοις* Hudson ex cod. Busb. *διέγνω*] ἔγνω M 3 *ῥώδον* (sic) A 6 ὑπ' LVRC *βασιλεὺς*] PLat *τῶν ἰουδαίων βασιλεὺς* AMLVRC *γενόμενος* A *ἐν πᾶσιν* om. Lat 7 *χρήσιμος*] Herwerden *βασιλεὺς γενόμενος ἐν πᾶσιν χρήσιμος* PA *βασιλεὺς χρήσιμος* MLVRCLat *τοῦτο ἂν* LRC 8 *ὑπεστειλάμην* LVRC *dubitauerim* Lat *με* s. A *μετὰ τῶν ὅπλων*] *armis quoque* Lat, unde *καὶ μετὰ τ. ὅ.* Destinon 9 *εὐχάριστον*] om. LVRC *gratum* Lat *ἀχώριστον* Hauerkamp ex L. B. 11 *ἐν* om. C *ἀκτίῳ*, *ω* ex *ου* corr. C *κατέλειπον* LVR 12 *σύμβολος* C¹ *σύμμαχος ἡμῖν χρήσιμος* tr. L *ἡμῖν* traditur etiam infra § 631 16 *δὲ* LVRC *ἀπέφραξ·ν* L *ἵμεροι*, *ι* ex *η* corr. m. recens P *ἵμεροι* et i. marg. m. 1 *ἔρωτες* Lips *ἔρωτες ἵμεροι* R 17 *τὸ*] *τῷ* P *χαρισάμενος* LVRC (*qui* —) *donaret* Lat *δ'*] *δὲ* LVRC *ergo* Lat *δὴ* Hudson nescio unde 18 *ἔχων* — 20 *ἐγενόμην*] *spem salutis de uirtute praesumens et ne in examen adducerer* (*adduceretur* alii) *properans qualis amicus alicuius fuerim* Lat *τὴν ἀρετὴν* i. marg. post *ἐλπίδα* (u. 19) suppl. m. 2 L 19 *ἐλπίδα*] *τὴν ἐλπίδα* (*τὴν* expunctum) A *προλαβὼν*] *προίλαβον* LVRC 20 *οὐ τίνος*] *οὐ τινος* P *οὔ τινος* AV *οὖ τινος* MR *οὔ τινος* L *οὕ τίνος* C²

μενος. πειρῶ δὲ καὶ τοῖς εὐτυχεστέροις διαμένειν πιστός. ὡς ἔγωγε λαμπροτάτας ὑπὲρ τοῦ σοῦ φρονήματος ἐλπίδας ἔχω. καλῶς μέντοι γε ἐποίησεν Ἀντώνιος Κλεοπάτρᾳ πεισθεὶς μᾶλλον ἢ σοί· καὶ γὰρ
392 σὲ κεκερδήκαμεν ἐκτῆς ἀνοίας αὐτοῦ. κατάρχεις δ', ὡς ἔοικεν, εὐτοιίας δι' ὧν μοι γράφει καὶ Βεντίδιος συμμαχίαν σε πεπομφέναι πρὸς τοὺς μονομάχους αὐτῷ. νῦν μὲν οὖν δόγματι τὸ βέβαιόν σοι τῆς βασιλείας ἐξαγγέλλω, πειράσομαι δὲ καὶ αὖθις ἀγαθόν τί σε ποιεῖν. ὡς μὴ ζητοίης Ἀντώνιον."

393 3. Τούτοις φιλοφρονησάμενος τὸν βασιλέα καὶ περιθεὶς αὐτῷ τὸ διάδημα δόγματι διεσήμαινεν τὴν δωρεάν, ἐν ᾧ πολλὰ μεγαλοφρόνως εἰς ἔπαινον τἀνδρὸς ἐφθέγξατο. ὁ δὲ δώροις ἐτιμειλιξάμενος αὐτὸν ἐξῃτεῖτό τινα τῶν Ἀντωνίου φίλων Ἀλεξᾶν ἱκέτην γενόμενον· ἐνίκα δὲ ἡ Καίσαρος ὀργὴ πολλὰ καὶ χαλεπὰ μεμφο-
394 μένου τὸν ἐξαιτούμενον οἷς διεκρούσατο τὴν δέησιν. μετὰ δὲ ταῦτα πορευόμενον ἐπ' Αἴγυπτον διὰ Συρίας Καίσαρα παντὶ τῷ βασιλικῷ πλούτῳ δεξάμενος Ἡρῴδης τότε πρῶτον καὶ συνιππάσατο ποιουμένου περὶ Πτολεμαΐδα τῆς δυνάμεως ἐξέτασιν εἰστιάσέν τε σὺν ἅπασιν τοῖς φίλοις· μεθ' οὓς καὶ τῇ λοιπῇ στρατιᾷ
395 πρὸς εὐωχίαν πάντα διέθωκεν. προυνόησεν δὲ καὶ διὰ τῆς ἀνύδρου πορευομένοις μέχρι Πηλουσίου παρασχεῖν ὕδωρ ἄφθονον ἐπανιοῦσί τε ὁμοίως, οὐδὲ ἔστιν ὅ τι τῶν ἐπιτηδείων ἐνεδέησεν τῇ δυνάμει. δόξα γοῦν αὐτῷ τε Καίσαρι καὶ τοῖς στρατιώταις παρέστη πολλῷ
396 βραχυτέραν περιεῖναι Ἡρῴδῃ βασιλείαν πρὸς ἃ παρέσχεν. διὰ

§ 391 = Ant. Iud. XV 195.

PAMLVRCLatHegesippus I 33 p. 60.

1 *πειρῶι* V 2 *ἔχω*] *mihi promitto* Lat 4 *δὲ* LVRC 5 *δι' ὧν — 6 αὐτῷ*] *quem ad eorum* (h. e. *αὐτῶν*) *gladiatores idonea auxilia misisse perscribit* Lat *δι' ὧν*] *διό* MLVRC *καὶ Βεντίδιος*] *βεντίδιοσ* LVRC *Κάντος Λίδιος* Hudson ex Dione Cass. 51, 7 *Λίδιος* aut *καὶ Λίδιος* reponendum uid.; cf. Ant. Iud. XV 195, ubi *καιαιδιος* extat *σε*] *σοι* L^1 6 *σοι*] *σοῦ* ed. pr. 7 *ἐ-ξαγγέλλω* A *ἐξαγγέλλωι* V *καὶ αὖθις*] *ipse quoque* Lat *σέ τι* tr. LVRC 8 *ζοιτοίησ* P 9 *τούτοις — βασιλέα*] *huius sermonis humanitate regem ne quid de amicitia sua dubitaret hortatus* Lat 10 *δόγματι*] cf. Ant. Iud. XV 196 *διεσήμενα*, *με ε* s. m. V *διεσήμανε* C 11 *τοῦ ἀνδρὸσ* LVRC 12 *ἐξῃτεῖτό* M *φίλον* C^1 *Ἀλεξᾶν*] PAM et i. marg. Lips *ἀλέξανδρον* LVRCLat Heg cum libris Ant. Iud. XV 197, *γρ καὶ ἀλέξανδρον* i. marg. R; uide Plut. Anton. 72 *ἱκέτην* P 14 *μεμφομένηι*, *ου* s. m. 2 V *ἐξαιτούμενον*, *αιτού* i. ras. 4 litt. m. 2 V *οἷς*] *οἷσ καὶ* M 15 *αἰγύπτου* L^1VRC fort. recte 17 *ποιουμένω* MLVRC fort. recte *ἐστίασεν* (— *σε* ML) PAML *ἐστίασε* V *εἰστίασε* RC 22 *δόξαν* PA^1 *τε* i. marg. suppl. A 23 *βραχύτερον* V *ἡρώδη περιεῖναι* tr. LVRC fort. recte

τοῦτο, ὡς ἦκεν εἰς Αἴγυπτον ἤδη Κλεοπάτρας καὶ Ἀντωνίου τεθνεώτων, οὐ μόνον αὐτοῦ ταῖς ἄλλαις τιμαῖς, ἀλλὰ καὶ τῇ βασιλείᾳ προσέθηκεν τήν τε ὑπὸ Κλεοπάτρας ἀποτμηθεῖσαν χώραν καὶ ἔξω Γάδαρα καὶ Ἵππον καὶ Σαμάρειαν, πρὸς δὲ τούτοις τῶν παραλίων Γάζαν καὶ Ἄνθηδόνα καὶ Ἰόππην καὶ Στράτωνος πύργον· ἐδωρήσατο δ' αὐτῷ καὶ πρὸς φυλακὴν τοῦ σώματος τετρακοσίους 397
Γαλάτας, οἳ πρότερον ἐδορυφόρουν Κλεοπάτραν. οὐδὲν δὲ οὕτως ἐνῆγεν αὐτὸν εἰς τὰς δωρεὰς ὡς τὸ μεγαλόφρον τοῦ λαμβάνοντος.

4. Μετὰ δὲ τὴν πρώτην ἀκτιάδα προστίθησιν αὐτοῦ τῇ βασι- 398
λείᾳ τόν τε Τράχωνα καλούμενον καὶ τὴν προσεχῆ Βαταναίαν τε καὶ τὴν Αὐρανῖτιν χώραν ἐξ αἰτίας τοιᾶσδε· Ζηνόδωρος ὁ τὸν Λυσανίου μεμισθωμένος οἶκον οὐ διέλειπεν ἐπαφεὶς τοὺς ἐκ τοῦ Τράχωνος λῃστὰς Δαμασκηνοῖς. οἱ δ' ἐπὶ Οὐάρρωνα τὸν ἡγεμόνα τῆς Συρίας καταφυγόντες ἐδεήθησαν δηλῶσαι τὴν συμφορὰν αὐτῶν Καίσαρι· Καῖσαρ δὲ γνοὺς ἀντεπέστελλεν ἐξαιρεθῆναι τὸ ληστήριον. στρατεύσας οὖν Οὐάρρων καθαίρει τε τῶν ἀνδρῶν τὴν γῆν 399
καὶ ἀφαιρεῖται Ζηνόδωρον· ἣν ὕστερον Καῖσαρ, ὡς μὴ γένοιτο πάλιν ὁρμητήριον τοῖς λῃσταῖς ἐπὶ τὴν Δαμασκόν, Ἡρῴδῃ δίδωσιν. κατέστησεν δὲ αὐτὸν καὶ Συρίας ὅλης ἐπίτροπον ἔτει δεκάτῳ πάλιν ἐλθὼν εἰς τὴν ἐπαρχίαν, ὡς μηδὲν ἐξεῖναι δίχα τῆς ἐκείνου συμβουλίας τοῖς ἐπιτρόποις διοικεῖν. ἐπεὶ δὲ ἐτελεύτα Ζηνόδωρος, 400
προσένειμεν αὐτῷ καὶ τὴν μεταξὺ Τράχωνος καὶ τῆς Γαλιλαίας γῆν ἅπασαν. ὃ δὲ τούτων Ἡρῴδῃ μεῖζον ἦν, ὑπὸ μὲν Καίσαρος ἐφιλεῖτο μετ' Ἀγρίππαν, ὑπ' Ἀγρίππα δὲ μετὰ Καίσαρα. ἔνθεν ἐπὶ

---

§ 396 = Ant. Iud. XV 217; § 398 = Ant. Iud. XV 343 sq.

PAMLVRCLatHegesippus I 34 p. 61.

2 *ἀλλὰ*] *πολλά, ἀλλὰ* Destinon 4 *gadaram* Lat *gadoram* cod. Ambr. Heg *ἵππον* V *ippon* Lat 5 *ἀθηδόνα* V *ἰόππην* LR *πύργον στράτωνος* tr. LVRCLat 6 *δὲ* LVRC 7 *ἐδωροιφόρουν* L¹ *ἐδωρυφόρουν* V¹ *ἐδωροφόρουν* R 8 *μεγαλόφρων* P 10 *βατανέαν* A 11 *τὴν* om. MLVRC *αὐρανίτην* PLV *auranitem* Lat 12 *μεμισθωμένος* ex *μισθούμενος* corr. P *διέλιπεν* M *διέλειπεν, ι* post *δ* i. ras. LR *ἐπαφιεὶς* Bekker 13 *δὲ* LVRC *οὐάρωνα* PAMLR *οὔαρον* V *ἡγεμόνα*] *tunc rectorem* Lat *τῆς* om. V 14 *ἐδέησαν* PAM 16 *στρατεύσας*] (*uarro* —) *cum milite aggressus loca suspecta* Lat *οὖν*] *γοῦν* PAM *οὐάρων* PAMLRC *οὔαρος* V *καθαίρει τε*] *καθαιρεῖται* PA *καθῆρε τε* LVRC *ἐκάθηρέ τε* Dindorf 17 *ζηνώδορον* P *ἣν*] *ἵν'* P *ὕστερον* om. Lat *γένοιτο*] *γένηται* V 20 *ἐπαρχείαν* R *ἐξεῖναι*] *ἐξῆν* PA¹ *ἐξῄει* L *ἐξείη* R *συμβουλείασ* LR 21 *δὲ ἐτελεύτα*] *δὲ τελευτᾶ* LVRC *ζηνώδοροσ* P

λλεῖστον μὲν εὐδαιμονίας προύκοψεν, εἰς μεῖζον δ' ἐξήρθη φρόνημα καὶ τὸ πλέον τῆς μεγαλονοίας ἐπέτεινεν εἰς εὐσέβειαν.

401 XXI. 1. *Πεντεκαιδεκάτῳ γοῦν ἔτει τῆς βασιλείας αὐτόν τε τὸν ναὸν ἐπεσκεύασεν καὶ περὶ αὐτὸν ἀνετειχίσατο χώραν τῆς οὔσης διπλασίονα, ἀμέτροις μὲν χρησάμενος τοῖς ἀναλώμασιν ἀνυπερβλήτῳ δὲ τῇ πολυτελείᾳ. τεκμήριον δὲ ἦσαν αἱ μεγάλαι στοαὶ περὶ τὸ ἱερὸν καὶ τὸ βόρειον ἐπ' αὐτῷ φρούριον· ἃς μὲν γὰρ ἀνῳκοδόμησεν ἐκ θεμελίων, ὃ δ' ἐπισκευάσας πλούτῳ δαψιλεῖ κατ'*

402 *οὐδὲν τῶν βασιλείων ἔλαττον Ἀντωνίαν ἐκάλεσεν εἰς τὴν Ἀντωνίου τιμήν. τό γε μὴν ἑαυτοῦ βασίλειον κατὰ τὴν ἄνω δειμάμενος πόλιν δύο τοὺς μεγίστους καὶ περικαλλεστάτους οἴκους, οἷς οὐδὲ ναός τις συνεκρίνετο, προσηγόρευσεν ἀπὸ τῶν φίλων τὸν μὲν Καισάρειον τὸν δὲ Ἀγρίππειον.*

403 2. *Ἀλλὰ γὰρ οὐκ οἴκοις μόνον αὐτῶν τὴν μνήμην καὶ τὰς ἐπικλήσεις περιέγραψεν, διέβη δὲ εἰς ὅλας πόλεις αὐτῷ τὸ φιλότιμον. ἐν μέν γε τῇ Σαμαρείτιδι πόλιν καλλίστῳ περιβόλῳ τειχισάμενος ἐπὶ σταδίους εἴκοσι καὶ καταγαγὼν ἑξακισχιλίους εἰς αὐτὴν οἰκήτορας, γῆν δὲ τούτοις προσνείμας λιπαρωτάτην καὶ ἐν μέσῳ τῷ κτίσματι ναόν τε ἐνιδρυσάμενος μέγιστον καὶ περὶ αὐτὸν τέμενος ἀποδείξας τῷ Καίσαρι τριῶν ἡμισταδίων, τὸ ἄστυ Σεβαστὴν ἐκάλεσεν· ἐξαίρετον δὲ τοῖς ἐν αὐτῷ παρέσχεν εὐνομίαν.*

404 3. *Ἐπὶ τούτοις δωρησαμένου τοῦ Καίσαρος αὐτὸν ἑτέρας προσθέσει χώρας, ὁ δὲ κἀνταῦθα ναὸν αὐτῷ λευκῆς μαρμάρου καθιδρύ-*

---

§ 401 = Ant. Iud. XV 380; § 402 = Ant. Iud. XV 318; § 403 = Ant. Iud. XV 296; § 404 = Ant. Iud. XV 363.

PAMLVRCLatHegesippus I 35 p. 61.

1 δὲ LVRC 2 *μεγαλονύας* C¹ *prouidentiae* Lat 3 i. marg. λη' C αὐτὸν om. Lat 4 τὴν om. PA *ἀνετειχίσατο*] *muro amplexus est* Lat *ἀπετειχίσατο* Destinon 5 *διπλασίαν* LVRC 6 *τεκμήριον*, κ ex corr. m. 2 R αἱ] αἵ τε Destinon 7 *περὶ*] αἱ περὶ Destinon *βόρρειον* L αὐτῷ] αὐτὸ AMV 8 ὃ] Destinon ὁ PA τὸ MLVRC δ' (δὲ A) *ἐπισκευάσας* PA et ut uid. Lat δὲ *ἐπεσκεύασε* MLVRC 9 Ἀντωνίαν] PAL¹R Lat καὶ *ἀντωνίαν* L² ὃ *ἀντωνίαν* MVC 10 τό] τότε PA αὐτοῦ LVR 11 οὐδὲ] οὐδ' ὁ Bekker ex L. B. 12 *καισσάριον* P *καισάριον* A¹LV 13 *ἀγρίππιον* PA¹LVR 14 οἴκοις ex οἴκους corr. L τὴν μνήμην αὐτῶν tr. LVRC 15 αὐτῷ] αὐτοῦ P αὐτῶν AL² 16 *σαμαρίτιδι* PC¹ 17 εἴκοσι] κ̄ PA 18 δὲ] τε LVRC 19 *ἐνιδρυσάμενος*] PAMLat *ἐνιδρυσάμενος τῷ καίσαρι* LVRC 20 τῷ Καίσαρι] PAMLat, om. LVRC *ἡμισυ σταδίων* Hauerkamp ex L. B. *ἐπεκάλεσεν* AMVC *appellauit* Lat 22 *δωρησαμένου*, η i. ras. m. 2 V *ἑτέραν* LVC 23 *χώραν* LVRC *κἀνταῦθα*] καὶ ταύτη LVR κἂν ταύτη C

σατο παρὰ τὰς Ἰορδάνου πηγάς· καλεῖται δὲ Πάνειον ὁ τόπος· ἔνθα κορυφὴ μέν τις ὄρους εἰς ἄπειρον ὕψος ἀναπέπταται, παρὰ 405
δὲ τὴν ἐπόρειον λαγόνα συνηρεφὲς ἄντρον ἐλαιοφύει, δι' οὗ βαραθρώδης κρημνὸς εἰς ἀμέτρητον ἀπορρῶγα βαθύνεται πλήθει τε ὕδατος ἀσαλεύτου καὶ τοῖς καθιεμένοις τι πρὸς ἔρευναν γῆς οὐδὲν μῆκος ἐξαρκεῖ. τοῦ δὲ ἄντρου κατὰ τὰς ἔξωθεν ῥίζας ἀναπέλλουσιν 406
αἱ πηγαί· καὶ γένεσις μέν, ὡς ἔνιοι δοκοῦσιν, ἔνθεν Ἰορδάνου, τὸ δ' ἀκριβὲς ἐν τοῖς ἑξῆς δηλώσομεν.

4. Ὁ δὲ βασιλεὺς καὶ ἐν Ἰεριχοῖ μεταξὺ Κύπρου τοῦ φρουρίου 407
καὶ τῶν προτέρων βασιλείων ἄλλα κατασκευάσας ἀμείνω καὶ χρησιμώτερα πρὸς τὰς ἐπιδημίας ἀπὸ τῶν αὐτῶν ὠνόμασεν φίλων. καθόλου δὲ οὐκ ἔστιν εἰπεῖν ὅντινα τῆς βασιλείας ἐπιτήδειον τόπον τῆς πρὸς Καίσαρα τιμῆς γυμνὸν εἴασεν. ἐπεὶ δὲ τὴν ἰδίαν χώραν ἐπλήρωσεν ναῶν, εἰς τὴν ἐπαρχίαν αὐτοῦ τὰς τιμὰς ὑπερεξέχεεν καὶ πολλαῖς πόλεσιν ἐνιδρύσατο Καισάρεια.

5. Κατιδὼν δὲ κἀν τοῖς παραλίοις πόλιν ἤδη μὲν κάμνουσαν, 408
Στράτωνος ἐκαλεῖτο πύργος, διὰ δὲ εὐφυίαν τοῦ χωρίου δέξασθαι δυναμένην τὸ φιλόκαλον αὐτοῦ, πᾶσαν ἀνέκτισεν λευκῷ λίθῳ καὶ λαμπροτάτοις ἐκόσμησεν βασιλείοις, ἐν ᾗ μάλιστα τὸ φύσει μεγαλόνουν ἐπεδείξατο. μεταξὺ γὰρ Δώρων καὶ Ἰόππης, ὧν ἡ πόλις 409

---

§ 404 = Ant. Iud. XV 363; § 408 = Ant. Iud. XV 331.

PAMLVRCLatHegesippus I 35 p. 61.

1 *παρὰ*] *περὶ* V *circa* Lat *δὲ* om. V *πάνιον* PLVRC *πάν·ον*, eras. *ι* A *πανεῖον* M 2 *ἔνθα*] *ἔνθα καὶ* P *κορυφὴ, ορυ* ex *ρυ* uid. corr. A *τις* om. AV 3 *ὑπόρειον*] PAML²V² *ὑπώρειον* L¹ *ὑπώριον* R *ὑπόριον* V¹C *λαγώνα* V *δι'* — 6 *ἐξαρκεῖ*] *qua profundae altitudinis rupes ad immensum liquentis guttae receptaculum concauatur, ut stagnantis aquae copia demittentibus aliquid, donec terram inueniant, longitudo nulla sufficiat* Lat *per quod graue olentis praecipitii profundum saeuum exhalat mephitim. intus aquarum congregatio et sine ullo motu multa uis inerat, ut nulla aestimatio profundae altitudinis comprehenderetur* Heg 4 *γρ εἰσάπειρον ἀπορρῶγα* i. marg. A ad *καθιεμῶσιν*, i. marg. *χαλώσιν* A 6 *ἐξαρκεῖν* PA *ἀνατέλουσιν* V 7 *γένεσις* V¹ 8 *δὲ* LVRC *ἐν τοῖς ἑξῆς*] infra III 510 (10, 7) *δηλώσωμεν* P 9 *ἰεριχὼ* P *ἰεριχῶ* AM 10 *κατασκευασάμενος* ALVRC *ἄμεινον* L¹ *ἄμεινα* R 11 *πρὸς τὰς ἐπιδημίας*] *aduenientibus* Lat *ὀνόμασε* V¹ 12 *καθόλου* — *ὅντινα*] *καθόλου τε εἰπεῖν οὐκ ἔστιν ὅντινα* LVRC 13 *ἐπεὶ*] *ἐπειδὴ* LVRC *χώραν*] *χώραν βασιλείαν* V 14 *ναὸν* C¹ *ἐπαρχίαν, ι* i. ras. maiore m. 2 A 15 *καισάρεια, ει* uid. eras. P *καίσαρα* LVRC haud male 16 *κἀν*] *καὶ* PAM 17 *δὲ*] *τε* PALat *γε* M 20 *δώρων, ων* ex *ον* corr. V *doran* (acc.) Lat *dorum* (acc.) codd. optimi Heg *ἡ* om. C

μέσῃ κεῖται, πᾶσαν εἶναι συμβέβηκεν τὴν παράλιον ἀλίμενον, ὡς πάντα τὸν τὴν Φοινίκην ἐπ' Αἴγυπτου παραπλέοντα σαλεύειν ἐν πελάγει διὰ τὴν ἐκ λιβὸς ἀπειλήν, ᾧ καὶ μετρίως ἐπαυρίζοντι τηλικοῦτον ἐπεγείρεται κῦμα πρὸς ταῖς πέτραις, ὥστε τὴν ὑποστροφὴν
410 τοῦ κύματος ἐπὶ πλεῖστον ἐξαγριοῦν τὴν θάλασσαν. ἀλλ' ὁ βασι- 5
λεὺς τοῖς ἀναλώμασιν καὶ τῇ φιλοτιμίᾳ νικήσας τὴν φύσιν μείζονα μὲν τοῦ Πειραιῶς λιμένα κατεσκεύασεν, ἐν δὲ τοῖς μυχοῖς αὐτοῦ βαθεῖς ὅρμους ἑτέρους.

411 6. Καθάπαν δ' ἔχων ἀντιπράσσοντα τὸν τόπον ἐφιλονείκησεν πρὸς τὴν δυσχέρειαν, ὡς τὴν μὲν ὀχυρότητα τῆς δομήσεως δυσάλω- 10
τον εἶναι τῇ θαλάσσῃ, τὸ δὲ κάλλος ὡς ἐπὶ μηδενὶ δυσκόλῳ κεκοσμῆσθαι· συμμετρησάμενος γὰρ ὅσον εἰρήκαμεν τῷ λιμένι μέγεθος καθίει λίθους ἐπ' ὀργυιὰς εἴκοσιν εἰς τὸ πέλαγος, ὧν ἦσαν οἱ πλεῖστοι μῆκος ποδῶν πεντήκοντα, βάθος ἐννέα, εὖρος δέκα, τινὲς
412 δὲ καὶ μείζονες. ἐπεὶ δὲ ἀνεπληρώθη τὸ ὕφαλον, οὕτως ἤδη τὸ 15
ὑπερέχον τοῦ πελάγους τεῖχος ἐπὶ διακοσίους πόδας ηὐρύνετο· ὧν οἱ μὲν ἑκατὸν προδεδόμηντο πρὸς τὴν ἀνακοπὴν τοῦ κύματος, προκυμαία γοῦν ἐκλήθη, τὸ δὲ λοιπὸν ὑπόκειται τῷ περιθέοντι λιθίνῳ τείχει. τοῦτο δὲ πύργοις τε διείληπται μεγίστοις, ὧν ὁ προύχων καὶ περικαλλέστατος ἀπὸ τοῦ Καίσαρος προγόνου Δρούσιον κέκλη- 20
413 ται. 7. ψαλίδες τε συκναὶ πρὸς καταγωγὴν τῶν ἐνορμιζομένων καὶ τὸ πρὸ αὐτῶν πᾶν κύκλῳ νάγμα τοῖς ἀποβαίνουσιν πλατὺς περί-

§ 409 = Ant. Iud. XV 333.

PAMLVRCLatHegesippus I 35 p. 62.

1 *παραλίαν* ALVRC *ἄλιμενον* ex corr. A 2 *ἐπ' αἴγυπτον* PAML² *ex aegipto* Heg 3 *πελάγει, ει* i. ras. m. 2 V 4 *ἐπεγείρετο* PM *ἐγείρεται* LVRC 5 *ἀγριοῦν* M 6 *φιλοτιμίᾳ*] *φιλονεικία* LR, i. marg. *γρ φιλοτιμία* m. 2 L *φιλοτιμία*, litt. *τιμί* i. ras. Lips 7 *πειραιέως* MLVRC 9 *καθ' ἅπαν* VR *δὲ* LVRC *ἀντιπρόσσοντα* A¹ *ἀντιταράσσοντα* C *τὸν* om. A¹ 11 *κε* | *κοσμῆσθαι, ε* i. ras. A *κεκοσμίσθαι* C 12 *γὰρ*] *γοῦν* C 13 *ὀργυίας* PAL² *ὀργυὰς* (corr. ex *ὀργύας*) V *εἴκοσιν*] *κ̄* PA *εἴκοσι* L 14 *πεντήκοντα*] *ν̄* L *ἐννέα*] *θ̄* L 15 *ὕφαλον*] ex Lat Destinon *ὑψηλὸν* PA *βάθος* MLVRC *spatio quod unda celabat* Lat 16 *εὐρύνετο* A 17 *προσδεδόμηντο* LVRC *προκυμαία* Aldrich 19 *τε* om. MLVR *προύχον* V¹ 20 *περικαλλέστατος* VC¹ *δρουσίων* MLVRC *drusium* Lat *drusion* ut uid. Heg; cf. Antiq. XV 336 21 *ψαλίδες — ἐνορμιζομένων*] *gradus etiam breuiores locis interposuit frequentioribus, per quos sine graui labore nauigia subducerentur* Heg *ψαλλίδες* PA *τε*] *δὲ* MLVRC *ἐνορμιζομένων*] *quae portus haberet* Lat *καὶ* — 22 *περίπατος*] *proque fornicibus et circum eos pila saxea et lata, quae naui egredientes exciperet, ambulatio* Lat 22 *πᾶν κύκλῳ νάγμα*] *πέντε κύκλων ἄγμα* PA *πᾶν κύκλων ἄγμα* M

κατος. ὁ δ' εἰσπλέοντας βόρειος, αἰθριώτατος γὰρ ἀνέμων τῷ τόπῳ
βορέας· καὶ ἐπὶ τοῦ στόματος κολοσσοὶ τρεῖς ἑκατέρωθεν ἐστηρι-
γμένοι κίονες, ὧν τοὺς μὲν ἐκ δεξιᾶς χειρὸς εἰσπλεόντων λίθος
νασιὸς ἀνέχει, τοὺς δὲ ἐξ ἀριστεροῦ δύο ὀρθοὶ λίθοι συνεζευγμένοι
τοῦ κατὰ θάτερον χεῖλος λιμένος μείζονες. προσεχεῖς δ' οἰκίαι τῷ 414
λιμένι λευκοῦ καὶ αὐταὶ λίθου, καὶ κατατείνοντες ἐπ' αὐτὸν οἱ
στενωποὶ τοῦ ἄστεος πρὸς ἓν διάστημα μεμετρημένοι. καὶ τοῦ
στόματος ἀντικρὺ ναὸς Καίσαρος ἐπὶ γηλόφου κάλλει καὶ μεγέθει
διάφορος· ἐν δ' αὐτῷ κολοσσὸς Καίσαρος οὐκ ἀποδέων τοῦ Ὀλυμ-
πίασιν Διός, ᾧ καὶ προσείκασται, Ῥώμης δὲ ἴσος Ἥρᾳ τῇ κατ'
Ἄργος. ἀνέθηκεν δὲ τῇ μὲν ἐπαρχίᾳ τὴν πόλιν, τοῖς ταύτῃ δὲ
πλοϊζομένοις τὸν λιμένα, Καίσαρι δὲ τὴν τιμὴν τοῦ κτίσματος·
Καισάρειαν γοῦν ὠνόμασεν αὐτήν.

8. *Τά γε μὴν λοιπὰ τῶν ἔργων, ἀμφιθέατρον καὶ θέατρον καὶ* 415
ἀγοράς, ἄξια τῆς προσηγορίας ἐνιδρύσατο. καὶ πενταετηρικοὺς
ἀγῶνας κατασημάμενος ὁμοίως ἐκάλεσεν ἀπὸ τοῦ Καίσαρος, πρῶ-
τος αὐτὸς ἆθλα μέγιστα προθεὶς ἐπὶ τῆς ἑκατοστῆς ἐνενηκοστῆς
δευτέρας ὀλυμπιάδος, ἐν οἷς οὐ μόνον οἱ νικῶντες, ἀλλὰ καὶ οἱ
μετ' αὐτοὺς καὶ οἱ τρίτοι τοῦ βασιλικοῦ πλούτου μετελάμβανον.
ἀνακτίσας δὲ καὶ Ἀνθηδόνα τὴν παράλιον καταρριφθεῖσαν ἐν 416

§ 413 = Ant. Iud. XV 337. § 416 = Ant. Iud. XVI 136.

PAMLVRCLatHegesippus I 35 p. 63.

1 *αἰθριώτατος*] PAMRC et i. marg. V *οὐριώτατος* LV *γρ οὐριότατος* i. marg. R *placidissimus* Lat 2 *βορρᾶς* L. Dindorf *ἑκατέροθεν* C¹ *ὑπεστηριγμένοι, οι* ex *αι* corr. L 3 *εἰσπλέοντας* MLVCLips *εἰσπλέοντ·σ* R *intrantibus* Lat 4 *ἀνέχει* i. ras. A *λίθοι δύο ὀρθοὶ* tr. L 5 *τοῦ* om. PAM *πύργο* C¹ *δ'*] *δὲ* LVRC *δ' αἱ* Destinon 6 *καὶ αὐταὶ* ALVC *ilidem* Lat *κατατείνοντες, εἱ* i. ras. m. 2 V *αὐτὸν*] *αὐτῶν* VC *στενοποὶ* V¹R 7 *μεμετρημένοι, ι* corr. ex *υ* L *μεμετρημένον* V 8 *ἀντικρυ* M *ἄντικρυσ* LVRC *κάλλει — μεγέθει*] *magnitudine simul et pulchritudine* Lat *καίσαροσ ἐπιγηλόφου ναὸσ* tr. P 9 *δὲ* LVRC *οὐκ — 11 Ἄργος*] *quod non minoris magnitudinis foret simulacro olimpii iouis aut iunonis argiuae* Heg *ἀποδέον* L¹R *ὀλυμπιάσιν* (— *σι* MLRC) PAMLRC *ὀλυμπιᾶσι* V 10 *καὶ* om. M *Ῥώμης*] *ῥειώνησ* M *ῥώμη* C *Ῥώμης — 11 Ἄργος*] *romano autem par et iunoni quae argis est* Lat *ἴσοσ* M *Ἥρᾳ τῇ*] *ἥρασ τῆσ* M 11 *τὴν πόλιν* corr. ex *τῇ πόλει* C 12 *πλωιζομένοισ* M *rebus aduecticiis* Lat 14 *ἀμφιθέατρον — 15 ἐνιδρύσατο*] *forum theatrum amphitheatrum digna uocabulo dedicauit* Lat *καὶ θέατρον* s. m. 2 A 15 *ἀγορὰν* LVRCLat *ἀξίασ* PAM 16 *ὁμοίως* om. Lat 17 *προσθεὶσ* L 18 *δευτέρας*] *καὶ δευτέρασ* LVRC 19 *βασικοῦ* A 20 *τὴν παράλιον* om. Lat *καταριφθεῖσαν* (*θ* s. L) PALVR *καταρριφεῖσαν* C

πολέμῳ Ἀγρίππειον προσηγόρευσε· τοῦ δ' αὐτοῦ φίλου δι' ὑπερβολὴν εὐνοίας καὶ ἐπὶ τῆς πύλης ἐχάραξεν τὸ ὄνομα, ἣν αὐτὸς ἐν τῷ ναῷ κατεσκεύασεν.

417 9. Φιλοπάτωρ γε μήν, εἰ καί τις ἕτερος· καὶ γὰρ τῷ πατρὶ μνημεῖον κατέθηκεν πόλιν, ἣν ἐν τῷ καλλίστῳ τῆς βασιλείας πεδίῳ κτίσας ποταμοῖς τε καὶ δένδρεσιν πλουσίαν ὠνόμασεν Ἀντιπατρίδα, καὶ τὸ ὑπὲρ Ἰεριχοῦντος φρούριον ὀχυρότητι καὶ κάλλει διάφορον
418 τειχίσας ἀνέθηκεν τῇ μητρὶ προσειπὼν Κύπρον. Φασαήλῳ δὲ ἀδελφῷ τὸν ἐν Ἱεροσολύμοις ὁμώνυμον πύργον, οὗ τό τε σχῆμα καὶ τὴν ἐν τῷ μεγέθει πολυτέλειαν διὰ τῶν ἑξῆς δηλώσομεν. καὶ πόλιν ἄλλην κτίσας κατὰ τὸν ἀπὸ Ἰεριχοῦς ἰόντων αὐλῶνα πρὸς βορέαν Φασαηλίδα ὠνόμασεν.

419 10. Παραδοὺς δ' αἰῶνι τούς τε οἰκείους καὶ φίλους οὐδὲ τῆς ἑαυτοῦ μνήμης ἠμέλησεν, ἀλλὰ φρούριον μὲν ἐντειχίσας τῷ πρὸς Ἀραβίαν ὄρει προσηγόρευσεν Ἡρώδειον ἀφ' ἑαυτοῦ, τὸν δὲ μαστοειδῆ κολωνὸν ὄντα χειροποίητον ἑξήκοντα σταδίων ἄπωθεν Ἱεροσολύμων
420 ἐκάλεσεν μὲν ὁμοίως, ἐξήσκησεν δὲ φιλοτιμότερον. στρογγύλοις μὲν γὰρ τὴν ἄκραν πύργοις περιέσχεν, ἐπλήρωσεν δὲ τὸν περίβολον βασιλείοις πολυτελεστάτοις, ὡς μὴ μόνον τὴν ἔνδον τῶν οἰκημάτων ὄψιν εἶναι λαμπράν, ἀλλὰ καὶ τοῖς ἔξωθεν τοίχοις καὶ

§ 417 = Ant. Iud. XVI 142; § 419 = Ant. Iud. XV 323.

PAMLVRLipsCLat

1 *πολέμοις* LVRCLat *ἀγρίππιον* PA¹LVR *δὲ* LVRC *τοῦ αὐτοῦ* om. Lat 3 post *κατεσκεύασεν* iterauit *ἐν τῷ ναῷ*, iterata expunxit C 4 *φιλοπάτωρ, ω* i. ras. m. 2 V *κ·αὶ*, litt. *αὶ* suppl.ᵗ m. 2 C 5 *κατέθεικεν* P *κατέστησε* ed. pr. *πόλιν*] *καὶ πόλιν* V 6 *τε* om. V *πλούσιον* V *πλούσιον* C *antipatridan* Lat 8 *ἀνέθεικεν* P 9 *τὰδ' ἐλφῷ* A *τῷ ἀδελφῷ* LVRC *οὗ τό τε σχῆμα*] *γρ οὗ τὸ τείχισμα* i. marg. A *καὶ*] *καὶ* | *καὶ* A 10 *μεγέθη* V¹ *δηλώσωμεν* PAV¹R *διὰ τῶν ἑξῆς*] infra V 166 (4, 3) 11 *πόλιν*] *πάλιν* C *κτίσας*] *τειχίσασ* LVR *τὸν*] *τῶν* C² *Ἰεριχοῦς ἰόντων*] *ἱεριχούσιον τὸν* PAL² *ἱεριχοῦσιν ὄντα* M (*in regione qua*) *de hierichunte* (*in boream*) *itur* Lat 12 *βορρᾶν* L. Dindorf *Φασαηλίδα ὠνόμασεν*] *γρ φασαηλον ὠνομασεν* i. marg. A *fasaelum nominauit* Lat 13 *δὲ* LVRC 14 *αὐτοῦ* LVRC *μὲν* om. LVRC *φρούριον* — 15 *ὄρει*] *castellum contra montem arabici lateris propugnaculo permunitum* Lat 15 *ἡρώδιον* A¹LVR *ναστοειδῆ*, i. marg. *γρ μαστοειδῆ* V (*tumulumque*) *astoiden* Lat 16 *ἑξήκοντα* — p. 97, 4 *χειροποίητον* om. R, cuius loco collatus est Lips *ἄποθεν* PAMC et ex corr. Lips *ἄπωθεν* V 17 *φιλοτιμώτερον* PAC¹ et ex corr. V *στρογγύλοις, γ* (post *ο*) ex corr. Lips 18 *περιέσχεν*] *περιέσχησεν* A 19 *περίβολον* · · · · ‖ *βασιλείοις* Lips 20 *τύχοις* A *τείχοις* V

θριγκοῖς καὶ στέγαις περιεχίσθαι τὸν πλοῦτον δαψιλῆ· πόρρωθεν
δὲ μεγίστοις ἀναλώμασιν ὑδάτων πλῆθος εἰσήγαγεν καὶ βαθμοῖς
διακοσίοις λευκοτάτης μαρμάρου τὴν ἄνοδον διέλαβεν· ἦν γὰρ δὴ
τὸ γήλοφον ἐπιεικῶς ὑψηλὸν καὶ πᾶν χειροποίητον. κατεσκεύασεν 421
δὲ καὶ περὶ τὰς ῥίζας ἄλλα βασίλεια τήν τε ἀπόσκιον καὶ τοὺς
φίλους δέξασθαι δυνάμενα, ὥστε τῷ μὲν πάντα ἔχειν πόλιν εἶναι
δοκεῖν τὸ ἕρυμα, τῇ περιγραφῇ δὲ βασίλειον.

11. Τοσαῦτα συγκτίσας πλείσταις καὶ τῶν ἔξω πόλεων τὸ 422
μεγαλόψυχον ἐπεδείξατο. Τριπόλει μὲν γὰρ καὶ Ἀμμασκῷ καὶ Ἱερι-
χοῦντι γυμνάσια. Βύβλῳ δὲ τεῖχος, ἐξέδρας τε καὶ στοὰς καὶ ναοὺς
καὶ ἀγορὰς Βηρυτῷ κατασκευάσας καὶ Τύρῳ, Σιδῶνί γε μὴν καὶ
Ἀμμασκῷ θέατρα, Λαοδικεῦσι δὲ τοῖς παραλίοις ὑδάτων εἰσαγω-
γήν, Ἀσκαλωνίταις δὲ βαλανεῖα καὶ κρήνας πολυτελεῖς, πρὸς δὲ
περίστυλα θαυμαστὰ τήν τε ἐργασίαν καὶ τὸ μέγεθος· εἰσὶ δ' οἷς
ἄλση καὶ λειμῶνας ἀνέθηκεν. πολλαὶ δὲ πόλεις ὥσπερ κοινωνοὶ 423
τῆς βασιλείας καὶ χώραν ἔλαβον παρ' αὐτοῦ· γυμνασιαρχίαις δ'
ἄλλας ἐτετησίοις τε καὶ διηνεκέσιν ἐδωρήσατο προσόδους κατα-
τάξας, ὥσπερ Κῴοις, ἵνα μηδέποτε ἐκλείπῃ τὸ γέρας. σῖτόν γε 424
μὴν πᾶσιν ἐχορήγησεν τοῖς δεομένοις, καὶ τῇ Ῥόδῳ χρήματα μὲν
εἰς ναυτικοῦ κατασκευὴν παρέσχεν πολλαχοῦ καὶ πολλάκις, ἐμπρη-
σθὲν δὲ τὸ Πύθιον ἰδίοις ἀναλώμασιν ἄμεινον ἀνεδείματο. καὶ τί 425
δεῖ λέγειν τὰς εἰς Λυκίους ἢ Σαμίους δωρεὰς ἢ τὴν δι' ὅλης τῆς

§ 420 = Ant. Iud. XV 324; § 422 = Ant. Iud. XVI 146.

PAMLV Lips RC Lat.

1 *δαψιλῆ* V 2 *εἰσήγαγε* LV *προσήγαγεν* (— *γε* M) PAM; cf. A. I. XV 325 3 *ἦν*] *καὶ* P 4 *γήλοφον*] *γεώλοφον* L^2LipsC et ex corr. V *γεόλοφον* L^1V^1 *καὶ πᾶν*] *καίπερ ὂν* Destinon 5 *ἄλλα βασίλεια*] *aliam regiam ac diuersoria* Lat 6 *τῷ*] *τὸ* PL^1V^1R 8 *συγκτίσας*] P *δὲ συγκτίσασ* AM *δ' οὖν κτίσασ* LVRC *autem constructis* Lat 9 *γὰρ* om. Bekker 10 *βίβλῳ* PALVRLat et ex corr. Lips *ἐξέδρασ, σ* i. ras. 2 litt. A *τε*] s. A *uero* Lat *δὲ* Niese 11 *σιδόνι* PA 13 *βαλανεῖα — πολυτελεῖς*] *nymphaea siue lacus ornatissimos et balneas* Lat *κρίνασ* C 14 *δὲ* LVRC 15 *ἄλσι* C^1 *λειμῶνας*] *portus* (h. e. *λιμένας*) Lat 16 *γυμνασιαρχίαις δ' ἄλλας*] PAL^2 *γυμνασιαρχίασ ἄλλασ δ'* (*δὲ* VR) MVR *γυμνασιαρχίασ ἄλλασ* · L^1 *γυμνασιαρχίασ ἄλλασ δὲ* C *ad exhibitionem uero thermarum aliis* (*reditus annuos ac perpetuos delegauit*) Lat 17 *προσόδους*] *προσόδοισ* VRC 18 *Κῴοις*] *comis* Lat *ἐκλείπει* P *ἐκλίπῃ* MC *γέρας*] *γένοσ* L^1R 19 *ἐχορήγησεν*] *ἐδωρήσατο* LVRC 20 *πολλαχοῦ*] *πολλὰ* Destinon *ἐμπρισθὲν* R 21 *ἀνεδήματο* P *καὶ* om. L^1VRC 22 *δεῖ*] *δή, ἢ* i. ras. P *δεῖ, εῖ* i. ras. A *Λυκίους*] *Χίους* ex Ant. Destinon *λυκίουσ καὶ σαμίουσ* V

Ἰωνίας ἐν οἷς ἐδεήθησαν ἕκαστοι δαψίλειαν; ἀλλ' Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι Νικοπολῖταί τε καὶ τὸ κατὰ Μυσίαν Πέργαμον οὐ τῶν Ἡρώδου γέμουσιν ἀναθημάτων; τὴν δ' Ἀντιοχέων τῶν ἐν Συρίᾳ πλατεῖαν οὐ φευκτὴν οὖσαν ὑπὸ βορβόρου κατέστρωσέν τε σταδίων εἴκοσι τὸ μῆκος οὖσαν ξεστῇ μαρμάρῳ καὶ πρὸς τὰς τῶν ὑετῶν ἀποφυγὰς ἐκόσμησεν ἰσομήκει στοᾷ.

426 12. *Ταῦτα μὲν ἄν τις εἴποι ἴδια τῶν εὖ παθόντων δήμων ἑκάστου, τὸ δὲ Ἠλείοις χαρισθὲν οὐ μόνον κοινὸν τῆς Ἑλλάδος ἀλλ' ὅλης τῆς οἰκουμένης δῶρον. εἰς ἣν ἡ δόξα τῶν Ὀλυμπίασιν*
427 *ἀγώνων διικνεῖται. τούτους γὰρ δὴ καταλυομένους ἀπορίᾳ χρημάτων ὁρῶν καὶ τὸ μόνον λείψανον τῆς ἀρχαίας Ἑλλάδος ὑπορρέον, οὐ μόνον ἀγωνοθέτης ἧς ἐπέτυχεν πενταετηρίδος εἰς Ῥώμην παρατιλέων ἐγένετο, ἀλλὰ καὶ πρὸς τὸ διηνεκὲς πόρους χρημάτων ἀπέδειξεν, ὡς μηδέποτε ἀγωνοθετοῦσαν αὐτοῦ τὴν μνήμην ἀπολιπεῖν.*
428 *ἀνήνυτον ἂν εἴη χρεῶν διαλύσεις ἢ φόρων ἐπεξιέναι, καθάπερ Φασηλίταις καὶ Βαλανεώταις καὶ τοῖς περὶ τὴν Κιλικίαν πολιχνίοις τὰς ἐτησίους εἰσφορὰς ἐπεξεκύφισεν. τελεῖσιόν γε μὴν αὐτοῦ τῆς μεγαλονοίας ἔθρασεν ὁ φόβος, ὡς μὴ δόξειεν ἐπίφθονος ἢ τι θῤᾶσθαι μεῖζον εὐεργετῶν τὰς πόλεις πλέον τῶν ἐχόντων.*

§ 425 = Ant. Iud. XVI 17 sq.; § 426 = Ant. Iud. XVI 149.

PAMLVRC Lat.

1 *δαψηλείαν* L^1 *δαψήλειαν* L^2 *δαψιλίαν* R *ἀλλὰ* LVRC 3 *δὲ* LVRC *ἀντιχέων* R *τῶν*] *τὴν* L 4 *οὐ — βορβόρου*] *cum plena caeni ab omnibus uitaretur* Lat *οὐ φευκτὴν*] *οὐ πορευτὴν* van Herwerden haud male *οὖσαν* iterauit iteratum expunxit M 5 *τῶν* om. L^1RC 6 *ἰσομήκει στοᾷ*] *ἰσομήκιστον*, i. marg. *γρ ἰσομήκει στοᾶ* PA (*plateam —*) *quae longa esset* (*ornauit*) Lat 7 *ταῦτα — 8 ἑκάστου* om. A *εὐπαθούντων* PLV Lips 8 *Ἠλείοις*] *πόλισ ἀρκαδίασ ἰλίοισ* (*ἰλείοισ* A) PA, i. marg. *γρ τὸ δὲ ἰλίοισ* (*ἰλείοισ* A) *πόλισ ἀρκαδίασ χαρισθὲν* PA *ἡλείοισ* MLV^{2}C *ἡλίοισ* V^1 *ἰλίοισ* R^2 *elidensibus* Lat, i. marg. *πόλισ ἀρκαδίασ* suppl. m. 2 L *ἑλλάδασ* R *ἑλλά·δοσ, α* ex corr. C 9 *Ὀλυμπίασιν*] Bekker *ἐν ὀλυμπιᾶσιν* (*ὀλυμπιάσιν* AL) codd. 10 *τούτοις* C^1 *καταλυομένους*] *κωλυομένουσ* L^1R *γρ κωλυομένουσ* i. marg. m. 2 V 11 *ὁρῶν*] *ἰδὼν* C 13 *ὑπέδειξεν* LVRC 14 *αὐτοῦ τὴν μνήμην ἀπολιπεῖν*] *τὴν αὐτοῦ μνήμην ἐπιλιπεῖν* (*ι* ante *π* i. ras.) L *τὴν μνήμην αὐτοῦ ἐπιλιπεῖν* VC *ἐπιλιπεῖν τὴν μνήμην αὐτοῦ* R (*ut numquam*) *eius memoria* (*agonithetae munere fungi*) *desierit* Lat 15 *ἀνήνυτον*] PAMLat *ἀνήνυτον δ'* LVRC *διαλύσεις*] *λύσεισ* VC *φόρον* C^1 16 *φασηλίταισ* PAMVRC *Κιλικίαν*] PAMVC Lat et i. marg. m. 2 L *κίαν* L *κειαν* R et i. marg. V *ἐπεκύφισεν* Bekker 18 *αὐτοῦ* om. M 20 *ἐχόντων*] *ἡγεμόνων* Naber

13. Ἐχρήσατο δὲ καὶ σώματι πρὸς τὴν ψυχὴν ἀνάλογον, κυνη- 429
γέτης μὲν ἄριστος ἀεὶ γενόμενος, ἐν ᾧ μάλιστα δι' ἐμπειρίαν ἱππι-
κῆς ἐπετύγχανεν· μιᾷ γοῦν ἡμέρᾳ ποτὲ τεσσαράκοντα θηρίων ἐκράτη-
σεν· ἔστι δὲ καὶ συοτρόφος μὲν ἡ χώρα, τὸ πλέον δ' ἐλάφων
καὶ ὀνάγρων εὔπορος· πολεμιστὴς δ' ἀνυπόστατος. πολλοὶ γοῦν 430
κἀν ταῖς γυμνασίαις αὐτὸν κατελάγησαν ἀκοντιστήν τε ἰθυβολώ-
τατον καὶ τοξότην εὐστοχώτατον ἰδόντες. πρὸς δὲ τοῖς ψυχικοῖς
καὶ τοῖς σωματικοῖς προτερήμασιν ἐχρήσατο καὶ δεξιᾷ τύχῃ· καὶ
γὰρ στάσιον ἔπταισεν ἐν πολέμῳ, καὶ τῶν πταισμάτων οὐκ αὐτὸς
αἴτιος, ἀλλ' ἢ προδοσίᾳ τινῶν ἢ προπετείᾳ στρατιωτῶν ἐγένετο.

XXII. 1. Τάς γε μὴν ὑπαίθρους εὐπραγίας ἡ τύχη τοῖς κατ' 431
οἶκον ἀνιαροῖς ἐνεμέσησεν, καὶ κακοδαιμονεῖν ἐκ γυναικὸς ἤρξατο
περὶ ἣν μάλιστα ἐσπούδασεν. ἐπειδὴ γὰρ εἰς τὴν ἀρχὴν παρῆλ- 432
θεν, ἀπολεμψάμενος ἣν ἰδιότης ἥκτο γαμετήν, γένος ἦν ἐξ Ἱερο-
σολύμων Δωρὶς ὄνομα, γαμεῖ Μαριάμμην τὴν Ἀλεξάνδρου τοῦ
Ἀριστοβούλου θυγατέρα, δι' ἣν αὐτῷ στασιασθῆναι συνέβη τὸν
οἶκον καὶ τάχιον μέν, μάλιστα δὲ μετὰ τὴν ἐκ Ῥώμης ἄφιξιν. πρῶ- 433
τον μὲν γὰρ τὸν ἐκ τῆς Δωρίδος υἱὸν Ἀντίπατρον διὰ τοὺς ἐκ
Μαριάμμης ἐφυγάδευσεν τῆς πόλεως μόναις ταῖς ἑορταῖς ἀφεὶς
κατιέναι· ἔπειτα τὸν πάππον τῆς γυναικὸς Ὑρκανὸν ἐκ Πάρθων
πρὸς αὐτὸν ἐλθόντα δι' ὑπόνοιαν ἐπιβουλῆς ἀνεῖλεν, ὃν ἡμιαλωτί-

§ 433 cf. Ant. Iud. XV 14; 164.

PAMLVRCLatHegesippus I 36 p. 64 ExcPeiresc.

1—5 Ὅτι ἡρώδης ὁ βασιλεὺς ἰουδαίων ἀνάλογον τῇι ψυχῇι καὶ τὸ σῶμα ἔσχεν· ἦν γὰρ κυνηγέτης καὶ πολεμιστὴς ἀνυπόστατος incip. Exc *κυνηγέτης — 3 ἐπετύγχανεν*] *cumque summus uenator esset, in hoc tamen ipso equitandi peritia quae cuperet assequebatur* Lat 2 *μὲν*] *μὲν γὰρ* PA *ἐμπειρίας* PAM et ex corr. L 3 *μ̄* PA 4 *συο·τρόφος* V *δ'*] *δὲ* LVR 5 *ὀνάγρων*] *ὄνων ἀγρίων* LVRC *onagris* Lat *δὲ* LVRC 6 *κἀν*] *καὶ* C¹ *τοῖς γυμνασίοις* V *ταῖς γυμνασίαις* C *τ'* Exc *εὐθυβολώτατον* PAMExc 7 *τοξώτην* L *εὐστοχότατον* AM 8 *τοῖς* om. MExc *δεξιᾷ̄ καὶ τύχῃ* tr. LVRC *δεξιᾷ̄ τῇι τύχῃ* Exc 9 *σπανίως* VC *σπανίωσ· ·* (litt. erasarum posterior fuit *ν*) L *σπανίωσ ὧν* R 10 *ἢ*] *ἡ* Exc *προδοσίᾳ*] *proditione* Lat *προπέτεια* L²RCExc *temeritate* Lat 11 i. marg. *λθ'* V *ὑπαί·θρους* A 12 *κακοδαιμονᾶν* (*ᾶ* i. ras. Lips) R Lips *καδαιμονᾶν* C 13 *ἐπειδὴ*] *ἐπεὶ* LVRC *ἐπειδὴ — 17 ἄφιξιν* breuiat Exc 14 *ἦν* L *ἧν* V¹ *ἰδιώτης*] *ἰδιώτης ὢν* LVRC *γένος*] *γένος δ'* ex corr. A *ἣ γένος* VC 15 *δορὶς* P *dosis* LatHeg *μαριάμην* M 18 *τὸν — Δωρίδος*] *τὴν ἐκ δωρίδος τῆς προτέρας* Exc *δορίδος* P *doside* LatHeg 19 *μαριάμης* M *μαριάμνης* Exc *ἐφυγάδευε* V *ἀφεὶς*] *ἐφεὶς* Exc fort. recte 20 *πάππον, πά* s. A 21 *ἡμιαλώτιστο* AM

σατο μὲν Βαζαφράνης καταδραμὼν Συρίαν, ἐξῃτήσαντο δὲ κατὰ
434 οἶκτον οἱ ὑπὲρ Εὐφράτην ὁμοεθνεῖς. καὶ εἴ γε τούτοις ἐπείσθη
παραινοῦσιν μὴ διαβῆναι πρὸς Ἡρώδην, οὐκ ἂν παραπώλετο· δέλεαρ
δ' αὐτῷ θανάτου τῆς νίωνῆς ὁ γάμος κατέστη· τούτῳ γὰρ πεποι-
θὼς καὶ περισσόν τι τῆς πατρίδος ἐφιέμενος ἦκεν. παρώξυνεν δὲ 5
Ἡρώδην οὐκ αὐτὸς ἀντιποιούμενος βασιλείας, ἀλλ' ἐπεὶ τὸ βασι-
λεύειν ἐπέβαλλεν αὐτῷ.

435 2. Τῶν δὲ ἐκ Μαριάμμης πέντε τέκνων γενομένων δύο μὲν
θυγατέρες, τρεῖς δ' ἦσαν υἱεῖς. καὶ τούτων ὁ νεώτατος μὲν ἐν
Ῥώμῃ παιδευόμενος τελευτᾷ, δύο δὲ τοὺς πρεσβυτάτους βασιλικῶς 10
ἦγεν διά τε τὴν μητρῴαν εὐγένειαν καὶ ὅτι βασιλεύοντι γεγό-
436 νεισαν αὐτῷ. τὸ δὲ τούτων ἰσχυρότερον ὁ Μαριάμμης ἔρως συνήργει
καθ' ἡμέραν ἐκκαίων Ἡρώδην λαβρότερος, ὡς μηδενὸς τῶν διὰ τὴν
στεργομένην λυπηρῶν αἰσθάνεσθαι· τοσοῦτον γὰρ ἦν μῖσος εἰς
437 αὐτὸν τῆς Μαριάμμης, ὅσος ἐκείνου πρὸς αὐτὴν ἔρως. ἔχουσα δὲ 15
τὴν μὲν ἀπέχθειαν ἐκ τῶν πραγμάτων εὔλογον, τὴν δὲ παρρησίαν
ἐκ τοῦ φιλεῖσθαι, φανερῶς ὠνείδιζεν αὐτῷ τὰ κατὰ τὸν πάππον
Ὑρκανὸν καὶ τὸν ἀδελφὸν Ἰωνάθην· οὐδὲ γὰρ τούτου καίπερ ὄντος
παιδὸς ἐφείσατο, δοὺς μὲν αὐτῷ τὴν ἀρχιερωσύνην ἑπτακαιδεκάετει,
μετὰ δὲ τὴν τιμὴν κτείνας εὐθέως, ἐπειδὴ τὴν ἱερὰν ἐσθῆτα λαβόντι 20
καὶ τῷ βωμῷ προσελθόντι καθ' ἑορτὴν ἄθρουν ἐπεδάκρυσεν τὸ
πλῆθος. πέμπεται μὲν οὖν ὁ παῖς διὰ νυκτὸς εἰς Ἰεριχοῦντα, ἐκεῖ

§ 433 = Ant. Iud. XV 164; § 437 cf. Ant. Iud. XV 31 sq.

PAMLVRCLatHegesippus I 36 p. 64 sq. ExcPeiresc.

1 *Βαζαφράνης*] PAExc *βαρζαφάνησ* MLVRC *barzafanes* Lat *barzafranes* Heg *κατὰ*] PAMExc *κατ'* LVRC 2 *οἱ* om. R¹ *εἴ* i. ras. m. 2 V 4 *δὲ* LVRC *κατέστη*] finiunt Exc 6 *οὐκ αὐτὸς*, *κ* i. ras. et *ὸσ* corr. ex *οῦ* m. 2 L *οὐχ ἑαυτοῦ* R *οὐχ ἑαυτοῦ*, *οῦ* suppletum V *ἐπεὶ*] *ἐπειδὴ* LVRC 7 *ἐπέβαλεν* A¹ 8 *μαριάμησ* M *τέκνων*] *τέκνων αὐτῶ* LVRC et fort. Lat 9 *δὲ* MLVRC 10 *πρεσβυτέρουσ* LVRC 11 *βασιλεύονται* ut uid. V¹ *ἐγεγόνεισαν* PAM *γεγόνασιν* et i. marg. *γεγόνεισαν* L 12 *τούτω* L¹ *ἰσχυρώτερον* PA¹ *ἰσχυρὸν* M *μαριάμησ* M *μαριάμησ* V 13 *ἐκκαίων*] ex *ἐκκαῖον* corr. A *ἐκηαίων* sic R *λαυρότεροσ* M *λαβρότερον* Vossianus teste Hauerkampo *λαβροτέρως* Spanheim 14 *γὰρ*] *δὲ* LVRC *namque* Lat 15 *μαριάμησ* M *ὅσον* PLVLips 16 *εὔλογον*, *λογον* i. ras. 6 fere litt. A 17 *ὀνείδιζεν* P *αὐτῶ*, *ῶ* corr. ex *ὸν* aut *οῦ* A *αὐτὸν* P 18 *Ἰωνάθην*] PAMLLipsLatHeg *ἀριστόβουλον* C *ἀριστόβουλον ἰωνάθην* VR *γρ ἀριστόβουλον* i. marg. Lips 19 *ἑπτακαιδεκαετῆ* PA¹ *ἑπτακαίδεκα ἔτη* LV et ex corr. A *ἑπτακαιδεκέτει* ex corr. Lips 20 *ἐπειδὴ*] *ἐπὶ* C¹ *ἐπεὶ* C² 21 *ἄθροῦν* LR *ἀθροῦν* V 22 *νοικτὸσ* R *hiericho* (acc.) Heg

δὲ κατ' ἐντολὴν ὑπὸ τῶν Γαλατῶν βαπτιζόμενος ἐν κολυμβήθρᾳ τελευτᾷ.

3. Διὰ ταῦθ' Ἡρώδην μὲν ὠνείδιζεν ἡ Μαριάμμη, καὶ τὴν 438
ἀδελφὴν αὐτοῦ καὶ τὴν μητέρα δειναῖς ἐξύβριζεν λοιδορίαις. ἀλλ'
ὁ μὲν λεφίμοτο τοῖς ἐμέροις, δεινὴ δὲ τὰς γυναῖκας ἀγανάκτησις
εἰσῄει, καὶ πρὸς ὃ μάλιστα κινήσειν τὸν Ἡρώδην ἔμελλον, εἰς
μοιχείαν διέβαλλον αὐτήν. ἄλλα τε πολλὰ πρὸς τὸ πιθανὸν ἐνσκευα- 439
ζόμεναι καὶ κατηγοροῦσαι διότι τὴν εἰκόνα τὴν ἑαυτῆς πέμψειεν
εἰς Αἴγυπτον Ἀντωνίῳ καὶ δι' ὑπερβολὴν ἀσελγείας ἀποῦσαν δεί-
ξειεν ἑαυτὴν ἀνθρώπῳ γυναικομανοῦντι καὶ βιάζεσθαι δυναμένῳ.
τοῦθ' ὥσπερ σκηπτὸς ἐμπεσὼν ἐτάραξεν Ἡρώδην, μάλιστα μὲν διὰ 440
τὸν ἔρωτα ζηλοτύπως ἔχοντα, λογιζόμενον δὲ καὶ τὴν Κλεοπάτρας
δεινότητα, δι' ἣν Λυσανίας τε ὁ βασιλεὺς ἀνῄρητο καὶ Μάλχος ὁ
Ἄραψ· οὐ γὰρ ἀφαιρέσει γαμετῆς ἐμέτρει τὸν κίνδυνον, ἀλλὰ
θανάτῳ.

4. Μέλλων οὖν ἀποδημήσειν Ἰωσήπῳ τῷ ἀνδρὶ Σαλώμης τῆς 441
ἀδελφῆς αὐτοῦ, πιστὸς δὲ ἦν καὶ διὰ τὸ κῆδος εὔνους, παρατίθεται
τὴν γυναῖκα, κρύφα δοὺς ἐντολὰς ἀναιρεῖν αὐτήν, εἰ κἀκεῖνον Ἀντώ-
νιος. ὁ δὲ Ἰώσηπος, οὔτι κακοήθως, ἀλλὰ τὸν ἔρωτα τοῦ βασιλέως
παραστῆσαι τῇ γυναικὶ βουλόμενος, ὡς οὐδὲ ἀποθανὼν αὐτῆς ὑπο-
μένοι διαζευχθῆναι, τὸ ἀπόρρητον ἐκφαίνει. κἀκείνη πρὸς ἑπανή- 442
κοντα τὸν Ἡρώδην πολλά τε περὶ τοῦ πρὸς αὐτὴν συμπαθοῦς ἐν
ταῖς ὁμιλίαις ἐπομνύμενον, ὡς οὐδ' ἐρασθείη ποτὲ γυναικὸς ἄλλης,
„πάνυ γοῦν, εἶπεν, ταῖς πρὸς τὸν Ἰώσηπον ἐντολαῖς ἐπεδείξω τὸν
πρὸς ἡμᾶς ἔρωτα κτεῖναί με προστάξας."

§ 438 = Ant. Iud. XV 26.

PAMLVRC Lat Hegesippus I 37 p. 66 sq.

3 ταῦτα LVRC *μὲν*] τε LVRC *igitur* Lat ὀνείδιζεν P μαριάμη M 4 λοιδωρίαισ L λυδορίαισ V^1 6 πρὸς — 7 αὐτήν *et quo maxime commoueretur herodes insimulabant eam adulterii* Lat πρὸσ ἃ M Ἡρώδην] ἡρώδην ὑπελάμβανε (ὑπελάμβανε deletum) C ἔμελλεν PAM 9 δείξειεν] *properauisset ostendere* Lat 10 αὐτὴν LV 11 τοῦθ'] ταῦθ' AM τοῦτο LVRC σκηπτὸς] *fulmen aliquod* Lat 12 λογιζόμενοσ PA^1M *cogitantem* Lat καὶ τὴν om. L 13 *malichus* Lat 16 ἀποδημεῖν LVRC ἰώσηποσ C^1 *iosippo* Lat hic et infra *ioseppo* ut uid. Heg 18 εἰ om. L^1 19 οὔτι] οὔτε PAM *non* Lat κακόηθοσ V 21 ἐκφαίνει] ἐκφέρει LVRC *aperit* Lat *exprimit* Heg προσεπανήκοντα PAMLVR 22 περὶ om. P ἐν ταῖς ὁμιλίαις i. marg. suppl. P 23 ἐπομνυμένον P fort. recte ὡς] καὶ ὡσ C *quodque* Lat οὐδὲ LVRC 24 πρὸσ ἰώσηπον AMLVRC ἐπεδείξωι V 25 πρὸς ἡμᾶς] εἰσ ἡμᾶσ I RC

443 5. Ἔκφρων εὐθέως ἀκούσας τὸ ἀπόρρητον ἦν, καὶ οὐκ ἄν ποτε τὸν Ἰώσηπτον ἐξαγγεῖλαι τὴν ἐντολὴν φάμενος εἰ μὴ διαφθείρειεν αὐτήν, ἐνθουσία τῷ πάθει καὶ τῆς κοίτης ἐξαλλόμενος ἀνέδην ἐν τοῖς βασιλείοις ἀνειλεῖτο. καὶ τοῦτον Σαλώμη ἡ ἀδελφὴ τὸν καιρὸν εἰς τὰς διαβολὰς ἁρπάσασα τὴν εἰς τὸν Ἰώσηπτον ἐπεβεβαίωσεν ὑποψίαν. ὁ δ' ὑπ' ἀκράτου ζηλοτυπίας ἐκμανεὶς παραχρῆμα κτεί-
444 νειν προσέταξεν ἀμφοτέρους. μετάνοια δ' εὐθέως εἵπετο τῷ πάθει, καὶ τοῦ θυμοῦ πεσόντος ὁ ἔρως πάλιν ἀνεζωπυρεῖτο. τοσαύτη δ' ἦν φλεγμονὴ τῆς ἐπιθυμίας ὡς μηδὲ τεθνάναι δοκεῖν αὐτήν, ὑπὸ δὲ κακώσεως ὡς ζώσῃ προσλαλεῖν, μέχρι τῷ χρόνῳ διδαχθεὶς τὸ πένθος ἀνάλογον τὴν λύπην ἔσχεν τῇ πρὸς περιοῦσαν διαθέσει.

445 XXIII. 1. Κληρονομοῦσι δὲ τῆς μητρῴας οἱ παῖδες ὀργῆς καὶ τοῦ μύσους ἔννοιαν λαμβάνοντες ὡς πολέμιον ὑφεώρων τὸν πατέρα, καὶ τὸ πρότερον μὲν ἐπὶ Ῥώμης παιδευόμενοι, πλέον δ' ὡς εἰς Ἰουδαίαν ὑπέστρεψαν· συνηνδροῦτο δ' αὐτῶν ταῖς ἡλικίαις ἡ διά-
446 θεσις. καὶ ἐπειδὴ γάμων ἔχοντες ὥραν ὁ μὲν τῆς τηθίδος Σαλώμης, ἡ τῆς μητρὸς αὐτῶν κατηγόρησεν, ὁ δ' ἔγημεν Ἀρχελάου τοῦ Καππαδόκων βασιλέως θυγατέρα, προσελάμβανον ἤδη τῷ μίσει καὶ
447 παρρησίαν. ἐκ δὲ τοῦ θράσους αὐτῶν ἀφορμὰς οἱ διαβάλλοντες ἐλάμβανον, καὶ φανερώτερον ἤδη τῷ βασιλεῖ διελέγοντό τινες ὡς ἐπιβουλεύοιτο μὲν ὑπ' ἀμφοτέρων τῶν υἱῶν, ὁ δὲ Ἀρχελάῳ κηδεύσας καὶ φυγὴν παρασκευάζοιτο τῷ πενθερῷ πεποιθώς, ἵν' ἐπὶ

---

§ 443 = Ant. Iud. XV 84. 209 sq.; § 445 = Ant. Iud. XVI 6; § 447 = Ant. Iud. XVI 73.

PAMLVRC Lat Hegesippus I 37 p. 70 sq.

1 ἔκφρων δ' V ἀπόρρητον] ἄπορον V 2 ἐξαγγείλε V 3 ἐξαλόμενος Destinon ἀνέδην] ἀναίδην LR ἀναιδῆν V, om. Lat ἐν om. P 4 ἀνείλετο P ἀνήλατο, litt. ή et ατο i. ras. A ἀνειλατο L *spatiatur* Lat καὶ τοῦτον] κἀν τούτῳ LVRCLat 5 ἀπεβεβαίωσεν M ἐβεβαίωσεν LVRC 6 δὲ LVRC ζηλωτυπίασ PA post ἐκμανεὶς lacunam statuit Aldrich 7 δὲ LV εὐθέως] *deinde* Lat 8 ἀνεζοπυρεῖτο V¹ δὲ LVRC 9 φλεγμονῆι V¹ ὑπὸ — 10 κακώσεως] *prae aegritudine* Lat *in excessu mentis positus* Heg 10 καρώσεως Destinon μέχρι — 11 διαθέσει] *donec processu temporis funere cognito maeroris magnitudine quam superstitem dilexerat aequauit affectum* Lat 11 πένθος] πάθοσ, α i. ras. 2 litt. m. 2 R περιοῦσαν] Hudson ex Voss. et Lat περιουσίαν PAMLRCLips περιουσία V, γρ τῆι περιούσηι | θεσει i. marg. Lips 13 ἔνοιαν A ὑφ' ἑώρων PA¹ 14 καὶ τὸ πρότερον] καὶ πρότερον V *idque antea* Lat δὲ LVRC 15 συνηνδροῦτο] PALatHeg συνήνδρουτο M συνήνδρωτο LVRC δὲ LV 16 καὶ ἐπειδὴ] ἐπεὶ δὲ LVRC τητθίδοσ R² τιτθίδοσ V 17 ἡ] ἥ P ἤ VC δὲ LVRC 18 καππαδοκῶν codd. 21 ὑπὸ LV τῶν om. V 22 φυγεῖν MP φεύγειν LVRC *fugam* Lat ἵνα LVRC

Καίσαρος αὐτοῦ κατηγορήσειεν. ἀναπλησθεὶς δὲ τῶν διαβολῶν 448
Ἡρώδης ὥσπερ ἐπιτείχισμα τοῖς υἱοῖς κατάγει τὸν ἐκ τῆς Δωρίδος
Ἀντίπατρον καὶ πάντα τρόπον προτιμᾶν ἄρχεται.

2. *Τοῖς δ' ἀφόρητος ἦν ἡ μεταβολή, καὶ τὸν ἐξ ἰδιώτιδος* 449
μητρὸς ὁρῶντες προκόπτοντα διὰ τὴν ἑαυτῶν εὐγένειαν οὐκ ἐκρά-
τουν τῆς ἀγανακτήσεως, ἐφ' ἑκάστου δὲ τῶν ἀνιαρῶν τὴν ὀργὴν
ἐξέφαινον, ὥσθ' οἱ μὲν καθ' ἡμέραν προσίσταντο μᾶλλον, ὁ δ' 450
Ἀντίπατρος ἤδη καὶ δι' αὐτὸν ἐσπουδάζετο, δεινότατος μὲν ὢν ἐν
ταῖς πρὸς τὸν πατέρα κολακείαις, διαβολὰς δὲ κατὰ τῶν ἀδελφῶν
ποικίλας ἐνσκευαζόμενος καὶ τὰ μὲν αὐτὸς λογοποιῶν, τὰ δὲ τοὺς
ἐπιτηδείους ψιμίζειν καθιείς, μέχρι παντάπασιν τοὺς ἀδελφοὺς
ἀπέρριξεν τῆς βασιλικῆς ἐλπίδος· καὶ γὰρ ἐν ταῖς διαθήκαις καὶ 451
φανερῶς αὐτὸς ἦν ἤδη διάδοχος· ὡς βασιλεὺς γοῦν ἐπέμφθη καὶ
πρὸς Καίσαρα τῷ τε κόσμῳ καὶ ταῖς ἄλλαις θεραπείαις πλὴν δια-
δήματος χρώμενος. χρόνῳ δ' ἐξίσχυσεν εἰσαγαγεῖν ἐπὶ τὴν Μαριάμ-
μης κοίτην τὴν μητέρα. δυσὶ δ' ὅπλοις κατὰ τῶν ἀδελφῶν χρώ-
μενος, κολακείᾳ καὶ διαβολῇ, τὸν βασιλέα καὶ περὶ θανάτου τῶν
υἱῶν ὑπεργάσατο.

3. *Τὸν γοῦν Ἀλέξανδρον σύρας μέχρι Ῥώμης ὁ πατὴρ τῆς ἐφ'* 452
ἑαυτῷ φαρμακείας ἔκρινεν ἐπὶ Καίσαρος. ὁ δ' εὑρὼν μόλις ὀλο-
φυρμοῦ παρρησίαν καὶ δικαστὴν ἐμπειρότατον Ἀντιπάτρου καὶ
Ἡρώδου φρονιμώτερον, τὰ μὲν ἁμαρτήματα τοῦ πατρὸς αἰδημόνως
ὑπεστείλατο, τὰς δ' αὐτοῦ διαβολὰς ἰσχυρῶς ἀπελύσατο. καθαρὸν 453

---

§ 448 = Ant. Iud. XVI 28; § 450 = Ant. Iud. XVI 81; § 452 = Ant. Iud. XVI 90.

PAMLVRC Lat Hegesippus I 38 p. 72 sq.

1 *κατηγορήση* LR *κατηγορήσει* C *κατηγορήσῃ, ηι* i. ras. m. 2 V 2 *τὸν*] *τῶν* L¹R *δορίδος* P *doside* LatHeg 4 *δὲ* LVRC *ἰδιώτιδος, ω* ex *ο* corr., *τ* i. ras., *ι* ex *η*, *δο* i. ras. m. 2 L *ἰδιότιδος* R 5 *ἑαυτῶν*] *αὐτῶν* LVRC 6 *ἑκάστου*] *ἕκαστον* PAMV *in singulis* (*quibus offenderentur*) Lat *ἑκάστων* Destinon 7 *ὥσθ'*] cum Bekkero Destinon *ὡς δ'* PAM *ὡσ δὲ* LVRC *et* Lat *προίσταντο* PL¹VR *neglegebantur* Lat *δὲ* LVRC 8 *δι'* om. C *αὐτὸν*] *αὐτὸ* LVR *sui* Lat *ἐσποδάζετο* C 9 *διαβολὰς, ὰσ* ex *αῖσ* corr. V 10 *ποικίλας κατὰ τῶν ἀδελφῶν* tr. V 12 *ἀπέρριξεν*] *ἀπέρρυξε* L¹ *ἀπέρραξε* R *ἀπέρρη* C¹ 13 *γοῦν* om. C *ἐπέφθη* C¹ 15 *δὲ* LVRC *ἐπὶ τὴν*] *ἐπὶ τῆσ* M *μαριάμησ* M 16 *δὲ* LVRC 17 *διαβολῇ* L 18 *ὑπειργάσαντο* A¹ 19 *ἀλέξανδρον, ον* ex *αν* corr. V 20 *δὲ* LVRC 21 *ἐμπειρότερον* ed. pr. *καὶ* — 22 *φρονιμώτερον*] *licet apud imperitissimum iudicem tamen antipatro et herode prudentiorem* Lat 22 *αἰδημόνως*] *αἰδούμενος* PAL² *uerecunde* Lat 23 *δὲ* LVRC *ἀπελύσατο*] Naber *ἀπεδύσατο* codd. *diluit* Lat

δὲ καὶ τὸν ἀδελφὸν ἀποδείξας κοινωνοῦντα τῶν κινδύνων, οὕτως
ἤδη τά τε Ἀντιπάτρου πανοῦργον καὶ τὴν αὐτῶν ἀτιμίαν ἀπω-
δύρετο. συνήργει δ' αὐτῷ μετὰ καθαροῦ τοῦ συνειδότος ἡ περὶ
454 λόγους ἰσχύς· ἦν γὰρ δὴ δεινότατος εἰπεῖν. καὶ τὸ τελευταῖον
φάμενος ὡς τῷ πατρὶ κτείνειν αὐτοὺς ἔστιν † ἤδὺ καὶ προτίθεται
τὸ ἔγκλημα, προήγαγεν μὲν εἰς δάκρυα πάντας, τὸν δὲ Καίσαρα
διέθηκεν οὕτως ὡς ἀπογνῶναι μὲν αὐτῶν τὰ κατηγορημένα, διαλ-
λάξαι δὲ Ἡρώδην εὐθέως. αἱ διαλλαγαὶ δ' ἐπὶ τούτοις ἦσαν, ὥστε
ἐκείνους μὲν τῷ πατρὶ πάντα πειθαρχεῖν, τὸν δὲ τὴν βασιλείαν
καταλιπεῖν ᾧ βούλεται.
455 4. Μετὰ ταῦτα δ' ἀπὸ Ῥώμης ὑπέστρεφεν ὁ βασιλεύς, τῶν
μὲν ἐγκλημάτων ἀφιέναι τοὺς υἱοὺς δοκῶν, τῆς δ' ὑπονοίας οὐκ
ἀπηλλαγμένος· παρηκολούθει γὰρ Ἀντίπατρος ἡ τοῦ μίσους ὑπό-
θεσις. ἀλλ' εἴς γε τὸ φανερὸν τὴν ἀπέχθειαν οὐκ ἐξέφερεν τὸν
456 διαλλακτὴν αἰδούμενος. ὡς δὲ τὴν Κιλικίαν παραπλέων κατῆρεν
εἰς Ἐλεοῦσαν, ἑστιᾷ μὲν αὐτὸν φιλοφρόνως Ἀρχέλαος ὑπὲρ τῆς τοῦ
γαμβροῦ σωτηρίας εὐχαριστῶν καὶ ταῖς διαλλαγαῖς ἐφηδόμενος, ὡς
ἂν καὶ τάχιον γεγραφὼς τοῖς ἐπὶ Ῥώμης φίλοις συλλαμβάνεσθαι
περὶ τὴν δίκην Ἀλεξάνδρῳ· προπέμπει δὲ μέχρι Ζεφυρίου δῶρα
δοὺς μέχρι τριάκοντα ταλάντων.
457 5. Ὡς δ' εἰς Ἱεροσόλυμα Ἡρώδης ἀφικνεῖται, συναγαγὼν τὸν
λαὸν καὶ τοὺς τρεῖς υἱοὺς παραστησάμενος ἀπελογεῖτο περὶ τῆς

§ 453 = Ant. Iud. XVI 104; § 454 = Ant. Iud. XVI 129.

PAMLVRC Lat Hegesippus I 38 p. 74.

2 *τό τε πανοῦργον τὸ* (corr. ex *τοῦ*) *ἀντιπάτρου καὶ* M *αὐτῶν* Bekker *ἀποδύρετο* V^1R^1 3 *συνήργει* L *δὲ* LVRC *τοῦ* om. PAM 5 *φάμενος* — 6 *προήγαγεν*] *prolocutus quod eos pater libenter occideret auxit facinus et* — *excussit* Lat *deplorabat necem sibi inrogari, quam pater eo usque expetat, ut crimen adiciat flagitium adiungat* Heg *ἤδὺ καὶ*] PAML^2 *ἡδὺ* L^1VRC *εἰ δὲ καὶ* Aldrich *εἰ δὴ μὴ* Spanheim *ἡδὺ μὴ καὶ* Hauerkamp *εἰ δίκαιον* Destinon *προστίθεται* MVR, utrum *προστίθεται* an *προτίθεται* dubium Lips *πείθεται* Naber 6 *προήγαγεν*] *καὶ προήγαγε* C et fort. Lat 7 *αὐτὸν* VC^1 8 *δὲ* LVRC 10 *ᾧ*] PAMLVC Lips Lat *ὡσ* R 11 *δὲ* LVRC 12 *ἀφιέναι*] *ἀφηκέναι* V^1R *ἀφεικέναι* V^2C^2 *ἀφικέναι* C^1 *soluisse* Lat *τοὺς*] *τοῖσ* C *υἱεῖσ* LVRC *δὲ* LVRC 13 *ἀπηλαγμένοσ* C^1 *παρηκολούθη* V *γὰρ*] *δὲ* ed. pr. 15 *διαλακτὴν* C^1 16 *εἰς Ἐλεοῦσαν*] LVRC Lips *εἰσ καππαδοκίαν ἐλοῦσαν* PA *εἰσ τὴν ἐν καππαδοκία ἐλεοῦσαν* M *eleusam* Lat *eliusam* Heg *γρ εἰσ σελεύκειαν* i. marg. Lips *ἑστιᾷ μὲν αὐτὸν*] PAMLat *εἱστία μὲν αὐτοὺσ* LVRC 17 *γαμβροῦ, β* i. ras. 2 litt. A 18 *ἂν, α* i. ras. m. 2 V *ἐπὶ Ῥώμης* i. marg. suppl. C 19 *τῆσ δίκησ* C *μέχρι* s. m. 2 V 20 *μέχρι* om. LatHeg 21 *δὲ* LVRC 22 *υἱεῖσ* LRC

ἀποδημίας, καὶ πολλὰ μὲν εὐχαρίστει τῷ Θεῷ, πολλὰ δὲ Καίσαρι καταστησαμένῳ τὸν οἶκον αὐτοῦ τεταραγμένον καὶ μεῖζόν τι τοῖς υἱοῖς βασιλείας παρασχόντι τὴν ὁμόνοιαν. ἦν αὐτός, ἔφη, συναρ- 458
μόσω μᾶλλον· ὁ μὲν γὰρ ἐμὲ κύριον τῆς ἀρχῆς καὶ δικαστὴν διαδόχου κατέστησεν, ἐγὼ δὲ μετὰ τοῦ συμφέροντος ἐμαυτῷ κἀκεῖνον ἀμείβομαι. τούσδε τοὺς τρεῖς παῖδας ἀποδείκνυμι βασιλεῖς, καὶ τῆς γνώμης πρῶτον τὸν Θεὸν σύμψηφον, ἔπειτα καὶ ὑμᾶς παρακαλῶ γενέσθαι. τῷ μὲν γὰρ ἡλικία, τοῖς δ' εὐγένεια τὴν διαδοχὴν προξενεῖ, τό γε μὴν μέγεθος τῆς βασιλείας ἀρκεῖ καὶ πλείοσιν. οὓς δὲ Καῖσαρ μὲν ἔγνωσεν, καθίστησιν δὲ πατήρ, ὑμεῖς τιμήσατε 459
μήτε ἀδίκους μήτε ἀνωμάλους τὰς τιμὰς διδόντες, ἑκάστῳ δὲ κατὰ τὸ πρεσβεῖον· οὐ γὰρ τοσοῦτον εὐφρανεῖ τις τὸν παρ' ἡλικίαν θεραπευόμενον, ὅσον ἀδυνήσει τὸν ἀτιμούμενον. οὓς γε μὴν ἑκάστῳ 460
συνεῖναι δεήσει συγγενεῖς καὶ φίλους, ἐγὼ διανεμῶ καὶ τῆς ὁμονοίας ἐγγυητὰς ἐκείνους καταστήσομαι, σαφῶς ἐπιστάμενος ὅτι τὰς στάσεις καὶ τὰς φιλονεικίας γεννῶσιν αἱ τῶν συνδιατριβόντων κακοήθειαι, κἂν ὦσιν οὗτοι χρηστοί, τηροῦσιν τὰς στοργάς. ἀξιῶ δ' οὐ 461
μόνον τούτους ἀλλὰ καὶ τοὺς ἐν τῇ στρατιᾷ μου ταξιάρχους ἐν ἐμοὶ μόνον τὰς ἐλπίδας ἔχειν ἐπὶ τοῦ παρόντος· οὐ γὰρ βασιλείαν, ἀλλὰ τιμὴν βασιλείας τοῖς υἱοῖς παραδίδωμι. καὶ τῶν μὲν ἡδέων ὡς ἄρχοντες ἀπολαύσουσιν, τὸ βάρος δὲ τῶν πραγμάτων ἐμόν ἐστιν, κἂν μὴ θέλω. σκεπτέσθω δ' ἕκαστος τήν τε ἡλικίαν μου καὶ τὴν 462
ἀγωγὴν τοῦ βίου καὶ τὴν εὐσέβειαν· οὔτε γὰρ οὕτως εἰμὶ γέρων ὥστ' ἂν ἀπελπισθῆναι ταχέως, οὔτε εἰς τρυφὴν ἐκδιαιτώμενος, ἣ καὶ νέους ἐπιτέμνεται· τὸ δὲ θεῖον οὕτως τεθεραπεύκαμεν ὥστ'

§ 457 = Ant. Iud. XVI 132.

PAMLVRCLatHegesippus I 39 p. 74.

1 *ηὐχαρίστει* C 3 *βασιλείας παρασχόντι*] *παρασχόντι τῆσ βασιλείασ* LVRC 4 *κύριον ἐμὲ* tr. LVRC 5 *διαδόχου*] *τοῦ διαδόχου* VRC *successorum* ut uid. Lat, spurium putat Destinon 6 *ἀμειβόμενος* cum cod. Voss. Hauerkamp *βασιλέασ* LVRC 8 *ἡλικία*, post *α* eras. uid. 1 litt. A *ἡλικίαι* V *δὲ* LVRC *εὐγενεία·*, eras. *ι* L 10 *ἤνωσεν* PA¹ *καθήστησι* V¹ 12 *τὸ* om. ALVRC 13 *ἀδικούμενον*, i. marg. *γρ ἀτιμούμενον* A post *μὴν* ras. 4—5 litt. A 14 *δεήσει·*, eras. *ν* A *συγγενεῖσ*, litt. *γγενεῖσ* i. ras. A *διανεμῶι* V 15 *ἐκείνουσ ἐγγυητὰσ* tr. LVRC 16 *συντριβόντων* C¹ 17 *ἀξιῶι* V *δ'*] *δὲ* LVR, om. C 18 *ταξιάρχουσ, ου* i. ras. A 19 *μόνω* VR 21 *ἀπολαύσωσιν* P *ἀπολαύσουσιν, ου* i. ras. A *ἀπολαύουσι* M *potientur* Lat 22 *σκεπτέστω* A *δὲ* LVRC 23 *καὶ*] *nec non etiam* Lat 24 *ὥστε* LVRC 25 *δὲ*] PAMLat *τε* LVRC *οὕτω* LVRC *ὥστ'*] *ὡσ* P *ὥστε* LVRC

463 ἂν ἐπὶ μήκιστον βίου προελθεῖν. ὁ δὴ τοὺς ἐμοὺς παῖδας θερα-
πεύων ἐπὶ τῇ ἐμῇ καταλύσει δώσει μοι καὶ περὶ ἐκείνων δίκας·
οὐ γὰρ ἐγὼ φθονῶν τοῖς ἐξ ἐμοῦ γεγενημένοις ἀνακόπτω τὴν εἰς
αὐτοὺς φιλοτιμίαν, ἐπιστάμενος δὲ τοῖς νέοις γίνεσθαι τὰς σπουδὰς
464 θράσους ἐφόδιον. εἴ γε μὴν ἕκαστος ἐνθυμηθείη τῶν προσιόντων, 5
ὅτι χρηστὸς μὲν ὢν παρ' ἐμοῦ λήψεται τὴν ἀμοιβήν, στασιάζων δὲ
καὶ παρὰ τῷ θεραπευομένῳ τὸ κακόηθες ἀνόνητον ἕξει, πάντας οἶμαι
τὰ ἐμὰ φρονήσειν, τουτέστιν τὰ τῶν ἐμῶν υἱῶν· καὶ γὰρ τούτοις
465 συμφέρει κρατεῖν ἐμὲ κἀμοὶ τούτους ὁμονοεῖν. ὑμεῖς δέ, ὦ παῖδες
ἀγαθοί, πρῶτον μὲν ἐνθυμούμενοι τὴν ἱερὰν φύσιν, ἧς καὶ παρὰ 10
θηρίοις αἱ στοργαὶ μένουσιν, ἔπειτα τὸν ποιησάμενον ἡμῶν τὰς
διαλλαγὰς Καίσαρα, τρίτον ἐμὲ τὸν ἐν οἷς ἔξεστιν ἐπιτάσσειν παρα-
καλοῦντα, μείνατε ἀδελφοί. δίδωμι δὲ ὑμῖν ἐσθῆτα ἤδη καὶ θερα-
πείαν βασιλικήν· ἐπεύχομαι δὲ καὶ τῷ θεῷ τηρῆσαι τὴν ἐμὴν
466 κρίσιν, ἂν ὁμονοῆτε." ταῦτ' εἰπὼν καὶ φιλοφρόνως ἕκαστον τῶν 15
υἱῶν κατασπασάμενος διέλυσεν τὸ πλῆθος, τοὺς μὲν συνευχομένους
τοῖς εἰρημένοις, ὅσοι δ' ἐπεθύμουν μεταβολῆς, μηδ' ἀκηκοέναι προσ-
ποιουμένους.

467 XXIV. 1. Συναπῆει δὲ τοῖς ἀδελφοῖς ἡ στάσις, καὶ χείρους
τὰς ἐπ' ἀλλήλοις ὑπονοίας ἔχοντες ἀπηλλάγησαν. Ἀλέξανδρος μὲν 20
καὶ Ἀριστόβουλος ὀδυνώμενοι κεκρωμένου Ἀντιπάτρῳ τοῦ πρεσ-
βείου, Ἀντίπατρος δὲ καὶ τοῦ δευτερεύειν νεμεσῶν τοῖς ἀδελφοῖς.
468 ἀλλ' ὁ μὲν ποικιλώτατος ὢν τὸ ἦθος ἐχεμυθεῖν τε ἤδει καὶ πολλῷ

---

§ 463 = Ant. Iud. XVI 134; § 467 = Ant. Iud. XVI 188.

PAMLVRC Lat Hegesippus I 39 p. 76.

1 *βίου*] *βίον* V² *προελθεῖν*] PAMLVCLips *προελθῶν*, i. marg. *γρ καὶ προελθεῖν* R *δὴ*] *δὲ* (*ε* i. ras. m. 2 A) ALVRC 2 *δώσει* C¹ 3 *γεγεννημένοις* PAMVRC *ἀνακόπτωι* V 5 *ἕκαστον* C 6 *παρ' ἐμοῦ* post *ἀμοιβήν* tr. V 7 *ἀνόητον* L¹ 9 *κἀμοὶ τούτους*] ex corr. A *κἀμὲ τούτοις* PA¹MLVRCLat 10 *μὲν* om. R *ἧς* — 11 *μένουσιν* om. R, exhibet Lips *παρὰ*] *περὶ* V¹ 11 *ἡμῶν*, *ἡ* i. ras. m. 2 V *ἡμῶν ἁπ* Lips 12 *ἐμὲ* ex *μὲν* corr. V 13 *δίδωμι* V¹ *δὲ* damnat Destinon *ἐσθῆτά τε ἤδη* LRC 15 *ταῦτα* LVRC 16 *κατασπασάμενος τῶν υἱῶν* tr. LVRC *τῶν υἱῶν* om. Lat *τοὺς*] *τοῖς* C 17 *δὲ* LVRC *μηδὲ* LVRC 19 *συναπῆει*, *ἡ ει* i. ras. R *συναπείη* V 20 *ἐπαλλήλοις* P *ἐπαλλήλουσ* AM *alius de alio* Lat 21 *κεκρωμένον ἀντιπάτρω* (*ἀντιπάτρου* C) *τὸ πρεσβεῖον* L¹VRC 22 i. marg. *μα'* C *νεμέσων* P *νεμεσῶν*, *νε* i. ras. A *νεμεσσὼν* C *νεμεσῶν*, i. marg. *φθονῶν* V 23 i. marg. *μα'* V *τε*] suppl. P *ἤδει* ex *ἤδη* corr. AV

τῷ πανούργῳ τὸ πρὸς αὐτοὺς ἐκάλυπτε μῖσος, τοῖς δὲ δι' εὐγένειαν πᾶν τὸ νοηθὲν ἦν ἐπὶ γλώσσης· καὶ παροξύνοντες μὲν ἐνέκειντο πολλοί, πλείους δὲ τῶν φίλων παρεδύοντο κατάσκοποι. πᾶν 469
δὲ τὸ παρ' Ἀλεξάνδρῳ λαληθὲν εὐθέως ἦν παρ' Ἀντιπάτρῳ, καὶ
μετὰ προσθήκης μετέβαινεν ἀπὸ Ἀντιπάτρου πρὸς Ἡρῴδην· οὔτε
γὰρ ἁπλῶς φθεγξάμενος ὁ νεανίας ἀνυπεύθυνος ἦν, ἀλλὰ εἰς δια-
βολὴν τὸ ῥηθὲν ἐστρέφετο. καὶ μετρίως παρρησιασαμένου μέγιστα
τοῖς ἐλαχίστοις προσεπλάττετο. καθίει δ' Ἀντίπατρος ἀεὶ τοὺς 470
ἐρεθίσοντας, ὅπως αὐτῷ τὸ ψεῦδος ἔχοι τὰς ἀφορμὰς ἀληθεῖς·
καὶ τῶν φημιζομένων ἔν τι διελεγχθὲν ἅπασιν πίστιν ἐπετίθει.
καὶ τῶν μὲν αὐτοῦ φίλων ἥ φύσει στεγανώτατος ἦν ἕκαστος ἢ κατ-
εσκευάζετο δωρεαῖς ὡς μηδὲν ἐκφέρεσθαι τῶν ἀπορρήτων, καὶ τὸν
Ἀντιπάτρου βίον οὐκ ἂν ἁμαρτέν τις εἰπὼν κακίας μυστήριον·
τοὺς δὲ Ἀλεξάνδρῳ συνόντας χρήμασιν διαφθείρων ἢ κολακείαις
ἐπιὼν ἐς πάντα κατειργάσατο καὶ πεποιήκει προδότας καὶ τῶν πραττ-
ομένων ἢ λαλουμένων φῶρας. πάντα δὲ περιεσκεμμένως δραμα- 471
τουργῶν τὰς πρὸς Ἡρῴδην ὁδοὺς ταῖς διαβολαῖς ἐποιεῖτο τεχνι-
κωτάτας, αὐτὸς μὲν ἀδελφοῦ προσωπεῖον ἐπικείμενος, καθιεὶς δὲ
μηνυτὰς ἑτέρους. κἀπειδὰν ἀπαγγελθείη τι κατ' Ἀλεξάνδρου,
παρελθὼν ὑπεκρίνετο καὶ διασύρειν τὸ ῥηθὲν ἀρξάμενος ἔπειτα
κατεσκεύαζεν ἡσυχῇ καὶ πρὸς ἀγανάκτησιν ἐξεκαλεῖτο τὸν βασιλέα.

§ 471 = Ant. Iud. XVI 190.

PAMLVRCLatHegesippus I 40 p. 77.

1 *τῷ*] *τὸ* C¹ *πανούργῳ*] *πανούργω χρώμενος* LVRC 2 *ἦν* om. P 3 *πολλοί*] *πολὺ* P 4 *δὲ*] *itaque* Lat *δὴ* Destinon *τὸ*] *τῶ* P *τῶι* VR *παρ'*] *παρὰ* LV² et man. 1 Lips *περὶ* V¹ *Ἀλεξάνδρου* Herwerden *ἦν παρὰ* PLVR 5 *οὔτε γὰρ*] *οὔτε δὲ* (*δ'* C) LVRC *nec uel* Lat *οὐδὲ γὰρ* Destinon 6 *ἀλλ'* LVRC 7 *παρρησιασάμενον* V 8 *καθίη* V *δὲ* LVRC 9 *ἐρεθίσοντας*] PM et ex corr. A *ἐρεθίζοντασ* A¹LVRC *qui instigarent* Lat *αὐτῷ*] *αὐτὸ* A¹R 10 *καὶ*] *κἀκ* LVRC *καὶ — ἐπετίθει*] *multisque falso uulgatis unum quid comprobatum fidem omnibus faceret* Lat *ἓν* P¹A¹L *διαλεχθὲν* PA *ἐπετίθει, τι* i. ras. A 11 *στεγανώτατος*] i. marg. *στερρότατος* R 12 *δωρεὰν* L¹VR *τὸν* ex *τῶν* corr. A *καὶ* — 13 *μυστήριον* suspecta Destinoni 13 *ἥμαρτέν*] *ἁμάρτοι* LVRC 14 *δὲ*] *γὰρ* LVRC *uero* Lat *κολακίαισ* VR¹ 15 *ἐς*] *αἷσ* MLVRC *quibus* Lat *καὶ πεποιήκει*] *πεποιήκει* MLVRC Lat *τῶν* om. A 16 *δὲ*] *μὲν* V 19 *ἑτέρους*] *ἑταίρουσ* PA¹ *καὶ ἐπειδὰν* LVR *κἀπειδὴ* L. Dindorf *ἐτεὶ δ'* *αὖ* Destinon *ἀπαγγελθείη*] PAMLat *λεχθείη* LVRC fort. recte *κατὰ* AMLVR 20 *παρελθὼν*] *προελθὼν* L *τὸ ῥηθὲν*] *τὸν ῥηθὲν* (*ρ* corr. ex *ν*), i. marg. *γρ τὸ ῥηθὲν* m. 2 V 21 *ἀγανάκτησιν*, ut uid. *η* corr. ex *ι* A *ἐξεκαλεῖτο*] *ἐξῆγε* LVRC *prouocabat* Lat

472 πάντα δὲ εἰς ἐπιβουλὴν ἀνήγετο καὶ τὸ δοκεῖν τῇ σφαγῇ τοῦ πατρὸς ἐφεδρεύειν Ἀλέξανδρον· οὐδὲν γὰρ οὕτως πίστιν ἐχορήγει ταῖς διαβολαῖς, ὡς ἀπολογούμενος Ἀντίπατρος ὑπὲρ αὐτοῦ.

473 2. Τούτοις Ἡρώδης ἐξαγριούμενος ὅσον ὑφῆρει καθ' ἡμέραν τῆς πρὸς τὰ μειράκια στοργῆς, τοσοῦτον Ἀντιπάτρῳ προσετίθει. συναπέκλιναν δὲ καὶ τῶν κατὰ τὸ βασίλειον οἱ μὲν ἑκόντες οἱ δ' ἐξ ἐπιτάγματος, ὥσπερ Πτολεμαῖος ὁ τιμιώτατος τῶν φίλων, οἵ τε ἀδελφοὶ τοῦ βασιλέως καὶ πᾶσα ἡ γενεά· πάντα γὰρ Ἀντίπατρος ἦν, καὶ τὸ πικρότατον Ἀλεξάνδρῳ, πάντα ἦν ἡ Ἀντιπάτρου μήτηρ, σύμβουλος κατ' αὐτῶν μητριᾶς χαλεπωτέρα καὶ πλεῖόν

474 τι προγόνων μισοῦσα τοὺς ἐκ βασιλίδος. πάντες μὲν οὖν ἐπὶ ταῖς ἐλπίσιν ἐθεράπευον Ἀντίπατρον ἤδη, συναφίστα δ' ἕκαστον τὰ τοῦ βασιλέως προστάγματα, παραγγείλαντος τοῖς τιμιωτάτοις μήτε προσιέναι μήτε προσέχειν τοῖς περὶ Ἀλέξανδρον. φοβερὸς δ' ἦν οὐ μόνον τοῖς ἐκ τῆς βασιλείας, ἀλλὰ καὶ τοῖς ἔξωθεν φίλοις· οὐδενὶ γὰρ βασι- 15
λέων Καῖσαρ τοσαύτην ἔδωκεν ἐξουσίαν, ὥστε τὸν ἀπ' αὐτοῦ φεύγοντα

475 καὶ μὴ προσηκούσης πόλεως ἐξαγαγεῖν. τὰ δὲ μειράκια τὰς μὲν διαβολὰς ἠγνόει, παρὸ καὶ μᾶλλον ἀφυλάκτως ἐνέπιπτον αὐταῖς· οὐδὲν γὰρ ὁ πατὴρ φανερῶς ἀπεμέμφετο· συνίει δὲ κατὰ μικρὸν ἀπὸ τοῦ ψύγματος καὶ πρὸς τὸ λυπεῖν μᾶλλον ἐτραχύνετο. διέθη- 20
κεν δὲ πρὸς αὐτὰ καὶ τὸν θεῖον Φερώραν Ἀντίπατρος ἐχθρωδῶς καὶ τὴν τηθίδα Σαλώμην, ὡς ἂν † γαμετὴν οὖσαν, καθομιλῶν ἀεὶ

---

§ 473 = Ant. Iud. XVI 191.

PAMLVRC Lat Hegesippus I 40 p. 77.

1 *πάντα*] *πᾶν* LVR *δ'* AC *καὶ τὸ*] *ὥστε* Destinon *τῇ σφαγῇ*, litt. *ῆ σ* ex *οῦ* corr. P 2 *οὕτω* LVRC 4 *ἀγριούμενος* M 5 *τῆς* om. L¹ *προσετίθη* V¹ 6 *δὲ* PLVRC 8 *γενεᾶ* PA¹ 9 *πικρώτατον* PA¹ *πάντα* — 10 *αὐτῶν*] *cuncta in eorum perniciem matris antipatri consilio gerebantur* Lat *πάντα*] *πρὸς πάντα* ex Lat Destinon 10 *κατ' αὐτῶν*] *κατὰ τῶν* L¹R *μητρυᾶς* VC¹ 12 *δὲ* LVRC *τοῦ* om. LVRC 13 *μήτε προσέχειν μήτε προσιέναι* tr. P *μὴ προσιέναι μηδὲ προσέχειν* V 14 *περὶ* s. C *δὲ* LVRC 16 *τοσαύτην καῖσαρ* tr. LRC *ἔδωκεν ἐξουσίαν*] *ἔδωκε* (*δέδωκε* L) *τιμὴν* LVRC *potestatis dederat* Lat *φεύγοντα* LVRC 18 *ἠγνόει*] *ηγνόουν* PAM *αὐτοῖς* VR 19 *οὐδὲν*] *οὐδενὶ* MLVRC *nullus* (*incusabatur*) Lat *ἐπεμέμφετο* (recepto *οὐδενὶ*) L. Dindorf *συνίει*] *συνίη* P *συνείη* A 20 *ἀπὸ*] *ἐκ* LVRC *καὶ*] *καὶ ὅτι* Casaubonus *λοιποῦν* R *διέθηκεν* — p. 109, 1 *παροξύνων*] *eodem autem modo etiam feroran patruum et salomen amitam contra illos commouit antipater assidue ueluti cum uxore sermocinando quibus in eos instigaretur* Lat 21 *ἐχθρωδῶς* (*ωδ* ex *οδ* corr. PA) PAM et i. marg. V *ἐχθρῶς* LVRC 22 *τιτθίδα* VR² *γαμετὴν*] *συνετὴν* Naber *χαλεπὴν* Destinon *καθωμιλῶν* P

καὶ παροξύνων. συνήργει δὲ καὶ πρὸς τὴν ταύτης ἀπέχθειαν ἡ 476
Ἀλεξάνδρου γυνὴ Γλαφύρα γενεαλογοῦσα τὴν ἑαυτῆς εὐγένειαν, καὶ
ὡς πασῶν τῶν κατὰ τὸ βασίλειον εἴη δεσποίνις, κατὰ πατέρα μὲν
ἀπὸ Τιμένου, κατὰ μητέρα δὲ ἀπὸ Δαρείου τοῦ Ὑστάσπεως οὖσα.
πολλὰ δὲ ὠνείδιζεν εἰς ἀγένειαν τήν τε ἀδελφὴν τὴν Ἡρῴδου καὶ 477
τὰς γυναῖκας, ὧν ἑκάστη δι' εὐμορφίαν οὐκ ἀπὸ γένους ἦρξθη.
πολλαὶ δ' ἦσαν, ὡς ἂν ἐφειμένου τε πατρίου Ἰουδαίοις γαμεῖν
πλείους καὶ τοῦ βασιλέως ἡδομένου πλείοσιν, αἷς πᾶσαι διὰ τὸ
μεγάλαυχον τὸ Γλαφύρας καὶ τὰς λοιδορίας ἐμίσουν Ἀλέξανδρον.
3. Τὴν δὲ δι' Σαλώμην καίτοι πενθερὰν οὖσαν αὐτὸς Ἀριστό- 478
βουλος ἑαυτῷ διεστασίασεν ὀργισμένην καὶ πρόσθεν ἐπὶ ταῖς ἐκ
Γλαφύρας βλασφημίαις· ὠνείδιζεν γὰρ τῇ γυναικὶ συνεχῶς τὴν
ταπεινότητα, καὶ ὡς αὐτὸς μὲν ἰδιώτην, ὁ δ' ἀδελφὸς αὐτοῦ Ἀλέ-
ξανδρος γήμαι βασιλίδα. τοῦτο κλαίουσα τῇ Σαλώμῃ διήγγειλεν ἡ 479
θυγάτηρ. προσετίθει δ' ὅτι καὶ τῶν ἄλλων ἀδελφῶν τὰς μὲν μητέ-
ρας ἀπειλοῖεν οἱ περὶ Ἀλέξανδρον, ἐπειδὰν παραλάβωσιν τὴν βασι-
λείαν, ἱστουργοὺς ἅμα ταῖς δούλαις ποιήσειν, αὐτοὺς δὲ κωμῶν
γραμματεῖς, ἐπισκώπτοντες ὡς πεπαιδευμένους ἐπιμελῶς. πρὸς ἃ
τὴν ὀργὴν οὐ κατασχοῦσα Σαλώμῃ πάντα διήγγειλεν Ἡρῴδῃ· σφόδρα
δ' ἦν ἀξιόπιστος κατὰ γαμβροῦ λέγουσα. καί τις ἑτέρα διαβολὴ 480
συνέδραμεν ἡ τὸν θυμὸν ὑπεκκαύσασα τοῦ βασιλέως· ἦκουσεν γὰρ
αὐτοὺς ἀναπαλεῖσθαι μὲν συνεχῶς τὴν μητέρα καὶ κατοιμώζειν ἐπα-
ρωμένους αὐτῷ, πολλάκις δ' αὐτοῦ διαδιδόντος τῶν Μαριάμμης

§ 476 = Ant. Iud. XVI 143; § 478 = Ant. Iud. XVI 201.

PAMLVRC Lat Hegesippus I 40 p. 77.

1 *παρωξύνων* P 2 *ἑαυτῆς*] *αὐτῆσ* LVRC 3 *εἴη*] *ἦει* V 4 *Τιμένου*] *τιμένου* ex corr. A *τημένουσ* MLVRC *temeno* (abl.) Lat *δαρίου* V *ὑστάπεως* V *Ὑστάσπεος* scribendum uid.; nam *Ὑστάσπεω* propter hiatum minus placet. uide Ant. Iud. XI 31 et argum. XI 5 *ἀγένειαν*] *δυσγένειαν* LVRC 6 *ἠρέθη* PALV 7 *πολλαὶ — ἀφειμένου*] *namque multas ei fuisse uxores diximus quod licet* Lat *δὲ* LVRC *ἀφειμένου* PAL² *ἀφιεμένου* L¹VR *ἐφιεμένου* C *ἰουδαίουσ* V 8 *πᾶσαι*] *πᾶσαι δὲ* L¹VR *τὸ*] *τῆσ* LC 11 *πρόσθεν*] *πρότερον* AMLVRC 12 *Γλαφύρας*] *λαφύρασ* P¹AMR¹ et man. 1 Lips 13 *ἰδιώτην* PV¹ *ἰδιώτιν*, *ῶ* ex *ώ* corr., *ν* i. ras. A *δὲ* LVRC 14 *διήγγελεν* C 15 *προετίθει* R *δὲ* LVRC 17 *ποιήσειν*] *facere* Lat *δὲ*] *quoque* Lat *κωμογραμματεῖς* A. I. § 203 18 *ἐπισκόπτοντεσ* AL¹V¹R¹ *παιδευομένουσ* PALVRC 19 *κατασχοῦσα*] *κατέχουσα* LVRC *διήγγελλεν* VC 20 *δὲ* LVR *διαβολὴ*, *ἡ* ex *ῆι* corr. V 21 *συνέδραμεν*] *diuulgata est* Lat *ἐκκαύσασα* P 22 *αὐτοὺς*] *αὐτῶν* R² *συνεχῶσ ἀναπαλεῖσθαι μὲν* tr. LVRC *μὲν* om. M *κατοιμώζειν*] *κατοιμώζειν δὲ* L¹VRC 23 *δὲ* LVRC *διαδόντοσ* AV *μαριάμησ* M

ἐσθήτων τινὰ ταῖς μεταγενεστέραις γυναιξὶν ἀπειλεῖν, ὡς ἀντὶ τῶν βασιλικῶν ἐν τάχει περιθήσουσιν αὐταῖς ἐκ τριχῶν πεποιημένας.

481 4. Διὰ ταῦτα καίτοι τὸ φρόνημα τῶν νεανίσκων ὑποδείσας, ὅμως οὐκ ἀπέκοπτε τὴν ἐλπίδα τῆς διορθώσεως, ἀλλὰ προσκαλεσάμενος αὐτούς, καὶ γὰρ εἰς Ῥώμην ἐκπλεύσειν ἔμελλεν, βραχέα μὲν ἠπείλησεν ὡς βασιλεύς, τὰ πολλὰ δὲ ἐνουθέτησεν ὡς πατήρ. καὶ φιλεῖν τοὺς ἀδελφοὺς παρεκάλει διδοὺς τῶν προημαρτημένων

482 ἄφεσιν, εἰ πρὸς τὸ μέλλον ἀμείνους γένοιντο. οἱ δὲ τὰς μὲν διαβολὰς ἀπεσκευάζοντο ψευδεῖς εἶναι λέγοντες, πιστώσεσθαι δὲ τὴν ἀπολογίαν τοῖς ἔργοις ἔφασκον· δεῖν μέντοι κἀκεῖνον ἀποφράττειν τὰς λογοποιίας τῷ μὴ πιστεύειν ῥᾳδίως· οὐ γὰρ ἐπιλείψειν τοὺς καταψευσομένους αὐτῶν, ἕως ἂν ὁ πειθόμενος ᾖ.

483 5. Τούτοις ὡς πατέρα πείσαντες ταχέως τὸν μὲν ἐν χερσὶν φόβον διεκρούσαντο, τὴν δ' εἰς τὰ μέλλοντα λύπην προσέλαβον· ἔγνωσαν γὰρ τήν τε Σαλώμην ἐχθρὰν καὶ τὸν Θεῖον Φερώραν· ἦσαν δὲ βαρεῖς [μὲν] ἀμφότεροι καὶ χαλεποί, Φερώρας δὲ μείζων. ὃς πάσης μὲν ἐκοινώνει τῆς βασιλείας πλὴν διαδήματος, προσόδους δὲ ἰδίας εἶχεν ἑκατὸν τάλαντα, τὴν δὲ πέραν Ἰορδάνου πᾶσαν ἐκαρποῦτο χώραν λαβὼν παρὰ τἀδελφοῦ δῶρον, ὃς αὐτὸν ἐποίησεν καὶ τετράρχην αἰτησάμενος παρὰ Καίσαρος, βασιλικῶν τε γάμων ἠξίωσεν συνοικίσας ἀδελφὴν τῆς ἰδίας γυναικός· μετὰ δὲ τὴν ἐκείνης τελευτὴν καθωσίωσε τὴν πρεσβυτάτην τῶν ἑαυτοῦ θυγατέρων ἐπὶ προικὶ

484 τριακοσίοις ταλάντοις. ἀλλ' ἀπέδρα Φερώρας τὸν βασιλικὸν γάμον

---

§ 483 cf. Ant. Iud. XVI 194 sq.

PAMLVRC Lat Hegesippus I 40 p. 79.

2 *περιθήσωσιν* PA *ἑαυταῖσ* LVRC *ἐκ τριχῶν πεποιημένας*] *factis uestibus* Lat *τριχῶν*] *τρυχῶν* Niese ex Ant. Iud. XVI 204 6 *ἠπείλησε μὲν βραχέα* tr. V *δ'* A 8 *γένοιντο*, *ιν* i. ras. A 9 *πιστώσεσθαι*] ex Lugd. Bat. Hudson cum Heg *πιστώσασθαι* codd. *fidem constare posse* Lat *δὲ* om. C 10 *ἀπολογίαν*] *ὁμολογίαν* M *purgationis* (*fidem*) Lat post *μέντοι* expunctum *τὴν ἀπολογίαν* C 11 *τῷ*] *τὸ* L *οὐ* — 13 *πείσαντες*] *non enim defuturos delatores improbos quamdiu auditor credulus suppeditaret. his et talibus emollito patre* Heg 12 *ὁ* om. PA eras. L *ᾖ. Τούτοις ὡς πατέρα*] MLVRCLat *ἢ τούτοισ· ὡς δὲ τὸν πατέρα* PA, quos secutus *οἷς δὴ* pro *ὡς δὲ* suadet Destinon 14 *δὲ* LVRC *προσέλαβον* ex *προσέλαβεν* corr. A 15 *ἐχθρὰν*, *ε* i. ras. A 16 *μὲν* om. PAM *μείζων* M1 *amplius* Lat *μειζόνως* Destinon 17 *προσόδους* PVC 18 *ἑκατὸν*] *ρ'* PA *ἑκατὸν εἶχε τάλαντα* tr. LVRC *Ἰορδάνου*] *euphraten* Heg 19 *τοῦ ἀδελφοῦ* LVR *αὐτὴν* V1 20 *τετράρχην*, s. m. 2 V *παρὰ Καίσαρος*] *καίσαρα* V 21 *συνοικήσας* PA1LVRC1 22 *ἑαυτοῦ*] *αὐτοῦ* LVRC 23 *ἀλλὰ πέδρα* A *ἀλλὰ ἀπέδρα* LVR *τῶν βασιλικῶν γάμων* A *τὸν βασιλικὸν γάμον* ex corr. C

πρὸς ἔρωτα δούλης, ἐφ' ᾗ χαλεπήνας Ἡρώδης τὴν μὲν θυγατέρα
τῷ πρὸς Πάρθων ὕστερον ἀναιρεθέντι συνέζευξεν ἀδελφιδῷ· Φερώρᾳ
δὲ μετ' οὐ πολὺ τὴν ὀργὴν ἀνεὶς διδοὺς συγγνώμην τῇ νόσῳ.

6. Διεβάλλετο δὲ καὶ πάλαι μὲν ἔτι ζώσης τῆς βασιλίδος ἐπι- 185
βουλεύειν αὐτῷ φαρμάκοις, τότε δὲ πλεῖστοι μηνυταὶ προσῆσαν,
ὡς καίπερ φιλαδελφότατον ὄντα τὸν Ἡρώδην εἰς πίστιν ἐλαχθῆναι
τῶν λεγομένων καὶ δέος. πολλοὺς δὲ τῶν ἐν ὑπονοίᾳ βασανίσας
τελευταῖον ἦλθεν ἐπὶ τοὺς Φερώρου φίλους. ὧν ἐπιβουλὴν μὲν ἄντι- 186
κρυς ὡμολόγησεν οὐδείς, ὅτι δὲ τὴν ἐρωμένην ἁρπασάμενος εἰς
Πάρθους ἀποδρᾶναι παρεσκευάζετο, συμμέτοχοι δὲ τοῦ σκέμματος
αὐτῷ καὶ τῆς φυγῆς Κοστόβαρος ὁ Σαλώμης ἀνήρ, ᾧ συνῴκισεν
αὐτὴν ὁ βασιλεὺς ἐπὶ μοιχείᾳ τοῦ προτέρου διαφθαρέντος. ἦν δ' 187
ἐλευθέρα διαβολῆς οὐδὲ Σαλώμη· καὶ γὰρ αὐτῆς Φερώρας ἀδελφὸς
κατηγόρει συνθήκας περὶ γάμου πρὸς Συλλαῖον τὸν Ὀβαίδα τοῦ
Ἀράβων βασιλέως ἐπίτροπον, ὃς ἦν ἐχθρότατος Ἡρώδῃ. διε-
λεγχθεῖσα δὲ καὶ τοῦτο καὶ πάνθ' ὅσα Φερώρας ἐνεκάλει, συγ-
γινώσκεται· καὶ αὐτὸν δὲ Φερώραν ὁ βασιλεὺς ἀπέλυσεν τῶν ἐγκλη-
μάτων.

7. Μετέβαινεν δὲ ἐπ' Ἀλέξανδρον ὁ χειμὼν τῆς οἰκίας καὶ 488
περὶ τὴν ἐκείνου κεφαλὴν ὅλος ἀπηρείσατο. τρεῖς ἦσαν εὐνοῦχοι
τιμιώτατοι τῷ βασιλεῖ, καὶ δῆλον ἐξ ὧν ἐλειτούργουν· τῷ μὲν γὰρ
οἰνοχοεῖν προσετέτακτο, τῷ δὲ δεῖπνον προσφέρειν, ὁ δ' αὐτὸν

---

§ 487 = Ant. Iud. XVI 220; § 488 = Ant. Iud. XVI 229.

PAMLVRCLatHegesippus I 40 p. 80.

2 *πάρθων*, ω ex *o* corr. M *ἀνερεθέντι* V *συνέζευξαν* C *ἀδελφῷ* P 3 *ἀνεὶσ*] *ἀνείη* PA 4 *διεβάλετο* L 5 *προσίεσαν* P *προσήεσαν*, *ή* i. ras. A 6 *φιλαδελφώτατον* PM *τὸν* om. MLVRC *ἀχθῆναι* V 7 *τῶν λεγομένων* i. ras. A *ὑπνοία* i. ras. m. 2 V 8 *φερώρα* MLVRC 9 *τὴν ἐρωμένην ἁρπασάμενος*] *amica suspecta* (*suscepta* Destinon) Lat *ἁρπασόμενος* R² 10 *συμμέτοχοι*] *συμμέτοχος* ed. pr. *conscium esse* Lat *συμμετέχοι* Destinon 11 *Κοστόβαρος*] *aristobolum* Lat *συνώκησεν* PA¹LRC¹ *ἐπὶ μοιχείᾳ*] *ἐπὶ μοιχείας ὑποψίᾳ* Hudson 12 *δὲ* LVRC 13 *ἀδελφὸς*] Destinon *ἀδελφὸσ* PA *ὁ ἀδελφὸσ* MLVRC 14 *γάμου*] *γάμον ποιουμένης* LVRC et fort. Lat *σύλλαιον* L *συλαῖον* A *ὀβαῖδα* PA *ὀβάδα* (*οβαδα* L¹) MLVRC *obaedi* cod. Vat Lat *obedae* Heg 15 *ἐπιτρόπον* A *διελεχθεῖσα* A 16 *τοῦτο*] *τούτου* L¹R *τοῦτο*, corr. ex *τούτω* V *πάντα* LVRC *ὁ φερώρασ* M 19 *οἰκίασ* ex *οἰκείασ* corr. P 20 i. marg. *μ'* V 21 *τῷ βασιλεῖ τιμιώτατοι* tr. LVRC *καὶ*] *ὡς* Naber hiatum inducens 22 *δεῖπνον* iterat M¹ *δ'*] *δὲ* LVRC

489 κατεκοίμιζέν τε καὶ συγκατεκλίνετο. τούτους εἰς τὰ παιδικὰ δώροις μεγάλοις ὑπηγάγετο ὁ Ἀλέξανδρος. μηνυθὲν δὲ τῷ βασιλεῖ διηλέγχοντο βασάνοις, καὶ τὴν μὲν συνουσίαν εὐθέως ὡμολόγουν, ἐξέφερον δὲ καὶ τὰς εἰς αὐτὴν ὑποσχέσεις, ὃν τρόπον ἀπατηθεὶεν
490 ὑπὸ Ἀλεξάνδρου λέγοντος ὡς οὐκ ἐν Ἡρώδῃ δέοι τὰς ἐλπίδας ἔχειν ἀναιδεῖ γέροντι καὶ βαπτομένῳ τὰς κόμας, εἰ μὴ διὰ τοῦτ' αὐτὸν οἴονται καὶ νέον, αὐτῷ δὲ προσέχειν, ὃς καὶ παρὰ ἄκοντος διαδέξεται τὴν βασιλείαν οὐκ εἰς μακρὰν τε τοὺς μὲν ἐχθροὺς ἀμυνεῖται, τοὺς φίλους δ' εὐδαίμονας ποιήσει καὶ μακαρίους, πρὸ
491 πάντων δὲ αὐτούς· εἶναι δὲ καὶ θεραπείαν τῶν δυνατῶν περὶ τὸν Ἀλέξανδρον λαθραίαν, τούς τε ἡγεμόνας τοῦ στρατιωτικοῦ καὶ τοὺς ταξιάρχους κρύφα πρὸς αὐτὸν συνιέναι.

492 8. Ταῦτα τὸν Ἡρώδην οὕτως ἐξεφόβησεν, ὡς μηδὲ παραχρῆμα τολμῆσαι τὰς μηνύσεις ἐκφέρειν, ἀλλὰ κατασκόπους ὑποπέμπων νύκτωρ καὶ μεθ' ἡμέραν ἕκαστα τῶν πραττομένων ἢ λεγομένων
493 διηρεύνα καὶ τοὺς ἐν ταῖς ὑποψίαις εὐθέως ἀνῄρει. δεινῆς δὲ ἀνομίας ἐνεπλήσθη τὸ βασίλειον· κατὰ γὰρ ἔχθραν ἢ μῖσος ἴδιον ἕκαστος ἔπλασσεν τὰς διαβολάς, καὶ πολλοὶ πρὸς τοὺς διαφόρους φορῶντι τῷ βασιλικῷ θυμῷ κατεχρῶντο. καὶ τὸ μὲν ψεῦδος εἶχεν παραχρῆμα πίστιν, αἱ κολάσεις δὲ τῶν διαβολῶν ἦσαν ὠκύτεραι. κατηγορεῖτο γοῦν τις ἄρτι κατηγορήσας, καὶ τῷ πρὸς αὐτοῦ διελεγχθέντι συνεπήγετο· τὰς γὰρ ἐξετάσεις τοῦ βα-

§ 489 = Ant. Iud. XVI 232.

PAMLVTRCLat Hegesippus I 40 p. 80.

1 *τούτους*] corr. ex *τούτοισ* L *τούτοισ* V 2 *ὑπήγετο* R *δὲ* s. L 3 *συνουσίαν*] *πράξιν*, i. marg. m. 2 *γρ συνουσίαν* V 4 *ὑποσχέσεισ εἰσ ὃν* PA 5 *ὑπ'* LVRC 6 *ἀναιδεῖ*] *νεαλεῖ* Naber *κόμας*] *τρίχασ* V *διὰ τοῦτ'* (*τοῦτο* LR) *αὐτὸν οἴονται* AMLR *δι' αὐτοῦ ταὐτὸν οιόντε* P *δι' αὐτὸ τοῦτο οἴονται*, *αι* i. ras. V *διὰ τοῦτο αὐτὸν οἴοντ* sic C *ob hoc eum putarent* Lat 7 *δὲ* om. M *ὃς*] *ὧ* PA¹ 8 *τε*] *δὲ* P 9 *δ'*] *δὲ* LV et man. 1 Lips *εὐδαίμονα* C¹ 10 *δ'* RC 11 *τοὺσ, ου* ex *η* corr. V 12 *ταξιάρχουσ, ου* corr. ex *α* A 13 *ταῦτα τὸν*] *ταυτὸν* A¹ 16 *διηρευνᾶτο* VC *ἀνήρ·ει* V *ἀνανήρει* C *δὲ*] *δὴ* A *itaque* Lat 17 *ἐπλήσθη* ALVRC 18 *ἕκαστοσ ἴδιον* tr. V *ἔπλασεν* A *ἔπλαττε* M *ἔπλασε* C *πρὸς* ‖ desinit fol. 33. in V, excidit insequens quaternio, quem suppleuit manus recens; manus antiqua rursum incipit p. 142, 1; interim ascripsi lectiones codicis T ex Cardwelli editione *τοὺς* om. T suppl. i. marg. man. recens *διαφόρουσ*, i. marg. *ἐχθροὺσ* R 19 *φορῶντι* L 21 *κατηγορεῖτο*] PAMLat *κατηγόρητο* LTRC 22 *πρὸς*] PAMHeg *πρὸ* LRCLat; de T non constat *διαλεχθέντι* P

σιλέως ὁ περὶ τῆς ψυχῆς κίνδυνος ἐπετέμνετο. προύβη δ' εἰς 494
τοσοῦτον πικρίας, ὡς μηδὲ τῶν ἀκαιρωτάτων τινὶ προσβλέπειν
ἡμέρως, εἶναι δὲ καὶ τοῖς φίλοις ἀπηνέστατος· πολλοῖς γοῦν
αὐτῶν ἀπεῖπεν τὸ βασίλειον, καὶ πρὸς οὓς οὐκ εἶχεν χειρὸς ἐξου-
σίαν τῷ λόγῳ χαλεπὸς ἦν. συνεπέβη δὲ Ἀντίπατρος ἐν ταῖς 495
συμφοραῖς Ἀλεξάνδρῳ καὶ σῖτος λοιμὸς τῶν συγγενῶν οὐκ
ἔστιν ὅντινα διαβολὴν παρέλιπεν. προῄχθη γέ τοι πρὸς τοσοῦτον
δέος ὁ βασιλεὺς ὑπὸ τῆς τεραστείας αὐτοῦ καὶ τῶν συνταγμάτων,
ὡς ἐφεστάναι δοκεῖν αὐτῷ τὸν Ἀλέξανδρον ξιφήρη. συλλαβὼν οὖν 496
αὐτὸν ἐξαπίνης ἔδησεν καὶ πρὸς βάσανον ἐχώρει τῶν φίλων αὐτοῦ.
σιγῶντες δὲ ἀνέθηκαν πολλοὶ καὶ μηδὲν ὑπὲρ τὸ συνειδὸς εἰπόν-
τες· οἱ δ' ὑπὸ τῶν ἀλγηδόνων ψεύσασθαι βιασθέντες ἔλεγον, ὡς
ἐπιβουλεύοι τε αὐτῷ μετὰ Ἀριστοβούλου τοῦ ἀδελφοῦ καὶ παρα-
φυλάττει κυνηγοῦντα πτείνας εἰς Ῥώμην ἀποδρᾶναι. τούτοις καίπερ 497
οὐ πιθανοῖς οὖσιν ἀλλ' ὑπὸ τῆς ἀνάγκης ἐσχεδιασμένοις ὁ βασι-
λεὺς ἐπίστευσεν ἤδέως, παραμυθίαν λαμβάνων τοῦ δῆσαι τὸν υἱὸν
τὸ μὴ δοκεῖν ἀδίκως.

XXV. 1. Ὁ δ' Ἀλέξανδρος ἐπεὶ τὸν πατέρα μεταπείθειν ἀμή- 498
χανον ἑώρα, τοῖς δεινοῖς ὁμόσε χωρεῖν διέγνω, καὶ τέσσαρας κατὰ
τῶν ἐχθρῶν βίβλους συνταξάμενος προσωμολόγει μὲν τὴν ἐπιβου-
λήν, κοινωνοὺς δ' ἀπεδείκνυεν τοὺς πλείστους αὐτῶν, πρὸ δὲ πάν-
των Φερώραν καὶ Σαλώμην· ταύτην γὰρ δὴ καὶ μιγῆναί ποτε αὐτῷ
μὴ θέλοντι νύκτωρ εἰσβιασαμένην. αἵ τε οὖν βίβλοι παρῆσαν 499
εἰς χεῖρας Ἡρώδῃ πολλὰ καὶ δεινὰ κατὰ τῶν δυνατωτάτων βοῶ-

§ 494 = Ant. Iud. XVI 236 sq.; § 498 = Ant. Iud. XVI 255.

PAMLTRC Lat Hegesippus I 40 p. 81.
1 ἐπετέμνετο] ὑπετέμνετο PLTRC *breuiore compendio terminabat* Lat
προύβει P δὲ LTRC 4 χειρὸς om. Lat 5 χαλεπῶσ L^1C^1 συνέβη P
συνέβη (s. m. 2) L συνέβη R ἐπανέβη ed. pr. συνεπέβη — 6 Ἀλεξάνδρῳ] *accessit malis antipater* Lat 7 παρέλειπε LR 8 δέουσ TRC τερα-
στείασ M στρατείασ et i. marg. τερατείασ T 9 ὡς] ὥστε LTRC
γοῦν LTRC 10 ἔδησεν ἐξαπίνησ tr. LTRC 11 πολλοὶ] PAML²Lat οἱ
πολλοὶ L^1TRC 12 δὲ LTRC 13 ἐπιβουλεύοι τε] ἐπιβουλεύοιτο PM
αὐτῷ corr. ex αὐτοῦ C παραφυλάττοι MLR et ex corr. A 15 i. marg.
μδ' C 16 ἐπίστευεν LTRC 18 δὲ LTRC 20 συνταξάμενος] συγγραψά-
μενοσ L 21 δὲ ALTRC αὐτῶν] αὐτῷ ex corr. T 22 ποτε, π ex τ
corr. L 24 ἡρώδη εἰσ χεῖρασ tr. PAM ἡρώδου T δυνατῶν LTRC
optimatibus Lat

σαι, καὶ διὰ τάχους εἰς Ἰουδαίαν Ἀρχέλαος ἀφικνεῖται περὶ τῷ γαμβρῷ καὶ τῇ θυγατρὶ δείσας. γίνεται δὲ βοηθὸς αὐτοῖς μάλα
500 προμηθὴς καὶ τέχνῃ τὴν τοῦ βασιλέως ἀπειλὴν διεκρούσατο. συμβαλὼν γὰρ εὐθέως αὐτῷ „ποῦ ποτέ ἐστιν ὁ ἀλιτήριός μου γαμβρός, ἐβόα, ποῦ δὲ τὴν πατροκτόνον ὄψομαι κεφαλήν, ἣν ταῖς ἐμαυτοῦ χερσὶν διασπαράξω; προσθήσω δὲ καὶ τὴν θυγατέρα μου τῷ καλῷ νυμφίῳ· καὶ γὰρ εἰ μὴ κεκοινώνηκεν τοῦ σκέμματος, ὅτι
501 τοιούτου γυνὴ γέγονεν, μεμίανται. θαυμάζω δὲ καὶ σὲ τὸν ἐπιβουλευθέντα τῆς ἀνεξικακίας, εἰ ζῇ μέχρι νῦν Ἀλέξανδρος· ἐγὼ γὰρ ἠτειγόμην ἀπὸ Καππαδοκίας ὡς τὸν μὲν εὑρήσων πάλαι δεδω-
κότα δίκας, μετὰ δὲ σοῦ περὶ τῆς θυγατρὸς ἐξετάσων, ἣν ἐκείνῳ γε πρὸς τὸ σὸν ἀξίωμα βλέπων ἐνεγγύησα. νῦν δὲ περὶ ἀμφοῖν ἡμῖν βουλευτέον, κἂν ᾖς πατὴρ λίαν ἢ τοῦ κολάζειν υἱὸν ἀτονώτερος ἐπίβουλον, ἀμείψωμεν τὰς δεξιὰς καὶ γενώμεθα τῆς ἀλλήλων ὀργῆς διάδοχοι.“

502 2. Τούτοις περικοπεὶς καίπερ παρατεταγμένον Ἡρῴδην ὑπάγεται· δίδωσι γοῦν αὐτῷ τὰς συνταχθείσας ὑπ' Ἀλεξάνδρου βίβλους ἀναγνῶναι καὶ καθ' ἕκαστον ἐφιστὰς κεφάλαιον συνεσκέπτετο. λαμβάνει δ' Ἀρχέλαος ἀφορμὴν τοῦ στρατηγήματος καὶ
κατὰ μικρὸν εἰς τοὺς ἐγγεγραμμένους καὶ Φερώραν μετήγαγεν τὰς
503 αἰτίας. ὡς δ' ἑώρα πιστεύοντα τὸν βασιλέα, „σκεπτέον, ἔφη, μή ποτε τὸ μειράκιον ὑπὸ τοσούτων εἴη πονηρῶν ἐπιβουλευόμενον. οὐχ ὑπὸ τοῦ μειρακίου σύ· καὶ γὰρ οὐχ ὁρᾶν αἰτίαν, ἐξ ἧς ἂν

§ 499 = Ant. Iud. XVI 261.

PAMLTRC Lat Hegesippus I 40 p. 82.

6 *προσθύσω* Naber 8 *γέγονε γυνὴ* tr. LTRC *μεμίανται, αι* ex *ει* corr. uid. P *μεμίασται* M *νῦν*] *τοῦ νῦν* M 10 *εὑρίσων* P 11 *περὶ* om. L *ἣν* — 12 *ἐνεγγύησα*] *quam tui tuaeque dignitatis contemplatione illi desponderam* Lat *ἐκείνῳ γε πρὸς*] P *κἀκείνω γε πρὸσ* AM *κἀκείνω σὲ καὶ* LTR *ἐκείνω σε καὶ* C 12 *ἐνεγγύησα*] *ἐνεγύησα* L^1 m. 1 Lips et ut uid. R^1; aut hoc aut *ἠγγύησα* reponendum 13 *ᾖς*] *ἧσ* L *λίαν πατὴρ* tr. LTRC *ἢ*] om. MLTRC *et* Lat 14 *ἐπίβουλον ἀτονώτεροσ* tr. LTRC *ἀμείψομεν* LRC^1 *permutemus* LatHeg *γενόμεθα* LRC^1 *succedamus* Lat *γενώμεθα* — 15 *διάδοχοι*] *ego in tuo filio et tu in meo pignore ministerii mutui simus exsecutores* Heg 16 *περικομβήσασ* R^2 *παρατεταγμένον*] *τεταραγμένον* M *pertinacem* Lat 17 *ὑπαγέται* Lips 18 *ἐπιστὰσ* A *ἐπιστὰσ* PL^2 *insistens* Lat 19 *δ'*] *δὲ ὁ* LTR *δ' ὁ* C 20 *μετῆγε* (*μετῆγεν* C) *τὴν αἰτίαν* LTRC *causas — contulit* Lat 21 *δὲ* PLTRC 22 *τοσοῦτον* C^1 23 *οὐχ ὁρᾶν*] *οὐδὲ ὁρᾶν* LTRC *ὁρᾶν*] *apparere* Lat *ἐξ*] *ὑφ'* T

εἰς τηλικοῦτον μύσος προέπεσεν, ἀπολαύων μὲν ἤδη βασιλείας, ἐλπίζων δὲ καὶ διαδοχήν, εἰ μή τινες ἦσαν ἀναπείθοντες καὶ τὸ τῆς ἡλικίας εὔκολον ἐπὶ κακῷ μεταχειριζόμενοι. διὰ γὰρ τῶν τοιούτων ἐξαπατᾶσθαι μὲν οὐκ ἐφήβους μόνον ἀλλὰ καὶ γέροντας, οἴκους δὲ λαμπροτάτους καὶ βασιλείας ὅλας ἀναιρεῖσθαι."

3. Συνήνει τοῖς λεγομένοις Ἡρῴδης, καὶ τὴν μὲν πρὸς Ἀλέξανδρον ὀργὴν ἐπανίει πρὸς ὀλίγον, πρὸς δὲ Φερώραν παρωξύνετο· τῶν γὰρ τεσσάρων βίβλων οὗτος ἦν ὑπόθεσις. ὃς κατιδὼν τό τε τοῦ βασιλέως ὀξύρροπον καὶ τὴν Ἀρχελάου φιλίαν παρ' αὐτῷ πάντων κρατοῦσαν, ὡς οὐκ ἐνῆν εὐσχήμονι σωτηρία, τὴν δι' ἀναιδείας ἐπορίζετο· καταλείψας γοῦν Ἀλέξανδρον προσέφυγεν Ἀρχελάῳ. κἀκεῖνος οὐχ ὁρᾶν ἔφη, πῶς ἂν αὐτὸν ἐξαιτήσαιτο τοσούτοις ἐνεχόμενον ἐγκλήμασιν, ἐξ ὧν σαφῶς ἀποδείκνυται τοῦ βασιλέως ἐπίβουλος καὶ τῶν παρόντων τῷ μειρακίῳ κακῶν αἴτιος γεγονώς, εἰ μὴ βούλεται τὸ πανοῦργον καὶ τὰς ἀρνήσεις ἀφεὶς προσομολογῆσαι μὲν τὰ κατηγορημένα, συγγνώμην δ' αἰτήσασθαι παρὰ τἀδελφοῦ καὶ φιλοῦντος· εἰς γὰρ τοῦτο πάντα τρόπον αὐτὸς συνεργήσειν.

4. Πείθεται Φερώρας, καὶ κατασκευάσας ἑαυτόν, ὡς ἂν οἰκτρότατος φανείη, μελαίνῃ τε ἐσθῆτι καὶ δακρύοις προσπίπτει τοῖς Ἡρῴδου ποσίν, ὡς πολλάκις ἔτυχεν συγγνώμης αἰτούμενος καὶ

501 505 506

---

§ 503 = Ant. Iud. XVI 266.

PAMLTRC Lat Hegesippus I 40 p. 83.

1 *μύσος*] *μῦσος* M *μῖσος* LTRC et ex corr. A *scelus* Lat *προέπεσεν*] *προσέπεσεν* MLTRC *rueret* Lat 2 *ἐλπίζον* PA *διαδοχήν*] PAML²Lat *διαδοχῆς* L¹TRC 3 *μεταχειριζόμενοι*, ιζ i. ras. L 4 *ἐφήβους*] *νέους* LTRC 7 *ὑπανλει* M *πρὸς ὀλίγον*] *κατ' ὀλίγον* LTRC *paulatim* LatHeg, cf. infra § 526 8 *βιβλίων* LTRC *ἦν ἡ ὑπόθεσις* MT 9 *ὀξύροπον* A 10 *πάντων*] *in omnibus* Lat *ὡς* — 11 *ἐπορίζετο*] *quam honeste non posset, ex impudentia salutem quaesiuit* Lat *εὐσχήμονι*] PL² *εὐσχήμονι* (s. m. 2) A *εὐσχήμων* ML¹TRC *σωτηρία* (s. m. 2) A 11 *καταλιπὼν* L. Dindorf *προσέφευγεν* LRC 12 *ἀρχελάῳ προσέφυγεν* tr. T *οὐχ* — *ἐξαιτήσαιτο*] *non, inquit, uidet quo se pacto eximat* Lat *ἐξαιτήσωμαι* LTR 14 *ἐπίβολος* L¹ 15 *βούληται* P *βούλεται*, ε i. ras. A 16 *συγνώμην* R *δὲ* LTRC 17 *τοῦ ἀδελφοῦ* LTR *αὐτὸς*] *αὐτῶ* MLTRC *ei se quoque* Lat 18 *συνεργήσει* R 19 *ἑαυτὸν*] *αυτὸν* L¹ *αὑτὸν* L²R 20 *ἐσθῆτι*, ι i. ras. L *καὶ*] *cum* Lat 21 *ὡς*] *ἧς* Niese *ὡς* — *αἰτούμενος*] *sicut saepe meruit ueniam postulans* Lat *συγγνώμης*] *συγγνώμην* C et ex corr. A *συγνώμην* L¹R *συνώμησ* L²

μιαρὸν μὲν ἑαυτὸν ὁμολογῶν, δεδρακέναι γὰρ πάντα, ὅσα κατηγοροῖτο, παρακοπὴν δὲ φρενῶν καὶ μανίαν ὀδυρόμενος, ἧς αἴτιον
507 εἶναι τὸν ἔρωτα τῆς γυναικὸς ἔλεγεν. παραστήσας δὴ κατήγορον καὶ μάρτυρα ἑαυτοῦ Φερώραν Ἀρχέλαος οὕτως ἤδη παρῃτεῖτο καὶ τὴν Ἡρῴδου κατέστελλεν ὀργὴν χρώμενος οἰκείοις ὑποδείγμασιν· καὶ γὰρ αὐτὸς πολλῷ χαλεπώτερα πάσχων ὑπὸ ἀδελφοῦ τῆς ἀμύνης ἐπίτροσθεν τίθεσθαι τὸ τῆς φύσεως δίκαιον· ἐν γὰρ ταῖς βασιλείαις ὥσπερ ἐν μεγάλοις σώμασιν ἀεί τι μέρος φλεγμαίνειν ὑπὸ τοῦ βάρους, ὅπερ ἀποκόπτειν μὲν οὐ χρῆναι, θεραπεύειν δὲ πρᾴτερον.

508 5. Πολλὰ τοιαῦτα λέγων Ἡρῴδην μὲν ἐπὶ Φερώρᾳ μετιλίσσεται. διέμενε δ' αὐτὸς ἀγανακτῶν πρὸς Ἀλέξανδρον καὶ τὴν θυγατέρα διαζεύξας ἀπάξειν ἔφασκεν. ὡς περιέστησεν Ἡρῴδην ἀντιπαρακαλεῖν ὑπὲρ τοῦ μειρακίου καὶ πάλιν αὐτῷ μνηστεύεσθαι τὴν θυγατέρα. σφόδρα δὲ ἀξιοπίστους Ἀρχέλαος ᾧ βούλεται συνοικίζειν αὐτὴν ἐπέτρεπεν πλὴν Ἀλεξάνδρου· περὶ πλείστου γὰρ ποιεῖσθαι
509 τηρεῖν πρὸς αὐτὸν τὰ τῆς ἐπιγαμίας δίκαια. φαμένου δὲ τοῦ βασιλέως δῶρον ἕξειν παρ' αὐτοῦ τὸν υἱόν, εἰ μὴ λύσειεν τὸν γάμον, ὄντων μὲν αὐτοῖς ἤδη καὶ τέκνων, στεργομένης δ' οὕτως ὑπὸ τοῦ μειρακίου τῆς γυναικός. ἣν παραμένουσαν μὲν ἔσεσθαι δυσώνυμα τῶν ἁμαρτημάτων, ἀπορραγεῖσαν δὲ αἰτίαν τῆς εἰς ἅπαντα ἀπογνώσεως· μαλακωτέρας γὰρ γίνεσθαι τὰς τόλμας πά-
510 θεσιν οἰκείοις περισπωμένας· κατανεύει μόλις Ἀρχέλαος διαλλάσ-

§ 506 = Ant. Iud. XVI 268; § 508 = Ant. Iud. XVI 263.

PAMLTRC Lat Hegesippus I 40 p. 84.

1 *μιαρὸν*] i. marg. *μικρὸν* T *γὰρ*] *δὲ* PAM *namque* Lat *κατηγοροῖτο*] PAL² *κατη | ροῖτο* M *κατηγόρητο* L¹TRC *παρακοπὴν* — 3 *ἔλεγεν*] *horum autem causam esse deminutionem mentis et insaniam ex mulieris amore conceptam* Lat 3 *παραστήσας* — 4 *Ἀρχέλαος*] *itaque postquam stetit feroras suimet ipse accusator ac testis, tunc cum iam archelaus* Lat *δὴ*] *δὲ* LTR *δὲ τὴν* C 4 *μάρτυρα* ex corr. T *αυτοῦ* L¹ *αὐτοῦ* L²TR *αὐτοῦ* C *παρητεῖτο*, *η* i. ras. A *παραιτεῖτο* P 6 *γὰρ*] *γὰρ καὶ* A *τοῦ ἀδελφοῦ* LTR 7 *τίθεται* M 8 *φλεγμαίνει* (*αίνει* i. ras. A) PAMT 11 *φερώραν* PAMTC 12 *διέμενε*, *ε* ante *ν* i. ras. maiore M *δὲ* LTR *ἀγανακτῶν*] *tamquam inexorabilis* Heg *ὡς ἀγανακτῶν* Destinon *θυγατέρα* · A 13 *περιέστησεν*] *περ ἔστησεν* M *ἔστησεν* PA *compulit* Lat 15 *ἀξιόπιστος* C 16 *ἀλεξάνδρω* C 17 *πρὸς αὐτὸν*] *inter se* Lat 19 *δὲ* ALTR *οὕτως* om. Lat 21 *ἁμαρτημάτων*, *ά* uid. corr. M *ἡμαρτημένων* LTRC *γρ δυσώνυμ*τῶν ἡμαρτημένων* i. marg. A 23 *κατανεύει*] *κατανεύσας* AC *κατενευσε* T *cessit* Lat *μόγις* LTRC *διαλάσσεται* AL *διαλάσσεταί τε, αί τε* i. ras. A

σεται τε καὶ διαλλάσσει τῷ νεανίσκῳ τὸν πατέρα· δεῖν μέντοι
πάντως ἔφη πέμπειν αὐτὸν εἰς Ῥώμην Καίσαρι διαλεξόμενον·
γεγραφέναι γὰρ αὐτὸς ἐκείνῳ περὶ πάντων.

6. Τὸ μὲν οὖν Ἀρχελάου στρατήγημα, δι' οὗ τὸν γαμβρὸν ἐρρύ- 511
σατο, πέρας εἶχεν, μετὰ δὲ τὰς διαλλαγὰς ἐν εὐνοίαις καὶ φιλο-
φρονήσεσιν διῆγον. ἀπόντα δ' αὐτὸν Ἡρώδης δωρεῖται ταλάντων
ἑβδομήκοντα δώροις θρόνῳ τε χρυσῷ διαλίθῳ καὶ εὐνούχοις καὶ
παλλακίδι, ἥτις ἐκαλεῖτο Πανυχίς, τῶν τε φίλων ἐτίμησεν κατ'
ἀξίαν ἕκαστον. ὁμοίως τε καὶ οἱ συγγενεῖς προστάξαντος τοῦ βασι- 512
λέως πάντες Ἀρχελάῳ δῶρα λαμπρὰ ἔδοσαν, προεπέμφθη τε ὑπό
τε Ἡρώδου καὶ τῶν δυνατῶν ἕως Ἀντιοχείας.

XXVI. 1. Μετ' οὐ πολὺ δὲ εἰς τὴν Ἰουδαίαν παρέβαλεν ἀνὴρ 513
πολὺ τῶν Ἀρχελάου στρατηγημάτων δυνατώτερος, ὃς οὐ μόνον τὰς
ἐπ' ἐκείνου πολιτευθείσας Ἀλεξάνδρῳ διαλλαγὰς ἀνέτρεψεν, ἀλλὰ
καὶ ἀπωλείας αἴτιος αὐτῷ κατέστη. γένος ἦν Ἀάκων, Εὐρυκλῆς
ἰοὔνομα, πόθῳ χρημάτων εἰς τὴν βασιλείαν εἰσφθαρείς· οὐ γὰρ
ἀντεῖχεν ἔτι ἡ Ἑλλὰς αὐτοῦ τῇ πολυτελείᾳ. λαμπρὰ δ' Ἡρώδῃ 514
δῶρα προσενεγκὼν δέλεαρ ὧν ἐθηρᾶτο καὶ παραχρῆμα πολλαπλασίω
λαβὼν οὐδὲν ἡγεῖτο τὴν καθαρὰν δόσιν, εἰ μὴ δι' αἵματος ἐμπορεύ-
σεται τὴν βασιλείαν. περιέρχεται γοῦν τὸν βασιλέα κολακείᾳ καὶ 515
δεινότητι λόγων καὶ περὶ αὐτοῦ ψευδέσιν ἐγκωμίοις. ταχέως δὲ
συνιδὼν τὸν Ἡρώδου τρόπον καὶ πάντα λέγων τε καὶ πράττων τὰ
πρὸς ἡδονὴν αὐτῷ φίλος ἐν τοῖς πρώτοις γίνεται· καὶ γὰρ ὁ

§ 510 = Ant. Iud. XVI 269; § 513 = Ant. Iud. XVI 301.

PAMLTRC Lat Hegesippus I 40 p. 85.

1 *διαλάσσει* AL 4 *γαμβρὸν*, *β* i. ras. A 5 *πέρας*] *τοῦτο πέρας* Destinon 6 *ἀπίοντα* A *ἀπιὼν* C¹ *δὲ* PLTRC 7 *ἑβδομήκοντα*] *ὃ* PA *παλακίδι* A¹ 8 *πανυχίσ* A *πανυχίς* L 9 *ἕκαστον κατ' ἀξίαν* tr. AMLTRC *τε*] *δὲ* LTRC 10 i. marg. *μετ'* C *λαμπρὰ δῶρα* tr. LTRC *ἔδωσαν* PA¹R¹ *τε*] PAMLat *δὲ* LTRC 11 *τε* om. PA *ἕως*] *μέχρι* AM *μέχρισ* LTRC 12 *παρέβαλεν*, *β* i. ras. m. 2 L *παρενέβαλεν* T *παρενέβαλλεν* C 13 *πολὺ*] om. A *πολλὺ* C *τῶν τοῦ ἀρχελάου* P 14 *ἐκείνῳ* PAMTRC *πολιτευθείσας*] *quaesitam* Lat *τολυπευθείσας* Destinon 15 *γένος*] *ὅσ* LTRC *genere* Lat *genus* Heg 16 *τοὔνομα* A *εἰς — εἰσφθαρείς*] *ad regni desiderium — corruptus* Lat *εἰσφθαρείς*] *φθαρεὶσ* AMTR *διαφθαρεὶσ* L *προσφθαρεὶσ* C 17 *ἀντέχειν* P *δὲ* LTRC 18 *προσενεγκών*, *σεν* i. ras. A *πολλαπλασίονα* A *πολλα · · · · ·* | *πλασίω* (erasae litt. aliquot) R 19 *ἐμπ · ορεύσεται* A *ἐμπορεύσαιτο* (*μ* i. ras. m. 2 L) LTR *ἐμπορεύσαι* *τ* *ο* C *comparasset* Lat 20 *περιέρχεται* L¹R 21 *δεινότι* C¹

βασιλεὺς διὰ τὴν πατρίδα καὶ πάντες οἱ περὶ αὐτὸν ἡδέως προετίμων τὸν Σπαρτιάτην.

516 2. Ὁ δ' ἐπεὶ τὰ σαθρὰ τῆς οἰκίας κατέμαθεν, τάς τε τῶν ἀδελφῶν διαφορὰς καὶ ὅπως διέκειτο πρὸς ἕκαστον ὁ πατήρ, Ἀντιπάτρου μὲν ξενίᾳ προκατείληπτο, φιλίᾳ δὲ Ἀλέξανδρον ὑποκρίνεται ψευσάμενος ἑταῖρον ἑαυτὸν εἶναι καὶ Ἀρχελάου πάλαι· διὸ δὴ καὶ ταχέως ὡς δεδοκιμασμένος ἐδέχθη, συνίστησιν δ' αὐτὸν
517 εὐθέως καὶ Ἀριστοβούλῳ τῷ ἀδελφῷ. πάντων δ' ἀποπειραθεὶς τῶν προσώπων ἄλλον ἄλλως ὑπήει, γίνεται δὲ προηγουμένως μισθωτὸς Ἀντιπάτρου καὶ προδότης Ἀλεξάνδρου, τῷ μὲν ὀνειδίζων, εἰ πρεσβύτατος ὢν περιόψεται τοὺς ἐφεδρεύοντας αὐτοῦ ταῖς ἐλπίσιν, Ἀλεξάνδρῳ δέ, εἰ γεγενημένος ἐκ βασιλίδος καὶ βασιλίδι συνοικῶν ἐάσει διαδέχεσθαι τὴν ἀρχὴν τὸν ἐξ ἰδιώτιδος, καὶ ταῦτα μεγίστην
518 ἀφορμὴν ἔχων Ἀρχέλαον. ἦν δὲ πιστὸς τῷ μειρακίῳ σύμβουλος τὴν Ἀρχελάου φιλίαν πλασάμενος· διὸ μηδὲν ὑποστελλόμενος Ἀλέξανδρος τά τε κατ' Ἀντίπατρον ἀπωδύρετο πρὸς αὐτὸν καὶ ὡς Ἡρῴδης αὐτῶν τὴν μητέρα κτείνας οὐ παράδοξον εἰ καὶ αὐτοὺς ἀφαιρεῖται τὴν ἐκείνης βασιλείαν· ἐφ' οἷς ὁ Εὐρυκλῆς οἰκτείρειν
519 τε καὶ συναλγεῖν ὑπεκρίνετο. τὰ δ' αὐτὰ καὶ τὸν Ἀριστόβουλον εἰπεῖν δελεάσας καὶ ταῖς κατὰ τοῦ πατρὸς μέμψεσιν ἐνδησάμενος ἀμφοτέρους ᾤχετο φέρων Ἀντιπάτρῳ τὰ ἀπόρρητα· προσεπιψεύδεται δ' ἐπιβουλὴν ὡς ἐνεδρευόντων αὐτὸν τῶν ἀδελφῶν καὶ μόνον οὐκ ἐπιφερόντων ἤδη τὰ ξίφη. λαβὼν δ' ἐπὶ τούτοις χρημάτων
520 πλῆθος ἐπαινέτης ἦν Ἀντιπάτρου καὶ πρὸς τὸν πατέρα. τὸ δὲ

§ 516 = Ant. Iud. XVI 302.

PAMLTRC Lat Hegesippus I 41 p. 86.

1 *προσετίμων* L 3 δὲ LTRC ἐπεὶ ex ἐπὶ corr. L 5 ἀντιπάτρῳ C *Antipatri* Destinon *archelao* Hegesippi codd. optimi, qui toto hoc de Eurycle loco Archelai nomen pro Antipatri exhibent *προυκατείληπτο* ex corr. T *προκατείληπτο, ει* ex *η, η* i. ras. m. 2 C *φιλίᾳ — ὑποκρίνεται*] *simulata uero amicitia fallebat alexandrum* Lat *φιλεῖν* Herwerden *φιλίαν δὲ Ἀλεξάνδρου* Bekker *ὑπεκρίνετο* LTRC *ὑποδύνεται* Destinon 6 *ἑταῖρος* Bekker *ἑαυτὸν*] *αὐτὸν* LTRC *αὐτὸς* Bekker 7 *ἐδείχθη* C *συνίστα* LTRC *δ' αὐτὸν*] PAMLat *δὲ ἑαυτὸν* LTRC 8 δὲ LTRC 9 *ἄλλον*] *ἄλλῳ* LT¹R *ἄλλο* ex corr. T *ἄλλωσ, ω* ex *ο* corr. A *ὑπήει, ήει* i. ras. A 10 *τῷ*] *τὸν* M 11 *αὐτοῦ*] *αὐτῷ* L 12 *γεγεννημένοσ* PMTRC 16 *κατὰ* LTRC *πρὸς*] *πρὸσ ἀντίπατρον* (*ἀντίπατρον* expunctum) C 17 *τὴν αὐτῶν* tr. T *οὐ*] *εὐ* C 18 *ἀφῃρεῖται* C¹ *ὁ* om. LTRC 19 *δὲ* LTRC 20 *καὶ*] *atque ita* Lat *ἐνδυσάμενοσ* V 21 *προσεπεψεύδετο* LRT *προσεψεύδετο* C 22 *δ'*] *δὲ* LR *δὲ καὶ* C *αὐτὸν*] *αὐτῷ* R *αὐτὸν* ex *αὐτῶν* corr. Lips 23 *δὲ* LTRC 24 *καὶ* om. MLTRCLat fort. recte

τελευταῖον ἐργολαβήσας τὸν Ἀριστοβούλου καὶ Ἀλεξάνδρου θάνατον
κατήγορος αὐτῶν ἐπὶ τοῦ πατρὸς γίνεται καὶ προσελθὼν ἀντιδι-
δόναι τὸ ξῆν ἔφασκεν Ἡρῴδῃ τῶν εἰς αὐτὸν εὐεργεσιῶν καὶ τὸ
φῶς ἀμοιβὴν τῆς ξενίας ἀντιπαρέχειν· πάλαι γὰρ ἐπ' αὐτὸν ἐκο-
νῆσθαι ξίφος καὶ τὴν Ἀλεξάνδρου τετονῶσθαι δεξιάν, ἐμποδὼν δ'
αὐτὸς γεγονέναι τῷ τάχει συνεργεῖν ὑποχριθείς· φάναι γὰρ τὸν 521
Ἀλέξανδρον, ὡς οὐκ ἀγαπᾷ βασιλεύσας αὐτὸς Ἡρῴδης ἐν ἀλλοτρίοις
καὶ μετὰ τὸν τῆς μητρὸς αὐτῶν φόνον τὴν ἐκείνης ἀρχὴν οἰκαθήσας,
ἀλλ' ἔτι καὶ νόθον εἰσάγεται διάδοχον Ἀντιπάτρῳ τῷ φθόρῳ τὴν
παιτρῴαν αὐτῶν βασιλείαν προτείνων. τιμωρήσειν γε μὴν αὐτὸς
τοῖς Ὑρκανοῦ καὶ τοῖς Μαριάμμης δαίμοσιν· οὐδὲ γὰρ πρέπειν αὐτὸν
διαδέξασθαι παρὰ τοιούτου πατρὸς τὴν ἀρχὴν δίχα φόνου. πολλὰ 522
δ' εἶναι τὰ παροξύνοντα καθ' ἡμέραν, ὥστε μηδὲ λαλιᾶς τινα
ῥᾴστον ἀσυκοφάντητον καταλελεῖφθαι· περὶ μὲν γὰρ εὐγενείας
ἑτέρων μνείας γενομένης αὐτὸς ἀλόγως ὑβρίζεσθαι, τοῦ πατρὸς
λέγοντος „ὁ μόνος εὐγενὴς Ἀλέξανδρος καὶ τὸν πατέρα δι' ἀγένειαν
ὁδοῦων"· κατὰ δὲ τὰς θήρας προσκρούειν μὲν σιωπῶν, ἐπαινέσας
δὲ προσακούειν εἴρων. πανταχοῦ δ' ἀμείλικτον εὑρίσκειν τὸν πα- 523
τέρα καὶ μόνῳ φιλόστοργον Ἀντιπάτρῳ, δι' ὃν ἡδέως καὶ τεθνήξε-
σθαι μὴ κρατήσας τῆς ἐπιβουλῆς. πτείνοντι δὲ εἶναι σωτηρίας
ἀφορμὴν πρῶτον μὲν Ἀρχέλαον ὄντα κηδεστήν, πρὸς ὃν διαφεύ-
ξεσθαι ῥᾳδίως, ἔπειτα Καίσαρα μέχρι νῦν ἀγνοοῦντα τὸν Ἡρῴδου
τρόπον· οὐ γὰρ ὡς πρότερον αὐτῷ παραστήσεσθαι πειθοῖκῶς τὸν 524
ἐφεστῶτα πατέρα οὐδὲ φθέγξεσθαι περὶ τῶν ἑαυτοῦ μόνον ἐγκλη-
μάτων, ἀλλὰ πρῶτον μὲν κηρύξειν τὰς τοῦ ἔθνους συμφορὰς καὶ
τοὺς μεχρι ψυχῆς φορολογουμένους, ἔπειτ' εἰς οἵας τρυφὰς καὶ

§ 520 = Ant. Iud. XVI 307.

PAMLTRCLat Hegesippus I 41 p. 88.

2 αὐτῶν] *ipse* Lat ἐπὶ τοῦ πατρὸς om. Lat 5 ἐμποδὼν] ἐμπόδιον LTR δὲ LTRC 6 τάχει] *sceleri tanto* (*celeritati* Destinon) Lat 7 οὐκ ἀγαπᾷ] *non bene secum* (*herodem*) *actum putare* Lat 8 αὐτῶν] αὐτὸν P σπαθίσας PLR et ex corr. A 9 εἰσάγει LTR εἰσαγάγει C 10 αὐτὸς] αὐτὸν MLTRC 11 καὶ τοῖς] καὶ τῆσ AM καὶ LTRC μαριάμησ M 13 δὲ LTRC ὥστε] *quia* (*nihil*) *sibi* Lat, unde ᾧ γε Destinon 14 τόπον M μὲν om. P 15 ἑταίρων PA ἀ·λόγωσ L 16 διὰ LTRC δι' εὐγένειαν Naber 17 προσκρούει L¹ 18 δὲ LTRC εὑρίσκει L 19 ὅν] ὧν C (*ob*) *quae* Lat ὃ Destinon τεθνήξασθαι L 20 ἐπιβολῆς Destinon 21 διαφεύξεσθαι, εσ ex ασ corr. Lips 22 τὸν] τὴν L¹ 24 ἐ|φεστῶτα P φθέγξεσθαι] Bekker φθέγξασθαι codd. *loquturum* Lat αὐτοῦ LTRC μόνον ex μόνων corr. A 26 ἔπειτ', τ i. ras. A ἔπειθ' PM ἔπειτα LTRC τροφὰσ L¹TRC

πράξεις τὰ δι' αἵματος πορισθέντα χρήματα ἀνηλώθη, τούς τε ἐξ ἡμῶν πλουτήσαντας οἵοι, καὶ τὰς θεραπευθείσας πόλεις ἐπὶ
525 τίσιν. ζητήσειν δὲ καὶ τὸν πάππον ἐκεῖ καὶ τὴν μητέρα καὶ τὰ τῆς βασιλείας μύση πάντα κηρύξειν, ἐφ' οἷς οὐ κριθήσεσθαι πατροκτόνος. 5

526 3. Τοιαῦτα κατ' Ἀλεξάνδρου τερατευσάμενος Εὐρυκλῆς ἐπῆγε πολλὰ τὸν Ἀντίπατρον, ὡς ἄρα μόνος τε εἴη φιλοπάτωρ καὶ διὰ τοῦτο μέχρι νῦν τῆς ἐπιβουλῆς ἐμπόδιος. μήπω δὲ καλῶς ἐπὶ τοῖς πρώτοις ὁ βασιλεὺς κατεσταλμένος εἰς ἀνήκεστον ὀργὴν ἐξαγριοῦται.
527 καὶ πάλιν λαβὼν καιρὸν Ἀντίπατρος ἑτέρους κατὰ τῶν ἀδελφῶν 10 ἐπέπεμπεν κατηγόρους λέγειν, ὅτι Ἰουκούνδῳ καὶ Τυράννῳ λάθρα διαλέγοιντο τοῖς ἱππάρχοις μέν ποτε τοῦ βασιλέως γενομένοις, τότε δ' ἔκ τινων προσκρουσμάτων ἀποπεπτωκόσι τῆς τάξεως. ἐφ'
528 οἷς Ἡρῴδης ὑπεραγανακτήσας εὐθέως ἐβασάνισεν τοὺς ἄνδρας. ἀλλ' οἱ μὲν οὐδὲν τῶν διαβληθέντων ὡμολόγουν, προεκομίσθη δέ τις πρὸς 15 τὸν Ἀλεξανδρείου φρούραρχον ἐπιστολὴ παρὰ Ἀλεξάνδρου παρακαλοῦντος, ἵνα αὐτὸν δέξηται τῷ φρουρίῳ μετὰ Ἀριστοβούλου τοῦ ἀδελφοῦ κτείναντα τὸν πατέρα, καὶ παράσχῃ τοῖς ὅπλοις χρήσασθαι
529 καὶ ταῖς ἄλλαις ἀφορμαῖς. ταύτην Ἀλέξανδρος μὲν ἔλεγεν τέχνασμα εἶναι Διοφάντου· γραμματεὺς δ' ἦν ὁ Διόφαντος τοῦ βασιλέως, 20 τολμηρὸς ἀνὴρ καὶ δεινὸς μιμήσασθαι πάσης χειρὸς γράμματα·

§ 527 = Ant. Iud. XVI 313.

PAMLTRCLatHegesippus I 41 p. 88.

1 *ἀναλωθείη* LTRC 2 *ἐπὶ τίσιν*] *ἐπιστήσειν* PAM *qua (ue) causa* Lat 3 *ζητήσειν — μητέρα*] *ibi autem quaesiturum et aui et matris necem* Lat *repetiturum se ab inferis auum matrisque acerbissimam necem (demonstraturum)* Heg *ἐκεῖ*] *ἐκείνου* PAML² 6 *κατὰ* LTRC *ὁ εὐρυκλῆς* (εὑρ-L) LTRC 8 *ἐμπόδιον* LTRC 9 *ὁ βασιλεὺς ἐπὶ τοῖς πρώτοις* tr. LTRC 10 *καιρὸν*] *hoc tempus* Lat *Ἀντίπατρος*] *archelaus* Heg 11 *Τυράννῳ*] PALatHeg *τυραννίῳ* MLTRC; cf. Antiq. XVI 314 12 *ἱππάρχοις*] *ἱππάρχοις* A *ἱππάρχαις* LRC 13 *δὲ* L et m. 1 Lips *ἔκ τινων*] *ἔκτεινον* C *προσκρουμάτων* C et ex corr. T *ἀποπεπτοκόσι* C¹ *ἐφ' οἷς*] *εὐθὺς* P 14 *εὐθέως* om. P *ἐ·βασάνισε* R 15 *προσεκομίσθη* PAMTC *oblata* Lat *prolata* Heg 16 *τις πρὸς*] *quaedam uelut ad* Lat *Ἀλεξανδρείου*] Destinon ex Lat *ἀλεξάνδρου* PA *ἡρώδου* MLVRC *castelli alexandrii* Lat, cf. Ant. Iud. XVI 317 17 *τῷ φρουρίῳ*] *τοῦ φρουρίου* PAM, om. Lat, spurium putat Destinon, qui *τοῦ φρουρίου* olim u. 16 post *Ἀλεξανδρείου* extitisse putat; sed uide Ant. Iud. XVI 317 18 *κτείναντας* uertit Lat *παράσχῃ, η* ex *οι* corr. A *χρήσασθαι τοῖς ὅπλοις* tr. P 19 *ἀλέξεδρος* A *εἶναι ἔλεγεν τέχνασμα* tr. PAM; *εἶναι* spurium putat Destinon *ἤλεγχε* ex *ἔλεγε* corr. R 20 *δ' ἦν*] *δὲ ἦν* ALR *δὲ* T

πολλὰ γοῦν παραχαράξας τελευταῖον ἐπὶ τούτῳ [καὶ] κτείνεται. Διασανίσας δὲ τὸν φρούραρχον Ἡρώδης οὐδὲν ἤκουσεν οὐδὲ παρ' ἐκείνου τῶν διαβεβλημένων.

1. *Ἀλλὰ καίτοι τοὺς ἐλέγχους εὑρίσκων ἀσθενεῖς τοὺς υἱοὺς* 530
ἐκέλευσεν τηρεῖν, ἔτι μέντοι λελυμένους, τὸν δὲ λυμεῶνα τῆς οἰκίας καὶ δραματουργὸν ὅλου τοῦ μίσους Εὐρυκλέα σωτῆρα καὶ εὐεργέτην καλῶν πεντήκοντα δωρεῖται ταλάντοις. ὁ δὲ τὴν ἀκριβῆ φήμην φθάσας εἰς Καππαδοκίαν ἀργυρίζεται καὶ παρὰ Ἀρχελάου, τολμήσας εἰπεῖν ὅτι καὶ διαλλάξειεν Ἡρώδην Ἀλεξάνδρῳ. διάρας δ' εἰς 531
τὴν Ἑλλάδα τοῖς ἐκ κακῶν κτηθεῖσιν εἰς ὅμοια κατεχρήσατο· δὶς γοῦν ἐπὶ Καίσαρος κατηγορηθεὶς ἐπὶ τῷ στάσεως ἐμπλῆσαι τὴν Ἀχαΐαν καὶ περιδύειν τὰς πόλεις φυγαδεύεται. κἀκεῖνον μὲν οὕτως ἡ Ἀλεξάνδρου καὶ Ἀριστοβούλου ποινὴ περιῆλθεν.

5. *Ἄξιον δὲ ἀντιθεῖναι τὸν Κῶον Εὐάρεστον τῷ Σπαρτιάτῃ·* 532
καὶ γὰρ οὗτος ὢν ἐν τοῖς μάλιστα φίλοις Ἀλεξάνδρῳ καὶ κατὰ τὸν αὐτὸν Εὐρυκλεῖ καιρὸν ἐπιδημήσας πυνθανομένῳ τῷ βασιλεῖ περὶ ὧν ἐκεῖνος διέβαλλεν ὅρκοις τὸ μηδὲν ἀκηκοέναι τῶν μειρακίων ἐπιστώσατο. οὐ μὴν ὤνησέν γέ τι τοὺς ἀθλίους· μόνων γὰρ ἦν 533
τῶν κακῶν ἀκροατὴς ἕτοιμότατος Ἡρώδης καὶ κεχαρισμένος αὐτῷ πᾶς ὁ συμπιστεύων καὶ συναγανακτῶν.

XXVII. 1. *Παρώξυνεν δ' αὐτοῦ καὶ Σαλώμη τὴν ἐπὶ τοῖς τέκνοις* 534
ὠμότητα· ταύτην γὰρ συνδήσασθαι τοῖς κινδύνοις ὁ Ἀριστόβουλος θέλων οὖσαν ἐκυρὰν καὶ τηθίδα, διατέμπεται σώζειν ἑαυτὴν παρ-

§ 529 = Ant. Iud. XVI 319; § 530 = Ant. Iud. XVI 309; § 534 = Ant. Iud. XVI 322.

PAMLTRC Lat Hegesippus I 41 p. 88.

1 *καὶ* om. PAMLat *κτείνεται ἐπὶ τούτῳ* tr. A *ἐπὶ*] *ab* Lat 2 *φρούραρχον* R 5 *ἐκέλευσε* (ε finale i. ras. maiore A) AM 6 *μίσους, ὑ* ex *ι* corr. A *εὐρυκλέα* · A 7 *πεντήκοντα*] *εντήκοντα* C¹ *ὁ δὲ* — 9 *Ἀλεξάνδρῳ*] *ille autem prius quam certum fama nuntiaret ad archelaum properat aususque dicere, quod herodem reconciliasset alexandro, ab illo quoque pecunias capit* Lat 9 *καὶ* om. A *διαλάξειεν* A¹ *δὲ* LTRC 10 *ἐκ*] *ἐκ τῶν* (*τῶν* s. man. recens) T *δὶς γοῦν*] *postremo* Lat 13 *ἀριστοβούλου καὶ ἀλεξάνδρου* tr. LTRC 14 *τὸν*] *τῷ* P *κῶιον* R *Εὐάρεστον*] PAML² *εὐάρετον* T et ut uid. L¹ *εὐάρατον* RC et i. marg. T et Ant. Iud. XVI 312 *euaristum* Lat 15 *οὗτος* corr. ex *οὕτως* A *οὐτως* L *φίλος* Niese *τὸν αὐτὸν*] *τὸν αὐτὸν* | *τὸν* P *αὐτὸν τὸν* A 16 *εὐρυκλῆ* PA *εὐρυκλεῖ* L 17 *ὢν*] *ὦ* A *τὸ* om. LTRC *τῶν*] *παρὰ τῶν* MLTRC 18 *μόνον* PTC *solis* Lat 19 *ἕτοιμότατος* om. L fort. recte *ὁ ἡρώδης* L 20 *πᾶς* om. C 21 i. marg. *μϛ'* C *δὲ* LTRC 23 *ἐκυρὰν* PAML *τιτθίδα* T *ἑαυτὴν*] *αὐτὴν* L¹R *αὑτὴν* TC

αινῶν· παρεσκευάσθαι γὰρ βασιλέα κτείνειν αὐτὴν διαβληθεῖσαν
ἐφ' οἷς καὶ πρότερον, ὅτι Συλλαίῳ τῷ Ἄραβι γήμασθαι σπουδά-
ζουσα λάθρα τὰ τοῦ βασιλέως ἀπόρρητα διαγγέλλοι πρὸς αὐτὸν
535 *ἐχθρὸν ὄντα. τοῦτο δ' ὥσπερ τελευταία θύελλα χειμαζομένους*
τοὺς νεανίσκους ἐπεβάπτισεν· ἡ γὰρ Σαλώμη δραμοῦσα πρὸς βασι- 5
λέα τὴν παραίνεσιν ἐμήνυσεν. κἀκεῖνος οὐκέτι καρτερήσας δεσμεῖ
μὲν ἀμφοτέρους τοὺς υἱεῖς καὶ διεχώρισεν ἀπ' ἀλλήλων, πέμπει δὲ
πρὸς Καίσαρα διὰ τάχους Οὐολούμνιόν τε τὸν στρατοπεδάρχην καὶ
536 *τῶν φίλων Ὄλυμπον ἐγγράφους τὰς μηνύσεις φέροντας. οἱ δ' ὡς*
εἰς Ῥώμην πλεύσαντες ἀπέδοσαν τὰ ἀπὸ τοῦ βασιλέως γράμματα. 10
σφόδρα μὲν ἠχθέσθη Καῖσαρ ἐπὶ τοῖς νεανίσκοις, οὐ μὴν ᾤετο
537 *δεῖν ἀφελέσθαι τὸν πατέρα τὴν περὶ τῶν υἱῶν ἐξουσίαν. ἀντι-*
γράφει γοῦν κύριον μὲν αὐτὸν καθιστάς, εἰ μέντοι ποιήσειν λέγων,
εἰ μετὰ κοινοῦ συνεδρίου τῶν τε ἰδίων συγγενῶν καὶ τῶν κατὰ τὴν
ἐπαρχίαν ἡγεμόνων ἐξετάσειεν τὴν ἐπιβουλήν· κἂν μὲν ἐνέχωνται, 15
κτείνειν, ἐὰν δὲ μόνον ὧσιν δρασμὸν βεβουλευμένοι, κολάζειν μετρι-
ώτερον.

538 2. *Τούτοις Ἡρῴδης πείθεται, καὶ παραγενόμενος εἰς Βηρυτόν,*
ἔνθα προσέταξεν Καῖσαρ, συνῆγε τὸ δικαστήριον. προκαθίζουσίν
τε οἱ ἡγεμόνες γραφὲν αὐτοῖς ὑπὸ Καίσαρος. Σατορνῖνός τε καὶ 20
οἱ περὶ Πεδάνιον πρέσβεις, σὺν οἷς [καὶ] Οὐολούμνιος ἐπίτρο-

---

§ 534 sq. = Ant. Iud. XVI 322. 332; § 537 = Ant. Iud. XVI 356.

PAMLTRC Lat Hegesippus I 41 p. 89.

1 *παρεσκευάσθαι γὰρ*] *quasi rex decreuisset* Lat 2 *ὅτι* om. L¹TRC *σπουδάζουσαν* TRC 3 *διαγγέλοι* PAM 4 *τοῦτο — 5 ἐπεβάπτισεν*] *et hoc fuit extremum, quo tamquam tempestate oppressi adulescentes non secus ac turbine pessumdati sunt* Lat *τοῦτο δ'*] *ταῦτα* LTR *τοῦθ'* C fort. recte 5 *ἐβάπτισεν* M *πρὸς τὸν βασιλέα* L 6 *μηκέτι* LTRC *κρατήσας* et i. marg. *καρτερήσας* T 7 *υἱοὺς* LTR *διεχώρησεν* P *διαχωρίζει* LTRC 8 *οὐελούμνιον* P *ὀβελούμνιον* A *οὐολύμνιόν* MLRC *τε* om. PAM 9 *ὀλύμπιον* C *καὶ τῶν φίλων*] Destinon *καὶ τὸν φίλον* codd. *et ex amicis suis* Lat *ex amicis regis uiro* Heg *ἐγγράφους*] *ἐγγράφως* LTRC *descripta* Lat *δὲ* LTRC 10 post *τὰ* ras. 2—3 litt. (eras. fort. *τε*) P *ἀπὸ*] ex *ἐπὶ* corr. P, om. MC 11 *ὠ·ετο, ε* ex corr. L 12 *δεῖν, εἶν* m. 2 i. ras. 3 litt., quarum primae, ut uid., fuerunt *ευ* C *περὶ*] *κατὰ* MLTRC fort. recte 13 *γοῦν* om. A 15 *ἐνέχωνται, ἐν* ex corr. m. 2 R *ἔχωνται* (*ω* ex *ο* corr. A) PA *ἀνέχωνται* L et man. 1 Lips 16 *ἐὰν*] *ἂν* LTRC *κολάσειν* L¹TRC 18 *βηρυτὸν, υ* ex *ι* corr. A 19 *συνήγαγε* LTRC *προκαθέζουσίν* A *προκαθέζονται* MLTRC 20 *τε οἱ*] *τε οἵ τε* PA *δὲ οἱ* LTRC *γραφὲν*] *κατὰ τὸ γραφὲν* PAM *αὐτοῖς* om. L haud male *τε*] *δὲ* PA 21 *Πεδάνιον*] *δαιδάνιον* PA *peninius* aut *penaius* Lat *καὶ* om. PA *οὐολύμνιος* PMLRC *ὁ ἐπίτροπος* MLTRC

πος. ἔνθ' οἱ τοῦ βασιλέως συγγενεῖς καὶ φίλοι. Σαλώμη τε καὶ Φερώρας, μεθ' οὓς οἱ πάσης Συρίας ἄριστοι πλὴν Ἀρχελάου τοῦ βασιλέως· τοῦτον γὰρ ὄντα κηδεστὴν Ἀλεξάνδρου δι' ἐπιορίας εἶχεν Ἡρῴδης. τούς γε μὴν υἱοὺς οὐ προήγαγεν εἰς τὴν δίκην μάλα 539
5 κρυπτῶς· ἤδει γάρ, ὅτι καὶ μόνον ὀφθέντες ἐλεηθήσονται πάντως· εἰ δὲ δὴ καὶ λόγου μεταλάβοιεν, ῥᾳδίως Ἀλέξανδρον ἀπολύσεσθαι τὰς αἰτίας. ἀλλ' οἱ μὲν ἐν Πλατάνῃ κώμῃ Σιδωνίων ἐφρουροῦντο.

3. Καταστὰς δ' ὁ βασιλεὺς ὡς πρὸς παρόντας διετείνετο 540
κατηγόρει τε τὴν μὲν ἐπιβουλὴν ἀσθενῶς ὡς ἂν ἀπορούμενος εἰς
10 αὐτὴν ἐλέγχων. λοιδορίας δὲ καὶ σκώμματα καὶ ὕβρεις καὶ πλημμελείας μυρίας εἰς αὐτόν, ἃ καὶ θανάτου χαλεπώτερα τοῖς συνέδροις ἀπέφηνεν. ἔπειτα μηδενὸς ἀντιλέγοντος ἐποικτισάμενος, ὡς αὐτὸς ἁλίσκοιτο καὶ νικῶν νίκην πικρὰν κατὰ τῶν τέκνων, ἐπιρρώτα τὴν γνώμην ἑκάστου. καὶ πρῶτος Σατορνῖνος ἀπεφήνατο κατακρίνειν 541
15 μὲν τῶν νεανίσκων, ἀλλ' οὐ θάνατον· οὐ γὰρ εἶναι θεμιτὸν αὐτῷ τριῶν παρεστώτων τέκνων ἑτέρου τέκνοις ἀπώλειαν ἐπιψηφίσασθαι. σύμψηφοι δ' αὐτῷ καὶ οἱ δύο πρεσβευταὶ γίνονται, καὶ τούτοις ἕτεροί τινες ἠκολούθησαν. Οὐολούμνιος δὲ τῆς σκυθρωπῆς ἀπο- 542
φάσεως ἤρξατο, καὶ μετ' αὐτὸν πάντες θάνατον κατακρίνουσιν τῶν
20 μειρακίων, οἱ μὲν κολακεύοντες, οἱ δὲ μισοῦντες Ἡρῴδην καὶ οὐδεὶς δι' ἀγανάκτησιν. ἔνθα δὴ μετέωρος ἦ τε Συρία πᾶσα καὶ τὸ Ἰουδαϊκὸν 543
ἦν ἐκδεχομένων τὸ τέλος τοῦ δράματος· οὐδεὶς μέντοι ὑπελάμβανεν ἔσεσθαι μέχρι τεκνοκτονίας ὠμὸν Ἡρῴδην. ὁ δὲ σύρας τοὺς υἱοὺς εἰς Τύρον κἀκεῖθεν διαπλεύσας εἰς Καισάρειαν τρόπον ἀναιρέσεως
25 τοῖς μειρακίοις ἐσκέπτετο.

---

§ 538 = Ant. Iud. XVI 360.

PAMLTRCLatHegesippus I 41 p. 90.

1 ἔπειτα LTRC 2 μεθ' οὗ PM *post hos* Lat πάσης om. Lat 4 υἱεῖσ LTRC 5 ᾔδη T καὶ om. A πάντως] om. PAM *omni modo* Lat 6 δή] δεῖ P δή, ἡ ex ι corr. A ἀποδύεσθαι PAM ἀπολύ·εσθαι L *deluere* Lat 7 πλατάνι P *platenae* Lat Παλαεστῶ Ant. Iud. XVI 361 σιδονίων A 8 δὲ LTRC κακαστὰσ A διετείνετο] *commouebatur* Lat 10 δὲ] Bekker τε codd. *uero* Lat σκόμματα ALR¹C 11 ἃ] ἅσ L¹TRC χαλεπωτέρασ L¹RC et ut uid. T 12 ἀπέφαινεν LTRC ἐπικτισάμενοσ, τι ex τη corr. A 13 νικῶν] νικώη M et ut uid. Lat, in quo est *semet ipsum arguj miserabiliter questus acerbamque uictoriam uincere* τῶν om. LTRC κατὰ τῶν τέκνων cum sequentibus coniungit Lat 14 ἕκαστον LTRC καὶ om. LR κατακρίνειν] κρίνειν A 16 ἑτέρου C¹ ἑτέροισ C² 17 δὲ LTRC πρεσβύται ML et i. marg. T πρεσβεύται R litt. ευταὶ γίνονται i. ras. A 18 οὐολύμνιοσ MLRC ὁ οὐολούμνιοσ A 19 θάνατον πάντεσ tr. T 22 ἐκδεχόμενοι Bekker 23 υἱεῖσ LTRC

544 4. *Παλαιὸς δέ τις τοῦ βασιλέως στρατιώτης, ὄνομα Τίρων, ἔχων υἱὸν σφόδρα συνήθη καὶ φίλον Ἀλεξάνδρῳ καὶ αὐτὸς ἠγαπηκὼς ἰδίᾳ τὰ μειράκια, δι' ὑπερβολὴν ἀγανακτήσεως ἔκφρων ἐγίνετο, καὶ τὸ μὲν πρῶτον ἐβόα περιιὼν πεπατῆσθαι τὸ δίκαιον, ἀπολωλέναι τὴν ἀλήθειαν, συγκεχύσθαι τὴν φύσιν, ἀνομίας γέμειν τὸν βίον, καὶ πάνθ' ὅσα μὴ φειδομένῳ τοῦ ζῆν ὑπηγόρευε τὸ πάθος.*
545 *τέλος δὲ καὶ τῷ βασιλεῖ τολμήσας προσελθεῖν „ἀλλ' ἐμοὶ μέν, ἔφη, κακοδαιμονέστατος εἶναι δοκεῖς, ὅστις κατὰ τῶν φιλτάτων πείθῃ τοῖς πονηροτάτοις, εἴ γε Φερώρα καὶ Σαλώμης καταγνοὺς πολλάκις θάνατον πιστεύεις τούτοις κατὰ τῶν τέκνων, οἵ σε τῶν γνησίων περικόπτοντες διαδόχων ἐπ' Ἀντιπάτρῳ καταλείπουσι*
546 *μόνῳ, τὸν ἑαυτοῖς εὐμεταχείριστον αἱρούμενοι βασιλέα. σκέψαι μέντοι γε, μή ποτε κἀκείνῳ γένηται μῖσος ἐν τοῖς στρατιώταις ὁ τῶν ἀδελφῶν θάνατος· οὐ γὰρ ἔστιν ὅστις οὐκ ἐλεεῖ τὰ μειράκια, τῶν δὲ ἡγεμόνων καὶ φανερῶς ἀγανακτοῦσιν πολλοί.“ ταῦθ' ἅμα λέγων ὠνόμαζεν τοὺς ἀγανακτοῦντας. ὁ δὲ βασιλεὺς εὐθέως ἐκείνους τε καὶ αὐτὸν καὶ τὸν υἱὸν αὐτοῦ συνελάμβανεν.*
547 5. *Ἐφ' ᾧ τῶν ἐκ τῆς αὐλῆς τις κουρέων, Τρύφων ὄνομα, προεκπηδήσας ἔκ τινος Θεοβλαβείας ἑαυτοῦ μηνυτὴς γίνεται. „κἀμὲ γάρ, ἔφη, Τίρων οὗτος ἀνέτειθεν, ὅταν θεραπεύω τῷ ξυρῷ σε διαχειρίσασθαι, μεγάλας τέ μοι παρ' Ἀλεξάνδρου δωρεὰς ὑπισχνεῖτο.“*
548 *ταῦτ' ἀκούσας Ἡρώδης τόν τε Τίρωνα σὺν τῷ παιδὶ καὶ τὸν κουρέα*

§ 544 = Ant. Iud. XVI 375.

PAMLTRCLatHegesippus I 41 p. 92.

1 *ὀνόματι* PAM *τήρων* PAMTC² *tyro* Lat Heg; cf. Ant. Iud. XVI 375 2 *συνήθει* P *ἔφρων* R¹ *ἐγένετο* MLTRC 4 *περιῶν* L 5 *γέμην* A 6 *πάντα* LR *φειδομένου* PA¹ 7 *προσελθεῖν*] *εἰσελθεῖν* M 9 *πείθει* C¹ *τοῖσ πονηροτάτοισ* ex *τοὺσ πονηροτάτουσ* corr. L *σαλώμηι, ι* suppletum uid. L 10 *πιστεύει* C *οἵ* — 12 *βασιλέα*] *neque aduersus (aduertis* ed. Basil.) *hoc eos agere ut iustis successoribus destitutus cum solo remaneas antipatro capi facilem regem optantes* Lat *quid eos aliut agere nisi consulere uindictae, ut destitutus idoneis successoribus ad unum inclinaret ceteris infirmiorem, qui facile subduceretur* Heg *οἵ*] *οὕ* Destinon sententiam interrogatiuam inducens 11 *περικόπτονται* C *διαδοχῶν* C *καταλίπουσι* A 12 *μόνῳ, τον*] MLRCLat *μονώτατον* PAL² *μόνον τὸν* T *ἑαυτοῖς*] PAML² *αυτοῖσ* L¹ *αὐτοῖσ* TRC *σκέψαι μέντοι γε*] *σκεψάμενοί γε* L¹R et i. marg. T *uerum tamen cogita* Lat 13 *γένηται, ε* ex *ι* corr. A 14 *τῶν*] *omnium* Lat 15 *ταῦτα* LLips *συνελάμβανε* L 18 *τῶν*] *τὸν* L 19 *θεοβλαβείας*] *φρενοβλαβείασ* MLTRC *αὐτοῦ* T 20 *τήρων* PAMTC² *tyro* LatHeg *διαχειρίσασθαι*] *διαχρήσασθαι* LTRC 21 *παρὰ* PLTRC 22 *ταῦτα* LTRC *τήρωνα* PAMTC² *tyronem* LatHeg

βασάνοις διήλεγχεν, καὶ τῶν μὲν ἁρνουμένων. τοῦ δὲ μηδὲν ἧττον
λέγοντος, στρεβλοῦν ἐκέλευσεν τὸν Τίρωνα σφοδρότερον. ὁ δ' 549
υἱὸς οἰκτείρας ὑπέσχετο τῷ βασιλεῖ πάντα μηνύσειν, εἰ χαρί-
σαιτο τὸν πατέρα αὐτῷ. κἀκείνου δόντος εἶπεν, ὡς ὁ πατὴρ αὐτοῦ
πεισθεὶς Ἀλεξάνδρῳ θελήσειεν αὐτὸν ἀνελεῖν. τοῦθ' οἱ μὲν εἰς
ἀπαλλαγὴν τῆς τοῦ πατρὸς αἰκίας πεπλάσθαι, τινὲς δὲ ἀληθὲς
ἔλεγον.

6. Ἡρώδης γε μὴν ἐν ἐκκλησίᾳ τῶν τε ἡγεμόνων καὶ Τίρωνος 550
κατηγορήσας τὸν λαὸν ἐπ' αὐτοὺς ἐστρατολόγησεν· αὐτόθι γοῦν
ἀναιροῦνται μετὰ τοῦ κουρέως ξύλοις βαλλόμενοι καὶ λίθοις. πέμψας 551
δὲ καὶ τοὺς υἱεῖς εἰς Σεβαστὴν οἰσαν οὐ πόρρω τῆς Καισαρείας
προσέταξεν ἀποπνῖξαι. καὶ τελεσθέντος αὐτῷ ταχέως τοῦ προστάγ-
ματος τοὺς νεκροὺς εἰς Ἀλεξάνδρειον ἐκέλευσεν ἀνακομισθῆναι τὸ
φρούριον συνταφησομένους Ἀλεξάνδρῳ τῷ μητροπάτορι. τὸ μὲν
οὖν Ἀλεξάνδρου καὶ Ἀριστοβούλου τέλος τοιοῦτον.

XXVIII. 1. Ἀντιπάτρῳ δὲ ἀδήριτον ἔχοντι τὴν διαδοχὴν μῖσος μὲν 552
ἀφόρητον ἐκ τοῦ ἔθνους ἐπεγείρεται πάντων ἐπισταμένων, ὅτι τὰς
διαβολὰς τοῖς ἀδελφοῖς πάσας ἐπισυντάξειεν οὗτος, ἐποικοῦρει δὲ
καὶ δέος οὐ μέτριον αὐξανομένην ὁρῶντι τὴν τῶν ἀνῃρημένων γενεάν·
ἦσαν γὰρ Ἀλεξάνδρῳ μὲν ἐκ Γλαφύρας υἱεῖς δύο Τιγράνης καὶ Ἀλέ-
ξανδρος, Ἀριστοβούλῳ δ' ἐκ Βερνίκης τῆς Σαλώμης Ἡρώδης μὲν
καὶ Ἀγρίππας καὶ Ἀριστόβουλος υἱοί, θυγατέρες δὲ Ἡρωδιὰς
καὶ Μαριάμμη. τὴν μὲν οὖν Γλαφύραν μετὰ τῆς προικὸς Ἡρώδης 553
ἀπέπεμψεν εἰς Καππαδοκίαν, ὡς ἀνεῖλεν Ἀλέξανδρον, τὴν Ἀριστο-

---

§ 548 = Ant. Iud. XVI 389; § 552 = Ant. Iud. XVII 1; cf. XVIII 130.

PAMLTRC Lat Hegesippus I 41 p. 93.

1 τοῦ ex τῶν corr. C 2 ἐκέλευε T τήρωνα PAMTC² *tyronem* LatHeg σφοδρώτερον A¹ δ'] δὲ LTRC *tumque* Lat 3 χαρίσαι A 4 κἀκείνου δόντος] *eoque relaxato* Lat αὐτοῦ ex αὐτοὺς corr. L 5 ἀνελεῖν, ν ante ε i. ras. L τοῦτ' PA¹ τοῦτον L τοῦτο TRC 8 τήρωνος PAMTC² *tyrone* LatHeg 9 ἐστρατολόγησεν, εν ex αν corr. A 11 οὐ om. LC 13 ἀλεξάνδριον LR 15 τοιοῦτον] τοιοῦτον ἦν (ἦν suppl. P) PAM et ut uid. Lat 16 μὲν om. MLTRC 18 πάσας] πᾶσιν L πλάσας et i. marg. πάσας T, om. C 19 δέους C αὐξομένην LTRC αὐξανομένην — γενεάν] *crescente subole peremptorum* Lat ὁρῶν C 20 γλαφύρας, γ uid. suppletum M λαφύρας AC λαφυρᾶς L γλαφυρᾶς R 21 δὲ PLTRC βερονίκης M *beronice* LatHeg Σαλώμης] σαλώμης θυγατρ σ TC 23 μαριάμη M γλαφυρὰν LR ἡρώδης μετὰ τῆς προικὸς tr. LTRC 24 ἀνέπεμψεν M ἀριστοβόλου A *aristoboli coniugem* Lat

βούλου δὲ Βερνίκην συνῴκισεν Θείῳ πρὸς μητρὸς Ἀντιπάτρου· τὴν γὰρ Σαλώμην οὖσαν διάφορον ἐξοικειούμενος ὁ Ἀντίπατρος τοῦτον
554 ἐπραγματεύσατο τὸν γάμον. περιῆει δὲ καὶ τὸν Φερώραν δώροις τε καὶ ταῖς ἄλλαις θεραπείαις καὶ τοὺς Καίσαρος φίλους οὐκ ὀλίγα πέμπων ἐπὶ Ῥώμης χρήματα. οἵ γε μὴν περὶ Σατορνῖνον ἐν Συρίᾳ πάντες ἐνεπλήσθησαν τῶν ἀπ' αὐτοῦ δωρεῶν. ἐμισεῖτο δὲ διδοὺς πλεῖον, ὡς ἂν οὐκ ἐκ τοῦ μεγαλοψύχου χαριζόμενος ἀλλ' ἀναλίσκων
555 κατὰ δέος. συνέβαινεν δὲ τοὺς μὲν λαμβάνοντας οὐδὲν μᾶλλον εὐνοῦς γίνεσθαι, χαλεπωτέρους δ' ἐχθροὺς οἷς μὴ διδοίη. λαμπροτέρας δὲ καθ' ἡμέραν ἐποιεῖτο τὰς διαδόσεις ὁρῶν τὸν βασιλέα παρ' ὃς αὐτὸς ἐλπίδας εἶχεν ἐτιμελούμενον τῶν ὀρφανῶν καὶ τὴν ἐπὶ τοῖς ἀνηρημένοις μετάνοιαν ἐμφαίνοντα δι' ὧν ἠλέει τοὺς ἐξ ἐκείνων.

556 2. Συναγαγὼν γάρ ποτε Ἡρώδης συγγενεῖς τε καὶ φίλους παραστησάμενός τε τὰ παιδία καὶ θακρύων ἐμπλήσας τοὺς ὀφθαλμοὺς εἶπεν· „ἐμὲ τοὺς μὲν τούτων πατέρας δαίμων σκυθρωπὸς ἀφείλετο, ταῦτα δέ μοι μετὰ τῆς φύσεως συνίστησιν ἔλεος ὀρφανίας. πειρῶμαι δ', εἰ καὶ πατὴρ ἐγενόμην ἀτυχέστατος, πάππος γοῦν γενέσθαι κηδεμονικώτερος καὶ μετ' ἐμὲ ἡγεμόνας αὐτοῖς ἀπολι-
557 πεῖν τοὺς ἐμοὶ φιλτάτους. ἐγγυῶ δὲ τὴν μὲν σήν, ὦ Φερώρα,

§ 553 sq. = Ant. Iud. XVII 6 sq.

PAMLTRC Lat Hegesippus I 42 p. 93.

1 δὲ] δὲ γαμετὴν Destinon ex PA (uide notam insequentem) *beronicen* Lat συνῴκισεν] συνῴκησε LR συνῴκησεν (συνῴκισεν ex corr. A) αὐτὴν PA 2 ἐξοικειούμενος L τοῦτον L 3 περιῆει] περιέθει LTRC περιέπει Hudson τὸν om. LTRC φερώρα A 5 ἐπὶ Ῥώμης] εἰσ τὴν ῥώμην AMLTRC 6 ἐπλήσθησαν LTRC ἔπ' αὐτοῦ T ἐμισεῖτο δὲ] *hoc autem magis inuisus erat eunctis* Lat 7 ἀλλὰ LTRC 8 δὲ] δὴ LR¹C τε Niese 9 δὲ LTRC διδοίη] Dindorf διδώη (διδόῃ M¹) codd. λαπροτέρασ A 11 ἐπιμελόμενον C 12 ἐκφαίνοντα R ἐμφανίζοντα et i. marg. ἐμφαίνοντα T συνεμφαίνοντα ed. pr. 14 ποτε] τότε L¹R, om. Lat φίλους] τοὺσ φίλουσ ALRC 15 τοῖσ ὀφθαλμοῖσ C¹ 16 μὲν om. Hudson πατέρας om. L¹R πατέρασ τούτων tr. C σκυθρωποὺσ R¹ 17 ἀφείλατο L¹R σκυθρωπὸσ ἀφειλετο δαίμων tr. LTRC fort. recte μετα·τῆσ, eras. *v* L 18 δὲ LTRC πατὴρ] πηρ (h. e. πατὴρ) corr. ex μηρ (μήτηρ) m. 2 C 19 γενέσθαι κηδεμονικώτερος] φανῆναι μετριώτεροσ LTRC *sim prouidentior* Lat *esse sollicitior* Heg μετ' ἐμὲ ἡγεμόνας] *a quibus post me regantur* Lat ἡγεμόνας αὐτοῖς] ἡγεμόνασ αὐτοὺσ PA κηδεμόνασ αὐτοῖσ MLTRC *defensores* Heg καταλιπεῖν PC² καταλειπεῖν C¹ ad 18—20 γρ πάπποσ γοῦν φανῆναι μετριώτεροσ καὶ μὴ ἐμὲ κηδεμόνασ (α eras. A) αὐτοῖσ καταλιπεῖν τοὺσ ἐμοὶ φιλτάτουσ i. marg. PA 20 δὲ] *igitur* Lat δὴ ex LatHeg Destinon ὦ om. L¹TRC

θυγατέρα τῷ πρεσβυτέρῳ τῶν ἀδελφῶν Ἀλεξάνδρου παίδων. ἵνα
ᾖς αὐτῷ κηδεμὼν ἀναγκαῖος, τῷ δὲ σῷ παιδί, Ἀντίπατρε, τὴν
Ἀριστοβούλου θυγατέρα· γένοιτο γὰρ ἂν οὕτω παιρὸς τῆς ὀργαν-
ῆς. καὶ τὴν ἀδελφὴν αὐτῆς ὁ ἐμὸς Ἡρῴδης λήψεται πρὸς μητρὸς ὢν
5 ἀρχιερέως πάππου. τὰ μὲν οὖν ἐμὰ ταύτην ἐχέτω τὴν κρίσιν, ἣν 558
διακόψῃ μηδεὶς τῶν ἐμὲ φιλούντων· ἐπείχομαι δὲ καὶ τῷ θεῷ
συναρμόσαι τοὺς γάμους ἐπὶ συμφέροντι τῆς ἐμῆς βασιλείας καὶ
τῶν ἐμῶν ἐκγόνων τά τε παιδία ταυτὶ γαληνοτέροις ἐπιδεῖν ὄμμασιν
ἢ τοὺς πατέρας αὐτῶν.“

10 3. [ἐπειδὴ] ταῦτα εἰπὼν ἀπεδάκρυσέν τε καὶ τῶν παίδων συν- 559
ήρμοσεν τὰς δεξιάς, ἔπειτα καταπασάμενος ἕκαστον φιλοφρόνως
διέλυσεν τὸ συνέδριον. ἐπαχνώθη δ' εὐθὺς Ἀντίπατρος καὶ δῆλος
ἦν ἅπασιν ἐδυνάμενος· ἐπελάμβανεν γὰρ εἶναι παρὰ τῷ παιρὶ τὴν
τῶν ὁρφανῶν τιμὴν ἑαυτοῦ κατάλυσιν αὖθίς τε κινδυνεύσειν περὶ
15 τῶν ὅλων, εἰ πρὸς Ἀρχελάῳ καὶ Φερώραν ὄντα τετράρχην βοηθὸν
ἔχοιεν οἱ Ἀλεξάνδρου παῖδες. συνελογίζετο δὲ τὸ ἑαυτοῦ μῖσος καὶ 560
τὸν τῶν ὁρφανῶν ἔλεον ἐκ τοῦ ἔθνους, ὅσοι τε στοιδῇ ζώντων καὶ
ὅσοι μνήμῃ παρὰ Ἰουδαίοις τῶν δι' αὐτὸν ἀπολωλότων ἦν ἀδελφῶν.
ἔγνω δὴ πάντα τρόπον διακόπτειν τὰς ἐγγύας.

20 4. Καὶ τὸ μὲν ὑπιέναι πανούργως ἔδεισε τὸν πατέρα χαλεπὸν 561
ὄντα καὶ πρὸς τὰς ὑποψίας κινούμενον ὀξέως, ἐτόλμησεν δὲ προσελ-

---

§ 557 = Ant. Iud. XVII 14.

PAMLTRC LatHegesippus I 42 p. 94.

1 *ἀδελφῶν*] om. LatHeg recte iudice Destinone 2 *σῷ δὲ* tr. LTRC 4 *ἀδελφὴν*] *ἀδελφὴν δὲ* MLTRC *ὢν*] *ὢν* (*ὢν* C) *υἱὸς* TC 5 *τὰ — κρίσιν*] *et de his quidem hoc sit iudicium meum* Lat et similiter Heg *τὰ μὲν οὖν ἐμὰ*] *ὁ ἀγαπῶν μὲν οὖν ἐμὲ* LTRC *κρίσιν*] *γνώμην* LTRC 6 *διακόψει* PALTRC *dirimat* Lat *τῶν ἐμὲ φιλούντων*] *ἐμὲ φιλῶν* LTRC *qui me amabit* Lat 7 *συναρμόσασθαι* LTRC *συνομόσασθαι* i. marg. T *τοὺς*] *τούτους τοὺς* C 8 *ἐγγόνων* MLR *nepotum* Lat *ταυτὶ*] *ταῦτα* PAM *hos* Lat *ἐπιδεῖν*] *ἰδεῖν* PAM 10 *ἐπειδὴ — ἀπεδάκρυσέν*] *postquam haec locutus est, effleuit* Lat *ἐπειδὴ*] PAM *ἐπεὶ δὲ* LTR *ἔτι* C; *ἐπειδὴ* fort. ex *ἐπιδεῖν* factum et huc delatum est; *ἐπεῖδε* proponit Destinon cum prioribus coniungendum *ἀπεδάκρυσέν*] *ἐπεδάκρυσέ* M *ἐδάκρυσέ* LRC 12 *τὸ συνέδριον*] *τὸν σύλλογον* LTRC haud male *δὲ* LTR 13 *ὀδυνόμενος* L *ὠδυνώμενος* R^2 *παρὰ*] *καὶ παρα* LRLat 14 *ἑαυτοῦ*] *αὐτοῦ* LTR *κινδυνεύειν*, i. marg. *γρ κινδυνεύσειν* R 15 *φερώρα* PA^1 16 *τὸ*] *τό θ'* C *τὸ καθ'* ed. pr. 18 *αὐτὸν, ὁ* ex corr. m. 2 C 19 *ἐγγυάς* P 20 *ὑπιέναι*] cod. Lugd. Bat. teste Hauerkampo *ὑπεῖναι* (*υ* i. ras. A) PAMLTR *ὑπομεῖναι* C *subrepere* ut uid. Lat *ἔδεισε*] *ἔδησε* C *χαλεπὸν ὄντα*] *χαλεπαίνοντα* PAM *saeuienti* Lat 21 *τὰς* om. L *κινούμενον*] *uigilantem* Lat *ὀξέως*] *εὐθέως* LTRC *acriter* Lat *ὀξέως εἰδώς* Niese

θῶν ἱκετεύειν ἄντικρυς μὴ στερίσκειν αὐτὸν ἧς ἠξίωσεν τιμῆς, μηδὲ
αὐτῷ μὲν ὄνομα βασιλείας, δύναμιν δὲ ὑπάρχειν ἄλλοις· οὐ γὰρ
κρατήσειν τῶν πραγμάτων, εἰ πρὸς Ἀρχελάῳ πάπτῳ καὶ Φερώραν
562 *κηδεστὴν ὁ Ἀλεξάνδρου παῖς προσλάβοι. κατηντιβόλει δὲ πολλῆς*
οὔσης γενεᾶς κατὰ τὸ βασίλειον μεταθεῖναι τοὺς γάμους· ἦσαν γὰρ
τῷ βασιλεῖ γυναῖκες μὲν ἐννέα, τέκνα δὲ ἐκ τούτων ἑπτά, αὐτὸς
μὲν Ἀντίπατρος ἐκ Δωρίδος, Ἡρώδης δ' ἐκ Μαριάμμης τῆς τοῦ
ἀρχιερέως θυγατρός, Ἀντίπας δὲ καὶ Ἀρχέλαος ἐκ Μαλθάκης τῆς
Σαμαρείτιδος, καὶ θυγάτηρ Ὀλυμπιάς, ἣν ὁ ἀδελφιδοῦς αὐτοῦ Ἰώσηπος εἶχεν, ἐκ δὲ τῆς Ἱεροσολυμίτιδος Κλεοπάτρας Ἡρώδης καὶ
563 *Φίλιππος, ἐκ δὲ Παλλάδος Φασάηλος. ἐγένοντο δ' αὐτῷ καὶ ἄλλαι*
θυγατέρες Ῥωξάνη τε καὶ Σαλώμη, ἡ μὲν ἐκ Φαίδρας, ἡ δὲ ἐξ
Ἐλπίδος. δύο δ' εἶχεν ἀτέκνους, ἀνεψιάν τε καὶ ἀδελφιδῆν. χωρὶς
δὲ τούτων δύο ἀδελφὰς Ἀλεξάνδρου καὶ Ἀριστοβούλου τὰς ἐκ
Μαριάμμης. οὔσης δὲ πολυπροσώπου τῆς γενεᾶς ὁ Ἀντίπατρος
ἐδεῖτο μετατεθῆναι τοὺς γάμους.

564 5. *Χαλεπῶς δ' ὁ βασιλεὺς ἠγανάκτησεν καταμαθὼν αὐτοῦ τὸ*
πρὸς τοὺς ὀρφανοὺς ἦθος. ἔννοιά τε αὐτῷ παρέστη περὶ τῶν ἀνηρημένων, μή ποτε κἀκεῖνοι γένοιντο τῶν Ἀντιπάτρου διαβολῶν
565 *ἀγώνισμα. τότε μὲν οὖν πολλὰ πρὸς ὀργὴν ἀποκρινάμενος ἀπε-*
λαύνει τὸν Ἀντίπατρον, αὖθις δὲ ὑπαχθεὶς αὐτοῦ ταῖς κολακείαις
μεθηρμόσατο, καὶ αὐτῷ μὲν τὴν Ἀριστοβούλου συνῴκισεν θυγατέρα,
τὸν δὲ υἱὸν αὐτοῦ τῇ Φερώρα θυγατρί.

566 6. *Καταμάθοι δ' ἄν τις, ὅσον ἴσχυσεν ἐν τούτοις κολακεύων*

---

§ 561 = Ant. Iud. XVII 17.

PAMLTRCLatHegesippus I 42 p. 95.

1 ἠξίωσε, ω s. m. 2 L 2 ὑπάρχειν] ὑπερέχειν C 3 κρατήσει PA 5 το] τὸ · LR γὰρ] γὰρ δὴ LTRC 6 μὲν i. marg. suppl. A δ' A τούτων] τῶν LTRC 7 Δωρίδος] doside LatHeg δὲ LTR μαριάμης M 8 μαλθάκης PA μαλθακῆς LR martace Lat 9 σαμαρίτιδος C^1 ἀδελφιδὸς PT¹R ἀδελφὸς LC frater Lat iosippus Lat ioseppus ut uid. Heg 10 ἱεροσολυμήτιδος L 11 δὲ LTRC ἄλλαι · R θυγατέραις R 12 ῥαξώνη C hosamen (acc.) codd. quidam Lat φέδρας LR 13 Ἐλπίδος] lopide (abl.) codd. aliquot Lat δὲ LTRC ἀδελφὴν PAMCLat 15 μαριάμης M ὁ om. L Ἀντίπατρος] archelaus Heg 16 ἠδεῖτο, ἡ ex αἱ corr. m. 2 C μεταθεῖναι M et i. marg. T 17 δὲ LTRC 18 τοὺς om. L ἔννοιάς A^1 21 δ' C 22 καὶ] ac primum Lat συνώκησεν (-σε R) PA¹LR 24 ὅσον] ὅσον ἴσον ed. pr. τούτω LTRC

Ἀντίπατρος, ἐκ τοῦ Σαλώμην ἐν ὁμοίοις ἀποτυχεῖν. ταύτην γὰρ δὴ καίπερ οὖσαν ἀδελφὴν καὶ πολλὰ διὰ Λιονίας τῆς γυναικὸς Καίσαρος ἱκετεύουσαν γαμηθῆναι τῷ Ἄραβι Συλλαίῳ, διωμόσατο μὲν ἐχθροτάτην ἕξειν, εἰ μὴ παύσαιτο τῆς σπουδῆς, τὸ δὲ τελευ-
5 ταῖον ἄκουσαν Ἀλεξᾷ τινι τῶν φίλων συνῴκισεν καὶ τῶν θυγατέρων αὐτῆς τὴν μὲν τῷ Ἀλεξᾷ παιδί, τὴν δ' ἑτέραν τῷ τρὸς μητρὸς Ἀντιπάτρου θείῳ. τῶν δ' ἐκ Μαριάμμης θυγατέρων ἡ μὲν ἀδελφῆς υἱὸν Ἀντίπατρον εἶχεν, ἡ δὲ ἀδελφοῦ Φασάηλον.

XXIX. 1. Διακόψας δὲ τὰς τῶν ὀρφανῶν ἐλπίδας ὁ Ἀντι- 567
10 πατρος καὶ πρὸς τὸ συμφέρον αὐτῷ τὰς ἐπιγαμίας ποιησάμενος ὡς ἐπὶ βεβαίοις μὲν ὥρμει ταῖς ἐλπίσιν, προσλαβὼν δὲ τῇ κακίᾳ τὸ πεποιθὸς ἀφόρητος ἦν· τὸ γὰρ παρ' ἑκάστῳ μῖσος ἀποσκευάσασθαι μὴ δυνάμενος ἐκ τοῦ φοβερὸς εἶναι τὴν ἀσφάλειαν ἐπορίζετο. συνήργει δὲ καὶ Φερώρας ὡς ἂν ἤδη καὶ βασιλεῖ βεβαίῳ. γίνεται 568
15 δὲ καὶ γυναικῶν σύνταγμα κατὰ τὴν αὐλήν, ὃ νεωτέρους ἐκίνησεν θορύβους· ἡ γὰρ Φερώρα γυνὴ μετὰ τῆς μητρὸς καὶ τῆς ἀδελφῆς προσλαβοῦσα καὶ τὴν Ἀντιπάτρου μητέρα πολλὰ μὲν ἐσέλγαινεν κατὰ τὸ βασίλειον, ἐτόλμησεν δὲ καὶ τοῦ βασιλέως ὑβρίσαι δύο θυγατέρας, δι' ἃ δὴ μάλιστα ταύτην ἐκεῖνος προβέβλητο· μισοί-
20 μεναί γε μὴν ὑπ' αὐτοῦ τῶν ἄλλων ἐπεκράτουν. μόνη δὲ τῆς 569

§ 566 = Ant. Iud. XVII 10; § 567 = Ant. Iud. XVII 33.

PAMLTRC Lat Hegesippus I 42 p. 96.

1 ἐν ὁμοίοις] ἐν ὁμοίοις οὖσαν MLTRC *in simili causa* Lat 2 δη om. M καὶ om. C Λιονίας] λενίας PA *Iovliae* MLTRCLat *Liuiae* Heg; etiam infra § 641 λενίας in PA traditur, ut Λιβίας uel Λιονίας Iosephus dedisse uideatur. quamquam in Antt. semper Iulia uocatur Augusti uxor (XVI 135. XVII 10. 141. 146. 190. XVIII 31. 33) et in bello Iud. II 167 idem nomen ab omnibus fere testibus traditur; quare aliquid dubii restat τῆς καίσαρος γυναικὸς tr. LTRC 3 Ἄραβι] *arabum regi* Lat διωμόσατο] *non passus est sed iurauit* Lat 4 ἕξειν] ἔχειν PAM σποδῆς C¹ 5 ἀλεξᾷ, ᾷ i. ras., ι suppletum uid. A *alexae* Lat *alexandro* Heg συνῴκησε (-σεν PA) PA¹LR 6 Ἀλεξᾷ] ἀλεξάνδρου PAMLat δὲ AMLTR 7 σπουδάσαντος ὡς ἔφαμεν ἀντιπάτρου post θείῳ adduunt PAM sine dubio spuria; cf. Ant. XVII 9 δὲ AMLTRC μαριάμης M 9 ὀρ | ανῶν C¹ 11 ὡς om. LTRC et fort. Lat ὡς — ἐλπίσιν] *expectatione certa nitebatur* Lat ὥρμει] ὥρμησεν (-σε M) PAM προσβαλὼν Dindorf δὲ] δὴ L 12 παρ' ἑκάστῳ] ἑκάστου MLTRC fort. recte 13 φοβερῶς C ἐπωρίζετο R 14 καὶ ante βασιλεῖ om. AMLTRCLat 15 γυναικῶν om. L 17 καὶ om. LTRC εἰσέλγαινε C¹ 18 Pherorae filias a muliere illa iniuriam passas esse Ant. XVI 34 narratur 19 δι' — προβέβλητο] *cui rei maxime ab antipatro erat obiecta* Lat δι' ἃ δὴ] διὰ (δια A) δὴ PA διὸ LTR δι' ὃ C ταύτην] αὐτὴν LTRC

ὁμονοίας αὐτῶν ἀντίπαλος ἦν Σαλώμη καὶ βασιλεῖ διέβαλλεν τὴν
σύνοδον ὡς οὐκ ἐπ' ἀγαθῷ τῶν αὐτοῦ πραγμάτων εἴη. γνοῦσαι δ'
ἐκεῖναι τὴν διαβολὴν καὶ ὡς ἀγανακτήσειεν Ἡρώδης, τῆς μὲν φα-
νερᾶς συνόδου καὶ τῶν φιλοφρονήσεων ἐπαύσαντο, τοὐναντίον δ'
ὑπεκρίνοντο καὶ διαφέρεσθαι πρὸς ἀλλήλας ἀκούοντος βασιλέως·
αἷς συνυπεκρίνετο καὶ Ἀντίπατρος ἐν τῷ φανερῷ προσκρούων
570 *Φερώρᾳ. συνουσίαι δὲ ἦσαν αὐτῶν λάθρα καὶ κῶμοι νυκτερινοί,*
τήν τε ὁμόνοιαν ἡ παρατήρησις ἐπέτεινεν. ἠγνόει δὲ οὐδὲν Σαλώμη
τῶν πραττομένων καὶ πάντα Ἡρώδῃ διήγγελλεν.

571 2. *Ἐξεκαίετο δ' ἐκεῖνος εἰς ὀργὴν καὶ μάλιστα ἐπὶ τὴν Φερώρου*
γυναῖκα· ταύτην γὰρ πλέον ἢ Σαλώμη διέβαλλεν. ἀθροίσας οὖν
συνέδριον τῶν τε φίλων καὶ συγγενῶν ἄλλα τε πολλὰ τῆς ἀνθρώ-
που κατηγόρει καὶ τὴν εἰς τὰς ἑαυτοῦ θυγατέρας ὕβριν, ὅτι τε
Φαρισαίοις μὲν χορηγήσειεν μισθοὺς κατ' αὐτοῦ καὶ τὸν ἀδελφὸν
572 *αὐτῷ κατασκευάσειεν πολέμιον ἐνδησαμένη φαρμάκοις. τελευταῖον*
δ' εἰς Φερώραν ἀπέστρεφεν τὸν λόγον, δυοῖν θάτερον ἐλέσθαι λέγων, ἢ
ἑαυτὸν ἀδελφὸν ἢ τὴν γυναῖκα. τοῦ δὲ θάττον ἀπολείψειν τὸ ζῆν
ἢ τὴν γυναῖκα φήσαντος, οὐκ ἔχων ὅ τι χρὴ δρᾶν μετέβαινεν ἐπ'
Ἀντίπατρον, ᾧ παρήγγειλεν μήτε τῇ Φερώρα γυναικὶ μήτε αὐτῷ
μήτ' ἄλλῳ τινὶ τῶν ἐκείνης διαλέγεσθαι. ὁ δὲ φανερῶς μὲν οὐ
μετέβαινεν τὸ πρόσταγμα, λάθρα δὲ διεντυγχάνεν σὺν ἐκείνοις.
573 *καὶ δεδοικὼς τὴν ἐπιτηροῦσαν Σαλώμην πραγματεύεται διὰ τῶν*
ἐπὶ τῆς Ἰταλίας φίλων τὴν εἰς Ῥώμην ἀποδημίαν αὐτῷ· γραψάντων
γὰρ ἐκείνων δεῖν Ἀντίπατρον διὰ χρόνου πεμφθῆναι πρὸς Καίσαρα,

§ 569 = Ant. Iud. XVII 38.

PAMLTRC Lat

1 *ἀντίπαλος* L *ἀντίπαλον* R *διέβαλε* T , 2 *δὲ* LTR 3 *φανερᾶς*] *φερώρας* A 4 *τῆς φιλοφρονήσεως* C *ἐπαύσατο* A *δὲ* LTRC 5 *ὑπεκρίναντο* A *καὶ* om. C 7 *αὐτῶν*] *αὐτῷ* LR 9 *πάντα*] PAMLat *πλεῖστα* LTR *πάνθ'* C *διήγγειλεν* PA 10 *δ'*] *δὲ* LR et i. marg. suppl. A *μάλιστα*] *μάλιστα δὲ* LR *φερώρα* MLTRC 11 *οὖν*] *γοῦν* LRC 13 *αὐτοῦ* LTRC 14 *φαρισσαίοις* C 15 *αὐτοῦ* PAM *ἐνδυσαμένη* L *φαρμά·|κοις* A 16 *δὲ* LTR *ἀπέστρεψε* T ed. pr. *θάτερον* corr. ex *θατέροιν* C 17 *ἑαυτὸν*] *αὐτὸν* LTRC; aut *ἑαυτον τὸν* scribendum aut *ἀδελφὸν* eiciendum putat Herwerden *τὸ*] *τοῦ* MC 18 *χρὴ* om. L fort. recte *μετέβαινεν*] *μετέβαινε μὲν* C 19 *παρήγγελλε* MLTRC 20 *μήτε* MLTRC *οὐ μετέβαινεν*] *custodiens* Lat 21 *μετέβαινεν*] *παρέβαινε* cod. Med. teste Cardwello 22 *ἐπιτηροῦσαν τὴν* tr. C *obseruationem* (*salomes*) Lat *Σαλώμην* spurium uid. 23 *αὐτῷ* PAMLTR¹C *γραψάντων* — p. 131, 1 *ὁ δὲ*] *ipsorum prolatis litteris ubi antipatrum aliquanto post tempore ad caesarem mitti oportere perscriberent. igitur herodes* Lat 24 *γὰρ* etc. corrupta putat Destinon *πεμφθῆναι* (*πεφθῆναι* RC) *διὰ χρόνου* tr. LTRC

ὁ δὲ οὔ τι μελλήσας ἐξέπεμψεν θεραπείαν τε λαμπρὰν καὶ πλεῖστα δοὺς χρήματα τήν τε διαθήκην κομίζειν. ἐν ᾗ βασιλεὺς μὲν Ἀντίπατρος ἐγέγραπτο, Ἀντιπάτρου δὲ Ἡρώδης διάδοχος ὁ ἐκ Μαριάμμης τῆς τοῦ ἀρχιερέως θυγατρὸς γεγονώς.

3. Ἔπλευσεν δὲ καὶ Συλλαῖος ὁ Ἄραψ ἐπὶ Ῥώμης, ἰμειρικὰς 574
μὲν τῶν Καίσαρος προσταγμάτων, ἀνταγωνιούμενος δὲ πρὸς Ἀντίπατρον περὶ ὧν δεδίκαστο Νικολάῳ τάχιον. οὐ μικρὸς δ' αὐτῷ καὶ πρὸς Ἀρέταν ἦν ἀγὼν τὸν ἑαυτοῦ βασιλέα· τοῦτον γὰρ ἄλλους τε φίλους ἀπηρίκει καὶ Σόαιμον τῶν ἐν Πέτρᾳ δυνατωτάτων. πεί- 575
σας δὲ πολλοῖς χρήμασιν Φάβατον τὸν Καίσαρος διοικητὴν ἐχρῆτο βοηθῷ καὶ καθ' Ἡρώδου. πλείονα δὲ δοὺς Ἡρώδης ἀφίστησίν τε ἀπὸ Συλλαίου Φάβατον καὶ δι' αὐτοῦ τὰ πελευσθέντα ὑπὸ Καίσαρος εἰσέπραττεν. ὁ δὲ μηδὲν ἀποδοὺς ἔτι καὶ κατηγόρει Φαβάτου παρὰ Καίσαρι, διοικητὴν εἶναι λέγων οὐ τῶν ἐκείνῳ, τῶν δὲ Ἡρώδῃ συμφερόντων. ἐφ' οἷς ὀργισθεὶς Φάβατος, ἦν δ' ἔτι παρὰ Ἡρώδῃ 576
μάλιστα τιμώμενος, γίνεται προδότης Συλλαίου τῶν ἀπορρήτων τῷ τε βασιλεῖ φησιν, ὅτι Συλλαῖος διαφθείρειεν αὐτοῦ τὸν σωματοφύλακα Κόρινθον χρήμασιν, ὃν δεῖ φυλάττεσθαι. πείθεται δ' ὁ βασιλεύς· καὶ γὰρ τέθραπτο μὲν ὁ Κόρινθος ἐν τῇ βασιλείᾳ, γένος δ' ἦν Ἄραψ. συλλαμβάνει δ' εὐθέως οὐκ αὐτὸν μόνον ἀλλὰ 577
καὶ δύο ἑτέρους Ἄραβας εὑρὼν παρ' αὐτῷ, τὸν μὲν φίλον Συλλαίου τὸν δὲ φύλαρχον. οἱ δὲ βασανιζόμενοι πεῖσαι Κόρινθον ὡμολόγησαν ἐπὶ πολλοῖς χρήμασιν Ἡρώδην ἀνελεῖν. οἵτοι μὲν οὖν ἀνακρι-

§ 573 = Ant. Iud. XVII 52.

PAMLTRC Lat

1 *μελήσας* LT¹ *θεραπείαν — λαμπρὰν*] *cunctis quae usui forent (instructum)* Lat 2 *δι|·αθήκην* P 4 *μαριάμης* M *τοῦ* om. M 5 *ῥώμην* PA *ῥώμη·* (eras. *σ*) L 6 *προσταγμάτων*] *πραγμάτων* LTR, *προσταγμάτων* i. marg. T *ἀγωνιούμενος* LTRC 7 *δεδίκαστο*] *δὲ δίκαστῶ* C *δὲ* LTRC 8 *αὐτοῦ* LTRC 9 *σόεμον* MLTRC et ex corr. A *soemum* Lat *τῶν ἐν Πέτρᾳ δυνατωτάτων*] Niese *τὸν ἐν πέτρα δυνατώτατον* PALat *τῶν ἐν πέτρα τὸν δυνατώτατον* MLTRC 10 *φαβάτον* RC hic et infra *τὸν*] *τὸν τοῦ* L *ἐχρῆτο, η* i. ras. m. 2 C 11 *καὶ* om. TC *ἡρώδησ, η* ante *σ* corr. ex *ου* C 12 *δι' αὐτοῦ*] *per semet ipsum* Lat *ὑπὸ*] *ἀπὸ* A 13 *ἔτι καὶ* om. Lat *καὶ* om. M 14 *παρὰ Καίσαρι*] *πρὸσ καίσαρα* LTRC *ἐκείνου* (*ου* uid. eras. L) LTRC *ἡρώδου* A 15 *δὲ* LTRC *παρ'* LTRC post *Ἡρώδῃ* 11 litt. eras. R 17 *τῷ τε*] *τότε* PA *διαφθείρειεν, ει* ante *ε* i. ras. A 18 *δεῖ, εῖ* corr. ex *ῆ* C *δὲ* LTR 20 *δ' ἦν* AMC *δὲ εὐθέως* LRC 21 *ἑτέρους*] *ἑταίρουσ* C

θέντες καὶ παρὰ Σατορνίνῳ τῷ διέποντι τὴν Συρίαν ἀνεπέμψησαν εἰς Ῥώμην.

578 4. *Ἡρώδης δὲ οὐκ ἀνίει Φερώραν βιαζόμενος ἀλλαγῆναι τῆς γυναικὸς οὐδ' ἐπενόει μηχανὴν δι' ἧς ἂν τιμωρήσαιτο τὴν ἄνθρωπον πολλὰς τοῦ μίσους ἔχων αἰτίας, ἕως ὑπεραγανακτήσας σὺν*
579 *αὐτῇ καὶ τὸν ἀδελφὸν ἐκβάλλει. Φερώρας δὲ ἀγαπήσας τὴν ὕβριν ἀπαλλάσσεται μὲν εἰς τὴν ἑαυτοῦ τετραρχίαν ὁμόσας ὅρον ἔξειν ἕνα τῆς φυγῆς τὸν Ἡρώδου θάνατον καὶ μηδέποτε πρὸς ζῶντα ὑποστρέψειν, ἐπανῆλθεν δὲ οὐδὲ πρὸς νοσοῦντα τὸν ἀδελφὸν καίτοι λιπαρῶς μεταπεμπόμενον· ἐβούλετο γὰρ αὐτῷ τινας ἐντολὰς κατα-*
580 *λείψειν ὡς τεθνηξόμενος. ἀλλ' ὁ μὲν παρ' ἐλπίδα σώζεται, μετ' οὐ πολὺ δὲ νοσεῖ Φερώρας. εὑρίσκετο δὲ Ἡρώδης μετριώτερος· καὶ γὰρ ἦκει πρὸς αὐτὸν καὶ συμπαθῶς ἐθεράπευεν. οὐ μὴν ὑπερίσχυσεν τοῦ πάθους· μετὰ γὰρ ἡμέρας ὀλίγας ἀποθνήσκει Φερώρας.*
581 *ὃν καίπερ ἀγαπήσας Ἡρώδης μέχρι τελευταίας ἡμέρας ὅμως καὶ αὐτὸν ἀνελεῖν ἐφημίσθη φαρμάκῳ. τόν γε μὴν νεκρὸν εἰς Ἱεροσόλυμα κομίσας πένθος τε μέγιστον ὅλῳ τῷ ἔθνει κατήγγειλεν καὶ κηδείας ἠξίωσεν λαμπροτάτης. ἕνα μὲν δὴ τῶν Ἀλεξάνδρου καὶ Ἀριστοβούλου φονέων τοιοῦτον περιέρχεται τέλος.*

582 XXX. 1. *Μετέβαινεν δ' ἐπὶ τὸν αὐθέντην Ἀντίπατρον ἡ ποινὴ τὸν Φερώρα θάνατον ἀρχὴν λαβοῦσα. τῶν τούτου γάρ τινες ἀπελευθέρων κατηφεῖς τῷ βασιλεῖ προσελθόντες τὸν ἀδελφὸν αὐτοῦ διεφθάρθαι φαρμάκοις ἔλεγον· προσενεγκεῖν μὲν γὰρ αὐτῷ τι τὴν γυναῖκα τῶν οὐ συνήθως ἐσκευασμένων, φαγόντα δ' εὐθέως*

§ 577 = Ant. Iud. XVII 57.

PAMLTRC Lat Hegesippus I 42 p. 96.

1 *ἀνεπέμφθεισαν* P 2 *Ῥώμην*] *συρίαν ῥώμην* (*συρίαν* deletum) C 3 *δ'* C *ἀνίει*] *ἀνείη* P *ἀνήει* LR *ἀνίει — βιαζόμενος*] *uehementius imminebat* Lat *φερώρα* PA 4 *οὐδ'*] *ὁ δ'* P *ὁ δὲ* AML^2 *οὐδὲ* L^{1}R^1 *καὶ* R^2 *ἀεὶ δ'* T^2 *οὐδ' — ἄνθρωπον*] *aliquid enim quo mulierem plecteret excogitabat* Lat *ἂν τιμωρήσαιτο*] *ἀντιτιμωρήσετο* P 5 *ὑπεραγανακτήσας*] *ὑπεραλγήσας* LTRC *supra modum indignatus* Lat 6 *ἀδελφὸν*] *ἀδελφὸν καίτοιλ* (*καίτοιλ* deletum) C (cf. u. 9) *ἐκβάλλει* A 7 *ἔξειν ἕνα τῆς φυγῆς ὅρον* tr. LTRC 8 *καὶ* om. P 9 *ὑποστρέφειν* PAM *reuersurum esse* Lat *οὐδὲ*] *οὐ* T 10 *καταλείψειν*, *ψ* i. ras. Lips 12 *εὑρίσκετω* P *εὑρίσκεται* C *εὑρίσκετο δὲ* i. ras. A 13 *ἦκε* T *ἐθεράπευσεν* LTRC 14 *τοῦ πάθους*] PAMTCLat *το πάθοσ* LR *ἀποθνήσκει*] *θνήσκει* Lips man. 1 15 *καὶ* suppletum P 17 *κατήγγελλε* T 18 *λαμπροτάτης* ex *λαμπρότητοσ* corr. C 19 *τοιοῦτον*, litt. *οιο* ex *ου* corr. C 20 *δὲ* LR *ἀντιπάτρον* L^1 24 *δὲ* LTRC *δὲ αὐτὸν* ex Lat Hudson

εἰς τὴν νόσον καταπεσεῖν. ἀγιοχέναι τε τρὸ δυοῖν ἡμερῶν τὴν 583
μητέρα αὐτῆς καὶ τὴν ἀδελφὴν γύναιον ἐκ τῆς Ἀραβίας φαρμάκων
ἔμπειρον, ὅπως φίλτρον σκευάσῃ τῷ Φερώρᾳ, δεδωκέναι δὲ ἀντὶ
τούτου θανάσιμον Συλλαίου πραγματευσαμένου· τούτῳ γὰρ ἦν
γνώριμον.

2. Πληγεὶς οὖν ὁ βασιλεὺς ὑποψίαις πλείοσιν θεραπαίνας 584
τε καί τινας τῶν ἐλευθέρων ἐβασάνιζεν. ἐβόα δέ τις ἐν ταῖς
ἀλγηδόσιν „θεὸς ὁ γῆν καὶ οὐρανὸν διέπων μεμέλῃοι τὴν τούτου
ἡμῖν τῶν κακῶν αἰτίαν, τὴν Ἀντιπάτρου μητέρα.“ ταύτης τῆς
ἀρχῆς ὁ βασιλεὺς λαβόμενος ἐπεξῄει τρόσω τὴν ἀλήθειαν. ἡ 585
δὲ γυνὴ τήν τε φιλίαν τῆς Ἀντιπάτρου μητρὸς τρὸς Φερώραν καὶ
τὰς ἐκείνου γυναῖκας ἐδήλου καὶ τὰς λαθραίας αὐτῶν συνόδους,
ὅτι τε Φερώρας καὶ Ἀντίπατρος σὺν ἐκείναις πίνοιεν ὑποστρέ-
φοντες ἀπὸ τοῦ βασιλέως δι' ὅλης νυκτὸς μηδένα μήτε οἰκέτην
μήτε θεράπαιναν ἐῶντες παρατυγχάνειν. μία δὴ τῶν ἐλευθέρων
ταῦτα μηνύει.

3. Τὰς δὲ δούλας χωρὶς ἑκάστην Ἡρώδης ἐβασάνιζεν. ἐρρήθη 586
δὲ παρὰ πάσαις τὰ προειρημένα σύμφωνα, καὶ διότι κατὰ συν-
θήκην Ἀντίπατρος μὲν εἰς Ῥώμην, Φερώρας δ' ὑποχωρήσειεν εἰς
τὴν Περαίαν· πολλάκις γὰρ αὐτοὺς διαλαλεῖν, ὡς μετ' Ἀλέξανδρον
καὶ Ἀριστόβουλον ἐπ' αὐτοὺς Ἡρώδης μεταβήσεται καὶ τὰς ἑαυτῶν
γυναῖκας. οὐ γὰρ φείσεσθαι μετὰ Μαριάμμην καὶ τοὺς ἐξ ἐκεί-

§ 583 = Ant. Iud. XVII 62.

PAMLTRC Lat Hegesippus I 43 p. 97.

1 ἀγιοχεναί P ἀγηοχέναί, ἀγη i. ras. angustiore A ἀγειοχέναι LR δυεῖν ALTRC 2 αὐτῆς] ταύτησ ALTRC 3 φίλτρωι L¹ δὲ] δ' A, om. M 4 ἦν] *fuisse* Lat, unde εἶναι Destinon 6 πληθεὶσ et i. marg. πληγεὶσ T πλεί-ωσιν P θεραπείνασ C 7 ταῖσ, α ex ο corr. A 8 θεὸς] ὁ θεὸσ P 10 ἐπεξῄει — ἀλήθειαν] *persequebatur ulterius indaginem veritatis* Lat ἐπεξ-ήει] ἐπεζήτει Destinon ἀλήθειαν] ἀλήθειαν ἐπιζητῶν LTRC 12 λα-θραίουσ L 13 ἐκείνοισ PAC 14 ὅλησ τῆσ νυκτὸσ A et teste Her-werdeno M μηδένα] καὶ μηδένα P 15 ἐόντεσ PA¹ μιᾶ LR δὴ T 17 Ἡρώδησ om. M ἐβασάνισεν L ἐρρήθη] ἐρρέθη AM *patuit* (*omnium dicta congruere*) Lat εὑρέθη Destinon 18 σύμφωνα] συμφώνωσ MLTRC συμφώνωσ τὰ προειρημένα tr. T διότι] δὴ ὅτι ex corr. A *qua de causa* Lat 19 post Ῥώμην expunctum παρεῖη C δὲ L¹RC εἰσ τὴν περαίαν ὑποχωρήσειεν tr. C 20 γὰρ s. P μετὰ LTRC 21 διαβήσεται LTRC αὐτῶν LTRC 22 φείσεσθαι] Bekker φείσασθαι codd. *posse parcere* Lat μετὰ s. P μαριάμην M μαριάμμησ T¹R

νης ἑτέρου τινός, ὥστε ἄμεινον εἶναι φεύγειν ὡς πορρωτάτω
587 τοῦ θηρίου. πολλάκις δὲ ἀποδυρόμενον πρὸς τὴν μητέρα τὸν Ἀντίπατρον εἰπεῖν, ὡς αὐτὸς μὲν εἴη πολιὸς ἤδη, νεάζοι δὲ καθ' ἡμέραν ὁ πατήρ, φθάσαι δ' ἂν τάχα καὶ τελευτήσας πρὶν ἄρξασθαι βασιλείας ἀληθοῦς. εἰ δὲ καί ποτε ἐκεῖνος τελευτήσειεν· πότε δ' ἂν γένοιτο τοῦτο; παντάπασιν αὐτῷ τὴν ἀπόλαυσιν τῆς διαδοχῆς
588 γίνεσθαι σύντομον. ὑποβλαστάνειν δὲ τὰς τῆς ὕδρας κεφαλάς, τοὺς Ἀριστοβούλου καὶ Ἀλεξάνδρου παῖδας. ἁρμῆσθαι δ' αὐτὸν ὑπὸ τοῦ πατρὸς καὶ τὴν ἐπὶ τέκνοις ἐλπίδα· διάδοχον γὰρ οἱ τῶν αὐτοῦ τινα παίδων μετὰ τὴν τελευτήν, ἀλλὰ τὸν ἐκ Μαριάμμης
Ἡρώδην γεγραφέναι. καὶ κατὰ τοῦτό γε παντάπασιν παραγηρᾶν οἰόμενον αἰτοῦ καὶ διαθήκας μενεῖν κυρίας· αὐτὸν γὰρ προνοήσειν
589 μηδένα τῆς γενεᾶς ἀπολιπεῖν. ὄντα γε μὴν τῶν πώποτε πατέρων μισοτεκνότατον Ἡρώδην πολὺ μᾶλλον εἶναι μισάδελφον· δοῦναι γοῦν αὐτῷ πρόφην ἑκατὸν τάλαντα ἐπὶ τῷ μὴ διαλέγεσθαι Φερώρᾳ. τοῦ δὲ εἰπόντος „τί γὰρ αὐτὸν ἐβλάπτομεν;“ ἀποκρίνασθαι τὸν Ἀντίπατρον „εἴθε πάντα ἡμᾶς ἀφελόμενος γυμνοὺς ἐάσειεν ζῶντας. ἀλλ' ἀμήχανον ἐκφυγεῖν οὕτω φονικὸν θηρίον, παρ' ᾧ μηδὲ φιλεῖν τινας ἔξεστι φανερῶς. λάθρα γοῦν νῦν ἀλλήλοις σύνεσμεν, ἐξέσται δὲ φανερῶς, ἐὰν σχῶμέν ποτε ἀνδρῶν φρόνημα καὶ χεῖρας.“

§ 587 = Ant. Iud. XVII 66.

PAMLTRCLatHegesippus I 43 p. 98.

1 *φυγεῖν* LTRC *πορωτάτω* L *ὡσ πορρωτάτω φυγεῖν* tr. LTRC 2 *τὸ θηρίον* C fort. recte *ἀπωδυρόμενον* R^2 3 *πολιὸς*] *πολιὸσ μὲν* L 4 *δὲ* LC 6 *γένοιτο*] *γένοιται, αι* i. ras. A *γενέσθαι* LTRC *fiet* Lat *τοῦτο*] *τούτω, ύ* ex *ῦ* corr. P 7 *γενέσθαι* LTRC *δὲ*] *τε* A 8 *ἀφηρεῖσθαι* ex corr. P *ἀφηρῆσθαι, ῆ* i. ras. A *δὲ* LTRC *αὐτὸς* Naber 10 *τὴν* om. M *ἐκ* om. LTRC *μαριάμησ* M 12 *μενεῖν*] Bekker et fort. Lat *μένειν* codd. *κυρείασ* ex corr. A *αὐτὸς* Niese 13 *ἀπολειπεῖν* R 14 *πολὺ*] *πολλῶ* LTRC 15 *ἑκατὸν*] *ρ'* PA 16 *τί* — 18 *ζῶντασ*] *quid enim per nos laedebatur? respondisse antipatrum, utinam cunctis ablatis nudos se dummodo uiuos relinqueret* Lat 17 *τὸν Ἀντίπατρον*] *τὸν ἡρώδην* i. ras. m. 2 C ante *εἴθε* aliquid excidisse putat Destinon *πάνθ'* C *γυμνοὺς* s. P *ἐάσειεν*] Dindorf *ἐάσει γε* PMLTRC *ἐάσει* A 18 *ἀλλὰ* LTRC 19 *μήτε* PALTR *νῦν*] PAMLat, om. LTRC 20 *ἐξέσται*] PAMCLat *οὐκ ἔξεστι δὲ φανερῶσ ἐξέσται* (*οὐκέξεστι δὲ φανερῶσ* expunxit man. 2) L *οὐκἐξέσται* TR *οὐκ ἐξέσται δὲ φανερῶσ, λάθρα γοῦν ἀλλήλοισ σύνεσμεν, ἐξέσται* (*οὐκ* suppletum deiude deletum Lips) LipsN *ποτ'* C

4. *Ταῦτ' ἔλεγον αἱ βασανιζόμεναι, καὶ ὅτι Φερώρας βουλεύ-* 590
σαιτο φυγεῖν μετ' αὐτῶν εἰς Πέτραν. ἐπίστευσεν δ' Ἡρώδης
πᾶσιν τοῖς λεγομένοις ἐκ τῶν ἑκατὸν ταλάντων· μόνῳ γὰρ Ἀντι-
πάτρῳ διείλεκτο περὶ αὐτῶν. ἀποσκήπτει δ' εἰς πρώτην ὁ θυμὸς
Δωρίδα τὴν Ἀντιπάτρου μητέρα· καὶ γυμνώσας αὐτὴν πάντὸς οἷ
δεδώρητο κόσμου, πολλῶν δ' ἦν ταλάντων, ἐνβάλλει δεύτερον. τὰς 591
δὲ Φερώρου γυναῖκας ἀπὸ τῶν βασάνων ἐτημέλει διηλλαγμένος,
ἐπτόητο δὲ τῷ φόβῳ καὶ πρὸς πᾶσαν ὑπόνοιαν ἐξερριπίζετο πολ-
λούς τε τῶν οὐκ αἰτίων εἶλκεν εἰς βασάνους δεδοικώς, μή τινα τῶν
αἰτίων παραλίπῃ.

5. *Κὰν τούτῳ τρέπεται πρὸς τὸν Σαμαρείτην Ἀντίπατρον,* 592
ὃς ἦν ἐπίτροπος Ἀντιπάτρου. βασανίζων δὲ αὐτὸν ἤκουσεν ὅτι
μετεπέμψατο μὲν Ἀντίπατρος ἐξ Αἰγύπτου δηλητήριον φάρμακον
ἐπ' αὐτὸν διά τινος τῶν ἑταίρων Ἀντιφίλου, λάβοι δὲ παρ' ἐκεί-
νου Θευδίων ὁ θεῖος Ἀντιπάτρου καὶ παραδοίη Φερώρᾳ· τούτῳ
γὰρ ἐντείλασθαι τὸν Ἀντίπατρον Ἡρώδην ἀνελεῖν ἕως αὐτός ἐστιν
ἐν Ῥώμῃ τῆς ὑποψίας κεχωρισμένος· Φερώραν δὲ τῇ γυναικὶ παρα-
θέσθαι τὸ φάρμακον. ταύτην ὁ βασιλεὺς μεταπεμψάμενος αὐτίκα 593
τὸ ληφθὲν ἐκέλευσεν κομίζειν. ἡ δ' ἔξεισι μὲν ὡς κομιοῦσα, ῥίπτει
δ' ἑαυτὴν ἀπὸ τοῦ τέγους τόν τε ἔλεγχον καὶ τὴν ἐκ τοῦ βασι-
λέως αἰκίαν φθάνουσα· προνοίᾳ δ', ὡς ἔοικεν, θεοῦ μετιόντος

---

§ 590 = Ant. Iud. XVII 68.

PAMLTRCLatHegesippus I 43 p. 99.

1 *ταῦτα* LTRC *αἱ*] *αἱ* A *βουλεύσαιτο, αι* i. ras. A *βουλεύσαιτο, εύσαιτο* ex *εται* corr. C 2 *φεύγειν* LTRC *αὐτῶν*] AML²TLat *αὐτὸν* PL¹RC *Πέτραν*] *περαίαν* T *τὴν περαίαν* C *petram* Lat *δ'*] *δὲ* LTRC, om. A *πᾶσιν ἡρώδης* tr. LTRC 3 *ἑκατὸν*] *ρ̄* P *ἑκατῶν* A¹R 4 *διήλεκτο* L *δὲ* LTRC *πρώτην*] *τὴν πρώτην* LTRC 5 *Δωρίδα*] *dosidem* Lat 6 *ἐδωρήσατο* T *δ' ἦν*] *δὴ* LR *δεύτερον. τὰς δὲ*] *δεύτερον δὲ τὰς* MLTR et ut uid. Lat 7 *φερώρα* MLTRC *ἀπὸ τῶν βασάνων* s. P *διηλλαγμένως* PC² *διηλεγμένος* L *διηλαγμένος* C¹ 8 *ἐξεριπίζετο* LRC 9 *αἰτίων*] *ίων* C¹ *εἶλκεν* — 10 *αἰτίων* i. marg. suppletum A *παραλίπῃ, ι* et *η* i. ras. A *παραλείπῃ* LR 13 *μεταπέμψαιτο* LTRC *ἐπ' αὐτὸν φάρμακον* tr. C 14 *ἑταίρων, αι* i. ras. uid. M *ἑτέρων* T¹ *Ἀντιφίλου*] *ἀντιπάτρου* C 15 *thesdionem* Lat *θεῖος*] LTRCLat *φίλος* PAMHeg; cf. Ant. Iud. XVII 70 *παραδοῖ* LTRC *τούτῳ*] *τοῦτο* AM 17 *φερώρα* PAM *παραθέσθαι τῇ γυναικὶ* tr. LTRC 18 *ταύτην*] *ταύτην οὖν* AMLat *ὁ βασιλεὺς* om. TLRC 19 *τὸ*] *καὶ τὸ* M *δὲ* LTRC *ἔξεισι μὲν*] *ἔξεισιν* LTRC 20 *δὲ* L *αὐτὴν* A *αὐτὴν* L *αὐτὴν* C *στέγους* ut uid. m. 1 Lips *ἐκ* s. P 21 *φθάνουσα* · C *δε* LTRC *θεοῦ* s. A

Ἀντίπατρον οὐκ ἐπὶ κεφαλὴν ἀλλ' ἐπὶ θάτερα πεσοῦσα διασώζεται.
594 κομισθεῖσαν δ' αὐτὴν ὁ βασιλεὺς ἀνακτησάμενος, κεκάρωτο γὰρ ἀπὸ τοῦ πτώματος, ἠρώτα δι' ἣν αἰτίαν ῥίψειεν ἑαυτήν, εἰ μὲν εἴποι τἀληθές, ἀφήσειν πάσης τιμωρίας ἐπομνύμενος, εἰ δ' ὑποστείλαιτο, διαπανήσειν αὐτῆς ἐν βασάνοις τὸ σῶμα καὶ μηδὲ τάφῳ καταλείψειν.

595 6. Πρὸς ταῦθ' ἡ γυνὴ μικρὸν διαλιποῦσα „καὶ τί γάρ, εἶπεν, ἔτι φείδομαι τῶν ἀπορρήτων Φερώρα τεθνεῶτος ἢ σώζουσα τὸν ἀπολέσαντα πάντας ἡμᾶς Ἀντίπατρον; ἄκουε, βασιλεῦ, καὶ μετὰ σοῦ θεὸς ὁ μάρτυς ἐμοὶ τῆς ἀληθείας πλανηθῆναι μὴ δυνάμενος·
596 ὅτε ἀποθνήσκοντι Φερώρᾳ παρεκαθέζου δεδακρυμένος, τότε με προσκαλεσάμενος ἐκεῖνος „ἦ πολύ γε, ἔφη, ὦ γύναι, τῆς εἰς ἐμαυτὸν διανοίας τοῦ ἀδελφοῦ διήμαρτον, τὸν οὕτως στέργοντα μισήσας καὶ κτεῖναι βουλευσάμενος τὸν οὕτως ἐπ' ἐμοὶ μηδὲ τεθνεῶτί πω συγχεόμενον. ἀλλ' ἐγὼ μὲν ἀπέχω τῆς ἀσεβείας τὸ ἐπιτίμιον, σὺ δ'
ὃ φυλάσσεις κατ' αὐτοῦ φάρμακον ὑπ' Ἀντιπάτρου καταλειφθὲν
ἡμῖν φέρε καὶ βλέποντός μου ταχέως ἀφάνισον, ἵνα μὴ καὶ καθ'
597 ᾅδου φέροιμι τὸν ἀλάστορα." καὶ κελεύσαντος ἐκόμισα καὶ πλεῖστον μὲν εἰς τὸ πῦρ ὁρῶντος αὐτοῦ κατεκένωσα, βραχὺ δὲ ἐμαυτῇ πρὸς τὰ ᾅδηλα καὶ τὸν ἐκ σοῦ φόβον ἐτήρησα."

598 7. Ταῦτ' εἰποῦσα προκομίζει τὴν πυξίδα παντάπασιν ἔχουσαν τοῦ φαρμάκου βραχύ. βασιλεὺς δ' ἐπὶ τὴν μητέρα τὴν Ἀντιφίλου καὶ τὸν ἀδελφὸν τὰς βασάνους μετέφερεν, κἀκεῖνοι τὸν Ἀντίφιλον κομίσαι τε ἀπ' Αἰγύπτου τὴν πυξίδα ὡμολόγουν καὶ λαβεῖν παρ'

§ 593 = Ant. Iud. XVII 71.

PAMLTRC Lat Hegesippus I 43 p. 100.

2 δὲ LTRC 3 ἀπὸ] ἐκ LTRC αὐτὴν T 4 τἀληθές, τ i. ras. (ex ϑ corr.) M ἐπωμνύμενος A δὲ LTRC 6 καταλείψειν] καταλύψειν C 7 ταῦτα LTRC διαλιποῦσα μικρὸν tr. LTRC 8 φείδομαι] *custodio* Lat ἢ] ἡ C et fort. Lat; spurium uid. nisi forte quid excidit ἢ σώζουσα] *seruatura* Lat 9 ἀπολέσαντα-, eras. σ A 10 θεὸς ὁ μάρτυς] ὁ θεὸς μάρτυς A θεὸς μάρτυς LTRC μὴ om. C 12 ἦ] ἢ PML²R ἡ L¹ ὦ om. LTRC γύναι ··· C 13 οὕτω LTRC 14 πω·Α συγχεόμενος C 15 δὲ LTRC 16 φυλάττεις ALTRC καταληφθὲν PA¹ 17 φέρε — ἀφάνισον] *affer propere meque uidente consume* Lat μου i. ras. A μὴ ex μοι corr. C καὶ om. L¹ κατάδου P κατ' ᾅδου A 18 φέροιμι] φέρω μου Destinon τρέφοιμι Naber καὶ ante κελεύσαντος om. L¹TRC 19 ἐμαυτῇ P 21 ταῦθ' P ταῦτ', τ finale i. ras. A ταῦτα LTRC προκομίζει PAML²Lat Heg προσκομίζει L¹TRC 22 βραχὺ παντάπασιν ἔχουσαν τοῦ φαρμάκου tr. LTRC δὲ L

ἀδελφοῦ τὸ φάρμακον ἔφασκον ἰατρεύοντος ἐν Ἀλεξανδρείᾳ. περι- 599
ιόντες δὲ οἱ Ἀλεξάνδρου καὶ Ἀριστοβούλου δαίμονες ἅλων τὸ βασί-
λειον ἐρεννηταί τε καὶ μνησταὶ τῶν ἀδίκων ἐγίνοντο τοῖς τε πορρω-
τάτω τῆς ἐπωφρίας ὄντας ἑαυτῶν εἰς τοὺς ἐλέγχους. εὑρίσκεται γοῦν
καὶ ἡ τοῦ ἀρχιερέως Θεγάτηρ Μαριάμμη τῆς ἐπιβουλῆς συνίστωρ·
βασανιζόμενοι γὰρ τοῦτ' ἀπέδειξαν αὐτῆς οἱ ἀδελφοί. βασιλεὺς 600
δὲ τῆς μητρώας τόλμης καὶ τὸν υἱὸν ἠμύνατο· τὸν γοῦν ἐξ αὐτῆς
Ἡρῴδην ὄντα διάδοχον Ἀντιπάτρου τῆς διαθήκης ἐξέλειψεν.

XXXI. 1. Ἐπὶ τούτοις καὶ Βάθυλλος εἰς τοὺς ἐλέγχους συνέ- 601
δραμεν, ὁ τελευταῖα πίστις τῶν Ἀντιπάτρῳ μεμοιχευμένων· ἦν μὲν
γὰρ ἀπελεύθερος αὐτοῦ, κομίζων δ' ἦκεν ἄλλο δηλητήριον ἰοὺς
ἀσπίδων καὶ χυλοὺς ἑτέρων ἑρπετῶν, ἵνα εἰ τὸ πρῶτον ἀσθενήσει
φάρμακον, τούτῳ Φερώρας μετὰ τῆς γυναικὸς ὁπλίσαιτο κατὰ τοῦ
βασιλέως. κἀφίεργον δὲ τῆς ἐπὶ τὸν πατέρα τόλμης ἐκόμιζεν τὰς 602
κατὰ τῶν ἀδελφῶν ἐσκευωρημένας ἐπιστολὰς ὑπ' Ἀντιπάτρου·
ἦσαν γὰρ Ἀρχέλαος καὶ Φίλιππος βασιλέως παῖδες ἐπὶ Ῥώμης
παιδευόμενοι μειράκιά τε ἤδη καὶ φρονήματος μεστοί. τούτους 603
ἐπανακίπτοντας αὐτοῦ ταῖς ἐλπίσιν ἀποσκευάσασθαι σπεύδων
Ἀντίπατρος ἃς μὲν πλάττεται κατ' αὐτῶν ἐπιστολὰς ἐξ ὀνόματος
τῶν ἐπὶ Ῥώμης φίλων, οἷς δὲ ἔπειθεν γράψαι διαφθείρας χρήμα-
σιν, ὡς πολλὰ μὲν βλασφημοῖεν τὸν πατέρα, φανερῶς δὲ Ἀλέξαν-
δρον καὶ Ἀριστόβουλον ὀδύροιντο, πρὸς δὲ τὴν μετάκλησιν ἀγανα-
κτοῖεν· ἤδη δ' αὐτοὺς ὁ πατὴρ μετεπέμπετο, καὶ τοῦτο ἦν τὸ
μάλιστα ταράσσον Ἀντίπατρον.

§ 599 = Ant. Iud. XVII 78.

PAMLTRCLatHegesippus I 43 p. 101.

1 *περιόντες* L¹R 3 *ἐρ··νηται* R *ἐρεννηταί, ευ* i. ras. Lips *τε* om. L *ἐγένοντο* L¹R¹C 5 *μαριάμη* M 6 *γὰρ*] PALat, om. MLTRC *τοῦτο* LTRC *αὐτῆς*] *καὶ αὐτῆς* R 8 *ἐξέλειψεν* M 10 *τελευταῖα, α* finale i. ras. m. 2 C *ἀντιπάτρου* PA¹ 11 *ἀπελεύθερος αὐτοῦ*] *αὐτοῦ ἀπελεύθεροσ αὐτοῦ* C *δὲ* LTRC 12 *ἑρπετῶν*] *θηρίων καὶ ἑρπετῶν* TC *ἵν'* C *εἰ*] *εἰσ* L¹ *ἀσθενήση* (*η* finale i. ras. P) PALR¹ *ἀσθενήσειε* Dindorf 13 *τοῦτο* L¹C *ὡπλίσαιτο* C 15 *ἐσκαιωρημένασ* AML² *σκαιωρημένασ* P *ἐσκευωρημένασ, η* ex *ισ* corr. uid. m. 2 C 16 *γὰρ*] om. A *δὲ* MLTRC 19 *ἀντίπα‖τίπατροσ* P *πλάτ|τ·εται* A *πλάσσεται* LTRC *ipse finxit* Lat 20 *ἐπὶ*] *ἀπὸ* T *φίλων* om. LR *δὲ ἔπειθεν*] *δὲ πείθει* LTRC 21 *βλασφημοῖεν* PA *βλασφημεῖεν* C 22 *ὀδύροιντο, ι* suppletum AL *ὀδύροντο* R *δὲ*] *τε* LTRC 23 *δ'*] *δὲ* LTR¹C *καὶ* R² *enim* Lat; unde haud male *γὰρ* conieceris *μετεπέπεμπτο* Naber *τὸ μάλιστα ταράσσων* P *μάλιστα τὸ ταράσσον* MR² *μάλιστα ταράσσον* (*ο* ex *ω* corr. L) LTR¹C

604 2. Ἔτι δὲ καὶ πρὸ τῆς ἀποδημίας ἐν Ἰουδαίᾳ μένων τοιαύτας
κατ' αὐτῶν ἐπὶ Ῥώμης ἠγόραζεν ἐπιστολὰς προσιών τε ὡς ἀνύπ-
οπτος εἴη τῷ πατρὶ περὶ τῶν ἀδελφῶν ἀπελογεῖτο, τὰ μὲν ψευδῆ
605 λέγων εἶναι τῶν γραφομένων, ἃ δὲ νεότητος ἁμαρτήματα. τηνικαῦτά
γε μὴν τοῖς γράφουσιν κατὰ τῶν ἀδελφῶν πλεῖστα δοὺς χρήματα
συμφύρειν ἐπειρᾶτο τὸν ἔλεγχον, ἐσθῆτάς τε πολυτελεῖς καὶ στρω-
μνὰς ποικίλας ἐκπώματά τε ἀργυρᾶ καὶ χρυσᾶ συνωνούμενος ἄλλα
τε πολλὰ τῶν κειμηλίων, ἵνα τῷ πλήθει τῆς εἰς ταῦτα δαπάνης
τοὺς εἰς ἐκεῖνα μισθοὺς ἐγκαταγράψῃ· διακόσια γοῦν ἀναλώματος
ἀνήνεγκεν τάλαντα, καὶ τούτων μεγίστη πρόφασις ἦν ἡ πρὸς
606 Συλλαῖον δίκη. πάντων δ' αὐτοῦ τότε καὶ τῶν βραχυτέρων ἐν τῷ
μείζονι κακῷ διακαλυφθέντων, ὅθ' αἱ μὲν βάσανοι πᾶσαι τὴν πατρο-
κτονίαν, αἱ δ' ἐπιστολαὶ δευτέρας ἀδελφοκτονίας κεκράγεσαν, ὅμως
οὐδεὶς τῶν εἰς Ῥώμην ἀφικνουμένων ἀπήγγειλεν αὐτῷ τὰς ἐν Ἰουδαίᾳ
τύχας καίτοι μεταξὺ τῶν ἐλέγχων καὶ τῆς ἐπανόδου διελθόντων
607 ἑπτὰ μηνῶν· τοσοῦτον πρὸς αὐτὸν ἐκ πάντων μῖσος ἦν. τάχα καὶ
τοὺς ἀπαγγέλλειν προῃρημένους οἱ τῶν ἀνῃρημένων δαίμονες ἀδελ-
φῶν ἐφίμουν· γράφει γοῦν ἀπὸ Ῥώμης ἄφιξιν ἑαυτοῦ ταχεῖαν εὐαγγε-
λιζόμενος, καὶ ὡς ὑπὸ Καίσαρος μετὰ τιμῆς ἀπολυθείη.
608 3. Ὁ βασιλεὺς δὲ εἰς χεῖρας λαβεῖν σπεύδων τὸν ἐπίβουλον καὶ
δεδοικὼς μή ποτε προγνοὺς φυλάξηται, δι' ἐπιστολῆς ἀνθυπεκρίνετο
τά τε ἄλλα φιλοφρονούμενος καὶ σπεύδειν παρακαλῶν· θήσεσθαι

§ 604 = Ant. Iud. XVII 81.

PAMLTRCLatHegesippus I 44 p. 102.

1 *μένων*] *constitutus* Lat 2 *ἐπὶ*] PA¹MLat *ἀπὸ* LTRC et ex corr. A *προσιών τε* — 3 *ἀπελογεῖτο*] PAMLat et ut uid. Heg *καὶ προσιὼν τέως ἀνύπ-οπτος ἦν τῷ πατρὶ περὶ τῶν ἀδελφῶν δὲ ἀπελογεῖτο* LTRC *ὡς*] *ὡσ αν* A 3 *τῷ*] *καὶ τῶ* P 4 *εἶναι λέγων* tr. PAM; *εἶναι* fort. spurium *γραφέντων* et i. marg. *γραφομένων* T *ἃ*] *τὰ* LTRC 5 *δοὺς*] *διδοὺσ* L *διαδοὺσ* TRC 6 *ἔλεγχον*] *sumptuum indicia* Lat *τε* om. LTRC *πολλυτελεῖσ* C¹ *στρωμνᾶσ* PA¹ 7 *ἀργυρᾶ* PA¹L *χρυσᾶ* L 8 *τῷ*] *τὸ* R *ταῦτα*] *αὐτα* C *τῆς εἰς αὐτὰ δαπάνης* iterauit C 9 *ἐγκατακρύψῃ* LTRC *celaret* Lat 10 *τούτω* LTR *τοῦτο* C 11 *δὲ* LTRC 12 *κακῶν* ut uid. Lat *διακα-λυφθέντων*] *contectis* Lat *ὅτε* LTRC *πᾶσαι*] *πᾶσαν* C *πᾶσαι βάσανοι* R 13 *δὲ* LTRC *ἐπιστολαὶ*] *αἱπιστολαὶ* A *δευτέραν ἀδελφοκτονίαν* T *ὅμως*] *ὅμωσ δὲ* LTR 14 *εἰς Ῥώμην*] *ex iudaea* Lat *ἀπήγγελλεν* LRC *τὰς ἐν Ἰουδαίᾳ τύχας*] *domi fortunas* Lat 15 i. marg. *να'* C 16 *τάχα*] *for-tasse autem* Lat, unde *τάχα δὲ* Hudson 17 *ἀπαγγέλειν* A¹ *ἀπαγγέλλει* L¹R¹ *ἀπαγ-γέλλειν, ν* i. ras. Lips *προαιρουμένουσ* LTRC 18 *ἐφήμουν* C¹ *ἑαυτοῦ*] *αὐτοῦ* L¹RTC *αὐτοῦ* ex corr. L 19 *ἀπὸ* PM 20 *ὁ* om. L¹TRC 21 *μήτε* A *ἐπιστολῶν* LTRC 22 *θήσεσθαι* — p. 141,2 *ὑπέστρεψεν* manu recentiore suppleta sunt in T

γὰρ αὐτοῦ καὶ τὰς πρὸς τὴν μητέρα μέμψεις ἐπειχθέντος· οὐ γὰρ
ἠγνόει τὴν ἐκβολὴν τῆς μητρὸς Ἀντίπατρος. πρότερον μὲν οὖν 609
εἰλήφει τὴν περὶ τῆς Φερώρα τελευτῆς ἐπιστολὴν ἐν Τάραντι καὶ
μέγιστον ἐποιήσατο πένθος, ὅ τινες ὡς ἐπὶ θείῳ καθύμνουν, ἦν
δ', ὡς ἔοικεν, ἐπὶ διαμαρτίᾳ τῆς ἐπιβουλῆς ἡ σύγχυσις καὶ οὐ
Φερώραν κλαίοντος, ἀλλὰ τὸν ὑπηρέτην· ἤδη δὲ καὶ φόβος ἐπῆει
τις αὐτὸν τῶν τετελεσμένων, μή ποτε φωραθείη τὸ φάρμακον.
τότε δ' ἐν Κιλικίᾳ λαβὼν ἣν προειρήκαμεν παρὰ τοῦ πατρὸς 610
ἐπιστολὴν παραχρῆμα μὲν ἔσπευδεν, ὡς δὲ εἰς Κελένδεριν κατέπλει,
λαμβάνει τις αὐτὸν ἔννοια τῶν περὶ τὴν μητέρα κακῶν προμαν-
τευομένης ἤδη καὶ καθ' ἑαυτὴν τῆς ψυχῆς. οἱ μὲν οὖν προμηθέστε- 611
ροι τῶν φίλων συνεβούλευον μὴ πρότερον ἐμπίπτειν τῷ πατρὶ
πρὶν πυθέσθαι σαφῶς δι' ἃς αἰτίας ἐξέβαλεν αὐτοῦ τὴν μητέρα·
δεδιέναι γάρ, μή ποτε προσθήκη γένοιτο τῶν κατ' ἐκείνης διαβο-
λῶν. οἱ δὲ ἀσκεπτότεροι καὶ τὴν πατρίδα σπεύδοντες ἰδεῖν μᾶλλον 612
ἢ τὸ συμφέρον Ἀντιπάτρῳ σκοποῦντες, ἐπείγεσθαι παρῄνουν καὶ
μὴ τῇ μελλήσει παρασχεῖν τῷ πατρὶ μὲν ὑποψίαν φαύλην, τοῖς
διαβάλλουσι δὲ ἀφορμήν· καὶ γὰρ νῦν, εἴ τι κεκίνηται κατ' αὐτοῦ,
παρὰ τὴν ἀπουσίαν γέγονεν· μηδὲ γὰρ ἂν τολμῆσαι παόντος·
ἄτοπον δ' εἶναι δι' ἀδήλους ὑποψίας προδήλων ἀγαθῶν στερί-
σκεσθαι, καὶ μὴ θᾶττον ἀποδοῦναι μὲν ἑαυτὸν τῷ πατρί, κομί-
σασθαι δὲ τὴν βασιλείαν ἐπ' αὐτῷ μόνῳ σαλεύουσαν. πείθεται 613
τούτοις, ἐνῆγεν γὰρ τὸ δαιμόνιον, καὶ διαπεράσας εἰς τὸν Σεβαστὸν
λιμένα τῆς Καισαρείας κατάγεται.

4. Παρυπήντησεν δ' αὐτῷ παρὰ δόξαν ἐρημία πολλὴ πάντων 614
ἐκτρεπομένων καὶ μηδενὸς προσιέναι τολμῶντος· ἐμισεῖτο μὲν γὰρ

---

§ 608 = Ant. Iud. XVII 83 p. 103.

PAMLTRCLatHegesippus I 44 p. 103.

1 *πέμψεως* T 2 *ἐκβολὴν*] *ἐπιβουλὴν* C *πρότερον*] *primam* Lat *τὴν* iterat L^1 4 *μέγιστον*] *μέγα* ·, eras. *ν* A *ὅ*] *οἵ* L'R *ὃ καὶ* TC fort. recte 5 *δὲ* LTRC 6 *κλαίοντεσ* L *ἤδη, η* finale i. ras. L *praeterea* Lat *ἐπῆει* ex *ἐπείη* corr. A *ἐπῖει* C^1 7 *φοραθείη* R^1C^1 8 *δὲ* LTRC *κηλικία* C^1 9 *ἔσπευδε* M 11 *καὶ* om. LTRCLat 14 *μὴ — διαβολῶν*] *ne forte criminationes eius auctae fuissent* Lat 16 *καὶ —* 18 *ἀφορμήν*] *ne demorando magis aut desiderantem offenderet aut suspectum exacerbaret* Heg 17 *μελήσει* PA^1M *μὲν* om. PA *τοῖς* om. PA 18 *δ'* TRC et ex corr. Lips 19 *παρὰ*] *κατὰ* PA *γεγονέναι* MLTRC *factum esse* Lat *μηδὲ*] *nec — quemquam* Lat *nemo* Heg, unde *μηδένα* Destinon 20 *δὲ* LTRC

21 *τῷ πατρὶ ἑαυτὸν* tr. A 22 *σαλευομένην* LR 23 *ἐνῆγεν γὰρ*] *ἐνῆγε γὰρ* (*ε* post *γ* i. ras.) A *εἰς τὸν Σεβαστὸν λιμένα*] PALat *τὴν* (*τὸν* C) *σεβαστὴν εἰσ τὸν λιμένα* MLTRC 25 *προυπήντησε* TC *δὲ* LTR 26 *ἐμισεῖτο —* p. 140, 1 *παρρησίαν*] *nam etsi semper aeque invisus erat, odio tamen ut proderetur tunc data libertas est* Lat

ἐτίσις. καὶ τότε φανῆναι τὸ μῖσος ἔσχεν παρρησίαν. πολλοὺς δὲ
ὁ ἐκ τοῦ βασιλέως φόβος ἀπέστρεψεν. ἐπειδὴ πᾶσα πόλις ἤδη
τῆς κατ' Ἀντιπάτρου φήμης πεπλήρωτο καὶ μόνος ἠγνόει τὰ κατ'
αὐτὸν Ἀντίπατρος· οὔτε δὲ προεπέμφθη λαμπρότερόν τις ἐκείνου
615 *πλέοντος ἐπὶ Ῥώμης οὔτε ἀτιμότερον ὑπεδέχθη. ὁ δὲ ἤδη μὲν* 5
ἐνενόει τὰς οἴκοι συμφοράς, ἔτι δὲ ἐκ πανουργίας ὑπεκρύπτειο
καὶ τῷ δέει τεθηγκὼς ἔνδοθεν σοβαρὸς εἶναι τὸ πρόσωπον ἐβιά-
616 *ζετο. φυγὴ δ' οὐκέτι ἦν οὐδ' ἐκ τῶν περιεχόντων ἀνάδυσις, καὶ*
σαφὲς μὲν οὐδὲ ἐκεῖ τι τῶν οἴκοθεν ἀπηγγέλλετο διὰ τὴν ἐκ τοῦ
βασιλέως ἀπειλήν, ὑπελείπετο δὲ ἐλπὶς ἱλαρωτέρα, τάχα μὲν μηδὲν 10
πεφωρᾶσθαι. τάχα δ', εἴ τι καὶ πεφώραται, διασκευάσειν ἀναιδείᾳ
καὶ δόλοις, ἅπερ ἦν αὐτῷ μόνα τὰ τῆς σωτηρίας ἐφόδια.
617 5. *Φραξάμενος οὖν αὐτοῖς ἦκεν εἰς τὸ βασίλειον δίχα τῶν*
φίλων· οὗτοι γὰρ ὑβρισθέντες ἐπὶ τοῦ πρώτου πυλῶνος εἰσῆχθησαν·
ἔτυχεν δ' ἔνδον ὢν Οὔαρος ὁ τῆς Συρίας ἡγεμών. ὁ δὲ εἴσεισι πρὸς 15
τὸν πατέρα καὶ τῇ τόλμῃ παρακροτήσας ἑαυτὸν ἤγγιζεν ὡς ἀσπα-
618 *σόμενος. κἀκεῖνος τὰς χεῖρας προβαλὼν καὶ τὴν κεφαλὴν παρα-*
κλίνας, „ἔστιν, ἐξεβόησεν, καὶ τοῦτο πατροκτόνου τὸ περιλέκεσθαί
μοι θέλειν ἐν τηλικαύταις αἰτίαις ὄντα. φθείρου, δυσσεβεστάτη
κεφαλή, μηδέ μου ψαύσῃς πρὶν ἀποσκευάσασθαι τὰ ἐγκλήματα. δί- 20
δωμι δέ σοι δικαστήριον καὶ δικαστὴν εὐκαίρως ἥκοντα Οὔαρον.
ἴθι καὶ σκέπτου τὴν ἀπολογίαν εἰς αἴριον· παρέχω γάρ σου καιρὸν

---

§ 614 = Ant. Iud. XVII 89.

PAMLTRC Lat Hegesippus I 44 p. 104.

1 *φανῆνε* C¹ *δὲ*] *δὲ καὶ* MR² 2 *ἐκ* om. M *ἀπέστρεφεν* MLTRC *πᾶσα*] *πᾶσα ἡ* P 3 *κατὰ* PLTRC *ἠγνώει* C¹ *καθ' ἑαυτὸν* LTR 4 *δὲ*] *γὰρ* LTRC Lat *λαμπρότερόσ* PA *clarius* Lat *λαμπροτέρως* Niese 5 *ἐπὶ ῥώμην* PAML² *ἀτιμώτερον* PA¹ *ὁ δὲ ἤδη*] *enimuero* Lat 6 *ἐνενόει*] *ὑπενόει* LTRC *intellegens* Lat *reputare* Heg *ἐκ πανουργίας*] *πανουργίᾳ* LTRC 7 *τῷ*] *τὸ* R¹ *τεθηγκὼς ἔνδοθεν*] *paene mortuus* Lat 8 *δὲ* LTR *ἦν οὐκέτι* tr. TC *οὐδὲ* LTRC *ἀναδύσισ* P 9 *οὐδὲ ἐκεῖ*] L¹TRCLat *οὐδέν* PAML² *ἀπηγγέλλετο, η* i. ras. A 10 *δ'* LTRC *ὑπελείπετο δ' ἐλπὶς*] *unde interdum etiam spes eum pertemptabat* Lat *μὲν*] ex *δὲ* corr. A, om. P 11 *πεφωρᾶσθαι*] *πεφανερῶσθαι* LR *esse deprehensum* Lat *δὲ* LR *πεφανέρωται* LR *διασκευάσειν*] *διασκεδάσειν* LC 12 *τὰ* om. MLTRC 14 *οὗτοι*] *αὐτοὶ* PAM *qui* Lat *ἐπὶ*] *ἀπὸ* ALat *εἰσῆχθησαν* M et ex corr. A *repulsi sunt* Lat 15 *ἔτυχ' ἔνδον* A *ἔτυχε δὲ ἔνδον* LTRC *ὁ τῆσ συρίασ ἡγεμὼν οὔαροσ* tr. LTRC 19 *ἐν*] *ἐπὶ* C *δυσσεβεστάτη, η* i. ras. P 20 *μηδ' ἐμοῦ* A *ἀποσκευάσασθαι*, litt. *νάσασ* i. ras. A 21 *σοι*] *σοι καὶ* LCLips haud male 22 *καιρὸν*] *et tempus* (h. e. *καὶ καιρὸν*) Lat

τοῖς πανουργεύμασιν." πρὸς ταῦτα μηδὲν ὑπ' ἐκπλήξεως ἀποκρί- 619
νασθαι δυνηθεὶς αὐτὸς ἐπιστρέψας, παραγενόμενα δὲ πρὸς αὐτὸν
ἐκδιηγήσαντο πάντας τοὺς ἐλέγχους ἥ τε μήτηρ καὶ ἡ γυνή. καὶ
τότε μὲν ἀνανήψας ἐν σκέψει τῆς ἀπολογίας ἦν.

XXXII. 1. Τῇ δ' ἑπομένῃ συνέδριον μὲν ὁ βασιλεὺς ἀθροίζει τῶν 620
συγγενῶν καὶ φίλων, εἰσκαλεῖ δὲ καὶ τοὺς Ἀντιπάτρου φίλους. προ-
καθίζεται δὲ αὐτὸς ἅμα Οὔαρῳ καὶ τοῖς μητρὸς πάντας ἐκέλευσεν
εἰσαγαγεῖν, ἐν οἷς εἰσῆλθεσαν καὶ τῆς Ἀντιπάτρου μητρὸς οἰκέται
τινὲς οὐ πρὸ πολλοῦ συνειλημμένοι, κομίζοντες γράμματα παρ' αὐτῆς
πρὸς τὸν υἱὸν τοιάδε· „ἐπεὶ πεφώραται πάντα ἐκεῖνα τῷ πατρί σου, 621
μὴ παραγίνου πρὸς αὐτόν, ἂν μή τινα πορίσῃ παρὰ τοῦ Καίσαρος
δίκαιον." τούτων δὴν τοῖς ἄλλοις εἰσηγμένων Ἀντίπατρος εἰσέρχεται
καὶ πεσὼν πρηνὴς πρὸ τῶν ποδῶν τοῦ πατρός, „ἱκετεύω, πάτερ, ἔφη,
μηδέν μου προκατεγνωκέναι, παρασχεῖν δέ μοι τὰς ἀκοὰς ἀκεραίους
εἰς τὴν ἀπολογίαν· ἀποδείξω γὰρ ἐμαυτὸν καθαρόν, ἂν σὺ θέλῃς."

2. Ὁ δ' αὐτῷ σιγᾶν ἐγκραγὼν πρὸς τὸν Οὔαρον εἶπεν· 622
„ἀλλ' ὅτι μὲν καὶ σύ, Οὔαρε, καὶ πᾶς δικαστὴς ὅσιος Ἀντί-
πατρον ἐξώλη κρινεῖ, πέπεισμαι. δέδοικα δέ, μὴ κἀμοῦ μισή-
σῃς τὴν τύχην κἀμὲ κρίνῃς πάσης ἄξιον συμφορᾶς τοιούτους
υἱοὺς γεγεννηκότα. χρὴ δέ με διὰ τοῦτο ἐλεεῖσθαι πλέον, ὅτι
πρὸς οὕτω μιαροὺς καὶ φιλοστοργότατος πατὴρ ἐγενόμην. τοὺς 623
μὲν γὰρ πρεσβυτέρους βασιλείας τε ἔτι νέους ἀξιώσας καὶ πρὸς τοῖς

§ 619 = Ant. Iud. XVII 92.

PAMLTRC Lat Hegesippus I 44 p. 105.

1 *πανουργήμασιν* AMLR *πρὸς — 2 ὑπέστρεψεν*] *ad haec metu obstupefactus antipater, quia nihil respondere potuit, reuersus est* Lat *at ille obstupefactus tantae commotionis pauore nihil est ausus referre nec potuit, sed egressus fluctuabat animo* Heg *ἐκπλήξεως, εως* i. ras. L *ἀποκρίνασθαι*] *ἀποκρίνεσθαι* A *δύνασθαι* C 2 *δυνηθεὶς αὐτὸς*] *ἀποκριθ-ναντος* C i. marg. *νβ'* C *αὐτος*] *αὖος* Destinon ex LatHeg *παραγενόμενα*] *παραγινόμενα* P; redit manus antiqua T 3 *διηγήσαντο* LTRC 4 *δὲ* ALTRC 5 *μὲν* om. LTR *τῶν φίλων* C 6 *εἰσκαλεῖ* L 7 *ἅπαντας* LTRC 8 *οὐ πρὸ πολλοῦ*] *iam pridem* Lat 9 *γράμματα κομίζοντες* tr. LTRC *παρ'*] *ἀπ'* LTRC 10 *ἐπεὶ*] *ἐπείπερ* LTRC *τῷ*] *παρὰ τῶ* LTRC *σου*] *σὺ* Destinon 11 *τοῦ* om. LTRC 12 *τούτων — εἰσηγμένων*] *his ad superiora additis* Heg *σὺν*] *οὖν* PA *itaque — una cum* Lat 13 *πρινὴς* P 14 *μοι* ex *μου* corr. A *ἀκεραίους* ex corr. m. 2 C 16 *δὲ* LTRC *ἐγκραγὼν*] *κεκραγῶς* PA *ἐγκεκραγὼς* Destinon 18 *ἐξώλην* L¹RC et ex corr. T *κρίνει* (*ει* ex *η* corr. A) PAMLR *iudicauerit* Lat 19 *τύχην*] *ψύχην* C *ἄξιον πάσης* tr. C 20 *διὰ τοῦτο ἐλεεῖσθαι πλέον*] PAM *μᾶλλον διὰ τοῦτο ἐλεεῖσθαι* L *διὰ τοῦτο ἐλεεῖσθαι μᾶλλον* TRC *hoc — magis miserandus* Lat 21 *καὶ* om. T *φιλοστοργώτατος* PA¹L *ἐγενόμην, γενό* i. ras. A 22 *τε ἔτι νέους βασιλείας* tr. C *τοῖς*] *τοῖσ*, eras. *ε* L

ἐν Ῥώμῃ τροφείοις φίλους Καίσαρος, ζηλωτοὺς δὲ ποιήσας βασι-
λεῦσιν ἑτέροις, εὗρον ἐπιβούλους, οἳ τεθνήκασι τὸ πλέον Ἀντι-
πάτρῳ· νέῳ γὰρ ὄντι καὶ διαδόχῳ τούτῳ μάλιστα τὴν ἀσφάλειαν
624 ἐποριζόμην. τὸ δὲ μιαρὸν τοῦτο θηρίον τῆς ἐμῆς ὑπερεμπλησθὲν
ἀνεξικακίας ἤνεγκεν κατ' ἐμοῦ τὸν κόρον· ἔδοξα γὰρ αὐτῷ πολὺν
ζῆν χρόνον, καὶ τὸ ἐμὸν γῆρας ἐβαρύνθη βασιλεύς τε οὐχ ὑπέ-
μεινεν εἰ μὴ διὰ πατροκτονίας γενέσθαι, δίκαια γοῦν βουλευσά-
μενος, ὅτι καταγαγὼν αὐτὸν ἀπὸ τῆς χώρας ἀπερριμμένον καὶ
παρωσάμενος τοὺς ἐκ βασιλίδος μοι γεγεννημένους ἀπέδειξα τῆς
625 ἀρχῆς διάδοχον. ἐξομολογοῦμαί σοι, Οὔαρε, τὴν ἐμαυτοῦ φρε-
νοβλάβειαν· ἐγὼ τοὺς υἱοὺς ἐκείνους κατ' ἐμαυτοῦ παρώξυνα
δικαίας αὐτῶν ἀποκόψας ἐλπίδας δι' Ἀντίπατρον. καὶ τί μὲν
ἐκείνους εὐεργέτησα τηλικοῦτον, ἡλίκον τοῦτον; ᾧ γε ζῶν μὲν ὀλί-
γου δεῖν παρεχώρησα τῆς ἐξουσίας, φανερῶς δὲ ταῖς διαθήκαις
ἐνέγραψα τῆς ἀρχῆς διάδοχον καὶ πρόσοδον μὲν ἰδίᾳ πεντήκοντα
ταλάντων ἔνειμα, τῶν δ' ἐμῶν ἐχορήγησα χρημάτων ἀνέδην, πλέοντι
δὲ νῦν εἰς Ῥώμην ἔδωκα τριακόσια τάλαντα, Καίσαρι δ' ἐξ ὅλης
626 τῆς γενεᾶς μόνον ὡς σωτῆρα τοῦ πατρὸς παρεθέμην. τί δ' ἐκεῖνοι
τοιοῦτον ἠσέβησαν, οἷον Ἀντίπατρος; ἢ τίς ἔλεγχος ἠνέχθη κατ'
627 αὐτῶν, ἡλίκος ἀποδείκνυσιν τοῦτον ἐπίβουλον; ἀλλὰ φθέγγεσθαί τι
τετόλμηκεν ὁ πατροκτόνος καὶ πάλιν δόλοις τὴν ἀλήθειαν ἐπικα-
λύψειν ἐλπίζει. Οὔαρε, σοὶ φυλακτέον· ἐγὼ γὰρ οἶδα τὸ θηρίον
καὶ προορῶμαι τὴν μέλλουσαν ἀξιοπιστίαν καὶ τὸν ἐπίπλαστον

---

§ 623 sq. cf. Ant. Iud. XVII 94 sq.

PAMLTVRC Lat Hegesippus I 44 p. 105.

1 *τροφείοις*] *τρυφίοις* L^1 *τροφίοις* R *τροφέοις* C^1 *φίλους* — 2 *ἑτέροις*] *amicos caesaris feceram, sed quos aliis inuidendos regibus aemulandosque constitui* Lat *δὲ*] *τε* MLVRC *βασιλεῦσιν*] redit antiqua manus V 2 *ἑτέροις* ex *ἑταίροις* corr. C 3 *τούτο* C 4 *μιαρὸν* — *θηρίον*] *hic adulescentulus belua* Lat 5 *ἐ·μοῦ*, eras. uid. *τ* A *αὐτῷ*] *αὐτὸν* V 6 *τ'* C 7 *γοῦν*] *τε* L^1R *γε* VC *quidem profecto* Lat 8 *ἀπὸ*] *ἐκ* LVRC *ἀπερριμένον* V *ἀπερριμμένον* R 9 *γεγεννημένους* PAMLRC 11 *ἐγὼ*] *ἐγὼ γὰρ* P probante Destinone 12 *αὐτῶν* ex *αὐτοῦ* corr. C 13 *εὐηργέτησα* MLVRC 14 *δεῖν*] *δ' ἦν* C^1 *παρεχώρισα* C 15 *ἰδίᾳ* P *ἴδιον* Destinon 16 *τῶν*] *ἐμφορεῖσθαι δὲ τῶν* R^2 *δὲ* LVRC *ἀνέδην*] *ἀναίδην* LR^2V 17 *τριακόσια*] *τ̄* PA *δὲ* MLVRC 18 *παρεθέμην τοῦ πατρὸς* tr. V *δ'*] *δὲ* LVR *δὲ* Lips *δαι* C 19 *ἔ··|λεγχος, λεγ* suppl. A 20 *αὐτὸν* V^1 21 *δόλοις*] *λόγοις* C *ἐπικαλύψειν*] *obtegere* Lat *οὔαρε, ο* ex *ρ* corr. uid. A 22 *γὰρ*] *μὲν γὰρ* P probante Destinone 23 *προορῶ·μαι* V

ὀλοφυρμόν· οὗτός ἐστιν ὁ παραινῶν ἐμοὶ ποτε φιλάτεσθαι ζῶντα Ἀλέξανδρον καὶ μὴ πᾶσιν ἀπιστεῖν τὸ σῶμα· οὗτος ὁ μέχρι τῆς κοίτης εἰσάγων καὶ μή μέ τις ἐνεδρεύοι περιβλέπτων· οὗτος ὁ ταμίας τῶν ὕπνων καὶ χορηγὸς τῆς ἀμεριμνίας, ὁ παραμυθούμενος τὴν ἐπὶ τοῖς ἀνῃρημένοις λύπην καὶ διακρίνων τὴν τῶν ζώντων εὔνοιαν ἀδελφῶν, ὁ ὑπερασπιστὴς ὁ ἐμός, ὁ σωματοφύλαξ. ὅταν 628
ἀναμνησθῶ. Οὔαρε, τὸ πανοῦργον ἐν ἑκάστῳ καὶ τὴν ὑπόκρισιν, ἀπιστία με τοῦ ζῆν εἰσέρχεται καὶ θαυμάζω, πῶς βαρὺν οὕτως ἐπίβουλον διέφυγον. ἀλλ' ἐπεὶ δαίμων τις ἐξερημοῖ τὸν ἐμὸν οἶκον καί μοι τοὺς φιλτάτους ἐπανίστησιν ἀεί, κλαύσομαι μὲν ἐγὼ τὴν ἄδικον εἱμαρμένην καὶ κατ' ἐμαυτὸν στενάξω τὴν ἐρημίαν, διαφεύξεται δ' οὐδεὶς διψήσας τοὐμὸν αἷμα, κἂν διὰ πάντων μου τῶν τέκνων ὁ ἔλεγχος ἔλθῃ."

3. Τοιαῦτα λέγων αὐτὸς μὲν ὑπὸ συγχύσεως ἐνεκόπη, Νικολάῳ 629
δ' ἐνὶ τῶν φίλων λέγειν τὰς ἀποδείξεις ἔνευσεν. μεταξὺ δ' ὁ Ἀντίπατρος ἐπάρας τὴν κεφαλήν, ἔμενεν γὰρ δὴ βεβλημένος πρὸ τῶν ποδῶν τοῦ πατρός, ἐκβοᾷ· „σύ, πάτερ, ὑπὲρ ἐμοῦ πεποίη- 630
κας τὴν ἀπολογίαν· πῶς γὰρ ἐγὼ πατροκτόνος, ὃν ὁμολογεῖς φύλακα διὰ παντὸς ἐσχηκέναι; ἱερατείαν δέ μου καὶ ὑπόκρισιν λέγεις τὴν εὐσέβειαν. πῶς ὁ πανοῦργος ἐν τοῖς ἄλλοις οὕτως ἄφρων ἐγενόμην, ὡς μὴ νοεῖν, ὅτι λαθεῖν οὐδ' ἀνθρώπους ῥᾴδιον τηλικοῦτον μύσος ἐνσκευαζόμενον, τὸν δ' ἀπ' οὐρανοῦ δικαστὴν

§ 629 = Ant. Iud. XVII 99.

PAMLVRCLatHegesippus I 44 p. 106.

2 *πιστεύειν, ει* i. ras. m. 2 V *ὁ*] *ὅ με* Destinon 3 *εἰσάγων*] *ingredi* Lat *deducere* Heg *εἰσάττων* Niese 4 *χωρηγὸς* V 5 *καὶ*] *ὁ* V 6 *ὅτ' ἄν* PALVC 7 *ἀναμνησθῶι* V 8 *ἀπιστεία* C¹ *βαρὺν*] PALat *βαθὺν* MLVRC fort. recte *οὕτω βαθὺν* tr. LVRC 9 *διέφυγον, ο* ex *ε* corr. V *ἐξερημοῖ*] *ἐξῃρέμοι* PALat 10 *καὶ — ἀεί*] *mihique amicissimi semper infensi sunt* Lat 11 *εἱμαρμένην* LVR *κατ' ἐμαυτὸν*] *καθ' ἑαυτὸν* LVR fort. recte 12 *δὲ* LVRC 14 *ἐνεκόπη*] *interrupto sermone tacuit* Lat *intercepta uox est* Heg *ἀνεκόπη* Destinon 15 *δὲ* LVR *ἐνὶ*] PAL²CLat *ἐπὶ* ML¹VR *γρ ἐνὶ* i. marg. V *ἔνευσεν*] *ἐπένευσε* M *ἐκέλευε* (*-ευεν* V) LVRC *iussit* Lat *δὲ* LVRC *ὁ* om. P

16 *ἀντίπατρος, α* ante *τ* i. ras. 3 litt., i. marg. *ανπα τ τ* P 17 *ἐκβοᾷ*] *ἐβόα* LVRC *exclamat* Lat *exclamans ait* Heg *πεποίησαι* LVRC fort. recte 18 *ὁμολογεῖς*] *ὁμολογεῖσ αὐτοσ* LVRC 19 *τερατείαν* — 21 *ἐγενόμην*] *aut si ficta, ut dicis, simulataque mea pietas fuit, cur in aliis tam callidus in hoc adeo demens fui* Lat *δέ*] *δ' εἰ* ex Lat Destinon 20 *λέγει* C¹ *πῶς*] *πῶσ οὖν* LVRC *οὕτωσ* (*οὗτοσ* V) *ἐν τοῖσ ἄλλοισ* tr. LVRC 21 *οὐδ'*] *οὐδὲν* L¹VRC *οὐδ' ἄν* Aldrich *ἀνθρώπουσ, ν* ex *ι* corr. A 22 *ἐνσκευαζόμενοσ* ML¹VR *ἐνσκευαζόμενοσ* Lips *δὲ* LVRC

631 ἀμήχανον, ὃς ἐφορᾷ πάντα καὶ πανταχοῦ πάρεστιν; ἢ τὸ τῶν ἀδελ-
φῶν τέλος ἠγνόουν, οἷς ὁ θεὸς οὕτως μετῆλθε τῆς εἰς σὲ κακοβου-
λίας; τί δέ με καὶ παρώξυνεν κατὰ σοῦ; βασιλείας ἐλπίς; ἀλλ' 5
ἐβασίλευον. ὑπόνοια μίσους; οὐ γὰρ ἐστεργόμην; φόβος ἐκ σοῦ τις
ἄλλος; ἀλλὰ μὴν σὲ τηρῶν ἑτέροις φοβερὸς ἦμην. ἔνδεια χρημάτων;
632 καὶ τίνι μᾶλλον ἐξῆν ἀναλίσκειν; εἰ γὰρ ἐξολέστατος πάντων ἀν-
θρώπων ἐγενόμην καὶ θηρίου ψυχὴν εἶχον ἀνημέρου, πάτερ, οὐκ
ἂν ταῖς σαῖς εὐεργεσίαις ἐνικήθην, ὃν κατήγαγες μέν, ὡς ἔφης αὐτός, 10
προέκρινας δὲ τοσούτων τέκνων, ἀπέδειξας δὲ ζῶν βασιλέα, δι'
633 ὑπερβολὴν δὲ τῶν ἄλλων ἀγαθῶν ἐποίησας ἐπίφθονον; ὦ τάλας
ἐγὼ τῆς πικρᾶς ἀποδημίας, ὡς πολὺν ἔδωκα καιρὸν τῷ φθόνῳ καὶ
μακρὰν τοῖς ἐπιβουλεύουσι διωρίαν. σοὶ δέ, πάτερ, καὶ τοῖς σοῖς
ἀγῶσιν ἀπεδήμουν, ἵνα μὴ Σύλλαῖος τοῦ σοῦ γήρως καταφρονήσῃ. 15
Ῥώμη μοι μάρτυς τῆς εὐσεβείας καὶ ὁ τῆς οἰκουμένης προστάτης
Καῖσαρ, ὁ φιλοπάτορα πολλάκις με εἰπών. λάβε, πάτερ, τὰ παρ'
αὐτοῦ γράμματα. ταῦτα τῶν ἐνθάδε διαβολῶν πιστότερα, ταῦτα
ἀπολογία μοι μόνη, τούτοις τῆς εἰς σὲ φιλοστοργίας τεκμηρίοις
634 χρῶμαι. μέμνησο δὲ ὡς οὐχ ἑκὼν ἔπλεον ἐπισταμένου τὴν ἐμφω-
λεύουσαν τῇ βασιλείᾳ κατ' ἐμοῦ δυσμένειαν. σὺ δέ με, πάτερ,
ἄκων ἀπώλεσας, ἀναγκάσας καιρὸν διαβολῆς δοῦναι τῷ φθόνῳ.
πάρειμι δὲ ἐπὶ τοὺς ἐλέγχους, πάρειμι διὰ γῆς καὶ θαλάσσης οὐδὲν

§ 631 = Ant. Iud. XVII 102.

PAMLVRC Lat Hegesippus I 44 p. 107.

1 ὃς — πάρεστιν] *qui ubique praesto esset et cuncta conspiceret* Lat
2 οὕτω LVRC 3 τί — σοῦ] *quid autem fuit cur me tua salus offenderet*
ε δαίμε
Lat δὲ] δαί V δαί C δέ με καὶ] δὲ καὶ (δαίμε deleuit m. 2) Lips 4 οὐ
γὰρ] ἀλλ' V *sed* LatHeg 5 ἄλλος om. Lat ἀλλὰμὴν A ἦμην] uide supra
§ 389 6 ἐξολέστατος C ἁπάντων LVRC 7 καὶ — 8 ἐνικήθην] *immanis-
que bestiae animum gererem, certe mansueti patris beneficiis uincerer* Lat
ἀνημέρον εἶχον tr. PAM 8 ἐνικήθην] *mansuescere potui* Heg ἐκλήθην Naber
γεσ
κατήγα - , εσ i. ras. A 9 τοσούτων] σου τῶν LVR *tot* Lat 10 ὦ] PM
ὦ A ὧ C ὢ LVR 11 φθόνῳ, ὁ suppl. m. 2 C *labori* (h. e. πόνῳ) Lat
12 σοὶ ex σὺ uid. corr. L *tuis* Lat δὲ om. VC 13 γήρως, ω ex ου
corr. V 15 φιλο·πάτορα R με πολλάκις tr. MLVRC 16 ἐνθάδε om.
Lat πιστώτερα P ταῦτα ἀπολογία — 18 ἑκὼν] *hisque me defendo, haec
affectus erga te mei argumenta certissima. recordare quam ingratus* Lat
17 τῆς] τοῖσ A[1] 18 χρῶμαι V ἐμφολεύουσαν C[1] 19 τῇ βασιλείᾳ] PAMLat
τῆσ βασιλείασ LVRC τοῖς βασιλείοις ex Lugd. Bat. Bekker τῆς Σαλώμης Naber
δὲ om. Lat. με om. PL 20 ἀπόλεσασ P ἀπώλεσασ, σ finale ex ν corr. V
21 γῆς καὶ i. marg. suppl. m. 2 V θαλάττησ (ττ ex corr. m. 2) R

οὐδαμοῦ καθὼν ὁ καισαρεύς. ἀλλὰ μήτω με τούτῳ φίλει τῷ 635
τεκμηρίῳ· κατέγνωσται γὰρ καὶ παρὰ θεῷ καὶ παρὰ σοί. κάτειρ.
καταγνωσμένος δὲ δέομαι μὴ ταῖς ἄλλων βασάνοις πιστεύειν, ἀλλὰ
κατ' ἐμοῦ φερέσθω τὸ νῦν, ἐδεύτω διὰ τῶν ἐμῶν σπλάγχνων τὰ
ὄργανα, μὴ φειδέσθω ὁλοφυρμὸς τοῦ μιαροῦ σώματος· εἰ γὰρ ἐμὶ
καισαρεύς, οὐκ ὀφείλω θνήσκειν ἀβασάνιστος." τοιαῦτα μετ' 636
ὀλοφυρμοῦ καὶ δακρύων ἐκβοῶν τούς τε ἄλλους ἅπαντας καὶ τὸν
Οὔαρον εἰς οἶκτον προυκαλέσατο, μόνον δὲ ὁ θυμὸς Ἡρῴδην ἄδα-
κρυν διεκράτει τοὺς ἐλέγχους ἀληθεῖς ἐπιστάμενον.

4. Ἐν τούτῳ Νικόλαος τοῦ βασιλέως κελεύσαντος πολλὰ πρὸς 637
τὸ πανοῦργον τὸ Ἀντιπάτρου προειπὼν καὶ τὸν ἐπ' αὐτῷ διαχέας
ἔλεον, ἔπειτα μικρὰν κατηγορίαν κατετείνατο, κάντα μὲν τὰ κατὰ
τὴν βασιλείαν κακουργήματα περιτιθεὶς αὐτῷ, μάλιστα δὲ τὴν ἀναί-
ρεσιν τῶν ἀδελφῶν, ἀποδεικνὺς ταῖς ἐκείνου διαβολαῖς ἀπολωλότας.
ἐπιβουλεύειν δὲ αὐτὸν ἔλεγεν καὶ τοῖς περιοῦσιν ὡς ἐφέδροις τῆς
διαδοχῆς· τὸν γὰρ παρασκευάσαντα πατρὶ φάρμακον ἢ ποὺ γ' ἂν
ἀδελφῶν ἀποσχέσθαι. προελθὼν δ' ἐπὶ τὸν ἔλεγχον τῆς φαρμα- 638
κείας τάς τε μηνύσεις [ἐξῆς] ἐπεδείκνυεν καὶ περὶ Φερώρα κατε-
σχετλίαζεν, ὅτι κἀκεῖνον Ἀντίπατρος ποιήσειεν ἀδελφοκτόνον καὶ
τοὺς φιλτάτους τῷ βασιλεῖ διαφθείρας ὅλον τοῦ μύσους ἀνατλή-
σειεν τὸν οἶκον, ἄλλα τε πολλὰ πρὸς τούτοις εἰπὼν καὶ ἀποδείξας
καταπαύει τὸν λόγον.

§ 633 = Ant. Iud. XVII 105.

PAMLVRCLatHegesippus I 44 p. 110.

1 *οὐδαμοῦ*] i. ras. 4 litt. m. 2 V *οὐδαμῆ* C fort. recte · *παθὼν* om. V¹ *ἀλλὰ*] *ἀλλ' οὐ* Destinon *μήπω με τούτω φίλει*] PALat *μήπω τούτω ὠφέλημαι* MLVRC *μήπως με τοῦτ' ὠφελῇ τὸ τεκμήριον* Destinon 2 *κατέγνωσμαι γὰρ καὶ παρὰ θεῶ*, litt. *μαι γὰρ παρὰ θ* i. ras. L *γὰρ*] PAMLVCLips *δὲ* R *θεῷ*] *τῶ θεῶ* AM 3 *ταῖς τῶν ἄλλων* C 4 *φέρεσθαι* L *μὴ — 5 σώματος*] *ne parcas scelesto corpori* Lat 5 *φείδεσθε* LRC *φείδεσθαι* V *ὁλοφυρμὸς*] *ὁλοφυρμοῦ* LVRC, om. Lat damnat Herwerden recte 6 *ὀφίλω* C¹ *ἀβασάνιστος*] Bekker *ἀβασανίστως* (ω ex ο corr. A) PAMLVR *ἀτιμωρήτως* C *μετὰ* LVRC 7 *ὁλοφυρμοῦ*] *ὁλολυγμοῦ* ALVRC *ululatu* Lat *ἐμβοῶν* P 9 *ἀληθοῦς* V¹ 10 *τοῦ βασιλέως κελεύσαντος νικόλαος* tr. LVRC 11 *τὸ*] *τοῦ* PAML² *προσειπὼν* PAM *praefatus* Lat *αὐτῶ*, *ῶ* ex *ὸν* uel *οῦ* corr. A *διαχέας*, *α* i. ras. m. 2 L 12 *κατετείνετο* C 14 *ἀπολωλότων* M 16 *διαδοχοῖς* P *ἢ πού γ'*] *πότε* LVRC 17 *προσελθὼν* L¹VR¹CLips *δ'*] *δὲ* (s. A) ALVR, om. C *φαρμακίας* V¹ 18 *ἑξῆς*] om. PAM *per ordinem* Lat *ἀπεδείκνυε* PAML²VC 22 *καταπαύει*· L

639 5. *Οὔαρος δὲ ἀπολογεῖσθαι κελεύσας τὸν Ἀντίπατρον, ὡς οὐδὲν πλέον εἰπὼν ἢ „Θεός ἐστίν μοι τοῦ μηδὲν ἀδικεῖν μάρτυς“ ἔκειτο σιγῶν, αἰτήσας τὸ φάρμακον δίδωσί τινι τῶν ἐπὶ θανάτῳ κατα-*
640 *κρίτων δεσμώτῃ πιεῖν. τοῦ δὲ παραχρῆμα τελευτήσαντος ὁ μὲν ἀπορρήτους ποιήσας τὰς πρὸς Ἡρώδην ὁμιλίας καὶ τὰ περὶ τὸ* 5
συνέδριον Καίσαρι γράψας μετὰ μίαν ἡμέραν χωρίζεται. δεσμεῖ δὲ ὁ βασιλεὺς Ἀντίπατρον καὶ πρὸς Καίσαρα τοὺς δηλώσοντας τὴν συμφορὰν ἐξέπεμψεν.

641 6. *Μετὰ δὲ ταῦτα καὶ κατὰ Σαλώμης ἐπίβουλος Ἀντίπατρος εὑρίσκεται· τῶν γὰρ Ἀντιφίλου τις οἰκετῶν ἦκεν ἐπιστολὰς κομίζων* 10
ἀπὸ Ῥώμης παρὰ Λιονίας θεραπαινίδος Ἀκμῆς τοὔνομα. καὶ παρὰ μὲν ταύτης ἐπέσταλτο βασιλεῖ τὰς παρὰ Σαλώμης ἐπιστολὰς ἐν τοῖς Λιονίας εὑρηκέναι γράμμασιν, πεπομφέναι δὲ αὐτῷ λάθρα δι' εὔνοιαν.
642 *αἱ δὲ τῆς Σαλώμης λοιδορίας τε τοῦ βασιλέως περιεῖχον πικροτάτας καὶ κατηγορίαν μεγίστην. ταύτας δὲ πλάσας Ἀντίπατρος καὶ τὴν* 15
643 *Ἀκμὴν διαφθείρας ἔπεισεν Ἡρώδῃ πέμψαι. διηλέγχθη δὲ ἐκ τῆς πρὸς αὐτὸν ἐπιστολῆς· καὶ γὰρ ἐκείνῳ τὸ γύναιον ἔγραψεν· „ὡς ἐβουλήθης, ἔγραψά σοι τῷ παιρὶ καὶ τὰς ἐπιστολὰς ἐκείνας ἔπεμψα πεπεισμένη τὸν βασιλέα μὴ φείσεσθαι τῆς ἀδελφῆς, ὅταν ἀναγνῷ. καλῶς δὲ ποιήσεις, ἐπειδὰν ἀπαρτισθῇ πάντα, μνημονεύσας ὧν ἔπεσχον.“* 20

§ 639 = Ant. Iud. XVII 131.

PAMLVRC Lat Hegesippus I 45 p. 111.

1 *οὐάρον* C *κελεύσας* (*κελεύσαντος* C) *ἀπολογεῖσθαι* tr. LVRC *ὡς*] om. C *et ille* Lat 2 *πλέον*] *πλέον ἐκεῖνος* C *ἔσται* V *ἀδικεῖ* V 3 *αἰτήσας*] ML¹LatHeg *ὁ δὲ* (*δὲ* deleuit A) *ἡρώδησ αἰτήσασ* PAVC *αἰτήσασ δὲ* L²R *ὁ δὲ αἰτήσασ* Destinon; cf. A. I. XVII 131 5 *ὁ μὲν*] *ὁ μὲν οὔαροσ* VC *ἀπορήτουσ* V *τὰς*] *τινὰς* ex Lat Destinon *Ἡρώδην*] MLVRC Lat *οὔαρον* PA 6 *περὶ* iterauit C *γράψας καίσαρι* tr. A i. marg. *νγ'* V 7 *δὲ*] *δ'* C *nihiloque minus* Lat *δηλώσαντασ* P *δηλώσοντασ, ο* corr. ex *α* uid. A 9 i. marg. *νγ'* C *καὶ κατὰ*] *κα | τὰ* P *κα·τὰ·* A *κατὰ* C *καὶ*, i. marg. m. 2 *γρ κατὰ σα* V *ἐπίβουλοσ Ἀντίπατροσ εὑρίσκεται*] LVRC *ἐπιβουλὰσ ἀντίπατροσ εὑρίσκεται* (*εὑρίσκετο* A) *πεποιηκὼσ* PAM *γρ μετα δὲ ταῦτα κατασαλώμησ ἐπίβουλοσ ἀντίπατροσ εὑρισκετ*** i. marg. P (*post haec etiam salomen*) *appetisse insidiis arguebatur antipater* Lat *nec tamen ab insidiis uacuus erat* (*antipater*); *nam tum maxime salomes periculum dolis temptabat* Heg *ἐπιβουλὰσ* 'l. *εὑρίσκεται πεποικιλκὼσ* Destinon 11 *Λιονίας*] *λευΐασ* PA *ἰουλίασ* MLVRCLatHeg; cf. supra p. 129, 2 *θεραπενίδοσ* R 13 *λευΐασ* PA *ἰουλίασ* MLVRC Lat Heg *γράμασιν* A *δὲ*] *τε* VRC, om. L¹ 14 *πικρωτάτασ* A¹ et ex corr. P 16 *ἔπεισεν, ισεν* i. ras. L *διηλέχθη* A *διηλέχθη* C 17 *ἐκεῖνο* L¹ *ἔγραψε* P *ἐβουλήθησ*] *βουληθεὶσ* L¹VR 18 *ἔγραψα·* L *ἔγραψασ* R¹ 19 *φείσεσθαι*] Cocceji cum Heg *φείσασθαι* codd. *posse parcere* Lat 20 *ὧν*] *ὡσ* PA

7. *Ταύτης φωραθείσης τῆς ἐπιστολῆς καὶ τῶν κατὰ Σαλώμης* 644
ἐνσκευασθεισῶν ἔννοια μὲν ἐμπίπτει τῷ βασιλεῖ τάχα καὶ κατ'
Ἀλεξάνδρου πλασθῆναι γράμματα, περιαλγὴς δ' ἦν ὑπὸ τοῦ πά-
θους ὡς παρ' ὀλίγον καὶ τὴν ἀδελφὴν ἀποκτείνας δι' Ἀντίπατρον·
οὐκέτι οὖν ἀνεβάλλετο λαβεῖν τιμωρίαν ὑπὲρ ἁπάντων. ὁρμημένος 645
δ' ἐπὶ τὸν Ἀντίπατρον ἐπεσχέθη νόσῳ χαλεπῇ· περὶ μέντοι τῆς
Ἀρχῆς καὶ τῶν κατὰ Σαλώμης ἐσκευωρημένων ἐπέστειλεν Καίσαρι.
τήν τε διαθήκην αἰτήσας μετέγραψεν, καὶ βασιλέα μὲν ἀπέδειξεν 646
Ἀντίπαν ἀμελῶν τῶν πρεσβυτάτων Ἀρχελάου καὶ Φιλίππου· δια-
βεβλήκει γὰρ καὶ τούτους Ἀντίπατρος· Καίσαρι δὲ σὺν τοῖς διὰ
χρημάτων δώροις χίλια τάλαντα, τῇ δὲ γυναικὶ καὶ τέκνοις αὐτοῦ
καὶ φίλοις καὶ ἀπελευθέροις περὶ πεντακόσια, ἀπένειμεν δὲ καὶ
τοῖς ἄλλοις ἅπασιν τῆς τε χώρας οὐκ ὀλίγα καὶ τῶν χρημάτων·
λαμπροτάτας δὲ δωρεᾶς ἐτίμα Σαλώμην τὴν ἀδελφήν. ἐν μὲν οὖν
ταῖς διαθήκαις ταῦτα διωρθώσατο.

XXXIII. 1. *Προῆει δ' αὐτῷ πρὸς τὸ χαλεπώτερον ἡ νόσος ἅτε* 647
δὴ τῶν ἀρρωστημάτων ἐν γήρᾳ καὶ ἀθυμίᾳ ἐπιτεσόντων· ἦν μὲν
γὰρ ἤδη σχεδὸν ἐτῶν ἑβδομήκοντα, τεταπείνωτο δὲ τὴν ψυχὴν ταῖς
περὶ τῶν τέκνων συμφοραῖς, ὡς μηδ' ἐν ὑγιείᾳ τι τῶν ἡδέων προσ-

---

§ 644 = Ant. Iud. XVII 142.

PAMLVRCLatHegesippus I 45 p. 112.

1 Σαλώμης] PAML² σαλώμην L¹VRC 2 ἐπισκευασθεισῶν P ἐνσκευασθησῶν C¹V¹ ἐγσκευασθεισῶν V² ἔννοια μὲν] ἔννοιαν C καὶ] καὶ τὰ Destinon κατὰ LVRC 3 πλησθῆναι C δὲ PLVRC περιαλγὴς — πάθους] *anxius erat* Lat 4 ὀλίγων V ἀποκτεῖναι M 5 οὖν] οὖ L¹ οἶν L² ἀνεβάλετο LRV¹ ὡρμημένος — 6 Ἀντίπατρον] *sed ne proposito satisfaceret* Lat 6 δὲ ALVR 7 ἐσκαιωρημένων PAML² καίσαρι, ι finale i. ras. m. 2 V 8 τήν τε — 9 Φιλίππου] *ac propterea testamento mutato exemit nomen antipatri regemque scripsit ex archelao et philippo natu maiorem* Lat τε] δὲ A αἰτήσας] ἀθετήσας Destinon μετέγραψεν Destinon 9 ἀρχιλάου M διεβεβλήκει AM 10 ad Ἀντίπατρος i. marg. ζήτει P δια] δίχα ex cod. Rost. Hauerkamp 11 χρημά | ματων A κτημάτων aut χρυσωμάτων Bekker δώροις] δώροισ κατέλιπεν C; κατέλιπεν agnoscit ne Lat quidem δὲ] τε LVRC καὶ] καὶ τοῖσ (καὶ suppletum) M 12 περὶ] om. PHeg *prope* Lat πεντακόσια] φ' PA ἀπένεμεν Destinon 13 ἅπασιν] παισὶν Destinon; uide Ant. Iud. XVII 147, ubi filii et filiorum filii memorantur 14 δὲ] τε LVRC 15 διορθώσατο LV¹C¹ 16 προ·ήει (eras. σ) L προσείη R¹V δὲ LVR τὸ om. L¹ χαλεπώτερον, ερ i. ras. P ἅτε — 17 ἐπιπεσόντων] *quod eum senectus pariter ac maeror urgeret* Lat 17 μὲν om. M 18 ἑβδομήκοντα] ō PA 19 μηδὲ LVRC ὑγιείᾳ] Richter ὑγεία codd. τι] τινὶ (νὶ expunxit A) PA

ίεσθαι. τῆς νόσου δ' ἦν ἐπίτασις ζῶν Ἀντίπατρος, ὃν οὐκ ἐν παρέργῳ, ῥαΐσας δὲ προῄρητο ἀνελεῖν.

648 2. *Γίνεται δ' ἐν ταῖς συμφοραῖς αὐτῷ καὶ δημοτική τις ἐπανάστασις. δύο ἦσαν σοφισταὶ κατὰ τὴν πόλιν μάλιστα δοκοῦντες ἀκριβοῦν τὰ πάτρια καὶ διὰ τοῦτο ἐν παντὶ τῷ ἔθνει μεγίστης ἠξιωμένοι δόξης, Ἰούδας τε υἱὸς Σεπφεραίου καὶ Ματθίας ἕτερος*
649 *Μαργάλου. τούτοις οὐκ ὀλίγοι προσῆσαν τῶν νέων ἐξηγουμένους τοὺς νόμους, καὶ συνεῖχον ὅσημέραι τῶν ἡβώντων στρατόπεδον. οἳ τότε τὸν βασιλέα πυνθανόμενοι ταῖς ἀθυμίαις ὑπορρέοντα καὶ τῇ νόσῳ λόγον καθίεσαν εἰς τοὺς γνωρίμους, ὡς ἄρα καιρὸς ἐπιτηδειότατος εἴη τιμωρεῖν ἤδη τῷ θεῷ καὶ τὰ κατασκευασθέντα παρὰ*
650 *τοὺς πατρίους νόμους ἔργα κατασπᾶν. ἀθέμιτον γὰρ εἶναι κατὰ τὸν ναὸν ἢ εἰκόνας ἢ προτομὰς ἢ ζῴου τινὸς ἐπώνυμον ἔργον εἶναι· κατεσκευάκει δ' ὁ βασιλεὺς ὑπὲρ τὴν μεγάλην πύλην ἀετὸν χρυσοῦν· ὃν δὴ τότε παρῆνουν ἐκκόπτειν οἱ σοφισταί, καλὸν εἶναι λέγοντες, εἰ καί τις γένοιτο κίνδυνος, ὑπὲρ τοῦ πατρίου νόμου θνήσκειν· τοῖς γὰρ οὕτω τελευτῶσιν ἀθάνατόν τε τὴν ψυχὴν καὶ τὴν ἐν ἀγαθοῖς αἴσθησιν αἰώνιον παραμένειν, τοὺς δὲ ἀγενεῖς καὶ τῆς ἑαυτῶν σοφίας ἀπείρους ἀγνοοῦντας φιλοψυχεῖν καὶ πρὸ τοῦ δι' ἀρετῆς τὸν ἐκ νόσου θάνατον αἱρεῖσθαι.*

651 3. *Ἅμα δὲ τοῖς ἐκείνων λόγοις διεφθείρετο καὶ θνήσκειν ὁ βασιλεύς, ὥστε θαρραλεώτερον ἥπτοντο τῆς ἐπιχειρήσεως οἱ νέοι. μέσης γοῦν ἡμέρας καὶ πολλῶν κατὰ τὸ ἱερὸν ἀναστρεφομένων*

---

§ 648 = Ant. Iud. XVII 149.

PAMLVRCLatHegesippus I 45 p. 113.

1 *δὲ* LVRC *ὃν*] *ὂν* P 2 *προηρεῖτο* PAM *ανελεῖν, εῖν* i. ras. A 3 i. marg. *νδ'* V *δὲ* AMLVR *ἐν ταῖσ* i. ras. m. 2 V 5 *παντὶ*] *ἅπαντι* LVRC 6 *Σεπφεραίου*] ex corr. A *σεπφωρέου* PA¹ *σεπφωραίου* MLVRC *seferaei* Lat *Σαριφαίου* Ant. Iud. XVII 149 7 *Μεργαλώθου* Ant. Iud. *προσίεσαν* PL¹V¹R *νεῶν* P *ἐξηγούμενοι* L¹R 8 *τὸν νόμον* C *συνεῖχον*] *συχνὸν συνεῖχον, σ* (in *συν*) i. ras. 3—4 litt. P *συνῆγον* MLVRC *ὡσήμεραι* PA¹ *ἡβόντων* PA¹VR¹ 9 *τότε* om. M *ὑπορέοντα* PA *ὑπεκρέοντα* (*έ* i. ras. maiore m. 2 V) LVRC 10 *γνωρίμους, ι* i. ras. m. 2 C *ἐπιτηδειότατος* V 11 *εἴη*] *ἦν* PA *τὰ* om. L¹ 13 *ἢ* (ante *εἰκόνας*) om. L 14 *κατεσκεύακει* A *δὲ* LVRC *πύλιν* C¹ 16 *γένοιτο*] *γένηται* LVR *θνήσκειν*] *mori non recusare* Lat 17 *οὕτωι τελευτῶισιν* V 18 *ἀγεννεῖσ* AMLVR *αὐτῶν* L¹VRC 21 *θνήσκει* C 22 *θαρσαλεώτερον* L *θαρραλεώτερον, εώ* i. ras. m. 2 V. *θαρραλαιότερον* R 23 *μέσης*] *μεσούσης* M *καὶ* om. PLat *ἀναστρεφομένω* C

σχοίνοις καχείαις καθιμήσαντες σφᾶς αὐτοὺς ἀπὸ τοῦ τείχους τὸν χρυσοῦν ἀετὸν ἐξέκοπτον πελέκεσιν. ἐγγίλθη δ' εὐθέως τῷ βασι- 652
λέως στρατηγῷ, κἀκεῖνος μετὰ χειρὸς οὐκ ὀλίγης ἀναδραμὼν περὶ τεσσαράκοντα νεανίας συλλαμβάνει καὶ κατήγαγεν πρὸς βασιλέα.
πυνθανομένῳ δ' αὐτῷ πρῶτον, εἰ τολμήσειεν τὸν χρυσοῦν ἀετὸν ἐκ- 653
κόπτειν, ὡμολόγουν. ἔπειτα, τίνος κελεύσαντος, ἀπεκρίναντο τοῦ πατρίου νόμου. τί δ' οὕτως γεγήθασιν διερωτήσαντος, ἀναιρεῖσθαι μέλλοντες ἔλεγον, ὅτι πλειόνων ἀγαθῶν ἀπολαύσουσιν μετὰ τὴν τελευτήν.

4. Ἐπὶ τούτοις ὁ βασιλεὺς δι' ὑπερβολὴν ὀργῆς κρείττων τῆς 654
νόσου γενόμενος πρόεισιν εἰς ἐκκλησίαν, καὶ πολλὰ τῶν ἀνδρῶν κατηγορήσας ὡς ἱεροσύλων καὶ προφάσει τοῦ νόμου πειραζόντων τι μεῖζον ἢ ἔξιον κολάζειν ὡς ἀσεβεῖς. ὁ δὲ δῆμος δείσας μὴ διὰ 655
πολλῶν ὁ ἔλεγχος ἔλθῃ, παρεκάλει πρῶτον μὲν τοὺς ὑποθεμένους τὴν πρᾶξιν, ἔπειτα τοὺς ἐν αὐτῇ συλληφθέντας κολάσαντα τοῖς λοιποῖς τὴν ὀργὴν ἀφιέναι. πείθεται μόλις ὁ βασιλεύς, καὶ τοὺς μὲν καθιμήσαντας ἑαυτοὺς ἅμα τοῖς σοφισταῖς κατέκαυσε ζῶντας, τοὺς λοιποὺς δὲ τῶν συλληφθέντων παρέδωκεν τοῖς ὑπηρέταις ἀνελεῖν.

5. Ἔνθεν αὐτοῦ τὸ σῶμα πᾶν ἡ νόσος διαλαβοῦσα ποικίλοις 656
πάθεσιν ἐμερίζετο· πυρετὸς μὲν γὰρ ἦν οὐ λάβρος, κνησμὸς δὲ ἀφόρητος τῆς ἐπιφανείας ὅλης καὶ κόλον συνεχεῖς ἀλγηδόνες περί τε τοὺς πόδας ὥσπερ ὑδρωπιῶντος οἰδήματα τοῦ τε ἤτρου φλεγ-

§ 651 = Ant. Iud. XVII 155.

PAMLVRC Lat Hegesippus I 45 p. 113.

1 *σφᾶς* PALR²V 2 *ἀετὸν*] PAMLat *ἐκεῖνον* LVR *ἐκεῖνον ἀετὸν* C *πελέκεσιν*] *πελέκεσιν ἀετόν* (*ἀετόν* suppl. m. 2) L *ἐξέκοπτον*, *ἐξέ* i. ras. 4—5 litt. Lips *δὲ* LVRC 4 *τεσσαράκοντα*] *μ̄* PA *νεανίας*] *νεανίσκους* V *συλλαμβάνει* · V *λαμβάνει* P *βασιλέα*] *τὸν βασιλέα* LVRC *πυνθανομένων* V 5 *δὲ* LVR *αὐτῷ*] *αὐτὸν* C¹ *αὐτῶν* LVR *εἰ*] *an ipsi* Lat *ἀετὸν* om. LVRC 6 *ἔπειτ'* sic P 7 *πατρώου* V *δ'*] *δὲ* LVR *δαὶ* C *οὕτω* (*οὕτωι* V) LVRC *διερωτῶντος* L 8 *ἀπολαύσουσιν* PALips *frui sperarent* Lat 11 *πρόησιν* P et ut uid. A¹ *producit* Lat 13 *μεῖζον* ex *μείζων* corr. PV *κολάζειν ἠξίου* tr. LVRC *δείσας*] *δήσας* C¹ 15 *ἐν αὐτῇ* om. V¹ 16 *ἀφεῖναι* LVRC *μόγις* LVRC 18 *παρέδωκεν τοῖς ὑπηρέταις ἀνελεῖν* suspecta Destinoni; cf. u. 14 sqq. et Ant. Iud. XVII 164. 167 20 i. marg. *νε'* V *σῶμα* V 21 *διεμερίζετο* LVRC *οὐ λάβρος*] *non mediocris* Lat *uehemens* Heg 22 *κόλου*] *κώλου* MLVRC² et ex corr. A 23 *ὑδροπιῶντος* PA¹LVC¹ *ἤτρου* (*ἦ* i. ras. 2 litt. A) ARC *ἤτρου* P *ἤκτου* M *ἰτρίου* L *ἰτρίου* (*ἰ* i. ras. m. 2) V *uentriculi* Lat

μονὴ καὶ δὴ αἰδοίου σηπεδὼν σκώληκας γεννῶσα, πρὸς τούτοις ὀρθόπνοια καὶ δύσπνοια καὶ σπασμοὶ πάντων τῶν μελῶν, ὥστε τοὺς ἐπιθειάζοντας ποινὴν εἶναι τῶν σοφιστῶν τὰ νοσήματα λέγειν.
657 ὁ δὲ παλαίων τοσούτοις πάθεσιν ὅμως τοῦ ζῆν ἀντείχετο σωτηρίαν τε ἤλπιζεν καὶ θεραπείας ἐπενόει· διαβὰς γοῦν τὸν Ἰορδάνην τοῖς κατὰ Καλλιρρόην ἐχρῆτο θερμοῖς· ταῦτα δ' ἔξεισι μὲν εἰς τὴν Ἀσφαλτῖτιν λίμνην, ὑπὸ γλυκύτητος δ' ἐστὶ καὶ πότιμα. δόξαν δὲ ἐνταῦθα τοῖς ἰατροῖς ἐλαίῳ θερμῷ πᾶν ἀναθάλψαι τὸ σῶμα χαλασθὲν εἰς πλήρη πύελον ἐκλύει καὶ τοὺς ὀφθαλμοὺς ὡς τεθνεὼς
658 ἀνέστρεψεν. θορύβου δὲ τῶν θεραπευόντων γενομένου πρὸς μὲν τὴν φωνὴν ἀνήνεγκεν, εἰς δὲ τὸ λοιπὸν ἀπογνοὺς τὴν σωτηρίαν τοῖς τε στρατιώταις ἀνὰ πεντήκοντα δραχμὰς ἐκέλευσεν διανεῖμαι καὶ πολλὰ χρήματα τοῖς ἡγεμόσι καὶ τοῖς φίλοις.
659 6. Αὐτὸς δὲ ὑποστρέφων εἰς Ἱεριχοῦντα παραγίνεται μελαγχολῶν ἤδη, καὶ μόνον οὐκ ἀπειλῶν αὐτῷ τῷ θανάτῳ προέκοπτεν εἰς ἐπιβολὴν ἀθεμίτου πράξεως· τοὺς γὰρ ἀφ' ἑκάστης κώμης ἐπισήμους ἄνδρας ἐξ ὅλης Ἰουδαίας συναγαγὼν εἰς τὸν καλούμενον
660 Ἱππόδρομον ἐκέλευσεν συγκλεῖσαι. προσκαλεσάμενος δὲ Σαλώμην τὴν ἀδελφὴν καὶ τὸν ἄνδρα ταύτης Ἀλεξᾶν „οἶδα, ἔφη, Ἰουδαίους τὸν ἐμὸν ἑορτάσοντας θάνατον, δύναμαι δὲ πενθεῖσθαι δι' ἑτέρων

§ 656 = Ant. Iud. XVII 169.

PAMLVRC Lat Hegesippus I 45 p. 114.

1 δὴ] Niese δι' codd.; cf. Ant. Iud. XVII 169 αἰδοίου σηπεδὼν, ο (in οἱ) corr. ex ι, litt. ου σ i. ras. R σκώληκα LVRC πρὸς] πρὸ C¹ τούτοις, prius τ i. ras. m. 2 C 2 ὀρθόπνοιά τε V *creber anhelitus* Lat 3 σοφιστῶ C¹ 6 καλλιρόην codd. Lat *calliores* (gen.) Heg ἐχρῆτο θερμοῖς] θερμοῖσ ἐκέχρητο LVRC δὲ LVRC ἀσφαλτίτην V 7 δὲ LVR καὶ om. PAMLat δόξαν — 10 ἀνέστρεψεν] *ibi autem corpus eius, quod medicis oleo calido refoueri placuerat, in arcam plenam demersum ita dissolutum est, ut etiam lumina quasi mortuus reuoluta torqueret* Lat δόξα M δὲ om. PA 8 ἐλέω R 9 εἰς] δὲ εἰσ PA πλήρη] ἐλαίου πλήρη LVRC πυελὸν PA πύελον C ἐκκλύει C ἔκλεισε Naber καὶ om. MLR ὡς] καὶ ὡσ MLRC 11 ἀνήνεγκε L *respicere* (*resipere* Destinon) *uisus est* Lat 12 πεντήκοντα] ν̄ P π̄ A *quinquagenas* Lat δραγμὰσ P δραχμὰσ A 13 τοῖς (ante φίλοις) om M. 14 εἰς] ὡσ εἰσ AMLVR μελαγχολῶν, γ s. A 15 μόνον οὐκ — θανάτῳ] μονονουχὶ (μόνον οὐχὶ R) αὐτῷ τι τῷ θανάτω ἀπειλῶν LVRC *paene ipsi morti minitabatur* Lat προέκοψεν LVRC 16 ἐπιβολὴν] Hudson ἐπιβουλὴν codd. Lat 18 ἱππόδρομον, πό i. ras. minore A 19 ἀλεξᾶν P et ex corr. A ἰουδαίοισ R 20 τὸν ἐμὸν] τὸν μὸν V¹ τὸν μὲν ἐμὸν LRV² δύναμαι] *potero* Lat

καὶ λαμπρὸν ἐπιτάφιον ἔχειν. ἂν ὑμεῖς θελήσητε ταῖς ἐμαῖς ἐντολαῖς ὑπουργῆσαι. τούσδε τοὺς φρουρουμένους ἄνδρας ἐλπίδων ἐκπνεύσω τάχιστα κτείνατε περιστήσαντες τοὺς στρατιώτας, ἵνα πᾶσα Ἰουδαία καὶ πᾶς οἶκος ἄκων ἐπ' ἐμοὶ δακρύσῃ."

7. Ταῦτα ἐνετέλλετο, καὶ παρὰ τῶν ἐν Ῥώμῃ πρέσβεων ἦκον 661
ἐπιστολαί, δι' ὧν Ἀκμὴ μὲν ἀνῃρημένη κελεύσαντος Καίσαρος ἐδήλουτο, θανάτῳ δ' Ἀντίπατρος κατάκριτος· ἔγραφόν γε μὴν ὡς, εἰ καὶ φυγαδεύειν αὐτὸν ἐθελήσειεν ὁ πατήρ, ἐπιτρέποι Καῖσαρ. ὁ 662
δὲ βραχὺ μὲν πρὸς τὴν εὐθυμίαν ἀνήνεγκεν, αὖθις δέ, καὶ γὰρ ἐνδείᾳ τροφῆς καὶ βηχὶ σπασμώδει διετείνετο, τῶν ἀγχιδόνων ἡσσηθεὶς φθάσαι τὴν εἱμαρμένην ἐπεβάλλετο. λαβὼν δὲ μῆλον ᾔτησεν καὶ μαχαίριον, εἰώθει γὰρ ἀποτέμνων ἐσθίειν, ἔπειτα περιαθρήσας μή τις ὁ κωλύων εἴη, ἐπῆρεν τὴν δεξιὰν ὡς πλήξων ἑαυτόν. προσδραμὼν δὲ ἐκώλυσεν Ἀχίαβος ὁ ἀνεψιὸς αὐτοῦ τὴν χεῖρα κατασχών. οἰμωγὴ δ' εὐθέως ἤρθη μεγίστη κατὰ τὸ βασίλειον ὡς οἰχομένου 663
βασιλέως, καὶ ταχέως ἀκούσας Ἀντίπατρος ἀναθαρρεῖ τε καὶ γεγηθὼς τοὺς φύλακας ἱκέτευεν ἐπὶ χρήμασιν ἐξαφεῖναι λύσαντας αὐτόν. ὁ δὲ ἠγεμὼν οὐ μόνον ἐκώλυσεν, ἀλλὰ καὶ βασιλεῖ δραμὼν ἀνήγγειλεν τὴν ἐπιβουλήν. ἀνέκραγεν δ' ἐκεῖνος ἰσχυρότερον τῆς νόσου 664
καὶ παραχρῆμα πέμψας τοὺς δορυφόρους ἀποκτείνει τὸν Ἀντίπατρον. θάψαι δὲ τὸν νεκρὸν αὐτοῦ προστάξας ἐν Ὑρκανίᾳ πάλιν

---

§ 660 = Ant. Iud. XVII 177.

PAMLVRC Lat Hegesippus I 45 p. 115.

1 *λαπρὸν* A *ἔχειν*] *σχεῖν* LVRC *ἂν*] *ἐὰν* M *θελήσηται* C¹ 2 *ὑπουργῆσαι, ου* ex *ο* corr. A 3 *κτείνετε* V *περιστάντες* C 6 *ὧν*] *ὦ* R¹ *ἀκμῆ* P *ἀκμῆ* A *acmen ancillam* Lat 7 *δὲ* LVRC *εἰ* om. C¹ *ἔγραφον*] *scriptum erat* Lat 8 *ἐπιτρέποι*] PALat *ἀποτρέποι* MLVRC 9 *εὐθυμίαν*] *ἐπιθυμίαν* LVRC (*hoc*) *nuntio* (*recreatus est*) Lat *γὰρ* om. V *ἔνδεια* A 10 *βηχὶ σπασμώδει*] *βήχει σπασμῶν* PA *tussis — uiolentia* Lat *τῶν*] *τῶν δ'* (*δ'* paene euan. A) PA *ἡσσηθεὶς*] PAMLat *ἡττηθεὶσ* L² *ἡ δὲ αἴσθησισ* L¹VRC 11 *εἱμαρμένην, εἰ* i. ras. A *εἰμαρμένην* (*εἰ* i. ras. m. 2 V) LVR *ἐπεβάλετο* P¹ *δὲ* om. C 12 *μάχαιραν* V 13 *κωλύον* V *κωλύσων* Naber fort. recte *ἐπεῖρε* V 14 *ἐκώλυσεν*] *διεκώλυσεν* LVRC, om. Lat *ἀνίαβοσ* PA *aciabus* Lat 15 i. marg. *νε'* C *δὲ* LVR *εὐθὺσ* AMLVRC *οἰχομένου* C¹ 16 *τοῦ βασιλέωσ* MLVRC *ἀναθαρρεῖ, α* ante *θ* suppl. P 17 *ἱκέτευεν* s. P i. marg. *νε'* V *ἐξαφιέναι* Hudson 18 *ἐκώλυσεν*] *οὐκ ἔλυσεν* Niese 19 *ἐπιβολήν* Niese *δὲ* LVRC 20 *τοὺσ··δορυφόρουσ* C *ἀποκταίνει* PA *ἀποκτέννει* M *ἀπέκτεινε* LVRC *ἀποκτείνει* — 21 *προστάξας*] *occidit antipatrum mortuumque sepeliri praecepit* Lat

21 *αὐτοῦ* om. C *προ·σ·τάξασ* (eras. *σ*), *σ* s. m. 2 C *προσέταξεν* V *πάλιν*] *καὶ πάλιν* V

τὰς διαθήκας ἐτανορθοῦται, καὶ διάδοχον μὲν Ἀρχέλαον τὸν πρεσβύτατον υἱὸν ἀδελφὸν δὲ Ἀντιπάτρου γράφει, τετράρχην δὲ Ἀντίπαν.
665 S. Μετὰ δὲ τὴν ἀναίρεσιν τοῦ παιδὸς ἐπιβιοὺς πέντε ἡμέρας τελευτᾷ, βασιλεύσας ἀφ' οὗ μὲν ἀποκτείνας Ἀντίγονον ἐκράτησεν τῶν πραγμάτων ἔτη τέσσαρα καὶ τριάκοντα, ἀφ' οὗ δὲ ὑπὸ Ῥωμαίων ἀπεδείχθη βασιλεὺς ἑπτὰ καὶ τριάκοντα, καὶ κατὰ μὲν τὰ ἄλλα πάντα τύχῃ δεξιᾷ χρησάμενος, εἰ καί τις ἄλλος, ὅστις κατεκτήσατο βασιλείαν ἰδιώτης ὢν καὶ τοσοῦτῳ χρόνῳ φυλάξας ἰδίοις τέκνοις
666 κατέλιπεν, ἐν δὲ τοῖς κατ' οἶκον ἀτυχέστατος. πρὶν δὲ γνῶναι τὴν τελευτὴν αὐτοῦ τὸ στρατιωτικὸν προελθοῦσα μετὰ τάνδρὸς ἡ Σαλώμη διαφῆκεν τοὺς δεσμώτας, οὓς κτείνειν ὁ βασιλεὺς ἐνετείλατο, μεταπεισθῆναι τὸν βασιλέα λέγουσα καὶ πάλιν ἀναπέμπειν ἕκαστον εἰς τὰ ἴδια. τούτων δ' οἰχομένων ἐδήλουν ἤδη τοῖς στρατιώταις καὶ συνῆγον αὐτοὺς εἰς ἐκκλησίαν μετὰ τοῦ λοιποῦ πλή-
667 θους ἐν τῷ κατὰ Ἱεριχοῦντα ἀμφιθεάτρῳ. ἔνθα παρελθὼν Πτολεμαῖος ὁ καὶ τὸν σφραγῖδα δακτύλιον παρὰ τοῦ βασιλέως πεπιστευμένος τόν τε βασιλέα κατεδαιμονίζει καὶ τὸ πλῆθος παρακαλεῖ καὶ τὴν ἀπολειφθεῖσαν τοῖς στρατιώταις ἀνεγίνωσκεν ἐπιστολήν,
668 ἐν ᾗ πολλὰ περὶ τῆς εἰς τὸν διάδοχον εὐνοίας παρεκάλει. μετὰ δὲ τὴν ἐπιστολὴν λύσας τὰς ἐπιδιαθήκας ἀνεγίνωσκεν, ἐν αἷς Φίλιππος μὲν τοῦ Τράχωνος καὶ τῶν γειτνιώντων χωρίων κληρο-

§ 664 = Ant. Iud. XVII 188.

PAMLVRC Lat Hegesippus I 45 p. 116.

1 ἐπανωρθοῦτο, ω ex o corr. V *καὶ — 2 γράφει] et successorem quidem archelaum natu maximum antipatri fratrem scripsit* Lat *regemque archelaum instituit seniorem ex fratribus* Heg 2 *υἱὸν* om. PAML² *δὲ* om. PAML² *Ἀντιπάτρου] ἀντίπα* PAML² 4 *τὸν ἀντίγονον* V 5 *τέσσαρα καὶ τριάκοντα ἔτη* tr. M *τέσσαρα καὶ τριάκοντα] λδ* PA *ἀφ' — 6 τριάκοντα* om. C 6 *ἑπτὰ καὶ τριάκοντα] λξ* PA de Herodis temporibus uid. Ant. XIV 389. 487. XVII 191 *καὶ κατὰ] κατὰ* M *κατὰ μὲν τά] τὰ μὲν* V 7 *ἄλλος] ἕτερος* LVRC *ὅστις] ὅστισ γε* LVRC *κατεκτήσατο] PRLat κατεστήσατο* AMLVCLips 9 *κατέλιπεν, ι* i. ras. A *κατέλειπεν* VR *ἀτυχέστατος* ex *ἀτυχεστάτοις* corr. L 10 *στρατιωτικὸν* A *προελθοῦσα* PA¹L *progressa* Lat *μετὰ τάνδρὸς] Destinon μετ' ἀνδρὸς* codd. *ἡ* om. V 12 *τὸν βασιλέα] αὐτὸν* LVRC *ἀναπέμπειν] ἀναπέμπει* M *iussisse dimitti* Lat 13 *τούτων — στρατιώταις] atque ita per hos abeuntes* (h. e. *διὰ τούτων οἰχομένων*) *militibus indicatur* Lat *δὲ* LVRC *ἐδήλουν* MLVRC

14 *συνῆγεν* MLVRC *μετὰ τοῦ λοιποῦ] μετοῦπου* (*τα_λοι*) A 15 *καθ'* LVRC 16 *πεπιστευ|·μένος* A 18 *καὶ τὴν] τήν τε* LVRC *ἀπολειφθεῖσαν* P 19 *πολλὰ* om. C 21 *γειτνιόντων* P *γειτνιώντων* ex *γειτριόντων* corr. A

νόμος, τετράρχης δ', ὡς προείπαμεν, Ἀντίπας. βασιλεὺς δ' Ἀρχέλαος ἀπεδείκνυτο. τούτῳ δὲ τόν τε δακτύλιον τὸν ἑαυτοῦ Καί- 669
σαρι φέριν ἐνετέλλετο καὶ τὰς διοικήσεις τῆς βασιλείας σεσημασμένας· κύριον γὰρ ἁπάντων ὧν διατάξειεν καὶ βεβαιωτὴν τῶν διαθηκῶν εἶναι Καίσαρα· τά γε μὴν λοιπὰ κατὰ τὰς προτέρας διαθήκας φυλάττειν.

9. Βοὴ δ' εὐθὺς ἐγένετο τῶν Ἀρχελάῳ συνηδομένων, καὶ κατὰ 670
στῖφος οἱ στρατιῶται μετὰ τοῦ πλήθους προσιόντες ἐπισχοῦντο μὲν τὴν ἑαυτῶν εὔνοιαν, συνηύχοντο δὲ καὶ τὴν παρὰ τοῦ θεοῦ, καὶ μετὰ ταῦτα πρὸς ταφὴν ἐτρέποντο τοῦ βασιλέως. παρέλιπεν 671
δ' οὐδὲν Ἀρχέλαος εἰς πολυτέλειαν, ἀλλὰ πάντα τὸν βασιλικὸν κόσμον προήνεγκεν συμπομπεύοντα τῷ νεκρῷ· κλίνη μὲν γὰρ ὁλόχρυσος ἦν διάλιθος, στρωμνὴ δὲ ἁλουργὴς ποικίλη, τὸ σῶμα δ' ἐπ' αὐτῆς πορφύρᾳ κεκαλυμμένον. καὶ διάδημα μὲν ἐτέκειτο τῇ κεφαλῇ, στέφανος δ' ὑπὲρ αὐτοῦ χρυσοῦς, τὸ δὲ σκῆπτρον παρὰ τὴν δεξιάν. καὶ περὶ τὴν κλίνην οἵ τε υἱεῖς καὶ τὸ πλῆθος τῶν 672
συγγενῶν, ἐφ' οἷς οἱ δορυφόροι καὶ τὸ Θρᾴκιον στῖφος Γερμανοί τε καὶ Γαλάται διεσκευασμένοι πάντες ὡς εἰς πόλεμον. προῆγεν 673
δ' ἡ λοιπὴ δύναμις ὡπλισμένη τοῖς ἡγεμόσιν καὶ ταξιάρχοις ἀκολουθοῦντες ἐν κόσμῳ, πεντακόσιοι δὲ ἐπ' αὐτοῖς τῶν οἰκετῶν καὶ ἀπελευθέρων ἀρωματοφόροι. σταδίους δ' ἐκομίσθη τὸ σῶμα

§ 668 = Ant. Iud. XVII 194.

PALMVRC Lat Hegesippus I 46 p. 119.

1 δὲ ALVRC προεῖπομεν MLVRC Ἀντίπας] *antipater* cod. Ambr. Heg δὲ ALVRC 2 δὲ om. P fort. recte 3 τῆσ βασιλείασ, litt. τῆσ βα ut uid. i. ras. M² 4 κύριον, litt. ὑριο i. ras. minore A τῶν διαθηκῶν om. Lat et ut uid. Heg 5 κατὰ] καὶ C 7 δὲ LVRC εὐθὺς i. marg. suppl. m. 2 V συνηδομένων C 8 post πλήθους deletum οἱ στρατιῶται C προσιόντες] PAMR²Lat προϊόντεσ LVCR¹ 9 ηὔχοντο V¹ 10 καὶ om. AMLVRCLat τ·αφὴν L ἐτράποντο MLRC παρέλειπεν (— πε LVR) PLVR 11 δὲ LVRC ὁ ἀρχέλαοσ LVRC βασίλειον κόσμον LVRC 12 συμπομπεύσαντα L¹R¹ συμποπεύοντα C¹ κλίνη·V γὰρ om. LVRCLat 13 στρομνὴ V¹ ἁλουργὶσ PLVRC ἁλουργὴσ M 14 δὲ LVRC αὐτῇ PM κεκαλυμένον A 15 δὲ LVRC σκῆπτρ·ον A 16 περὶ] περὶ μὲν LVRC υἱοῖσ C¹ 18 γαλάται, αι i. ras. m. 2 V διεσκευασμένοι — 19 δύναμις] *uelut ad bellum instructi omnes antecedebant, cetera uero militum manus* Lat 19 δὲ LVRC λοιπὴ] λυπὴ C¹ ὡπλισμένοι LVRC τα·ξιάρχοισ A ταξιάρχαισ C 20 ἐπ'] ὑπ' L¹VRC αὐτοῖσ ex αὐτῆσ corr. V ἐπ' αὐτοῖς om. Lat 21 δὲ LVRC τὸ σῶμα ἑβδομήκοντα] διακοσίουσ τὸ σῶμα L

ἑβδομήκοντα εἰς Ἡρώδειον, ὅπου κατὰ τὰς ἐντολὰς ἐτάφη. καὶ τὰ μὲν περὶ Ἡρώδην τοιοῦτον ἔσχεν πέρας.

§ 673 = Ant. Iud. XVII 399.

PAMLVRCLat Hegesippus I 46 p. 118

1 *ἑβδομήκοντα*] *διακοσίους* LVRCLat Heg et i. marg. M *ὀκτὼ* Ant. Iud. XVII 199; sexaginta stadia Herodium ab Hierosolymis abesse dicitur supra § 419 Ant. Iud. XV 324 *ἡρώδιον* A¹V *ῥώδιον* L¹R *ῥόδιον* C 2 *περὶ ἡρώδου* P Subscriptio deest PV *ἰωσήπου περὶ ἁλώσεως ἰουδαϊκῆς ἱστορίας· λόγος πρῶτος* A *ἰωσήπου λόγος α̃* M *φλαυΐου ϊωσήπου ϊουδαϊκῆς ἱστορίας περὶ ἁλώσεως λόγος ᾱ* L *τέλος φλαουΐου (γρ φλαβίου* i. marg.) *ϊωσήπου ἰουδαϊκῆς ϊστορίας περὶ ἁλώσεως ᾱ* R *τέλος τοῦ ᾱ λόγου* C *fl. iosephi liber primus explicit incipit liber secundus* Lat

II.

Φλαυίου Ἰωσήπου ἱστορία Ἰουδαϊκοῦ πολέμου πρὸς Ῥωμαίους λόγος β'.

I. 1. *Ἀρχελάῳ δὲ νέων ἦρξε θορύβων ἡ τῆς ἐπὶ Ῥώμην ἀπο-* 1
δημίας ἀνάγκη. πενθήσας γὰρ ἡμέρας ἑπτὰ τὸν πατέρα καὶ τὴν
ἐπιτάφιον ἑστίασιν πολυτελῆ τῷ πλήθει παρασχών· ἔθος δὲ τοῦτο
παρὰ Ἰουδαίοις πολλοῖς πενίας αἴτιον διὰ τὸ πλῆθος ἑστιᾶν οὐκ
ἄνευ ἀνάγκης· εἰ γὰρ παραλείποι τις, οὐχ ὅσιος· μεταλαμβάνει
μὲν ἐσθῆτα λευκήν, πρόεισι δὲ εἰς τὸ ἱερόν, ἔνθα ποικίλαις αὐτὸν
εὐφημίαις ὁ λαὸς ἐκδέχεται. κἀκεῖνος τὸ πλῆθος ἀφ' ὑψηλοῦ βήμα- 2
τος καὶ χρυσοῦ θρόνου δεξιωσάμενος τῆς τε σπουδῆς, ἣν ἐνεδεί-
ξαντο περὶ τὴν κηδείαν τοῦ πατρός, εὐχαριστεῖ καὶ τῆς πρὸς αὐτὸν
θεραπείας ὡς πρὸς βέβαιον ἤδη βασιλέα· φείδεσθαί γε μὴν οὐ
μόνον ἔφη τῆς ἐξουσίας ἐπὶ τοῦ παρόντος, ἀλλὰ καὶ τῶν ὀνομάτων,
ἕως ἂν αὐτῷ Καῖσαρ ἐπικυρώσῃ τὴν διαδοχήν, ὃ καὶ κατὰ τὰς
διαθήκας τῶν ὅλων δεσπότης· οὐδὲ γὰρ ἐν Ἰεριχοῦντι τῆς στρα- 3
τιᾶς τὸ διάδημα περιαπτούσης αὐτῷ δεδέχθαι· τοῦ μέντοι προ-
θύμου καὶ τῆς εὐνοίας ὥσπερ τοῖς στρατιώταις οὕτω καὶ τῷ δήμῳ

§ 1 = Ant. Iud. XVII 200.

PAMLVRCLat

Titulus: *φλαυΐου ἰωσήπου ἰουδαϊκοῦ πολέμου πρὸς ῥωμαίους λόγος* $\overline{\beta}$ P *φλαυΐου ἰωσήπου περὶ ἁλώσεως ἰουδαϊκῆς ἱστορίας λόγος* $\overline{\beta}$ A *φλαυΐου ἰωσήπου ἑβραίου ἰουδαϊκῆς ἱστορίας περὶ ἁλώσεως λόγος δεύτερος* M *περὶ ἁλώσεως λόγος* $\overline{\beta}$ LR *ἰωσήπου περὶ ἁλώσεως λόγος δεύτερος* V *φλανονΐου ἰωσήπου περὶ ἁλώσεως λόγος* $\overline{\beta}$ C 1 i. marg. *α'* V 2 *ἑπτὰ*] *ζ'* A 3 *πολυτελεῖ* P *πολυτελῆ, ᾗ* i. ras. m. 2 V 4 *διὰ* — 5 *ἀνάγκης* om. Lat 5 *παραλίποι* MLC 9 *τοῦ πατρός* om. P *εὐχαρίστει* M 11 *μὴν ἐπὶ τοῦ παρόντος οὐ μόνον ἔφη τῆς ἐξουσίας* tr. LVRC 12 *καὶ*] om. MLVRC *etiam* Lat 13 *ὅλων*] *ὄνων* V¹ *οὐδὲ* — 14 *δεδέχθαι* liberius uertit Lat 14 *δέχεσθαι* LVRC

πλήρεις ἀποδώσειν τὰς ἀμοιβάς, ὁπόταν ὑπὸ τῶν κρατούντων βασιλεὺς ἀποδειχθῇ βέβαιος· σπουδάσειν γὰρ ἐν πᾶσιν πρὸς αὐτοὺς φανῆναι τοῦ πατρὸς ἀμείνων.

4 2. Ἐπὶ τούτοις ἡδόμενον τὸ πλῆθος εὐθέως ἀπετειρᾶτο τῆς διανοίας αὐτοῦ μεγάλοις αἰτήμασιν· οἱ μὲν γὰρ ἐβόων ἐπικουφίζειν τὰς εἰσφοράς, οἱ δὲ ἀναιρεῖν τὰ τέλη, τινὲς δὲ ἀπολύειν τοὺς δεσμώτας. ἐπένευσε δ' ἑτοίμως ἅπασι θεραπεύων τὸ πλῆθος. 5 ἔπειτα θύσας ἐν εὐωχίᾳ μετὰ τῶν φίλων ἦν. ἔνθα δὴ περὶ δείλην ἀθροισθέντες οὐκ ὀλίγοι τῶν νεωτερίζειν προῃρημένων ἤρξαντο ἰδίου πένθους, ὅτε τὸ κοινὸν ἐπὶ τῷ βασιλεῖ πέπαυτο, κατολοφυ- 10 ρόμενοι τοὺς κολασθέντας ὑπὸ Ἡρώδου διὰ τὸν ἐκκοπέντα χρυσοῦν 6 ἀετὸν τῆς πύλης τοῦ ναοῦ. ἦν δὲ τὸ πένθος οὐχ ὑπεσταλμένον· ἀλλ' οἰμωγαὶ διαπρύσιοι καὶ θρῆνος ἐγκέλευστος κοινοί τε περιιχοῦντες ὅλην τὴν πόλιν ὡς ἂν ἐπ' ἀνδράσιν, οὓς ἔφασκον ὑπὲρ 7 τῶν πατρίων νόμων καὶ τοῦ ναοῦ πυρὶ παραπολέσθαι. τιμωρεῖν 15 δ' αὐτοῖς ἀνεβόων ἐκ τῶν ὑφ' Ἡρώδου τετιμημένων χρῆναι καὶ πρῶτον τὸν ὑπ' ἐκείνου κατασταθέντα παύειν ἀρχιερέα· προσήκειν γὰρ αὐτοῖς εὐσεβέστερον αἱρεῖσθαι καὶ καθαρώτερον.

8 3. Πρὸς ἃ παρωξύνετο μὲν Ἀρχέλαος, ἐπεῖχε δὲ τὴν ἄμυναν ὑπὸ τῆς περὶ τὴν ἔξοδον ἐπείξεως, δεδοικὼς μή ποτε τὸ πλῆθος 20 ἐκπολεμώσας κατασχεθείη τῷ κινήματι. διὸ πειθοῖ μᾶλλον ἢ βίᾳ καταστέλλειν ἐπειρᾶτο τοὺς νεωτερίζοντας καὶ τὸν στρατηγὸν ὑπο- 9 πέμψας παύσασθαι παρεκάλει. τοῦτον εἰς τὸ ἱερὸν παρελθόντα

---

§ 3 = Ant. Iud. XVII 203.

PAMLVRC Lat

1 *πλήρησ* L^1R^1 *ὁπόταν, πό* s. A 2 *ἀναδειχθῆ* M *γὰρ*] (*studium*) *que* Lat 4 *ἡδόμενον, ν* finale i. ras. m. 2 L 5 *ἐβόων, ν* s. A 6 *ἀπολύσειν* LVRC 7 *ἐπένευε* LVRC *δὲ* LVR 8 i. marg. *β'* VC 9 *προαιρουμένων* LVRC 10 *ἰδίου*] *τοῦ ἰδίου* L^1VRC *κατωλοφυρόμενοι* R^2 11 *ὑφ'* LVRC 13 *ἀλλὰ* L *διαπρύσιοι, ύ* i. ras. 2 litt. m. 2 C *ἐγκελευστός* P *ἐκέλεστοσ* A *ἐγκέλευστοσ, γ* ex *κ* aut *ν* corr. V *iusto* (*iusso* Destinon) Lat 14 *ὅλην* om. Lat *πόλην* L 15 *πατρίω* R^1 *ναοῦ*] *λαοῦ* P *templo* Lat *πυρὶ* om. LVRC Lat fort. recte; cf. I 655 16 *δὲ* LVRC *αὐτοὺσ* PAM *χρῆναι*] VC *χρήμασι* (— *σιν* PA) PAMLRLat et i. marg. manu ut uid. recentiore V; *χρῆναι* non nimis placet, quod a correctore inuentum esse putat Destinon 17 *κατασταθέντα* ex *καταστάντα* corr. M *προσήκειν* — 18 *καθαρώτερον*] *atque alium pietate praestantem magisque purum optari debere* Lat 18 *αὐτοὺσ* P 19 *ἃ·* A *ἐπείχετο* LVRC 20 *ὑπὸ*] *ἐπὶ* C 21 *ἐκπολεμήσασ* A^1 *βία·* A

πρὶν φθέγξασθαί τι λίθοις ἀπήλαυνον οἱ στασιασταὶ καὶ τοὺς μετ' αὐτοῦ ἐπὶ σωφρονισμῷ προσιόντας, ἐνίει δὲ πολλοὺς ὁ Ἀρχέλαος, καὶ πάντα πρὸς ὀργὴν ἀπεκρίναντο δῆλοί τε ἦσαν οὐκ ἠρεμήσοντες εἰ πλήθους ἐπιλάβοιντο. καὶ δὴ τῆς τῶν ἀζύμων ἑνστά- 10
σιος ἑορτῆς, ἣ πάσχα παρὰ Ἰουδαίοις καλεῖται πολύ τι θυμάτων πλῆθος ἐκδεχομένη, κάτεισι μὲν ἐκ τῆς χώρας λαὸς ἄπειρος ἐπὶ τὴν θρησκείαν, οἱ δὲ τοὺς σοφιστὰς λιθοῦντες ἐν τῷ ἱερῷ συνεστήκεσαν τροφὴν τῇ στάσει πορίζόμενοι. πρὸς ὃ θείους Ἀρχέλαος 11
πρὶν δι' ὅλου τοῦ πλήθους διαδραμεῖν τὴν νόσον ἐπιπέμπει μετὰ
10 σπείρας χιλίαρχον προστάξας βίᾳ τοὺς ἐξάρχοντας τῆς στάσεως κατασχεῖν. πρὸς οὓς τὸ πλῆθος ἅπαν παροξύνεται καὶ τοὺς μὲν πολλοὺς τῆς σπείρας βάλλοντες λίθοις διέφθειρον, ὁ δὲ χιλίαρχος ἐκφεύγει τραυματίας μόλις. ἔπειθ' οἱ μὲν ὡς μηδενὸς δεινοῦ γεγο- 12
νότος ἐτρέποντο πρὸς θυσίαν· οὐ μὴν Ἀρχελάῳ δίχα φόνου καθεκ-
15 τὸν ἔτι τὸ πλῆθος ἐφαίνετο, τὴν δὲ στρατιὰν ἐπαφίησιν αὐτοῖς ὅλην, τοὺς μὲν πεζοὺς διὰ τῆς πόλεως ἀθρόους, τοὺς δὲ ἱππεῖς ἀνὰ τὸ πεδίον· οἱ θύουσιν ἑκάστοις ἐξαίφνης προσπεσόντες διαφθει- 13
ρουσι μὲν περὶ τρισχιλίους, τὸ δὲ λοιπὸν πλῆθος εἰς τὰ πλησίον ὄρη διεσκέδασαν. ἔπιπτον δὲ Ἀρχελάου κήρυκες κελεύοντες ἕκαστον
20 ἀναχωρεῖν ἐπ' οἶκου, καὶ πάντες ᾖχοντο τὴν ἑορτὴν ἀπολιπόντες.

§ 9 = Ant. Iud. XVII 212.

PAMLVRC Lat Hegesippus II 1 p. 121.

1 *καὶ* — 3 *ἀπεκρίναντο*] *et aliis post eum mulcendi sui gratia missis, multos enim allegabat archelaus, iracunde omnia responderunt* Lat *τους*] *τοῖσ* L^1VRC 2 *αὐτοῦ*] *αὐτοὺσ* A^1 *αὐτὸν* L^1VRCLat *προσιόντασ, προ* i. ras. A *προσιοῦσιν* L^1VRC Lat *ὁ* om. LVRC 3 *καὶ πάντα*] *πάντα* C *πάντα δὲ* LVR *ἀπεκρίναντο, ν* post *α* i. ras., *το* suppl. m. 2 V *ἀπεκρίνατο* C^1 *ἦσαν*] om. L^1VR, u. 4 post *ἐπιλάβοιντο* suppleuit L^2 *οὐκ, κ* i. ras. A *οὐχ ἠρεμήσοντεσ* P 4 *ἐπιλάβοιντο*] *ἀπολάβοιντο* nescio unde Hauerkamp 5 *ἣ*] om. L^1RC *qui* Lat *φάσκα* LVRC *pascha* Lat *παρὰ τοῖσ ἰουδαίοισ* C 6 *κάτεισι*] *ἄνεισι* mauult Relandus *ἄπειροσ ἐκ τῆσ χώρασ λαὸσ* (*λεὼσ* C et i. marg. V) tr. LVRC *ἐ·πὶ* (eras. uid. *κ*) R 7 *θρησκίαν* C^1 *συνειστήκεσαν*] *εἱστήκεσαν* P^1M *συνειστήκεισαν* LVRC 9 *διαδραμεῖν*] *δραμεῖν* LRC *συνδραμεῖν* V *corrumperet* Lat 10 *βίᾳ*] *etiam* Lat 11 *πα | οξύνεται* L^1 12 *βάλλοντεσ*] *λαβόντεσ* A *βαλόντεσ* M *βαλλόντεσ* L *διέφθειραν* AV 13 *μόγισ* LVRC *ἔπειτα* LVR 14 *γεγονότοσ δεινοῦ* tr. PAM *ἐτράποντο* LVR *ἐτράπον* (sic) C *πρὸσ τὴν θυσίαν* LVRC *δίχα φόβου* Naber 16 *ἀθρόουσ* L 17 *οἱ*] *ἧ* ex *οι* corr. A et m. 3 V *ἕκαστοι* V *ἑκάστοισ δ'* PAM 18 *τρισχιλίουσ*] *,γ* PA *nouem milia* LatHeg *εἰσ* — 19 *κήρυκεσ*] *per muros proximos deiecerunt; praecones autem sequebantur archelaum* Lat 19 *κήρυκεσ ἀρχελάου* tr. LVRC 20 *ἀπολ·ιπόντεσ* V

14 II. 1. *Αὐτὸς δὲ μετὰ τῆς μητρὸς καὶ τῶν φίλων Ποπλᾶ καὶ Πτολεμαίου καὶ Νικολάου κατῆει πρὸς θάλασσαν καταλιπὼν ἐπίτροπόν τε τῶν βασιλείων καὶ κηδεμόνα τῶν οἰκείων Φίλιππον.*
15 *συνεξῆει δ' ἅμα τοῖς τέκνοις Σαλώμη καὶ τοῦ βασιλέως ἀδελφιδοῖ τε καὶ γαμβροί, τῷ μὲν δοκεῖν συναγωνιούμενοι περὶ τῆς διαδοχῆς* 5
Ἀρχελάῳ, τὸ δ' ἀληθὲς κατηγορήσοντες περὶ τῶν κατὰ τὸ ἱερὸν παρανομηθέντων.
16 2. *Συναντᾷ δ' αὐτοῖς κατὰ τὴν Καισάρειαν Σαβῖνος ὁ τῆς Συρίας ἐπίτροπος εἰς Ἰουδαίαν ἀνιὼν ἐπὶ φυλακῇ τῶν Ἡρῴδου χρημάτων. τοῦτον ἐπέσχεν προσωτέρω χωρεῖν ἐπελθὼν Οὔαρος, ὃν* 10
17 *διὰ Πτολεμαίου πολλὰ δεηθεὶς Ἀρχέλαος μετεπέμψατο. τότε μὲν οὖν Σαβῖνος Οὐάρῳ χαριζόμενος οὔτ' ἐπὶ τὰς ἄκρας ἔσπευσεν οὔτε τὰ ταμιεῖα τῶν πατρῴων χρημάτων ἀπέκλεισεν Ἀρχελάῳ, μέχρι δὲ τῆς Καίσαρος διαγνώσεως ἱρεμίσειν ὑπέσχετο καὶ διέτριβεν ἐπὶ*
18 *τῆς Καισαρείας. ὡς δὲ τῶν ἐμπροδιζόντων ὁ μὲν εἰς Ἀντιόχειαν* 15
ἀπῆρεν, Ἀρχέλαος δὲ εἰς Ῥώμην ἀνήχθη, διὰ τάχους ἐπὶ Ἱεροσολύμων ὁρμήσας παραλαμβάνει τὰ βασίλεια καὶ μεταπεμπόμενος τούς τε φρουράρχους καὶ διοικητὰς ἐπειρᾶτο διερευνᾶν τοὺς τῶν
19 *χρημάτων ἀναλογισμοὺς τάς τε ἄκρας παραλαμβάνειν. οὐ μὴν οἱ* 20
φύλακες τῶν Ἀρχελάου κατῃμέλουν ἐντολῶν, ἕμενον δὲ φρουροῦντες ἕκαστα καὶ τὴν φρουρὰν ἀνατιθέντες Καίσαρι μᾶλλον ἢ Ἀρχελάῳ.
20 3. *Κἀν τούτῳ πάλιν Ἀντίπας ἀμφισβητῶν περὶ τῆς βασιλείας ἐπέξεισιν ἀξιῶν τῆς ἐπιδιαθήκης κυριωτέραν εἶναι τὴν διαθήκην,* 25
ἐν ᾗ βασιλεὺς αὐτὸς ἐγέγραπτο. συλλήψεσθαι δ' αὐτῷ προὐπέσχετο Σαλώμη καὶ πολλοὶ τῶν σὺν Ἀρχελάῳ πλεόντων συγγενῶν.

---

§ 14 = Ant. Iud. XVII 219.

PAMLVRC Lat

1 *ποπλὰ* P *πόπλα* ex corr. A *Πτόλλαν* Ant. Iud. XVII 219 2 i. marg. *γ̄* V 4 *δὲ* LVRC *τοῦ*] *οἱ τοῦ* LVRC *ἀδελφοί* LVRC *fratris — filii* Lat 5 *τῷ*] *τὸ* C fort. recte 6 *δὲ* VR *τῶν*] *τὸν* R¹ et ut uid. A¹ 7 i. marg. *γ̄* C 8 *συναντᾶι* (*ι* eras.) V *δὲ* LVR *κατὰ*] *καὶ κατὰ* L *τὴν* om. LVRC 10 *οὔαροσ ἐπελθών* tr. LVRC 12 *οὔτε* LVR *ἔσπεσεν* A 13 *τὰ*] *μετὰ* L¹ · · *τὰ* R *ταμεῖα* V 14 *καὶ διέτριβεν*] *διέτριβε δὲ* LVRC 18 *διερευνῶν* LV 19 *ἀναλογισμοὺς*] *ἀναλώτασ* LVRC *rationes (pecuniarum)* Lat 20 *φύλακες*] *φρούραρχοι* LVRC *custodes* Lat ante *ἐντολῶν* eras. *τῶν* R *ἔμενον δὲ*] PAM *ἀνέμενον δὲ* L¹VRC *ἀλλ' ἔμενον* L² 22 i. marg. *δ̄* VC *κἀν — 23 ἐπέξεισιν*] *cum hoc autem antipas quoque de regno certabat* Lat 23 *ἐπεξῆσιν* PAM *τὴν διαθήκην εἶναι κυριωτέραν* tr. LVRC 24 *δὲ* LVR

ἐπήγετο δὲ τὴν μητέρα καὶ τὸν ἀδελφὸν Νικολάου Πτολεμαῖον 21
ῥοπὴν εἶναι δοκοῦντα διὰ τὴν παρὰ Ἡρῴδῃ πίστιν· γεγόνει γὰρ
δὴ τῶν φίλων ἐκείνου τιμιώτατος· πλεῖστον μέντοι μετοίσθει διὰ
δεινότητα λόγων Εἰρηναίῳ τῷ ῥήτορι, διὸ καὶ τοὺς νουθετοῦντας
εἶχεν Ἀρχελάῳ κατὰ τὸ πρεσβεῖον καὶ τὰς ἐπιδιαθήκας διεκρού-
σατο. μεθίστατο δὲ ἐν Ῥώμῃ πάντων πρὸς αὐτὸν ἡ σπουδὴ τῶν 22
συγγενῶν, οἷς διὰ μίσους ἦν Ἀρχέλαος, καὶ προηγουμένους ἕκαστος
αὐτονομίας ἐπεθύμει στρατηγῷ Ῥωμαίων διοικουμένης, εἰ δὲ τοῦτο
διαμαρτάνοι, βασιλεύειν Ἀντίπαν ἤθελεν.

4. Συνήργει δ' αὐτοῖς εἰς τοῦτο καὶ Σαβῖνος δι' ἐπιστολῶν 23
κατηγορήσας μὲν Ἀρχελάου παρὰ Καίσαρι, πολλὰ δ' ἐπαινέσας
Ἀντίπαν. συντάξαντες δὲ τὰ ἐγκλήματα οἱ περὶ Σαλώμην ἐντυχεί- 24
ρισαν Καίσαρι, καὶ μετὰ τούτους Ἀρχέλαος τά τε κεφάλαια τῶν
ἑαυτοῦ δικαίων γράψας καὶ τὸν δακτύλιον τοῦ πατρὸς καὶ τοὺς
λόγους εἰσιέμπει διὰ Πτολεμαίου. προσκεψάμενος δὲ ὁ Καῖσαρ τὰ 25
παρ' ἀμφοῖν κατ' ἰδίαν τό τε μέγεθος τῆς βασιλείας καὶ τὸ πλῆθος
τῆς προσόδου, πρὸς οἷς τὸν ἀριθμὸν τῆς Ἡρῴδου γενεᾶς, προ-
αναγνοὺς δὲ καὶ τὰ παρὰ Οὐάρου καὶ Σαβίνου περὶ τούτων ἐπεσταλ-
μένα, συνέδριον μὲν ἀθροίζει τῶν ἐν τέλει Ῥωμαίων, ἐν ᾧ καὶ τὸν
ἐξ Ἀγρίππα καὶ Ἰουλίας τῆς θυγατρὸς θετὸν παῖδα Γάιον πρώ-
τως ἐκάθισεν, ἀποδίδωσι δὲ λόγον αὐτοῖς.

5. Ἔνθα καταστὰς ὁ Σαλώμης υἱὸς Ἀντίπατρος, ἦν δὲ τῶν 26
ἐναντιουμένων Ἀρχελάῳ δεινότατος εἰπεῖν, κατηγόρει φάσκων τοῖς

---

§ 21 = Ant. Iud. XVII 225.

PAMLVRC Lat Hegesippus II 1 p. 120.

1 *ἐπήγετο*] *ducebant* Lat 2 *παρ'* LVRC *ἐγεγόνει* VC 3 *δὴ* om. P *ἐκείνου τιμιώτατος*] *τιμιώτατος ἐκείνῳ* LVRC *illi — (amicorum) carissimus* Lat *ἐπεποίθει* PAML² 4 *δεινό - - - - | τητα* C *διὸ*] *δι' ὃν* VC *unde* Lat 5 *ἦκειν* P et ut uid. A¹V¹ 7 *προηγουμένως*] *προηγουμένως μὲν* LVRC 8 *στρατηγῷ — 9 ἤθελεν*] *et aut romano magistratu administrari aut si hoc non impetrarent antipam* (*antipatrum* cod. Vat.) *regem habere* (*cupiebant*) Lat 8 *ῥωμαίῳ* C *τοῦτο*] *τούτου* LVRC 9 *διαμαρτάνοιεν* VC *ἤθελεν, ἦ* i. ras. P *ἤθελε* LVR *ἤθελον* C 10 *δὲ* LVRC 11 *μὲν* om. PLat *δὲ* LVR 12 *ἐνεχείρησαν* L¹RC 13 *μετὰ τούτους*] *μετ' αὐτοὺς* LVRC *κεφάλαια*] *ἄλλα κεφάλαια* PAM fort. recte 15 *λόγους*] *rationes administrationis* Lat *προσκεψάμενος* ex *προσκηψάμενος* corr. A 16 *παρὰ* LRC *τό τε μέγεθος*] *ubi regni magnitudinem animaduertit* Lat 17 *προσαναγνοὺς* MLRC et ex corr. V *praelectis* Lat 18 *ἐπεσταλμέν* $\overset{\alpha}{\cdot}$ C 19 *τῶν*] *τὸν* A *τὸν*] *τῶν* L¹R 20 *τῆς θυγατρὸς* om. C *Γάιον*] *τὸν τιβέριον φησι* i. marg. adnotant VC *πρῶτος* PALR *tunc primum* Lat *πρῶτον* Hudson 21 *δὲ* om. V

μὲν λόγοις ἀμφισβητεῖν ἄρτι βασιλείας Ἀρχέλαον, τοῖς δ' ἔργοις πάλαι γεγονέναι βασιλέα, κατειρωνεύεσθαι δὲ νῦν τῶν Καίσαρος
27 ἀκοῶν, ὃν δικαστὴν τῆς διαδοχῆς οὐ περιέμεινεν, εἴ γε μετὰ τὴν Ἡρώδου τελευτὴν ἐγκαθέτους μὲν ὑποπέμψας τοὺς περιθήσοντας αὐτῷ τὸ διάδημα, προκαθίσας δ' ἐπὶ τοῦ θρόνου καὶ χρηματίσας βασιλεὺς τάξεις τε τῆς στρατιᾶς ἀμείψας καὶ προκοπὰς χαρισά-
28 μενος, ἔτι δὲ τῷ δήμῳ πάντα κατανεύσας ὅσων ὡς παρὰ βασιλέως τυχεῖν ἠξίουν καὶ τοὺς ἐπὶ μεγίσταις αἰτίαις παρὰ τοῦ πατρὸς δεδεμένους λύσας, νῦν ἥκει παρὰ τοῦ δεσπότου σκιὰν αἰτησόμενος βασιλείας, ἧς ἥρπασεν ἑαυτῷ τὸ σῶμα, καὶ ποιῶν οὐ τῶν πραγ-
29 μάτων ἀλλὰ τῶν ὀνομάτων κύριον Καίσαρα. προσωνείδιζεν δ' ὡς καὶ τὸ πένθος κατειρωνεύσατο τοῦ πατρός, μεθ' ἡμέραν μὲν ἐπισχηματίζων τὸ πρόσωπον εἰς λύπην, νύκτωρ δὲ μέχρις κώμων μεθυσκόμενος, ἐν ᾧ καὶ τὴν ταραχὴν τοῦ πλήθους ἐκ τῆς ἐπὶ τούτοις ἀγα-
30 νακτήσεως ἔλεγεν γεγονέναι. καὶ τὸν ἀγῶνα τοῦ λόγου παντὸς ἐνα-
πηρείσατο τῷ πλήθει τῶν περὶ τὸν ναὸν φρονευθέντων, οὓς ἐληλυθέναι μὲν ἐφ' ἑορτήν, παρὰ δὲ ταῖς ἰδίαις θυσίαις ὠμῶς ἀπεσφάχθαι· καὶ τοσοῦτον ἐν τῷ ἱερῷ σεσωρεῦσθαι νεκρῶν πλῆθος, ὅσον οὐδ' ἂν ἀλλόφυλος ἐσώρευσεν πόλεμος ἐπελθὼν ἀκή-
31 ρυκτος. ταύτην μέντοι τὴν ὠμότητα προσκεψάμενον αὐτοῦ καὶ τὸν πατέρα μηδ' ἐλπίδος αὐτόν ποτε ἀξιῶσαι βασιλικῆς ἢ ὅτε χεῖρον τὴν ψυχὴν κάμνων τοῦ σώματος ἀκρατὴς ἦν ὑγιαίνοντος λογισμοῦ καὶ οὐδ' ὃν ἔγραφεν ἐν ταῖς ἐπιδιαθήκαις ᾔδει διάδοχον, καὶ ταῦτα

§ 26 = Ant. Iud. XVII 230.

PAMLVRCLatHegesipus II 1 p. 120.

1 *βασιλείας*] *περὶ βασιλείας* MLVRC *δὲ* LVRC 2 *νῦν* om. Bekker ex cod. Voss. 3 *ἀκουῶν* A¹ *ὃν*] *ὃν καὶ* A *περιέμενεν* PAM 5 *δὲ* LVRC *τοῦ* om. LVRC *προκαθίσας* — 6 *βασιλεὺς*] *regis more in solio residentem* Lat 6 *βασιλεὺς*] *ὡς βασιλεύς* MLVRC *στρατείας* PA *militiae* Lat 7 *ἔτι δὲ*] *εἶτα* LVRC i. marg. *γρ ἔτι δὲ* C *insuper* Lat *ὅσον* V 8 *παρὰ*] *ὑπὸ* MLVRC 11 *δὲ* LVRC 12 *κατειρωνεύσατο*, *ει* et *ω* i. ras. m. 2 V 13 *μέχρι* · A *μέχρι* MLVRC 14 *ἐν ᾧ*] *denique* Lat 15 *τὸν*, *ὸ* ex *ὴ* corr. V *παντὸς τοῦ λόγου* tr. LVRC 16 *τῶν*] *τὸν* A 17 *ἐληλυθέναι*, *εν* i. ras. m. 2 C *θυσίαισ ὠμῶσ*, *σῶ* ex corr. M 18 *ἀπεσφάχθε* V¹ *τοσούτων* V¹ *σεσωρεῦθαι* ML¹R et ex corr. A *ἂν* om. PA probante Destinono 19 *ἀκήρυκτοσ ἐπελθὼν* tr. V post *ἀκήρυκτος* deletum *πόλεμος* C 21 *μηδὲ* LVR *αὐτόν*] *αὐτῶ* L¹R *αὐτῶι* V *ἀξιῶσαί ποτε* tr. LVRC *χείρων* PA¹L¹ 22 *κάμνον* V¹ 23 *οὐδ' ὃν*] *οὐδὰν* P *οὐδἂν* A *οὔτε ὃν* LVRC *οὐδ' ὃν* uel *οὐχ ὃν* uertit Lat *ἔγραψεν* PA *ᾔδει* — p. 161, 1 *διαθήκαις* om. C *ᾔδει*] MLRLat *ἦ* PA *ἤδη* V

μηδὲν τὸν ἐν ταῖς διαθήκαις μέμψασθαι δυνάμενος. ἃς ἔγραψεν ὑγιαίνων μὲν τὸ σῶμα, καθαρὰν δὲ τὴν ψυχὴν ἔχων πάθους παντός. εἰ μέντοι καὶ κυριωτέραν τὴν τοῦ κάμνοντος κρίσιν τιθείη τις. 32
ἀποχειροτονῆσθαι βασιλείας Ἀρχέλαον ἐφ' ἑαυτοῖ τοῖς εἰς αὐτὴν παρανομηθεῖσιν· ποταπὸν γὰρ ἂν γενέσθαι λαβόντα τὴν ἀρχὴν παρὰ Καίσαρος τὸν πρὶν λαβεῖν τοσούτους ἀνηρηκότα;

6. Πολλὰ τοιαῦτα διεξελθὼν Ἀντίπατρος καὶ τοὺς πλείστους 33
τῶν συγγενῶν παραστησάμενος ἐφ' ἑκάστῳ τῶν κατηγορημένων μάρτυρας καταπαύει τὸν λόγον. ἀνίσταται δὲ Νικόλαος ὑπὲρ Ἀρχε- 34
λάου, καὶ τὸν μὲν ἐν τῷ ἱερῷ φόνον ἀναγκαῖον ἀπέφηνεν· πολεμίους γὰρ γεγονέναι τοὺς ἀνῃρημένους οὐ τῆς βασιλείας μόνον ἀλλὰ καὶ τοῦ δικάζοντος αὐτὴν Καίσαρος. τῶν δ' ἄλλων ἐγκλημάτων συμ- 35
βούλους ἀπεδείκνυεν αὐτοὺς τοὺς κατηγόρους γεγονέναι. τήν γε μὴν ἐπιδιαθήκην ἴξίον διὰ τοῦτο μάλιστα εἶναι κυρίαν, ὅτι βεβαιωτὴν ἐν αὐτῇ Καίσαρα καθίστατο τοῦ διαδόχου· ὁ γὰρ σωφρονῶν ὥστε 36
τῷ δεσπότῃ τῶν ὅλων παραχωρεῖν τῆς ἐξουσίας οὐ δή που περὶ κληρονόμου κρίσιν ἐσφάλλετο, σωφρονῶν δ' ἤρειτο καὶ τὸν καθιστάμενον ὁ γινώσκων τὸν καθιστάντα.

7. Διεξελθόντος δὲ πάντα καὶ Νικολάου παρελθὼν Ἀρχέλαος 37
προπίπτει τῶν Καίσαρος γονάτων ἡσυχῇ. κἀκεῖνος αὐτὸν μάλα φιλοφρόνως ἀναστήσας ἐνέφηνεν μὲν ὡς ἄξιος εἴη τῆς πατρῴας διαδοχῆς, οὐ μήν τι βέβαιον ἀπεφήνατο. διαλύσας δὲ τοὺς συνέ- 38
δρους ἐκείνης τῆς ἡμέρας καθ' ἑαυτὸν περὶ ὧν διήκουσεν ἐσκέπτετο, εἴτε χρὴ τῶν ἐν ταῖς διαθήκαις καταστῆσαί τινα διάδοχον. εἴτε καὶ πάσῃ τῇ γενεᾷ διανεῖμαι τὴν ἀρχήν· ἐδόκει γὰρ ἐπικουρίας τὸ πλῆθος τῶν προσώπων χρῄζειν.

§ 31 = Ant. Iud. XVII 238.

PAMLVRC Lat Hegesippus II 1 p. 120.

1 ἃς] PAMLat ὃν L^1VRC ὧν L^2 3 καὶ om. V τιθείη τίσ τὴν τοῦ κάμνοντοσ κρίσιν tr. L fort. recte 5 ποταπὸν γὰρ] PAMLat ἦ ποταπόν γε ἄρα LVRC ἂν s. C 8 ἐφ' ἑκάστῳ s. P κατηγορουμένων MVC 10 καὶ] *et ante omnia* Lat ἀπέφαινε LRC ἀπέφηνε V 12 τοῦ — αὐτὴν] *ipsius iudicis* Lat αὐτὴν] αὐτὸν LVRC δὲ (s. V) LVRC 13 αὐτοὺς om. Lat 17 δὲ AMLVRC ἤρειτο PAC καὶ om. M 19 διεξελθόντων V^1 καὶ s. A ὁ ἀρχέλαοσ LVR 20 προπίπτει] προσπίπτει $PA^1MV^1R^2C$ *accedit* uel *accidit* Lat τῶν] τοῖσ M γόνασιν M 21 ἄξιονσ C^1 22 μήν τι] μέντοι PA, οὐ μὴν τί βέβαιον i. marg. (man. 1 ut uid.) A *certum uero nihil* Lat συνεδρίουσ L 23 ἐσκέπτετο] διεσκέπτετο P 24 χρὴ om. A χρὴ — 25 εἴτε i. marg. suppl. man. 2 V 26 χρήζειν τὸ πλῆθοσ τῶν προσώπων tr. LVRC

39 III. 1. *Πρὶν δὲ ὁρίσαι τι περὶ τούτων Καίσαρα τελευτᾷ μὲν*
ἡ Ἀρχελάου μήτηρ Μαλθακὴ νοσήσασα, παρὰ Οὐάρου δ' ἐκομί-
40 *σθησαν ἐκ Συρίας ἐπιστολαὶ περὶ τῆς Ἰουδαίων ἀποστάσεως, ἣν*
προϊδόμενος ὁ Οὔαρος, ἀνέβη γὰρ μετὰ τὸν Ἀρχελάου πλοῦν εἰς
Ἱεροσόλυμα τοὺς παρακινοῦντας καθέξων, ἐπειδὴ πρόδηλον ἦν τὸ 5
πλῆθος οὐκ ἠρεμῆσον, ἐν τῶν τριῶν ἀπὸ Συρίας ταγμάτων, ὅπερ
41 *ἄγων ἦκεν, ἐν τῇ πόλει καταλείπει. καὶ αὐτὸς μὲν ὑπέστρεψεν*
εἰς Ἀντιόχειαν, ἐπελθὼν δὲ ὁ Σαβῖνος ἀφορμὴν αὐτοῖς παρέσχεν
νεωτεροποιίας· τούς τε γὰρ φρουροὺς παραδιδόναι τὰς ἄκρας ἐβιά-
ζετο καὶ πικρῶς τὰ βασιλικὰ χρήματα διηρεύνα, πεποιθὼς οὐ μόνον 10
τοῖς ὑπὸ Οὐάρου καταλειφθεῖσι στρατιώταις, ἀλλὰ καὶ πλήθει δού-
λων ἰδίων, οὓς ἅπαντας ὁπλίσας ὑπηρέταις ἐχρῆτο τῆς πλεονεξίας.
42 *ἐνστάσης δὲ τῆς πεντηκοστῆς, οὕτω καλοῦσίν τινα ἑορτὴν Ἰουδαῖοι*
παρ' ἑπτὰ γινομένην ἑβδομάδας καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν προσ-
ηγορίαν ἔχουσαν, οὐχ ἡ συνήθης θρησκεία συνήγαγεν τὸν δῆμον, 15
43 *ἀλλ' ἡ ἀγανάκτησις. συνέδραμεν γοῦν πλῆθος ἄπειρον ἔκ τε τῆς*
Γαλιλαίας καὶ ἐκ τῆς Ἰδουμαίας Ἱεριχοῦντός τε καὶ τῆς ὑπὲρ Ἰορ-
δάνην Περαίας, ὑπερεῖχεν δὲ πλήθει καὶ προθυμίαις ἀνδρῶν ὁ γνή-
44 *σιος ἐξ αὐτῆς Ἰουδαίας λαός. διαείμαντες δὲ σφᾶς αὐτοὺς εἰς*
τρία μέρη τριχῇ στρατοπεδεύονται, πρός τε τῷ βορείῳ τοῦ ἱεροῦ 20
κλίματι καὶ πρὸς τῷ μεσημβρινῷ κατὰ τὸν ἱππόδρομον, ἡ δὲ τρίτη
μοῖρα πρὸς τοῖς βασιλείοις κατὰ δύσιν. περικαθεζόμενοι δὲ παν-
ταχόθεν τοὺς Ῥωμαίους ἐπολιόρκουν.
45 2. *Ὁ δὲ Σαβῖνος πρός τε τὸ πλῆθος αὐτῶν ὑποδείσας καὶ*

§ 39 = Ant. Iud. XVII 250.

PAMLVRC Lat.

2 *Μαλθακὴ*] *μαλθακῆ* ML² *μαλθάκη* corr. ex *μαλθακῆι* V *marthace* Lat *νοσήσασα*] *νόσω νοσήσασα* PAM *νοσήσασα νόσω* L² *morbo correpta* Lat; *νόσῳ* fort. reponendum *δὲ* ALVR 3 *ἀποστασίας* M 4 *προϊδόμενος*] Dindorf *προειδόμενος* codd. *ὁ* om. MLVRC *γὰρ*] *γὰρ δὴ* LVRC *τὸν*] *τῶν* C¹ 6 *πλῆθος*] PAM Lat *ἔθνος* LVRC *ἓν*] *ἐν τῇ* L¹ *ἕν τι* L²VRC *ἀπὸ συρίας τριῶν* tr. V haud male *ἅπερ* uertit Lat 7 *ἦκεν ἄγων* tr. LVRC i. marg. *ε* VC 8 *ὁ* om. C *σαβῖνος, σα* ex *βα* corr. P 10 *βασίλεια* LVRC 11 *τοῖσ, οῖσ* i. ras. A 12 *ὑπηρέται* C¹ 14 *γενομένην* AM *καὶ τὸν ἀριθμὸν*] *ex eorum numero* Lat *κατὰ τὸν ἀριθμὸν* Hudson *ἡμερῶν, ρῶν* suppl. m. 2 C 15 *ἔχουσιν* P 16 *ἀλλ' ἡ*] PAML² *ἀλλὰ* L¹VRC 17 *καὶ ἐκ τῆς*] *καὶ* LVRC *τῆς ὑπὲρ*] *ὑπὲρ* C¹ 18 *προθυμίασ* PA *ἀνδρῶν* om. Lat 19 *δὲ* s. A *ἑαυτοὺσ* LVRC 21 *κλήματι* M *τῷ*] *τὸ* L¹C¹ *ἡ*] *οἱ* i. ras. A *τρίτη*] *τῇ τρίτη* A 22 *κατὰ δύσιν* ex *κατάδυσιν* corr. man. 2 L *δὲ* om. PA *πάντοθεν* LVRC

τὰ φρούρια συνεχεῖς μὲν ἀγγέλους ἔπεμπεν πρὸς Οὔαρον ἐπαμύνειν ἐν τάχει δεόμενος ὡς εἰ βραδύνοι κατακοπησομένου τοῦ τάγματος· αὐτὸς δὲ ἐπὶ τὸν ἐμπολίτατον τοῦ φρουρίου λόφον ἀναβάς, 46
ὃς ἐκαλεῖτο Φασάηλος ἐπώνυμον ἔχων ἀδελφὸν Ἡρώδου διαφθαρέντα ὑπὸ Πάρθων, ἐντεῦθεν κατέσειεν τοῖς ἐν τῷ τάγματι στρατιώταις ἐπιχειρεῖν τοῖς πολεμίοις· δι' ἔκπληξιν γὰρ οὐδ' εἰς τοὺς σφετέρους καταβαίνειν ἐθάρρει. παραπεισθέντες δὲ οἱ στρατιῶται 47
προπηδῶσιν εἰς τὸ ἱερὸν καὶ μάχην καρτερὰν τοῖς Ἰουδαίοις συνάπτουσιν, ἐν ᾗ μέχρι μὲν οὐδεὶς καθύπερθεν ἐπέμενεν περιῆσαν ἐμπειρίᾳ πολέμου τῶν ἀπείρων· ἐπεὶ δὲ πολλοὶ Ἰουδαίων ἀνα- 48
βάντες ἐπὶ τὰς στοὰς κατὰ κεφαλῆς αὐτῶν ἧφιεσαν τὰ βέλη, συνετρίβοντο πολλοὶ καὶ οὔτε τοὺς ἄνωθεν βάλλοντας ἀμύνεσθαι ῥᾴδιον ἦν οὔτε τοὺς συστάδην μαχομένους ὑπομένειν.

3. Καταπονούμενοι μὲν πρὸς ἀμφοτέρων ὑποπιμπρᾶσιν τὰς 49
στοάς, ἔργα θαυμάσια μεγέθους τε καὶ πολυτελείας ἕνεκεν· οἱ δ' ἐπ' αὐτῶν ἐξαίφνης ὑπὸ τῆς φλογὸς περισχεθέντες πολλοὶ μὲν ἐν αὐτῇ διεφθάρησαν, πολλοὶ δὲ ὑπὸ τῶν πολεμίων πηδῶντες εἰς αὐτούς, τινὲς δ' εἰς τοὐπίσω κατὰ τοῦ τείχους ἐκρημνίζοντο, ἔνιοι δ' ὑπ' ἀμηχανίας τοῖς ἰδίοις ξίφεσιν τὸ κῦρ ἔφθανον· ὅσοι δὲ 50
καθερπύσαντες ἀπὸ τῶν τειχῶν ἦξαν εἰς τοὺς Ῥωμαίους εὐμεταχείριστοι διὰ τὴν ἔκπληξιν ἦσαν. καὶ τῶν μὲν ἀπολωλότων, τῶν δ' ὑπὸ τοῦ δέους σκεδασθέντων ἐρήμῳ τῷ τοῦ θεοῦ θησαυρῷ προσ-

---

§ 45 = Ant. Iud. XVII 256.

PAMLVRC Lat.

1 *πρὸς*] *παρὰ* LVRC 2 *εἰ* i. ras. A *βραδύνη* PA *βραδύνει* V 5 *κατέσειε, σ* i. ras. m. 2 V *στρατιώταισ* V¹ *στρατιῶται* C¹ 6 *ἐπιχειρεῖν, πι* i. ras. ex. *γ* corr. uid. P *δι'* — 7 *ἐθάρρει*] *nam prae timore quibus ipse praecerat descendere nullus audebat* Lat *οὐδ'*] *οὐδὲ* MLVRC *οὐδεὶσ* PA 7 *φετέρουσ* V *παραπεισθέντες*] MLVRCLat *παροπλισθέντεσ* PA 8 *προσπηδῶσιν* A 9 *ᾗ* i. ras. minore m. 2 V *περιῆσαν*] *περιῆσαν* V *περιέεσαν* L¹R 10 *πολέμου τῶν*] *πολεμούντων* L¹VRC *ἐπεὶ δὲ*] *ἐπειδὴ* M 11 *συνετρίβοντό τε* Destinon, ut u. 14 *καταπονούμενοι* apodosis incipiat 12 *ἀμύνασθαι* C 13 *τοὺσ · · · συστάδην* (| *συστάδην* A) AV *ὑπομένειν, ειν* i. ras. A *ferebant* Lat 14 *μὲν*] PA *δὲ* MLVRC *tamen* Lat *ὑπεμπιμπρᾶσι* (*σι* ex *σιν* corr. A) AL *ὑπεμπιπρᾶσι* VRC 15 *δὲ* LVRC 16 *ἐπ'*] *ὑπ'* PAM *αὐτὸν* V¹ *ὑπὸ τῆσ φλογὸσ ἐξαίφνησ* tr. LVRC 17 · *αὐτῇ* V *διεφθάρησαν*] *διεφθείροντο* LVRC *πηδόντεσ* R 18 *δὲ* AMLV *τείχουσ*] *τοίχου* Destinon *ἐκρημνίζοντο, η* ex *ε* corr. A *κατεκρημνίζοντο* LVRC 19 *δὲ* LV *ἐπ' ἀμηχάνοισ*, i. marg. *γρ ὑπαμηχανίασ* m. 2 V *ἔφθανον*] *ἔφανον* L¹R¹ 20 *τειχῶν*] *τοίχων* Destinon *ἦξαν* PAM *ἦξαν* L¹ *ἦξαν* L² et i. marg. M *ἦξαν* VRC 21 *καὶ*] *μέχρι* LVRCLat 22 *δὲ* LVR

πεσόντες οἱ στρατιῶται περὶ τετρακόσια τάλαντα διήρπασαν. ὧν ὅσα μὴ διεκλάπη Σαβῖνος ἤθροισεν.

51 4. Ἰουδαίους δὲ ἥ τε τῶν ἔργων καὶ ἀνδρῶν ῥῶμὴ πολὺ πλείους καὶ μαχιμωτέρους ἐπισυνέστησεν Ῥωμαίοις καὶ περισχόντες τὰ βασίλεια πάντας ἀπέκτειναν διαφθείρειν, εἰ μὴ θᾶττον ἀπέφυγεν· ὑπισχνοῦντο γὰρ ἄδειαν τῷ Σαβίνῳ βουλομένῳ μετὰ τοῦ τάγματος
52 ἐξιέναι. συνελάμβανον δ' αὐτοῖς οἱ πλείους τῶν βασιλικῶν αὐτομολήσαντες. τὸ μέντοι πολεμικώτατον μέρος, Σεβαστηνοὶ τρισχίλιοι Ῥοῦφός τε καὶ Γρᾶτος ἐπὶ τούτοις, ὁ μὲν τοὺς πεζοὺς τῶν βασιλικῶν ὑπ' αὐτὸν ἔχων, Ῥοῦφος δὲ τοὺς ἱππεῖς, ὧν ἑκάτερος καὶ χωρὶς ὑπηκόου δυνάμεως δι' ἀλκὴν καὶ σύνεσιν πολέμου ῥοπή, προσ-
53 έθεντο Ῥωμαίοις. Ἰουδαῖοι μὲν οὖν ἐνέκειντο τῇ πολιορκίᾳ τῶν τειχῶν ἅμα πειρώμενοι τοῦ φρουρίου καὶ τοῖς περὶ τὸν Σαβῖνον ἐμβοῶντες ἀπιέναι μηδ' ἐμποδὼν αὐτοῖς γενέσθαι διὰ χρόνου πολ-
54 λοῦ κομιζομένοις τὴν πάτριον αὐτονομίαν. Σαβίνῳ δ' ἀγαπητὸν μὲν ἦν ὑπεξελθεῖν, ἠπίστει δὲ ταῖς ὑποσχέσεσιν καὶ τὸ πρᾶον αὐτῶν δέλεαρ εἰς ἐνέδραν ὑπώπτευεν· ἅμα δὲ καὶ τὴν ἀπὸ Οὐάρου βοήθειαν ἐλπίζων διέτριβεν τὴν πολιορκίαν.

55 IV. 1. Ἐν δὲ τούτῳ καὶ τὰ κατὰ τὴν χώραν πολλαχόθεν ἐτα-

§ 50 = Ant. Iud. XVII 264.

PAMLVRCLat.

1 *τετρακόσια*] *ῡ* PA *περὶ — Σαβῖνος*] *πολλὰ διήρπασαν, ὧν ὅσα μὴ διεκλάπη, περὶ τετρακόσια τάλαντα, Σαβῖνος* coll. Ant. XVII 264 Hudson 3 *ἀνδρῶν*] *ἡ τῶν ἀνδρῶν* LVRC *ἐπισυνέστησε, έ* i. ras. L 5 *ἅπαντας* LVRC 6 *βουλομένῳ* om. P 7 *συνελάμβανον, ά*μ i. ras. A *δ'*] s. A *δὲ* LVRC *αὐτοῖς*] ed. pr. *αὐτοὺς* codd. *πλείους*] *πλεῖστοι* LVRC 8 *τὸ — μέρος*] *pars tamen bellicosior erat* Lat *σεβαστηνοὶ, η* ex *ι* corr. A 9 *γρατος* sic P *γράτος* AMLV *ὁ*] *ὧν ὁ* P *τῶν βασιλικῶν* om. Lat 10 *ὑπ' αὐτὸν*] *ἐπ' αὐτὸν* (*ο* ex *ω* corr.) A *ὑφ' ἑαυτὸν* LVRC *ἔχων ὑφ' ἑαυτὸν* tr. LVRC *ὧν*] Destinon *ὧν* codd. *ὧν — 12 Ῥωμαίοις*] *quorum uterque ui corporis atque prudentia, etiamsi nullam manum oboedientem haberent, magnum tamen momentum belli romanis addidissent* Lat 11 *σύνεσι* C *πολέμου ῥοπή*] Destinon *ἢ πολέμου ῥοπὴν* PAMLV *ἢ πολέμου ῥοπὴν ἄξιος ἦν* R *καὶ πολέμου ῥοπὴν* C *τὴν πολέμου ῥοπὴν* Cardwell 13 *τειχέων* LVRC *πειρόμενοι* L¹ *τοῖς*] *τοὺς* A 14 *ἐμβοῶντες — 15 αὐτονομίαν*] *clamantes ut nullo impediente discederet habiturus tanto post tempore patriam libertatem* Lat *μηδὲ* LVR *ἔμποδον* L¹R et i. marg. m. 2 V *γίνεσθαι* LVRC 15 *πάτριον*] om. P *πατρῴαν* A *δὲ* LVRC 17 *ὑπώπτευ · εν* (eras. *σ*) A *ὑπόπτευεν* L¹RV¹ *ἀπὸ*] *ἐξ* LVRC 18 *διέτριβεν*] *διέφερε* MLVR *perferebat* Lat 19 i. marg. *ϛ̄* VC *πολλαχόθεν, πολλαχό* i. ras. A

ράσσετο, καὶ συχνοὺς βασιλειῶν ὁ καιρὸς ἀνέπειθεν. κατὰ μέν γε
τὴν Ἰδουμαίαν διοχίλιοι τῶν ὑπὸ Ἡρώδῃ πάλαι στρατευσαμένων
συστάντες ἐνοπλοι διεμάχοντο τοῖς βασιλικοῖς, οἷς Ἀχίαβος ἀνεψιὸς
βασιλέως ἀπὸ τῶν ἐρυμνοτάτων χωρίων ἐπολέμει ἐπιφερόμενος τὴν
ἐν τοῖς πεδίοις συμπλοκήν· ἐν δὲ Σεπφώρει τῆς Γαλιλαίας Ἰούδας 56
υἱὸς Ἐζεκίου τοῦ καταρρέοντός ποτε τὴν χώραν ἀρχιλῃστοῦ καὶ
χειρωθέντος ὑφ' Ἡρώδου βασιλέως συστήσας πλῆθος οὐκ ὀλίγον
ἀναρρήγνυσιν τὰς βασιλικὰς ἐπιθήκας καὶ τοὺς περὶ αὐτὸν ὁπλίσας
τοῖς τὴν δυναστείαν ζηλοῦσιν ἐπεχείρει.

2. Κατὰ δὲ τὴν Περαίαν Σίμων τις τῶν βασιλικῶν δούλων 57
εὐμορφίᾳ σώματος καὶ μεγέθει τερατωθὼς περιτίθησιν μὲν ἑαυτῷ
διάδημα, περιιὼν δὲ μεθ' ὧν συνήθροισεν λῃστῶν τά τε ἐν Ἱεριχοῖ
βασίλεια καταπίμπρησιν καὶ πολλὰς ἑτέρας τῶν πολυτελῶν ἐπαί-
λεις. ἁρπαγὰς ῥᾳδίως ἐκ τοῦ πυρὸς αὐτῷ περιζόμενος. κἂν ἔμφυλ 58
πᾶσαν οἰκησιν εὐπρεπῆ καταφλέξας, εἰ μὴ Γρᾶτος ὁ τῶν βασιλι-
κῶν πεζῶν ἡγεμὼν τούς τε Τραχωνίτας τοξότας καὶ τὸ μαχιμώ-
τατον τῶν Σεβαστηνῶν ἀναλαβὼν ὑπαντιάζει τὸν ἄνδρα. τῶν μὲν 59
οὖν Περαίων συχνοὶ διεφθάρησαν ἐν τῇ μάχῃ, τὸν Σίμωνα δ' αὐτὸν
ἀναφεύγοντα δι' ὀρθίου φάραγγος ὁ Γρᾶτος ὑποτέμνεται καὶ φεί-
γοντος ἐκ πλαγίου τὸν αὐχένα πλήξας ἀπέρραξε. κατεφλέγη δὲ

§ 55 = Ant. Iud. XVII 269.

PAMLVRC Lat.

1 *βασιλειᾶν*] C *βασιλεύειν* PAML² et i. marg. V *βασιλεῖσ* L¹VR *ad regni cupidinem* Lat *μέν γε*] *γε μὴν* PAM *μὲν* V *nam — quidem* Lat 2 *ὑφ'* LVRC *ἡρώδου* LVRC 3 *βασιλικοῖσ* A *βασι· ·* | *λικοῖσ* V *ὁ ἀνεψιοσ βασιλέωσ* LRC *ὁ τοῦ βασιλέωσ ἀνεψιὸσ* V 4 *ἀποφεύγων* LVRC 5 *συμπλοκὴν, λ* ex *ρ* corr. A *σεπφώρη* PA *seffora* aut *seffori* Lat 6 *ἐζεκίου* LVRC *ἀρχηλήστου* P *ἀρχιλή·στου* (eras. *ι*) V 7 *τοῦ βασιλέωσ* LVRC *συστήσας*] *συστάντοσ* C 8 *αὐτὸν* ex corr. A 9 *ἐπεχείρει*] *ἐπιχειρεῖ* L 12 *διάδημα*] *καὶ διάδημα* LVRC *ἤθροισε* LVRC *ἱεριχῶ* PA 13 *καταπίπρησι* C¹ 14 *ῥᾳδίωσ* L¹VRC *facilem (praedam)* Lat *αὐτῷ περιζόμενοσ* PA *ἑαυτῷ περιζόμενοσ* M *περιζόμενοσ ἑαυτῷ* LVRC 15 *εὐπρεπῆ, υ* i. ras. m. 2 L *ἐκπρεπῆ* VR 16 *τε* om. M *Τραχωνίτας*] ex Lat Hudson *ταριχαίτασ* P *τραχαώτασ* AL²C *ταριχαώτασ*, i. marg. *εὕρηται καὶ τετραρχαιώτασ* M *τραρχαιώτασ* LV¹R *τραρχαιότασ* ex corr. V *ex trachonitida (sagittarios)* Lat *μαχιμότατον* C¹ 17 *Σεβαστηνῶν*] *πεζῶν* C *ὑπαντιάζει*] *ὑπηντίασε* LVRC 18 *Περαίων*] Destinon ex A. I. XVII 276 *παίων* P *παίδων* A *πεζῶν* MLVRCLat *δὲ* LVR *αὐτὸν*] *αὐτὸσ* uertit Lat 20 *ἀπέρρηξεν* PA *deiecit* Lat

καὶ τὰ πλησίον Ἰορδάνου βασίλεια κατὰ Βηθαραμπτενθα συστάντων ἑτέρων τινῶν ἐκ τῆς Περαίας.

60 3. Τότε καὶ ποιμήν τις ἀντιποιηθῆναι βασιλείας ἐτόλμησεν· Ἀθρογγαῖος ἐκαλεῖτο, προυξένει δ' αὐτῷ τὴν ἐλπίδα σώματος ἰσχὺς καὶ ψυχὴ θανάτου καταφρονοῦσα. πρὸς δὲ τούτοις ἀδελφοὶ τέσσαρες 5
61 ὅμοιοι. τούτων ἑκάστῳ λόχον ὑποζεύξας ἕνοπλον ὥσπερ στρατηγοῖς ἐχρῆτο καὶ σατράπαις ἐπὶ τὰς καταδρομάς, αὐτὸς δὲ καθάπερ βασι-
62 λεὺς τῶν σεμνοτέρων ἥπτετο πραγμάτων. τότε μὲν οὖν ἑαυτῷ περιτίθησιν διάδημα, διέμεινεν δ' ὕστερον οὐκ ὀλίγον χρόνον τὴν χώραν κατατρέχων σὺν τοῖς ἀδελφοῖς· καὶ τὸ πτείνειν αὐτοῖς προιγούμενον ἦν Ῥωμαίους τε καὶ τοὺς βασιλικούς. διέφευγεν δὲ οὐδὲ Ἰου- 10
63 δαίων εἴ τις εἰς χεῖρας ἔλθοι φέρων κέρδος. ἐτόλμησαν δέ ποτε Ῥωμαίων λόχον ἄθρουν περισχεῖν κατ' Ἀμμαοῦντα· σῖτα δ' οὗτοι καὶ ὅπλα διεκόμιζον τῷ τάγματι. τὸν μὲν οὖν ἑκατοντάρχην αὐτῶν Ἄρειον καὶ τεσσαράκοντα τοὺς γενναιοτάτους κατεκόντισαν, οἱ δὲ 15
64 λοιποὶ κινδυνεύοντες ταὐτὸ παθεῖν Γράτου σὺν τοῖς Σεβαστηνοῖς ἐπιβοηθήσαντος ἐξέφυγον. πολλὰ τοιαῦτα τοὺς ἐπιχωρίους καὶ τοὺς ἀλλοφύλους παρ' ὅλον τὸν πόλεμον ἐργασάμενοι μετὰ χρόνον οἱ μὲν τρεῖς ἐχειρώθησαν, ὑπ' Ἀρχελάου μὲν ὁ πρεσβύτατος, οἱ δ' ἑξῆς δύο Γράτῳ καὶ Πτολεμαίῳ περιπεσόντες· ὁ δὲ τέταρτος Ἀρχελάῳ 20
65 προσεχώρησεν κατὰ δεξιάν. τοῦτο μὲν δὴ τὸ τέλος ὕστερον αὐτοὺς

§ 59 = Ant. Iud. XVII 277.

PAMLVRCLat.

1 τὰ om. L¹ *βηθαράμιν ἔνθα* PA *βηθαραμάθου* MLVRC *betharantas* (acc.) Lat Ἀμμάθοις dicitur Ant. XVII 277; *Βηθαραμαθα* Niese *Βηθαβάραθον* Capellus *Βηθαραμφθὰ* Aldrich ex Ant. Iud. XVIII 27, ubi idem oppidum memorari uid. postea Iulias appellata. cf. Tuch, quaestiones de Flauii Iosephi libr. histor. 10. Schürer, Geschichte des jüd. Volkes II 124 *συστάντων*] *στασιασάντων* MLVRC *conflata* (manu) Lat 3 *ἀντιποιήσασθαι* LVRC 4 Ἀθρογγαῖος] *ἀθρόον γάϊος* (*v* suppl. uid. L) codd. *athrongeo* (dat.) Lat Ἀθρόγγης Ant. XVII 278 *δὲ* LVR 5 *τέσαρεσ* A *τέσ · · | σαρεσ* C · 7 *καθάπε* C¹ 9 *διάδημα*] *etiam coronam* Lat *δὲ* LVR *ὀλίγω χρόνω* AMLVRC 11 *ἦν*] *μὲν ἦν* LVRC *διέφυγεν* (— *γε* M) PM *δ'* C *οὐδὲ*] *οὔτε* LVRC 12 *ἔλθοιεν* A *ἐτόλμησε* LVRC *ausi sunt* Lat 13 *ἀθροῦν* LVC *ἀθροῦν* R *κατ' Ἀμμαοῦντα*] *apud amathunta* Lat *κατ' Ἐμμαοῦντα* Hudson coll. Ant. XVII 282 *δὲ* LVRC *οὗτοι*] *αὐτοὶ* C 14 *πράγματι*, i. marg. m. 2 *τάγματι* V 15 Ἄρειον] *ὠρίωνα* P *ἀρίωνα* A. i. marg. *γρ οὐρίωνα* man. 2 L *arrium* Lat; cf. § 71 *τεσσαράκοντα*] *μ̄* PA

16 *τὸ αὐτὸ* LVRC *Γράτον* M 18 *παρ'*] *πρὸ* C¹ *προσ* C² 19 *ἐχειρόθησαν* L¹R¹ *ἐχωρίσθησαν* C *ἐχειρώθεισαν* V¹ *δὲ* LVRC 21 *αὐτοὺσ ὕστερον* tr. L¹VRC *αὐτοὺσ ὕστερον αὐτοὺσ* L²

ἐξεδέχετο. τότε δὲ λῃστρικοῦ πολέμου τὴν Ἰουδαίαν πᾶσαν ἐνεπίμπλασαν.

V. 1. Οὐάρῳ δὲ δεξαμένῳ τὰ παρὰ Σαβίνου καὶ τῶν ἡγεμόνων 66
γράμματα δεῖσαί τε περὶ τοῦ τάγματος ὅλου παρέσται καὶ σπεύδειν
ἐπὶ τὴν βοήθειαν. ἀναλαβὼν δὴ τὰ λοιπὰ δύο τάγματα καὶ τὰς σὺν 67
αὐτοῖς τέσσαρας ἴλας ἱππέων ἐπὶ Πτολεμαΐδος ᾔει. προστάξας ἐκεῖ
καὶ τοὺς παρὰ τῶν βασιλέων καὶ δυναστῶν ἐπικούρους συνελθεῖν·
προσέλαβεν δὲ καὶ παρὰ Βηρυτίων διερχόμενος τὴν πόλιν χιλίους
καὶ πεντακοσίους ὁπλίτας. ἐπεὶ δ' εἰς τὴν Πτολεμαΐδα τό τε 68
ἄλλο συμμαχικὸν πλῆθος αὐτῷ παρῆν καὶ κατὰ τὸ μέρος Ἡρῴδην
ἔχθος Ἀρέτας ὁ Ἄραψ οὐκ ὀλίγην ἄγων δύναμιν ἱππικήν τε καὶ
πεζικήν, μέρος τῆς στρατιᾶς εὐθέως ἔπεμπεν εἰς τὴν Γαλιλαίαν
γειτνιῶσαν τῇ Πτολεμαΐδι καὶ Γάιον ἡγεμόνα τῶν αὐτοῦ φίλων.
ὃς τούς τε ἐναντιάσαντας τρέπεται καὶ Σέπφωριν πόλιν ἕλων αὐ-
τὴν μὲν ἐμπίπρησι, τοὺς δ' ἐνοικοῦντας ἀνδραποδίζεται. μετὰ δὲ 69
τῆς ὅλης δυνάμεως αὐτὸς Οὔαρος εἰς Σαμάρειαν ἐλάσας τῆς μὲν
πόλεως ἀπέσχετο μηδὲν ἐν τοῖς τῶν ἄλλων ὁρμήσας παρακεκινη-
κυῖαν εὑρών, αὐλίζεται δὲ περί τινα κώμην Ἀρῶν καλουμένην· κτῆμα
δὲ ἦν Πτολεμαίου καὶ διὰ τοῦτο ὑπὸ τῶν Ἀράβων διηρπάσθη
μηνιόντων καὶ τοῖς Ἡρῴδου φίλοις. ἔνθεν εἰς Σαπφὼ πρόεισιν 70
κώμην ἑτέραν ἐρημίαν, ἣν ὁμοίως διήρπασαν τάς τε προσόρους

§ 65 = Ant. Iud. XVII 285.

PAMLVRCLat.

1 *ἐνεπίμπλασαν* (*πμ* corr. ex *πλ*) A *ἀνέπλησαν* M *ἐνέπλησαν* LVRC *inflammabant* (h. e. *ἐνεπίμπρασαν*) Lat 3 *σαβίνω* AM i. marg. ζ' VC 4 *δεῖσαι* — 5 *βοήθειαν*] *toti cohorti metuens opem his ferre properabat* Lat *σπεύδειν, εν* i. ras. man. 2 V 5 *δὴ*] *δὲ* LVRC 6 *τέσσαρας*] *δ̄* PA *ἴλας* PA *εἴλασ* L¹V¹R *ᾔει*] *ᾖκει, ἡ* ex *ᾐ* corr. V 8 *τὴν, ἣν* i. ras. m. 2 V 9 *καὶ* om. P *ἐπεὶ*] *ἐπὶ* L¹ *δὲ* LVRC 10 *καὶ*] *καὶ τὸ* P 12 *μέροσ τῆσ, τ* i. ras. maiore m. 2 L *μέροσ τε τῆσ* VRC 13 *καὶ — φίλων*] *amici sui galli filio his rectore praeposito* Lat, qui nomen ducis tradere uid. rectius; ceterum cf. Ant. XVII 288 *τὸν αὐτοῦ φίλον* P 15 *μὲν*] *μὲν τρέπεται* C¹ *ἐμπίμπρησιν* (— *σι* LR) ALR *δε* PLVR 16 *ὅλης*] codd. Lat *ἄλλης* Niese 17 *ἀπέσχετο*] PAML² *περιέσχετο* L¹R *περιέσχετο* V *περιέσχετο* C *optinuit* Lat 18 *περὶ*] *ἐπὶ* PAM *ἄρουν* MLVRC *arun* (nom.) Lat *κτῆμα* — 20 *φίλοις*] *ptolomei possessionem propterea direptam a barbaris et ab amicis herodis, qui ptolomeo infensi erant* Lat 20 *μηνιόντων* MLVR et ex corr. A *σαπφῶ* PMV *saffo* Lat *Σαμπφὼ* Hudson coll. Ant. XVII 290 *πρόσεισι* C 21 *προσόρους*] Destinon et Niese *προσόδουσ* codd. Lat

πάσας ὅσαις ἐπετύγχανον. πυρὸς δὲ καὶ φόνου πεπλήρωτο πάντα
71 καὶ πρὸς τὰς ἁρπαγὰς τῶν Ἀράβων οὐδὲν ἀντεῖχεν. κατεφλέγη δὲ
καὶ Ἄμμαοῦς φυγόντων τῶν οἰκητόρων, Οὐάρου δι' ὀργὴν τῶν περὶ
Ἄρειον ἀποσφαγέντων κελεύσαντος.

72 2. Ἐνθένδε εἰς Ἱεροσόλυμα προελθὼν ὀρθεὶς τε μόνον μετὰ
τῆς δυνάμεως τὰ στρατόπεδα τῶν Ἰουδαίων διεσκέδασεν. καὶ οἱ
73 μὲν ᾤχοντο φυγόντες ἀνὰ τὴν χώραν· δεξάμενοι δὲ αὐτὸν οἱ κατὰ
τὴν πόλιν ἀπεσκευάζοντο τὰς αἰτίας τῆς ἀποστάσεως, αὐτοὶ μὲν
οὐδὲν παρακινῆσαι λέγοντες, διὰ δὲ τὴν ἑορτὴν ἀναγκαίως δεξάμενοι
τὸ πλῆθος συμπολιορκηθῆναι μᾶλλον Ῥωμαίοις ἢ συμπολεμῆσαι
74 τοῖς ἀποστᾶσιν. προϋπηντήκεισαν δὲ αὐτῷ Ἰώσηπος ὁ ἀνεψιὸς
Ἀρχελάου καὶ σὺν Γράτῳ Ῥοῦφος, ἄγοντες ἅμα τῷ βασιλικῷ στρατῷ
καὶ τοὺς Σεβαστηνούς, οἵ τε ἀπὸ τοῦ Ῥωμαϊκοῦ τάγματος τὸν
συνήθη τρόπον κεκοσμημένοι· Σαβῖνος μὲν γὰρ οὐδ' εἰς ὄψιν ὑπο-
75 μείνας ἐλθεῖν Οὐάρῳ προεξῆλθεν τῆς πόλεως ἐπὶ θάλασσαν. Οὔαρος
δὲ κατὰ μοῖραν τῆς στρατιᾶς ἐπὶ τοὺς αἰτίους τοῦ κινήματος ἔπεμψεν
περὶ τὴν χώραν, καὶ πολλῶν ἀγομένων τοὺς μὲν ἥττον θορυβώδεις
φανέντας ἐφρούρει, τοὺς δὲ αἰτιωτάτους ἀνεσταύρωσεν περὶ δισ-
χιλίους.

76 3. Ἠγγέλθη δ' αὐτῷ κατὰ τὴν Ἰδουμαίαν ἔτι συμμένειν μυρίους
ὁπλίτας. ὁ δὲ τοὺς μὲν Ἄραβας εὑρὼν οὐ συμμάχων ἦθος ἔχοντας,
ἀλλ' ἰδίῳ πάθει στρατευομένους καὶ πέρα τῆς ἑαυτοῦ προαιρέσεως
τὴν χώραν κακοῦντας ἔχθει τῷ πρὸς Ἡρώδην ἀποπέμπεται, μετὰ

§ 70 = Ant. Iud. XVII 291.

PAMLVRCLat.

1 *ἐπετύγχανε* L¹VR 2 *Ἀράβων*] *barbarorum* Lat *καταφλέγη* L¹ *δὲ*] *μὲν* R 3 *ἐμμαοῦς* V; cf. § 63 *τῶν περὶ*] *τὸν περὶ* V 5 *ἐνθένδε*] *ἐνθέν δὲ* A *ἔνθεν δὲ* M *ἔνθεν* LVRC *hinc* Lat 6 *καὶ οἱ μὲν ᾤχοντο* om. LVR 7 *φυγόντα* LVR 9 *μηδὲν* LVRC *δὲ* om. V 10 *συμπολιορκιθῆναι* A¹V *Ῥωμαίοις*] *ῥωμαίοισ ἐλέσθαι* M 11 *προυπηντήσαν* A *προυπηντήκεσαν* LVRC *ἰώσηπόσ τε ὁ* LVRC 12 *σὺν Γράτῳ Ῥοῦφος*] PAMLat *σὺν ῥούφω γράτοσ* LVRC *ἄγοντες*] *ἐγοντεσ* sic V 14 *μὲν γὰρ*] *γὰρ* LVRC *autem* (*enim* ed. Bas.) Lat *οὐδὲ* LVR 15 *οὐάρω*, *ω* i. ras. A · *ἐπὶ*, *ἐ* suppl., *ι* i. ras. 3 litt. A 16 *κατὰ* om. LVRC *ἔπεμπε* LVRC 17 *περὶ*] *ἐπὶ* PAM *θορυβόδεισ* P 18 *δ'* C *περὶ*] *πε* C¹ 20 *ἠγγέλλη* ex *ἠγγέλι* corr. A *ἠγγέλη* MLR *ἠγγέλει* V *ἠγγέλλ·η C *δὲ* LVR *κατὰ*] *περὶ* LVRC *circa* Lat *ἰδουμαίαν*, *αν* suppletum i. marg. A 21 *οὐ* — 22 *τῆς* i. marg. suppl. m. 2 V 22 *στρατηγουμένους* Destinon *αὐτοῦ* AL¹VRC *αὐτοῦ* L² 23 *ἔχθει*] *ἄχθει* M *ἔχθη* V¹ *ἔχθει* — *Ἡρώδην* om. Lat

δὲ τῶν ἰδίων ταγμάτων ἐπὶ τοὺς ἀφεστῶτας ἦλθεν. κἀκεῖνοι 77
πρὶν εἰς χεῖρας ἐλθεῖν ἰχνάζον συμβουλεύσαντες σφᾶς αὐτοὺς παρέδοσαν. Οὔαρος δὲ τῷ πλήθει μὲν ἧφιε τὰς αἰτίας, τοὺς δὲ ἡγεμόνας ἐξιασθησομένους ἔπεμπεν ἐπὶ Καίσαρα. Καίσαρ δὲ τοὺς 78
μὲν ἄλλους συνέγνω, τινὰς δὲ τῶν τοῦ βασιλέως συγγενῶν, ἦσαν γὰρ ἐν αὐτοῖς ἔνιοι προσήκοντες Ἡρώδῃ κατὰ γένος, κολάσαι προσέταξεν, ὅτι κατ' οἰκείου βασιλέως ἐστρατεύσαντο. Οὔαρος μὲν οὖν 79
τοῦτον τὸν τρόπον καθασιησάμενος τὰ ἐν Ἱεροσολύμοις καὶ φρουρὰν καταλιπὼν τὸ καὶ πρότερον τάγμα εἰς Ἀντιόχειαν ἐπάνεισιν.

VI. 1. Ἀρχελάῳ δ' ἐπὶ Ῥώμης πάλιν ἄλλη συνίσταται δίκη 80
πρὸς Ἰουδαίους, οἳ πρὸ τῆς ἀποστάσεως ἐπιτρέψαντος Οὐάρου πρέσβεις ἐξεληλύθεσαν περὶ τῆς τοῦ ἔθνους αὐτονομίας· ἦσαν δὲ πεντήκοντα μὲν οἱ παρόντες, συμπαρίσταντο δὲ αὐτοῖς τῶν ἐπὶ Ῥώμης Ἰουδαίων ὑπὲρ ὀκτακισχιλίους. ἀθροίσαντος δὲ Καίσαρος 81
συνέδριον τῶν ἐν τέλει Ῥωμαίων καὶ τῶν φίλων ἐν τῷ κατὰ τὸ Παλάτιον Ἀπόλλωνος ἱερῷ, κτίσμα δ' ἦν ἴδιον αὐτοῦ θαυμασίῳ πολυτελείᾳ κεκοσμημένον, μετὰ μὲν τῶν πρεσβευτῶν τὸ Ἰουδαϊκὸν πλῆθος ἔστη, σὺν δὲ τοῖς φίλοις ἄντικρυς Ἀρχέλαος, τῶν δὲ τούτου 82
συγγενῶν οἱ φίλοι παρ' οὐδετέροις, συμπαρίστασθαι μὲν Ἀρχελάῳ διὰ μῖσος καὶ φθόνον οὐχ ὑπομένοντες, ὀφθῆναι δὲ μετὰ τῶν κατηγόρων ὑπὸ Καίσαρος αἰδούμενοι. τούτοις παρῆν καὶ Φίλιππος 83
ἀδελφὸς Ἀρχελάου, προπεμφθεὶς κατ' εὔνοιαν ὑπὸ Οὐάρου δυοῖν ἕνεκα, Ἀρχελάῳ τε συναγωνίσασθαι, κἂν διανέμῃ τὸν Ἡρώδου Καίσαρ οἶκον πᾶσι τοῖς ἐγγόνοις, κλήρου τινὸς ἀξιωθῆναι.

2. Ἐπιτραπὲν δὲ λέγειν τοῖς κατηγόροις τὰς Ἡρώδου παρανο- 84

---

§ 77 = Ant. Iud. XVII 297.

PAMLVRCLatHegesippus II 1 p. 121.

1 ἐφεστῶτας P ἐφεστῶτα A 2 αὐτοὺς R et ex corr. A 3 ὅαρος C¹ δὲ τῷ i. ras. A 4 ἔπεμψεν LVRC 5 τοῦ s. V 6 ἐν] σὺν LVRC 7 οἰκείου, υ i. ras. man. 2 V οὖν s. P 10 i. marg. ἢ VC δὲ LVR ῥώμῃ (s. ut uid. m. 2) V πάλιν om. M συνίστατο LVRC 11 οὐάρῳ L¹R 12 ἐξεληλύθεισαν (ει ex η corr. C) LVRC 13 πεντήκοντα] ν̄ PA 14 ὑπὲρ om. Lat 16 ἀπόλωνος, ω ex ο corr. m. 2 V ἱερὸν P δὲ LVR 17 πολλυτελεία C¹ πρεσβευτῶν, ευ i. ras. m. 2 V 18 ἀντικρὺ PAM 19 παρ' οὐδέτεροις (sic), ερυις ex corr. m. 2 V μὲν] μὲν γὰρ LVR et ut uid. Lat 21 τούτοις παρῆν] PA τούτοισ συμπαρῆν M ἐπὶ τούτοις παρῆν LVRC *inter quos aderat* Lat ἐν τούτοις παρῆν Destinon 22 ἀδελφὸς] PM ὁ ἀδελφὸσ ALVRC ἀδελφὸσ Destinon οὐάρῳ C δυεῖν MLVR 23 ἀρχελάου V¹ τὸν] τῶν C¹ 24 ἐκγόνοισ LVR 25 ἐπιτραπέντα PA¹ ἐπιτραπέντασ ex corr. A *iussit* Lat λέγει L¹

μίας πρῶτον διεξῆεσαν, οὐ βασιλέα λέγοντες ἀλλὰ τῶν πώποτε τυραννησάντων ὠμότατον ἐνηνοχέναι τύραννον· πλείστων γοῦν ἀνῃρημένων ὑπ' αὐτοῦ τοιαῦτα πεπονθέναι τοὺς καταλειφθέντας, ὥστε
85 μακαρίζεσθαι τοὺς ἀπολωλότας· βεβασανικέναι γὰρ οὐ μόνον τὰ σώματα τῶν ὑποτεταγμένων ἀλλὰ καὶ τὰς πόλεις· τὰς μὲν γὰρ ἰδίας λελωβῆσθαι, τὰς δὲ τῶν ἀλλοφύλων κεκοσμηκέναι καὶ τὸ τῆς
86 Ἰουδαίας αἷμα κεχαρίσθαι τοῖς ἔξωθεν δήμοις. ἀντὶ δὲ τῆς παλαιᾶς εὐδαιμονίας καὶ τῶν πατρίων νόμων πενίας τὸ ἔθνος καὶ παρανομίας ἐσχάτης πεπληρωκέναι, καθόλου δὲ πλείονς ὑπομεμενηκέναι τὰς ἐξ Ἡρώδου συμφορὰς ἐν ὀλίγοις ἔτεσιν Ἰουδαίους ὧν ἐν παντὶ τῷ χρόνῳ μετὰ τὴν ἐκ Βαβυλῶνος ἀναχώρισιν ἔπαθον οἱ πρόγονοι
87 Ξέρξου βασιλεύοντος ἀναστάντες. εἰς τοσοῦτον μέντοι μετριότητος καὶ τοῦ δυστυχεῖν ἔθους προελθεῖν, ὥστε ὑπομεῖναι τῆς πικρᾶς
88 δουλείας καὶ διαδοχὴν αὐθαίρετον· Ἀρχέλαον γοῦν τὸν τηλικούτου τυράννου παῖδα μετὰ τὴν τοῦ πατρὸς τελευτὴν βασιλέα τε προσειπεῖν ἑτοίμως καὶ συμπενθῆσαι τὸν Ἡρώδου θάνατον αὐτῷ καὶ
89 συνεύξασθαι περὶ τῆς διαδοχῆς. τὸν δ' ὥσπερ ἀγωνιάσαντα, μὴ νόθος υἱὸς εἶναι δόξειεν Ἡρώδου, προοιμιάσασθαι τὴν βασιλείαν τρισχιλίων πολιτῶν φόνῳ, καὶ τοσαῦτα μὲν παρεσκευάσθαι θύματα περὶ τῆς ἀρχῆς τῷ θεῷ, τοσούτοις δ' ἐμπεπλῆκέναι νεκροῖς τὸ ἱερὸν ἐν
90 ἑορτῇ. τοὺς μέντοι περιλειφθέντας ἐκ τοσούτων κακῶν εἰκότως ἐπεστράφθαι ποτὲ ἤδη πρὸς τὰς συμφορὰς καὶ πολέμου νόμῳ τὰς πληγὰς ἐθέλειν κατὰ πρόσωπον δέχεσθαι, δεῖσθαι δὲ Ῥωμαίων

§ 84 = Ant. Iud. XVII 304.

PAMLVRCLatHegesippus II 1 p. 121 sq.

1 *διεξίεσαν* AL¹VR *πόποτε* V¹ 2 *γοῦν*] *γὰρ* L *deinde* Lat 4 *ἀπωλολότας* V 5 *ἀλλὰ* — 6 *κεκοσμηκέναι*] *sed etiam gentis suae ciuitatibus deformatis exteras ornauisse* Lat *πόλεις· τὰς μὲν γὰρ*] *πόλεις τὰς μὲν* ex Lat Destinon 6 *ἀλλοφύλλων* R¹ 8 *εὐδαιμονίας, αιμονί* i. ras. A *πατρώων* AM 9 *δὲ*] *τε* LVRC post *ὑπομεμενηκέναι* eras. *καὶ τὸ τῆς* V 10 *ἐν ἅπαντι* LVRC 11 *βαβυλῶνος* V¹ 12 *ἀπαναστάντες*] *ἀπανασάντες* sic A *ἐπαναστραφέντες* LVRC *ad discordiam concitati* (h. e. *ἐπαναστάντες*) Lat *τοσοῦτον*] *τοῦτο* LVRC *μετριότητος*] PAMLat *ταπεινότητος* LVRC 13 *καὶ*] *ἐκ* Hudson secutus ut ait Lat; sed *et aduersae fortunae consuetudinem* habet Lat *ἐκ τοῦ τοῦ δυστυχεῖν ἔθους* uel *ἐκ τοῦ δυστυχεῖν δι' ἔθους* Bekker *ἔθους*] *ἔθνος* uel *τοὔθνος* Naber 14 *τηλικοῦτον τύραννον* C 15 *τε* om. L 17 *δὲ* LVRC 18 *εἶναι* om. LVRC *τρισχιλίων*] *VIIII milia* Heg 20 *δὲ* LVRC *ἐμπεπληχέναι* LVR *ἐν ἑορτῇ τὸ ἱερὸν* tr. V 22 *ἐπεστρέφθαι* L¹ *ἐπεστρατευθαι* C¹ *ἐπεστρατεῦσθαι* C² *respexisse* Lat *ἤδη ποτὲ* tr. LVRC *ἐθέλειν τὰσ πληγὰσ* tr. LVRC 23 *προσώπου* AMLVRC

ἐλεῖσαι τά τε τῆς Ἰουδαίας λείψανα καὶ μὴ τὸ περισσὸν αὐτῆς
ἐπορρῖψαι τοῖς ὠμῶς σπαράττουσιν. συνάψαντας δὲ τῇ Συρίᾳ τὴν 91
χώραν αὐτῶν διοικεῖν ἐπ' ἰδίοις ἡγεμόσιν· ἐπιδείξεσθαι γάρ, ὡς οἱ
νῦν στασιώδεις διαβαλλόμενοι καὶ πολεμικοὶ φέριν οὔδασιν μετρίους
ἡγεμόνας. Ἰουδαῖοι μὲν οὖν ἐκ τῆς κατηγορίας κατέληξαν εἰς 92
τοιαύτην ἀξίωσιν, ἀναστὰς δὲ Νικόλαος ἀπελύσατο μὲν τὰς εἰς
τοὺς βασιλεῖς αἰτίας, κατηγόρει δὲ τοῦ ἔθνους τό τε δύσαρχτον καὶ
τὸ δυσπειθὲς φύσει πρὸς τοὺς βασιλεῖς. συνδιέβαλλε δὲ καὶ τοὺς
Ἀρχελάου συγγενεῖς, ὅσοι πρὸς τοὺς κατηγόρους ἀφεστήκεσαν.

3. Τότε μὲν οὖν Καῖσαρ ἀκούσας ἑκατέρων διέλυσε τὸ συνέ- 93
δριον, μετὰ δ' ἡμέρας ὀλίγας τὸ μὲν ἥμισυ τῆς βασιλείας Ἀρχε-
λάῳ δίδωσιν ἐθνάρχην προσειπών, ὑποσχόμενος δὲ καὶ βασιλέα
ποιήσειν, εἰ ἄξιον ἑαυτὸν παράσχοι· τὸ δὲ λοιπὸν ἥμισυ διελὼν εἰς 94
δύο τετραρχίας δυσὶν ἑτέροις παισὶν Ἡρώδου δίδωσιν, τὴν μὲν
Φιλίππῳ, τὴν δὲ Ἀντίπᾳ τῷ πρὸς Ἀρχέλαον ἀμφισβητοῦντι περὶ
τῆς βασιλείας. ἐγένετο δὲ ὑπὸ τοίτῳ μὲν ἥ τε Περαία καὶ Γαλι 95
λαία, πρόσοδος διακόσια τάλαντα, Βατανέα δὲ καὶ Τράχων Αὐρανῖτίς
τε καὶ μέρη τινὰ τοῦ Ζήνωνος οἴκου τὰ περὶ Ἰππάνω, πρόσοδον ἔχοντα
ταλάντων ἑκατόν, ὑπὸ Φιλίππῳ τέτακτο. τῆς Ἀρχελάου δ' ἐθναρ- 96
χίας Ἰδουμαία τε καὶ Ἰουδαία πᾶσα καὶ Σαμαρεῖτις ἦν κεκουφισ-

---

§ 90 = Ant. Iud. XVII 314.

PAMLVRCLatHegesippus II 1 p. 123.

1 *τά τε*] *τε τὰ* ed. pr. *τὰ* Destinon *περιὸν* Destinon 2 *ὑπορίψαι* PA *σπαράττουσι*] *σπαράσσουσι* L^2 *πράσσουσι* L^1VRC *συνάψαντες* A^1RC 3 *ἐπ'*] *ὑπ'* AM *ὑπὸ* LVRC *ἐπιδείξασθαι* PAMV *γὰρ*] *δὲ* V 4 *στασιώδεις*] *ueluti turbulenti* Lat 6 *ἀπελύσατο*] Destinon et Niese *ἀπεδύσατο* codd. (*criminibus*) *dissolutis* Lat 8 *τὸ* om. C *βασιλεασ* LVRC 9 *ἀφειστήκεσαν* (post *ν* 1—2 litt. eras. uid. A) AMLVR *ἀφεστήκεισαν* C 10 i. marg. *θ'* VC 11 *δὲ* LVRC *μὲν* s. P *ἥμισυ*] *ἥμισυ μέροσ* C 12 *ὑποσχόμενον* P *δὲ*] *τε* MLVRC *βασιλέ·α* V 13 *εἰ*] *ἐὰν* LVRC *παράσχοι*] Niese *παράσχῃ* codd. 14 *τετρα | χίασ* P 15 *Ἀντίπᾳ*] om. Lat *ἀντιπάτρῳ* L^1VR^1 *γρ ἀντίπα* i. marg. V *antipan* Heg *τῷ* om. PAM 16 *τε* om. P 17 *προσόδουσ* L *διακόσια*] *σ'* PA *διακοσίων* MLVRC *τάλαντα*] *ταλάντων* AMLVRC *Βατανέα* — 19 *ἑκατόν* i. marg. suppl. A *βαταναία* LRC *βατανία* (s. m. 2) V *bathanea* Lat *δὲ*] *τε* PALVRC *αὐρανίτησ* P *αὐριανίτισ* R 18 *ἰννάνω* (*ν* ante *α* i. ras. A) PAM *ἴναν* L *ἴναν* R *ἰάμνιαν* ex *ἰάμνειαν* corr. V *ἰαμνειαν* C *innam uicum* Lat 19 *ἑκατόν*] *ρ* P *ἐτέτακτο* PAML^2 *δὲ* LVR 20 *ἰουδαῖα τε καὶ ἰδουμαῖα* tr. L

μέν̣η τετάρτῳ μέρει τῶν φόρων εἰς τιμὴν τοῦ μὴ μετὰ τῶν ἄλλων
97 ἀποστῆναι. πόλεις δ' ὑπηκόους παρέλαβεν Στράτωνος πύργον καὶ
Σεβαστὴν καὶ Ἰόππην καὶ Ἱεροσόλυμα· τὰς γὰρ Ἑλληνίδας Γάζαν
καὶ Γάδαρα καὶ Ἵππον ἀποτεμόμενος τῆς βασιλείας προσέθηκεν
Συρίᾳ. πρόσοδος ἦν τῆς Ἀρχελάῳ δοθείσης χώρας τετρακοσίων 5
98 ταλάντων. Σαλώμη δὲ πρὸς οἷς ὁ βασιλεὺς ἐν ταῖς διαθήκαις κατέ-
λιπεν Ἰαμνείας τε καὶ Ἀζώτου καὶ Φασαηλίδος ἀποδείκνυται δεσ-
πότις, χαρίζεται δ' αὐτῇ Καῖσαρ καὶ τὰ ἐν Ἀσκάλωνι βασίλεια·
συνήγετο δ' ἐκ πάντων ἑξήκοντα προσόδου τάλαντα· τὸν δὲ οἶκον
99 αὐτῆς ὑπὸ τὴν Ἀρχελάου τοπαρχίαν ἔταξεν. τῆς δ' ἄλλης Ἡρώδου 10
γενεᾶς ἕκαστος τὸ καταλειφθὲν ἐν ταῖς διαθήκαις ἐκομίζετο. δυσὶ
δ' αὐτοῦ θυγατράσι παρθένοις Καῖσαρ ἔξωθεν χαρίζεται πεντή-
κοντα μυριάδας ἀργυρίου καὶ συνῴκισεν αὐτὰς τοῖς Φερώρα παισίν.
100 μετὰ δὲ τὸν οἶκον ἐπιδιένειμεν αὐτοῖς τὴν ἑαυτῷ καταλειφθεῖσαν
ὑφ' Ἡρώδου δωρεὰν οὖσαν χιλίων ταλάντων, εὐτελῆ τινα τῶν κειμη- 15
λίων εἰς τὴν τοῦ κατοικομένου τιμὴν ἐξελόμενος.

101 VII. 1. Κἀν τούτῳ νεανίας τις Ἰουδαῖος μὲν τὸ γένος, τρα-
φεὶς δὲ ἐν Σιδῶνι παρά τῳ τῶν Ῥωμαίων ἀπελευθέρῳ, δι' ὁμοιό-
τητα μορφῆς ψευδόμενος ἑαυτὸν Ἀλέξανδρον τὸν ἀναιρεθέντα ὑφ'
102 Ἡρώδου κατ' ἐλπίδα τοῦ λήσειν ἦκεν εἰς Ῥώμην. συνεργὸς δ' ἦν 20
τις ὁμόφυλος αὐτῷ πάντα τὰ κατὰ τὴν βασιλείαν ἐπιστάμενος, ὑφ'
οὗ διδαχθεὶς ἔλεγεν. ὡς οἱ πεμφθέντες ἐπὶ τὴν ἀναίρεσιν αὐτοῦ

§ 96 = Ant. Iud. XVII 319.

PAMLVRC Lat Hegesippus II 1 p. 124.

1 μὴ om. C 2 δὲ MLVRC *Στράτωνος*] *στράτωνός τε* LVRC 3 Ἰόππην] Ἵππον V¹C *ἰόππην* V² *ἵππην*, ante ἰ ras. uid. R *ioppe* Lat Ἱεροσόλυμα] Ἀνθηδόνα Aldrich *ἑλλινίδας* V 4 *γάδαραν* PAM *gadaram* Lat Ἵππον] *ἰόππην* VRC, i. marg. *γρ* ἵππον R *ippon* Lat 5 ἦν] δ' ἦν AM δὲ ἦν LVRC *erat autem* Lat τῆς — χώρας] *archelai* Lat ἀρχελάου P τετρακοσίων] τ̄ PA 6 Σαλώμη sq.] paullo minus accurate dicta sunt (cf. Ant. XVII 189. 321), quare corrupta uidebantur Aldrichio ὁ *βασιλεὺς* i. marg. suppl. C *ταῖς* om. V *κατέλειπεν* LV et ex corr. R 7 *ἰαμνίασ* PAC *ἰαμνίασ*, *ι* ex *ει* corr. V *φασαήλιδοσ* PAM 8 δὲ LVRC *ἀσκαλώνι* P 9 δὲ LVRC δὲ s. C 10 ante αὐτῆς eras. *κατ* (*και*?) V *τοπαρχίαν*] *ethnarchiam* Lat, unde *ἐθναρχίαν* Hudson δὲ LVRC 11 *τὸ καταλειφθὲν*] *τὰ καταλειφθέντα* M *διαθήκεσ* R 12 δὲ LVRC *χαρίζετε* A *πεντήκοντα*] ν̄ A 13 *συνῴκησεν* AL¹ 14 *ἑαυτῶ·*, eras. *ν* PA *αὐτῷ* LVRC *καταληφθεῖσαν* V¹ 15 *εὐτελῆι* V 16 *τιμὴν*] *μνήμην* Hudson 17 i. marg. *ϊ* VC 18 δ' RC *σι·δῶνι* R *apud aliquem libertinum romanum* Lat *τῳ*] *τῶ* P *τίνι* LVRC *ῥωμαϊκῶν* MLVRC *ἀπελευθέρων* AMLVRC 20 δὲ LV

τε καὶ Ἀριστοβούλου δι' οἶκτον ἐκλείψειαν αὐτοὺς ὁμοίων ἐπιβολῇ σωμάτων. τούτοις γοῦν τοὺς ἐν Κρήτῃ Ἰουδαίους ἐξαναιρήσας καὶ 103
λαμπρῶς ἐφοδιασθεὶς διέπλευσεν εἰς Μῆλον· ἔνθα συναγείρας πολλῷ πλέον δι' ὑπερβολὴν ἀξιοπιστίας ἀνέπεισεν καὶ τοὺς ἰδιο-
ξένους εἰς Ῥώμην αὐτῷ συνεκπλεῦσαι. καταχθεὶς δὲ εἰς Ἰταλιάρ- 104
χειαν δωρά τε λαμπρὰ παρὰ τῶν ἐκεῖ Ἰουδαίων λαμβάνει καὶ καθάπερ βασιλεὺς ὑπὸ τῶν πατρώων προεπέμφθη φίλων. προε-
πλεύθει δ' εἰς τοσοῦτον πίστεως τὸ τῆς μορφῆς ὅμοιον, ὥστε τοὺς ἑωρακότας Ἀλέξανδρον καὶ σαφῶς ἐπισταμένους διόμνυσθαι τοῦ-
τον εἶναι. τό γε μὴν Ἰουδαϊκὸν ἐν τῇ Ῥώμῃ ἅπαν ἐξεχύθη πρὸς 105
τὴν θέαν αὐτοῦ, καὶ πλῆθος ἄπειρον ἦν περὶ τοὺς στενωπούς, δι' ὧν ἐκομίζετο· καὶ γὰρ προῆλθον εἰς τοσοῦτον φρενοβλαβείας
οἱ Μῆλιοι, ὥστε φορεῖόν τε αὐτὸν κομίζειν καὶ θεραπείαν βασιλικὴν ἰδίοις παρασχεῖν ἀναλώμασιν.

2. Καῖσαρ δὲ γινώσκων [ἀκριβῶς] τοὺς Ἀλεξάνδρου χαρακτῆρας, 106
κατηγόρητο γὰρ ὑφ' Ἡρώδου παρ' αὐτῷ, συνεώρα μὲν καὶ πρὶν ἰδεῖν τὸν ἄνθρωπον τὴν τῆς ὁμοιότητος ἀπάτην, διδοὺς δέ τι καὶ
πίστεως ταῖς ἱλαροτέραις ἐλπίσιν Κέλαδόν τινα πέμπει τῶν σαφῶς ἐπισταμένων Ἀλέξανδρον, κελεύσας ἀγαγεῖν αὐτῷ τὸν νεανίσκον. ὁ 107
δὲ ὡς εἶδεν, ἐτεκμήρατο μὲν τάχιστα καὶ τὰς διαφορὰς τοῦ προσ-
ώπου τό τε ὅλον σῶμα σκληρότερόν τε καὶ δουλοφανὲς καταμαθὼν

§ 102 = Ant. Iud. XVII 326.

PAMLVRC Lat Hegesippus II 2 p. 124.

2 *τούτους* L^1 *τοῦσ* ex *τοῖσ* corr. A *multos* Lat *Κρήτῃ*] *κρίτη* C^1 3 *λαπρῶσ* A post *ἐφοδιασθεὶς* deletum *εἰσ* C *διέπλευσεν*] *διέπλεψεν* V *Μῆλον*] *μίλητον* PAHeg *melum* Lat 4 *πολλῷ*] *πολλῶν* V *ἀξιοπιστείασ* C^1 5 *συνεκπλεῦσαι* C *δικαιαρχίαν* PAMVRC *δικαρχίαν* L 6 *παμπληθεῖ* P 7 *πατρώων* V^1 *προσεπέμφθη* L *προσεληλύθει* PV *προελήλυθη* C^1 8 *δὲ* LR *τοσοῦτο* M 10 *ἰουδαϊκὸν*, *ϊ* i. ras. A *τῇ* om. LVRC *ἅπαν*] *πᾶν* LVRC *πρὸσ*] *εἰσ* V 11 *τοὺς*] *τὰσ* V *στενωπούς*] *στενοποὺσ* V^1R *στενωποὺσ τόπουσ* PA *uicorum angustias* Lat 12 *κομίζοιτο* LRC *κομίζοιντο* V *γὰρ*] *γὰρ δὴ* AMLVRC *namque* Lat *προῆλθεν* s. m. 2 V *φρενοβλαβίασ* R 13 *φορίω* LVR 15 *ἀκριβῶς*] om. PAM *optime* (*sciens*) Lat 16 *κατηγορεῖτο* PAM *accusatus fuerat* Lat *αὐτῷ*] *αὐτοῦ* P 17 *ὁμοιότητοσ*] *ὠμότητοσ* C 18 *πίστεωσ*] om. Lat fort. recte *ἱλαροτέραισ* AL *Κέλαδόν*] *κελαδόν* PA *et ladum* Lat *τῶν*] *τὸν* PAC et ut uid. LatHeg 19 *ἐπισταμένον* PC et ut uid. LatHeg 20 *μὲν τάχιστα καὶ*] *μὲν · · · καὶ* R *μὲν τάχιστα* V *ἐτεκμήρατο — προσώπου*] *similitudine deceptus haesitauit* Heg 21 *τὸ δὲ ὅλον*] *maxime autem* Lat *τε*] Destinon *δὲ* codd. *σκληρότερόν* V post *τε* ras. 4 litt. C *δολοφανὲσ* L

108 ἐνόησεν πᾶν τὸ σύνταγμα, πάντ δὲ αὐτὸν παρώξυνεν ἡ τόλμα τῶν παρ' αὐτοῦ λεγομένων· τοῖς γὰρ πυνθανομένοις περὶ Ἀριστοβούλου σώζεσθαι μὲν κἀκεῖνον ἔλεγεν, ἀπολελεῖφθαι δὲ ἐπίτηδες ἐν Κύπρῳ τὰς ἐπιβουλὰς φυλασσόμενον· ἧττον γὰρ ἐπιχειρεῖσθαι διε-
109 ζευγμένους. ἀπολαβόμενος οὖν αὐτὸν κατ' ἰδίαν „μισθόν, ἔφη, παρὰ Καίσαρος ἔχεις τὸ ζῆν τοῦ μηνῦσαι τὸν ἀναπείσαντά σε πλανᾶσθαι τηλικαῦτα.“ κἀκεῖνος αὐτῷ δηλώσειν εἰπὼν ἕπεται πρὸς Καίσαρα καὶ τὸν Ἰουδαῖον ἐνδείκνυται καταχρησάμενον αὐτοῦ τῇ ὁμοιότητι πρὸς ἐργασίαν· τοσαῦτα γὰρ εἰληφέναι δῶρα καθ' ἑκάστην
110 πόλιν ὅσα ζῶν Ἀλέξανδρος οὐκ ἔλαβεν. γελάσας δὲ Καῖσαρ ἐπὶ τούτοις τὸν μὲν ψευδαλέξανδρον δι' εὐεξίαν σώματος ἐγκατέταξεν τοῖς ἑρέταις, τὸν ἀναπείσαντα δὲ ἐκέλευσεν ἀναιρεθῆναι· Μηλίοις δ' ἤρκεσεν ἐπιτίμιον τῆς ἀνοίας τὰ ἀναλώματα.

111 3. Παραλαβὼν δὲ τὴν ἐθναρχίαν Ἀρχέλαος καὶ κατὰ μνήμην τῶν πάλαι διαφορῶν οὐ μόνον Ἰουδαίοις ἀλλὰ καὶ Σαμαρεῦσι χρη-
σάμενος ὡμῶς, πρεσβευσαμένων ἑκατέρων κατ' αὐτοῦ πρὸς Καίσαρα ἔτει τῆς ἀρχῆς ἐνάτῳ φυγαδεύεται μὲν αὐτὸς εἰς Βίενναν πόλιν τῆς Γαλλίας, ἡ οὐσία δ' αὐτοῦ τοῖς Καίσαρος θησαυροῖς ἐγκατατάσ-
112 σεται. πρὶν κληθῆναι δ' αὐτὸν ὑπὸ τοῦ Καίσαρος ὄναρ ἰδεῖν φασιν τοιόνδε· ἔδοξεν ὁρᾶν στάχυς ἐννέα πλήρεις καὶ μεγάλους ὑπὸ βοῶν καταβιβρωσκομένους. μετατεμψάμενος δὲ τοὺς μάντεις καὶ τῶν

§ 108 = Ant. Iud. XVII 334.

PAMLVRCLatHegesippus II 2 p. 125.

2 *παρ'*] ὑπ' LVRC 3 δ' C 4 *Κύπρῳ*] PAMLatHeg et i. marg. V *κρυπτῶ* LVRC 5 *οὖν*] δὲ LVRC *itaque et ladus* (h. e. *οὖν Κέλαδος*) Lat *μισθὸν*, *ν* ex corr. P 6 *ἔχεις*] ἔχειν LVRC *fore* Lat *πλανᾶσθαι*] *πλάσασθαι* LVRC *fraudis* Lat *πλάσσεσθαι* mauult Hudson 7 *τηλικαῦτα*] τοιαῦτα V *εἰπεῖν*] i. marg. *γρ εἰπὼν* R *ἕπεται πρὸς Καίσαρα*] *ad caesarem et ladum sequitur* Lat 8 *ἐνδείκνυται*, *αι* i. ras. A *καταχρησάμενον* (s. m. 2) L *καταχρησμένον* R *τῇ* V 9 *ὁμότητι* V¹ *δῶρα*, *ρα* i. ras. A 10 *οὐκ ἔλαβεν*] *ἔλαβεν* (-*βε* M) PAM *accepisset* cod. Vat *non accepisset* alii codd. Lat 11 *τὸν* — 12 *ἑρέταις*] *et ipsum immunem dimittit* Heg *ψευδ' ἀλέξανδρον* A *εὐεξίαν* ex *εὐξίαν* corr. PA et man. 2 RC *ἐγκατέταξεν*] *κατέταξε* M *ἐγκατέλεξε* V 12 *ἑρέταις*] *αἱρέταισ* PA *δὲ* LVRC 13 *ἤρκεσεν*] *satis esse iudicauit* Lat 14 i. marg. *τα* VC 15 *διαφόρων* C 16 *κατ'* s. C 17 *ἐννάτω* LV *εἰσ βίενναν πόλιν τῆσ γαλατίασ αὐτὸσ* tr. LVRC *βίεναν* P¹L 18 *Γαλλίας*] PM et i. marg. V *γαλίασ* (*ασ* i. ras.) A *γαλατίασ* LVRC et i. marg. M *ἡ* i. ras. A 19 *δὲ* LVRC *τοῦ* om. L *ἰδεῖν*, *ν* i. ras. m. 2 C *φασιν*] *φησιν* PA 20 *ἐννέα*] *θ* A

Χαλδαίων τινὰς ἐπιτηδάνετο, τί σημαίνειν δοκοῖεν. ἄλλων δ' ἄλλως 113
ἐξηγουμένων Σίμων τις Ἐσσαῖος τὸ γένος ἔφη τοὺς μὲν στάχυς
ἐνιαυτοὺς νομίζειν, βόας δὲ μεταβολὴν πραγμάτων διὰ τὸ τὴν χώραν
ἀροτριῶντας ἀλλάσσειν· ὥστε βασιλεύσειν μὲν αὐτὸν τὸν τῶν ἀστα-
χύων ἀριθμόν, ἐν ποικίλαις δὲ πραγμάτων μεταβολαῖς γενόμενον
τελευτήσειν. ταῦτα ἀκούσας Ἀρχέλαος μετὰ πέντε ἡμέρας ἐπὶ τὴν
δίκην ἐκλήθη.

4. Ἄξιον δὲ μνήμης ἡγησάμην καὶ τὸ τῆς γυναικὸς αὐτοῦ 114
Γλαφύρας ὄναρ, ἥτις ἦν θυγάτηρ μὲν Ἀρχελάου τοῦ Καππαδόκων
βασιλέως, γυνὴ δὲ Ἀλεξάνδρου γεγονυῖα τὸ πρῶτον, ὃς ἦν ἀδελφὸς
Ἀρχελάου περὶ οὗ διέξιμεν, υἱὸς δὲ Ἡρώδου τοῦ βασιλέως, ὑφ' οὗ
καὶ ἀνῃρέθη, καθάπερ δεδηλώκαμεν. μετὰ δὲ τὸν ἐκείνου θάνατον 115
συνῴκησεν Ἰόβᾳ τῷ βασιλεύοντι Λιβύης, οὗ τελευτήσαντος ἐλαν-
θοῦσαν αὐτὴν καὶ χηρεύουσαν παρὰ τῷ πατρὶ θεασάμενος ὁ ἐθνάρ-
χης Ἀρχέλαος ἐπὶ τοσοῦτον ἔρωτος ἦλθεν, ὥστε παραχρῆμα τὴν
συνοικοῦσαν αὐτῷ Μαριάμμην ἀποπεμψάμενος ἐκείνην ἀγαγέσθαι.
παραγενομένη τοίνυν εἰς Ἰουδαίαν μετ' ὀλίγον τῆς ἀφίξεως χρόνον 116
ἔδοξεν ἐνιστάντα τὸν Ἀλέξανδρον αὐτῇ λέγειν „ἀπέχρη μὲν ὁ κατὰ
Λιβύην σοι γάμος, σὺ δὲ οὐκ ἀρκεσθεῖσα τούτῳ πάλιν ἐπὶ τὴν
ἐμὴν ἀνακάμπτεις ἑστίαν, τρίτον ἄνδρα καὶ ταῦτα τὸν ἀδελφόν, ὦ
τολμηρά, τὸν ἐμὸν ζηλήμενη. πλὴν οὐ περιόψομαι τὴν ὕβριν, ἀπο-
λήψομαι δέ σε καὶ μὴ θέλουσαν.“ τοῦτο διηγησαμένη τὸ ὄναρ
μόλις δύο ἡμέρας ἐβίω.

---

§ 113 = Ant. Iud. XVII 346.

PAMLVRC Lat Hegesippus II 2 p. 124.

1 *σημένειν* V *δὲ* ALVRC *ἄλλο* V 3 *βόας δὲ*] *τοὺς δὲ βοῦς* LVRC *μεταβολὰς* LVRCLat 4 *ἀλάσειν* V *βασιλεύσειν*] *βασιλεύειν* PAM *βασιλεῦσιν* L^1R^1 *regnaturum* Lat *ἀσταχύων*] *σταχύων* ALRC 7 *μετεκλήθ·η* A *μετεκλήθη* MLVRC 9 *γλαφυρᾶς* L^1R *ὄνα·ρ*, eras. *ι*, *ρ* ex corr. A 9 *καππαδοκῶν* PAMLVC 10 *δ'* C *ὃς ἦν ἀδελφὸς*] *ὅσ | ἦν* L^1 *ὅσ | ἀδελφὸς μὲν ἦν* L^2 11 *διέξειμεν* A *διεξήειμεν* MC *διεξιειμεν* L^1 *διεξίει μὲν* VR *loquimur* Lat *δ'* C 12 *προδεδηλώκαμεν* LVRC 13 *συνῴκησεν*] *συνώκισεν* AM *συνοίκισεν αὐτὴν* P *ιόβα* L *Ἰόβα* V *ἰώβα* C 14 *χηρεύσαν* A 16 *μαριάμην* M *mariamne* (abl.) Lat *ἀποπέμψά·μενος* (eras. *σ*, *με* ex *μαι* corr.) P 17 *παραγενομένην* L^1VR 18 *λέγει* V^1 *ἀπέχρη* — p. 179, 2 (§ 131) *καὶ παν* ‖ (*όμενοι*) absunt uno folio exciso A 20 *ἑστίαν ἀνακάμπτεισ* (*ἀνακάπτεισ* L^1) tr. LVRC *ὦ*] *ὧ·* V 21 *ἠρημένη* LR^1 *ἠρνημένη* R^2 23 *δύο μόγισ* tr. LVRC *ἐβίου* PM

117 VIII. 1. *Τῆς δὲ Ἀρχελάου χώρας εἰς ἐπαρχίαν περιγραφείσης ἐπίτροπος τῆς ἱππικῆς παρὰ Ῥωμαίοις τάξεως Κωπώνιος πέμ-*
118 *πεται μέχρι τοῦ κτείνειν λαβὼν παρὰ Καίσαρος ἐξουσίαν. ἐπὶ τούτου τις ἀνὴρ Γαλιλαῖος Ἰούδας ὄνομα εἰς ἀπόστασιν ἐνῆγε τοὺς ἐπιχωρίους καλίζων, εἰ φόρον τε Ῥωμαίοις τελεῖν ὑπομενοῦσιν καὶ μετὰ τὸν θεὸν οἴσουσι θνητοὺς δεσπότας. ἦν δ' οὗτος σοφιστὴς ἰδίας αἱρέσεως οὐδὲν τοῖς ἄλλοις προσεοικώς.*

119 2. *Τρία γὰρ παρὰ Ἰουδαίοις εἴδη φιλοσοφεῖται, καὶ τοῦ μὲν αἱρετισταὶ Φαρισαῖοι, τοῦ δὲ Σαδδουκαῖοι, τρίτον δέ, ὃ δὴ καὶ δοκεῖ σεμνότητα ἀσκεῖν, Ἐσσηνοὶ καλοῦνται, Ἰουδαῖοι μὲν γένος*
120 *ὄντες, φιλάλληλοι δὲ καὶ τῶν ἄλλων πλέον. οὗτοι τὰς μὲν ἡδονὰς ὡς κακίαν ἀποστρέφονται, τὴν δὲ ἐγκράτειαν καὶ τὸ μὴ τοῖς πάθεσιν ὑποπίπτειν ἀρετὴν ὑπολαμβάνουσιν. καὶ γάμου μὲν παρ' αὐτοῖς ὑπεροψία, τοὺς δ' ἀλλοτρίους παῖδας ἐκλαμβάνοντες ἁπαλοὺς ἔτι πρὸς τὰ μαθήματα συγγενεῖς ἡγοῦνται καὶ τοῖς ἤθεσιν*

§ 117 = Ant. Iud. XVIII 2 sq.; § 120 cf. Ant. Iud. XVIII 20.

PMLVRCLat Eusebius hist. eccl. I 5. Porphyrius de abstin. IV 11 sq. Eusebius praep. euang. IX 3. Suidas s. *Ἐσσαῖοι*. Cedrenus I p. 348 Bonn.

1 i. marg. *ιβ* V δ' M 2 *ἐπίτροπος — τάξεως*] *procurator equitum apud romanos* Lat *τῆς*] PML²Lat *τισ* L¹VRC *κοπώνιος* P *κωπώνιοσ* C *pomponius* ut uid. Lat 3 *μέχρι — 4 τούτου*] *ea sibi a caesare potestate mandata. hoc disceptante* Lat i. marg. *ιβ* C *τοῦ καίσαροσ* LV²RC *ἐπὶ*] incip. Euseb. hist. eccl. 4 *τούτοισ* Eusebii codd. plerique *εἰς — ἐνῆγε*] *defectionis arguebatur* Lat *ἀποστασίαν* Eusebii codd. plerique 5 *φόρον*, *ρ* m. 2 ex *ν* corr. uid. L *ὑπομένουσιν* codd., corr. Niese 6 *τὸν*] *τῶν* V¹, om. RC *δεσπότας*] fin. Euseb. *δὲ* LVRC 7 *ἄλλοις*] *ἄλλοισ πῶσ* L 8 *Τρία* sq. exscripsit Porphyrius, quo usi sunt Eusebius praep. euang. IX 3 p. 404 sq. et breuiore compendio Suidas cum Cedreno 9 *φαρισσαῖοι* M *τοῦ*] *τοὺσ* L¹ *τρίτον — καλοῦνται*] *tertium uero, quod etiam probabilius habetur, esseni coluntur* Lat *τῆς δὲ τρίτης (φιλοσοφίας), ἣ καὶ ἐδόκει σεμνοτάτη εἶναι, Ἐσσαῖοι (προίσταντο)* Porphyr 10 *δοκεῖ·* L *δοκεῖν* RC *σεμνότητα*] *σεμνότερον* PMLat *σεμνότατον* (ante *δοκεῖν* positum) C *Ἐσσηνοί*] *ἐσσαῖοι* Porphyr Suidas Cedrenus *τὸ γένος* Porphyr 11 *φιλάλληλοι — 12 ἀποστρέφονται*] *uerum inter se mutuo amore iunctissimi et qui praeter ceteros uoluptates quidem quasi ma'eficia uitarent* Lat *φιλάλληλοι* V *καὶ* om. V 12 *τὴν δὲ σωφροσύνην καὶ ἐγκράτειαν* Suidas Cedrenus *τὸ μὴ τοῖς πάθεσιν*] *τοῖς πάθεσι μὴ* Porphyrii codd. 14 *ὑπεροψία παρ' αὐτοῖσ* tr. LVRC *δὲ* LVRPorphyr 15 *ἔτι*] *ἔτι καὶ* M *μαθήματα*] *μαθήματα ἐπιτηδείουσ* M *ἤθεσιν αὐτῶν*] *ἤθεσι τοῖσ ἑαυτῶν* LVRC *ἤθεσιν ἑαυτῶν* Porphyr

αὐτῶν ἐντυποῦσι, τὸν μὲν γάμον καὶ τὴν ἐξ αὐτοῦ διαδοχὴν οὐκ 121
ἀναιροῦντες, τὰς δὲ τῶν γυναικῶν ἀσελγείας φυλαττόμενοι καὶ μηδε-
μίαν τηρεῖν πεπεισμένοι τὴν πρὸς ἕνα πίστιν.

3. Καταφρονηταὶ δὲ πλούτου, καὶ θαυμάσιον αὐτοῖς τὸ κοινω- 122
νικόν, οὐδὲ ἔστιν εὑρεῖν κτήσει τινὰ παρ' αὐτοῖς ὑπερέχοντα· νόμος γὰρ τοὺς εἰς τὴν αἵρεσιν εἰσιόντας διμεύειν τῷ τάγματι τὴν οὐσίαν, ὥστε ἐν ἅπασιν μήτε πενίας ταπεινότητα φαίνεσθαι μήθ' ὑπεροχὴν πλούτου, τῶν δ' ἑκάστου κτημάτων ἀναμεμιγμένων μίαν ὥσπερ ἀδελφοῖς ἅπασιν οὐσίαν εἶναι. κηλῖδα δ' ὑπολαμβάνουσι 123
τὸ ἔλαιον, κἂν ἀλειφθῇ τις ἄκων, σμήχεται τὸ σῶμα· τὸ γὰρ αὐχμεῖν ἐν καλῷ τίθενται λευχειμονεῖν τε διαπαντός. χειροτονηταὶ δ' οἱ τῶν κοινῶν ἐπιμεληταὶ καὶ ἀδιαίρετοι πρὸς ἁπάντων εἰς τὰς χρείας ἕκαστοι.

4. Μία δ' οὐκ ἔστιν αὐτῶν πόλις ἀλλ' ἐν ἑκάστῃ μετοικοῦσιν 124
πολλοί. καὶ τοῖς ἑτέρωθεν ἥκουσιν αἱρετισταῖς πάντ' ἀναπέπταται τὰ παρ' αὐτοῖς ὁμοίως ὥσπερ ἴδια, καὶ πρὸς οὓς οὐ πρότερον εἶδον εἰσίασιν ὡς συνηθεστάτους· διὸ καὶ ποιοῦνται τὰς ἀποδη- 125
μίας οὐδὲν μὲν ὅλως ἐπικομιζόμενοι, διὰ δὲ τοὺς λῃστὰς ἔνοπλοι. κηδεμὼν δ' ἐν ἑκάστῃ πόλει τοῦ τάγματος ἐξαιρέτως τῶν ξένων
ἀποδείκνυται ταμιεύων ἐσθῆτα καὶ τὰ ἐπιτήδεια. καταστολὴ δὲ 126

PMLVRCLat Suidas s. *Ἐσσαῖοι.* Porphyrius de abstin. IV 11 Eusebius praep. euang. IX 3 Cedrenus I p. 348 Bonn.

1 *ἐντυποῦσι*] finit Suidas 1 sq. mutat breuiat Cedrenus 2 *ἀσελγίας* V¹ *φυλασσόμενοι* LVRC *καὶ — πίστιν* om. Porphyr 3 *ἕνα*] *ἓν·α*, eras. *ν* V 4 *αὐτοῖς*] *παρ' αὐτοῖσ* MLVRCPorphyr (*verumque*) *apud eos* (*communicatio*) Lat 5 *οὐδὲ*] *οὐδὲ γὰρ* V *κτῆσιν* P · · · · *κτήσει*, *ει* i. ras. V 6 · · *αἵρεσιν* C *δημεύειν*] *δεσμεύειν* M *τῷ*] *τὸ* V¹ 7 *ταπεινότητι* C *μήθ'*] CPorphyr *μηδ'* PM *μηδὲ* LVR 8 *πλούτῳ* L¹R · *πλούτου* V *δὲ* LVRC *ἑκάστου* om. Lat 9 *δ'*] *δὲ* LVRCEuseb, om. Porphyr 10 *τοὔλαιον* Porphyr *ἀλειφθῇ*] PM Porphyr apud Euseb, *ἀλειφῇ* LVRC Porphyrii codd. *τὸ*] *τῷ* P 11 *τίθεται* L¹R 12 *δὲ* LVRCPorphyr *οἱ τῶν κοινῶν*] *τῶν κοινῶν* Porphyr *τῶν κοινῶν οἱ* Porphyr apud Euseb *ἀδιαίρετοι*] *αἱρετοὶ* ex cod. Voss. Bekker 13 *χρείας*] *χεῖρασ* L¹ 14 *δὲ* LVRC Porphyr *ἐν ἑκάστῃ*] *εἰς ἑκάστην* uertit Lat *μετοικοῦσιν*] *κατοικοῦσιν* ex cod. Busbek. Hudson 15 *ἑτέρωθεν* R *αἱρεσιώταισ* Porphyrii codd. *πάντ'* — 16 *ἴδια*] *quidquid habeant promptum exhibent quasi proprium* Lat *πάντ' ἀναπέπταται*] P *πάντα ἀναπέπανται* M *πέπταται* LVR *ἀναπέπταται* C Porphyr 16 *ὁμοίως*] s. P om. V *τὰ — ἴδια*] *τὰ παρ' ἀλλήλοισι* (*ἀλλήλοις* Euseb) Porphyr *καὶ πρὸς — p. 178,2 οὔτε* breuiat Porphyr 18 *μὲν* om. LVR *δὲ* om. V 19 *δὲ* LVRC *τοῦ τάγματος*] *ex eodem collegio* Lat *ἐξαίρετοσ* RC *specialis* Lat

καὶ σχῆμα σώματος ὅμοιον τοῖς μετὰ φόβου παιδαγωγουμένοις παισίν. οὔτε δὲ ἐσθῆτας οὔτε ὑποδήματα ἀμείβουσι πρὶν διαρραγῆναι τὸ πρότερον καταστάσιν ἢ διαπαγῆναι τῷ χρόνῳ. οὐδὲν
127 ὀ ἐν ἀλλήλοις οὔτ' ἀγοράζουσιν οὔτε πωλοῦσιν. ἀλλὰ τῷ χρήζοντι διδοὺς ἕκαστος τὰ παρ' αὐτῷ τὸ παρ' ἐκείνου χρήσιμον ἀντικομίζεται· καὶ χωρὶς δὲ τῆς ἀντιδόσεως ἀκώλυτος ἡ μετάληψις αὐτοῖς παρ' ὧν ἂν θέλωσιν.

128 5. Πρός γε μὴν τὸ θεῖον εὐσεβεῖς ἰδίως· πρὶν γὰρ ἀνασχεῖν τὸν ἥλιον οὐδὲν φθέγγονται τῶν βεβήλων, πατρίους δέ τινας εἰς
129 αὐτὸν εἰχὰς ὥσπερ ἱκετεύοντες ἀνατεῖλαι. καὶ μετὰ ταῦτα πρὸς ἃς ἕκαστοι τέχνας ἴασιν ὑπὸ τῶν ἐπιμελητῶν διαφίενται, καὶ μέχρι πέμπτης ὥρας ἐργασάμενοι συντόνως πάλιν εἰς ἓν συναθροίζονται χωρίον, ζωσάμενοί τε σκεπάσμασιν λινοῖς οὕτως ἀπολούονται τὸ σῶμα ψυχροῖς ὕδασιν, καὶ μετὰ ταύτην τὴν ἁγνείαν εἰς ἴδιον οἴκημα συνίασιν, ἔνθα μηδενὶ τῶν ἑτεροδόξων ἐπιτέτραπται
130 παρελθεῖν· αὐτοί τε καθαροὶ καθάπερ εἰς ἁγιόν τι τέμενος παραγίνονται τὸ δειπνητήριον. καὶ καθισάντων μεθ' ἡσυχίας ὁ μὲν σιτοποιὸς ἐν τάξει παρατίθησι τοῖς ἄρτους, ὁ δὲ μάγειρος ἓν
131 ἀγγεῖον ἐξ ἑνὸς ἐδέσματος ἑκάστῳ παρατίθησιν. προκατεύχεται δ'

PMLVRC Lat Porphyrius de abstin. IV 11. 12 Eusebius praep. euang. IX 3 Cedrenus I p. 349.

2 *ἐσθῆτα* Porphyr *πρὶν*] PMPorphyr *πρὶν ἢ* (*ἢ* C) LVRC *διαρραγῆν* C^1 3 *τὸ* om. Porphyr *οὐδὲν — 4 ἀγοράζουσιν*] *οὐδ' ἀγοράζουσί τι* Porphyr 4 *δ'*] om. LR *δὲ* V *οὔτ'*] *οὔτε* LVRC *πολοῦσιν* V^1 *ἀλλὰ — 5 ἀντικομίζεται*] *sed egenti quisque quod habeat praebens refert ab eo quod ipse non habeat* Lat *χρίζοντι* V^1 et ut uid. C^1 5 *τὰ*] *τὸ* Porphyrii codd. *αὐτοῦ* LVRC *ἑαυτῷ* Porphyr *παρ' ἐκείνου*] om. P *παρ' ἐκείνῳ* M 6 *καὶ* om. Porphyr *ἀκόλυτος* V^1 *ἀκώλυτος — 7 θέλωσιν*] *cunctis libera (sit) facultas a quibus libuerit accipiendi quod opus sit* Lat 7 *παρ'*] *περὶ* Dindorf, om. Bekker *θέλωσιν*] Porphyrius *θέλουσιν* P *ἐθελήσωσι* LVR et ex corr. C *ἐθέλωσι* MC^1 Porphyr apud Euseb 8 *ἰδίως εὐσεβεῖς* tr. LVRCPorphyr 10 *ἱκετεύοντες*, *ο* ex corr., *ε* i. ras. m. 2 V *καὶ* om. MLVRC Porphyr 11 *ἴασιν* L *ἴασι* C *διαφίενται*] *ἴέναι ἀφίενται* Porphyrii codd. *ἀφεῖνται* Porphyr apud Euseb 12 *πέμπτης*] *πέντε* PM *ἕκτης* Cedrenus *σὺν τόνῳ* V *πάλιν*] *ἔπειτα πάλιν* LVRCPorphyr *ἀθροίζονται* LVR Porphyr 13 *σκεπάσμασιν*] *σκέπασι* Porphyr *λινοῖς* om. Porphyr. apud Euseb *ἀπολούονται* L^1 14 *ἁγνείαν* L^1V *εἰς ἴδιον οἴκημα*] *in eadem secreta* Lat 15 *συνιᾶσιν* PL^2 *ἐπιτρέπεται* C 17 *καθισάντων*] *καθισάν‖σαν* C^1 *καθίσασι* C^2 *καὶ καθισάντων*] *καθισάντων δὲ* Porphyr 18 *παρατίθησιν ἄρτους* LVRCPorphyr Cedrenus 19 *παρατίθησιν*] om. Porphyr *πάντοτε προσάγει* Cedrenus *δὲ* LVRC

ὁ ἱερεὺς τῆς τροφῆς, καὶ γεύσασθαί τινα πρὶν τῆς εὐχῆς ἀθέμιτον· ἀριστοποιησάμενος δ' ἐπεύχεται πάλιν· ἀρχόμενοί τε καὶ παυόμενοι γεραίρουσι θεὸν ὡς χορηγὸν τῆς ζωῆς. ἔπειθ' ὡς ἱερὰς κατα-
θέμενοι τὰς ἐσθῆτας πάλιν ἐπ' ἔργα μέχρι δείλης τρέπονται. δει- 132
λνοῦσι δ' ὁμοίως ὑποστρέψαντες συγκαθεζομένων τῶν ξένων, εἰ τύχοιεν αὐτοῖς παρόντες. οὔτε δὲ κραυγή ποτε τὸν οἶκον οὔτε θό-
ρυβος μιαίνει, τὰς δὲ λαλιὰς ἐν τάξει παραχωροῦσιν ἀλλήλοις. καὶ 133
τοῖς ἔξωθεν ὡς μυστήριόν τι φρικτὸν ἡ τῶν ἔνδον σιωπὴ καταφαί-
νεται, τούτου δ' αἴτιον ἡ διηνεκὴς νῆψις καὶ τὸ μετρεῖσθαι παρ'
αὐτοῖς τροφὴν καὶ ποτὸν μέχρι κόρου.

6. Τῶν μὲν οὖν ἄλλων οὐκ ἔστιν ὅ τι μὴ τῶν ἐπιμελητῶν προσ- 134
ταξάντων ἐνεργοῖσι, δύο δὲ ταῦτα παρ' αὐτοῖς αὐτεξούσια, ἐπι-
κουρία καὶ ἔλεος· βοηθεῖν τε γὰρ τοῖς ἀξίοις, ὁπόταν δέωνται, καὶ
καθ' ἑαυτοὺς ἐφίεται καὶ τροφὰς ἀπορουμένοις ὀρέγειν. τὰς δὲ
εἰς τοὺς συγγενεῖς μεταδόσεις οὐκ ἔξεστι ποιεῖσθαι δίχα τῶν ἐπι-
τρόπων. ὀργῆς ταμίαι δίκαιοι, θυμοῦ καθεκτικοί, πίστεως προ- 135
στάται, εἰρήνης ὑπουργοί. καὶ πᾶν μὲν τὸ ῥηθὲν ὑπ' αὐτῶν ἰσχυ-

---

PAMLVRC Lat Porphyrius de abstin. IV 12 Eusebius praep. euang IX 3 Cedrenus I p. 349.

1 *τροφῆς*] *τροφῆς ἁγνῆς οὔσης καὶ καθαρᾶς* Porphyr Cedrenus *τινα*] *τινι* Porphyrii codd. *εὐχῆς*] *τροφῆσ* L 2 *ἀριστοποιησαμένους* Porphyrii codd. fort. recte *δὲ* MLVRC *ἐπεύχεται*] *uota repetunt* Lat *τε*] *δὲ* PM (*παυ*)‖*όμενοι*] redit A 3 *θεὸν*] *τὸν θεὸν* LVRC Porphyr Cedrenus *ὡς — ζωῆς* om. Porphyr Cedrenus *χορηγὸν* R *ζωῆς*] *τροφῆσ* LVRC *uictus* Lat *ἔπειτα* LVRC 4 *δειπνοῦσι*] *πίνουσι* Porphyrii codd. 5 *δὲ* LVRC *ὑποστρέψαντεσ ὁμοίωσ* tr. VRC Porphyr *ὑποστρέψαντες*] *inde reuersi* Lat *συγκαθεζομένων, γ* i. ras. m. 2 V *εἰ — παρόντες*] *si quos fortasse interuenisse reppererint* Lat *εἰ*] *οἳ* MLVR¹C 6 *τοίχοιεν* A *αὐτοῖσι* Porphyr *οὔτε δὲ*] PAMPorphyr *οὐδὲ* LVRC *neque uero* Lat *οὔτε*] *οὐ* Porphyr 7 *μιαίνει*] PAM Porphyr *μολύνει* LVRC *inquietat* (*inquinat* Destinon) Lat 8 *ἔνδων* L post *καταφαίνεται* addit quaedam de somno Essenorum breui leuique Cedrenus 9 *τοῦτο* L¹R *δὲ* LVRC *μετρῆσθαι* C *μὴ μετρεῖσθαι* R² 10 *τὴν τροφὴν* A *μέχρι κόρου*] *satietate* Lat *κό·ρου* V

11 §§ 134 — 136 om. Porphyr Cedrenus *ἐπιλητῶν* A *προστα··ξάντων* (eras. uid. *τά*) V 12 *ἐπικουρία τὲ καὶ* V 13 *ἔλεον* V¹ *τε* om. A *καὶ — 14 ἐφίεται*] *suo arbitrio cuique licet* Lat 14 *καθ' αὑτουσ* LVRC *ἐφίεται*] *ἐφιέναι*, i. marg. m. 2 *γρ ἐφίεται* V *ἐφίενται* C² *τροφῆσ* V 15 *τοὺς* om. V *οὐκ ἔξεστι* ex *οὐκ ἔστι* corr. A *οὐκέτι* L *οὐκ ἔστι* VR *ποιεῖσθαι* ex *ποιῆσαι* corr. A 16 *ὀργῆσ, ῆσ* i. ras. m. 2 V *ταμεῖαι* VC¹ *καθεκτικοί*, litt. *ε* s. i. ras. m. 2 V *καθεκτοί* L *πρόσταται* PA¹ 17 *ὑπουργοί·* V *ἰσχυρώτερον* A

ρότερον ὅρκου, τὸ δὲ ὀμνύειν αὐτοῖς περιίσταται χεῖρον τῆς ἐπιορκίας ὑπολαμβάνοντες· ἤδη γὰρ κατεγνῶσθαί φασιν τὸν ἀπι-
136 στούμενον δίχα θεοῦ. σπουδάζουσι δ' ἐκτόπως περὶ τὰ τῶν παλαιῶν συντάγματα μάλιστα τὰ πρὸς ὠφέλειαν ψυχῆς καὶ σώματος ἐκλέγοντες· ἔνθεν αὐτοῖς πρὸς θεραπείαν παθῶν ῥίζαι τε ἀλεξη- 5
τήριον καὶ λίθων ἰδιότητες ἀνερευνῶνται.

137 7. Τοῖς δὲ ζηλοῦσιν τὴν αἵρεσιν αὐτῶν οὐκ εὐθὺς ἡ πάροδος, ἀλλ' ἐπὶ ἐνιαυτὸν ἔξω μένοντι τὴν αὐτὴν ὑποτίθενται δίαιταν ἀξινάριόν τε καὶ τὸ προειρημένον περίζωμα καὶ λευκὴν ἐσθῆτα
138 δόντες. ἐπειδὰν δὲ τούτῳ τῷ χρόνῳ πεῖραν ἐγκρατείας δῷ, πρόσ- 10
εισιν μὲν ἔγγιον τῇ διαίτῃ καὶ καθαροτέρων τῶν πρὸς ἁγνείαν ὑδάτων μεταλαμβάνει, παραλαμβάνεται δὲ εἰς τὰς συμβιώσεις οὐδέπω. μετὰ γὰρ τὴν τῆς καρτερίας ἐπίδειξιν δυσὶν ἄλλοις ἔτεσιν τὸ ἦθος δοκιμάζεται καὶ φανεὶς ἄξιος οὕτως εἰς τὸν ὅμιλον ἐγκρί-
139 νεται. πρὶν δὲ τῆς κοινῆς ἅψασθαι τροφῆς ὅρκους αὐτοῖς ὄμνυσι 15
φρικώδεις, πρῶτον μὲν εὐσεβήσειν τὸ θεῖον, ἔπειτα τὰ πρὸς ἀνθρώπους δίκαια φυλάξειν καὶ μήτε κατὰ γνώμην βλάψειν τινὰ μήτε ἐξ ἐπιτάγματος, μισήσειν δ' ἀεὶ τοὺς ἀδίκους καὶ συναγωνιεῖ-

---

PAMLVRC Lat Porphyrius de abstin. IV 12 Eusebius praep. euang. IX 3 Cedrenus I p. 350 Bonn.

1 τὸ — περιίσταται] *ipsum autem iusiurandum — uitant* Lat αὐτοῖς] αὐτοῖσ, litt. ισ i. ras. m. 2 L αὐτοὺσ ex corr. A αὐτῶν VR πάντως Destinon, om. Dindorf cum cod. Voss. περιίστανται L¹ et ex corr. A rectius ut uid. περίστανται R χεῖρον i. ras. minore A χειρόν τι MLVRC 2 ὑπολαμβάνοντεσ, ο ante ν i. ras. V ὑπολαμβάνουσι C ἤδη γὰρ] ἤδη γὰρ ἤδη LVRC τὸν] τὸ Dindorf 3 δὲ LVRC περὶ] παρὰ C 4 συντάγματα] συγγράμματα LVRC τὰ om. PA 5 ἔνθεν — 6 ἀνερευνῶνται] *hinc illis salutes morborumque remedia stirpes medicas quamque uim propriam singuli lapides habeant rimantibus conquiruntur* Lat τε om. A¹ ut uid. ἀλεξιτήριον PA ἀλεξιτήριοι MLR¹ ἀλεξητήριοι VR²C 7 τοῖς] incipiunt denuo Porphyrius et Cedrenus multa breuians alia addens τοῖς δὲ ζηλοῦσιν] τῷ δὲ ζηλοῦντι C αἵρεσιν, ι ex corr. V αὐτῶν om. Porphyr πάροδος] παράδοσισ PA *cum eis una collectio* Lat 8 ἐπ' LVRC Porphyr ὑποτίθενται] ἀποτίθενται P *tribuunt* Lat 9 τὸ om. L¹ τὸ προειρημένον om. Porphyr περίζωσμα PA περίζωμα δόντες καὶ λευκὴν ἐσθῆτα tr. Porphyr 10 τῷ om. L¹ πρόσεισι μὲν] πρόσεισιν Porphyr 11 καθαροτέρων A καθαρώτερον Porphyr 13 ἐπίδειξιν, δ ex τ uid. corr. A 14 δοκιμάζεται] κομίζεται Porphyrii codd. 15 αὐτοῖσ, ι ex υ corr. L 16 εὐσεβεῖν C τὰ om. PAML 17 διαφυλάξειν Porphyrii codd. 18 μήτ' Porphyr μισήσειν, ή et ει i. ras. m. 2 V δὲ LVRC Porphyr συναγωνεῖσθαι V συναγωνίζεσθαι Porphyrii codd. συναδικεῖσθαι Porphyr apud Euseb

σθαι τοῖς δικαίοις· τὸ πιστὸν ἀεὶ πᾶσιν παρέξειν, μάλιστα δὲ τοῖς 140
κρατοῦσιν· οὐ γὰρ δίχα θεοῦ περιγενέσθαι τινὶ τὸ ἄρχειν· κἂν
αὐτὸς ἄρχῃ, μηδέποτε ἐξυβρίσειν εἰς τὴν ἐξουσίαν μηδ' ἐσθῆτί
τινι ἢ πλείονι κόσμῳ τοὺς ὑποτεταγμένους ὑπερλαμπρύνεσθαι. 141
τὴν ἀλήθειαν ἀγαπᾶν ἀεὶ καὶ τοὺς ψευδομένους προβάλλεσθαι·
χεῖρας κλοπῆς καὶ ψυχὴν ἀνοσίου κέρδους καθαρὰν φυλάξειν καὶ
μήτε κρύψειν τι τοὺς αἱρετιστὰς μήθ' ἑτέροις αὐτῶν τι μηνύσειν,
κἂν μέχρι θανάτου τις βιάζηται. πρὸς τούτοις ὄμνυσιν μηδενὶ 142
μὲν μεταδοῦναι τῶν δογμάτων ἑτέρως ἢ ὡς αὐτὸς μετέλαβεν. ἀφέξε-
σθαι δὲ λῃστείας καὶ συντηρήσειν ὁμοίως τά τε τῆς αἱρέσεως αὐτῶν
βιβλία καὶ τὰ τῶν ἀγγέλων ὀνόματα. τοιούτοις μὲν ὅρκοις τοὺς
προσιόντας ἐξασφαλίζονται.

8. Τοὺς δ' ἐπ' ἀξιοχρέοις ἁμαρτήμασιν ἁλόντας ἐκβάλλουσι 143
τοῦ τάγματος. ὁ δ' ἐκκριθεὶς οἰκτίστῳ πολλάκις μόρῳ διαφθεί-
ρεται· τοῖς γὰρ ὅρκοις καὶ τοῖς ἔθεσιν ἐνδεδεμένος οὐδὲ τῆς παρὰ
τοῖς ἄλλοις τροφῆς δύναται μεταλαμβάνειν, λοιμῷ δὲ καὶ λιμῷ
τὸ σῶμα τηκόμενος διαφθείρεται. διὸ δὴ πολλοὺς ἐλεήσαντες ἐν 144

PAMLVRC Lat Porphyrius de abstin. IV 13 Eusebius praep. euang. IX 3 Cedrenus I p. 350 Bonn.

1 *ἀεὶ* om. Porphyr *πᾶσιν παρέξειν*] *παρέξειν πᾶσι* LVRC *πᾶσι μὲν παρέξειν* Porphyr 2 *κρατοῦσι* P *δίχα, ι* i. ras. maiore m. 2 V *περιγίνεσθαι* LVRPorphyr *τινὶ*] *τισι* Porphyrii codd. 3 *μηδέποτε*] *μηδέπωτε* (ω ex ο corr., i. marg. eras. *πω*) A *μηδεπώποτε* LVRCPorphyrii codd. et Eusebii codicum pars *μηδέποτε — ἐξουσίαν*] *numquam abuti numquam se abusurum uiribus potestatis ad contumeliam subditorum* Lat *ἐξυβρίσειν*] *ἐξυβρίσαι* Porphyr *μηδὲ* LVRCPorphyr apud Euseb *μὴ* Porphyrii codd. 4 *τινι ἢ*] *ἢ τινι* LVRC Lat Porphyr fort. rectius *πλέονι* Porphyr 5 *προβάλλεσθαι*] Porphyr *ἐλέγχειν προβάλλεσθαι* codd. *proposituin habere conuincere* Lat post *προβάλλεσθαι* addit *ἀνωτέρουσ* m. 2 R 6 *καὶ τὴν ψυχὴν* P 7 *μήθ'*] *μήτ'* PA¹ *μήτε* LVRC *αὐτὸν* V¹ *μηνύσει* ex corr. R 8 *βιάζεται* V¹ *πρὸς*] *πρὸσ δὲ* Porphyr *ὁμνύουσι* LVRC *μηδὲν* uertit Lat 9 post *μεταδοῦναι* deletum *καὶ τοὺσ ψευδομενουσ ἐλέγχειν* C *μετέλαβεν*] *παρέλαβεν* Porphyr 11 *καὶ τὰ*] *καὶ κατὰ* C *τοιούτοις* — 14 *διαφθείρεται*] *τοιοῦτοι μὲν οἱ ὅρκοι. οἱ δ' ἁλόντες καὶ οἱ* (*οἱ* om. Euseb.) *ἐκβληθέντες κακῷ μόρῳ φθείρονται* Porphyr § 143 — 158 om. Cedrenus

13 *δὲ* PLVRCPorphyr *ἀξιοχρέοις* om. Lat *ἐκβάλλουσιν* A 14 *ὁ δ' ἐκκριθεὶς*] *ὁ δὲ κριθεὶσ* L¹ *ὁ δὲ ἐκκριθεὶσ* L²VRC 15 *ἔθεσιν ἐνδεδεμένος*] *ἔθεσι δεδεμένοσ* PAM *ἔθεσιν ἐνδεδεμένοι* Porphyr *τῆς*] *τοῖσ* PM¹C¹ *παρὰ τοῖς ἄλλοις*] *ab aliis oblatum* Lat 16 *ἄλοισ* C *τροφῆσφῆσ* C¹ *δύνανται* Porphyr *ποηφαγῶν, η* i. ras. m. 2 L *ποηφαγοῦντεσ* Porphyr 17 *τηκόμενος διαφθείρεται*] *διαφθειρόμενοι ἀπόλλυνται* Porphyr post *διαφθείρεται* deletum *τοῖσ γὰρ ὅρκοισ καὶ τοισ* C

ταῖς ἐσχάταις ἀναπνοαῖς ἀνέλαβον, ἱκανὴν ἐπὶ τοῖς ἁμαρτήμασιν αὐτῶν τὴν μέχρι θανάτου βάσανον ἡγούμενοι.

145 9. *Περὶ δὲ τὰς κρίσεις ἀκριβέστατοι καὶ δίκαιοι, καὶ δικάζουσι μὲν οὐκ ἐλάττους τῶν ἑκατὸν συνελθόντες, τὸ δ' ὁρισθὲν ἐπ' αὐτῶν ἀκίνητον. σέβας δὲ μέγα παρ' αὐτοῖς μετὰ τὸν θεὸν τοὔνομα τοῦ νομοθέτου, κἂν βλασφημήσῃ τις εἰς τοῦτον κολάζεται*
146 *θανάτῳ. τοῖς δὲ πρεσβυτέροις ὑπακούουσιν καὶ τοῖς πλείοσιν ἐν καλῷ· δέκα γοῦν συγκαθεζομένων οὐκ ἂν λαλήσειέν τις ἀκόντων*
147 *τῶν ἐννέα. καὶ τὸ πτύσαι δὲ εἰς μέσους ἢ τὸ δεξιὸν μέρος φυλάσσονται καὶ ταῖς ἑβδομάσιν ἔργων ἐφάπτεσθαι διαφορώτατα Ἰουδαίων ἁπάντων· οὐ μόνον γὰρ τροφὰς ἑαυτοῖς πρὸ μιᾶς ἡμέρας παρασκευάζουσιν, ὡς μὴ πῦρ ἐναύσαι ἐκείνην τὴν ἡμέραν, ἀλλ'*
148 *οὐδὲ σκεῦός τι μετακινῆσαι θαρροῦσιν οὐδὲ ἀποπατεῖν. ταῖς δ' ἄλλαις ἡμέραις βόθρον ὀρύσσοντες βάθος ποδιαῖον τῇ σκαλίδι, τοιοῦτον γάρ ἐστιν τὸ διδόμενον ἐπ' αὐτῶν ἀξινίδιον τοῖς νεοσυστάτοις, καὶ περικαλύψαντες θοιμάτιον, ὡς μὴ τὰς αὐγὰς ὑβρίζοιεν*
149 *τοῦ θεοῦ, θακεύουσιν εἰς αὐτόν. ἔπειτα τὴν ἀνορυχθεῖσαν γῆν ἐφέλκουσιν εἰς τὸν βόθρον· καὶ τοῦτο τοιοῦσι τοὺς ἐρημοτέρους*

PAMLVRC Lat Porphyrius de abstin. IV 13 Eusebius praep. euang. IX 3.

1 *ἀναπνοαῖς*] *ἀνάγκαις* Porphyr *ἀνέλαβον*] *ἔλαβον* Porphyrii codd. *ἁμαρτήμασι* A 2 *ἡγούμενοι*] *τιμωρίαν δεδωκέναι νομίζοντες* Porphyr § 145—147 om. Porphyr 3 *δὲ* om. A 4 *ἑκατὸν* LRC¹ $\overline{ρ}$ PA *δ'*] *δὲ* (s. A) ALVRC 5 *μέγα*] PAMLat *μέγιστον* LVRC *τὸν* om. M 6 *τὸ ὄνομα* LVRC *τοῦτον*] *τούτῳ* A 7 *τοῖς* — 8 *καλῷ*] *senibus uero oboedire et plurium quorumque decreto probabile arbitrantur officium* Lat *ὑπακούουσιν*] *ὑπακούειν* MLVRC fort. recte *ἐν καλῷ*] *ἐν καλῶ τίθενται* (*τίθεται* V) MLVRC fort. recte *ἐν κοινῷ* Destinon 8 *συγκαθεζομένων*, *νγ* i. ras. A *καθεζομένων* V *ἀκόντων τῶν*] *ἄκων τῶν* L¹R *ἀκώντων τῶν* L² 9 *ἐννέα*] $\overline{ϑ}$ PA *ἢ* i. ras. A 11 *πρὸ ἡμέρας μιᾶς* tr. LVRC 12 *μὴ*] *μηδὲ* LVRC *ἐναύσοιεν*] *ἐναφθεῖεν* PA¹ *ἐναφθῇ ἐν* ex corr. A *ἅπτοιεν* (h. e. *ἐνάπτοιεν*) i. marg. LR *ἐκείνην τὴν ἡμέραν* A 13 § 148 breuiat Porphyrius *δὲ* LVRC 14 *ὀρύξαντες* Porphyr *βάθος*] *εἰς βάθος* Porphyr *σκαλίδη* V¹ 15 *τοιοῦτον* — *νεοσυστάτοις*] *quam* (*dolabram*) *tradi nuper accedentibus diximus* Lat 16 *καὶ περικαλύψαντες*] *περικαλύψαντες δὲ* Porphyr *θοιμάτιον*] *ἱμάτιον* PAM *τὸ ἱμάτιον* V *θυμάτιον* RC¹ *θοιματίῳ* Porphyr *demissa ueste* (*sese diligentissime contegentes*) Lat *τὰς αὐγὰς*] *ταῖς αὐγαῖς* Porphyr *ὑβρίζοιεν*] *ἐνυβρίζειν* Porphyr 17 *τοῦ θεοῦ*] *τοὺς θεοὺς* Porphyrii codd. *θακεύουσιν*] *θακεύωσιν* V¹ *καθίζουσι* i. marg. adnotat R 18 *εἰς*] *εἰσ* · · P

τόπους ἐκλεγόμενοι. καίπερ δὴ φυσικῆς οὔσης τῆς τῶν λυμάτων ἐκκρίσεως ἀπολούεσθαι μετ' αὐτὴν καθάπερ μεμιασμένοις ἔθιμον.

10. *Διήρηνται δὲ καὶ κατὰ χρόνον τῆς ἀσκήσεως εἰς μοίρας τέσ-* 150
σαρας, καὶ τοσοῦτον οἱ μεταγενέστεροι τῶν προγενεστέρων ἐλαττοῦνται, ὥστ' εἰ ψαύσειαν αὐτῶν, ἐκείνους ἀπολούεσθαι καθάπερ ἀλλοφύλῳ συμφορέντας. καὶ μακρόβιοι μέν, ὡς τοὺς πολλοὺς ὑπὲρ 151
ἑκατὸν παρατείνειν ἔτη, διὰ τὴν ἁπλότητα τῆς διαίτης ἔμοιγε δοκεῖν καὶ τὴν εὐταξίαν. καταφρονηταὶ δὲ τῶν δεινῶν, καὶ τὰς μὲν ἀλγη-
δόνας νικῶντες τοῖς φρονήμασιν, τὸν δὲ θάνατον, εἰ μετ' εὐκλείας προσεισι, νομίζοντες ἀθανασίας ἀμείνονα. διήλεγξεν δὲ αὐτῶν ἐν 152
ἅπασιν τὰς ψυχὰς ὁ πρὸς Ῥωμαίους πόλεμος. ἐν ᾧ στρεβλούμενοί τε καὶ λυγιζόμενοι καιόμενοί τε καὶ κλώμενοι καὶ διὰ πάντων ὁδεύοντες τῶν βασανιστηρίων ὀργάνων, ἵν' ἢ βλασφημήσωσιν τὸν
νομοθέτην ἢ φάγωσίν τι τῶν ἀσυνήθων, οὐδέτερον ὑπέμειναν παθεῖν. ἀλλ' οὐδὲ κολακεῦσαί ποτε τοὺς αἰκιζομένους ἢ δακρῦ-
σαι. μειδιῶντες δὲ ἐν ταῖς ἀλγηδόσιν καὶ κατειρωνευόμενοι τῶν 153
τὰς βασάνους προσφερόντων εὔθυμοι τὰς ψυχὰς ἠφίεσαν ὡς πάλιν κομιούμενοι.

11. *Καὶ γὰρ ἔρρωται παρ' αὐτοῖς ἥδε ἡ δόξα, φθαρτὰ μὲν* 154
εἶναι τὰ σώματα καὶ τὴν ὕλην οὐ μόνιμον αὐτῶν, τὰς δὲ ψυχὰς

PAMLVRC Lat Porphyrius de abstin. IV 13 Eusebius praep. euang. IX 3.
1 δή] om. PA οὖν M δὲ cod. Coislin. m. 2 καίπερ δή] *et nempe cum* Lat λυμάτων] PA et ut uid. Lat σωματικῶν λυμάτων MLVRC
2 ἀπολούεσθαι — 4 ἀσκήσεως om. L i. marg. suppl. L² μεμασμένοις L μεμιασμένοις, ασ ex αν corr. uid. A βεβλαμμένοις, α ex η corr. V μεμιαμμένοις RC et i. marg. V 4 §§ 150 et 151 breuiat Porphyr τέσσαρας] δ PA ἐλατοῦνται V¹ 6 ὥστε LVRC ψαύσειεν P 7 συμφορέντεσ PA¹ 8 ἑκατὸν] ρ P διὰ — 9 εὐταξίαν] *propter simplicitatem scilicet victus, quod eis nimirum accidere puto propter institutionem bene in omnibus ordinatam* Lat διαίτης] διαι C¹ δοκεῖ PAMV 9 καὶ (ante τὰς) spurium putat Destinon 10 νικῶντεσ C 11 πρόσεισι] προσίοι LVRC ἀμείνω LVRC διήλεξεν A¹ δ' C 12 ἐν ᾧ — 14 ὀργάνων] *tunc siquidem per artuum confractiones et ignes ac per tormenta omnigena transeuntes* Lat 13 τε om. LVRC Porphyr λογιζόμενοι L¹ καόμενοί Porphyr κλόμενοι R 14 ἵν'] ἵνα LVRC, om. Porphyrii codd. 15 τι om. Porphyrii codd. οὐδέτερον] PAM Porphyr οὐδετερόν τι LRC οὐδέτερόν τι τῶν ἀσυνήθων V παθεῖν om. Porphyr 17 δ' Porphyr κατειρονευόμενοι (κὰ s.) A προφερόντων L¹ 20 ἔρωται V¹ 21 αὐτῶν] PA Lat Porphyr αὐτοῖσ MLVRC

ἀθανάτους ἀεὶ διαμένειν, καὶ συμπλέκεσθαι μὲν ἐκ τοῦ λεπτοτάτου φοιτώσας αἰθέρος ὥσπερ εἱρκταῖς τοῖς σώμασιν ἴυγγί τινι φυσικῇ
155 κατασπωμένας, ἐπειδὰν δὲ ἀνεθῶσι τῶν κατὰ σάρκα δεσμῶν, οἷα δὴ μακρᾶς δουλείας ἀπηλλαγμένας τότε χαίρειν καὶ μετεώρους φέρεσθαι. καὶ ταῖς μὲν ἀγαθαῖς ὁμοδοξοῦντες παισὶν Ἑλλήνων ἀποφαίνονται τὴν ὑπὲρ ὠκεανὸν δίαιταν ἀποκεῖσθαι καὶ χῶρον οὔτε ὄμβροις οὔτε νιφετοῖς οὔτε καύμασι βαρυνόμενον, ἀλλ' ὃν ἐξ ὠκεανοῦ πραΰς ἀεὶ ζέφυρος ἐπιπνέων ἀναψύχει· ταῖς δὲ φαύλαις ζοφώδη καὶ χειμέριον ἀφορίζονται μυχὸν γέμοντα τιμωριῶν ἀδιαλείπτων.
156 δοκοῦσι δέ μοι κατὰ τὴν αὐτὴν ἔννοιαν Ἕλληνες τοῖς τε ἀνδρείοις αὐτῶν, οὓς ἥρωας καὶ ἡμιθέους καλοῦσιν, τὰς μακάρων νήσους ἀνατεθεικέναι, ταῖς δὲ τῶν πονηρῶν ψυχαῖς καθ' ᾅδου τὸν ἀσεβῶν χῶρον, ἔνθα καὶ κολαζομένους τινὰς μυθολογοῦσιν, Σισύφους καὶ Ταντάλους Ἰξίονάς τε καὶ Τιτυούς, πρῶτον μὲν ἀιδίους ὑφιστάμενοι τὰς ψυχάς, ἔπειτα εἰς προτροπὴν ἀρετῆς καὶ κακίας ἀποτροπήν.
157 τούς τε γὰρ ἀγαθοὺς γίνεσθαι κατὰ τὸν βίον ἀμείνους ἐλπίδι τιμῆς καὶ μετὰ τὴν τελευτήν, τῶν τε κακῶν ἐμποδίζεσθαι τὰς ὁρμὰς δέει προσδοκώντων, εἰ καὶ λάθοιεν ἐν τῷ ζῆν, μετὰ
158 τὴν διάλυσιν ἀθάνατον τιμωρίαν ὑφέξειν. ταῦτα μὲν οὖν Ἐσσηνοὶ περὶ ψυχῆς θεολογοῦσιν ἄφυκτον δέλεαρ τοῖς ἅπαξ γευσαμένοις τῆς σοφίας αὐτῶν καθιέντες.

§ 154 cf. Ant. Iud. XVIII 18.

PAMLVRC Lat Porphyrius de abstin. IV 13 Eusebius praep. euang. IX 3 Cedrenus I p. 350 Bonn.

1 *λεπτοτάτου*] LVRC Lat Porphyr *λαμπροτάτου* PAM 2 *ὥσπερ* — 3 *κατασπωμένας*] *ῥύμῃ φυσικῇ κατασπωμένας* Porphyr *εἱρκταῖς* PL¹VC *ἴυγγι*] *ἴλιγγι* P *ἵλιγγι* A *ἴλυγγι* V¹ *illecebra* Lat *τινι*] *τινι τῇ* L¹V 3 *οἷα*] *οἷον* AMLVRPorphyr 4 *ἀπηλλαγμένας* A¹C¹ 5 *καὶ* — 21 *καθιέντες* om. Porphyr *ὁμοδοξοῦνταισ* A *παισὶν*] *sententiis* Lat *ἀποφαίνονται* — 6 *ἀποκεῖσθαι*] *pronuntiant ultra oceanum degere, ubi eis sit reposita perfructio* Lat 6 *ἀποκεῖσθαι*] *ἀπωκίσθαι* M *ἀποικεῖσθαι* V 7 *ὃν* om. PA 10 *ἐπιψύχει* M 9 *ἀφοριζοντε* A *μοιχὸν* A *γέμοντα, μον* i. ras. minore m. 2 V *γέμοντα* — *ἀδιαλείπτων*] (*loca*) *plena gemitibus exercendarum sine fine poenarum* Lat 11 *αὐτῶν, ῶ* corr. ex *οῦ* uid. A *καὶ* om. cod. Coislin.

μακάρ·ων, eras. *ι* A 12 *ἀποτεθεικέναι* C *τὸν*] *τῶν* PLV *τὸν τῶν* M 13 *καὶ* om. L 14 *Ἰξίονάς τε*] *ἠξίονάσ τε* P *καὶ ἰξίονασ* (*ἰξ* i. ras. m. 2 V *ἰξίωνασ* C) LVRC *τιτοιοὺσ* P *ἀϊδίουσ, υ* ex *ι* corr. m. 2 L *πρῶτον μὲν*] *principio* Lat 15 *ἔπειτα*] *utique* Lat *εἰς*] *ὡσ* P 18 *δέει*] *τῶ δέει* VC *προσδοκόντων* P *ἐν*] s. A om. C 19 *ταῦτα*] *τάδε* ALVRC 21 *καθιέντες*] *ἐγκαθιέντεσ* LVRC fort. rectius

12. *Εἰσὶν δ' ἐν αἱρέσεσι οἱ καὶ τὰ μέλλοντα προγινώσκειν ἐν-* 159
ισχυοῦνται, βίβλοις ἱεραῖς καὶ διαφόροις ἁγνείαις καὶ προφητῶν
ἀποφθέγμασιν ἐμπαιδοτριβούμενοι· σπάνιον δ' εἴ ποτε ἐν ταῖς
προαγορεύσεσιν ἀστοχοῦσιν.

13. *Ἔστιν δὲ καὶ ἕτερον Ἐσσηνῶν τάγμα, δίαιταν μὲν καὶ ἕθη* 160
καὶ νόμιμα τοῖς ἄλλοις ὁμοφρονοῦν, διεσιὼς δὲ τῇ κατὰ γάμον
δόξῃ· μέγιστον γὰρ ἀποκόπτειν οἴονται τοῦ βίου μέρος, τὴν δια-
δοχήν, τοὺς μὴ γαμοῦντας, μᾶλλον δέ, εἰ πάντες τὸ αὐτὸ φρονή-
σειαν, ἐκλιπεῖν ἂν τὸ γένος τάχιστα. δοκιμάζοντες μέντοι τριετίᾳ 161
τὰς γαμετάς, ἐπειδὰν τρὶς καθαρθῶσιν εἰς πεῖραν τοῦ δύνασθαι
τίκτειν, οὕτως ἄγονται. ταῖς δ' ἐγκύμοσιν οὐχ ὁμιλοῦσιν, ἐνδεικνύ-
μενοι τὸ μὴ δι' ἡδονὴν ἀλλὰ τέκνων χρείαν γαμεῖν. λουτρὰ δὲ
τοῖς γυναιξὶν ἀμπεχομέναις ἐνδύματα, καθάπερ τοῖς ἀνδράσιν ἐν
περιζώματι. τοιαῦτα μὲν ἔθη τοῦδε τοῦ τάγματος.

14. *Δύο δὲ τῶν προτέρων Φαρισαῖοι μὲν οἱ μετὰ ἀκριβείας* 162
δοκοῦντες ἐξηγεῖσθαι τὰ νόμιμα καὶ τὴν πρώτην ἀπάγοντες αἵρεσιν
εἱμαρμένῃ τε καὶ θεῷ προσάπτουσι πάντα, καὶ τὸ μὲν πράττειν 163

§ 162 cf. Ant. Iud. XVIII 13.

PAMLVRC Lat Porphyrius de abstin. IV 13 Eusebius praep. euang. IX 3 Cedrenus I p. 350 Bonn.

1 incipit denuo Porphyrius cum Cedreno *δὲ* LVRC 2 *ἁγνείαισ* L¹V 3 *ἐμπεδοτριβούμενοι* C¹ *δ' εἴ*] *δή* P *δὲ εἴ* LVRCPorphyr apud Euseb *μέντοι* (omisso *ποτε*) Porphyrii codd. 4 *προ · αγορεύσεσιν* R *ἀστοχοῦσιν*] PMPorphyr *ἀστοχήσουσιν* (*ν* s. A) ALVRC *ἀστοχοῦσιν* finit Porphyr 5 *καὶ* om. V *δίαιταν*] *ὃ δίαιταν* (*δίαιτα* V) L¹VRC 6 *τοὺσ ἄλλουσ* L¹ *διεστὸσ* L¹R 7 *δόξῃ, δό* i. ras. A *ἀποκόπτει* V¹ *μέρο · σ*, eras. *ν* LC 8 *μᾶλλον δὲ* — 9 *τάχιστα*] *quippe si in eandem omnes uelint ire sententiam, defecturum confestim genus humanum fore* Lat, quem *μέλλειν* pro *μᾶλλον* legisse putat Destinon *φρονήσειεν* PAM 9 *ἐκλειπεῖν* P *ἐκλείπειν* AMR¹ *ἂν*] *ἅπαν* LVRC *δοκιμάζοντεσ* — 11 *τίκτειν*] *nihilominus tamen cum tanta ipsi moderatione conueniunt, ut per triennium explorent ualitudinem feminarum, ac si constanti purgatione apparuerint idoneae partui* Lat *τριετίαν* VC *εὐεξίᾳ* Naber 10 *τρεῖσ* PA 11 *δὲ* LVRC *ἐγκύμοσι* PA¹ *ἐνδεικνύμενοι*] *ἐκδεικνύμενοι* R *δεικνῦντεσ* V 12 *χρεία* M *χάριν* Naber *γαμεῖν*] *γήμειν* LVR *λουτρὰ* — 14 *περιζώματι*] *lauantibus autem feminis ita ut uiris perizomatum inest amictus* Lat 13 *ἐν περιζώματι*] *ἐμπεριζώματα* MVC 15 *δύο* — *οἱ*] *duo autem priorum quasi ordines sunt, ex quibus pharisaei dicuntur qui* Lat *μετ'* A 16 *καὶ* — *αἵρεσιν*] *et hi primum dogma habent ut* Lat *ἐπάγοντεσ* Hudson 17 *εἱμαρμένη* LVR¹ *imarmenae* Lat *πράττει* C¹

τὰ δίκαια καὶ μὴ κατὰ τὸ πλεῖστον ἐπὶ τοῖς ἀνθρώποις κεῖσθαι. βοηθεῖν δὲ εἰς ἕκαστον καὶ τὴν εἱμαρμένην· ψυχήν τε πᾶσαν μὲν ἄφθαρτον, μεταβαίνειν δὲ εἰς ἕτερον σῶμα τὴν τῶν ἀγαθῶν μόνην,
164 τὰς δὲ τῶν φαύλων ἀιδίῳ τιμωρίᾳ κολάζεσθαι. Σαδδουκαῖοι δέ, τὸ δεύτερον τάγμα, τὴν μὲν εἱμαρμένην παντάπασιν ἀναιροῦσιν
165 καὶ τὸν θεὸν ἔξω τοῦ δρᾶν τι κακὸν ἢ ἐφορᾶν τίθενται· φασὶν δ' ἐπ' ἀνθρώπων ἐκλογῇ τό τε καλὸν καὶ τὸ κακὸν προκεῖσθαι καὶ κατὰ γνώμην ἑκάστου τούτων ἑκατέρῳ προσιέναι. ψυχῆς τε τὴν δια-
166 μονὴν καὶ τὰς καθ' ᾅδου τιμωρίας καὶ τιμὰς ἀναιροῦσιν. καὶ Φαρισαῖοι μὲν φιλάλληλοί τε καὶ τὴν εἰς τὸ κοινὸν ὁμόνοιαν ἀσκοῦντες, Σαδδουκαίων δὲ καὶ πρὸς ἀλλήλους τὸ ἦθος ἀγριώτερον αἵ τε ἐπιμιξίαι πρὸς τοὺς ὁμοίους ἀπηνεῖς ὡς πρὸς ἀλλοτρίους. τοιαῦτα μὲν περὶ τῶν ἐν Ἰουδαίοις φιλοσοφούντων εἶχον εἰπεῖν.

167 IX. 1. Τῆς Ἀρχελάου δ' ἐθναρχίας μεταπεσούσης εἰς ἐπαρχίαν οἱ λοιποί, Φίλιππος καὶ Ἡρώδης ὁ κληθεὶς Ἀντίπας, διῴκουν τὰς ἑαυτῶν τετραρχίας· Σαλώμη γὰρ τελευτῶσα Ἰουλίᾳ τῇ τοῦ Σεβαστοῦ γυναικὶ τήν τε αὐτῆς τοπαρχίαν καὶ Ἰάμνειαν καὶ τοὺς
168 ἐν Φασαηλίδι φοινικῶνας κατέλιπεν. μεταβάσης δὲ εἰς Τιβέριον τὸν Ἰουλίας υἱὸν τῆς Ῥωμαίων ἡγεμονίας μετὰ τὴν Αὐγούστου τελευτήν, ἀφιγμένου τῶν πραγμάτων ἔτεσιν ἑπτὰ καὶ πεντή-κοντα πρὸς δὲ μησὶν ἓξ καὶ ἡμέραις δύο, διαμείναντες ἐν ταῖς

§ 163 = Ant. Iud. XVIII 14; § 167 sq. = Ant. Iud. XVIII 27 sq. 31 sq. 36.

PAMLVRCLatHegesippus II 3 p. 126.

2 δὲ] τε PA *tamen* Lat καὶ] κατὰ C τε] δὲ LVRC Lat 3 δὲ] τε P σῶμα V μόνην] *solas* Lat 4 τὰς] τὴν LVRC ἀιδίῳ V 5 εἱμαρμένην LVR *imarmenen* Lat 6 κακὸν fort. spurium ἐφορᾶν] μὴ δρᾶν Grotius δὲ LVR καὶ — 8 προσιέναι] *et secundum uoluntatem propriam alterutrum unum quemque coniungi* Lat 8 κατὰ] κατὰ τὸ κατὰ L^1VRC ἑκάστου] ἑκάστω ML^1VRC ἑκατέρῳ] ἑκατέρων V ἑκάτερον Herwerden προσιέναι] προσίενται L^1 τὴν διαμονὴν om. Lat 9 καθ' ᾅδου] C καθόλου PAMLVR *generaliter* Lat 11 ἀλλήλους] ἀλλοτρίους Clericus ἄλλους Bekker αἵ τε — 12 ἀλλοτρίους] *et conuersatio eorum ita circa participes ut circa exteros inhumana* Lat 12 i. marg. ιγ C ἀλλοτρίους] τοὺς ἀλλοτρίους L τοιαῦτα, οι s. C 13 εἶχον εἰπεῖν] *dicenda repperi. nunc ad coeptum reuertar* Lat 14 i. marg. ιγ V δὲ LVRC ἐθναρχίας] *regno* Lat 15 καὶ] τε καὶ LVRC 16 αὐτῶν AM Ἰουλίᾳ] codd. Lat *Iuliae* Heg; uide supra I 566 17 ἰάμνιαν PAC ἰάμν·ιαν V 18 φασαήλιδι AMLVC φοινικῶνας V κατέλιπε MV κατέλειπεν R 19 τὸν om. C Ἰουλίας] *Iuliae* Heg τὴν] τὴν τοῦ P 20 ἑπτὰ καὶ πεντήκοντα] ξ καὶ ν PA 21 ἡμέραις, ισ i. ras. m. 2 V δύο] δυεῖν LVRC

τειραρχίας ὅ τε Ἡρώδης καὶ ὁ Φίλιππος, ὁ μὲν πρὸς ταῖς τοῦ Ἰορδάνου πηγαῖς ἐν Πανειάδι πόλιν κτίζει Καισάρειαν κάν τῇ κάτω Γαυλανιτικῇ Ἰουλιάδα, Ἡρώδης δ' ἐν μὲν τῇ Γαλιλαίᾳ Τιβεριάδα, ἐν δὲ τῇ Περαίᾳ φερώνυμον Ἰουλίας.

2. Πεμφθεὶς δὲ εἰς Ἰουδαίαν ἐπίτροπος ὑπὸ Τιβερίου Πιλᾶτος 169
νύκτωρ κεκαλυμμένας εἰς Ἱεροσόλυμα εἰσκομίζει τὰς Καίσαρος εἰ-
κόνας, αἳ σημαῖαι καλοῦνται. τοῦτο μεθ' ἡμέραν μεγίστην ταραχὴν 170
ἤγειρεν Ἰουδαίοις· οἵ τε γὰρ ἐγγὺς πρὸς τὴν ὄψιν ἐξεπλάγησαν ὡς
πεπατημένων αὐτοῖς τῶν νόμων, οὐδὲν γὰρ ἀξιοῦσιν ἐν τῇ πόλει
δείκηλον τίθεσθαι, καὶ πρὸς τὴν ἀγανάκτησιν τῶν κατὰ τὴν πόλιν
ἄθρους ὁ ἐκ τῆς χώρας λαὸς συνέρρευσεν. ὁρμήσαντες δὲ πρὸς 171
Πιλᾶτον εἰς Καισάρειαν ἱκέτευον ἐξενεγκεῖν ἐξ Ἱεροσολύμων τὰς
σημαίας καὶ τηρεῖν αὐτοῖς τὰ πάτρια. Πιλάτου δὲ ἀρνουμένου
περὶ τὴν οἰκίαν πρηνεῖς καταπεσόντες ἐπὶ πέντε ἡμέρας καὶ νύκτας
ἴσας ἀκίνητοι διεκαρτέρουν.

3. Τῇ δ' ἐξῆς ὁ Πιλᾶτος καθίσας ἐπὶ βήματος ἐν τῷ μεγάλῳ 172
σταδίῳ καὶ προσκαλεσάμενος τὸ πλῆθος ὡς ἀποκρινασθαι δῆθεν
αὐτοῖς θέλων, δίδωσιν τοῖς στρατιώταις σημεῖον ἐκ συντάγματος
κυκλώσασθαι τοὺς Ἰουδαίους ἐν τοῖς ὅπλοις. περιστάσης δὲ 173

---

§ 169 = Ant. Iud. XVIII 35. 55.

PAMLVRC Lat Hegesippus II 3 p. 126 Eusebius hist. eccl. II 6 Suidas s. *σημαῖαι*.

1 *καὶ φίλιππος* LVRC *τοῦ* om. LVRC 2 *πανειάδι* PA et ex corr. R, quare *Πανειάδι* fort. scribendum est *πόλιν*] *πόλει* P *κάν*] *καὶ* PA 3 *γαυλανητικῇ* P *Ἰουλιάδα*] *iuliam urbem* Heg *Ἡρώδης — Τιβεριάδα* om. C *δὲ* LVR *μὲν* om. PAM 4 *Περαίᾳ*] *beroea* Lat § 169. 170 excerpsit Suid. s. *σημαῖαι* 5 i. marg. *ιθ* VC *πεμφθεὶς*] incip. Eusebius *πιλάτος*, *π* et *λ* i. ras. L 6 *εἰσ Ἱεροσόλυμα* s. V *παρεισκομίζει* LVRC Euseb *intulit* Lat 7 *αἳ*] PAML²Suid, om. L¹VRC Euseb *αἳ — καλοῦνται* om. Lat 8 *Ἰουδαίοις*] PAML² *Ἰουδαίων* L¹VRC *τοῖς Ἰουδαίοις* Euseb *inter iudaeos* Lat *τε* om. Euseb *ἐγγὺς*] *ἐντὸς* Destinon 9 *τῶν νόμων* corr. ex *τὸν νόμον* A *τῶν νομίμων* Suid 10 *δείκηλον* PA *τίθεσθαι* fin. Eusebius 11 *ἀθροῦσ* L¹C *subito* Lat *ὁ* om. LVRC *λαοὺσ* C *συνέρευσεν*, *ε* ante *ν* i. ras. V 12 *Πιλᾶτον*] *τὸν πιλάτου* LVRC *ἱκέτευον*] *intentissime precabantur* Lat *ἐξ* om. LVRC 13 *δ'* C *ἀρνουμένου*] *supplicantibus abnuente* Lat 14 *οἰκίαν*] PALRLat *ιεσίαν* MVC *πρινεῖσ* R *καταπεσόντασ* P 15 *ἴσασ νύκτασ* tr. C 16 *δὲ* LVRC *τῇ δ' ἐξῆς*] *post autem* Lat *καθήσασ* AV¹ *ἐπὶ τοῦ βήματοσ* A 17 *ἀποκρίνεσθαι* L¹VRC 18 *τοῖστρατιώταισ* sic A 19 *ἐν* om. LVRC *δὲ*] *δὲ αὐτοῖσ* V

τριστιχεὶ τῆς φάλαγγος Ἰουδαῖοι μὲν ἀχανεῖς ἦσαν πρὸς τὸ ἀδόκητον τῆς ὄψεως, Πιλᾶτος δὲ κατακόψειν εἰπὼν αὐτούς, εἰ μὴ προσδέξαιντο τὰς Καίσαρος εἰκόνας, γυμνοῖν τὰ ξίφη τοῖς στρατιώταις
174 ἔνευσεν. οἱ δὲ Ἰουδαῖοι καθάπερ ἐκ συνθήματος ἀθρόοι καταπεσόντες καὶ τοὺς αὐχένας παραλίναντες ἑτοίμους ἀναιρεῖν σφᾶς ἐβόων μᾶλλον ἢ τὸν νόμον παραβῆναι. ὑπερθαυμάσας δὲ ὁ Πιλᾶτος τὸ τῆς δεισιδαιμονίας ἄκρατον ἐκκομίσαι μὲν αὐτίκα τὰς σημαίας Ἱεροσολύμων κελεύει.

175 4. Μετὰ δὲ ταῦτα ταραχὴν ἑτέραν ἐκίνει τὸν ἱερὸν θησαυρόν, καλεῖται δὲ κορβωνᾶς, εἰς καταγωγὴν ὑδάτων ἐξαναλίσκων· κατῆγεν δὲ ἀπὸ τετρακοσίων σταδίων. πρὸς τοῦτο τοῦ πλήθους ἀγανάκτησις ἦν, καὶ τοῦ Πιλάτου παρόντος εἰς Ἱεροσόλυμα περιστάντες
176 τὸ βῆμα κατεβόων. ὁ δέ, προϊδὼν γὰρ αὐτῶν τὴν ταραχήν, τῷ πλήθει τοὺς στρατιώτας ἐνόπλους ἐσθῆσιν ἰδιωτικαῖς κεκαλυμμένους ἐγκαταμίξας καὶ ξίφει μὲν χρῆσασθαι κωλύσας, ξύλοις δὲ παίειν τοὺς κεκραγότας ἐγκελευσάμενος σύνθημα δίδωσιν ἀπὸ τοῦ βή-
177 ματος. τυπτόμενοι δὲ οἱ Ἰουδαῖοι πολλοὶ μὲν ὑπὸ τῶν πληγῶν, πολλοὶ δὲ ὑπὸ σφῶν αὐτῶν ἐν τῇ φυγῇ καταπατηθέντες ἀπώλοντο. πρὸς δὲ τὴν συμφορὰν τῶν ἀνῃρημένων καταπλαγὲν τὸ πλῆθος ἐσιώπησεν.

§ 173 = Ant. Iud. XVIII 58.

PAMLVRC Lat Hegesippus II 3 p. 126 Eusebius hist. eccl. II 6 Suidas s. *κορβανᾶς*.

1 *τριστιχεῖ* PL²V¹ *τριστιχῇ* A *τριστοιχεὶ* MV² *τριστοιχῇ* C *τριστοιχεία* L¹R et i. marg. m. 2 V *οἱ Ἰουδαῖοι (Ἰδαῖοι* L) LVRC 2 *κατακόψειν*] *κατόψιν* P *κατ' ὄψιν* AM *αὐτοὺς*] *αὐτοῖς* PA *omnes* Lat *αὐτοὺς εἰπὼν* tr. L *προσδέξοιντο* V 4 *ἔνευσεν* LRC et i. marg. m. 2 V *ἐκέλευσεν* V 5 *καὶ τοὺς* — 6 *μᾶλλον*] *et ceruices nudatas ad excipiendos ictus pararunt uociferantes uniuersos se interfici magis uelle* Lat *ἀναιρεῖν*] *εἰσ ἀναίρεσιν* MLVRC 6 *ὁ* om. C 7 *δεισιδεμονίασ* V¹ 9 *μετὰ* — 11 *σταδίων* habet Suidas breuiata mutata *μετὰ*] incipit Eusebius *ἑτέραν ταραχὴν* tr. Euseb 10 *κορβωνᾶσ* PL² et ex corr. A *κορβανᾶσ* ML¹VRCSuid et Eusebii codd. quidam *κορβονᾶσ* Eusebii codd. antiquissimi *corban* Lat, cf. cont. Ap. I 167 *ἐξαλίσκων* L¹ *κατήγαγεν* (*-γε* M) PAM *κατῆει* Euseb *erat — inducenda* Lat 11 *τριακοσίων* Lat Euseb 13 *τῷ*] *καὶ τῶ* LR² *καὶ τὸ* VR¹ 14 *πλῆθοσ* V *ἐσθῆσιν*] VEuseb *ἐν ἐσθῆσιν* PAM *ἐσθήσεσιν* LRC *κεκαλλυμμένουσ* L¹ 15 *ξίφεσι* L cum Eusebii cod. Veneto fort. recte *gladiis* Lat 16 *τοὺς κεκραγότας* om. L 17 *δ'* AC *οἱ* om. V *ὑπὸ*] *ἀπὸ* Euseb 20 *ἐσιώπησεν* finit Euseb

5. *Κἂν τούτῳ κατήγορος Ἡρῴδου τοῦ τετραρχοῦντος Ἀγρίπ-* 178
πας υἱὸς Ἀριστοβούλου, ὃν ὁ πατὴρ Ἡρῴδης ἀπέκτεινεν, παραγί-
νεται πρὸς Τιβέριον. τοῦ δὲ μὴ προσδεξαμένου τὴν κατηγορίαν
μένον ἐπὶ Ῥώμης τούς τε ἄλλους τῶν γνωρίμων ἐθεράπευεν καὶ
μάλιστα τὸν Γερμανικοῦ παῖδα Γάιον ἰδιώτην ἔτι ὄντα. καὶ δή 179
ποτε ἑστιῶν αὐτὸν τά τε ἄλλα ποικίλως ἐφιλοφρονεῖτο καὶ τελευ-
ταῖον τὰς χεῖρας ἀναιδίνας φανερῶς ἠξίωσε θᾶττον αὐτὸν θεάσα-
σθαι τῶν ὅλων δεσπότην ἀποθανόντος Τιβερίου. τοῦτό τις τῶν 180
οἰκετῶν αὐτοῦ διαγγέλλει τῷ Τιβερίῳ, καὶ ὃς ἀγαναπήσας εἴργνυσιν
τὸν Ἀγρίππαν καὶ μετ' αἰκίας εἶχεν αὐτὸν ἐπὶ μῆνας ἓξ ἐν δεσμω-
τηρίῳ, μέχρις αὐτὸς ἐτελεύτησεν ἡγεμονεύσας ἔτι δύο πρὸς τοῖς
εἴκοσι καὶ τρεῖς ἡμέρας ἐπὶ μησὶν ἓξ.

6. *Ἀποδειχθεὶς δὲ Γάιος Καίσαρ ἀνίησίν τε τῶν δεσμῶν τὸν* 181
Ἀγρίππαν καὶ τῆς Φιλίππου τετραρχίας, θνήσκει γὰρ οὗτος, καθ-
ίστησι βασιλέα. παραγενόμενος δὲ εἰς τὴν ἀρχὴν Ἀγρίππας φθόνῳ
τὰς Ἡρῴδου τοῦ τετράρχου διήγειρεν ἐπιθυμίας. ἐνῆγε δὲ μάλιστα 182
τοῦτον εἰς ἐλπίδα βασιλείας Ἡρωδιὰς ἡ γυνὴ κατονειδίζουσα τὴν
ἀργίαν καὶ φαμένη παρὰ τὸ μὴ βούλεσθαι πλεῖν ἐπὶ Καίσαρα στε-
ρίσκεσθαι μείζονος ἀρχῆς· ὅπου μὲν γὰρ Ἀγρίππαν ἐξ ἰδιώτου
βασιλέα πεποίηκεν, ἦπου γ' ἂν ἐκεῖνον διστάσειεν ἐκ τετράρχου;

---

§ 178 sq. cf. Ant. Iud. XVIII 126 sq. 166. 187. 224. § 181 = Ant. Iud. XVIII 237. § 182 = Ant. Iud. XVIII 241.

PAMLVRC Lat Hegesippus II 3 p. 126.

1 i. marg. *ιε'* VC *κἂν τούτῳ*] *atque ob hoc* Lat *τεταρχοῦντος* M 2 *παραγίνεται* om., post *τιβέριον* i. marg. suppletum man. rec. L 4 *ἄλλους*] *ἄλλους πάντας* V *ἐθεράπευσεν* A 5 *ἔτι*] om. P *adhuc* Lat *καὶ δή* — 6 *ἐφιλοφρονεῖτο καί*] *et quodam die inter copiosum epularum apparatum quibus eum demerebatur* Lat 8 *τις*] *eutychus* Heg ex Ant. XVIII 168 9 *διαγγέλλει* A *τῷ* om. LVRC *τιβερίῳ, ι* i. ras. A *ὃς*] *ὡς* L^1 *εἴργνυσι* PV^1C 10 *αὐτὸν* om. LVRC 12 *ἐπὶ μησὶν ἓξ* om. Lat 13 i. marg. *ις* VC *δὲ* euan. P *ἀνίεισίν* (— *σι* A) PA *τε* om. V *τὸν* om. L 14 *θνήσκει*] *τεθνήκει* AMLVRC *decesserat* Lat 15 *παραγενόμενος, ό* corr. ex *α* R et ut uid. L *ἀγρίπασ* A 17 *εἰς ἐλπίδα βασιλείας* s. P *ἐλπίδασ* VC 18 *στερίσκεται* L^1 19 *μειζόνως* C^1 *μὲν γὰρ*] *μὲν* P *γὰρ* MLVRC 20 *ἦπου — τετράρχου*] *quomodo dubitaret illum ex tetrarcha eodem honore donare* Lat *γ' ἄν*] *γὰν* ex *γε* corr. uid. P *γε ἄν* LVRC *διστάσειεν*] PAM *διαναστήσειεν* LVR *διαναστ*$^{\eta}$*σειεν*, eras. *α* C *εὕρηται καὶ διαναστήσειεν* i. marg. M *τετράρχου*] *τετραρχίασ* V

183 *τούτοις ἀναπεισθεὶς Ἡρώδης ἦκεν πρὸς Γάιον, ὑφ' οὗ τῆς πλεονεξίας ἐπιτιμᾶται φυγῇ εἰς Γαλλίαν· ἠκολούθησεν γὰρ αὐτῷ κατήγορος Ἀγρίππας, ᾧ καὶ τὴν τετραρχίαν τὴν ἐκείνου προσέθηκεν Γάιος. καὶ Ἡρώδης μὲν ἐν Γαλλίᾳ συμφυγούσης αὐτῷ καὶ τῆς γυναικὸς τελευτᾷ.*

184 X. 1. *Γάιος δὲ Καῖσαρ ἐπὶ τοσοῦτον ἐξύβρισεν εἰς τὴν τύχην, ὥστε θεὸν ἑαυτὸν καὶ δοκεῖν βούλεσθαι καὶ καλεῖσθαι τῶν τε εὐγενεστάτων ἀνδρῶν ἀκροτομῆσαι τὴν παιρίδα, ἐπεῖναι δὲ τὴν ἀσέ-*
185 *βειαν καὶ ἐπὶ Ἰουδαίαν. Πετρώνιον μὲν οὖν μετὰ στρατιᾶς ἐπὶ Ἱεροσολύμων ἔπεμψεν ἐγκαθιδρύσοντα τῷ ναῷ τοὺς ἀνδριάντας αὐτοῦ, προστάξας, εἰ μὴ δέχοιντο Ἰουδαῖοι, τούς τε κωλύοντας ἀνε-*
186 *λεῖν καὶ πᾶν τὸ λοιπὸν ἔθνος ἐξανδραποδίσασθαι. θεῷ δ' ἄρα τῶν προσταγμάτων ἔμελεν. καὶ Πετρώνιος μὲν σὺν τρισὶ τάγμασι καὶ πολλοῖς ἐκ τῆς Συρίας συμμάχοις εἰς τὴν Ἰουδαίαν ἦλαυνεν ἐκ*
187 *τῆς Ἀντιοχείας. Ἰουδαίων δὲ οἱ μὲν ἠπίστουν ἐπὶ ταῖς τοῦ πολέμου φήμαις, οἱ δὲ πιστεύοντες ἦσαν ἐν ἀμηχάνῳ πρὸς τὴν ἄμυναν· ταχὺ δ' ἐχώρει διὰ πάντων τὸ δέος ἤδη παρούσης εἰς Πτολεμαΐδα τῆς στρατιᾶς.*

188 2. *Πόλις δ' ἐστὶν αὕτη τῆς Γαλιλαίας παράλιος κατὰ τὸ μέγα*

§ 183 = Ant. Iud. XVIII 252; § 185 = Ant. Iud. XVIII 261.

PAMLVRC Lat Hegesippus II 5 p. 130 Exc Peiresc.

1 *τούτοι* C¹ *Ἡρώδης*] *ἡρώδσ τοῖσ λόγοισ* V *ἦκεν* AL¹ *γάιον, ι* i. ras. 2 litt. A 2 *ἐπιτιμᾶτε* A *Γαλλίαν*] Niese ex Ant. Iud. XVIII 252 *σπανίαν* PC et ex corr. L *πανίαν* AL¹ *ἰσπανίαν* (*ἰσπ* — MR) MVRLatHeg *αὐτῷ*] ex *αὐτὸν* corr. V om. Lat 4 *Γαλλίᾳ*] Niese *σπανίᾳ* PALC *ἰσπανίᾳ* (*ἰσπ* — MR) MVRLatHeg *αὐτῷ*] *αὐτῶν* V¹ 5 *τελευτᾷ* · V 6 *Γάιος* incip. Exc. i. marg. *ιζ'* VC 7 *ὥστε — καλεῖσθαι*] *ut etiam et deum se putaret et uellet uocari* Lat *dominum se et deum uideri atque appellari uolens* Heg *θεὸν*] PAMExc *θεὸν μὲν* LVRC *ἑαυτὸν*] PAMExc *αὐτὸν* L²V *αὐτὸν* L¹RC *καὶ δοκεῖν*] *δοκεῖν καὶ* PAMExc *καὶ δοκεῖν καὶ* LVRC *τε*] *δε* Exc 9 *Ἰουδαίαν*] PLat *ἰουδαίασ* L¹ *ἰουδαίουσ* AML²VRCExc *μὲν οὖν*] PAMExc *γοῦν* LVRC *denique* Lat 10 *ἐγκαθιδρύσαντα* PALVR¹ *τῷ ναῷ* i. ras. A 11 *προστάξας*] *προστάξασ ὅτι* (*ὅτι* s.) A *δέχοιντο*] PAMExc *δέξοιντο* LVR *δέξαιντο* C 12 *ἀνδραποδίσασθαι* V *θεῷ — 13 ἔμελεν*] *permouebat autem hoc profecto deum* Lat *δ'*] PAExc *δὲ* MLVRC *ἔμελλε* (— *εν* PExc) PLVRExc *ἔμμελε* C *σὺν*] *αὐτοῖσ* Exc 14 *συμάχοισ* A *τὴν* om. Exc 15 *Ἀντιοχείας*] *ἀντιοχείασ καὶ πόλεμον ἤγειρεν* finiunt Exc *δὲ*] *μὲν* A *ἐπὶ*] PAMLat *ἔτι* LVRC 17 *παρούσης*] Dindorf *γὰρ οὔσησ* codd. *εἰσ τὴν πτολεμαΐδα* LRC 19 *Πόλις δ' ἐστὶν*] PAMLat *πρόσεστιν ἡ πόλισ* L¹R¹ *ἔστι δὲ πόλισ* L² *πρόσεστι δὲ* (*δ'* CLips) *ἡ πόλισ* VR²C Lips

πεδίον ἐκτισμένη, περιέχεται δὲ ὄρεσιν ἐκ μὲν τοῦ πρὸς ἀνατολὴν κλίματος ἀπὸ σταδίων ἑξήκοντα τῇ τῆς Γαλιλαίας, ἀπὸ δὲ τοῦ μεσημβρινοῦ τῷ Καρμήλῳ διέχοντι σταδίους ἑκατὸν εἴκοσι, τῷ δ' ὑψηλοτάτῳ κατ' ἄρκτον, ὃ καλοῦσιν κλίμακα Τυρίων οἱ ἐπιχώριοι· καὶ τοῦτο δὲ σταδίους ἀφέστηκεν ἑκατόν. τοῦ δ' ἄστεως ὅσον ἀπὸ 189
δύο σταδίων ὁ καλούμενος Βήλεος ποταμὸς παραρρεῖ πανταπασιν ὀλίγος, παρ' ᾧ τὸ Μέμνονος μνημεῖόν ἐστιν ἔχον ἐγγὺς αὐτοῦ τόπον ἑκατονταπήχη θαύματος ἄξιον· κυκλοτερὴς μὲν γάρ ἐστιν καὶ κοῖλος. 190
ἀναδίδωσιν δὲ τὴν ἑλίνην ψάμμον, ἣν ὅταν ἐκκενώσῃ πολλὰ πλοῖα προσσχόντα, πάλιν ἀντιπληροῦται τὸ χωρίον, καταισυρόντων μὲν ὥσπερ ἐπίτηδες τότε τῶν ἀνέμων εἰς αὐτὸ τὴν ἔξωθεν ἀρχὴν ψάμμον, τοῦ δὲ μετάλλου πᾶσαν εὐθέως μεταβάλλοντος εἰς ὕελον. θαυ- 191
μασιώτερον δὲ τούτου μοι δοκεῖ τὸ τὴν ὑπερχυθεῖσαν ὕελον ἐκ τοῦ τόπου πάλιν ψάμμον γίνεσθαι εἰκαίαν. τὸ μὲν οὖν χωρίον τοῦτο τοιαύτην εἴληχεν φύσιν.

3. Ἰουδαῖοι δὲ μετὰ γυναικῶν καὶ τέκνων ἀθροισθέντες εἰς τὸ 192
πεδίον τὸ πρὸς Πτολεμαΐδι καθικέτευον τὸν Πετρώνιον ὑπὲρ τῶν πατρίων νόμων πρῶτον, ἔπειτα ὑπὲρ αὐτῶν. ὁ δὲ πρός τε τὸ πλῆθος καὶ τὰς δεήσεις ἐνδοὺς τοὺς μὲν ἀνδριάντας καὶ τὰς στρα- 193
τιὰς ἐν Πτολεμαΐδι λείπει, προελθὼν δὲ εἰς τὴν Γαλιλαίαν καὶ

§ 192 = Ant. Iud. XVIII 263.

PAMLVRCLat.

1 περιέχεται A 2 ἑξήκοντα] ξ̄ PA τῷ om. L¹V 3 ἑκατὸν] ρ̄ P δὲ ALVRC 4 τύρων C καλοῦσιν] *uocant etiam* Lat 5 στα · δίους A ἑκατόν] ρ̄ PA δὲ PLVRC ἄστεως MC¹ ὅσον] om. L¹VRC *quasi* Lat 6 Βήλεος L¹RV et ex corr. P ὁ βήλεος P¹ ὁ βήλεσ A βίλλαιος M βήλαιος (αι ex corr. C)L²C (*quem uocant*) *beleum* Lat *Belus* apud Plinium h. n. XXXVI 190 6 παραρεῖ V 7 τὸ] τότε A ἔχων AL¹C 8 ἑκατονταπήχη, τοντα s. A ἑκατοντάπηχυν C κυκλοτερὴς, κν s. A κυκλοτερὴς — κοῖλος] *est enim species uallis rotundae* Lat 9 δὲ] τε PA ὑελίνην, ε i. ras. m. 2 L ὑαλίνην VRC ἣν ex ἵν corr. A 10 προσσχόντα] Dindorf προσχόντα codd. *pariter accedentes* Lat ἀναπληροῦται C καταισυρόντων — 12 ὕελον] *uenti siquidem quasi dedita opera conuehunt illuc de circumstantibus superciliis arenam istam utique communem, locus autem metalli statim in uitrum quod susceperat mutat* Lat ut uid. 12 μετάλλου PA¹ μεταβάλλοντος A¹ ὕελον] PAML² ὕαλον (α ex corr. V) L¹VR ὕαλλον C θαυμασιώτερον δὲ] ex corr. A θαυμασιώτερον PA¹MLVRC *mirabilius quoque* Lat 13 τούτου] τοῦτο PACLat τὸ om. C ὕαλον L¹VRC 14 γίνεσθαι (γενέσθαι L¹V) ψάμμον tr. LVRC 15 εἴληφε LVRC 17 πτολεμαΐδα ALVRC 18 πατρίων, ι ex ο corr. A αυτῶν P αὐτῶν AM¹ ἑαυτῶν LVRC (*pro*) *suo statu* Lat ὁ δὲ — 19 ἐνδοὺς] *ille autem ob multitudinem precantium et precum inflexus* Lat 19 τοὺς — στρατιὰς] τὴν μὲν στρατιὰν καὶ τοὺσ ἀνδριάντας LVRCLat καὶ τὰ]ς μετὰ τῆς Destinon 20 λείπει] καταλείπει LVRC προελθὼν PAMLVR

συγκαλέσας τό τε πλῆθος καὶ τοὺς γνωρίμους πάντας εἰς Τιβεριάδα τήν τε Ῥωμαίων διεξῇει δύναμιν καὶ τὰς Καίσαρος ἀπειλάς, ἔτι δὲ
194 τὴν ἀξίωσιν ἀπέφαινεν ἀγνώμονα· πάντων γὰρ τῶν ὑποτεταγμένων ἐθνῶν κατὰ πόλιν συγκαθιδρυκότων τοῖς ἄλλοις θεοῖς καὶ τὰς Καίσαρος εἰκόνας τὸ μόνους ἐκείνους ἀντιτάσσεσθαι πρὸς τοῦτο σχεδὸν ἀφισταμένων εἶναι καὶ μεθ' ὕβρεως.

195 4. Τῶν δὲ τὸν νόμον καὶ τὸ πάτριον ἔθος προτεινομένων καὶ ὡς οὐδὲ θεοῦ τι δείκηλον, οὐχ ὅπως ἀνδρός, οὐ κατὰ τὸν ναὸν μόνον ἀλλ' οὐδὲ ἐν εἰκαίῳ τινὶ τόπῳ τῆς χώρας θέσθαι θεμιτὸν εἴη, ὑπολαβὼν ὁ Πετρώνιος „ἀλλὰ μὴν καὶ ἐμοὶ φυλακτέος ὁ τοὐμοῦ δεσπότου νόμος", ἔφη· „παραβὰς γὰρ αὐτὸν καὶ φεισάμενος ὑμῶν ἀπολοῦμαι δικαίως. πολεμήσει δ' ὑμᾶς ὁ πέμψας με καὶ
196 οὐκ ἐγώ· καὶ γὰρ αὐτός, ὥσπερ ὑμεῖς, ἐπιτάσσομαι." πρὸς ταῦτα τὸ πλῆθος πάντ' ἐβόα πρὸ τοῦ νόμου πάσχειν ἑτοίμως ἔχειν. καταστείλας δ' αὐτῶν ὁ Πετρώνιος τὴν βοήν, „πολεμήσετε, εἶπεν, ἄρα
197 Καίσαρι;" καὶ Ἰουδαῖοι περὶ μὲν Καίσαρος καὶ τοῦ δήμου τῶν Ῥωμαίων δὶς τῆς ἡμέρας θύειν ἔφασαν, εἰ δὲ βούλεται τὰς εἰκόνας ἐγκαθιδρύειν, πρότερον αὐτὸν δεῖν ἅπαν τὸ Ἰουδαίων ἔθνος προθύσασθαι· παρέχειν δὲ σφᾶς αὐτοὺς ἑτοίμους εἰς τὴν σφαγὴν ἅμα
198 τέκνοις καὶ γυναιξίν. ἐπὶ τούτοις θαῦμα καὶ οἶκτος εἰσῄει τὸν Πετρώνιον τῆς τε ἀνυπερβλήτου θρησκείας τῶν ἀνδρῶν καὶ τοῦ πρὸς θάνατον ἑτοίμου παραστήματος. καὶ τότε μὲν ἄτρακτοι διελύθησαν.

§ 193 = Ant. Iud. XVIII 269.

PAMLVRC Lat.

1 *τό τε*] τὸ LVRC ἅπαντας V *εἰσ τὴν τιβεριάδα* VRC 2 *ῥωμαίων, ῥω* ex *ῥαι* corr. uid. P *διέξῇει* A *δὲ*] *δὲ* (s. V) *καὶ* LVRC 3 *ἀπέφενεν* P *ἀπέφηνεν* AMLVRC 4 *συγκαθιδρυσάντων* M 6 *ἀ · φισταμένων* L *καὶ — ὕβρεως*] *etiam cum iniuria praesidentis* Lat *μεθ'*] *μεστὸν* Bekker 7 *πάτριοσ* M *προτειναμένων* LVRC *καὶ* spurium putat Destinon 8 *θεοῦ*] *θεῶ* PA *δίκηλον* P¹A *δείκιλον* C¹ *ν · αὸν, α* ex corr. V 9 *εἰκαίω, εἰ* s. P 10 *εἴη - ·, ι* ex *ῑ* corr. V *ὁ*] *δὲ ὁ* PA *κἀμοὶ* LVRC *φυλακτέον* P *φυλακταῖοσ* L¹VR 11 *τοῦ ἐμοῦ* C² 12 *δὲ* LVRC *ἐμὲ* ALVRC *καὶ* om. C 13 *ἐγὼ, ε* corr. ex *α* m. 2 L *αὐτὸς*] *καὶ αὐτὸσ* V *ἐπιτάσσομαι*] *cogor implere quae iussa sunt* Lat *ταῦτα*] *ταῦτα γὰρ* C 14 *πάντ'*] *πᾶν* LVRC *πᾶν πάντ'* ut uid. Lat, in quo est *tota multitudo unanimiter succlamauit — se omnem subire perniciem* ἔχει V¹ 15 *δ'*] *τε* P *δὲ* LVRC *ὁ πετρώνιοσ αὐτῶν* tr. LVRC *πολε · μήσετε* (*ε* finale i. ras.) A *πολεμήσαιτε* V² *ἆρα* MRC 16 *μὲν περὶ* tr. PA *τοῦ καίσαροσ* AM et ex corr. P 19 *αὐτοὶσ* P *τὴν* om. LVRC 20 *τούτοις* ex *τοῦτο* corr. A *εἰσίει* R 21 *τῶν ἀνδρῶν θρησκείασ* tr. M

5. *Ταῖς δ' ἐξῆς ἀθρόους τε τοὺς δυνατοὺς κατ' ἰδίαν καὶ τὸ* 199
πλῆθος ἐν κοινῷ συλλέγων ποτὲ μὲν παρεκάλει, ποτὲ δὲ συνεβού-
λευεν, τὸ πλέον μέντοι διημείλιε τήν τε Ῥωμαίων ἐπανατεινόμενος
ἰσχὺν καὶ τοὺς Γαΐου θυμοὺς τήν τε ἰδίαν πρὸς τούτοις ἀνάγκην.
πρὸς δὲ μηδεμίαν πεῖραν ἐνδιδόντων ὡς ἑώρα καὶ τὴν χώραν κιν- 200
δυνεύουσαν ἄστοργον μεῖναι, κατὰ γὰρ ὥραν σπόρου πεντήκοντα
ἡμέρας ἀργὰ προσδιέτριβεν αὐτῷ τὰ πλήθη, τελευταῖον ἀθροίσας
αὐτοὺς καὶ „παρακινδυνευτέον ἐμοὶ μᾶλλον, εἰπών, ἢ γὰρ τοῦ θεοῦ 201
συνεργοῦντος πείσας Καίσαρα σωθήσομαι μεθ' ὑμῶν ἡδέως ἢ παρ-
οξυνθέντος ὑπὲρ τοσούτων ἑτοίμως ἐπιδώσω τὴν ἐμαυτοῦ ψυχήν", διαφῆκεν τὸ πλῆθος πολλὰ κατευχομένων αὐτῷ, καὶ παραλαβὼν
τὴν στρατιὰν ἐκ τῆς Πτολεμαΐδος ὑπέστρεψεν εἰς τὴν Ἀντιόχειαν.
ἔνθεν εὐθέως ἐπέστελλεν Καίσαρι τήν τε ἐμβολὴν τὴν εἰς Ἰουδαίαν 202
ἑαυτοῦ καὶ τὰς ἱκεσίας τοῦ ἔθνους, ὅτι τε, εἰ μὴ βούλεται πρὸς
τοῖς ἀνδράσιν καὶ τὴν χώραν ἀπολέσαι, δέοι φυλάττειν τε αὐτοὺς
τὸν νόμον καὶ παριέναι τὸ πρόσταγμα. ταύταις ταῖς ἐπιστολαῖς οὐ 203
σφόδρα μετρίως ἀντέγραψεν ὁ Γάιος, ἀπειλῶν Πετρωνίῳ θάνατον,
ὅτι τῶν προσταγμάτων αὐτοῦ βραδὺς ὑπηρέτης ἐγίνετο. ἀλλὰ τοὺς
μὲν τούτων γραμματοφόρους συνέβη χειμασθῆναι τρεῖς μῆνας ἐν

§ 199 = Ant. Iud. XVIII 276.

PAMLVRC Lat.

1 *ταῖς — 2 συλλέγων*] *postridie autem ac deinceps summates eorum priuatim uiritimque compellans populum quoque publice alloquens* Lat *ταῖς*] *τῇ* PAM *δὲ* LVRC *ἀθροίσας* ed. pr. 2 *συλλέγων*] *συλλεγέντων* P *συλλεγέντων* A *συλλεγὲν* Destinon *ποτὲ μὲν — συνεβούλευεν*] *tunc quasi consulens admonebat* Lat *μὲν* i. ras. A *δὲ* i. ras. 3 litt. A 3 *μέντοι πλέον* tr. LVRC *interdum etiam* Lat 4 *τε* om. C 5 *μηδεμίαν*] *δεμίαν* C¹ *οὐδεμίαν* C² *τὴν — 7 πλήθη*] *sementem regionis intercipi; ipsum quidem anni tempus erat et quinquaginta paene continuis diebus multitudo in urbe otiosa morabatur* Lat 6 *μεῖναι — σπόρου* om. PA *πεντήκοντα*] *ν̄ γὰρ* (*γὰρ* suppl. A) PA 7 *ἀργὰς* L¹R *αὐτῷ* · L *αὐτῶν* VRC 8 *παρακινδυνευτέον*, *έ* i. ras. corr. PALC *ἐμοὶ μᾶλλον*] *se etiam* Lat *ἢ* i. ras. m. 2 LC 9 *συνεργοῦτος* A 10 *ἀποδώσω* M *ἐμαυτοῦ* AVR 11 *κατευχόμενον* (*ν* finale i. ras. L) MLVR et ex corr. A *κατευχόμενος* C¹ *κατευχόμενους* C² *αὐτῶν* A¹ *παραλαβὼν — 12 Ἀντιόχειαν*] *antiochiam a ptolemaida reuocauit exercitum atque* Lat 12 *εἰς τὴν*] *εἰσ* LVRC 13 *ἐπέστελεν* A¹ 14 *τὰς — ἔθνους*] *τὰσ τοῦ ἔθνουσ ἱκετείασ* LVRC *ὅτι — 16 πρόσταγμα*] *quibus si abnuendum putaret, nosset cum uiris etiam prouinciam esse perdendam; seruare siquidem ipsos legem patriam et nouis praeceptis uehementer obsistere* Lat *βούλοιτο* LVRC 15 *δέον* C 16 *παριέναι*] *παρεῖναι* ML¹VRC *οὐ* om. PA 17 *ἀντέγραψεν ὁ Γάιος*] *ἀντέγραψε γάιοσ* M *γάιοσ ἀντέγραψεν* LVRC 18 *ἐγένετο* MLVRC

τῇ θαλάσσῃ, τὸν δὲ Γαΐου θάνατον ἄλλοι καταγγέλλοντες εὐπλόουν. ἔφθη γοῦν τὰς περὶ τούτων Πετρώνιος λαβὼν ἐπιστολὰς ἑπτὰ καὶ εἴκοσιν ἡμέραις ἢ τὰς καθ' ἑαυτοῦ.

204 XI. 1. Γαΐου δὲ ἡγεμονεύσαντος ἔτη τρία καὶ μῆνας ὀκτὼ καὶ δολοφονηθέντος ἁρπάζεται μὲν ὑπὸ τῶν ἐν Ῥώμῃ στρατευμάτων
205 εἰς τὴν ἀρχὴν Κλαύδιος, ἡ δὲ σύγκλητος ἐξηγουμένων τῶν ὑπάτων Σεντίου Σατορνίνου καὶ Πομπωνίου Σεκούνδου τρισὶν ταῖς συμμενούσαις σπείραις ἐπιτρέψασα φυλάττειν τὴν πόλιν εἰς τὸ Καπετώλιον ἠθροίσθη καὶ διὰ τὴν ὠμότητα τὴν Γαΐου Κλαυδίῳ πολεμεῖν ἐψηφίζετο· καταστήσεσθαι γὰρ δι' ἀριστοκρατίας, ὥσπερ οὖν πάλαι διῳκεῖτο, τὴν ἀρχὴν ἢ κρινεῖν ψήφῳ τὸν ἄξιον τῆς ἡγεμονίας.
206 2. Συνέβη τηνικαῦτα πρὸς ἐπιδημοῦντα τὸν Ἀγρίππαν τήν τε σύγκλητον καλοῦσαν εἰς συμβουλίαν πέμψαι καὶ Κλαύδιον ἐκ τῆς παρεμβολῆς, ὅπως πρὸς ἃ δέοι χρήσιμος αὐτοῖς γένοιτο. κἀκεῖνος
207 συνιδὼν τὸν ἤδη τῇ δυνάμει Καίσαρα πρὸς Κλαύδιον ἔπεισιν. ὁ δ' αὐτὸν πρεσβευτὴν πρὸς τὴν σύγκλητον ἀναπέμπει δηλοῦντα τὴν ἑαυτοῦ προαίρεσιν, ὅτι πρῶτον μὲν ἄκων ὑπὸ τῶν στρατιωτῶν ἁρπαγείη, καὶ οὔτε τὴν ἐκείνων σπουδὴν ἐγκαταλιπεῖν δίκαιον οὔτε

---

§ 204 = Ant. Iud. XIX 201; § 206 = Ant. Iud. XIX 236 sq.

PAMLVRC Lat Hegesippus II 5 p. 130.

1 εὐ·πλόουν A 2 τούτου LVRC *Πετρώνιος λαβὼν*] *λαβεῖν πετρώνιος* LVRC 3 *εἴκοσι* PA¹L¹ *ἡμέρας* C *αὐτοῦ* A αὐτοῦ M 4 i. marg. *ιη* V *γαΐου* ex *γάϊον* corr. V *ὄκτω·* V *sex* Lat 6 *εἰς τὴν ἀρχὴν* om. P 7 *σεντίου* MLVRC *ignatio* Lat *σατορνείλου* L¹VR *σατορνίλλου* C *saturnillo* Lat *πομπονίου* PA¹ *ταῖς* om. M *συμμενούσαις*, *ν* i. ras. m. 2 L *συμμετρούσαις* R (*tribus*) *urbanis* (*legionibus*) Lat 8 *ἐπιτρέψας* C 9 *τὴν Γαΐου*] *τοῦ γαΐου* R *πόλεμον* V 10 *ἐψηφίζετο*, *ζ* i. ras. A *πολεμεῖν* — 11 *ἡγεμονίας*] *bellum agi cum claudio decernebat uolens imperium ad optimates reducere, ut sicut olim fuerat ad regendum dignissimi legerentur* Lat *καταστήσασθαι* C *ἀριστοκρατείασ* P¹AM 11 *κρινεῖν*] Cocceji *κρίνειν* codd. 12 *συνέβη*] *συνέβη δὲ* MLVRC *συνέβη — Ἀγρίππαν*] *accidit autem ut agrippa aduenirel, quem cum* (*et senatus*) Lat *προσεπιδημοῦντα* PMLV²RC 13 *καλοῦσαν*, *σαν* ex *σιν* corr. A *καὶ* om. LVRC *ἐκ τῆς παρεμβολῆς*] *in castra* Lat 14 *χρησίμωσ* V¹ *αὐτῷ* LVRC et ut uid. Lat, in quo est *ut — eo — adiutore uteretur* *γένηται* V *κἀκεῖνος συνιδὼν*] *συνιδὼν* PA¹ *συνιδὼν δὲ* ex corr. A fort. recte *uidens agrippa* Lat *ὃς συνιδὼν* aut *συνιδὼν Ἀγρίππας* Destinon 16 *δὲ* LVRC 17 *αὐτοῦ* LVRC 18 *ἐγκαταλιπεῖν*] *καταλείπειν* C *οὔτε ἀσφαλὲς* — p. 195, 1 *κρίνοι*] *immo iam tutam aliter suam non esse fortunam* Lat

ἀσφαλὲς τὴν ἑαυτοῦ τύχην κρίνοι· καὶ γὰρ τὸ τυχεῖν τῆς ἡγεμονικῆς
κλήσεως ἐπικίνδυνον εἶναι· ἔπειθ' ὅτι διοικήσει τὴν ἀρχὴν ὥσπερ 208
ἀγαθὸς προστάτης, οὐχ ὡς τύραννος· ἀρκεῖσθαι γὰρ τῇ τιμῇ τῆς
προσηγορίας, τὴν δ' ἐφ' ἑκάστῳ τῶν πραγμάτων βουλὴν πᾶσιν
ἀποδώσειν. καὶ γὰρ εἰ μὴ φύσει μέτριος ἦν, ἱκανὸν ὑπόδειγμα
σωφροσύνης αὐτῷ προκεῖσθαι τὸν Γαΐου θάνατον.

3. Ταῦτ' ἀπήγγειλεν Ἀγρίππας. ἡ δὲ βουλὴ ἀνεκρίνατο καὶ 209
στρατῷ καὶ γνώμαις ἀγαθαῖς πεποιθυῖα δουλείαν ἑκοίσιον οὐχ
ὑπομενεῖν. καὶ Κλαύδιος ὡς ἤκουσεν τὰ παρὰ τῆς βουλῆς, πάλιν
ἔπεμψεν τὸν Ἀγρίππαν ἀπαγγελοῦντα αὐτοῖς ὅτι προδοῦναι μὲν
τοὺς εἰς αὐτὸν ὁμονοήσαντας οὐχ ὑπομένοι, πολεμήσειν δ' ἄκων
πρὸς οὓς ἥκιστα βούλοιτο. δεῖν μέντοι προαποδειχθῆναι τῷ πολέμῳ 210
χωρίον ἔξω τῆς πόλεως· οὐ γὰρ ὅσιον διὰ τὴν αὐτῶν κακοβουλίαν
ὁμοφύλῳ φόνῳ μιαίνεσθαι τὰ τεμένη τῆς πατρίδος. ὁ μὲν οὖν
ἀκούσας ταῦτα τοῖς βουλευταῖς ἀπήγγειλεν.

4. Μεταξὺ δὲ τῶν μετὰ τῆς συγκλήτου στρατιωτῶν τις σπασά- 211
μενος τὸ ξίφος „ἄνδρες, ἐβόησεν, συστρατιῶται, τί παθόντες ἀδελ-
φοκτονεῖν βουλόμεθα καὶ κατὰ τῶν μετὰ Κλαυδίου συγγενῶν ὁρμᾶν.
ἔχοντες μὲν αὐτοκράτορα μηδὲν μεμφθῆναι δυνάμενον, τοσαῦτα δὲ
τὰ δίκαια πρὸς οὓς μετὰ τῶν ὅπλων χωρεῖν μέλλομεν;" ταῦτα 212
εἰπὼν διὰ μέσης ὥρμησεν τῆς βουλῆς πάντας τοὺς συστρατιώτας
ἐφελκόμενος. οἱ δ' εὐπατρίδαι παραχρῆμα μὲν πρὸς τὴν ἀπόλειψιν
περιδεῶς ἔσχον, αὖθις δ' ὡς ἀποστροφὴ σωτήριος οὐ καιεφαίνετο,
τὴν τῶν στρατιωτῶν ὁδὸν ἠπείγοντο πρὸς Κλαύδιον. ὑπάντων δ' 213

§ 207 = Ant. Iud. XIX 246; § 209 = Ant. Iud. XIX 242; § 211 = Ant. Iud. XIX 254.

PAMLVRCLat.

1 αὐτοῦ L^1VRC αὐτοῦ L^2 τύχην] δίκην L κρίνοι] κρίνοιν PA τὸ] τοῦ L καὶ τὸ C ἡγεμονια·κῆς, eras. σ C 2 ἔπειτα LVRC διοικήσοι L^1VR 3 ἀρκεῖσθαι] ἦν ἀρκεῖσθαι V 4 δὲ LVRC 5 μετρίως C^1 6 προσκεῖσθαι C 7 ταῦτα LVRC ἀπήγγελλεν LV^1R ἀπήγγειλλεν ex corr. V 8 πεποιθυῖα] quasi quae — fideret Lat 9 ὑπομενεῖν] Dindorf ὑπομένειν codd. 11 ὁμονοήσαντας] PAM et i. marg. m 2 L ὁμόσαντας L^1VC ὁμόσαντασ L^2R quorum consensu (in imperium esset ascitus) Lat πολεμήσει MLVRC δὲ LVRC 14 ὁμοφύλων AM ciuili Lat τῆς om. R οὖν om. PAMV ἀκούσας] Ἀγρίππας Destinon 16 δὲ om. C μετὰ s. P 18 βουλώμεθα ex corr. P αἰρο΄μεθα LVRC cupimus Lat κατὰ τῶν μετὰ] μετὰ τῶν LRC κατὰ τῶν V aduersus propinquos nostros (claudium) seculos Lat 20 τὰ om LVRC 22 ἀφελκόμενοσ M δὲ LVRC ἀπόλειψιν PA ἀπόλειψειν sic R 23 δὲ LVRC οὐκ ἀπεφαίνετο PAM 24 δὲ LVRC

αὐτοῖς πρὸ τοῦ τείχους γυμνοῖς τοῖς ξίφεσιν οἱ σφοδρότερον κολακεύοντες τὴν τύχην· κἂν συνέβη κινδυνεῦσαι τοὺς προάγοντας πρὶν γνῶναι τὴν ὁρμὴν τῶν στρατιωτῶν Κλαύδιον, εἰ μὴ προσδραμὼν Ἀγρίππας αὐτῷ τὸ κινδύνευμα τῆς πράξεως ἐδήλωσεν, ὅτι τε εἰ μὴ κατάσχοι τὴν ὁρμὴν τῶν ἐπὶ τοὺς εὐπατρίδας λελυσσηκότων, 5
ἀπολέσας δι' οὓς τὸ κρατεῖν ἐστι περίοπτον ἐρημίας ἔσοιτο βασιλεύς.

214 5. *Ταῦτ' ἀκούσας Κλαύδιος κατέσχεν τὰς ὁρμὰς τοῦ στρατιωτικοῦ προσδέχεταί τε τὴν σύγκλητον εἰς τὸ στρατόπεδον καὶ φιλοφρονησάμενος ἐξῆει σὺν αὐτοῖς αὐτίκα θύσων τῷ Θεῷ τὰ περὶ* 10
215 *τῆς ἡγεμονίας χαριστήρια. καὶ τὸν Ἀγρίππαν εὐθέως ἐδωρεῖτο τῇ πατρῴᾳ βασιλείᾳ πάσῃ προστιθεὶς ἔξωθεν καὶ τὰς ὑπ' Αὐγούστου δοθείσας Ἡρῴδῃ Τραχωνῖτιν καὶ Αὐρανῖτιν, χωρὶς δὲ τούτων ἑτέραν*
216 *βασιλείαν τὴν Λυσανίου καλουμένην. καὶ τῷ μὲν δήμῳ διατάγματι τὴν δωρεὰν ἐδήλου, τοῖς ἄρχουσιν δὲ προσέταξεν ἐγχαράξαντας* 15
217 *δέλτοις χαλκαῖς τὴν δόσιν εἰς τὸ Καπετώλιον ἀναθεῖναι· δωρεῖται δ' αὐτοῦ καὶ τὸν ἀδελφὸν Ἡρῴδην, ὃ δ' αὐτὸς καὶ γαμβρὸς ἦν Βερνίκῃ συνοικῶν, βασιλείᾳ τῇ Χαλκίδι.*

218 6. *Ταχέως δ' ὡς ἂν ἐκ τοσαύτης ἀρχῆς πλοῦτος Ἀγρίππᾳ προσέρρει, καὶ τοῖς χρήμασιν αὐτὸς οὐκ εἰς μακρὰν κατεχρήσατο· τηλικοῦτον γὰρ τοῖς Ἱεροσολύμοις περιβαλεῖν ἤρξατο τεῖχος, ἡλίκον* 20
219 *ἂν τελεσθὲν ἀνήνυτον Ῥωμαίοις ἐποίησεν τὴν πολιορκίαν. ἀλλ' ἔφθη πρὶν ὑψῶσαι τὸ ἔργον τελευτήσας ἐν Καισαρείᾳ, βεβασιλευκὼς*

§ 215 = Ant. Iud. XIX 274; § 218 = Ant. Iud. XIX 326; 351.

PAMLVRC LatHegesippus II 5 p. 130.

2 *τύχην*] *fortunae regis* Lat *κἂν*] *καὶ* PLVR *προάγοντας*] *progressi quinque* Lat 3 *γνῶναι* sic V 5 *κατάσχοι, οι* ex *η* corr. A *λελυσηκότων* L¹ 6 *περίοπτον*] *περιπόθητον* Naber 8 *ταῦτα* LVRC *ἐπέσχε* LVRC · 10 *ἔξεισι* LVRC 13 *τραχωνίτην* V *αὐρανίτην* V *ἑτέρα βασιλεία* ex corr. C 14 *τὴν*] *τῇ* ex corr. C *καλουμένην*] *καλουμένη* ex corr. C 15 *δωρεὰν, δω* i. ras. A 16 *χαλκοῖς* PA¹M *δώσιν* V *δωρεῖται* — 18 *Χαλκίδι*] *donat autem ei etiam fratrem suum herodem, qui eiusdem generis bernici iunctus reginae chalcidis* Lat *δωρεῖται*] *ωρεῖται* C¹ 17 *δὲ* LVRC *δὲ* LVRC 18 *βασιλείᾳ*] *τῇ βασιλίδι* PALat *χαλκήτιδι* PA 19 i. marg. *ιθ* V *Ταχέως* — *ἀρχῆς*] *opinione autem celerius tanti regni* Lat *δὲ* ALVRC *ἀρχῆς*] *ἀρῆσ* C¹ 20 *προσέρρει*] *συνέρρει* P *affluebat* Lat *μακρὰν*] *in rebus* — *exiguis* Lat, unde *μικρὰ* Hudson *κατεχρῆτο* LVRC² *κατεχρεῖτο* C¹ 21 *γὰρ*] *δὲ* Hudson *τοῖς* — *ἤρξατο*] *περιβάλλειν ἤρξατο τοῖς ἱεροσολύμοις* LVRC 22 *ἂν τελεσθὲν*] *συντελεσθὲν* PAM *συντελεσθὲν ἂν* Destinon *Ῥωμαίοις* — *πολιορκίαν*] *τὴν ἐν ῥωμαίοις ἐποίησε* (*η* suppl. m. 2 C) *πολιορκίαν* LVRC 23 *ἔφθη* ex *ἔφη* corr. R *ὑψῶσαι*] suspectum Destinoni *impleret* Lat

μὲν ἔτη τρία, πρότερον δὲ τῶν τετραρχιῶν τρισὶν ἑτέροις ἔτεσιν ἀφηγησάμενος. καταλείπει δὲ τρεῖς μὲν θυγατέρας ἐκ Κύπρου 220
γεγενημένας, Βερνίκην καὶ Μαριάμμην καὶ Δρουσίλλαν, υἱὸν δὲ ἐκ
τῆς αὐτῆς Ἀγρίππαν. οὐ πανάπασιν ὄντος νηπίου πάλιν τὰς βασι-
λείας Κλαύδιος ἐπαρχίαν ποιήσας ἐπίτροπον πέμπει Κούσπιον
Φᾶδον, ἔπειτα Τιβέριον Ἀλέξανδρον, οἳ μηδὲν παρακινοῦντες τῶν
ἐπιχωρίων ἐθῶν ἐν εἰρήνῃ τὸ ἔθνος διεφύλαξαν. μετὰ ταῦτα καὶ 221
ὁ βασιλεύων τῆς Χαλκίδος Ἡρῴδης τελευτᾷ, καταλιπὼν ἐκ μὲν τῆς
ἀδελφιδῆς Βερνίκης δύο παῖδας Βερνικιανόν τε καὶ Ὑρκανόν, ἐκ δὲ
τῆς προτέρας Μαριάμμης Ἀριστόβουλον. τεθνήκει δ' αὐτῷ καὶ
ἕτερος ἀδελφὸς Ἀριστόβουλος ἰδιώτης καταλιπὼν Ἰωτάπην θυγα-
τέρα. οὗτοι μὲν οὖν ἦσαν, ὡς προεῖπον, Ἀριστοβούλου τοῦ Ἡρῴδου 222
παῖδες, Ἀριστόβουλος δὲ καὶ Ἀλέξανδρος ἐκ Μαριάμμης Ἡρῴδῃ
γεγόνεισαν υἱεῖς, οὓς ὁ πατὴρ ἀνεῖλεν· ἡ δὲ Ἀλεξάνδρου γενεὰ
τῆς μεγάλης Ἀρμενίας ἐβασίλευσεν.

XII. 1. Μετὰ δὲ τὴν Ἡρῴδου τελευτήν, ὃς ἦρχε τῆς Χαλκίδος, 223
καθίστησιν Κλαύδιος εἰς τὴν βασιλείαν τοῦ θείου τὸν Ἀγρίππαν
υἱὸν Ἀγρίππα· τῆς δ' ἄλλης ἐπαρχίας διαδέχεται τὴν ἐπιτροπὴν
ἀπὸ Ἀλεξάνδρου Κουμανός, ἐφ' οὗ θόρυβοί τε ἤρξαντο καὶ φθορὰ
πάλιν Ἰουδαίων ἐγένετο. συνεληλυθότος γὰρ τοῦ πλήθους ἐπὶ τὴν 224
ἑορτὴν τῶν ἀζύμων εἰς Ἱεροσόλυμα καὶ τῆς Ῥωμαϊκῆς σπείρας ὑπὲρ
τὴν τοῦ ἱεροῦ στοὰν ἐφεστώσης, ἔνοπλοι δ' ἀεὶ τὰς ἑορτὰς παρα-
φυλάττουσιν, ὡς μή τι νεωτερίζοι τὸ πλῆθος ἠθροισμένον, εἷς τις
τῶν στρατιωτῶν ἀνασυράμενος τὴν ἐσθῆτα καὶ κατακύψας ἀσχη-
μόνως προσαπέστρεψεν τοῖς Ἰουδαίοις τὴν ἕδραν καὶ τῷ σχήματι

---

§ 219 = Ant. Iud. XIX 343. 354 sq.; § 221 = Ant. Iud. XX 104, cf. XVIII 135.

PAMLVRC Lat Hegesippus II 5. p. 130.

1 *ἑταίροις* C¹ 2 *μὲν* om. P 3 *γεγεννημένας* AMLR et ex corr. PC *βερενίκην* L *beronicen* Lat *καὶ* et ante *Μαριάμμην* et ante *Δρουσίλλαν* om. LVRC *μαριάμην* M *δρούσιλλαν* C 4 *οὗ — νηπίου*] *qui non nimis paruulus erat* Lat 5 *Κούσπιον*] *κοῦστον* PA 6 *τι · · βέριον* A 7 *ἐπιχωρίων*] *πατρίων* LVRC *ἐν* om. PAM 9 *ἀδελφῆς* PLat 10 *μαριάμης* M *δὲ* LVRC 11 *ἰωτάβην* P *iotapata* (abl.) Lat 12 *οὖν* om. LVR 13 *μαριάμης* M 14 *γεγόνασιν* P *υἱεῖς* om. LVRC Lat 15 *ἐβασίλευε* V 16 *ὅς*] om. L¹R eras. V 17 *καθίστησι, σι* i. ras. maiore (fuisse uid. L *καθίστησι · ·* R *καθίστησι δὲ* man. 1 Lips 18 *Ἀγρίππα υἱὸν Ἀγρίππαν* ex corr. Lips *Ἀγρίππα*] *ἀγρίππα·*, eras. *ν* L *δὲ* LVRC 19 *κούμανος* LVRC 20 i. marg. *ϛ* VC 21 *ὑπὲρ*] *ἐπὶ* M 22 *δὲ* LVRC *ἑορτὰς*] *ἑορτὰς πάσας* V 23 *συνηθροισμένον* LVRC 25 *προσαπέστρεψε, σα* i. ras. m. 2 C *ἕδραν* PAV *τῷ*] *τὸ* L¹

225 φωνὴν ὁμοίαν ἐπεφθέγξατο. πρὸς τοῦτο ἅπαν μὲν τὸ πλῆθος
ἠγανάκτησεν, καὶ κατεβόων τοῦ Κουμανοῦ κολάζειν τὸν στρατιώ-
την, οἱ δὲ ἧττον νήφοντες τῶν νέων καὶ τὸ φύσει στασιῶδες ἐκ
τοῦ ἔθνους ἐχώρουν ἐπὶ μάχην λίθους τε ἁρπάσαντες ἐπὶ τοὺς
226 στρατιώτας ἔβαλλον. καὶ Κουμανὸς δείσας μὴ τοῦ λαοῦ παντὸς 5
ἐπ' αὐτὸν ὁρμὴ γένοιτο, πλείους ὁπλίτας μεταπέμπεται. τῶν δὲ
ταῖς στοαῖς ἐπιχεομένων φόβος ἐμπίπτει τοῖς Ἰουδαίοις ἀκατά-
227 σχετος, καὶ τραπέντες ἐκ τοῦ ἱεροῦ διέφευγον εἰς τὴν πόλιν. τοσαύτη
δὲ περὶ τὰς ἐξόδους βία συνωθουμένων ἐγένετο, ὥστε πατηθέντας
ὑπ' ἀλλήλων καὶ συντριβέντας ὑπὲρ τρισμυρίους ἀποθανεῖν, γενέ- 10
σθαι δὲ τὴν ἑορτὴν πένθος μὲν ὅλῳ τῷ ἔθνει θρῆνον δὲ καθ'
ἑκάστην οἰκίαν.

228 2. Μετελάμβανεν δὲ ταύτην τὴν συμφορὰν ἄλλος ληστρικὸς
θόρυβος. κατὰ γὰρ τὴν Βαιθωρὼ δημοσίαν ὁδὸν Στεφάνου τινὸς
δούλου Καίσαρος ἀποσκευὴν κομιζομένην διήρπασαν λῃσταὶ προσ- 15
229 πεσόντες. Κουμανὸς δὲ περιπέμψας τοὺς ἐκ τῶν πλησίον κωμῶν
ὄεσμώτας ἐκέλευσεν ἀνάγεσθαι πρὸς αὐτόν, ἐπικαλῶν ὅτι μὴ διώ-
ξαντες τοὺς λῃστὰς συλλάβοιεν. ἔνθα τῶν στρατιωτῶν τις εὑρὼν
ἔν τινι κώμῃ τὸν ἱερὸν νόμον διέρρηξέν τε τὸ βιβλίον καὶ εἰς
230 πῦρ κατέβαλεν. Ἰουδαῖοι δὲ ὡς ὅλης αὐτοῖς τῆς χώρας καταφλε- 20
γείσης συνεχύθησαν, καὶ καθάπερ ὀργάνῳ τινὶ τῇ δεισιδαιμονίᾳ
συνελκόμενοι πρὸς ἓν κήρυγμα πάντες εἰς Καισάρειαν ἐπὶ Κουμα-
νὸν συνέδραμον ἱκετεύοντες τὸν οὕτως εἰς τὸν θεὸν καὶ τὸν νόμον

§ 225 = Ant. Iud. XX 108.

PAMLVRC Lat Eusebius hist. eccl. II 19.

1 *ἐπεμφθέγξατο* A^1 *ἀπεφθέγξατο* M *ἅπαν*] *πᾶν* LVRC *μὲν* om. LVR *κατεβόουν* C *κουμανοῦ* ex *κομανοῦ* corr. A *κουμάνου* LVRC 3 *στασιῶδες* V^1 4 *ἐχώρουν ἐπὶ μάχην*] *in litem grauissimam prosiliebant* Lat *ἐπὶ*] *εἰσ* ALVRC 5 *κούμανοσ* LVRC, item u. 16 6 *ἐπ' αὐτὸν* om. C 7 *ἐπεχομένων* C *ἀκατάσχετος*] *grauis* Lat 8 *διέφευγον* corr. ex *διαφεύγων* L *διέφυγον* V *εἰς τὴν πόλιν* om. Lat § 227 excerpsit Euseb 10 *ὑπ'*] *ἀπ'* R *πρὸς* Euseb *τρισμυρίους*] PAMLat *τοὺσ μυρίουσ* LVRC *τρεῖς μυριάδας* Euseb 11 *δὲ*] *τε* Euseb *μὲν*] *ἐν* L *θρῆνον*] PAMEuseb *θρῆνοσ* LVRC *θρῆνον* — 12 *οἰκίαν*] *et planctus per domos singulas personabat* Lat 13 *μεταλαμβάνει* LVRC *ἄλλος* om. MLat *ληστρικὸσ* (*ληστρικῶσ* C) *ἄλλοσ* tr. LVRC 14 *βεθώρω* P *βαιθωρον* (*ωρον* ex *ώρων* corr.) A *βεθωρῶ* V *βεθωρὼ* C *bethoro* (acc.) Lat *ὁδὸν*] *ἄνοδον* PALat 15 *λῃσταὶ*] *λησταῖσται* C^1 16 *πλησίον* ex corr. A 17 *μὴ* om. uid. Lat *διώξαντασ* LVR 18 *συλάβοιεν* C^1 19 *τε* om. PAM 20 *κατέβαλλεν* V *δὲ*] *τε* V 21 *συνεχύθησαν*] *confluxerunt* Lat 22 *πρὸς*] *εἰσ* LVRC *κουμάνον* P *κούμανον* LVRC; item p. 199, 10 23 *τῶν οὕτωσ* C^1

αὐτῶν ἐξυβρίσαντα μὴ περιιδεῖν ἀτιμώρητον. ὁ δέ, οὐ γὰρ ἠρέμει 231
τὸ πλῆθος, εἰ μὴ τύχοι παραυθίας, ἠξίου τε προάγειν τὸν στρατιώτην καὶ διὰ μέσων τῶν αἰτιωμένων ἀπαχθῆναι τὴν ἐπὶ θανάτῳ κελεύει. καὶ Ἰουδαῖοι μὲν ἀνεχώρουν.

3. Λύθις δὲ Γαλιλαίων καὶ Σαμαρέων γίνεται συμβολή. κατὰ 232
γὰρ Γῆμαν καλουμένην κώμην, ἥτις ἐν τῷ μεγάλῳ πεδίῳ κεῖται τῆς Σαμαρείτιδος, πολλῶν ἀναβαινόντων Ἰουδαίων ἐπὶ τὴν ἑορτὴν ἀναιρεῖταί τις Γαλιλαῖος. πρὸς τοῦτο πλεῖστοι μὲν ἐκ τῆς Γαλι- 233
λαίας συνέδραμον ὡς πολεμήσοντες τοῖς Σαμαρεῦσιν, οἱ γνώ-
ριμοι δ' αὐτῶν ἐλθόντες πρὸς Κουμανὸν ἠντιβόλουν πρὶν ἀνηκέστου πάθους εἰς τὴν Γαλιλαίαν διαβάντα τιμωρήσασθαι τοὺς αἰτίους τοῦ φόνου· μόνως γὰρ ἂν οὕτως διαλυθῆναι πρὸ πολέμου τὸ πλῆθος. Κουμανὸς μὲν οὖν ἐν δευτέρῳ τὰς ἐκείνων ἱκεσίας τῶν ἐν χειρὶ πραγμάτων θέμενος ἀπράκτους ἀπέπεμψεν τοὺς ἱκέτας.

4. Ἀγγελθὲν δὲ εἰς Ἱεροσόλυμα τὸ πάθος τοῦ πεφονευμένου 234
τὰ πλήθη συνετάραξεν καὶ τῆς ἑορτῆς ἀφέμενοι πρὸς τὴν Σαμάρειαν ἐξώρμων ἀστρατήγητοι καὶ μηδενὶ τῶν ἀρχόντων κατέχοντι πειθόμενοι. τοῦ ληστρικοῦ δ' αὐτῶν καὶ στασιώδους λειταίου τις 235
υἱὸς Ἐλεάζαρος καὶ Ἀλέξανδρος ἐξῆρχον, οἳ τοῖς ὁμόροις τῆς Ἀκραβατηνῆς τοπαρχίας προσπεσόντες αὐτούς τε ἀνῄρουν μηδεμιᾶς ἡλικίας φειδὼ ποιούμενοι καὶ τὰς κώμας ἐνεπίμπρασαν.

5. Κουμανὸς δὲ ἀναλαβὼν ἀπὸ τῆς Καισαρείας μίαν ἴλην 236
ἱππέων καλουμένην Σεβαστηνῶν ἐξεβοήθει τοῖς πορθουμένοις καὶ

---

§ 231 = Ant. Iud. XX 117.

PAMLVRCLat.

1 *αὐτὸν* L *eius* Lat *αὐτοῦ* ed. pr. *παριδεῖν* P *ἠρεμήσειν* LVRCLat 2 *τύχῃ* C *ἠξίου*] *συνιδὼν ἠξίου* LVRC *τε προσάγειν* A *προσάγειν τε* LVRC 3 *μέσον* P *μεσόν* sic C *ἀπαχθῆν* C¹ 4 i. marg. *κα* V 5 *συμβουλή* VC 6 *Γήμαν*] *τὴν ὠβᾶν* L *τὴν μαὰν* V *τὴν βηὰν* R *τὴν γημὰν* C et i. marg. V *τὴν·βᾶν* et i. marg. m. 2 *γημὰν* Lips *εὕρηται καὶ ὠβάν* i. marg. M *gemma* Lat *Γιναῆς* Ant. XX 118 7 *πολλῶν* — 8 *ἀναιροῦνται*] *quidam galileus de numero iudaeorum ad festinitatem ascendens interficitur* Lat *πολλῶν*] *πολλοὶ τῶν* PAM *ἀναβάντων* P 8 *ἀναιρεῖταί τις Γαλιλαῖος*] *ἀναιροῦνται* PAM; cf. Ant. XX 118 *Γαλιλαῖος*] *ἰουδαῖος* et i. marg. *γαλιλαῖος* L 9 *ὡς* om. LVR *γνώ· · ριμοι* A 10 *δὲ* LVRC *κομανὸν* M 12 *μόνος* L¹ 14 *χειρὶ*] *χερσὶ* LVRC 15 *τὸ πάθος εἰσ ἱεροσόλυμα* tr. LVRC 16 *συνετά· · ραξεν* A 17 *ἐξόρμων* PC *ἐξώρμον* L¹ *ἐξώρμησαν* R 18 *δὲ* LVRC 19 *ἐξῆρχον, ρχο* i. ras. m. 2 V *ἀκραβατινῆσ* (— *τίνησ* A) PA *ἀκραβαιτηνῆσ* C 21 *ἐνεπίπρασαν* PC *ἀνεπίμπρασαν* R 22 *κούμανοσ* LVRC *δὲ*] om. C *autem haec audiens* Lat *ἀπὸ τῆς Καισαρείας* om. Lat *ἴλην* PAC *εἴλην* L¹V¹R

τῶν περὶ τὸν Ἐλεάζαρον πολλοὺς μὲν συνέλαβεν, πλείστους δ'
237 ἀπέκτεινεν. πρὸς δὲ τὸ λοιπὸν πλῆθος τῶν πολεμεῖν τοῖς Σαμαρεῦσιν ὡρμημένων οἱ ἄρχοντες τῶν Ἱεροσολύμων ἐκδραμόντες σάκκους ἀμπεχόμενοι καὶ τέφραν τῶν κεφαλῶν καταχέοντες ἱκέτευον ἀναχωρεῖν καὶ μὴ διὰ τὴν εἰς Σαμαρεῖς ἄμυναν ἐπὶ Ἱεροσόλυμα Ῥω- 5
μαίους παροξύνειν. ἐλεῖσαί τε τὴν πατρίδα καὶ τὸν ναὸν τέκνα τε καὶ γυναῖκας ἰδίας, ἃ πάντα κινδυνεύειν δι' ἑνὸς ἐκδικίαν Γαλι-
238 λαίου παραπολέσθαι. τούτοις πεισθέντες Ἰουδαῖοι διελύθησαν. ἐτράποντο δὲ πολλοὶ πρὸς λῃστείαν διὰ τὴν ἄδειαν, καὶ κατὰ πᾶσαν τὴν χώραν ἁρπαγαί τε ἦσαν καὶ τῶν θρασυτέρων ἐπαναστάσεις. 10
239 καὶ τῶν Σαμαρέων οἱ δυνατοὶ πρὸς Οὐμμίδιον Κουαδρᾶτον, ὃς ἦν ἡγεμὼν τῆς Συρίας, εἰς Τύρον παραγενόμενοι δίκην τινὰ παρὰ τῶν
240 πορθησάντων τὴν χώραν ἠξίουν λαβεῖν. παόντες δὲ καὶ οἱ γνώριμοι τῶν Ἰουδαίων καὶ ὁ ἀρχιερεὺς Ἰωνάθης υἱὸς Ἀνάνου κατάρξαι μὲν ἔλεγον τῆς ταραχῆς Σαμαρέας διὰ τὸν φόνον, αἴτιον δὲ 15
τῶν ἀποβεβηκότων Κουμανὸν γεγονέναι μὴ θελήσαντα τοὺς αὐθέντας τοῦ σφαγέντος ἐπεξελθεῖν.

241 6. Κουαδρᾶτος δὲ τότε μὲν ἑκατέρους ὑπερτίθεται φήσας, ἐπειδὰν εἰς τοὺς τόπους παραγένηται, διερευνήσειν ἕκαστα. αὖθις δὲ παρελθὼν εἰς Καισάρειαν τοὺς ὑπὸ Κουμανοῦ ζωγρηθέντας 20
242 ἀνεσταύρωσεν πάντας. ἐκεῖθεν εἰς Λύδδα παραγενόμενος πάλιν διήκουσεν τῶν Σαμαρέων, καὶ μεταπεμψάμενος ὀκτωκαίδεκα τῶν

---

§ 236 = Ant. Iud. XX 122.

PAMLVRCLat.

1 δὲ LVRC 2 τῶν — 3 ὡρμημένων] *qui in uastandos samaritanorum fines irruerant* Lat 4 καταχέαντες Destinon 5 ἱεροσολύμων V 6 παροξύνειν P¹A τε] δὲ VRC 7 ἃ — 8 παραπολέσθαι] *neque omnia pariter in discrimen adducerent neque ob unius galilei uindictam cuncta disperderent* Lat ἃ πάντα] ἅπαντα P καὶ μὴ πάντα LVRCLat κινδυνεύειν] κινδυνεύειν μηδὲ LLat 8 οἱ ἰουδαῖοι VR 9 διὰ τὴν ἄδειαν] *sicut fere adsolet insolentia crescere rebus quietis* Lat ἄδειαν] ἀηδίαν L¹ 10 τὴν om. M ἁρπαγαί τε] ἁρπαγέται C καὶ τῶν — ἐπαναστάσεις] *et audaces quique uim reliquis afferebant* Lat 11 νουμμίδιον M νουμίδιον VRC κουαδράτον PAMRC κουάδρατον LV ἦν om. P 12 εἰσ τὴν τύρον A 13 λαβεῖν ἠξίουν tr. AMLVRC 14 Ἀνάνου] *ananiae* Lat 15 σαμαρεῖσ VRC *samaritas* Lat φθόνον, i. marg. m. 2 γρ διὰ τὸν φόνον V 16 κούμανον LVRC θελήσαντασ A¹C¹ θελήσαντοσ L 18 κουαδράτοσ PAMLRC κουάδρατοσ V 20 προελθὼν AMLVRC Καισάρειαν] Σαμάρειαν Ant. XX 129 κουμάνον PLVRC κομανοῦ A 21 ἐκεῖθεν] ἐκεῖθεν δὲ L ἐκεῖθέν τε VRC λύδδαν ML et ex corr. A *lyddam* Lat παραγε· όμενοσ, eras. ν A πάλιν] PAMLLat πόλιν VRC 22 ὀκτὼ καὶ δέκα A¹L

Ἰουδαίων, οὓς ἐπέτυχεν μετεσχηκέναι τῆς μάχης, πελέκει διεχειρίσατο· δύο δ' ἑτέρους τῶν δυνατωτάτων καὶ τοὺς ἀρχιερεῖς Ἰωνάθην καὶ Ἀνανίαν τόν τε τούτου παῖδα Ἄνανον καί τινας ἄλλους Ἰουδαίων γνωρίμους ἀνέπεμψεν ἐπὶ Καίσαρα, ὁμοίως δὲ καὶ Σαμαρέων τοὺς ἐπιφανεστάτους. παρήγγειλεν δὲ καὶ Κουμανῷ καὶ Κέλερι τῷ χιλιάρχῳ πλεῖν ἐπὶ Ῥώμης δώσοντας Κλαυδίῳ λόγον ὑπὲρ τῶν γεγενημένων. ταῦτα διαπραξάμενος ἀπὸ Λύδδων ἀνέβαινεν εἰς Ἱεροσόλυμα, καὶ καταλαβὼν τὸ πλῆθος ἄγον τὴν τῶν ἀζύμων ἑορτὴν ἀθορύβως εἰς Ἀντιόχειαν ἐπανῆλθεν. 243 244

7. Κατὰ δὲ τὴν Ῥώμην Καῖσαρ ἀκούσας Κουμανοῦ καὶ Σαμαρέων, παρῆν δὲ καὶ Ἀγρίππας ἐκθύμως ὑπεραγωνιζόμενος Ἰουδαίων ἐπειδὴ καὶ Κουμανῷ πολλοὶ τῶν δυνατῶν παρίσταντο, Σαμαρέων μὲν καταγνοὺς τρεῖς ἀνελεῖν προσέταξεν τοὺς δυνατωτάτους. Κουμανὸν δὲ ἐφυγάδευσεν. Κέλερα δὲ δεσμώτην ἀναπέμψας εἰς Ἱεροσόλυμα παραδοθῆναι Ἰουδαίοις πρὸς αἰκίαν ἐκέλευσεν καὶ περισυρέντα τὴν πόλιν οὕτω τὴν κεφαλὴν ἀποκοπῆναι. 245 246

8. Μετὰ ταῦτα Ἰουδαίας μὲν ἐπίτροπον Φήλικα τὸν Πάλλαντος ἀδελφὸν ἐκπέμπει τῆς τε Σαμαρείας καὶ Γαλιλαίας καὶ Περαίας, ἐκ δὲ τῆς Χαλκίδος Ἀγρίππαν εἰς μείζονα βασιλείαν μετατίθησιν, δοὺς αὐτῷ τήν τε Φιλίππου γενομένην ἐπαρχίαν, αὕτη δ' ἦν Τραχωνῖτις καὶ Βατανέα καὶ Γαυλανῖτις, προσέθηκεν δὲ τήν τε Λυσανίου βασιλείαν καὶ τὴν Οὐάρου γενομένην τετραρχίαν. αὐτὸς δὲ διοικήσας τὴν ἡγεμονίαν ἔτεσι τρισκαίδεκα, πρὸς δὲ μησὶν ὀκτὼ καὶ 247 248

---

§ 242 = Ant. Iud. XX 130; § 248 = Ant. Iud. XX 148.

PAMLVRCLat.

1 *πελέκει* P *διεχρήσατο* LVRC 2 *δύο — ἀρχιερεῖς*] *duos autem summatium pontificem sacerdotum* Lat *δὲ* LVRC *ἰωνάθαν* M 4 *ἐπὶ Καίσαρα*] *caesaream* Lat 5 *παρήγγελλε* VR *κουμάνω* LVRC 6 *ῥώμην* A post *δώσοντας* deletum *τῶ χιλιάρχω* C 7 *λυδδῶν* LR *λυδῶν* V *lydda* (abl.) Lat 8 *ἄγων* PL¹V¹ 9 *ἐπανίει* P 10 *κουμάνου* LVRC 12 *κουμάνω* PLVRC *Σαμαρέων*] *καὶ σαμαρέων* P 14 *κουμάνον* P *κούμανον* LVRC *φυγαδεῦσαι* VC *ἐφυγάδευσαι* R 15 *πρὸς*] *εἰσ* LV *ἐκέλευσεν εἰσ αἰκίαν* tr. L 16 *περισυρέντα*, ε et ι i. ras. L *οὕτωσ* L *οὕτῳ* V 17 *Ἰουδαίας*] *ad iudaeos* Lat *φίλικα* PAR *φίληκα* MC 18 *τῆσ τε γαλιλαίασ καὶ σαμαρείασ* (*σαμαρίασ* C¹) tr. VRC *καὶ Περαίας* om. Lat 19 *χαλκίτιδοσ* L 20 *Φιλίππου*] *felicis* Lat *ἐπαρχίαν*] *τετραρχίαν* ed. pr. *prouinciam* Lat *δὲ* VRC 21 *καταναία* M *βαταναία* LVR *ἡ βαταναία* C *batanea* Lat *βαταναία καὶ τραχωνίτισ* tr. VRC *γαυλανίτησ* P 22 *Οὐάρου*] de hoc uide uit. Iosephi 48sq. et infra § 481, ubi *Νόαρος* uocatur *τετραρχίαν*] codd. Lat *ἐπαρχίαν* Petauius i. marg. *κβ* V 23 *τρεῖσ καὶ δεκα* A¹ *τρισὶ καὶ δέκα* VRC *ὀκτὼ*] *ἑπτὰ* V *πρὸς — 202,1 ἡμέραις* om. Heg

εἴκοσιν ἡμέραις τελευτᾷ καταλιπὼν Νέρωνα τῆς ἀρχῆς διάδοχον,
249 ὃν ταῖς Ἀγριππίνης τῆς γυναικὸς ἀπάταις ἐπὶ κληρονομίᾳ τῆς
ἀρχῆς εἰσεποιήσατο καίπερ υἱὸν ἔχων γνήσιον Βρεττανικὸν ἐκ Μεσσα-
λίνης τῆς προτέρας γυναικὸς καὶ Ὀκταουίαν θυγατέρα τὴν ὑπ'
αὐτοῦ ζευχθεῖσαν Νέρωνι· γεγόνει δ' αὐτῷ καὶ ἐκ Παιτίνης Ἀντωνία. 5
250 XIII. 1. Ὅσα μὲν οὖν Νέρων δι' ὑπερβολὴν εὐδαιμονίας τε
καὶ πλούτου παραφρονήσας ἐξύβρισεν εἰς τὴν τύχην, ἢ τίνα τρό-
πον τόν τε ἀδελφὸν καὶ τὴν γυναῖκα καὶ τὴν μητέρα διεξῆλθεν,
251 ἀφ' ὧν ἐπὶ τοὺς εὐγενεστάτους μετήνεγκεν τὴν ὠμότητα, καὶ ὡς
τελευταῖον ὑπὸ φρενοβλαβείας ἐξώκειλεν εἰς σκηνὴν καὶ θέατρον, 10
ἐπειδὴ δι' ὄχλου πᾶσίν ἐστιν, παραλείψω, τρέψομαι δὲ ἐπὶ τὰ
Ἰουδαίοις κατ' αὐτὸν γενόμενα.
252 2. Τὴν μὲν οὖν μικρὰν Ἀρμενίαν δίδωσιν βασιλεύειν Ἀριστο-
βούλῳ τῷ Ἡρῴδου, τῇ δ' Ἀγρίππα βασιλείᾳ τέσσαρας πόλεις προσ-
τίθησιν σὺν ταῖς τοπαρχίαις, Ἄβελα μὲν καὶ Ἰουλιάδα κατὰ τὴν 15
Περαίαν, Ταριχέας δὲ καὶ Τιβεριάδα τῆς Γαλιλαίας, εἰς δὲ τὴν
253 λοιπὴν Ἰουδαίαν Φήλικα κατέστησεν ἐπίτροπον. οὗτος τόν τε ἀρχι-
ληστὴν Ἐλεάζαρον ἔτεσιν εἴκοσι τὴν χώραν λῃσάμενον καὶ πολλοὺς
τῶν σὺν αὐτῷ ζωγρήσας ἀνέπεμψεν εἰς Ῥώμην· τῶν δ' ἀνασταυ-
ρωθέντων ὑπ' αὐτοῦ λῃστῶν καὶ τῶν ἐπὶ κοινωνίᾳ φωραθέντων 20
δημοτῶν οὓς ἐκόλασεν, ἄπειρόν τι πλῆθος ἦν.
254 3. Καθαρθείσης δὲ τῆς χώρας ἕτερον εἶδος λῃστῶν ἐν Ἱεροσο-

---

§ 248 = Ant. Iud. XX 148; § 252 = Ant. Iud. XX 158.

PAMLVRC Lat Hegesippus II 6 p. 131 Exc Peiresc.

1 εἴκοσι L¹ *triginta* codd. aliquot Lat 3 *brittannicum* Lat μεσα-
λίνης PAM 4 θυγατέραν A¹ 5 δὲ VRC πετίνης codd. *agrippina*
Lat i. marg. κθ′ C 6 ὅσα μὲν οὖν] ὅσα μὲν R¹V καὶ ὅσα μὲν R²
ὅσα] *quemadmodum* Lat; incipiunt Exc Νέρων om. V¹ 7 παραφρο-
νήσας om. Lat 9 ἐπὶ] PAML Exc εἰσ VRC εὐγενεστάτους] *proximos*
(h. e. συγγενεστάτους) Lat 10 φρενοβλαβίασ VR Exc ἐξώκιλεν PA¹
ad histrionum opera scenamque Lat θέατρα V 11 ἐπειδὴ] ἐπεὶ δὲ R ἐπει
Exc παραλείψω] καταλείψω V¹; finiunt Exc 12 τρέψω V κατ' αὐτοῦ
C *ab eo* Lat 13 δίδωσιν] δίδωσι μὲν L¹VRC 14 δὲ VRC τέσαρασ A
τέσσαρασ, α (in ασ) i. ras. m. 2 L 15 ἀβελα (sic) P ἀβέλα A ἄβιλαν MVR
ἄβηλλαν C *abelam* Lat ἰουλιάδα V ἰουλίδα C κατὰ τὴν Περαίαν]
in iturea (*in ea* cod. Vat.) — *regione* Lat 16 Ταριχέας] Dindorf ταρι-
χαίασ codd. *tarichearn* Lat τιβερειάδα L¹ 17 φίλικα PR φίληκα
AML²C τε om. VRC 18 λῃϊσάμενον PAML διωσάμενον V¹C¹ δηωσάμενον
V²RC² 19 τῶν] τοὺσ VR ζωγρήσας ἀνέπεμψεν] *cepit vinctosque* (*romam*)
direxit Lat i. marg. κγ V δὲ VRC 21 δημοτῶν] PAMLLat, om. VRC
ἐκώλασεν P 22 i. marg. κγ C

λύμοις ἐπεφύετο, οἱ καλούμενοι σικάριοι, μεθ' ἡμέραν καὶ ἐν μέσῃ
τῇ πόλει φονεύοντες ἀνθρώπους, μάλιστα [δὲ] ἐν ταῖς ἑορταις 255
μισγόμενοι τῷ πλήθει καὶ ταῖς ἐσθῆσιν ὑποκρύπτοντες μικρὰ ξιφί-
δια, τούτοις ἔνιττον τοὺς διαφόρους, ἔπειτα πεσόντων μέρος ἐγί-
νοντο τῶν ἐπαγανακτούντων οἱ πεφονευκότες, διὸ καὶ παντάπασιν
ὑπὸ ἀξιοπιστίας ἦσαν ἀνεύρετοι. πρῶτος μὲν οὖν ὑπ' αὐτῶν 256
Ἰωνάθης ὁ ἀρχιερεὺς ἀποσφάττεται, μετὰ δ' αὐτὸν καθ' ἡμέραν
ἀνῃροῦντο πολλοί· καὶ τῶν συμφορῶν ὁ φόβος ἦν χαλεπώτερος,
ἑκάστου καθάπερ ἐν πολέμῳ καθ' ὥραν τὸν θάνατον προσδεχο-
μένου. προεσκοποῦντο δὲ πόρρωθεν τοὺς διαφόρους, καὶ οὐδὲ τοῖς 257
φίλοις προσιοῦσιν πίστις ἦν, ἐν μέσαις δὲ ταῖς ὑπονοίαις καὶ
ταῖς φυλακαῖς ἀνῃροῦντο· τοσοῦτον τῶν ἐπιβουλευόντων τὸ τάχος
ἦν καὶ τοῦ λαθεῖν ἡ τέχνη.

4. Συνέστη δὲ πρὸς τούτοις στῖφος ἕτερον πονηρῶν χειρὶ μὲν 258
καθαρώτερον, ταῖς γνώμαις δὲ ἀσεβέστερον, ὅπερ οὐδὲν ἧττον
τῶν σφαγέων τὴν εὐδαιμονίαν τῆς πόλεως ἐλυμήνατο. πλάνοι γὰρ 259
ἄνθρωποι καὶ ἀπατεῶνες προσχήματι θειασμοῦ νεωτερισμοὺς καὶ
μεταβολὰς πραγματευόμενοι δαιμονᾶν τὸ πλῆθος ἔπειθον καὶ προ-
ῆγον εἰς τὴν ἐρημίαν ὡς ἐκεῖ τοῦ θεοῦ δείξοντος αὐτοῖς σημεῖα ἐλευ-

§ 256 = Ant. Iud. XX 163.

PAMLVRCLatHegesippus II 6 p. 132 Eusebius hist. eccl. II 20.

1 *ἐπεφύετο*] ὑπεφύετο RC ὑποφύεται V *oriebatur* Lat *μεθ'* — 9 *προσδεχομένου* refert Eusebius *μεθ'*] *οἳ μεθ'* Euseb *μέσῳ* A 2 *πόλῃ* V¹C *φονεύοντες ἀνθρώπους*] *ἐφόνευον τοὺς συναντῶντας* Euseb *δὲ*] om. PALV *γὰρ* Euseb 3 *ἐσθῆσιν*] PAML² Euseb *ἐσθήσεσιν* L¹VRC *ξιφείδια* L 5 *ἐπαγανακτούντων* L *οἱ*] *αὐτοὶ οἱ* Euseb *πεφευκότες* A *πεφονευκότες* V¹ 6 *ὑπ'* VRCEuseb *πρῶ·τοσ* V *ὑπαντῶν* ex *ὑπάντων* corr. P 7 *ἀποσφάζεται* AMLVRC *κατασφαγῆναι* Euseb *δὲ* VRC 8 *τῶν*] *ipsis* Lat 9 *ὥ·ραν* V *προσδεχομένου*] finit Euseb 10 *προεσκοποῦντο* — 12 *ἀνῃροῦντο*] *circumspiciebant autem eminus quosque appropinquantes et neque amicis suis fidere poterant, dum tamen in mediis suspicionibus atque custodiis nihilominus interficiebantur* Lat 11 *πίστις*] *ἔτι πίστις* LVRC *ὑπονίαις* C¹ 12 *τοσούτων* L *τῶν*] *τὸν* A 13 *τάχος*] *temeritas* Lat 14 *πρὸς* om. VRC *πονηρῶν*, *ω* i. ras. A *πονηρὸν* LV 15 *καθαρωτέρων* et *ἀσεβεστέρων* uertit Lat 16 *σφαγέων*] *σφαγέντων* VRC *sicariorum* Lat 17 *ἀπαταιῶνες* PAC¹ *ὑπὸ προσχήματι* PAML *sub specie* Lat *θιασμοῦ* R 18 *ἀνέπειθον* VRC *καὶ προῆγον*] *nam egrediebantur* Lat 19 *ἐκεῖ*] *εἰ καὶ* PAL, om. Lat *δείξοντος*] MVCLat *δείξαντος* PALR; cf. Ant. XX 168

260 θερίας. ἐπὶ τούτοις Φῆλιξ, ἐδόκει γὰρ ἀποστάσεως εἶναι καταβολή, πέμψας ἱππεῖς καὶ πεζοὺς ὁπλίτας πολὺ πλῆθος διέφθειρεν.

261 5. Μείζονι δὲ τούτου πληγῇ Ἰουδαίους ἐκάκωσεν ὁ Αἰγύπτιος ψευδοπροφήτης· παραγενόμενος γὰρ εἰς τὴν χώραν ἄνθρωπος γόης καὶ προφήτου πίστιν ἐπιθεὶς ἑαυτῷ περὶ τρισμυρίους μὲν ἀθροίζει
262 τῶν ἠπατημένων, περιαγαγὼν δὲ αὐτοὺς ἐκ τῆς ἐρημίας εἰς τὸ ἐλαιῶν καλούμενον ὄρος ἐκεῖθεν οἷός τε ἦν εἰς Ἱεροσόλυμα παρελθεῖν βιάζεσθαι καὶ κρατήσας τῆς τε Ῥωμαϊκῆς φρουρᾶς καὶ τοῦ δήμου
263 τυραννεῖν χρώμενος τοῖς συνεισπεσοῦσιν δορυφόροις. φθάνει δ' αὐτοῦ τὴν ὁρμὴν Φῆλιξ ὑπαντήσας μετὰ τῶν Ῥωμαϊκῶν ὁπλιτῶν, καὶ πᾶς ὁ δῆμος συνεφήψατο τῆς ἀμύνης, ὥστε συμβολῆς γενομένης τὸν μὲν Αἰγύπτιον φυγεῖν μετ' ὀλίγων, διαφθαρῆναι δὲ καὶ ζωγρηθῆναι πλείστους τῶν σὺν αὐτῷ, τὸ δὲ λοιπὸν πλῆθος σκεδασθὲν ἐπὶ τὴν ἑαυτῶν ἕκαστον διαλαθεῖν.

264 6. Κατεσταλμένων δὲ καὶ τούτων ὥσπερ ἐν νοσοῦντι σώματι πάλιν ἕτερον μέρος ἐφλέγμαινεν. οἱ γὰρ γόητες καὶ λῃστρικοὶ συναχθέντες πολλοὺς εἰς ἀπόστασιν ἐνῆγον καὶ πρὸς ἐλευθερίαν παρεκρότουν θάνατον ἐπιτιμῶντες τοῖς πειθαρχοῦσιν τῇ Ῥωμαίων
265 ἡγεμονίᾳ καὶ πρὸς βίαν ἀφαιρήσεσθαι λέγοντες τοὺς ἑκουσίως δουλεύειν προαιρουμένους. περιζόμενοι δὲ εἰς τὴν χώραν κατὰ λόχους διήρπαζόν τε τὰς τῶν δυνατῶν οἰκίας καὶ αὐτοὺς ἀνῄρουν

§ 260 = Ant. Iud. XX 168.

PAMLVRC Lat Hegesippus II 7 p. 132 Eusebius hist. eccl. II 21.

1 *τούτοις ὁ* VRC *φίλιξ* PA et ex corr. R *φίληξ* ML²C 2 post *πέμψας* ras. 6—7 litt. C *πολλὺ* C 3 *μείζονι*] incipit Eusebius *τούτου*] *ταύτης* VRC *τούτων* Euseb, om. Lat *ὁ*] *quidam* Lat 4 *γὰρ* om. L¹ 5 *ἐπιθεὶς*] *περιτιθεὶς* L fort. recte *αὐτῷ* R *αὐτῶ* VC 6 *περιαγαγὼν*] *προαγαγὼν* Dindorf *εἰς*] VRC Euseb *ἐπὶ* P *πρὸς* AML 8 *τε*] LVRC Euseb, om. PAM *καὶ* om. Lat 9 *τυραννεῖν*] L²C Euseb *dominationem exercere* Lat *τυραννεῖ* PAMVR *τυραννίδι* L¹ *χρώμενος — δορυφόροις*] *utebatur autem stipatoribus qui ad id facinus conuenerant* Lat *δὲ* VRC 10 *φίλιξ* PA et ex corr. R *φίληξ* ML²C *ὑπαντήσας*] PA Euseb *ὑπαντιάσασ* MLVRC *ῥωμαίων* P *ῥωμαικὸν* V¹ 11 *συναφήψατο* R 12 *ὀλίγον* A¹ *δὲ* om. V 13 *ζωγρηθῆναι, ζω* i. ras. A *αὐτῷ*] finit Euseb 14 *αὐτῶν* VC 15 *σώματι* om. P 16 *ἐφλέγμαινεν, αι* et *εν* i. ras. A *ἐφλόγμαινεν* (*αι* ex *ε* corr.) V *ἐφλέγμενεν* R¹C¹ 17 *ἀπόστασιν ἐνῆγον*] *ἀποστασίαν ἦγον* PAM (*multis*) *afflictionem inducebant* Lat *καὶ*] *et quasi* Lat *ἐλευθερίαν*] *ἀποστασίαν* A 19 *ἀφαιρεθήσεσθαι* VRC *καὶ πρὸς — 20 προαιρουμένους*] *ut reluctantes auerterent eos qui ferrent spontaneam seruitutem* Lat 20 *δ'* L

καὶ τὰς κώμας ἐνεπίμπρασαν, ὥστε τῆς ἀπονοίας αὐτῶν πᾶσαν τὴν Ἰουδαίαν ἀναπίμπλασθαι. καὶ οὗτος μὲν ὁ πόλεμος καθ' ἡμέραν ἀνερριπίζετο.

7. Ἑτέρα δὲ ταραχὴ συνίσταται περὶ Καισάρειαν τῶν ἀναμι- 266
μιγμένων Ἰουδαίοις πρὸς τοὺς ἐν αὐτῇ Σύρους στασιασάντων. οἱ μὲν γὰρ ἠξίουν σφετέραν εἶναι τὴν πόλιν Ἰουδαίων γεγονέναι τὸν κτίσιν αὐτῆς λέγοντες· ἦν δὲ Ἡρώδης ὁ βασιλεύς· οἱ δὲ ἕτεροι τὸν οἰκιστὴν μὲν προσωμολόγουν Ἰουδαῖον, αὐτὴν μέντοι γε τὴν πόλιν Ἑλλήνων ἔφασαν· οὐ γὰρ ἂν ἀνδριάντας καὶ ναοὺς ἐγκαθιδρῦσαι Ἰουδαίοις αὐτὴν ἀναιτίαν. διὰ ταῦτα δὲ ἠμφισβήτουν 267
ἑκάτεροι· προῆει δ' αὐτοῖς τὸ φιλόνεικον εἰς ὅπλα καὶ καθ' ἡμέραν οἱ θρασύτεροι παρ' ἀμφοῖν προεπίδων ἐπὶ μάχην· οὔτε γὰρ Ἰουδαίων οἱ γεραιοὶ τοὺς ἰδίους στασιαστὰς κατέχειν οἷοί τε ἦσαν καὶ τοῖς Ἕλλησιν αἰσχος ἐδόκει Ἰουδαίων ἐλαττοῦσθαι. προ- 268
εἶχον δ' οἱ μὲν πλούτῳ καὶ σωμάτων ἀλκῇ, τὸ δὲ Ἑλληνικὸν τῇ παρὰ τῶν στρατιωτῶν ἀμύνῃ· τὸ γὰρ πλέον Ῥωμαίοις τῆς ἐκεῖ δυνάμεως ἐκ Συρίας ἦν κατειλεγμένον καὶ καθάπερ συγγενεῖς ἦσαν πρὸς τὰς βοηθείας ἕτοιμοι. τοῖς γε μὴν ἐπάρχοις φροντὶς ἦν 269
ἀναστέλλειν τὴν ταραχὴν καὶ τοὺς μαχιμωτέρους ἀεὶ συλλαμβάνοντες ἐκόλαζον μάστιξι καὶ δεσμοῖς. οὐ μὴν τὰ πάθη τῶν συλλαμβανομένων ἐνεποίει τοῖς καταλειπομένοις ἀνακοπὴν ἢ δέος, ἀλλ' ἔτι μᾶλλον παρωξύνοντο πρὸς τὴν στάσιν. νικῶντας δέ ποτε 270
τοὺς Ἰουδαίους προελθὼν εἰς τὴν ἀγορὰν ὁ Φῆλιξ μετ' ἀπειλῆς ἐκέλευσεν ἀναχωρεῖν. τῶν δὲ μὴ πειθομένων ἐπιπέμψας τοὺς στρατιώτας ἀναιρεῖ συχνούς, ὧν διαρπαγῆναι συνέβη καὶ τὰς οὐσίας.

---

§ 265 = Ant. Iud. XX 172.

PAMLVRCLatHegesippus II 8 p. 133.

1 ἐνεμπίπρασαν P ἐνεπίπρασαν C 2 ἀναπίπλασθαι C¹ οὐτοσ corr. ex αὐτὸσ P οὕτωσ C ἐρριπίζετο PAML ἀνεριπίζετο C *grauius angebatur* Lat 4 συνήσταται A 5 ἐν αὐτῇ] *ibi* (ante *ἀναμεμιγμένων* positum) Lat 7 οἱ δὲ ἕτεροι] *aemuli uero* Lat 8 οἰκιστὴν] κτίστην C 9 ἂν om. P ἐγκαθίδρυσαν C 10 δὲ] μὲν VRC δὲ ἠμφισβήτουν] διημφισβήτουν Destinon ἠφισβήτουν C 11 προῆει·, ἡ i. ras. m. 2, ει ex εἰ corr., eras. η L δὲ VRC καθ'] μεθ' M 12 παρ' ἀμφοῖν] παμφοῖν R¹ Lips ἐπαμφοῖν ex corr. R ἐπὶ] εἰσ V οὐδὲ PAML 13 γηραιοὶ (η i. ras. m. 2 L) LVC 15 δ'] om. P δὲ VRC ἀλκαῖσ L et fort. Lat haud male δ' M 16 ἐκεῖ] ἐκ C 17 ἦν, η corr. m. 2 ut uid. ex ο L κατηλεγμένον C¹ καὶ om. L¹ 18 πρὸς — βοηθείας] *ad auxiliandum syris* Lat πρὸς] εἰσ VRC ἕτοιμοι τοῖς, litt. οι τ i. ras. A 19 ἀεὶ] ἑκατέρωθεν ἀεὶ LVRC 22 νικῶντας — 24 ἀναχωρεῖν] *tunc demum felix minaci edicto praecepit contumaces quosque urbe discedere* Lat 23 προελθὼν] παρελθὼν ALVR παρελθεῖν C φίλιξ PA et ex corr. R φίληξ L²MC μετὰ LVRC

μενούσης δὲ τῆς στάσεως ἐπιλέξας ἑκατέρωθεν τοὺς γνωρίμους
ἔπεμψεν πρέσβεις ἐπὶ Νέρωνα διαλεξομένους περὶ τῶν δικαίων.
271 XIV. 1. Διαδεξάμενος δὲ παρὰ τούτου τὴν ἐπιτροπὴν ὁ Φῆστος
τὸ μάλιστα λυμαινόμενον τὴν χώραν ἐπεξῆλθε· τῶν γοῦν λῃστῶν
272 συνέλαβέν τε πλείστους καὶ διέφθειρεν οὐκ ὀλίγους. ἀλλ' οὐχ ὁ
μετὰ Φῆστον Ἀλβῖνος τὸν αὐτὸν τρόπον ἐξηγήσατο τῶν πραγμά-
273 των, οὐκ ἔστιν δὲ ἥντινα κακουργίας ἰδέαν παρέλειπεν. οὐ μόνον
γοῦν ἐν τοῖς πολιτικοῖς πράγμασιν ἔκλεπτεν καὶ διήρπαζεν τὰς
ἑκάστων οὐσίας, οὐδὲ τὸ πᾶν ἔθνος ἐβάρει ταῖς εἰσφοραῖς, ἀλλὰ
καὶ τοὺς ἐπὶ λῃστείᾳ δεδεμένους ὑπὸ τῆς παρ' ἑκάστοις βουλῆς ἢ
τῶν προτέρων ἐπιτρόπων ἀπελύτρου τοῖς συγγενέσιν, καὶ μόνος ὁ
274 μὴ δοὺς τοῖς δεσμωτηρίοις ὡς πονηρὸς ἐγκατελείπετο. τηνικαῦτα
καὶ τῶν νεωτερίζειν βουλομένων ἐν Ἱεροσολύμοις ἐθάρσησαν αἱ
τόλμαι, καὶ χρήμασιν μὲν οἱ δυνατοὶ τὸν Ἀλβῖνον προσελάμβανον
ὥστε τοῦ στασιάζειν αὐτοῖς παρέχειν ἄδειαν, τοῦ δημοτικοῦ δὲ τὸ
275 μὴ χαῖρον ἡσυχίᾳ πρὸς τοὺς Ἀλβίνου κοινωνοὺς ἀπέκλινεν. ἕκαστος
δὲ τῶν πονηρῶν ἴδιον στῖφος ὑπεζωσμένος αὐτὸς μὲν ὥσπερ ἀρχι-
λῃστὴς ἢ τύραννος προανεῖχεν ἐκ τοῦ λόχου, τοῖς δορυφοροῦσι δὲ
276 πρὸς ἁρπαγὰς τῶν μετρίων κατεχρῆτο. συνέβαινεν δὲ τοὺς μὲν
ἁρπαγεῖσιν ὑπὲρ ὧν ἀγανακτεῖν ἐχρῆν σιωπᾶν, τοὺς ἁπλήγας δὲ
δέει τοῦ μὴ τὰ αὐτὰ παθεῖν καὶ κολακεύειν τὸν ἄξιον κολάσεως.
καθόλου δὲ ἡ μὲν παρρησία πάντων περικέκοπτο, τυραννὶς δ' ἦν

---

§ 270 = Ant. Iud XX 182; § 271 = Ant. Iud. XX 185; § 272 = Ant. Iud XX 204.

PAMLVRCLat Hegesippus II 8 p. 133 Exc Peiresc.

1 *μενούσης — στάσεως*] *post haec quoque cum uideret seditionem manere* Lat 2 *ἔπεμψεν*] *ἔπεμπεν* A *ὁ φίλης ἔπεμψε* M 3 i. marg. *κδ* VC *παρὰ τούτου*] *περὶ τούτου* V, om. C *ὁ* om. VRC 4 *ἐπεξῆλθε* A *ἐπεξῆλθεν, ήει* i. ras. m. 2 V 5 *συνέλαβέν τε*] *συνελάβετο* V *συνέλαβε τοὺς* RC *οὐκ ὀλίγους* om. Lat *ἀλλὰ* A¹ 6 *ἐξηγήσατο*] incip. Exc 7 *εἰδέαν* PA *παρέλιπεν* MLC 8 *τὰς*] *τὴν* VRC 9 *οὐσίαν* VRC 10 *δεδενους* A *ἑκάστοις*] *ἑκάστου* PALExc *ἑκάστης* C 11 *συγγενέσι, εσ* ex *ενσ* corr. uid. A 13 *καὶ τῶν* om. Exc 14 *προσελάβοντο* Exc 15 *αὐτὸς* L¹ *παρέχειν*] *παρέσχεν* Exc *τὸ δημοτικὸν* R 16 *χαῖρον*] *χαῦνον*, i. marg. *χαῖρον* V *τοὺς* om. R *Ἀλβίνου*] *σαβίνου* P 17 *ὑποζωσάμενος* VR *ἀρχηλῃστὴς* P 18 *λόχου, χ* ex *γ* corr. A *τοῖς*] *τοὺς* V¹ 19 *πρὸς ἁρπαγὰς*] *τὰς ἁρπαγὰς* P *προσαρπάσας* V *πρὸς ἁρπαγὰς, γ* i. ras. ex *σ* corr. uid. R *πρὸς — μετρίων*] *τῶν μετρίων προσαρπαγὰς* Exc 20 *ἁπλῆγας* LRCExc 21 *καὶ κολακεύειν*] *querelis deterrebantur immo et officiis ambiebant* Lat 22 *ἡ μὲν*] *ἡμᾶς* Exc *περικέκοπτο* MVRC Exc *τυραννὶς* C *δὲ* VRC Exc

διὰ πλειόνων, καὶ τὰ σπέρματα τῆς μελλούσης ἁλώσεως ἔκτοτε τῇ πόλει κατεβάλλετο.

2. Τοιοῦτον δ' ὄντα τὸν Ἀλβῖνον ἀπέδειξεν ὁ μετ' αὐτὸν 277
ἐλθὼν Γέσσιος Φλῶρος ἀγαθώτατον κατὰ σύγκρισιν. ὁ μέν γε
λάθρα τὰ πολλὰ καὶ μεθ' ὑποστολῆς ἐκακούργησεν. Γέσσιος δὲ
τὰς εἰς τὸ ἔθνος παρανομίας ἐπόμπευσεν καὶ ὥσπερ ἐπὶ τιμωρίᾳ
κατακρίτων πεμφθεὶς δήμιος οὔτε ἁρπαγῆς τινα τρόπον οὔτε αἰκίας
παρέλιπεν. ἦν δὲ ἐν μὲν τοῖς ἐλεεινοῖς ὠμότατος, ἐν δὲ τοῖς αἰσ- 278
χροῖς ἀναιδέστατος. οὔτε δὲ πλείω τις ἀπιστίαν τῆς ἀληθείας
κατέχεεν οὔτε ἐν τῷ πανουργεῖν δολιωτέρας ὁδοὺς ἐπενόησεν. ᾧ
τὸ μὲν κατ' ἄνδρα κερδαίνειν μικρὸν ἐδόκει, πόλεις δ' ὅλας ἐξε-
δίδυσκε καὶ δήμους ἀθρόους ἐλυμαίνετο καὶ μόνον οὐκ ἐκίρνησεν
ἀνὰ τὴν χώραν πᾶσιν ἐξεῖναι λῃστεύειν ἐφ' ᾧ μέρος αὐτὸς λήψεται
τῶν λαφύρων. διὰ γοῦν τὴν ἐκείνου πλεονεξίαν πᾶσας ἠρίμωθῆναι 279
συνέβη τὰς πόλεις καὶ πολλοὺς τῶν πατρίων ἠθῶν ἐξαναστάντας
φυγεῖν εἰς τὰς ἀλλοφύλους ἐπαρχίας.

3. Μέχρι μὲν οὖν ἐν Συρίᾳ Κέστιος Γάλλος ἦν διέπων τὴν 280
ἐπαρχίαν, οὐδὲ πρεσβεύσασθαί τις πρὸς αὐτὸν ἐτόλμησεν κατὰ τοῦ
Φλώρου· παραγενόμενον δὲ εἰς Ἱεροσόλυμα τῆς τῶν ἀζύμων ἑορτῆς

§ 277 = Ant. Iud. XX 252.

PAMLVRC Lat Hegesippus II 8 p. 134 Exc Peiresc.

1 *πλεώνων* V¹ *πλεόνων* V² *ἐκ τότε* RC 2 *κατεβάλετο* PALC 3 *δὲ* VRC *ἀπέδειξεν* ex *ἀπέκτεινεν* corr. C *μετ' αὐτὸν*] *μεταυτὸν* L¹Exc *μετὰ τοῦτον* VR 4 *Γέσσιος*] *κέσσιος* LExc *cestius* Lat *φλῶρος* V *φλώρος, ώ* ex *ό* corr. hic et infra P *ἀγαθότατον* M *ἀγαθώτατος* L¹ *optimum* Lat *integer* Heg *δικαιότατον* Dindorf ex cod. Voss. *ἀγανώτατον* Destinon *γε*] *γὰρ* M 5 *τὰ πολλὰ καὶ μεθ'*] *πολλά τε δι* VR *ἐκακούργησε* M *κέσσιος* L *cestius* Lat *φλῶρος* Exc 6 *καὶ ὥσπερ*] *ac uelut non ad regendam prouinciam sed* Lat *τιμωρίωι* Exc 7 *αἰκίας, κί* suppl. m. 2 C 8 *παρέλειπεν* A *παρέπεμπεν* MLVR Exc *εὕρηται καὶ παρέλειπεν* i. marg. M *praetermisit* Lat *αἰσχροῖς*] *ἐχθροῖς* L 10 *κατέχεεν*] *κατέσχεν* Exc *δολιοτέρας* L *ἐπενόησεν*] *ἐνεποίησεν* C 11 *πόλις* P *δὲ* LVRC *ἐξεδιδύσκει* PA *ἐξεδίδυσκεν* L *ἐξεδίδασκεν* Exc 12 *ἀθρόους* C *οὐκ ἐκίρνησεν* om. M 13 *λῃστεύειν*] *λῃστευσιν* sic *ου* Exc *χώραν πᾶσιν*] *totam regionem — omnibus* Lat 14 *ἐκείνων* (s. m. 2) L *ἐκείνων* Exc 15 *πόλεις*] *τοπαρχίας* LVRCExc fort. recte *regionem* Lat *καὶ* — 16 *ἐπαρχίας* om. R *ἠθῶν*] Destinon ex Ant. XX 256 *ἐθῶν* codd. *sedibus* Lat *ἐθνῶν* Exc quod coniecerat quidam apud Hauerkamp 16 *ἀλλοφύλους*] *ἀλλοτρίους* VCLips *externas* Lat 17 *κέσστιος* A *ἦν προδιέπων* VRC 18 *ἐπάρχιν* R post *τις* deletum *καταντ* C *τοῦ* om. Exc

ἐνεστώσης περιστὰς ὁ δῆμος οὐκ ἐλάττους τριακοσίων μυριάδων ἱκέτευον ἐλεῆσαι τὰς τοῦ ἔθνους συμφορὰς καὶ τὸν λυμεῶνα τῆς
281 χώρας Φλῶρον ἐκεκράγεσαν· ὁ δὲ παρὼν καὶ τῷ Κεστίῳ παρεστὼς διεχλεύαζεν τὰς φωνάς. ὅ γε μὴν Κέστιος τὴν ὁρμὴν τοῦ πλήθους κατασταλεὶς καὶ δοὺς ἔμφασιν ὡς πρὸς τὸ μέλλον αὐτοῖς τὸν Φλῶρον κατασκευάσειεν μετριώτερον, ὑπέστρεφεν εἰς Ἀντιόχειαν.
282 προέπεμπτε δὲ αὐτὸν μέχρι Καισαρείας Φλῶρος ἐξαπατῶν καὶ πόλεμον ἤδη τῷ ἔθνει σκοπούμενος, ᾧ μόνῳ συγκρύψειν τὰς ἑαυτοῦ
283 παρανομίας ὑπελάμβανεν· εἰρήνης μὲν γὰρ οὔσης κατηγόρους ἕξειν ἐπὶ Καίσαρος Ἰουδαίους προσεδόκα, πραγματευσάμενος δὲ ἀπόστασιν αὐτῶν τῷ μείζονι κακῷ περισπάσειν τὸν ἔλεγχον ἀπὸ τῶν μετριωτέρων. ὁ μὲν οὖν, ὡς ἂν ἀπορραγείη τὸ ἔθνος, καθ' ἡμέραν ἐπέτεινεν αὐτοῖς τὰς συμφοράς.

284 4. Ἐν δὲ τούτῳ καὶ οἱ Καισαρέων Ἕλληνες νικήσαντες παρὰ Νέρωνι τῆς πόλεως ἄρχειν τὰ τῆς κρίσεως ἐκόμισαν γράμματα, καὶ προσελάμβανεν τὴν ἀρχὴν ὁ πόλεμος δωδεκάτῳ μὲν ἔτει τῆς Νέρωνος ἡγεμονίας, ἑπτακαιδεκάτῳ δὲ τῆς Ἀγρίππα βασιλείας,
285 Ἀρτεμισίου μηνός. πρὸς δὲ τὸ μέγεθος τῶν ἐξ αὐτοῦ συμφορῶν οὐκ ἀξίαν ἔσχεν πρόφασιν· οἱ γὰρ ἐν Καισαρείᾳ Ἰουδαῖοι, συναγωγὴν ἔχοντες παρὰ χωρίον, οὗ δεσπότης ἦν τις Ἕλλην Καισαρεύς, πολλάκις μὲν κτήσασθαι τὸν τόπον ἐσπούδασαν τιμὴν πολλαπλα-

§ 284 = Ant. Ind. XX 257.

PAMLVRC Lat Exc Peiresc.

1 *ἐνστάσης* VRC *παραστὰς* M *accurrens* Lat 2 *τὰς*] *τὰ* R¹ *συμφορὰς τοῦ ἔθνους* tr. C *καὶ τὸν — 4 φωνάς* om. P *λυμαιῶνα* A *λυμαιόνα* V¹ 3 *ἐκεκράγεσεν* V *ut eiceret clamitabat* Lat *ὁ — παρεστὼς*] *qui tamen cum sub populi ore esset et gallo assisteret, non modo nihil mouebatur, sed* Lat; post *παρεστὼς* aliquid deesse suspicatur Hudson 5 ante *μέλλον* deletum *πλεον* C 6 *κατασκευάσει* Exc *ὑπέστρεψεν* MVRC 7 *προέπεμψε* P *δ'* Exc *αὐτῶν* C 8 *σκοπούμενος*] PAMLLatExc *θυμούμενος ἐπορίζετο* VRC *ᾧ μόνῳ*] *ὠμὸν ὦ* V² et m. 1 Lips *ὠμὸν ὦ ὦ μόνω* R *ὡς μόνω* C *συγκαλύψειν*, i. marg. m. 2 *συγκρύψειν* V *συγκρίψειν* C¹ *συγκάψειν* Exc *αὐτοῦ* VRC 9 *ἔξειν*, *ν* i. ras. m. 2 V 11 *ἔλεγχον*] *ἔλεγχον αὐτῶν* VRC *ἔλεγχον ἀπὸ τῶν μετριωτέρων*] *inuidiam peccatorum minorum* Lat 12 *ἂν* om. LExc *ἀποραγείη* A 14 i. marg. *ιε* VC 15 *τῆς κρίσεως*] *τοῦ βασιλέως*, i. marg. *γρ τὰ τῆσ κρίσεωσ* V *τῆς πόλεως ἄρχειν* om. Lat *ἐκομίσαντο* L *ἐκόμησαν* Exc 16 *δωδεκάτῳ* etc.] hoc est mense Maio aut Iunio anno p. Chr. 66 *μὲν* om. Exc 17 *ἡγεμονίας*, litt. *ηγεμονι* i. ras. A *ἀγρίππα* · V 18 *ἀρτεμησίου* PALV¹R *Ἀρτεμισίου μηνὸς* om. Exc 21 *πολλάκι* V¹

οἵονα τῆς ἀξίας διδόντες· ὃς δ' ὑπερορῶν τὰς δεήσεις πρὸς ἐπή- 286
ρειαν ἔτι καὶ παρῳκοδόμει τὸ χωρίον ἐκεῖνος ἐργαστήρια κατα-
σκευαζόμενος στενήν τε καὶ παντάπασιν βιαίαν πάροδον ἀπέλειπεν
αὐτοῖς, τὸ μὲν πρῶτον οἱ θερμότεροι τῶν νέων προπηδῶντες οἰκο-
δομεῖν ἐκώλυον. ὡς δὲ τοίτοις εἶργεν τῆς βίας Φλῶρος. ὁμιχα- 287
νοῦντες οἱ δυνατοὶ τῶν Ἰουδαίων, σὺν οἷς Ἰωάννης ὁ τελώνης,
πείθουσι τὸν Φλῶρον ἀργυρίου ταλάντοις ὀκτὼ διακωλῦσαι τὸ
ἔργον. ὁ δὲ πρὸς μόνον τὸ λαβεῖν ὑποσχόμενος πάντα συμπράξειν, 288
λαβὼν ἔξεισιν τῆς Καισαρείας εἰς Σεβαστὴν καὶ καταλείπει τὴν
στάσιν αὐτεξούσιον, ὥστερ ἄδειαν πεπρακὼς Ἰουδαίοις τοῦ μάχεσθαι.

5. Τῆς δ' ἐπιούσης ἡμέρας ἑβδομάδος οὔσης τῶν Ἰουδαίων εἰς 289
τὴν συναγωγὴν συναθροισθέντων στασιαστής τις Καισαρεὺς γάστραν
καταστρέψας καὶ παρὰ τὴν εἴσοδον αὐτῶν θέμενος ἐλέθυεν ὄρνεις.
τοῦτο τοὺς Ἰουδαίους ἀνηκέστως παρώξυνεν ὡς ἐβρισμένον μὲν
αὐτοῖς τῶν νόμων, μεμιασμένον δὲ τοῦ χωρίου. τὸ μὲν οὖν εὐστα- 290
θὲς καὶ πρᾶον ἐπὶ τοὺς ἡγεμόνας ἀναφεύγειν ᾤετο χρῆναι, τὸ
στασιῶδες δὲ καὶ ἐν νεότητι φλεγμαῖνον ἐξεκαίετο πρὸς μάχην.
παρεσκευασμένοι δὲ εἱστήκεσαν οἱ τῶν Καισαρέων στασιασταί, τὸν
γὰρ ἐπιθήσοντα προπεπόμφεσαν ἐκ συντάγματος, καὶ ταχέως ἐγέ-
νετο συμβολή. προσελθὼν δὲ Ἰούκουνδος ὁ διακωλύειν τεταγμένος 291

PAMLVRC Lat Exc Peiresc.

1 δὲ VRC 2 παρῳκοδόμει — κατασκευαζόμενος] *aedificauit in loco tabernas* Lat προσωκοδόμει VRC 3 τε] δὲ RC βιαί-αν A ἀπέλιπεν MC ὑπέλειπεν V 4 νέων] νετέρων C^1 νεωτέρων C^2 προπηδόντες RC¹ 5 ταῖς βίαις V φλῶρος ex φλόρος corr. PA, similiter u. 7 6 οἷς] οἷσ ἦν L ὁ τελώνης ἰωάννης tr. VRC Ἰωάννης] ϊώννης Exc 7 ἀργυρίῳ ταλάντων PAM *oblatione (octo) talentorum* Lat ὀκτῶ A ὀκτῶι V 9 λαβὼν om. A 10 ἄδειαν] *spatium* Lat ἰουδαίοις ex ἰουδαίουσ corr. L 11 τῆς — 12 συναθροισθέντων] τῆσ δ' ἐπιούσησ εἰσ συναγωγὴν συναθροισθέντων τῶν ϊουδαίων Exc δὲ VRC 12 ἀθροισθέντων VRC 13 καταστρέψας] *ponens* Lat καταστέψας Niese ἔθυεν R ὄρνισ (ι ex ει corr. AL) AMLC 14 ἀνηκέστω R¹ μὲν om. PAMLVRExc 15 μεμιαμμένου RC² μεμιαμένου C¹ 16 καταφεύγειν VRC ᾤετο] πάλιν ᾧετο LVRCExcLat 17 δὲ στασιῶδεσ tr. M φλογμένον (s. m. 2) V 18 παρεσκευασμένοι, ε ante σ i. ras. A παρασκευασμένοι Exc δ' LExc εἱστήκεισαν L εἱστήκεισαν Exc *Καισαρέων*] νέων Exc 19 ἐπιθήσοντα] ἐπιθήσαντα ALVRCExc *qui pro synagogae foribus immolaret* Lat προπεπόμφεσαν, ε (in εσ) i. ras. L ἐγίνετο AL 20 συμβολή] ἡ συμβολή (συμβουλή C) VRC προσελθὼν — p. 210, 5 δώδεκα breuiat Exc ἰουκοῦνδοσ MVRC ἰούκινδοσ P ἰούκονδοσ A¹ fort. recte τεταγμένος] *relictus* Lat ante τεταγμένος ras. 9—10 litt. V

ἱππάρχης τήν τε γάστραν αἴρει καὶ καταπαύειν ἐπειρᾶτο τὴν στάσιν. ἡττωμένου δ' αὐτοῦ τῆς τῶν Καισαρέων βίας Ἰουδαῖοι τοὺς νόμους ἁρπάσαντες ἀνεχώρησαν εἰς Νάρβατα· χώρα τις αὐτῶν οὕτω καλεῖται
292 σταδίους ἑξήκοντα διέχουσα τῆς Καισαρείας· οἱ δὲ περὶ τὸν Ἰωάννην δυνατοὶ δώδεκα πρὸς Φλῶρον ἐλθόντες εἰς Σεβαστὴν ἀπωδύροντο περὶ τῶν πεπραγμένων καὶ βοηθεῖν ἱκέτευον, αἰδημόνως ὑπομιμνήσκοντες τῶν ὀκτὼ ταλάντων. ὁ δὲ καὶ συλλαβὼν ἔδησεν τοὺς ἄνδρας αἰτιώμενος ὑπὲρ τοῦ τοὺς νόμους ἐξενεγκεῖν τῆς Καισαρείας.

293 6. Πρὸς τοῦτο τῶν ἐν Ἱεροσολύμοις ἀγανάκτησις ἦν, ἔτι μέντοι τοὺς θυμοὺς κατεῖχον. ὁ δὲ Φλῶρος ὥσπερ ἠργολαβηκὼς ἐκριπίζειν τὸν πόλεμον, πέμψας εἰς τὸν ἱερὸν θησαυρὸν ἐξαιρεῖ δεκαεπτὰ
294 τάλαντα σκηψάμενος εἰς τὰς Καίσαρος χρείας. σύγχυσις δ' εὐθέως εἶχεν τὸν δῆμον, καὶ συνδραμόντες εἰς τὸ ἱερὸν βοαῖς διαπρυσίοις τὸ Καίσαρος ἀνεκάλουν ὄνομα καὶ τῆς Φλώρου τυραννίδος ἐλευ-
295 θεροῦν σφᾶς ἱκέτευον. ἔνιοι δὲ τῶν στασιαστῶν λοιδορίας αἰσχίστους εἰς τὸν Φλῶρον ἐκεκράγεσαν καὶ κανοῦν περιφέροντες ἀπῄτουν αὐτῷ κέρματα καθάπερ ἀκλήρῳ καὶ ταλαιπώρῳ. τούτοις οὐκ ἀνετράπη τὴν φιλαργυρίαν, ἀλλ' ἐπὶ τὸ μᾶλλον χρηματίσασθαι
296 παρωργίσθη. δέον γοῦν εἰς Καισάρειαν ἐλθόντα σβέσαι τὸ τοῦ πολέμου πῦρ ἐκεῖθεν ἀρχόμενον καὶ τῆς ταραχῆς ἀνελεῖν τὰς αἰτίας, ἐφ' ᾧ καὶ μισθὸν ἔλαβεν, ὁ δὲ μετὰ στρατιᾶς ἱππικῆς τε καὶ πεζι-

---

PAMLVRCLatExcPeiresc.

1 *ἱππάρχης, ι* ex *υ* corr. A *αἴρεῖ* C *iussit auferri* Lat *ἐπειρᾶτο*] *pergebat* Lat 2 *ἡττομένου* PA¹V¹ *δὲ* VRC 3 *Νάρβατα*] cf. infra § 509 *οὕτωι* V¹ 4 *ἑξήκοντα*] ξ P *Ἰωάννην*] *ϊώννην* Exc 5 ante *πρὸς* ras. 2—3 litt. A *φλόρον* P¹A¹ hic et infra 6 *τῶν*] *περὶ τῶν* V 7 *λαβὼν* Exc 8 *ἐξενεγκεῖν, εν* corr. ex *εγ* A *ἐξαγαγεῖν* V 9 *πρὸς τοῦτο*] *pro hoc igitur* Lat *τοῦτο*] *τούτοις* PAM *τῶν*] *τοῖς* VRC *ἀγανάκτησις ἦν*] *grauissima iurgia nascebantur* Lat 10 *τοὺς*] *καὶ τονσ* VRC *ἐργολαβηκὼσ* VR *ἐκριπίζειν τὸν πόλεμον, πέμψας*] PAMLLatExc *ἐκριπίζει τὸν πόλεμον καὶ πέμψασ* VRC 11 *εἰς*] *ἐπὶ* VRC fort. recte *ἐξαίρει* codd. *δεκαεπτὰ*] ιζ PA *ἑπτακαίδεκα* VRCExc 12 *εἰς* om. C *σύγχυσις*— 13 *διαπρυσίοις* breuiant Exc *δὲ* VR *εὐθεῶ* C¹ 13 *συνδραμῶντεσ* A 14 *ἐκάλουν* Exc 15 *τῶν στασιαστῶν*] *καὶ* Exc *αἰσχίστους*] *ἐσχάτους* Destinon ex Lat in quo est *ultima* 16 *φλόρον* PA¹ *ἐκεκράγησαν* A *ἐπιφέροντεσ* VRC *circumferentes* Lat *ἐπῄτουν* L¹VRCExc 17 *κέρμα* VRC *stipem* Lat *καθάπερ*, litt. *θάπερ* s. P *ἀκλήρῳ*] *κλήρωι* Exc *ταλαιπόρω* P *ταλεπώρω* V¹ 18 *ἀνετράπη*] PAMLExc *ἐνετράπη* VRC *deterritus est* Lat *τὸ*] *τῶ* VRExc 19 *προσωργίσθη* VRC 20 *ἀρχομένου* uertit Lat *τὴν αἰτίαν* Exc 21 *καὶ μισθὸν*] *κομισθὲν* C

κῆς ἐπὶ Ἱεροσολύμων ὥρμησεν, ἵνα τοῖς Ῥωμαίων ὅπλοις * ἐργάσηται καὶ τῷ δέει καὶ ταῖς ἀπειλαῖς περιδύσῃ τὴν πόλιν.

7. Ὁ δὲ δῆμος προδυσωπῆσαι τὴν ὁρμὴν αὐτοῦ βουλόμενος 297
ἐπαντιᾷ τοῖς στρατιώταις μετ' εὐφημίας καὶ τὸν Φλῶρον θεραπευτικῶς ἐκδέχεσθαι παρεσκευάσατο. χαλκοῦς προελέμψας σὺν λιτείαις 298
πεντήκοντα καπίτωνα ἑκατοντάρχῃ ἀναχωρεῖν αὐτοῖς ἐκέλευσεν καὶ
μὴ πρὸς ὃν οὕτως ἐλοιδόρησαν αἰσχρῶς εἰρωνεύεσθαι τὰς νῦν φιλο-
φρονήσεις· δεῖν γὰρ αὐτούς, εἴπερ γενναῖοί εἰσιν καὶ παρρησιασταί, 299
σκώπτειν μὲν αὐτὸν καὶ παρόντα, φαίνεσθαι δὲ μὴ μόνον ἐν τοῖς
λόγοις, ἀλλὰ κἂν τοῖς ὅπλοις φιλελευθέρους. τούτοις καταπλαγὲν 300
τὸ πλῆθος, ἅμα καὶ τῶν περὶ Καπίτωνα ἱππέων εἰς μέσον φερο-
μένων, διεσκεδάσθη πρὶν ἀσπάσασθαι τὸν Φλῶρον ἢ τοῖς στρα-
τιώταις φανερὸν ποιῆσαι τὸ πειθήνιον. ἀναχωρήσαντες δὲ εἰς τὰς
οἰκίας μετὰ δέους καὶ ταπεινότητος ἐννυκτέρευσαν.

8. Φλῶρος δὲ τότε μὲν ἐν τοῖς βασιλείοις αὐλίζεται, τῇ δ' 301
ὑστεραίᾳ βῆμα πρὸ αὐτῶν θέμενος καθέζεται, καὶ προσελθόντες
οἵ τε ἀρχιερεῖς καὶ δυνατοὶ τό τε γνωριμώτατον τῆς πόλεως παρέ-
στησαν τῷ βήματι. τούτοις ὁ Φλῶρος ἐκέλευσεν τοὺς λοιδορήσαν- 302
τας αὐτὸν ἐκδοῦναι, φάμενος αὐτοὺς ἀπολαύσειν τῆς ἀμύνης, εἰ μὴ
προάγοιεν τοὺς αἰτίους. οἱ δὲ τὸν μὲν δῆμον ἀπέφηναν εἰρηνικὰ
φρονοῦντα, τοῖς δὲ παραθεξαμένοις ἐτοῦντο συγγνώμην· ἐν γὰρ 303
τοσούτῳ πλήθει θαυμαστὸν μὲν οὐδὲν εἶναί τινας θρασυτέρους καὶ

PAMLVRC Lat Exc Peiresc.

1 *ἐργάσηται*] *ἐργάσηται τὸ βουλόμενον* C (*armis*) *ad quod uolebat uteretur* Lat *χρήσηται* Destinon 2 *περιδύσει* P¹A *πόλιν. ὁ δὲ δῆμος* i. ras. L 3 *αὐτοῦ* iterat C¹ 4 *ὑπήντα* mauult Hudson *στρατιώταις* V¹ *μετ' εὐφημία·σ* L *cum solitis utique fauoribus* Lat 5 *παρεσκεύαστο* VRC *ἱππεῦσι, ι* finale i. ras. maiore A 6 *καπίτωνα, ι* ex *ή* corr. (item u. 11) P *καὶ πίτωνα* A¹ *ἑκατόνταρχον* Exc 7 *μὴ* om. AC *οὕτως*] *οὗτοι* M *εἰρωνεύσθαι* A 9 *σκόπτειν* AV¹ 10 *κἂν*] *καὶ* AL *καὶ ἐν* VRC *τούτοις*] *οὕτω* (— *ωι* V) VRC 11 *περὶ τῶν* tr. A *τῶν*] *τὸν* V¹ *μέσον*] *μέσονς* VRCExc (*in*) *medium uulgus* Lat *φερόμενον* C 12 *διεσκεδάσθησαν* Exc 13 *φανερὸν, ν* finale i. ras. L *πιθήνιον* LExc *πειθίνιον* C¹ 14 *ἐννυκτέρευσαν*] *διεννυκτέρευσαν* VRC; finiunt Exc 15 *δὲ τότε* i. ras. A *τότε* i. marg. suppl. L *μὲν* om. M *δὲ* VRC 16 *πρὸ αὐτῶν*] *aduersum eos* Lat *καθέζεται*] *sublimius resedit* Lat 17 *οἵ τε — πόλεως*] *sacerdotum principes et ciuitatis uniuersa nobilitas* Lat *τό*] *τῶν* V *γνωριμότατον* C¹ *γνωρίμων* V *πόλεως*] *πόλεωσ πᾶν* RC *πόλεωσ πᾶν τὸ ἀκρότατον* V 18 *ἐκέλευε* VR 19 *ἐκδοῦναι*] *protinus darent* Lat *ἀπολαῦσαι* PAML *esse — uindicandum* Lat 20 *προσάγοιεν* LVRC² *προσάγωεν* ut uid. C¹ *produxerint* Lat *ἀπέφαινον* VRC 22 *θαυμαστὸν — θρασυτέρους*] *nihil esse mirandum offendi aliquos temerarios* Lat *μὲν* om. MVRC *εἶναι οὐδὲν* tr. PA

δι' ἡλικίαν ἄρρονας, ἀμήχανον δὲ τῶν ἡμαρτηκότων τὴν διάκρισιν
304 *ἑκάστου μετανοοῦντος καὶ δι' ἃ δέδρακεν ἀρνουμένου. δεῖν μέντοι*
γε ἐκεῖνον, εἰ προνοεῖ τῆς κατὰ τὸ ἔθνος εἰρήνης καὶ βούλεται
Ῥωμαίοις περισώζειν τὴν πόλιν, μᾶλλον διὰ τοὺς πολλοὺς ἀκαται-
τιάτους συγγνῶναι καὶ τοῖς ὀλίγοις πλημμελήσασιν ἢ δι' ὀλίγους 5
πονηροὺς ταράξαι δῆμον ἀγαθὸν τοσοῦτον.

305 9. *Πρὸς ταῦτα μᾶλλον παροξυνθεὶς ἐμβοᾷ τοῖς στρατιώταις*
διαρπάζειν τὴν ἄνω καλουμένην ἀγορὰν καὶ κτείνειν τοὺς ἐντυγχά-
νοντας. οἱ δ' ἐπιθυμίᾳ κέρδους προσλαβόντες ἡγεμονικὴν παρα-
κέλευσιν οὐ μόνον ἐφ' ὃν ἐπέμφθησαν τόπον ἥρπαζον, ἀλλ' εἰς 10
306 *πάσας ἐμπηδῶντες τὰς οἰκίας ἔσφαζον τοὺς οἰκήτορας. φυγὴ δ'*
ἦν ἐκ τῶν στενωπῶν καὶ φόνος τῶν καταλαμβανομένων, τρόπος τε
ἁρπαγῆς οὐδεὶς παρελείπετο, καὶ πολλοὶς τῶν μετρίων συλλαβόντες
ἐπὶ τὸν Φλῶρον ἀνῆγον· οὓς μάστιξιν προαικισάμενος ἀνεσταύρωσεν.
307 *ὁ δὲ σύμπας τῶν ἐκείνης ἀπολομένων τῆς ἡμέρας ἀριθμὸς σὺν γυναι-* 15
ξὶν καὶ τέκνοις, οὐδὲ γὰρ νηπίων ἀπέσχοντο, περὶ τριάκοντα καὶ
308 *ἑξακοσίους συνήχθη. βαρυτέραν τε ἐποίει τὴν συμφορὰν τὸ καινὸν*
τῆς Ῥωμαίων ὠμότητος· οὔ γὰρ μιδεὶς πρότερον τότε Φλῶρος ἐτόλ-
μησεν, ἄνδρας ἱππικοῦ τάγματος μαστιγῶσαί τε πρὸ τοῦ βήματος

PAMLVRC Lat Eusebius hist. eccl. II 26.

1 *διάκρισιν*] *διάκρισιν ποιήσασθαι φανερὰν* M *διάκρισιν γενέσθαι* LVRC *discrimen agitari* Lat 2 *μετανοοῦντός τε* VRC *καὶ δι'*] *καὶ - -* (eras. ut uid. *δε*) L *καὶ δὴ καὶ* Naber *καὶ* Herwerden *καὶ δέει* Destinon *δέδρακεν*] PAML *δέδοικεν* VRCLat *δεῖν* om. L^1 3 *ἐκεῖνο* PAM *illum* Lat *εἰ προνοεῖ* — 4 *μᾶλλον*] PAMLLat *προνοεῖν τῆσ κατὰ τὸ* (*τὸ* om. V) *ἔθνοσ εἰρήνησ καὶ βουλεύεσθαι ῥωμαίοισ περισώζειν τὴν πόλιν καὶ μᾶλλον* VRC 4 *πόλιν*] * *‖λιν P *μᾶλλον*] *μᾶλλον δὲ* A post *διὰ* eras. uid. *τὸ* L 5 *πλημμελήμασιν* VC 6 *ἀγαθῶν* L et fort. Lat, in quo est *multitudinem tantam bonorum* 7 *παρωξυνθεὶσ* P *ἐμβοᾶ·*V *ἐβόα* L^1 8 *διαρπάζει*ν A *διαρπάζειν τε* LVRC *τὴν*] *τήν τε* M 9 *δὲ* VRC *προσλαμβάνοντεσ* VRC *ἡγεμονικὴν* L^1 10 *ἐφ' ὃν ἐπέμφθησαν*] *ἐφεπέμφθησαν* M 11 *ἐπιπηδῶντεσ* P *ἐμπηδῶντεσ, μ* i. ras. A *δὲ* VR 12 *ἦν* om. R *στενοπῶν* V^1R (*per*) *angiporta omnia* Lat *φόνοσ*] *φόβοσ* L^1 13 *παρελιμπάνετο* VRC *τῶν οὐ μετρίων* Hauerkamp *συλλαμβάνοντεσ* VRC 14 *ἀνῆγον*] *ἦγον* VRC § 306 commemorat Eusebius *ἐσταύρωσεν* L 15 *ὁ δὲ σύμπασ*] *ὁ σύμπασ δὲ* L *ὁ γοῦν σύμπασ* VRC *ἀπο-*
β α
λωμένων P *τῆσ ἡμέρασ* om. P *ἀ·ριθμὸσ τῆσ ἡμέρασ* tr. A 16 *τέκνοις*] *παιδίοισ* (*πεδίοισ* V^1) VRC *τριάκοντα*] PAMLLat *τρισχιλίουσ* VRC 17 *τε*] *δὲ* LVRC 19 *τε* om. VRC

καὶ σταυρῷ προσιλῶσαι, ὧν εἰ καὶ τὸ γένος Ἰουδαίων ἀλλὰ γοῦν
τὸ ἀξίωμα Ῥωμαϊκὸν ἦν.

XV. 1. Κατὰ τοῦτον τὸν καιρὸν ὁ μὲν βασιλεὺς Ἀγρίππας 309
ἔτυχεν εἰς τὴν Ἀλεξάνδρειαν πεπορευμένος, ὅπως Ἀλεξάνδρῳ συνησ-
θείη πεπισευμένῳ τὴν Αἴγυπτον ὑπὸ Νέρωνος καὶ πεμφθέντι
διέλειν. τὴν ἀδελφὴν δὲ αὐτοῦ Βερνίκην παροῦσαν ἐν Ἱεροσολύ- 310
μοις καὶ τὴν παρανομίαν τῶν στρατιωτῶν θεωμένην δεινὸν εἰσῆλθε
πάθος, καὶ πολλάκις τοῖς τε ἱππάρχοις ἑαυτὴν καὶ σωματοφύλαξιν
πέμπουσα πρὸς Φλῶρον ἐδέετο παύσασθαι τοῦ φόνου. καὶ ὁ μὲν 311
οὔτε εἰς τὸ πλῆθος τῶν ἀναιρουμένων οὔτε εἰς τὴν εὐγένειαν τῆς
παρακαλούσης, ἀλλ' εἰς μόνον τὸ λυσιτελὲς τὸ ἐκ τῶν ἁρπαγῶν
ἀποβλέπων παρήκουσεν. ἡ δ' ὁρμὴ τῶν στρατιωτῶν ἐλύσσησεν 312
καὶ κατὰ τῆς βασιλίδος· οὐ μόνον γοῦν ἐν ὄμμασιν αὐτῆς ἠκίζοντο
τοὺς ἁλισκομένους καὶ διέφθειρον, ἀλλὰ κἂν αὐτὴν ἀνεῖλον, εἰ μὴ
καταφυγεῖν εἰς τὴν βασιλικὴν αὐλὴν ἔφθη, κἀκεῖ διενυκτέρευσεν
μετὰ φυλακῆς δεδοικυῖα τὴν τῶν στρατιωτῶν ἔφοδον. ἐπεδήμει δ' 313
ἐν τοῖς Ἱεροσολύμοις εὐχὴν ἐκτελοῦσα τῷ Θεῷ· τοὺς γὰρ ἢ νόσῳ
καταπονουμένους ἢ τισιν ἄλλαις ἀνάγκαις ἔθος εὔχεσθαι πρὸ τρια-
κοντα ἡμερῶν ἧς ἀποδώσειν μέλλοιεν θυσίας οἴνου τε ἀφέξεσθαι
καὶ ξυρήσεσθαι τὰς κόμας. ἃ δὴ καὶ τότε τελοῦσα Βερνίκη γυμνό- 314
πους τε πρὸ τοῦ βήματος ἱκέτευε τὸν Φλῶρον καὶ πρὸς τῷ μὴ
τυχεῖν αἰδοῦς αὐτὴν τὸν περὶ τοῦ ζῆν κίνδυνον ἐπείρασεν.

2. Ταῦτα μὲν οὖν ἕξκαιδεκάτῃ μηνὸς Ἀρτεμισίου συνηνέχθη, 315
τῇ δ' ἑπιούσῃ τὸ μὲν πλῆθος ὑπερπαθῆσαν εἰς τὴν ἄνω συνέρ-

PAMLVRC Lat Hegesippus II 8 p. 134.

1 i. marg. κϛ C *Ἰουδαῖον* ML *Ἰουδαῖοι* VRC *τὸ γοῦν* tr. LVRC fort. recte 4 *τὴν* om. C *συνησθεί·η, εἰ* corr. ex *η*, et *η* finale e corr. C *iure hospitis conueniret* Lat 5 *πεμφθεὶς* VR 6 *δὲ ἀδελφὴν* tr. VRC *beronices* Heg *παροῦσαν*] *inuentam* Lat 7 *ἀποθεωμένην* VR *ἀποθεμένην* C 8 *ἱππάρχουσ* ex *ὑπάρχουσ* corr. A *αὐτῆσ* VRC 9 *ἐδεῖτο* LVRC 11 *τὸ* (ante *ἐκ*) om. PAML 12 *δὲ* VRC 13 *καὶ* om. C *γοῦν*] *οὖν* PAM *δὲ* L 14 *ἀλλὰ κἂν*] *ἀλλὰν* P 16 *δὲ* VRC 17 *Ἱεροσολύμοις*] *βασιλείοις* M 18 *ἔθος* om. P *εὔχεσ·θαι*, eras. *τ* uid. A *τριάκονθ'* L *τριῶν* Cappellus 19 *ἧσ ἀποδώσειεν* (litt. *ἧσ ἀποδώσει* i. ras. A) AV *μέλοιεν* C *τε* om. M *ἀφέξεσ·θαι* A 20 *ξυρήσεσθαι*] Dindorf *ξυρίσασθαι* PV *ξυρήσασθαι* AMLRC *οἴνου* — 20 *κόμας*] (*mos est orare* —) *abstinere quoque uino et capillos radere* Lat *καὶ* om. VRCLat *bernice regina* Lat 21 *ἱκέτευσε* LVRC *φλόρον* PA¹ *φλῶρον* V *τῷ*] *τὸ* PALVRC 22 *αὐτὴ* Destinon *τὸν*] *καὶ τὸν* C *ἐπείρασε* MV 23 *ἑκκαιδεκάτῃ* (*ἑκ*-VR) L¹VRC¹ *ἀρτεμισίου* PALV¹ *mai* Lat; Artemisii 16. dies est 3. Iunii (III non. Iun.) anni Iuliani *συνηνέχθη*] *συνέβη* VRC 24 *δὲ* VRC *ὑπερπαθῆσαν*, *η* corr. ex *ου* uid. m. 2 C *συνέρευσεν* AR

ρευσεν ἀγορὰν καὶ βοαῖς ἐξαισίοις περὶ τῶν ἀπολωλότων ἀνωδύ-
316 ρετο· τὸ πλέον δὲ ἦσαν εἰς τὸν Φλῶρον ἐπίφθονοι φωναί. πρὸς ὃ
δείσαντες οἱ δυνατοὶ σὺν τοῖς ἀρχιερεῦσιν τὰς ἐσθῆτας περιερρή-
ξαντο καὶ προσπίπτοντες ἕκαστος ἐδέοντο παύσασθαι καὶ μὴ πρὸς
317 οἷς πεπόνθασιν εἰς ἀνήκεστόν τι τὸν Φλῶρον ἐρεθίζειν. ἐπείσθη
δὲ τὸ πλῆθος ταχέως αἰδοῖ τε τῶν παρακαλούντων καὶ κατ' ἐλπίδα
τοῦ μηδὲν ἔτι τὸν Φλῶρον εἰς αὐτοὺς παρανομήσειν.

318 3. Ὁ δὲ σβεσθείσης τῆς ταραχῆς ἤχθετο καὶ πάλιν αὐτὴν
ἀνάψαι πραγματευόμενος τούς τε ἀρχιερεῖς σὺν τοῖς γνωρίμοις
μεταπέμπεται καὶ μόνον ἔφη τεκμήριον ἔσεσθαι τοῦ μηδὲν ἔτι τὸν
δῆμον νεωτερίσειν, εἰ προελθόντες ὑπαντήσουσιν τοῖς ἀπὸ Καισα-
319 ρείας ἀνιοῦσιν στρατιώταις· παρεγίνοντο δὲ δύο σπεῖραι. τῶν δ'
ἔτι συγκαλούντων τὸ πλῆθος προπέμψας διεδήλου τοῖς τῶν σπει-
ρῶν ἑκατοντάρχοις, ὅπως παραγγείλωσιν τοῖς ὑφ' ἑαυτοὺς μήτε
ἀντασπάσασθαι τοὺς Ἰουδαίους κἄν τι κατ' αὐτοῦ φθέγξωνται,
320 χρήσασθαι τοῖς ὅπλοις. οἱ δ' ἀρχιερεῖς εἰς τὸ ἱερὸν τὴν πληθὺν
συναγαγόντες ὑπαντᾶν τοῖς Ῥωμαίοις παρεκάλουν καὶ πρὸ ἀνη-
κέστου πάθους τὰς σπείρας δεξιοῦσθαι. τούτοις τὸ στασιῶδες
ἠπείθει, καὶ διὰ τοὺς ἀπολωλότας τὸ πλῆθος ἔρρετεν πρὸς τοὺς
θρασυτέρους.

321 4. Ἔνθα δὴ πᾶς μὲν ἱερεὺς πᾶς δ' ὑπηρέτης τοῦ θεοῦ τὰ
ἅγια σκεύη προκομίσαντες καὶ τὸν κόσμον, ἐν ᾧ λειτουργεῖν ἔθος
ἦν αὐτοῖς, ἀναλαβόντες κιθαρισταί τε καὶ ὑμνῳδοὶ μετὰ τῶν ὀργά-
νων προσέπιπτον καὶ κατηντιβόλουν φυλάξαι τὸν ἱερὸν κόσμον

PAMLVRCLat.

1 *ἀνωδύροντο* VR *ἀπωδύροντο* C 2 *δ'* L 4 *ἑκάστοις* VRC *προσπίπτοντες ἕκαστος*] *uiritim singulos comprehendentes* Lat *παύσασθαι* — 5 *ἐρεθίζειν*] *ut ab his uerbis, quorum causa mala illa pertulerant, desinerent neque in maiorem indignationem florum mouerent* Lat, qui *καὶ μὴ* ante *εἰς* ponere uid. *παύσασθαι, υ* ex corr. P *μὴ καὶ* tr. P 5 *φλῶρον* ut saepius V 8 i. marg. $\overline{κζ}$ VC 11 *νεωτερήσειν* RV¹ *προσελθόντες* PAML *ἀπαντήσωσιν* PAL *ἀπαντήσουσι* M 12 *παρεγένοντο* VRC *δὲ* MVRC 13 *ἔτι συγκαλούντων*] *cum conuocassent — ad occurrendum* Lat *διεδίδου, ι* ex *η* corr. A 14 *ἑκατοντάρχαις* AMLVRC *ὅπως — ἑαυτοὺς* om. Lat *τοῖς*] *τοὶς* PVR 15 *ἀντασπάσασθαι*] *ἀνθίστασθαι* L¹ *τοῖσ Ἰουδαίοις* L¹ *κατ' αὐτοῦ*] *ad quod* Lat 16 *χρήσασθαι*] *statim — uterentur* Lat *δὲ* LVRC *τὴν πληθὺν εἰσ τὸ ἱερὸν* tr. L 17 *εἰσαγαγόντεσ* C 18 *στασιῶδεσ·* A 21 *δὲ* VR *ὑπηρέτης τοῦ θεοῦ*] *leuitae* Lat 22 *κόσμον — 23 αὐτοῖς*] *ornatumque templi* Lat 23 *τῶν* om. M 24 *προσέπιπτον καὶ*] *προσπίπτοντεσ* VRC *procedebant ante multitudinem et* Lat *κατηντιβούλουν, ι* ex *η* corr. C *ἱερὸν*] *templi* Lat

αὐτοῖς καὶ μὴ πρὸς ἀριστὴν τῶν θείων κτημάτων Ῥωμαίους ἐρεθίσαι. τοὺς δ' ἀρχιερεῖς αὐτοὺς ἦν ἰδεῖν καταμωμένους μὲν τὴν 322
κεφαλὴν κόνει, γυμνοὺς δὲ τὰ στέρνα τῶν ἐσθήτων διερρηγμένων. ὀνομαστὶ δ' ἕκαστον τῶν γνωρίμων καὶ κοινῇ τὸ πλῆθος ἱκέτευον
μὴ δι' ἐλαχίστης πλημμελείας προδοῦναι τὴν παρρίδα τοῖς ἐπιθυμοῦσιν πορθῆσαι· τίνα γὰρ ἢ τοῖς στρατιώταις φέρειν ὠφέλειαν 323
τὸν ἀπὸ Ἰουδαίων ἀσεβασμὸν ἢ διόρθωσιν αὐτοῖς τῶν συμβεβηκότων τὸ μὴ νῦν προελθεῖν; εἰ δὲ δὴ δεξιώσαιντο τοὺς προσιόντας 324
ὡς ἔθος, Φλώρῳ μὲν ἀποκοπήσεσθαι τὴν ἀφορμὴν τοῦ πολέμου, κερδήσειν δ' αὐτοὺς τὴν πατρίδα καὶ τὸ μηδὲν παθεῖν πλέον.
ἄλλως τε καὶ τὸ πείθεσθαι στασιάζουσιν ὀλίγοις. δέον αὐτοὺς δῆμον ὄντας τοσοῦτον συναναγκάζειν κἀκείνους συνευγνωμονεῖν, δεινῆς ἀκρασίας εἶναι.

5. *Τούτοις μειλισσόμενοι τὸ πλῆθος ἅμα καὶ τῶν στασιαστῶν* 325
οὓς μὲν ἀπειλαῖς οὓς δὲ αἰδοῖ κατέστειλαν. ἔπειτα ἐξηγούμενοι μεθ' ἡσυχίας τε καὶ κόσμου τοῖς στρατιώταις ὑπήντων καὶ πλησίον γενομένους ἠσπάσαντο· τῶν δὲ μηδὲν ἀποκριναμένων οἱ στασιασταὶ Φλώρου κατεβόων. τοῦτο ἦν σύνθημα κατ' αὐτῶν δεδομένον· 326
αὐτίκα γοῦν οἱ στρατιῶται περισχόντες αὐτοὺς ἔπαιον ξύλοις, καὶ φεύγοντας οἱ ἱππεῖς καταδιώκοντες συνεπάτουν. ἔπιπτον δὲ πολλοὶ μὲν ὑπὸ Ῥωμαίων τυπτόμενοι, πλείους δ' ὑπ' ἀλλήλων βιαζόμενοι.
δεινὸς δὲ περὶ τὰς πύλας ὠθισμὸς ἦν, καὶ φθάνειν ἑκάστου στεύ- 327
δοντος βραδυτέρα μὲν ἡ φυγὴ πᾶσιν ἐγίνετο, τῶν δὲ σφαλέντων

PAMLVRC Lat.

1 *μὴ* om. C *ῥωμαίοις* C 2 *μὲν*] om. V¹ post *κεφαλῆς* suppl. V² *τῇσ κεφαλῆσ κόνιν* LVRC; cf. infra § 601 3 *γυμνοὺσ, υ* (in *γυ*) i. ras. 2—3 litt. A *περιερρηγμένων* LVRC fort. recte 4 *ὀνόματι* L¹ *δὲ* VRC *καὶ*] *ac denuo* Lat 6 *πορθῆσθαι* R 7 *διώρθωσιν* ex corr. P 8 *προσελθεῖν* C *διξιώσαντο* C 9 *φλώρου* VR *φλιλώρου* C *ἀποκοπήσεσθαι*] *ἀποκεῖσεσθαι* P *ἀποκήσεσθαι* A *auferri* Lat 10 *δὲ* VRC *καὶ*] *ac prouidere* Lat *μηδὲν παθεῖν*] *μὴ παθεῖν τι* V 11 *ἄλλως* — 13 *εἶναι*] *his addunt quoniam paucis seditiosis si tanta multitudo iungatur quos magis ad pacificum consilium sua debuerint auctoritate transferre* Lat, de quo tamen non satis constat *ἄλλως τε*] *ἀλλ' ὥστε* C *τὸ*] *τοῦ* VR *δέον*] *οὐ δέον* L 12 *ὄντα* R *συναναγκάζειν*] *συναναγκάζειν δὲ* L *συνευγνωμονεῖν*] M et i. marg. m. 1 L *συνευδαιμονεῖν* PAL *συγγνωμονεῖν* C *μὴ συγγνωμονεῖν* VR 15 *ἔπειτα* — 16 *κόσμου*] *ac deinceps praecedentes cum quiete omni populo sequente* Lat 17 *ἀποκρινομένων* VC *στασιαστὲ* C 18 *Φλώρου* — *δεδομένον*] *aduersum florum cuius haec fierent consiliis succlamarunt* Lat *τοῦτο*] *τοῦτ'* L *τοῦτο δὲ* (*δ'* M) MVRC *δεδομένων* P¹A¹V¹C¹ 20 *φεύγοντας*] *φεύγοντασ αὐτοὺσ* P 21 *δὲ* VRC

ἀπώλεια δεινή· πνιγόμενοι γὰρ καὶ κλώμενοι πλήθει τῶν ἐπιβαι-
328 νόντων ἠφανίζοντο, καὶ οὐδὲ πρὸς ταφήν τις γνώριμος τοῖς ἰδίοις
κατελείπετο. συνέπιπτον δὲ καὶ στρατιῶται παίοντες ἀνέδην τοὺς
καταλαμβανομένους καὶ διὰ τῆς Βεθεζὰ καλουμένης ἀνεώθουν τὸ
πλῆθος βιαζόμενοι παρελθεῖν καὶ κρατῆσαι τοῦ τε ἱεροῦ καὶ τῆς
Ἀντωνίας· ὧν καὶ Φλῶρος ἐφιέμενος ἐξῆγε τῆς βασιλικῆς αὐλῆς
329 τοὺς σὺν αὐτῷ καὶ πρὸς τὸ φρούριον ἐλθεῖν ἠγωνίζετο. διήμαρτέν
γε μὴν τῆς ἐπιβολῆς· ὁ γὰρ δῆμος ἄντικρυς ἐπιστραφεὶς εἶργεν τῆς
ὁρμῆς, καὶ διαστάντες ἐπὶ τῶν τεγῶν τοὺς Ῥωμαίους ἔβαλλον.
καταπονούμενοι δὲ τοῖς ὑπερθεν βέλεσιν καὶ διακόψαι τὸ τοὺς
στενωποὺς ἐμφράξαν πλῆθος ἀσθενήσαντες ἀνεχώρουν εἰς τὸ πρὸς
τοῖς βασιλείοις στρατόπεδον.

330 6. Οἱ δὲ στασιασταὶ δείσαντες μὴ πάλιν ἐπελθὼν ὁ Φλῶρος
κρατήσῃ τοῦ ἱεροῦ διὰ τῆς Ἀντωνίας, ἀναβάντες εὐθέως τὰς συνε-
331 χεῖς στοὰς τοῦ ἱεροῦ πρὸς τὴν Ἀντωνίαν διέκοψαν. τοῦτ' ἔψυξεν
τὴν Φλώρου πλεονεξίαν· τῶν γὰρ τοῦ θεοῦ θησαυρῶν ἐφιέμενος
καὶ διὰ τοῦτο παρελθεῖν ἐπιθυμῶν εἰς τὴν Ἀντωνίαν, ὡς ἀπερράγησαν αἱ στοαί, τὴν ὁρμὴν ἀνετράπη, καὶ μεταπεμψάμενος τούς τε
ἀρχιερεῖς καὶ τὴν βουλὴν αὐτὸς μὲν ἐξιέναι τῆς πόλεως ἔφη, φρου-
332 ρὰν δ' ἐγκαταλείψειν αὐτοῖς ὅσην ἂν ἀξιώσωσιν. τῶν δὲ πάντα
περὶ ἀσφαλείας καὶ τοῦ μηδὲν νεωτερίσειν ὑποσχομένων, εἰ μίαν
αὐτοῖς καταλείποι σπεῖραν, μὴ μέντοι τὴν μαχεσαμένην· πρὸς γὰρ
ταύτην ἀπεχθῶς δι' ἃ πέπονθεν ἔχειν τὸ πλῆθος· ἀλλάξας τὴν σπεῖραν, ὡς ἠξίουν, μετὰ τῆς λοιπῆς δυνάμεως ὑπέστρεψεν εἰς Καισάρειαν.

PAMLVRCLat.

1 *πνιγόμενοι* — 2 *ἠφανίζοντο*] *suffocatu enim atque conflatu miseri disperibant* Lat 2 *ἰδίοις*] *ἰουδαίοις* P *proximis* Lat 3 *συνέπιπον* C¹ *συνεισέπιπτον* Bekker recte *συνέπιπτον δὲ καὶ*] *irruebant autem pariter etiam* Lat *ἀναίδην* L¹RV¹C 4 *διὰ* — *καλουμένης*] *per ingressus qui bezeta nocantur* Lat *Βεθεζὰ*] *βεθαζὰ* A *βεζεθᾶ* M *βεθζεθὰ* L *βεζεθὰ* VRC; cf. II 530. V 149 sq. *καλουμένοις* C *ἀνώθουν* MVRC *ὤθουν* L 5 *τε* om. C 6 *καὶ* om. V *ἐξῆγε*] *ἐξήγαγεν ἐκ* VRC 8 *ἐπιβολῆς*] L¹Lat *ἐπιβουλῆσ* PAML²VRC *εἶργεν* P et ex corr. ALV *τῆς ὁρμῆς*] *τὴν ὁρμὴν* AMLVRC, om. Lat 9 *διαστάντες*] *δὴ στάντεσ* AL² *διαστάντες* — *ἔβαλλον*] *per tecta cuadentes obruebant saxis romanos* Lat *τῶν* om. L¹ 10 *δὲ*] *δὴ* Hudson *δὲ τοῖσ ὕπερθεν βέλ· εσιν*, litt. *δὲ τοῖσ ὕπερθεν βέλ* suppl. in spatio 11 litt. A *τὸ* om. PC 11 *στενοποὺσ* V¹R 13 *ἐπανελθὼν* A 14 *διὰ* — 15 *ἱεροῦ* i. marg. partim euanida suppl. m. 2 V *τοῦτο* VRC *ἔψυξε·*, *ξ* i. ras. m. 2 L 18 *μεταπεμψάμενοσ*, *π* i. ras. L 19 *αὐτὸς*] L *αὐτὸν* PAMVRC *ἐξεῖναι* PALVR 20 *δὲ καταλείψειν* VRC *relinquere* Lat *πάντα*] *πάντων* A¹ *πάντωσ* L¹ 21 *νεωτερίσειν* R *μίαν*, *αν* s. A 22 *καταλίποι* ML *καταλείψοι* VR *καταλείψοισ* C *σπεῖραν*] *πεῖραν* C 23 *πεπόνθεσαν* L i. marg. *κ̄ζ̄η* C 24 *λοιποῖσ* C

XVI. 1. Ἑτέραν δὲ ἐπιβολὴν τῷ πολέμῳ παρεζόμενος ἐπέστελλεν 333
Κεστίῳ Ἰουδαίων ἀπόστασιν καταψευδόμενος τήν τε ἀρχὴν τῆς
μάχης περιθεὶς αὐτοῖς καὶ δρᾶσαι λέγων ἐκείνους ἃ πεπόνθασιν.
οὐ μὴν οὐδ' οἱ τῶν Ἱεροσολύμων ἄρχοντες ἐσίγησαν, ἀλλ' αὐτοί τε
καὶ Βερνίκῃ τῷ Κεστίῳ περὶ ὧν Φλῶρος εἰς τὴν πόλιν παρενό-
μησεν ἔγραφον. ὁ δὲ τὰ παρ' ἀμφοῖν ἀναγνοὺς μετὰ τῶν ἡγεμό- 334
νων ἐβουλεύετο. τοῖς μὲν οὖν αὐτὸν ἐδόκει Κέστιον μετὰ στρατιᾶς
ἀναβαίνειν ἢ τιμωρησόμενον τὴν ἀπόστασιν, εἰ γέγονεν, ἢ βεβαιο-
τέρους καταστήσοντα Ἰουδαίους καὶ συμμένοντας, αὐτῷ δὲ πρε-
πτέμψαι τῶν ἑταίρων τὸν κατασκεψόμενον τὰ πράγματα καὶ τὰ
φρονήματα τῶν Ἰουδαίων πιστῶς ἀναγγελοῦντα. πέμπει δή τινα 335
τῶν χιλιάρχων Νεαπολιτανόν, ὃς ἀπὸ τῆς Ἀλεξανδρείας ἔλο-
στρέφοντι περιτυχὼν Ἀγρίππᾳ τῷ βασιλεῖ κατὰ Ἰάμνειαν τόν τε
πέμψαντα καὶ τὰς αἰτίας ἐδήλωσεν.

2. Ἔνθα καὶ Ἰουδαίων οἵ τε ἀρχιερεῖς ἅμα τοῖς δυνατοῖς καὶ 336
ἡ βουλὴ παρῆν δεξιουμένη τὸν βασιλέα. μετὰ δὲ τὴν εἰς ἐκεῖνον
θεραπείαν ἀπωδύροντο τὰς ἑαυτῶν συμφορὰς καὶ τὴν Φλώρου
διεξῆσαν ὠμότητα. πρὸς ἣν ἠγανάκτει μὲν Ἀγρίππας, στρατηγι- 337
κῶς δὲ τὴν ὀργὴν εἰς οὓς ἤλεεῖ Ἰουδαίους μετέφερεν, ταπεινοῦν
αὐτῶν βουλόμενος τὰ φρονήματα καὶ τῷ μὴ δοκεῖν ἀδίκως τι παθεῖν
τῆς ἀμύνης ἀποτρέπων. οἱ μὲν οὖν, ὡς ἂν ὄντες ἔκκριτοι καὶ διὰ 338
τὰς ἑαυτῶν κτήσεις ἐπιθυμοῦντες εἰρήνης, συνίεσαν εὐνοϊκὴν τὴν
ἐπίπληξιν τοῦ βασιλέως· ὁ δὲ δῆμος ἐκ τῶν Ἱεροσολύμων ἐπὶ ἑξήκο-
ντα προελθὼν σταδίους ἐδεξιοῦτο τὸν Ἀγρίππαν καὶ τὸν Νεαπο-
λιτανόν. ἐκώκυον δὲ καὶ τῶν ἀπεσφαγμένων αἱ γυναῖκες προεκ- 339

PAMLVRCLat Hegesippus II 8 p. 134.

1 i. marg. κη V ἐπιβουλὴν PAML² *consilium* Lat τῶι (ι ex ν corr. uid.) πολέμ · ω L 2 τῆς μάχης om. R 3 πεπόνθασιν VRC 4 οὐδ'] οὐδὲ (i. ras. m. 2 R) VR οἱ om. V 6 ἄφοιν A 7 τοῖς μὲν οὖν] καὶ τοῖσ μὲν VRC αὐτὸν] LC αὐτῶν PAMVR, om. Lat 9 καὶ συμμένοντας] *eorumque accolas* Lat 10 τῶν] τινὰ τῶν AMLVRC ἑτέρων L¹V τὸν κατασκεψόμενον om. Lat 11 ἀγγελοῦντα AMLVRC δή] Cardwell δὲ PAML οὖν δή VRC *ergo* Lat 12 τινα, ι i. ras. L νεαπολιτάνον PAML νεοπολιτανὸν (i. marg. πολιτιανὸν V) VRC probante L. Dindorfio τῆς om. M ὑποστρέψαντι VRC *reuertenti* Lat 13 περιτυχὼν] τυχὼν PA ἰάμνιαν PC et ex corr. V τόν τε] τότε P τὸν MVRC 15 ἰουδαίαν V 18 διεξίεσαν PAV¹R πρὸς ἣν ἠγανάκτει] πρὸσ ἣν ἀγανακτεῖ AML² προσηγανάκτει L¹ 19 ὀργὴν] ὁρμὴν L¹ et ut uid. Lat, in quo est *inuectionem* 20 τῷ] τὸ A¹L¹ δοκεῖν, ο i. ras. m. 2 V 21 ἂν eras. R 22 αὐτῶν VRC εἰρήνην VRC 24 νεαπολιτάνον PAML νεοπολιτανόν (νεο s. C) VRC 25 ἐκώλυον VR καὶ τῶν ἀπεσφαγμένων αἱ] αἱ τῶν ἀπεσφαγμένων VRC προεκθέουσαι om. Lat

θέουσαι, καὶ πρὸς τὴν τούτων οἰμωγὴν ὁ δῆμος εἰς ὁλοφυρμοὺς
τραπόμενος ἐπικουρεῖν τὸν Ἀγρίππαν ἱκέτευεν, τοῦ τε Νεαπολι-
τανοῦ κατερῶν ὅσα πάθοιεν ὑπὸ Φλώρου καὶ παρελθοῦσιν εἰς
τὴν πόλιν τήν τε ἀγορὰν ἠρημωμένην ἐπεδείκνυσαν καὶ πεπορθη-
340 *μένας τὰς οἰκίας. ἔπειτα δι' Ἀγρίππα πείθουσι τὸν Νεαπολι-* 5
τανὸν σὺν ἑνὶ θεράποντι περιελθεῖν μέχρι τοῦ Σιλωᾶ τὴν πόλιν,
ἵνα γνῷ Ἰουδαίους τοῖς μὲν ἄλλοις Ῥωμαίοις ἅπασιν εἴκοντας,
μόνῳ δ' ἀπεχθανομένους Φλώρῳ δι' ὑπερβολὴν τῆς εἰς αὐτοὺς
ὠμότητος. ὁ δὲ ὡς διοδεύσας πεῖραν ἱκανὴν ἔλαβεν τῆς πραότη-
341 *τος αὐτῶν, εἰς τὸ ἱερὸν ἀναβαίνει. ἔνθα συγκαλέσας τὸ πλῆθος,* 10
καὶ πολλὰ μὲν εἰς πίστιν αὐτοὺς τὴν πρὸς Ῥωμαίους ἐπαινέσας,
πολλὰ δὲ εἰς τὸ τηρεῖν τὴν εἰρήνην προτρεψάμενος καὶ τοῦ θεοῦ
προσκυνήσας ὅθεν ἐξῆν τὰ ἅγια πρὸς Κέστιον ἐπανῆει.

342 3. *Τὸ δὲ πλῆθος τῶν Ἰουδαίων ἐπί τε τὸν βασιλέα καὶ τοὺς*
ἀρχιερεῖς τραπόμενον πέμπειν κατὰ Φλώρου πρέσβεις ἠξίου πρὸς 15
Νέρωνα καὶ μὴ σιωπῶντας ἐπὶ τοσούτῳ φόνῳ καταλιπεῖν ἑαυτοῖς
ὑπόνοιαν ἀποστάσεως· δόξειν γὰρ αὐτοὶ κατάρξαι τῶν ὅπλων, εἰ
343 *μὴ φθάσαντες ἐνδείξαιντο τὸν κατάρξαντα· φανεροὶ δ' ἦσαν οὐκ*
ἠρεμήσοντες, εἰ τὴν πρεσβείαν τις ἀποκωλύει. Ἀγρίππᾳ δὲ τὸ μὲν
χειροτονεῖν Φλώρου κατηγόρους ἐπίφθονον, τὸ περιιδεῖν δὲ Ἰουδαίους 20
344 *εἰς πόλεμον ἐκπεσόντας οὐδὲ αὐτῷ λυσιτελὲς κατεφαίνετο. προσ-*
καλεσάμενος δὲ εἰς τὸν ξυστὸν τὸ πλῆθος καὶ παραστησάμενος
ἐν περιόπτῳ τὴν ἀδελφὴν Βερνίκην ἐπὶ τῆς Ἀσαμωναίων οἰκίας,
αὕτη γὰρ ἦν ἐπάνω τοῦ ξυστοῦ πρὸς τὸ πέραν τῆς ἄνω πό-

PAMLVRC Lat Hegesippus II 9 p. 135.

2 *τοῦ*] *τῷ* VRC *νεαπολιτάνου* PAML *νεοπολιτάνω* (ε suppl. m. 2 R) VRC *τοῦ τε — 2 ἀγορὰν*] *succlamabant etiam neapolitano, ut ingrederetur urbem uideretque quae essent a floro gesta, et ita ostendebant forum* Lat 4 *ἐπεδείκνυσαν* VRC *δι'*, ex *δ* corr. m. 2 L 5 *νεαπολιτάνον* PML *νεοπολιτάνον* A *νεοπολιτανὸν* VRC 6 *προελθεῖν* P *σιλωὰν* PA¹ *σιλωὰμ* ML et ex corr. A *σιλωᾶι* V 7 *ἅπασι ῥωμαίοις* tr. VRC *εἴκοντας, εἴ* ex *η* corr. m. 2 L 8 *δὲ* VRC *εἰς*] *ἐπ'* L 9 *δ'* L *ἔλαβεν ἱκανὴν* tr. VRC 10 *ἀνέβαινεν* VRC 11 *τὴν*] *τῆς* L¹ 12 *δ'* L 13 *ὅθεν ἐξῆν*] *ὅσον ἐξῆν* MVRC *eo tamen consistens in quo licebat per religionem* Lat *ἐπανίει* PM 14 *τοῦ βασιλέως* C 15 *τραπόμενον, ν* finale i. ras. A *πρέσβεις κατὰ φλώρου πέμπειν* tr. VRC *ἠξίουν* VC 16 *σιωπήσαντας* VRC *καταλειπεῖν* V¹C 17 *ἀπόνοιαν* C *αὐτοὶ*] *αὐτοῖς* L *αὐτοὺς* VRC *κατάρξειν* PAML 18 *ἐπιδείξαιντο* P *κατάρξαν* V¹ *δὲ* VRC 19 *ἀποκωλύοι* LVRC *ἀγρίππας* V¹ 20 *ἐπίφθονον*] *ἐπίφθονον ἐδόκει* VRC *τὸ* om. L 21 *οὐδὲ*] *οὔτε* PAMLVR 22 *ξύστον* L 23 *σαμωναίων* L¹ 24 *ξύστου* L

λεως, καὶ γέφυρα τῷ ξυσιῷ τὸ ἱερὸν συνῆπτεν. Ἀγρίππας ἔλεξεν τοιάδε.

4. „Εἰ μὲν ἑώρων πάντας ὑμᾶς πολεμεῖν Ῥωμαίοις ὁρμημέ- 345
νους καὶ μὴ τοῦ δήμου τὸ καθαρώτατον καὶ εἰλικρινέστατον εἰρή-
νην ἄγειν προῃρημένους, οὔτ' ἂν παρῆλθον εἰς ὑμᾶς οὔτε συμβου-
λεύειν ἐθάρρησα· περισσὸς γὰρ ἐπὶ τοῦ τὰ δέοντα λοιεῖν πᾶς
λόγος, ὅταν ἡ τῶν ἀκουόντων πάντων [ἡ] πρὸς τὸ χεῖρον ὁμόνοια.
ἐπεὶ δὲ τινὰς μὲν ἡλικία τῶν ἐν πολέμῳ κακῶν ἄπειρος, τινὰς δὲ 346
ἐλπὶς ἀλόγιστος ἐλευθερίας, ἐνίους δὲ πλεονεξία τις παροξύνει καὶ
τὸ παρὰ τῶν ἀσθενεστέρων, ἐὰν τὰ πράγματα συγχυθῇ, κέρδος,
ὅπως αὐτοί τε σωφρονισθέντες μεταβάλωνται καὶ μὴ τῆς ἐνίων
κακοβουλίας οἱ ἀγαθοὶ παραπολαύσωσιν, ᾠήθην δεῖν ἐπὶ τὸ αὐτὸ
πάντας ὑμᾶς συναγαγὼν εἰπεῖν ἃ νομίζω συμφέρειν. θορυβήσῃ δέ 347
μοι μηδείς, ἐὰν μὴ τὰ πρὸς ἡδονὴν ἀκούῃ· τοῖς μὲν γὰρ ἀνηκέστως
ἐπὶ τὴν ἀπόστασιν ὡρμημένοις ἔνεστι καὶ μετὰ τὴν ἐμὴν παραί-
νεσιν ταῦτα φρονεῖν, ἐμοὶ δὲ διαπίπτει καὶ πρὸς τοὺς ἀκούειν ἐθέ-
λοντας ὁ λόγος, ἐὰν μὴ παρὰ πάντων ἡσυχία γένηται. οἶδα μὲν 348
οὖν ὅτι πολλοὶ τὰς ἐκ τῶν ἐπιτρόπων ὕβρεις καὶ τὰ τῆς ἐλευθε-
ρίας ἐγκώμια τραγῳδοῦσιν, ἐγὼ δὲ πρὶν ἐξετάζειν τίνες ὄντες καὶ
τίσιν ἐπιχειρεῖτε πολεμεῖν, πρῶτον διαξεύξω τὴν συμπλοκὴν τῶν
προφάσεων. εἰ μὲν γὰρ ἀμύνεσθε τοὺς ἀδικοῦντας, τί σεμνύνετε 349
τὴν ἐλευθερίαν; εἰ δὲ τὸ δουλεύειν ἀφόριτον ἡγεῖσθε, περισσὴ
πρὸς τοὺς ἡγεμόνας ἡ μέμψις· καὶ γὰρ ἐκείνων μετριαζόντων αἰσ-
χρὸν ὁμοίως τὸ δουλεύειν. σκοπεῖτε δὲ καὶ καθ' ἕκαστον τούτων 350

PAMLVRC Lat Hegesippus II 9 p. 135.

1 Ἀγρίππας] PAMLat, om. LVRC 3 ῥωμαίους V 5 προηρημένους ex προειρημένους corr. P προηρημένους (ου) C οὔτε VR προῆλθον C συμβουλεύειν, ου ex ο corr. A 6 ἐθάρσησα MVRC 7 ἡ] ἡ MVC *conspirat* Lat ἀκουόντων] *habitatorum* Lat ἡ] i. ras. (paene erasum) A, om. MVRC ὁμόνοια] ὁμόνοια ἡ MC ὁμόνοια · ἡ V 8 ἄπειρος] ἀπείρατος MLVRC 9 πλεονεξία · V τις] s. P om. VRLat παρωξύνει PA 10 τὸ corr. ex τῶν C τὰ om. C¹ 11 σωφρονησθέντες A μεταβάλλονται V¹ μεταβάλλωνται V² 13 νομίζω·, eras. *ν* uid. V θορυβήσει PAVRC 14 τὰ om. C ἀκούσῃ V ἀνηκέστοις L¹ 15 ἀποστασίαν L ὡρμημένους, υ ex ι corr. m. rec. P ὁρμημένοις V¹ 16 ταῦτα] ταὐτὰ L² τὰ αὐτὰ VRC *manere in pristina uoluntate* Lat δὲ om. P 17 μὴ om. C 18 οὖν] οὖ R¹ οὖν ···‖ὅτι L καὶ τὰ] κατὰ MR¹ 19 καὶ eras. A fort. recte 20 ἐπιχειρῆτε P ἐπιχειρεῖται V¹ τῶν προφάσεων] PAML et i. marg. V τῆσ προφάσεως C τῆσ προτάσεως VR εὕρηται καὶ προτάσεως i. marg. M *causas* Lat *propositiones* Heg 21 ἀμύνεσθαι A¹V¹C¹ σεμνύνεται A 22 περιττὴ M 23 καὶ—220, 1 ὑπόθεσις i. marg. suppl. m. 2 partim euanida V

ὡς ἔστιν μικρὰ τοῦ πολεμεῖν ἡ ὑπόθεσις, καὶ πρῶτά γε τὰ τῶν
ἐπιτρόπων ἐγκλήματα· θεραπεύειν γάρ, οὐκ ἐρεθίζειν χρὴ τὰς ἐξου-
351 σίας· ὅταν δὲ τῶν μικρῶν ἁμαρτημάτων τοὺς ἐξονειδισμοὺς ποιῆσθε
μεγάλους, καθ' ἑαυτῶν τοὺς ὀνειδιζομένους ἀπελέγχετε, καὶ παρέν-
τες τὸ λάθρα καὶ μετ' αἰδοῦς ὑμᾶς βλάπτειν πορθοῦσι φανερῶς. 5
οὐδὲν δὲ οὕτως τὰς πληγὰς ὡς τὸ φέρειν ἀναστέλλει, καὶ τὸ τῶν
352 ἀδικουμένων ἡσύχιον τοῖς ἀδικοῦσι γίνεται διατροπή. φέρε δ' εἶναι
τοὺς Ῥωμαίων ὑπηρέτας ἀνηκέστως χαλεπούς· οὕτω Ῥωμαῖοι πάντες
ἀδικοῦσιν ὑμᾶς οὐδὲ Καῖσαρ, πρὸς οὓς αἱρεῖσθε τὸν πόλεμον·
οὐδὲ γὰρ ἐξ ἐντολῆς ἦκε τις πονηρὸς ἀπ' ἐκείνων, οὐδέ γε τοὺς 10
ὑπὸ τὴν ἀνατολὴν οἱ ἀφ' ἑσπέρας ἐπιβλέπουσιν· ἀλλ' οὐδὲ ἀκούειν
353 ταχέως τὰ ἐντεῦθεν ἐκεῖ ῥᾴδιον. ἄτοπον δὲ καὶ δι' ἕνα πολλοῖς
καὶ διὰ μικρὰς αἰτίας τηλικούτοις καὶ μηδὲ γινώσκουσιν ἃ μεμφό-
354 μεθα πολεμεῖν. καὶ τῶν μὲν ὑμετέρων ἐγκλημάτων ταχεῖα γένοιτ'
ἂν διόρθωσις· οὔτε γὰρ ὁ αὐτὸς ἐπίτροπος μένει διὰ παντός, 15
καὶ τοὺς διαδεξομένους εἰκὸς ἐλεύσεσθαι μετριωτέρους· κινηθέντα
δ' ἅπαξ τὸν πόλεμον οὔτε ἀποθέσθαι ῥᾴδιον δίχα συμφορῶν οὔτε
355 βαστάζειν. ἀλλὰ μὴν τό γε νῦν ἐλευθερίας ἐπιθυμεῖν ἄωρον, δέον
ὑπὲρ τοῦ μηδὲ ἀποβαλεῖν αὐτὴν ἀγωνίζεσθαι πρότερον· ἡ γὰρ
πεῖρα τῆς δουλείας χαλεπή. καὶ περὶ τοῦ μηδ' ἄρξασθαι ταύτης 20
356 ὁ ἀγὼν δίκαιος. ὁ δ' ἅπαξ χειρωθείς, ἔπειτα ἀφιστάμενος, αὐθά-
δης δοῦλός ἐστιν, οὐ φιλελεύθερος. τότε τοιγαροῦν ἐχρῆν πάνθ'
ὑπὲρ τοῦ μὴ δέξασθαι Ῥωμαίους ποιεῖν, ὅτε ἐτέβαινεν τῆς χώρας

PAMLVRC Lat Hegesippus II 9 p. 136.

1 ἡ om. PAL¹C πρῶ · τα, eras. ι V 2 γὰρ] δὲ RC, om. V *si quidem* Lat οὐκ ἐρεθίζειν et in textu extat et in marg. ad θεραπεύειν ascripsit m. 2 R χρὴ] δεῖ VRC 3 ποιεῖσθε PAL¹V²R ποιεῖσθαι V¹ 4 ἐλέγχετε V *irritatis* Lat καὶ] om. C *quippe* Lat 5 μετὰ L 6 οὕτω VRC 7 δὲ VRC 8 τοὺς — ὑπηρέτας] *qui romanis in prouincias dirigantur* Lat 9 οὓς] *quem* Lat 10 οὐδὲ] οὐ VRC ἐξ ἐντολῆς] *electus* Heg ἐκεῖνον V 11 ὑπὸ] ἐπὶ PC οἱ om. PAL οὐδ' C 12 ταχέως] εὐθέως C τἀντεῦθεν C καὶ δι' ἕνα πολλοῖς om. Lat 13 μικρᾶς PAV 14 γένοιτο VR 15 ἂν] ἂν ἡ MVRC ὁ om. C μενεῖ MVRC Lat 16 διαδεξαμένους A¹ 17 δὲ V οὔτ' C 18 βαστάσαι VRC ἄλλα — 19 πρότερον] *libertatis uero dona sitientibus prouidendum est atque certandum, ut principio non ea careant* Lat, quem δώρων pro ἄωρον legisse apparet μὴν] νῦν P ἄω · ρον V δέον] τὸ δ' L 19 μηδὲ] μὴ L 20 μηδὲ VRC ἄρξασθαι, ρ s. A 21 δὲ VRC ἀφιστάμενος, ισ ex ιε corr. uid. A 22 οὐ] ὁ C¹ τοιγαροῦν] γὰρ οὖν VRC πάντα VRC 23 ὅτε] PALLatHeg ὅτε τὴν ἀρχὴν MVRC

Πομπήιος. ἀλλ' οἱ μὲν ἡμέτεροι πρόγονοι καὶ οἱ βασιλεῖς αὐτῶν 357
καὶ χρήμασιν καὶ σώμασιν καὶ ψυχαῖς ἄμεινον ὑμῶν πολλῷ διακείμενοι πρὸς μοῖραν ὀλίγην τῆς Ῥωμαίων δυνάμεως οὐκ ἀντέσχον· ὑμεῖς δὲ οἱ τὸ μὲν ὑπακούειν ἐκ διαδοχῆς παρειληφότες, τοῖς πράγμασιν δὲ τῶν πρώτων ὑπακουσάντων τοσοῦτον ἐλαττούμενοι, πρὸς ὅλην ἀνθίστασθε τὴν Ῥωμαίων ἡγεμονίαν; καὶ Ἀθηναῖοι μὲν οἱ 358
περὶ τῆς τῶν Ἑλλήνων ἐλευθερίας παραδόντες ποτὲ καὶ περὶ τὴν πόλιν, οἱ τὸν ὑπερήφανον Ξέρξην διὰ γῆς πλεύσαντα καὶ διὰ θαλάσσης ὁδεύσαντα καὶ μὴ χωρούμενον μὲν τοῖς πελάγεσιν, πλατυτέραν δὲ τῆς Εὐρώπης τὴν στρατιὰν ἄγοντα, οἷα δραπέτην ἐπὶ μιᾶς νηὸς διώξαντες, περὶ δὲ τῇ μικρᾷ Σαλαμῖνι τὴν τοσαύτην Ἀσίαν κλάσαντες νῦν δουλεύουσιν Ῥωμαίοις, καὶ τὴν ἡγεμονίδα τῆς Ἑλλάδος πόλιν διοικεῖ τὰ ἀπὸ τῆς Ἰταλίας προστάγματα. Λακεδαιμόνιοι 359
δὲ μετὰ Θερμοπύλας καὶ Πλαταιὰς καὶ τὸν ἐρευνήσαντα τὴν Ἀσίαν Ἀγησίλαον ἀγαπῶσιν τοὺς αὐτοὺς δεσπότας, καὶ Μακεδόνες ἔτι 360
φανταζόμενοι Φίλιππον καὶ τὴν σὺν Ἀλεξάνδρῳ παρασπείρουσαν αὐτοῖς τὴν τῆς οἰκουμένης ἡγεμονίαν ὁρῶντες, φέρουσιν τὴν τοσαύτην μεταβολὴν καὶ πρὸς οὓς μεταβέβηκεν ἡ τύχη προσκυνοῦσιν. ἄλλα τε ἔθνη μυρία πλείονος γέμοντα πρὸς ἐλευθερίαν παρρησίας 361
εἴκει· μόνοι δ' ὑμεῖς ἀδοξεῖτε δουλεύειν οἷς ὑποτέτακται τὰ πάντα. ποίᾳ στρατιᾷ ποίοις πεποιθότες ὅπλοις; ποῦ μὲν ὁ στόλος ὑμῖν

PAMLVRC Lat Hegesippus II 9 p. 138. 142.

1 *ὁ πομπήϊος* VRC *ὑμέτεροι* (ὑ i. ras. A) AL Lat 2 *ἄμεινον ὑμῖν*, litt. *νον ὑμ* i. ras. solito angustius scriptae M 3 *ἀτέσχον* C¹ 4 *ἀκούειν* M 5 *πρῶτον* V¹ et ex corr. AL *πρώτως* RC *primi* Lat *ἀκουσάντων* VRC *ἐλαττόμενοι* R 6 *ἀνίστασθε* L 7 *καὶ* om. Lat Heg 8 *θαλάσσης* A 10 *τὴς εὐρώπης* corr. ex *τὴν εὐρώπην* A *οἷα* om. LVRCLat *νεὼς* (ὼ i. ras. m. 2 V) LVRC 11 *περὶ — κλάσαντες* u. 8 post *πόλιν* inserenda esse putat Destinon *σμικρᾷ* (σ i. ras. A) AMVR fort. recte *σαλαμίνη* (*ί* ex *η* corr. P) PA *κλάσαντες*] *καλέσαντεσ* C 12 *ἡγεμονίδα*] *ἡγεμονίαν διὰ* V *ἑλλά·δοσ* A 14 *δὲ*] *τε* VRC *πλατέασ* PA *ἐρευνήσαντα*] *εἰρηνεύσαντα* Naber 15 *ἀγαπῶ·σι* V *αὐτοὺς* corr. ex *αὐτοῦ* A *suos* Heg *Μακεδόνες* — 17 *ὁρῶντες*] alia habet Heg 16 *φανταζόμενοι* — 17 *ὁρῶντες*] *qui adhuc paene imaginantur philippum et uiderunt cum alexandro promittentem sibi orbis imperium* Lat *φανταζόμενον* A *καὶ τὴν σὺν*] P *καὶ τοὺσ* A *καὶ σὺν* LR *σὺν* MVC *καὶ τὴν τύχην σὺν* Destinon cl. u. 18 *παρασπείρουσαν, αν* ex *ιν* corr. A *παρασπαίρουσιν* R *καὶ παρασπείρουσαν* MC *καὶ παρασπείρουσιν* V *παρασπείροντα* Hudson *παρασπαίρουσαν* Dindorf 17 *ὁρῶντεσ ἡγεμονίαν* tr. V 19 *ἐλευθερίαν, ν* corr. ex *σ* A 20 *ἥκει* (*ἡ* i. ras. R) PR *δὲ* VRC 21 *πεποιθόντεσ* M *ὑμῶν* MVRC et fort. Heg

διαληψόμενος τὰς Ῥωμαίων θαλάσσας; ποῦ δ' οἱ ταῖς ἐπιβολαῖς
362 ἐξαρκέσοντες θησαυροί; πρὸς Αἰγυπτίους ἆρα καὶ πρὸς Ἄραβας
οἴεσθε κινεῖν τὸν πόλεμον; οὐ περισκέψεσθε τὴν Ῥωμαίων ἡγε-
μονίαν; οὐ μετρήσετε τὴν ἑαυτῶν ἀσθένειαν; οὐ τὰ μὲν ἡμέτερα
καὶ τῶν προσοίκων ἐθνῶν ἡττήθη πολλάκις, ἡ δὲ ἐκείνων ἰσχὺς
363 διὰ τῆς οἰκουμένης ἀνίκητος; μᾶλλον δὲ καὶ ταύτης ἐξήτησάν τι
πλέον· οὐ γὰρ ἐξήρκεσεν αὐτοῖς ὅλος Εὐφράτης ὑπὸ τὴν ἀνατολὴν
οὐδὲ τῶν προσαρκτίων ὁ Ἴστρος ἥ τε μεσημβρινὴ μέχρι τῶν ἀοική-
των ἐρευνηθεῖσα Λιβύη καὶ Γάδειρα πρὸς ἑσπέραν, ἀλλ' ὑπὲρ
ὠκεανὸν ἑτέραν ἐζήτησαν οἰκουμένην καὶ μέχρι τῶν ἀνιστορήτων
364 πρότερον Βρεττανῶν διήνεγκαν τὰ ὅπλα. τί οὖν; ὑμεῖς πλουσιώ-
τεροι Γαλατῶν, ἰσχυρότεροι Γερμανῶν. Ἑλλήνων συνετώτεροι,
πλείους τῶν κατὰ τὴν οἰκουμένην ἐστὲ πάντων; τί τὸ πεποιθὸς
365 ὑμᾶς κατὰ Ῥωμαίων ἐταίρει; χαλεπὸν τὸ δουλεύειν, ἐρεῖ τις. πόσῳ
μᾶλλον Ἕλλησιν, οἳ τῶν ὑφ' ἡλίῳ πάντων προύχοντες εὐγενείᾳ
καὶ τοσαύτην νεμόμενοι χώραν ἐξ Ῥωμαίων ὑπείκουσιν ῥάβδοις,
τοσαύταις δὲ καὶ Μακεδόνες οἱ δικαιότερον ἡμῶν ὀφείλοντες ἐλευ-
366 θερίας ἀντιποιεῖσθαι. τί δ' αἱ πεντακόσιαι τῆς Ἀσίας πόλεις;
οὐ δίχα φρουρᾶς ἕνα προσκυνοῦσιν ἡγεμόνα καὶ τὰς ὑπατικὰς ῥάβ-
δους; τί χρὴ λέγειν Ἠνίοχους τε καὶ Κόλχους καὶ τὸ τῶν Ταύρων

PAMLVRC Lat Hegesippus II 9 p. 139. 142. 143.

1 *διαλειψόμενος* V¹ *δὲ* VRC *ἐπιβουλαῖς*, i. marg. *γρ ἐπιβολαῖς* m. 2 V *expensis* Lat 2 *ἐξαρκέσονταισ* A *ἆρα* ML²RC *πρὸς* om. C *καὶ*] *ἢ* Destinon 3 *περισκέψεσθε*, *ψ* ex *σ* corr. uid. A *περισκέψεσθαι* C¹ *γρ οὐ περισκέπτεσθ* (reliquis euanidis) i. marg. P *circumspicitis* Lat 4 *μετρήσετε*] *μετήσετε* R *metimini* Lat *ὑμέτερα* MLC Lat *ἕστερα* R 5 *καὶ*] *πρὸσ* MC *etiam* Lat 7 *ἐξήρκεσεν*] *sufficit* Lat *ὅλωσ* V¹C *ὁρος* Destinon et Niese *ὑπὸ*] *ὑπὲρ* P 8 *πρὸσ ἀρκτίων* AL *ὁ* om. L¹VRC *ἴστροσ* C 9 *λιβύη* C¹ *γάδηρα* PA 10 *ἐζήτησαν ἑτέραν* tr. L 11 *πρότερον* R *Βρεττανῶν*] *βρεττανῶν γερμανῶν* L¹ *βρεττανῶν καὶ γερμανῶν* L² *διήνεγκαν*] *δὴ ἤνεγκαν* ut uid. L¹ *ὅπλα*] *arma et exercitum* Lat *ἡμεῖσ* V¹ 12 *γαλάτων* C *ἰσχυρώτεροι* A 14 *ῥωμαίουσ* C¹ *χαλεπὸν, χα* i. ras. A 15 *ἡλίῳ*] *ἥλιον* ML²C *προύχοντεσ εὐγενείᾳ*] P *προύχειν εὐγενείᾳ δοκοῦντεσ καὶ ὄντεσ* A *προύχειν εὐγενείᾳ δοκοῦντεσ* ML *εὐγενείᾳ προύχειν δοκοῦντεσ* VRC *uidebantur nobilitate praestare* Lat 16 *ἐξ*] VRC *bis ternis* Lat *ταῖσ* PAML *ῥωμαίοισ* V *ὑπείκουσιν*] *ὑπήκουσιν* (*-σι* LR) PAL¹R² 17 *τοσαύταισ*] *ταῖσ αὐταῖσ* PAML *paribus* Lat *καὶ* om. C 16—17 *γρ ἐξ ῥωμαίων ὑπήκουσι ῥάβδοισ τοσαύτασ δὲ καὶ μακεδόνεσ* i. marg. PA (in marg. A litterae quaedam euanuerunt) *ἐλευθερείασ* A 18 *δ'*] *δὲ* VR *δαὶ* C 19 *οὐ*] *οὐχὶ* R *ὑπατικὰσ, ι* i. ras. A 20 *χρὴ*] *δεῖ* RC *δὲ* V *ἠνιόχουσ* L *eniochos* LatHeg *Κόλχουσ*] *ὄχλουσ*, i. marg. *κόλχουσ* V *τῶν* om. MVRC

φῦλον, Βοσπορανούς τε καὶ τὰ περίοικα τοῦ Πόντου καὶ τῆς
Μαιώτιδος ἔθνη; παρ' οἷς πρὶν μὲν οὐδ' οἰκεῖος ἐγιγνώσκετο δεσ- 367
πότης, νῦν δὲ τρισχιλίοις ὁπλίταις ὑποτάσσεται, καὶ τεσσαράκοντα
ναῦς μακρὰς τὴν πρὶν ἄπλωτον καὶ ἀγρίαν εἰρηνεύουσι θάλασσαν.
πόσα Βιθυνία καὶ Καππαδοκία καὶ τὸ Παμφύλιον ἔθνος Λύκιοί 368
τε καὶ Κίλικες ὑπὲρ ἐλευθερίας ἔχοντες εἰσὶν χωρὶς ὅπλων φορο-
λογοῦνται; τί δαί; Θρᾷκες οἱ πέντε μὲν εἴρος ἑπτὰ δὲ μῆκος ἡμε-
ρῶν χώραν διειλημότες, τραχυτέραν τε καὶ πολλῷ τῆς ἡμετέρας
ὀχυρωτέραν καὶ βαθεῖ κρημνῷ τοὺς ἐπιστρατεύσοντας ἀνακόπτουσαν.
οὐχὶ δισχιλίοις Ῥωμαίων ὑπακούουσιν φρουροῖς; οἱ δ' ἀπὸ τούτων 369
Ἰλλυριοὶ τὴν μέχρι Δαλματίας ἀποτεμνομένην Ἴστρῳ κατοικοῦντες,
οὐ δυσὶν μόνοις τάγμασιν ὑπείκουσιν, μεθ' ὧν αὐτοὶ τὰς Δακῶν
ἀνακόπτουσιν ὁρμάς; οἱ δὲ τοσαυτάκις πρὸς ἐλευθερίαν ἀναχαιτί- 370
σαντες Δαλμάται καὶ πρὸς τὸ μόνον ἀεὶ χειρωθέντες τότε συλλε-
ξάμενοι τὴν ἰσχὺν πάλιν ἀποστῆναι, νῦν οὐχ ὑφ' ἑνὶ τάγματι Ῥω-
μαίων ἡσυχίαν ἄγουσιν; ἀλλὰ μὴν εἴ γέ τινας εἰς ἀπόστασιν ὤφει- 371
λον ἀφορμαὶ μεγάλαι παροξύνειν, μάλιστα Γαλάτας ἐχρῆν τοὺς
οὕτως ὑπὸ τῆς φύσεως τετειχισμένους, ἐξ ἀνατολῆς μὲν ταῖς Ἄλπεσιν
πρὸς ἄρκτῳ δὲ Ῥήνῳ ποταμῷ, μεσημβρινοῖς δὲ τοῖς Πυρηναίοις
ὄρεσιν, ὠκεανῷ δὲ πρὸς δυσμῶν. ἀλλὰ καίτοι τηλικαῦτα μὲν ἔρκη 372

PAMLVRC Lat Hegesippus II 9 p. 140.

1 *βοσπορηνούς* MVR *bosforanos* Lat 2 *μεώτιδος* V¹RC¹ *οὐδὲ* VRC *ἐγινώσκετο* LVRC 3 *τεσσαράκοντα* A 4 *ναῦς*] *νῆσε* ML²V²RC *νῆσας* ut uid. V¹ *πρὶν*] om. M *πρὶν μὲν* (*μὲν* expunctum) V *ἄπλοτον* A *καὶ ἀγρίαν* om. LatHeg 5 *πόσα*] *πρὸσ ἃ* VR *βηθυνία* P *τὸ* om. PAL, unde *Παμφυλίων* Destinon 7 *δαί*] *δὲ* MLVR *οἱ* ALVRC 8 *διειληφότες* V¹ *ἡμε-*
τέρας C 9 *ὀχυροτέραν* RC¹ *κρυμῷ*] *κρυμῶ*, s. m. 2 C *ἐπιστρατεύ-*
σοντας] *ἐπιστρατεύσαντασ* A *ἐπιστρατεύοντασ* MVRC *qui irruerint* Lat
10 *οἱ δὲ* — 11 *κατοικοῦντες*] *post hos illyrii usque ad dalmatiam et histro tenus incolentes* Lat *δὲ* VRC 11 *ἰλλύριοι* P *ἰλλυροὶ* C¹ *δαλμα-*
τείασ L *ἀποτεμνομένην*] *ἐκτεινομένην* Hudson *Ἴστρῳ*] *ἐν δὲ Ἴστρῳ* VR *οἱ δὲ Ἴστρῳ* (*οἱ* i. ras. m. 2 ex *ἐν* corr. uid.) C 12 *ὑπήκουσι*, *η* ex *ει* corr. R *δ · ακῶν*, eras. *ι* L 13 post *δὲ* ras. 2—3 litt. C
14 *μόνον*] *μᾶλλον* L *πρὸς τὸ* — 15 *ἀποστῆναι*] (*dalmatae*) *qui tam multa pro libertate conati sunt sacpiusque capti rursum cum maioribus opibus rebellarunt* Lat *τὸ*] fort. spurium *τοῦτο* Ibbetson *τότε*] *ὥστε* Ibbetson *τὸ* Niese *ἀποστῆναι, ην* i. ras. A 16 *ἀποστασίαν* A *ὄφειλον* PAV¹
19 *τοῖς Πυρηναίοις*] *τοῖσ κυρηναίοισ* (*σκ* i. ras. m. 2 L) PAL *τοῖσ πυρρηναίοισ* C 20 *δὲ* s. V *δυσμαῖσ* MVRC *καίτοι*] *καὶ* L *ἔρκη* PAMLVC

προβεβλημένοι, πέντε δὲ καὶ τριακοσίοις πληθύοντες ἔθνεσιν,
τὰς δὲ πηγάς, ὡς ἄν τις εἴποι, τῆς εὐδαιμονίας ἐπιχωρίους ἔχοντες
καὶ τοῖς ἀγαθοῖς σχεδὸν ὅλην ἐπικλύζοντες τὴν οἰκουμένην, ἀνέ-
χονται Ῥωμαίων πρόσοδος ὄντες καὶ ταμιευόμενοι παρ' αὐτῶν τὴν
373 οἰκείαν εὐδαιμονίαν. καὶ τοῦθ' ὑπομένουσιν οὐ διὰ φρονημάτων
μαλακίαν οὐδὲ δι' ἀγένειαν, οἵ γε διήνεγκαν ὀγδοήκοντα ἔτη πόλεμον
ὑπὲρ τῆς ἐλευθερίας, ἀλλὰ μετὰ τῆς δυνάμεως Ῥωμαίων καὶ τὴν
τύχην καταπλαγέντες, ἥτις αὐτοῖς κατορθοῖ πλείονα τῶν ὅπλων.
τοιγαροῦν ὑπὸ χιλίοις καὶ διακοσίοις στρατιώταις δουλεύουσιν, ὧν
374 ὀλίγου δεῖν πλείους ἔχουσι πόλεις. οὐδὲ Ἴβηρσιν ὁ γεωργούμενος
χρυσὸς εἰς τὸν ὑπὲρ τῆς ἐλευθερίας ἐξήρκεσεν πόλεμον οὐδὲ τὸ
τοσοῦτον ἀπὸ Ῥωμαίων γῆς καὶ θαλάσσης διάστημα φῦλά τε Λου-
σιτανῶν καὶ Καντάβρων ἀρειμάνια οὐδὲ γείτων ὠκεανὸς φοβερὰν
375 καὶ τοῖς ἐπιχωρίοις ἄμπωτιν ἐπάγων, ἀλλ' ὑπὲρ τὰς Ἡρακλείους
στήλας ἐκτείναντες τὰ ὅπλα καὶ διὰ νεφῶν ὁδεύσαντες τὰ Πυρη-
ναῖα ὄρη καὶ τούτους ἐδουλώσαντο Ῥωμαῖοι· φρουρὰ δ' ἤρκεσεν
376 τῶν οὕτως δυσμάχων καὶ τοσοῦτον ἀπορισμένων ἐν τάγμα. τίς
ὑμῶν οὐκ ἀκοῇ παρείληφεν τὸ Γερμανῶν πλῆθος; ἀλκὴν μὲν γὰρ
καὶ μεγέθη σωμάτων εἴδετε δήπου πολλάκις, ἐπεὶ πανταχοῦ Ῥω-
377 μαῖοι τοὺς τούτων αἰχμαλώτους ἔχουσιν. ἀλλ' οὗτοι γῆν μὲν ἄπει-
ρον νεμόμενοι, μείζω δὲ τῶν σωμάτων ἔχοντες τὰ φρονήματα καὶ

PAMLVRCLatHegesippus II 9 p. 141.

1 *προβεβλημένοι* MLC *προσβεβλημένοι* VR *tali munitione gaudentes* Lat δὲ] s. A om. PM et fort. Lat *πέντε*] *quindecim* Lat *πληθυνθέντες* L 2 *εὐδαιμονίας ἐπιχωρίους*] *felicitatis domesticae* Lat 4 *πρόσοδον διδόντες* PA *πρόσοδον φέροντες* R *πρόσοδον* σ *ὄντες* (σ s. m. 2) V 5 *τοῦτο* VRC 6 *ἀγενείαν* L^1 10 *ὀλίγου, ου* i. ras. ex *ων* corr. A *Ἴβηρσιν* PV^1 *Ἴβιρσιν* C *hiberis* Lat *illyriis* Heg 11 *πόλεμον ἐξήρκεσεν* tr. VRC *οὐδὲ* — 14 *ἐπάγων*] *neque tanto terrarum marisque spatio romanis diremptae gentes lusitani scilicet et cantabrorum armenia nec uicinus occanus etiam accolis suis fragore terribilis satis fuit uincentibus romanis* Lat *τὸ* om. LVR *λουσιντιάνων* (*λοῦσιντιάνων* AL^1) PAL^1 *λουσιτιάνων* MV *λυσιτανῶν* L^2 *λουσιτιανῶν* R *λυσιτιάνων* C 13 *Καντάβρων*] *κανταύρων* PAM *χαντάβρων* L^1 *κενταύρων* C^2 *ἀρειμάνια*] L^2C *γερμανία* PA *ἀριμάνια* M *ἀρειμάνεια* L^1 *ἀρμένια* (ante *ἀρ-* ras. 4 litt. V) VRLat *γείτων*] *τι την* (*την* i. ras.) R 14 *ἐγχωρίοις* P *ἄμπωτιν* V^1 *fragor* Lat *τὰσ, ἁ* i. ras. A 15 *Πυρηναῖα*] *πυρηνίων* PAM *τυρηνίων* L *πυρρηναία* VRC 16 *δὲ* VRC *ἤρκεσεν*] *satis est* Lat 17 *οὕτω* VRC *τοσοῦτων* A *ἀποκισμένων* A^1R *ἡμῶν* VRC *γερμανὸν* $L^1V^1C^1$ 19 *μεγέθει* PA *μεγέθη, η* i. ras. m. 2 V *εἴδετε* PAL^1 *δήπου*] *ἤδη ποῦ* L 20 *ἀλλ' οὗτοι*] *ἀλλά τοι* AL *sed illi quidem* Lat

τὴν μὲν ψυχὴν θανάτου καταφρονοῦσαν, τοὺς δὲ θυμοὺς τῶν ἀγριωτάτων θηρίων σφοδροτέρους, Ῥῆνον τῆς ὁρμῆς ὅρον ἔχουσιν καὶ Ῥωμαίων ὀκτὼ τάγμασιν δαμαζόμενοι δουλεύουσιν μὲν ἁλόντες, τὸ δ' ὅλον αὐτῶν ἔθνος φυγῇ διασώζεται. σκέψασθε δὲ καὶ τὸ Βρετ- 378
τανῶν τεῖχος οἱ τοῖς Ἱεροσολύμων τείχεσιν πεποιθότες· καὶ γὰρ ἐκείνους περιβεβλημένους ὠκεανὸν καὶ τῆς καθ' ἡμᾶς οἰκουμένης οὐκ ἐλάσσονα νῆσον οἰκοῦντας πλεύσαντες ἐδουλώσαντο Ῥωμαῖοι, τέσσαρα δὲ τάγματα τὴν τοσαύτην νῆσον φυλάσσει. καὶ τί δεῖ 379
πολλὰ λέγειν, ὅπου καὶ Πάρθοι, τὸ πολεμικώτατον φῦλον, τοσούτων ἄρχοντες ἐθνῶν καὶ τηλικαύτην περιβεβλημένοι δύναμιν ὁμήρους πέμπουσιν Ῥωμαίοις, καὶ ἔστιν ἐπὶ τῆς Ἰταλίας ἰδεῖν ἐν εἰρήνης προφάσει δουλεύουσαν τὴν ἀπὸ τῆς ἀνατολῆς εὐγένειαν. πάντων 380
δὴ σχεδὸν τῶν ὑφ' ἡλίῳ τὰ Ῥωμαίων ὅπλα προσκυνούντων ὑμεῖς μόνοι πολεμήσετε μηδὲ τὸ Καρχηδονίων τέλος σκοποῦντες, οἳ τὸν μέγαν αἰχοῦντες Ἀννίβαν καὶ τὴν ἀπὸ Φοινίκων εὐγένειαν ὑπὸ τὴν Σκιπίωνος δεξιὰν ἔπεσον; οὔτε δὲ Κυρηναῖοι, τὸ Λακώνων 381
γένος, οὔτε Μαρμαρίδαι, τὸ μέχρι τῆς διψάδος ἐκτεταμένον φῦλον, οὔθ' αἱ φοβεραὶ καὶ τοῖς ἀκούουσιν Σύρτεις Νασαμωνές τε καὶ Μαῦροι καὶ τὸ Νομάδων ἄπειρον πλῆθος τὰς Ῥωμαίων ἀνέκοψαν ἀρετάς. τὴν δὲ τρίτην τῆς οἰκουμένης μοῖραν, ἧς οὐδὲ ἐξαριθμήσασθαι τὰ 382
ἔθνη ῥᾴδιον, ὁριζομένην Ἀτλαντικῷ τε πελάγει καὶ στήλαις Ἡρακλείοις καὶ μέχρι τῆς Ἐρυθρᾶς θαλάσσης τοὺς ἀπείρους νέμουσαν Αἰθίοπας ἐχειρώσαντο μὲν ὅλην, χωρὶς δὲ τῶν ἐτησίων καρπῶν, οἳ μησὶν ὀκτὼ 383

PAMLVRC Lat Hegesippus II 9 p. 139 sq.

1 ψυχὴν] *τύχην* RC¹ et i. marg. m. 2 V 2 Ῥῆνον — ἔχουσιν] *retinaculum ante suum rerum putabant, nunc salutis defensorem* Heg 3 δουλεύουσιν μὲν] δουλεύουσιν P οἱ μὲν δουλεύουσιν Destinon τὸ — 4 διασώζεται] *reliqua autem eorum universa gens salutem in fuga non in armis reponit* Lat 4 δὲ VRC αὐτὸν L¹ σκέψασθαι V¹C¹ δὲ] δὴ L τὸ] om. P ex τῶ corr. A βρετανῶν A 5 τεῖχος] πλῆθος R οἱ, ἰ i. ras. m. 2 V τείχεσιν ἱεροσολύμων tr. V 7 νῆσον] νῆσον, σον i. ras. A, om. Lat οἰκοῦντες A¹ 8 τέσαρα A διαφυλάσσει L διαφυλάττει VRC δεῖ] δὴ L¹ 9 φῦλον] ἔθνος, i. marg. *φύλον* m. 2 V πλῆθος φῦλον (πλῆθος deletum) C 10 ἄρχοντες] *prius — imperantes* Lat 11 post ὁμήρους eras. τε L ἐν suspectum 13 δὴ] οὖν V τῶν ὑφ' ἡλίῳ om. C τῶν] τὴν L¹ ἥλιον ML² τὰ A ὅπλα] σκῆπτρα M 14 καρχηδόνιον C 15 ἀννίβαλ L¹ 16 σκιπίονος P σκηπίωνος, s. m. 2 V σκηπίωνος LC λακόνων PA¹C¹ 17 μαρμαρίται R διψάδος] δαψίδοσ VR 18 οὔτε VR νασάμωνές (ν ante ε i. ras. A) AL τὲ, τ i. ras. M 19 τὸ] τῶν PA τὸ τῶν M ἀνέκοψεν V 21 ῥᾴδιον] ῥάδιον ἦν P ῥάδιον ἦν (ἦν expunctum) A *facile est* Lat ἀτλαντικῶ V τε om. PLV 23 ὀκτὼ V

τὸ κατὰ τὴν Ῥώμην πλῆθος τρέφουσιν, καὶ ἔξωθεν παντοίως φορο-
λογοῦνται καὶ ταῖς χρείαις τῆς ἡγεμονίας παρέχουσιν ἑτοίμους τὰς
εἰσφοράς, οὐδὲν τῶν ἐπιταγμάτων ὥσπερ ὑμεῖς ὕβριν ἡγούμενοι
384 καίπερ ἑνὸς τάγματος αὐτοῖς παραμένοντος. καὶ τί δεῖ πόρρωθεν
ὑμῖν τὴν Ῥωμαίων ὑποδεικνύναι δύναμιν παρὸν ἐξ Αἰγύπτου τῆς
385 γειτνιώσης, ἥτις ἐκτεινομένη μέχρις Αἰθιόπων καὶ τῆς εὐδαίμονος
Ἀραβίας ὅρμος τε οὖσα τῆς Ἰνδικῆς, πεντήκοντα πρὸς ταῖς
ἑπτακοσίαις ἔχουσα μυριάδας ἀνθρώπων δίχα τῶν Ἀλεξάνδρειαν
κατοικούντων, ὡς ἔνεστιν ἐκ τῆς καθ' ἑκάστην κεφαλὴν εἰσφορᾶς
τεκμήρασθαι, τὴν Ῥωμαίων ἡγεμονίαν οὐκ ἀδοξεῖ, καίτοι πηλίκον
ἀποστάσεως κέντρον ἔχουσα τὴν Ἀλεξάνδρειαν πλήθους τε ἀνδρῶν
386 ἕνεκα καὶ πλούτου πρὸς δὲ μεγέθους· μῆκος μέν γε αὐτῆς τριά-
κοντα σταδίων, εὖρος δ' οὐκ ἔλαττον δέκα, τοῦ δὲ ἐνιαυσιαίου
παρ' ὑμῶν φόρου καθ' ἕνα μῆνα πλέον Ῥωμαίοις παρέχει καὶ τῶν
χρημάτων ἔξωθεν τῇ Ῥώμῃ σῖτον μηνῶν τεσσάρων· τετείχισται δὲ
πάντοθεν ἢ δυσβάτοις ἐρημίαις ἢ θαλάσσαις ἀλιμένοις ἢ ποτα-
387 μοῖς ἢ ἕλεσιν. ἀλλ' οὐδὲν τούτων ἰσχυρότερον εὑρέθη τῆς Ῥωμαίων
τύχης, δύο δ' ἐγκαθήμενα τῇ πόλει τάγματα τὴν βαθεῖαν Αἴγυπτον
388 ἅμα τῇ Μακεδόνων εὐγενείᾳ χαλινοῖ. τίνας οὖν ἐπὶ τὸν πόλεμον
ἐκ τῆς ἀοικήτου παραλήψεσθε συμμάχους; οἱ μὲν γὰρ ἐπὶ τῆς οἰκου-
μένης πάντες εἰσὶν Ῥωμαῖοι, εἰ μή τις ὑπὲρ Εὐφράτην ἐκτείνει τὰς
ἐλπίδας καὶ τοὺς ἐκ τῆς Ἀδιαβηνῆς ὁμοφύλους οἴεται προσαμυνεῖν,
389 οἱ δ' οὔτε δι' αἰτίαν ἄλογον τηλικούτῳ πολέμῳ συνεμπλέξουσιν

PAMLVRCLatHegesippus II 9 p. 141. 143.

1 *καὶ*] om. PAL suppl. V *φορολογοῦνται* — 15 *ἔξωθεν* om. R, pro quo collatus est Lips 2 *ἑτοίμους*] *deuotissime* Lat 4 *δεῖ*] *δὴ* L¹ 5 *ἐπι-δεικνύναι* M *ὑποδεικνύειν* VCLips *ὑποδεικνύειν τὴν ῥωμαίων* tr. VCLips *παρὸν*] *cum eam possitis — diligenter inspicere* Lat 6 *ἥτις — τῆς* om. C *μέχρι* man. 1 VLips 7 *ὅρμος*] *ὅμοροσ* (litt. *μορο* i. ras. 3 litt. Lips) VCLips Lat 8 *πεντακοσίαις*, i. marg. *γρ ἑπτακοσίαισ* V *ἀνθρώπουσ* C 9 *ὡς* — 10 *τεκμήρασθαι*] *tamen uectigalia, quorum magnitudinem de censu singulorum capitum aestimare licet, deuotissime pendens* Lat *τῆσ, ῆ* i. ras. m. 2 Lips *τῶν* V *εἰσφορᾶς*] *συνεισφορᾶσ* P *εἰσφορῶν* V 11 *κίνδρον* M *ἀλεξάνδρειαν, αν* finale i. ras. 1 litt. m. 2 V 12 *δὲ*] *δὲ καὶ* AVRC 13 *δὲ οὐκ* VCLips *τοῦ δὲ*] *καὶ τοῦ · ·* L *τὸν δὲ τοῦ* VCLips *ἐνιαυσίου* VCLips 14 *ὑμῖν* L *παρέχει ·* V 15 *τεσσάρων*] *δ* PAC¹ *δων* C² *τετείχισται, αι* i. ras. A 16 *ἢ* (ante *δυσβάτοις*) om. P *ἀ · λιμένοισ* V 17 *ἕλεσιν, ε* ante *σ* i. ras. 2 litt. m. 2 C *οὐδὲν, ν* s. L *ἰσχυρώτερον* A 18 *δὲ* LV 20 *προσλήψασθε, ε* finale i. ras. m. 2 V 21 *ἐκτείνῃ* PAR *ἐκτείνηι* V 22 *προσαμυνεῖν*] Niese *προσαμύνειν* VRC *ἐπαμύνειν* PAML *adiuturos* Lat 23 *δὲ* VRC *οὔτε*] *ὅτε* L¹ *δι'*, i. ras. m. 2 V *συμπλέξουσιν* LVRC

ἑαυτούς, οὔτε βουλευσαμένοις κακῶς ὁ Πάρθος ἐπιτρέψει· χρόνοις γὰρ αὐτῷ τῆς πρὸς Ῥωμαίους ἐχεχειρίας. καὶ παραβαίνειν οἰήσεται τὰς σπονδάς, ἄν τις τῶν ὑπ' αὐτὸν ἐπὶ Ῥωμαίους ἴῃ. λοιπὸν οὖν 390 ἐπὶ τὴν τοῦ Θεοῦ συμμαχίαν καταφευκτέον. ἀλλὰ καὶ τοῦτο παρὰ Ῥωμαίοις τέτακται· δίχα γὰρ Θεοῦ συστῆναι τηλικαύτην ἡγεμονίαν ἀδύνατον. σκέψασθε δ' ὡς ὑμῖν τὸ τῆς θρησκείας ἄκρατον, εἰ καὶ 391 πρὸς εἰχειρώτους πολεμοίητε, δυσδιοίκητον, καὶ δι' ἃ μᾶλλον τὸν Θεὸν ἐλπίζετε σύμμαχον, ταῦτ' ἀναγκαζόμενοι παραβαίνειν ἀποστρέψετε. τριοῦντές γε μὴν τὰ τῶν ἑβδομάδων ἔθη καὶ πρὸς μηδε- 392 μίαν πρᾶξιν κινούμενοι ῥᾳδίως ἁλώσεσθε, καθάπερ οἱ πρόγονοι Πομπηίῳ ταύτας μάλιστα τὰς ἡμέρας ἐνεργοὺς ποιησαμένῳ τῆς πολιορκίας, ἐν αἷς ἤργουν οἱ πολιορκούμενοι· παραβαίνοντες δὲ ἐν 393 τῷ πολέμῳ τὸν πάτριον νόμον οὐκ οἶδ' ὑπὲρ ὅτου λοιπὸν ποιήσεσθε τὸν ἀγῶνα· σπουδὴ γὰρ ὑμῖν μία τὸ μὴ τῶν πατρίων τι καταλῦσαι. πῶς δὲ ἐπικαλέσεσθε τὸ θεῖον πρὸς τὴν ἄμυναν οἱ 394 παραβάντες ἑκουσίως τὴν εἰς αὐτὸ θεραπείαν; ἐπαναιροῦνται δὲ ἕκαστοι πόλεμον ἢ θείᾳ πεποιθότες ἢ ἀνθρωπίνῃ βοηθείᾳ· ὅταν δὲ τὴν παρ' ἀμφοῖν τὸ εἰκὸς ἀποκόπτῃ, φανερὰν ἅλωσιν οἱ πολεμοῦντες αἱροῦνται. τί δὴ κωλύει ταῖς ἑαυτῶν χερσὶν διαχρήσασθαι 395 τέκνα καὶ γυναῖκας καὶ τὴν περικαλλεστάτην πατρίδα ταύτην καταφλέξαι; μανέντες γὰρ οὕτως τό γε τῆς ἥττης ὄνειδος κερδήσετε.

PAMLVRC Lat Hegesippus II 9 p. 144.

1 *βουλευσαμένοις, σ* finale suppl. A *βουλευσαμένους* VR *βουλευσαμένος* C 2 *ἐκκεχειρίας* R^2 3 *ἄν*] *κἂν* L^1VRC *ἴῃ*] *ἴηει* PAVR *εἴη* L^1 4 *τοῦ*] *ἐκ τοῦ* VRC *θείου* Destinon 5 *ἡγεμονίαν*] *πόλιν* (i. marg. *γρ ἡγεμονία* V) VR 6 *δὲ* (s. C) VRC 7 *πολεμώητε* MLVR *πολεμοίητε, οίη* i. ras. 2 litt. m. 2 C *δυσδιοίητον* C *καὶ — S ἀποστρέψετε*] *atque eadem transgrediendo offendatis deum, per quae eum auxiliaturum putatis* Lat *μᾶλλον*] *μάλιστα* VRC 8 *ταῦτα* VRC *ἀποστρέφετε* VRC 9 *γε μὴν*] *μέν γε* VRC 10 *ἁλώσεσθαι* A *ἁλώσεσθε, ε* finale i. ras. V 12 *εἴργουν* C^1 *παραβαίνοντες, τες* suppl. m. 2 R *δ'* L 13 *πατρῶον* C *οἶδα* VRC *ὅτου*] *ὃ τὸ* L^1 *οὗ τὸ* L^2 *ποιήσασθε* A 14 *ἀγῶνα* V *γὰρ*] *siquidem nunc* Lat *τὸ*] *τῶν* C *πατρώων* PAL 15 *δ'* L *ἐπικαλέσθε* P *ἐπικαλέσησθε* C *πρὸς*] *εἰσ* VRC *τὴν* i. ras. | (eras. *θε*) A *ἄμυναν — 16 θε*|(*ράπειαν*) i. marg. suppl. (litt. *υσίωσ* recisae) A 16 *παραβάντες*] *παραβαίνοντες* (*τες* suppl. m. 2 C) VRC 17 *ἢ* (ante *θείᾳ*) euan. P *ἀνθρωπεία* RV^2 *ὅταν — 18 ἀποκόπτῃ*] *cum uero utroque hoc, quantum ad ipsam pertinet consequentiam, deseruntur* Lat 18 *εἰκὸς*] *νεῖκοσ* RC^1 *ἀποκόπτῃ φανερὰν*] *ἀποκόπτη νευρὰν* R *ἀποκόπτει νευρὰν φανερὰν* C 19 *αἱροῦνται, αι* i. ras. V *δὴ*] *δὲ* MVR *δαὶ* C *κωλύειν* PAL 20 *περικαλεστάτην* R^1C^1 21 *οὕτω* VRC *ἥττης* om. C

396 καλόν. ὦ φίλοι, καλόν, ἕως ἔτι ἐν ὁρμῳ τὸ σκάφος προσκέπτεσθαι
τὸν μέλλοντα χειμῶνα μηδ' εἰς μέσας τὰς θυέλλας ἀπολουμένους
ἀναχθῆναι· τοῖς μὲν γὰρ ἐξ ἀδήλων ἐπιπεσοῦσιν δεινοῖς τὸ γοῦν
ἐλεεῖσθαι περίεστιν, ὁ δ' εἰς πρόδηλον ἀπώλειαν ὁρμήσας καὶ προσ-
397 ονειδίζεται. πλὴν εἰ μή τις ὑπολαμβάνει κατὰ συνθήκας πολε- 5
μήσειν καὶ Ῥωμαίους κρατήσαντας ὑμῶν μετριάσειν, ἀλλ' οὐκ εἰς
ὑπόδειγμα τῶν ἄλλων ἐθνῶν καταφλέξειν μὲν τὴν ἱερὰν πόλιν, ἀναι-
ρήσειν δὲ πᾶν ὑμῶν τὸ φῦλον· οὐδὲ γὰρ περιλειφθέντες φυγῆς εὑ-
ρήσετε τόπον ἁπάντων ἐχόντων Ῥωμαίους δεσπότας ἢ δεδοικότων
398 σχεῖν. ὁ δὲ κίνδυνος οὐ τῶν ἐνθάδε μόνον, ἀλλὰ καὶ τῶν κατὰ τὰς 10
ἄλλας κατοικούντων πόλεις· οὐ γὰρ ἔστιν ἐπὶ τῆς οἰκουμένης δῆμος
399 ὁ μὴ μοῖραν ἡμετέραν ἔχων. οὓς ἅπαντας πολεμησάντων ὑμῶν
κατασφάξουσιν οἱ διάφοροι, καὶ δι' ὀλίγων ἀνδρῶν κακοβουλίαν
πᾶσα πλησθήσεται πόλις Ἰουδαϊκοῦ φόνου. καὶ συγγνώμη μὲν τοῖς
τοῦτο πράξασιν· ἂν δὲ μὴ πραχθῇ, λογίσασθε, πῶς πρὸς οὕτω 15
400 φιλανθρώπους ὅπλα κινεῖν ἀνόσιον. εἰσελθέτω δ' οἶκτος ὑμᾶς εἰ
καὶ μὴ τέκνων καὶ γυναικῶν, ἀλλὰ τῆς γε μητροπόλεως ταύτης καὶ
τῶν ἱερῶν περιβόλων. φείσασθε τοῦ ἱεροῦ καὶ τὸν ναὸν ἑαυτοῖς
μετὰ τῶν ἁγίων τηρήσατε· ἀφέξονται γὰρ οὐκέτι Ῥωμαῖοι τούτων
401 κρατήσαντες, ὧν φεισάμενοι πρότερον ἠχαρίστηνται. μαρτύρομαι 20
δὲ ἐγὼ μὲν ὑμῶν τὰ ἅγια καὶ τοὺς ἱεροὺς ἀγγέλους τοῦ θεοῦ καὶ

PAMLVRC Lat Hegesippus II 9 p. 145.

1 ἔτι] ὅτε VRC *adhuc* Lat περισκέπτεσθαι P fort. recte 2 μηδ' — 3 ἀναχθῆναι] *et non eo tempore, quo in medias rueris procellas, nequiquam trepidare* Lat μηδὲ VRC ante τὰς ras. 2—3 litt. A ἀπολουμένους] ἀπολλυμένους L ἀπὸ λιμένος MV¹RC 3 ἐμπεσοῦσι M fort. recte; nam τοῖς masculini generis est nec cum δεινοῖς coniungendum 4 δὲ VRC προσονει·δίζεται P 5 πλὴν — 10 σχεῖν infra u. 14 post φόνου ponenda esse putat Destinon ὑπολαμβάνη PL¹ 8 περιληφθέντες L¹ *qui superfueritis armis* Lat 9 δεδοικότας VR 10 μόνων L¹R μόνων V κατὰ s. P 11 ἄλλας i. marg. suppl. L πόλεις κατοικούντων tr. MLVRC πόλεις om. P 12 ὑμετέραν C Lat ὑμῶν] ὑμῶν ἕνεκα RC 13 ἀνδρῶν καὶ κακοβουλίαν A 14 πληρωθήσεται AMLVRC καὶ συγγνώμη — 16 ἀνόσιον] *manet autem uenia eos, qui talia patrauerunt, quod si nimirum uestro uitio congregati eadem exsequi supersederint, considerate quam impium sit* Lat, qui de suo quaedam addidisse uid. συγνώμη R συγγνώμη· C 15 λογίσασθαι AV¹C¹ πῶς i. marg. suppl. m. 2 V 16 ἀνόσιον] ὅσιον Niese δὲ AVRC 17 καὶ μὴ] μὴ καὶ LRC μὴ V τῆς] τίς M γε om. R καὶ τῶν — 19 τηρήσατε] *parcite sacris moenibus, parcite uenerabilibus aedibus* (*adytis* codd. alii) *templumque uobis et sanctorum sancta seruate* Lat 18 τοῦ] δὲ τοῦ MV ναὸν] νόμον VC 19 τηρήσατε, τηρή i. ras. R τοῦτον V¹ 21 ὑμῶν om. L

πατρίδα τὴν κοινήν, ὡς οὐδὲν τῶν σωτηρίων ὑμῖν καθυφηκάμην, ὑμεῖς δὲ βουλευσάμενοι μὲν τὰ δέοντα κοινὴν σὺν ἐμοὶ τὴν εἰρήνην ἕξετε. προαχθέντες δὲ τοῖς θυμοῖς χωρὶς ἐμοῦ κινδυνεύσετε."

5. Τοσαῦτα εἰπὼν ἐπεδάκρυσέν τε μετὰ τῆς ἀδελφῆς καὶ πολὺ 402
τῆς ὁρμῆς αὐτῶν ἔπαυσεν τοῖς δακρύοις. ἀνεβόων δὲ οὐ Ῥωμαίοις, ἀλλὰ Φλώρῳ δι' ἃ πεπόνθασιν πολεμεῖν. πρὸς τοῦτο βασιλεὺς 403
Ἀγρίππας „ἀλλὰ τὰ ἔργα, ἔφη, Ῥωμαίοις ἤδη πολεμούντων ἐστίν· οὔτε γὰρ Καίσαρι δεδώκατε τὸν φόρον καὶ τὰς στοὰς ἀπεκόψατε τῆς Ἀντωνίας. ἀποσκευάσασθε δ' ἂν τὴν αἰτίαν τῆς ἀποστά- 404
σεως, εἰ ταύτας τε συνάψετε πάλιν καὶ τελέσετε τὴν εἰσφοράν· οὐ γὰρ δή γε Φλώρου τὸ φρούριόν ἐστιν ἢ Φλώρῳ τὰ χρήματα δώσετε."

XVII. 1. Τούτοις ὁ δῆμος ἐπείθετο, καὶ μετὰ τοῦ βασιλέως 405
τῆς τε Βερνίκης ἀναβάντες εἰς τὸ ἱερὸν κατήρξαντο τῆς τῶν στοῶν δομήσεως, εἰς δὲ τὰς κώμας οἵ τε ἄρχοντες καὶ βουλευταὶ μερισθέντες τοὺς φόρους συνέλεγον. ταχέως δὲ τὰ τεσσαράκοντα τάλαντα, τοσοῦτον γὰρ ἔλειπεν, ἠθροίσθη. καὶ τοῦ μὲν πολέμου τότε οὕτω 406
τὴν ἀπειλὴν κατεῖχεν Ἀγρίππας, αὖθις δὲ ἐπειρᾶτο πείθειν τὸ πλῆθος ὑπακούειν Φλώρῳ, μέχρις ἀντ' αὐτοῦ πέμψει Καῖσαρ διάδοχον· πρὸς ὃ παροξυνθέντες ἐβλασφήμουν εἰς τὸν βασιλέα καὶ
τῆς πόλεως αὐτὸν ἐξεκήρυσσον, ἑτοίμων δέ τινες τῶν στασιαστῶν καὶ λίθους ἐπ' αὐτὸν βάλλειν. ὁ δὲ βασιλεὺς ἰδὼν τὴν ὁρμὴν ἤδη 407
τῶν νεωτεριζόντων ἀκατάσχετον καὶ χαλεπήνας ἐφ' οἷς προπεπηλάκισται, τοὺς μὲν ἄρχοντας αὐτῶν ἅμα τοῖς δυνατοῖς ἔπεμπε πρὸς

PAMLVRC Lat Hegesippus II 9 p. 146.

1 ὑμῶν PA 2 μὲν om. M κοινῇ VRC 3 δὲ euan. P τοῖς] τοῖ C κινδυνεύετε C 4 i. marg. κθ' C πολὺ] το πολὺ VRC 5 δάκρυσιν VRC i. marg. κθ' V 6 ταῦτα MVRC *quos* Lat ὁ βασιλεὺς MVRC 7 ἔργα, ργ i. ras. A ἔφη om. M ἤδη om. LCLat 8 γὰρ τῷ καίσαρι VRC 9 τῆς Ἀντωνίας] τὰσ ἀντωνίασ PAL *antonianas* Lat ἀποσκευάσασθε] Dindorf ἀπεσκευάσασθε PAL[1] ἀποσκευάσασθε L[2] ἀποσκευάσεσθε M ἀποσκευάσασθε, θε ex θαι corr.V ἀποσκεύασθε, θε ex θαι corr. C *sopietis* Lat 10 ταύτας] LVRCLat ταῦτα PAM τε s. A συνάψητε VR 11 δὴ] ἤδη VRC 13 *beronice* Heg 14 δωμήσεως L[1] καὶ οἱ βουλευταὶ MVRC 16 τοσοῦτο L[1] ἔλιπεν PAMLC 17 τὴν ἀπειλὴν οὕτω tr. VRC κατεῖχεν] κατέλιπεν L κατέστειλεν VRC *compescuit* Lat 18 μέχρις] ἄχρισ V ἄχρισ ἂν RC πέμψῃ PALVRC 19 πρὸς ὃ παροξυνθέντες] PAMLLat προσπαροξυνθέντεσ δὲ VRC 20 αὐτῶν C 21 καὶ] om. AL *etiam* Lat ἰδὼν om. VRC ἤδη om. VRCLat 22 ἀκατάσχετον ὁρῶν καὶ VRC χαλεπήνας] *conquerentem* Lat tamquam χαλεπήνασαν legisset προπεπηλάκιστο MLVRC 23 αὐτῶν] om. V post δυνατοῖς tr. RC ἔπεμπε] ἀπέπεμψε L

Φλῶρον εἰς Καισάρειαν, ἵν' ἐκεῖνος ἐξ αὐτῶν ἀποδείξῃ τοὺς τὴν
χώραν φορολογήσοντας, αὐτὸς δὲ ἀνεχώρησεν εἰς τὴν βασιλείαν.
408 2. *Κἂν τούτῳ τινὲς τῶν μάλιστα κινούντων τὸν πόλεμον συνελ-*
θόντες ὥρμησαν ἐπὶ φρούριόν τι καλούμενον Μασάδαν, καὶ κατα-
λαβόντες αὐτὸ λάθρα τοὺς μὲν Ῥωμαίων φρουροὺς ἀπέσφαξαν, 5
409 *ἑτέρους δ' ἐγκατέστησαν ἰδίους. ἅμα δὲ καὶ κατὰ τὸ ἱερὸν Ἐλεά-*
ζαρος υἱὸς Ἀνανία τοῦ ἀρχιερέως, νεανίας θρασύτατος, στρατηγῶν
τότε τοὺς κατὰ τὴν λατρείαν λειτουργοῦντας ἀναπείθει μηδενὸς
ἀλλοτρίου δῶρον ἢ θυσίαν προσδέχεσθαι. τοῦτο δ' ἦν τοῦ πρὸς
Ῥωμαίους πολέμου καταβολή· τὴν γὰρ ὑπὲρ τούτων θυσίαν Καί- 10
410 *σαρος ἀπέρριψαν. καὶ πολλὰ τῶν τε ἀρχιερέων καὶ τῶν γνωρίμων*
παρακαλούντων μὴ παραλιπεῖν τὸ ὑπὲρ τῶν ἡγεμόνων ἔθος οὐκ
ἐνέδοσαν, πολὺ μὲν καὶ τῷ σφετέρῳ πλήθει πεποιθότες, καὶ γὰρ
τὸ ἀκμαιότατον τῶν νεωτεριζόντων συνήργει, μάλιστα δ' ἀφο-
ρῶντες εἰς τὸν Ἐλεάζαρον στρατηγοῦντα. 15
411 3. *Συνελθόντες γοῦν οἱ δυνατοὶ τοῖς ἀρχιερεῦσιν εἰς ταὐτὸ καὶ*
τοῖς τῶν Φαρισαίων γνωρίμοις ὡς ἐπ' ἀνηκέστοις ἤδη συμφοραῖς
ἐβουλεύοντο περὶ τῶν ὅλων· καὶ δόξαν ἀποπειραθῆναι τῶν στα-
σιαστῶν λόγοις πρὸ τῆς χαλκῆς πύλης ἀθροίζουσι τὸν δῆμον, ἥτις
412 *ἦν τοῦ ἔνδον ἱεροῦ τετραμμένη πρὸς ἀνατολὰς ἡλίου. καὶ πρῶτον* 20
αὐτῶν πολλὰ πρὸς τὴν τόλμαν τῆς ἀποστάσεως χαλεπήναντες καὶ
τὸ τηλικοῦτον ἐπισείειν τῇ πατρίδι πόλεμον, ἔπειτα τὸ τῆς προ-
φάσεως ἄλογον διήλεγχον, φάμενοι τοὺς μὲν προγόνους αὐτῶν κεκοσ-

---

PAMLVRCLat Hegesippus II 9 p. 146.

1 *ἵνα* VRC *ἐκεῖνος* R 2 *φορολογήσαντας* PAC *δ'* L 3 *συνεπελθόντες* C *congregati* Lat 4 *ὥρμησαν* A *καλούμενον Μασάδαν*] *καλού|μασάδαν* M *masada* (accus.) Heg 5 *αὐτὸ*] *αὐτῶι* V *ῥωμαίων, ων* ex *ουσ* corr. C 6 *δὲ κατέστησαν* VRC *ἰδίους*] *ἰουδαίουσ* C¹ *eleazarus quidam* Lat 7 *ἀνανίου* M; cf. infra § 566 *τοῦ* om. L i. marg. $\overline{\text{λ}}$ VC 9 *ἀλλοτρίου*] *ἀλλοφύλου* LVRC et i. marg. M *δὲ* VRC 10 *καὶ καίσαροσ* PAML 11 *ἀπέρριψεν* V¹Lat *τε* om. M *τῶν* (ante *γνωρίμων*) om. M 13 *ἐνέδοσαν, α* i. ras. ex *ε* corr. A *μὲν*] *μᾶλλον* PAM *quidem* Lat 14 *δὲ* LVRC 15 *στρατηγοῦντα*] *qui per idem tempus, ut diximus, princeps erat* Lat 16 *γοῦν*] *οὖν* VRC *ἀρχιερεῦσιν εἰς ταὐτὸ*] *ἀρχιερεῦσι συνίσταντο* VR *εἰσ το αὐτὸ* L *εἰσ ταῦτο* C *καὶ τοῖς τῶν Φαρισαίων γνωρίμοις*] PAMLLat *καὶ τῶν φαρισαίων οἱ γνώριμοι* VRC 17 *ὡς ἐπ'* — 19 *πρὸ*] *et uidentes quam grauibus malis pergerent subigere ciuitatem, decreuerunt seditiosorum animos experiri et ante* Lat 19 *περὶ τῶν ὅλων* ante *πρὸ* iterata deleuit C *πύλης*] *στήλησ* ut uid. L¹ 20 post *τετραμμένη* expunctum *μὴ* V *ἀνατολὴν* VRC *ortum* Lat *πρῶτον* V 22 *τὸ·* A *τὸν* PL *τηλικοῦτον*] *tam breuiter* Lat *ἐπισείειν* (*ι* in *πι* i. ras. 2 litt. V) VRC *πατρίδη* V *τὸ* ex *τῇ* corr. M *τῆσ προφάσεωσ τὸ ἄλογον* tr. VRC

μηκέναι τὸν ναὸν ἐκ τῶν ἀλλοφύλων τὸ πλέον ἀεὶ προσδεχο-
μένους τὰς ἀπὸ τῶν ἔξωθεν ἐθνῶν δωρεάς, καὶ οὐ μόνον οὐ 413
διακεκωλυκέναι θυσίας τινῶν, τοῦτο μὲν γὰρ ἀσεβέστατον, ἀλλὰ
καὶ τὰ βλεπόμενα καὶ τὰ παραμένοντα τοσοῦτον χρόνον ἀνα-
θήματα περὶ τῷ ἱερῷ καθιδρυκέναι. αὐτοὺς δὲ νῦν ἐρεθίζοντας τὰ 414
Ῥωμαίων ὅπλα καὶ μηνστευομένους τὸν ἀπ' ἐκείνων πόλεμον καινο-
τομεῖν θρησκείαν ξένην καὶ μετὰ τοῦ κινδύνου καταψήφισασθαι τῆς
πόλεως ἀσέβειαν, εἰ παρὰ μόνοις Ἰουδαίοις οὔτε θύσει τις ἀλλό-
τριος οὔτε προσκυνήσει. κἂν μὲν ἐπὶ ἰδιώτου τις ἐνὸς τοῦτον εἰσ- 415
φέρῃ τὸν νόμον, ἀγανακτεῖν ὡς ὁριζομένης ἀπανθρωπίας, περιορᾶν
δ' ὅτε Ῥωμαῖοι καὶ ὁ Καῖσαρ ἔκσπονδος γίνεται. δεδοικέναι μέντοι. 416
μὴ τὰς ὑπὲρ ἐκείνων ἀπορρίψαντες θυσίας κωλυθῶσι θύειν καὶ τὰς
ὑπὲρ ἑαυτῶν γένηταί τε ἔκσπονδος τῆς ἡγεμονίας ἡ πόλις, εἰ μὴ
ταχέως σωφρονίσαντες ἀποδώσουσιν τὰς θυσίας καὶ πρὶν ἐξελθεῖν
ἐφ' οὓς ὕβρικασιν τὴν φήμην διορθώσονται τὴν ὕβριν.

4. Ἅμα ταῦτα λέγοντες παρῆγον τοὺς ἐμπείρους τῶν πατρίων 417
ἱερεῖς ἀφηγουμένους, ὅτι πάντες οἱ πρόγονοι τὰς παρὰ τῶν ἀλλο-
γενῶν θυσίας ἀπεδέχοντο. προσεῖχεν δὲ οὐδεὶς τῶν νεωτεριζόντων,
ἀλλ' οὐδὲ προσίεσαν οἱ λῃστρικοὶ καὶ τὴν τοῦ πολέμου καταβολὴν
ἐνσκευαζόμενοι. συνιδόντες οὖν οἱ δυνατοὶ τήν τε στάσιν ἤδη δυσ- 418
καθαίρετον ὑπ' αὐτῶν οὖσαν καὶ τὸν ἀπὸ Ῥωμαίων κίνδυνον ἐπὶ

PAMLVRC Lat Hegesippus II 10 p. 147.

1 τῶν] *τῶν ἀναθημάτων τῶν* VC 2 *οὐ* (post *μόνον*) om. L¹ 3 *διακεκω-
λυκέναι*] *διακεκριικέναι* VRC *μὲν* om. C 4 *τὰ* (ante *παραμένοντα*) damnat
Destinon *τὸν τοσοῦτον χρόνον* RC *τῶν τοσούτων χρόνων* V *ad praesens
usque tempus* Lat 5 *αὐτὸς* C 7 *τῆς πόλεως* om. C 8 *παρὰ*]
praeter Lat *Ιουδαίουσ* V *θύσει*] *θυσία* L 9 *οὔ* * * P *προσκύ-
νησισ* L *εἰσ* * | *ρη* P *εἰσφέρει* ALC et ut uid. V¹ 10 *ἀγανακτεῖν* —
11 *γίνεται*] (*si — lex ferretur,*) *posset nimirum iure nos inhumanitatis arguere;
nunc autem despiciuntur romani et iudicatur caesar profanus* Lat
ἀπανθρωπ * * * | P 11 *δὲ* VRC *ἔκσπονδοι γίνονται* V¹C *ἔκσπον-
δοσ γίνονται* V² post *γίνεται* aliquid excidisse uid. *μέντοι*] *μέν-
τοιγε* L 12 *κωλυθῶσι* V¹ 13 *ἡ πόλισ τῆσ ἡγεμονίασ* tr. V 14 *σωφρο-
νίσαντεσ* L *ἀποδώσωσι* VR 15 *οὓς*] *οἷσ* A *διορθώσωνται* L *διορ-
θώσονται τὴν ὕβριν* om. Lat 17 *ἀφηγουμένους*] *narraturos* Lat *παρὰ*]
ἀπὸ VRC 18 *ἀπεδέχοντο*] *ἐδέξαντο* V *προσεῖχεν* — 20 *ἐνσκευαζόμενοι*]
*obstrepebant ad seditionem parati, ne ministri quidem sese audebant tantae
discordantium inserere contentioni* Heg 19 *προσίεσαν*] *προσήεσαν* MLC *pro-
cedebant* Lat *λῃστρικοὶ*] *λειτουργοὶ* L¹VRC Lat Heg et i. marg. M *καὶ*
om. MVRC *καταβολὴν*] *μεταβολὴν* VRC *materiam* Lat 20 i. marg. *λα*
VC *συνιδόντεσ, ι* corr. ex *ει* C *συνειδότεσ* VR 21 *ὑπ'* om. L *τὸν*]
τῶν A *ἀπὸ τῶν ῥωμαίων* R

πρώτους αὐτοὺς ἀφιξόμενον ἀπεσκευάζοντο τὰς αἰτίας, καὶ πρέσβεις οἷς μὲν πρὸς Φλῶρον ἔπεμπτον, ὧν ἦρχεν υἱὸς Ἀνανίου Σίμων, οἷς δὲ πρὸς Ἀγρίππαν, ἐν οἷς ἦσαν ἐπίσημοι Σαῦλός τε καὶ Ἀντίπας
419 καὶ Κοστόβαρος προσήκοντες τῷ βασιλεῖ κατὰ γένος. ἐδέοντο δὲ ἀμφοτέρων ἀναβῆναι μετὰ δυνάμεως εἰς τὴν πόλιν καὶ πρὶν γενέσθαι
420 δυσκαθαίρετον ἐπικόψαι τὴν στάσιν. Φλώρῳ μὲν οὖν δεινὸν εὐαγγέλιον ἦν, καὶ προῤῥιμμένος ἐξάπτειν τὸν πόλεμον οὐδὲν ἀπε-
421 κρίνατο τοῖς πρεσβευταῖς· Ἀγρίππας δὲ κηδόμενος ἐπίσης τῶν τε ἀφισταμένων καὶ πρὸς οὓς ὁ πόλεμος ἠγείρετο, βουλόμενός τε Ῥωμαίοις μὲν Ἰουδαίους σώζεσθαι, Ἰουδαίοις δὲ τὸ ἱερὸν καὶ τὴν μητρό-
πολιν, ἀλλ' οὐδ' ἑαυτῷ λυσιτελήσειν τὴν ταραχὴν ἐπιστάμενος, ἔπεμπεν τοὺς ἐπαμυνοῦντας τῷ δήμῳ δισχιλίους ἱππεῖς, Αὐρανίτας τε καὶ Βαταναίους καὶ Τραχωνίτας, ὑπὸ Δαρείῳ μὲν ἱππάρχῃ, στρατηγῷ δὲ τῷ Ἰακίμου Φιλίππῳ.

422 5. Τούτοις θαρσήσαντες οἱ δυνατοὶ σὺν τοῖς ἀρχιερεῦσιν καὶ πᾶν ὅσον τοῦ πλήθους εἰρήνην ἠγάπα τὴν ἄνω καταλαμβάνονται
423 πόλιν· τῆς κάτω γὰρ τὸ στασιάζον ἐκράτει καὶ τοῦ ἱεροῦ. χερμάσιν μὲν οὖν καὶ τοῖς ἐκηβόλοις ἀδιαλείπτως ἐχρῶντο, καὶ συνεχεῖς ἦσαν βελῶν ἀφέσεις ἐξ ἑκατέρων τῶν κλιμάτων· ἔστιν δ' ὅτε καὶ κατὰ λόχους ἐκτρέχοντες συστάδην ἐμάχοντο, τόλμαις μὲν οἱ στασιασταὶ
424 προέχοντες, ἐμπειρίᾳ δὲ οἱ βασιλικοί. καὶ τούτοις μὲν ἦν ἀγὼν τοῦ ἱεροῦ κρατῆσαι μάλιστα καὶ τοὺς μιαίνοντας τὸν ναὸν ἐξελάσαι, τοῖς δὲ περὶ τὸν Ἐλεάζαρον στασιασταῖς πρὸς οἷς ἔσχον καὶ τὴν ἄνω

PAMLVRC Lat Hegesippus II 10 p. 148.

1 *ἀπεσκεύαζον* A 2 *ἔπεμψαν* VRC *Ἀνανίου*] *ἐνναίου* L fort. recte *ethnei* Lat; cf. p. 256, 17 3 *οἷσ καὶ ἦσαν* R *Σαῦλός*] MC et i. marg. V *σκύλλόσ* PAL¹ *σαῦλλόσ* L² *σκῦλόσ* V *σκύλόσ* R et i. marg. M *scylus* aut *cylus* LatHeg; *Σάουλος* infra § 556 et Ant. Iud. XX 214, ubi meliores testes *Σαλοῦος* tradunt 4 *κωστόβαροσ* LVR 5 *ἀμφοτερέων* C 6 *δεινὸν*] *τὸ δεινὸν* C *τοῦτο δεινὸν* MVR *malum istud quasi* Lat *δεινὸν ἐκεῖνο* Destinon 7 *προειρημένοσ* V¹ *οὐδὲ* L 8 *ἐπ' ἴσησ* AC *ἐφ' ἴσησ* R 9 *τε* om. L¹ 11 *οὐδὲ αὐτῶ* PALVRC *ταραχὴν*] *τε ἀρχὴν* R *γε ἀρχὴν* i. marg. m. 2 V 12 *ἐπαμυνοῦντας*] L *ἐπαμύνοντασ* PAMVRC *δισχιλίουσ*] PALLat *τρισχιλίουσ* MVRCHeg *αὔραντάσ* VR 13 *καὶ τραχωνίτασ καὶ βαταναίουσ* tr. P *δαρίω* V *ἱππάρχω* L¹VRC 14 *ἰακίμου* A *ιακίμου* L *ἰωακίμου* C *iachimus* Lat 15 *τούτοις θαρσήσαντες*] *his ergo uenientibus* Lat *θαρρήσαντεσ* V 17 *τῆσ γὰρ κάτω* tr. M *χέρμασιν* A¹L 18 *ἐκηβόλοισ* PAL *ἀδιαλήπτωσ* A *ἀδιαλίπτωσ* R¹ *ἐκέχρηντο* VRC 19 *δὲ* VRC *κατὰ λόχους*] *ex insidiis* Lat 21 *προσέχοντεσ* V 22 *μά · λιστα*, eras. uid. *λ* L *μιαίνοντα* V 23 *εἶχον* LVRC

πόλιν προσλαβεῖν. ἑπτὰ μὲν οὖν ἡμέρας συχνὸς ἀμφοτέρων φόνος ἐγίνετο, καὶ οὐδέτεροι τοῦ καταλιφθέντος μέρους εἶκον.

6. Τῇ δ' ἑξῆς τῆς τῶν ξυλοφορίων ἑορτῆς οὔσης, ἐν ᾗ πᾶσιν 425
ἔθος ἦν ὕλην τῷ βωμῷ προσφέρειν, ὅπως μήποτε τροφὴ τῷ πυρὶ
λείποι, διαμένει γὰρ ἄσβεστον ἀεί, τοὺς μὲν διαφόρους τῆς θρησ-
κείας ἐξέκλεισαν, τῷ δ' ἀσθενεῖ λαῷ συνεισρυέντας πολλοὺς τῶν
σικαρίων, οὕτως γὰρ ἐκάλουν τοὺς λῃστὰς ἔχοντας ὑπὸ τοῖς κόλποις
ξίφη, προσλαβόντες θαρραλεώτερον ἥπτοντο τῆς ἐπιχειρήσεως. ἡτ- 426
τῶντο δ' οἱ βασιλικοὶ πλήθει τε καὶ τόλμῃ, καὶ βιασαμένοις εἶκον
ἐκ τῆς ἄνω πόλεως. οἱ δὲ ἐπιπεσόντες τήν τε Ἀνανίου τοῦ ἀρχιε-
ρέως οἰκίαν καὶ τὰ Ἀγρίππα καὶ Βερνίκης ὑποπιμπρᾶσιν βασίλεια·
μεθ' ἃ τὸ πῦρ ἐπὶ τὰ ἀρχεῖα ἔφερον ἀφανίσαι σπεύδοντες τὰ συμ- 427
βόλαια τῶν δεδανεικότων καὶ τὰς εἰσπράξεις ἀποκόψαι τῶν χρεῶν,
ὅπως αὐτοί τε πλῆθος προσλάβωσιν τῶν ὠφεληθέντων καὶ μετ'
ἀδείας τοῖς εὐπόροις ἐπαναστήσωσι τοὺς ἀπόρους. φυγόντων δὲ
τῶν πρὸς τῷ γραμματοφυλακείῳ τὸ πῦρ ἐνίεσαν. ἐπεὶ δὲ τὰ νεῦρα 428
τῆς πόλεως καταφλέξαντες ἐπὶ τοὺς ἐχθροὺς ἐχώρουν, ἔνθα δὴ τῶν
δυνατῶν καὶ τῶν ἀρχιερέων οἱ μὲν εἰς τοὺς ὑπονόμους καταδύντες
διελάνθανον, οἱ δὲ σὺν τοῖς βασιλικοῖς εἰς τὴν ἀνωτέρω καταφύ- 429
γόντες αὐλὴν ταχέως ἀπέκλεισαν τὰς θύρας, σὺν οἷς Ἀνανίας ὁ
ἀρχιερεὺς Ἐζεκίας τε ὁ ἀδελφὸς αὐτοῦ καὶ οἱ πρεσβεύσαντες πρὸς

PAMLVRC Lat Hegesippus II 10 p. 148.

1 *συχνὸς* L¹ *sine aliqua intermissione* Heg 2 *καὶ οὐδέτεροι*] *οὐδέτεροι δὲ* VRC *καταλειφθέντος* MLVRC *μέρος* V *εἶκον* ex corr. A 3 *δὲ* RC *τῆς* om. LVRC *περὶ ἑορτῆς τῶν ξυλοφορίων* i. marg. V *ξυλοφόρων* V¹ 4 *ἦν* om. LVRC fort. recte 5 *λείποι*] *λείποιτο* (*ει* ex *ι* corr. C) MVRC *διαμένειν* PAMLVR *perseuerat* Lat *oportebat — perseuerare* Heg *ἀεὶ*] *δεῖ* (et *διαμένειν*) Destinon *τοὺς* — 6 *ἐξέκλεισαν*] *quosdam quidem cura religionis exclusit* Lat *διαφόρους*] *ministri* Heg 6 *δὲ* VRC 7 *σιρικαρίων* PM *καισαρ σικαρίων* (*καισαρ* expunctum) C *ουτω* VRC *ἔχοντας* om. P 8 *θαραλεώτερον* (*ε* i. ras.) C *ἐπιχειρήσεως*] *ἐπιθέσεωσ* VRC 9 *δὲ* VRC *τε* s. C *βιασαμένοις*] *βασανοισ* R, om. Lat *εἶκον* (sic) P *ἦκον* L¹ *εἶκον, ει* i. ras. m. 2 V 11 *Βερνίκης*] *τὰ βερνίκησ* RC *beronices* Heg *ὑποπιμπρᾶσιν βασίλεια*] *βασίλεια κατέκαυσαν* VRC 13 *καὶ* — 15 *ἀπόρους*] *ne esset unde creditae pecuniae ratio pateret atque omnis ad eos debitorum se iungeret multitudo et aduersum locupletes quasi metu liberati haberent insurgendi liberam facultatem* Lat *τε* om. P 15 *ἐπαναστήσουσι* VR *φευγόντων* L 16 *τῷ*] *τὸ* AVC¹ *γραμματοφυλακίῳ* (*ι* i. ras. V) MLVC *ἐπεὶ* — 17 *ἐχώρουν*] *atque ita incensis ciuitatis neruis hostibus irruebant* Lat 17 *καταφλέξαντες*] PAL¹ *κατέφλεξαν* ML²VRC 19 *καταφεύγοντεσ* VRC *φεύγοντες* ed. pr. 20 *ἀπέκλεισαν, αν* ex *εν* corr. A *ἀπέκλ*‖σαν* P *θύρας*] *πύλασ* VRC

Ἀγρίππειαν ἦσαν. τότε μὲν οὖν τῇ νίκῃ καὶ τοῖς ἐμπρησθεῖσιν ὁρκεσθέντες ἀνεπαύσαντο.

430 7. Τῇ δ' ἑξῆς, πεντεκαιδεκάτῃ δ' ἦν Λώου μηνός, ὥρμησαν ἐπὶ τὴν Ἀντωνίαν καὶ τοὺς ἐν αὐτῇ φρουροὺς δυσὶν ἡμέραις πολιορκήσαντες αὐτούς τε εἷλον καὶ κατέσφαξαν καὶ τὸ φρούριον ἐνέπρησαν. 5
431 ἔπειτα μετέβαινον εἰς τὴν αὐλήν, εἰς ἣν οἱ βασιλικοὶ κατέφυγον, καὶ διανείμαντες σφᾶς αὐτοὺς εἰς τέσσαρα μέρη τῶν τειχῶν ἐπειρῶντο. τῶν δ' ἔνδον πρὸς ἐκδρομὴν μὲν οὐδεὶς ἐθάρρει διὰ τὸ πλῆθος τῶν ἐφεστώτων, διιστάμενοι δὲ ἐπὶ τὰ θωράκια καὶ τοὺς πύργους ἔβαλλον τοὺς προσιόντας, καὶ συχνοὶ τῶν ληστῶν ὑπὸ τοῖς 10
432 τείχεσιν ἔπιπτον. οὔτε δὲ νυκτὸς οὔτε ἡμέρας διέλειπεν ἡ συμβολὴ τῶν μὲν στασιαστῶν ἀπαγορεύσειν τοὺς ἔνδον οἰομένων ἐνδείᾳ τροφῆς, τῶν δ' ἔνδοθεν καμάτῳ τοὺς πολιορκοῦντας.

433 8. Κἀν τούτῳ Μανάημός τις, υἱὸς Ἰούδα τοῦ καλουμένου Γαλιλαίου, σοφιστὴς δεινότατος, ὁ καὶ ἐπὶ Κυρινίου ποτὲ Ἰουδαίους 15
ὀνειδίσας ὅτι Ῥωμαίοις ὑπετάσσοντο μετὰ τὸν θεόν, ἀναλαβὼν
434 τοὺς γνωρίμους ἀνεχώρησεν εἰς Μασάδαν, ἔνθα τὴν Ἡρώδου τοῦ βασιλέως ὁπλοθήκην ἀναρρήξας καὶ πρὸς τοῖς δημόταις ἑτέρους λῃστὰς καθοπλίσας τούτοις τε χρώμενος δορυφόροις, οἷα δὴ βασιλεὺς ἐπάνεισιν εἰς Ἱεροσόλυμα καὶ γενόμενος ἡγεμὼν τῆς στάσεως 20
435 διέτασσεν τὴν πολιορκίαν. ἀπορία δ' ἦν ὀργάνων, καὶ φανερῶς ὑπορύττειν τὸ τεῖχος οἰκ οἷόν τε ἦν ἄνωθεν βαλλομένους· ὑπόνομον δὴ πόρρωθεν ἐφ' ἕνα τῶν πύργων ὑπορύξαντες ἀνεκρήμνισαν

PAMLVRC Lat Hegesippus II 10 p. 149.

3 δὲ VRC πεντεκαιδεκάτῃ] δεκάτῃ Petitus δὲ VRC Λώου] *augusti* Lat Loi 15. dies est 3. Septembris (III non. Sept.) anni Iuliani (66 p. Chr.) 6 οἱ βασιλικοὶ] *agrippae milites* Lat 7 τέσσαρα] τὰ σ τέσαρα A μέρη, η ex ει corr. AV 8 δὲ VRC 9 διιστάμενοι P δι' ἱστάμενοι L θωρακεῖα Dindorf 11 διέλιπεν L¹ διέλειπεν C συμβουλὴ C 12 ἀπαγορεῦσιν P 13 δ'] s. A δὲ VRC 14 i. marg. λβ VC μανάϊμός MLRC μνάϊμος V *manaimus* Lat *manaemus* Heg υἱὸς Ἰούδα sq.] uide supra § 118 Γαλιλαίου] *Iouδαίου γαλιλαίου* (*Iouδαίου* expunctum) C 15 σοφιστὴς] PAMLLatHeg ὅσ ἦν σοφιστὴσ VRC σοφιστὴς ἦν scribendum aut uerba ὁ καὶ — 16 θεόν utpote ex § 118 illata eicienda esse putat Destinon δεινότατος] δυνατώτατοσ (ω ex ο m. 2) C ὁ — 16 θεὸν om. Heg ὁ om. editores post Hudsonum praeter Cardwellum κυρηνίου PAMLRC et ex corr. V *cyrino* Lat 16 ὑποτάσσονται VRC τὸν om. P 17 τοὺς] *quibusdam* Lat μάσαδαν MLV *masada* (acc.) Lat τοῦ om. C 18 δημότασ, ο i. ras. m. 2 V 20 ἐπάνησιν C¹ 21 δὲ VRC 22 ὑπορύσσειν VRC 23 δὴ] δὲ MVRC ἐφ'] ἐπὶ V διορύξαντεσ VRC ἀνεκρήμνισαν] ἀνακρημνῶσιν M ἀνακρημνᾶσιν VC ἀνακριμνᾶσιν R

αὐτόν. ἔπειτα τὴν ἀνέχουσαν ὕλην ἐμπρήσαντες ἐξῆλθον. ὑποκαέν- 436
των δὲ τῶν στηριγμάτων ὁ μὲν πύργος ἐξαίφνης κατασείεται, τεῖχος
δ' ἕτερον ἔνδοθεν ἀνῳκοδομημένον διεφάνη· τὴν γὰρ ἐπιβουλὴν
αὐτῶν προαισθόμενοι, τάχα καὶ τοῦ πύργου κινηθέντος ὡς ἐπω-
ρύττετο, δεύτερον ἑαυτοῖς ἕρυμα κατεσκεύασαν. πρὸς ὃ τῶν ἀδοκή- 437
των ἰδόντων καὶ κρατεῖν ἤδη πεπεισμένων κατάπληξις ἦν. οἱ δὲ
ἔνδοθεν πρός τε τὸν Μανάημον καὶ τοὺς ἐξάρχοντας τῆς στάσεως
ἕτερμον ἀξιοῦντες ἐξελθεῖν ὑπόσπονδοι, καὶ δοθὲν μόνοις τοῖς
βασιλικοῖς καὶ τοῖς ἐπιχωρίοις οἱ μὲν ἐξῆεσαν. ἀθυμία δὲ τοὺς 438
Ῥωμαίους καταλειφθέντας μόνους ὑπέλαβεν· οὔτε γὰρ βιάσασθαι
τοσοῦτον πλῆθος ἐδύναντο καὶ τὸ δεξιὰς αἰτεῖν ὄνειδος ὑπελάμ-
βανον, πρὸς τῷ μηδὲ πιστεύειν εἰ διδοῖτο. καταλιπόντες δὴ τὸ 439
στρατόπεδον ὡς εὐάλωτον ἐπὶ τοὺς βασιλικοὺς ἀνέφυγον πύργους,
τόν τε Ἱππικὸν καλούμενον καὶ Φασάηλον καὶ Μαριάμμην. οἱ δὲ 440
περὶ τὸν Μανάημον εἰσπεσόντες ὅθεν οἱ στρατιῶται διέφυγον
ὅσους τε αὐτῶν κατελάμβανον μὴ φθάσαντας ἐκδραμεῖν διέφθειραν,
καὶ τὰς ἀποσκευὰς διαρπάσαντες ἐνέπρησαν τὸ στρατόπεδον. ταῦτα
μὲν οὖν ἕκτῃ Γορπιαίου μηνὸς ἐπράχθη.

9. Κατὰ δὲ τὴν ἐπιοῦσαν ὅ τε ἀρχιερεὺς Ἀνανίας περὶ τὸν 441
τῆς βασιλικῆς αὐλῆς εὕριπον διαλανθάνων ἁλίσκεται καὶ πρὸς τῶν
λῃστῶν ἀναιρεῖται σὺν Ἐζεκίᾳ τῷ ἀδελφῷ, καὶ τοὺς πύργους περι-
σχόντες οἱ σιασιασταὶ παρεφύλαττον, μή τις τῶν στρατιωτῶν δια-
φύγοι. τὸν δὲ Μανάημον ἥ τε τῶν ὀχυρῶν καταστροφὴ χωρίων 442
καὶ ὁ τοῦ ἀρχιερέως Ἀνανίου θάνατος ἐτύφωσεν εἰς ὠμότητα καὶ

PAMLVRC Lat Hegesippus II 10 p. 149.

1 *ἀνασχοῦσαν* L *ἔχουσαν* VR *κατέχουσαν* C *sustinentia* Lat *ὕλην*] - υλην (eras. uid. *α*) P *αὐλὴν* A *ligna* Lat 3 *δὲ* VRC post *ἕτερον* deletum *αὐτῶ* C *ἔνδοθεν ἕτερον* tr. L *ἔνδοθεν* om. P *ἀνοικοδομημένον* PA *ἀντωκοδομημένον* MVRC *aedificatus* Lat *ἐφάνη* V *ἐπιβουλὴν*, *ι* i. ras. 2 litt. C 4 *ὑπορύττετο* MV¹R 5 *αὐτοῖς* V *ἕρυμα ἑαυτοῖς* tr. R *τῶν*] *τῶν μὲν* MVRC Lat 7 *μανάϊμον* MVRC Lat 8 *ὑπόσπονδοι*] *πρόσπονδοι* PMVRC *πρόσσπονδοι* A *δοθὲν*] *δῆθεν* ut uid. L¹ 9 *οἱ μὲν* om. P *ἐξῆεσαν* A 11 *τοσοῦτο* L¹ *δεξιὰν* VRC 12 *τῷ*] *τὸ* PA¹V¹ *διδώτο* P *δίδωτο* A *διδῶτο* MVRC *γρ εἰ δίδοται* i. marg. m. 2 V *δὴ*] *δὲ* MVRC 13 *ἀνέφευγον* P 14 *τὸν φασάηλον* RC *μαριάμην* M *τὸν μαριάμμην* ed. pr. 15 *μανάϊμον* MLVRCLat *διέφευγον* MVR 16 *κατελάμβανον*, *ε* i. ras. A *κατέλαβον* VR *φθάσαντεσ* V *ἐκδραμεῖν*] *ἀνελθεῖν* VRC 17 *ἁρπάσαντεσ* C *ἐνέπρησαν*, *σα* ex corr. A *στραπεδον* C¹ 18 Gorpiaei 6. dies est 24. Septembris (VIII k. Oct.) anni Iuliani (66 p. Chr.) 20 *τῆσ βασιλικῆσ*, litt. *τῆσβ* i. ras. A *εὔριππον* VRC *τῶν*, litt. *τῶ* i. ras. m. 2 V 21 *περισχόντες*] Naber *ἐπισχόντεσ* (— *σχῶντ* — C) codd. *circumsidentes* Lat 22 *οἱ* i. ras. A *διαφύγοι*] Naber *διαφύγῃ* codd. 23 *μανάϊμον* MLVRC Lat

μηδένα νομίζων ἔχειν ἐπὶ τοῖς πράγμασιν ἀντίπαλον ἀφόρητος ἦν
443 τύραννος. ἐπανίστανται δὲ οἱ περὶ τὸν Ἐλεάζαρον αὐτῷ, καὶ λόγον
ἀλλήλοις δόντες, ὡς οὐ χρὴ Ῥωμαίων ἀποστάντας δι' ἐλευθερίας
πρόφασιν καταπροέσθαι ταύτην οἰκείῳ δήμῳ καὶ δεσπότην φέρειν, εἰ
καὶ μηδὲν πράττοι βίαιον, ἀλλ' οὗν ἑαυτῶν ταπεινότερον· εἰ γὰρ
444 καὶ δέοι τινὰ τῶν ὅλων ἀφηγεῖσθαι, παντὶ μᾶλλον ἢ ἐκείνῳ προσ-
ήκειν, συντίθενται καὶ κατὰ τὸ ἱερὸν ἐπεχείρουν αὐτῷ· σοβαρὸς γὰρ
ἀναβεβήκει προσκυνήσων ἐσθῆτί τε βασιλικῇ κεκοσμημένος καὶ τοὺς
445 ξηλωτὰς ἐνόπλους ἐφελκόμενος. ὡς δ' οἱ περὶ τὸν Ἐλεάζαρον ἐπ'
αὐτὸν ὥρμησαν, ὅ τε λοιπὸς δῆμος ἐπὶ τὰς ὀργὰς λίθους ἁρπάσαντες
τὸν σοφιστὴν ἔβαλλον, οἰόμενοι τούτου καταλυθέντος διατρέψειν
446 ὅλην τὴν στάσιν, πρὸς ὀλίγον οἱ περὶ τὸν Μανάημον ἀντισχόντες
ὡς εἶδον πᾶν ἐπ' αὐτοὺς τὸ πλῆθος ὁρμῆσαν, ἔφυγον ὅπη τις ἴσ-
χυσεν, καὶ φόνος μὲν ἦν τῶν καταληφθέντων, ἔρευνα δὲ τῶν ἀπο-
447 κρυπτομένων. καὶ διεσώθησαν ὀλίγοι λάθρα διαδράντες εἰς Μασά-
δαν, σὺν οἷς Ἐλέαζαρος υἱὸς Ἰαείρου, προσήκων τῷ Μαναήμῳ κατὰ
448 γένος, ὃς ὕστερον ἐτυράννησεν τῆς Μασάδας. αὐτόν τε τὸν Μανά-
ημον εἰς τὸν καλούμενον Ὀφλᾶν συμφυγόντα κἀκεῖ ταπεινῶς ὑπολαν-
θάνοντα ζωγρήσαντες εἰς τὸ φανερὸν ἐξείλκυσαν καὶ πολλαῖς αἰκι-
σάμενοι βασάνοις ἀνεῖλον, ὁμοίως δὲ καὶ τοὺς ὑπ' αὐτὸν ἡγεμόνας
τόν τε ἐπισημότατον τῆς τυραννίδος ὑπηρέτην Ἰψάλωμον.

PAMLVRC Lat Hegesippus II 10 p. 149.

1 *νομίζειν* VR *ἐπὶ*] *ἐν* C 2 *δὲ — Ἐλεάζαρον*] *autem duo de sociis eleazari* Lat 3 *δόντες*] *δόντες διεβεβαιοῦντο* M 4 *καταπροέσθαι* PALVR *οἰκείῳ δήμῳ*] *popolari suo* Lat *οἰκείῳ*] *εἰκαίῳ* Naber *δήμῳ*] *δημίῳ* Destinon 5 *πράττει* LV *ἑαυτὸν* A^1L 6 *προσήκει* L^1 7 *συντίθεται* P *σοβαρῶς* PA *sobarus* Lat 9 *δὲ* VRC 10 *τε* om. Lat recte iudice Destinone *ἐπὶ — ὀργὰς*] om. LLat Bekker fort. recte; *ἐπὶ τὰς ὁρμὰς* Hudson 11 *διατρέψειν*] *διαστρέψειν* L *διαρίψειν* (*ει* ex *α* corr. V) VR 12 *οἱ*] C *δὲ οἱ* PAMLVRLat probante Destinone *μανάϊμον* MLVRCLat 13 *ὁρμῆσαν τὸ πλῆθος* tr. L *ἔφευγον* R *ἔφευγεν* C *ἴσχυσε* MV *ἴσχυεν* (— *ε* R) LRC 14 *μὲν* om. C *καταλειφθέντων* PLR 15 *λάθρα διάντες* A *μάσαδαν* VC *masadam* Lat 16 *Ἰαείρου*] *ἐλαείρου* V^1R *ἰαεῖρον* C *airi* Lat *προσῆκον* PC^1 *μαναΐμω* MLVRCLat 17 *μασάδος* P *μανάϊμον* MLVRCLat 18 *τὸν*] *τὸ* PA *Ὀφλᾶν*] *οὐλὰν* PA *αὐλὰν* L *ὀφλᾶν* V *ὀφλὰν* R et ex corr. M *atlans* Lat, quod ad *αὐλὰν* proxime accedit; cf. V 145 (4, 2); 254 (6, 1); VI 354 (6, 3) 19 *ζωγρήσαντες* C *ἐξείλκυσαν* A 20 *ἀνεῖλον, εἶλον* i. ras. 3 litt. P *αὐτῶν* C 21 *τῆς* iterauit C *ὑπηρέτην* s. P *ἀψάλωμον* P *ἀψάλωμον, ωμον* i. ras. A

10. Ὁ μὲν οὖν δῆμος, ὡς ἔφην, εἰς ταῦτα συνήργησεν ἐλπίζων 449
τινὰ τῆς ὅλης στάσεως διόρθωσιν· οἱ δ' οὐ καταλῦσαι τὸν πόλεμον
σπεύδοντες, ἀλλ' ἀδεέστερον πολεμεῖν Μανάημον ἀνῃρήκεσαν. ἀμέλει 450
πολλὰ τοῦ δήμου τοῖς στρατιώταις ἀνεῖναι τὴν πολιορκίαν παρακα-
λοῦντος, οἱ δὲ προσέκειντο χαλεπώτερον, μέχρι μηκέτι ἀντέχοντες οἱ
περὶ τὸν Μετίλιον. οὗτος γὰρ ἦν τῶν Ῥωμαίων ἔπαρχος, διατέμ-
νονται πρὸς τοὺς περὶ τὸν Ἐλεάζαρον ἐξαιτούμενοι μόνας τὰς ψυχὰς
ὑποσπόνδους, τὰ δ' ὅπλα καὶ τὴν λοιπὴν κτῆσιν παραδώσειν λέγοντες.
οἱ δὲ καὶ τὴν ἱκεσίαν ἁρπάσαντες ἀνέπεμψαν πρὸς αὐτοὺς Γωρίονά 451
τε Νικομήδους υἱὸν καὶ Ἀνανίαν Σαδούκι καὶ Ἰούδαν Ἰωνάθου δε-
ξιάν τε καὶ ὅρκους δώσοντας. ὧν γενομένων κατῆγεν τοὺς στρατι-
ώτας ὁ Μετίλιος. οἱ δὲ μέχρι μὲν ἦσαν ἐν τοῖς ὅπλοις, οὔτ' ἐπε- 452
χείρει τις τῶν στασιαστῶν αὐτοῖς οὔτ' ἐνέφαινεν ἐπιβουλήν· ὡς δὲ
κατὰ τὰς συνθήκας ἅπαντες ἀπέθεντο τοὺς θυρεοὺς καὶ τὰ ξίφη
καὶ μηδὲν ἔτι ὑποπτεύοντες ἀνεχώρουν, ὥρμησαν ἐπ' αὐτοὺς οἱ 453
περὶ τὸν Ἐλεάζαρον καὶ περισχόντες ἀνῄρουν οὔτε ἀμυνομένους
οὔτε ἱκετεύοντας, μόνας δὲ τὰς συνθήκας καὶ τοὺς ὅρκους ἀναβο-
ῶντας. οἱ μὲν οὖν οὕτως ὠμῶς ἀπεσφάγησαν ἅπαντες πλὴν Μετι- 454
λίου, τοῦτον γὰρ ἱκετεύσαντα καὶ μέχρι περιτομῆς Ἰουδαΐσειν ὑπο-
σχόμενον διέσωσαν μόνον, τὸ δὲ πάθος Ῥωμαίοις μὲν ἦν κοῦφον,
ἐκ γὰρ ἀπλέτου δυνάμεως ἀπαναλώθησαν ὀλίγοι, Ἰουδαίων δὲ προ-
οίμιον ἁλώσεως ἔδοξεν. καὶ κατιδόντες ἀνηκέστους μὲν ἤδη τὰς 455
αἰτίας τοῦ πολέμου, τὴν δὲ πόλιν τηλικούτῳ μιάσματι πεφυρμένην,

---

PAMLVRC Lat Hegesippus II 10 p. 149.

2 *διόρθωσιν*] *λαμβάνειν διόρθωσιν* VRC δὲ VRC 3 ἀλλὰ MVRC *μανάϊμον* MLVRC et ut uid. Lat 4 *τοῦ δήμου πολλὰ* tr. VRC *στραώταισ* C *στασιασταῖσ*, i. marg. *γρ τοῖσ στρατιώτ* * m. 2 V 5 *μηκέτ'* L *ἀνέχοντεσ* L¹ 6 *Μετίλιον*] *μοτίλιον* L *mutilium* Lat *metilius* Heg semper 8 δὲ VRC *παραδώσειν λέγοντες*] *ipsis tradentibus sumerent* Lat *λέγοντες*] *λαβόντεσ* C 9 *ἱκεσίαν*, σ i. ras. maiore P *ἀνέπεμψαν*] *ἀπέπεμψαν* VR *ἀπέπεμψε* C *remittunt* Lat *γωρίονά* M *γνωριωνά* L *γωριωνά* VRC *gurionem* Lat 10 *νικομίδουσ* C *nicodemi* Lat *ἀνανία* V *σαδουκίου* M *σαδουκαίου* L *σαδδουκὶ* VRC *sadducaei* Lat *δεξιάν*] *δεξιὰσ* LVRC 12 *μετίλλιοσ* PA *μοτίλιοσ* L *mutilius* Lat *οὔτε* ALVRC *οὔτ'* — 13 *ἐπιβουλήν*] *nemo aduersus eos seditiosorum fraudis aliquid molitus est* Lat 13 *οὔτε* AMLVRC 14 *τὰσ* om. V post *συνθήκασ* deletum *καὶ τοὺσ ὅρκουσ ἀναβοωντασ* C (cfr. u. 17) 18 *οἱ μὲν οὖν*] *καὶ οἱ μὲν* VRC *μετιλίου* A *μοτιλίου* L *mutilium* Lat 19 *ἰουδαΐζειν* PAL *iudaizare* Lat 20 *κοῦ*|*φον*, *φ* suppletum C 21 *Ἰουδαίων*] PALLat *ἰουδαίοισ* MVRC *προοίμιον*] *exitium* Lat 22 *ἔδοξεν*] *probatur* Lat

ἐξ οὗ δαιμόνιόν τι μήνιμα προυδοκᾶν εἰκὸς ἦν, εἰ καὶ μὴ τὴν ἐκ
Ῥωμαίων ἄμυναν, ἐπέσθουν δημοσίᾳ, καὶ πλήρης μὲν κατηφείας
ἦν ἡ πόλις, ἕκαστος δὲ τῶν μετρίων ὡς αὐτὸς ὑπὲρ τῶν στασιαστῶν
456 δίκας δώσων τετάρακτο. καὶ γὰρ δὴ σαββάτῳ συνέβη πραχθῆναι
τὸν φόνον, ἐν ᾧ διὰ τὴν θρησκείαν καὶ τῶν ὁσίων ἔργων ἔχουσιν
ἐκεχειρίαν.

457 XVIII. 1. Τῆς δ' αὐτῆς ἡμέρας καὶ ὥρας ὥσπερ ἐκ δαιμονίου
προνοίας ἀνῄρουν Καισαρεῖς τοὺς παρ' ἑαυτοῖς Ἰουδαίους, ὡς ὑπὸ
μίαν ὥραν ἀποσφαγῆναι μὲν ὑπὲρ δισμυρίους, κενωθῆναι δὲ πᾶσαν
Ἰουδαίων τὴν Καισάρειαν· καὶ γὰρ τοὺς διαφεύγοντας ὁ Φλῶρος
458 συλλαβὼν κατῆγεν δεσμώτας εἰς τὰ νεώρια. πρὸς δὲ τὴν ἐκ τῆς
Καισαρείας πληγὴν ὅλον τὸ ἔθνος ἐξαγριοῦται, καὶ διαμερισθέντες
τάς τε κώμας τῶν Σύρων καὶ τὰς προσεχούσας ἐπόρθουν πόλεις,
Φιλαδέλφειάν τε καὶ Ἐσεβωνῖτιν καὶ Γέρασα καὶ Πέλλαν καὶ Σκυ-
459 θόπολιν. ἔπειτα Γαδάροις καὶ Ἵππῳ καὶ τῇ Γαυλανίτιδι προσ-
πεσόντες τὰ μὲν καταστρεψάμενοι, τὰ δ' ἐκπορήσαντες ἐχώρουν
ἐπὶ Κάδασα τὴν Τυρίων καὶ Πτολεμαΐδα Γάβαν τε καὶ Καισά-
460 ρειαν. ἀντέσχον δὲ οὔτε Σεβαστὴ ταῖς ὁρμαῖς αὐτῶν οὔτε Ἀσκά-
λων, ἀλλ' ἐπὶ ταύταις πυρπολήσασι Ἄνθηδόνα καὶ Γάζαν κατέ-
σκαπτον. πολλαὶ δὲ καθ' ἑκάστην τούτων τῶν πόλεων ἀνηρπάζοντο
κῶμαι, καὶ τῶν ἁλισκομένων ἀνδρῶν φόνος ἦν ἄπειρος.

PAMLVRCLatHegesippus II 11 p. 150 Eusebius hist. eccl. II 26.

1 ἐκ] om. PAL *a* Lat 2 Ῥωμαίων] ex ἰουδαίων corr. m. 2 L 4 ἐτετάρακτο LVRC 5 καὶ om. VRC 6 ἐκεχειρίαν, s. m. 2 R 7 i. marg. λγ VC δὲ VRC 8 καὶ Καισαρεῖς uertit Lat αὐτοῖς VRC 9 πᾶσαν Ἰουδαίων] cunctis iudaeis Lat 10 φλόρος PA[1] 11 κατήγαγε LVRC πρὸς δὲ] πρὸσ | ὲ P 12 ἐξαγριοῦνται R 13 καὶ — πόλεις] eisque continentes rurales protinus uastauerunt Lat προσεχούσας] προσεχῶσ M προσεχεῖσ VRC 14 φιλαδελφίαν V[1]R Ἐσεβωνῖτιν] duce Hudsono Niese σεβωνίτιν L γεβεωνίτην P γεβεωνίτιν AM γεβωνίτιν RC γεβωνίτην V gedeoniten Lat καὶ om. P γέρασαν PAMLVLat γέρασσα C 15 gadaram Lat ἵππω- V gauranitiden Lat προπεσόντεσ R 16 τὰ] τὰσ MVRC καὶ τὰς ex cod. Voss. Dindorf τὰ] L τὰσ PAMVRC δὲ VRC 17 Κάδασα] κάσαδα P κάδασαν A κέδασα R κέδασαν MVC cum Ant. XIII 154. 162 cadasam Lat τὴν Τυρίων] καὶ τύρον C πτολεμαΐδι P Γάβαν] γάβαλαν P γάβαλάν AM γάβαλά, i. marg. γρ γαΐαν L gaban Lat; Gabala Gaulanitidis oppidum memoratur Ant. XIII 396 18 ἀντέσχεν L ἀντέσχε MVRC δ' AL δὲ οὐδὲ VRC οὐδὲ ἀσκάλων VRC 20 πολλαὶ — 21 ἄπειρος] multa autem circa fines harum ciuitatum diripiebantur uici scilicet et agri eorumque qui capiebantur uirorum immensa caedes fiebat Lat δὲ καθ' ἑκάστην] δὲ ἑκάστην A δὲ ἑκάστη P δὲ περὶ ἑκάστην MLVRC τῶν πόλεων] τῷ πολέμῳ (om. V[1] i. marg. suppl. V[2]) MVRC

2. Οὐ μὴν οἱ Σύροι τῶν Ἰουδαίων ἔλαττον πλῆθος ἀνῄρουν, 461
ἀλλὰ καὶ αὐτοὶ τοὺς ἐν ταῖς πόλεσιν λαμβανομένους ἀπέσφαττον
οὐ μόνον κατὰ μῖσος, ὡς πρότερον, ἀλλ' ἤδη καὶ τὸν ἐφ' ἑαυτοῖς
κίνδυνον φθάνοντες. δεινὴ δὲ ὅλην τὴν Συρίαν ἐπεῖχεν ταραχή. 462
καὶ πᾶσα πόλις εἰς δύο διῄρητο στρατόπεδα, σωτηρία δὲ τοῖς
ἑτέροις ἦν τὸ τοὺς ἑτέρους φθάσαι. καὶ τὰς μὲν ἡμέρας ἐν αἵματι 463
διῆγον, τὰς δὲ νύκτας δέει χαλεπωτέρας· καὶ γὰρ ἀντεσκευάσθαι
τοὺς Ἰουδαίους δοκοῦντες ἕκαστοι τοῖς Ἰουδαΐζουσιν εἶχον ἐν ὑποψίᾳ.
καὶ τὸ παρ' ἑκάστοις ἀμφίβολον οὔτε ἀνελεῖν τις προχείρως ἐτέ-
μενεν καὶ μεμιγμένον ὡς βεβαίως ἀλλόφυλον ἐφοβεῖτο. προεκαλεῖτο 464
δὲ ἐπὶ τὰς σφαγὰς τῶν διαφόρων καὶ τοὺς πάλαι πρωτάτους
πάνυ δοκοῦντας ἡ πλεονεξία· τὰς γὰρ οὐσίας τῶν ἀναιρεθέντων
ἀδεῶς διήρπαζον καὶ καθάπερ ἐκ παρατάξεως τὰ σκῦλα τῶν ἀνη-
ρημένων εἰς τοὺς σφετέρους οἴκους μετέφερον, ἐνδοξός τε ἦν ὁ
πλεῖστα κερδάνας ὡς κατισχύσας πλειόνων. ἦν δὲ ἰδεῖν τὰς πόλεις 465
μεστὰς ἀτάφων σωμάτων καὶ νεκροὺς ἅμα νηπίοις γέροντας ἐρριμ-
μένους γύναιά τε μηδὲ τῆς ἐπ' αἰδοῖ σκέπης μετειληφότα, καὶ
πᾶσαν μὲν τὴν ἐπαρχίαν μεστὴν ἀδιηγήτων συμφορῶν, μείζονα δὲ
τῶν ἑκάστοτε τολμωμένων τὴν ἐπὶ τοῖς ἀπειλουμένοις ἀνάτασιν.
3. Μέχρι μὲν δὴ τούτων Ἰουδαίοις πρὸς τὸ ἀλλόφυλον ἦσαν 466
προσβολαί, καταρέχοντες δὲ εἰς Σκυθόπολιν τοὺς παρ' ἐκείνοις

PAMLVRC Lat Hegesippus II 11 p. 150 Eusebius hist. eccl. II 26.

1 πλῆθους, ῆ ex ή corr. A 2 ἀπέσφατον L 3 μῖσος ὡς πρότερον] *uetus odium* Lat καὶ] om. PAL *et* Lat 4 κίδυνον A § 462 refert Euseb δεινὴ] δει·νὴ V ἐπέσχε VRC *peruaserat* Lat 5 διηρεῖτο AM Lat et ex corr. P σωτηρία δὲ] *unaque — salus* Lat 7 καὶ γὰρ ἀπεσκευάσθαι] ἀπεσκευάσθαι γὰρ VRC 8 ἕκαστοι om. Lat ἰουδαΐζοντας] ἰδιάζοντας P *de aliis gentibus iudaizantes* Lat 9 τὸ] τὸν PA καὶ — ἀμφίβολον] *et per hoc ipsum quod in eis uidebatur ambiguum* Lat προχείρως] προθύμως V ὑπέμεινεν PA¹L 10 μεμιγμένον] *per ipsam religionis commixtionem* Lat προ·εκαλεῖτο, eras. σ L προυκαλεῖτο VRC 12 πάνυ δοκοῦντας] εἶναι δοκοῦντας VRC, om. Lat 14 σφετέρους] *alias* (h. e. ἑτέρους) Lat τε] *autem* Lat 15 κερδήσας V § 465 habet Eusebius 16 ἐριμμένους PC¹ ἐρριμένους LV 17 γύναιά] γυναῖκάς V μήτε VR αἰδοῖ] L αἰδῶ PAMVRCEuseb μετειληφυίας V 18 ἐπάρχιον L¹Euseb μείζονα — 19 ἀνάστασιν] *maiores autem metus audendorum malorum ipsis quae acta erant facinoribus imminebant* Lat *grauiora tamen sibi adhuc inuicem minitabantur* Heg μείζον L¹ 19 ἑκάστοτε τολμωμένων] PAMLEuseb ἑκάστοτε τελουμένων V ἑκάστοτε τολμημένων R ἑκάστω τετολμημένων C τοῖς] τ * * * | P ἀνάτασιν] Euseb ἀνάστασιν PAML μετάστασιν VRC; fin. Euseb 20 i. marg. λδ VC ἰουδαίους V 21 συμβολαί VRC σκυθόπολιν, σ i. ras. A ἐκείνη MVRC

Ἰουδαίους ἐπείρασαν πολεμίους· ταξάμενοι γὰρ μετὰ τῶν Σκυθοπολιτῶν καὶ τῆς ἑαυτῶν ἀσφαλείας ἐν δευτέρῳ θέμενοι τὴν συγγένειαν ὁμόσε τοῖς ὁμοφύλοις ἐχώρουν. ὑπωπτεύθη δ' αὐτῶν καὶ
467 τὸ λίαν πρόθυμον· οἱ γοῦν Σκυθοπολῖται δείσαντες μὴ νύκτωρ ἐπιχειρήσωσι τῇ πόλει καὶ μετὰ μεγάλης αὐτῶν συμφορᾶς τοῖς οἰκείοις ἀπολογήσωνται περὶ τῆς ἀποστάσεως, ἐκέλευον αὐτούς, εἰ βούλονται τὴν ὁμόνοιαν βεβαιῶσαι καὶ τὸ πρὸς τοὺς ἀλλοεθνεῖς πιστὸν ἐπιδείξασθαι, μεταβαίνειν ἅμα ταῖς γενεαῖς εἰς τὸ ἄλσος.
468 τῶν δὲ ποιησάντων τὸ προσταχθὲν χωρὶς ὑποψίας, δύο μὲν ἡμέρας ἠρέμησαν οἱ Σκυθοπολῖται τὴν πίστιν αὐτῶν δελεάζοντες, τῇ δὲ τρίτῃ νυκτὶ παρατηρήσαντες τοὺς μὲν ἀφυλάκτους οὓς δὲ κοιμωμένους ἅπαντας ἀπέσφαξαν ὄντας τὸν ἀριθμὸν ὑπὲρ μυρίους καὶ τρισχιλίους, τὰς δὲ κτήσεις διήρπασαν ἁπάντων.
469 4. Ἄξιον δ' ἀφηγήσασθαι καὶ τὸ Σίμωνος πάθος, ὃς υἱὸς μὲν
470 ἦν Σαούλου τινὸς τῶν οὐκ ἀσήμων, ῥώμῃ δὲ σώματος καὶ τόλμῃ διαφέρων ἐπὶ κακῷ τῶν ὁμοφύλων ἀμφοτέροις κατεχρήσατο· προϊὼν γοῦν ὁσημέραι πολλοὺς μὲν ἀνῄρει τῶν πρὸς τῇ Σκυθοπόλει Ἰουδαίων, τρεπόμενος δὲ πολλάκις αὐτοὺς ἅπαντας μόνος ἦν ῥοπὴ
471 τῆς παρατάξεως. περιέρχεται δ' αὐτὸν ἀξία ποινὴ τοῦ συγγενικοῦ φόνου· ἐπεὶ γὰρ περισχόντες οἱ Σκυθοπολῖται κατηκόντιζον αὐτούς

PAMLVRC Lat Hegesippus II 18 p. 167. Suidas s. *δελεάζοντες*.

1 *Ἰουδαίους*] *etiam iudaeos* Lat *ἐπειράσαντο* PAML et ex corr. V; cf. Holwerda p. 86 *μετὰ τῶν*] *μετῶν* A 3 *ὑποπτεύθη* PV¹C *δὲ* VRC 4 *λείαν* C 5 *ἐπιχειρίσωσι, ι* ex *η* corr. P *τοῖς οἰκείοις*] *τοῖσ οἰκείοισ αὐτῶν* L *τοῖσ εἰκείοισ* C 6 *ἀπολογήσονται* PAC¹ *αὐτοῖσ* L 7 *βούλωνται* V¹R *ἀλλοεθνεῖς*] *ἀλλογενεῖσ* LC 8 *εἰς τὸ ἄλσος*] *in proximae locum paludis* Lat 9 *δύο*] incip. Suidas 10 *ἠρέμησαν* PA *τὴν — δελεάζοντες* om. Lat 11 *τρίτῃ δὲ* tr. VRC *τοὺς*] *οὓσ* VRC *κοιμώμενον* et *κοιμώμενοι* Suidae codd. 12 *ἀπέσφαξαν*] *ἀνεῖλον* Suid, qui hic finit postrema breuians 13 *δὲ*] *τε* VRC 14 *δὲ* PVRC *Σίμωνος*] *τοῦ Σίμωνος* ex *κατ* cod. Voss. Hudson 16 *ἐχρήσατο* P *προϊὼν*] ex cod. Voss. Dindorf *προσιὼν* codd. *προσιόντων* ex Lat et Heg mauult Destinon *προϊὼν — 18 Ἰουδαίων*] *multos siquidem iudaeorum adpropiantes scythopolim cotidie obtruncabat* Lat *plurimos ex populo aduenticio iudaeorum crebro incursu peremit* Heg 17 *ὡσ ἡμέραι* PA¹C¹ *ἀναιρεῖ* RC *σκυθοπόλει, σ* ex *ε* corr. P 18 *δὲ* s. P *αὐτοὺς*] *αὐτὸσ αὐτοὺσ* C *πάντασ* VRC *ῥοπὴ*] *ἐνρωπῆ* P *ῥοπῇ* (*-ῆι* V) AV *mora et momentum* Lat *nodus ac mora* Heg 19 *δὲ* PVRC *συγγενοῦσ*, i. marg. man. 2 *συγγενικοῦ* V *αὐτὸν*, litt. *ὸν* charta agglutinata obtectae deinde manu recentiore refectae sunt P 20 *ἐπεὶ γὰρ*] *ἐπειδὴ* PAML *nam cum* Lat *περισχόν|τεσ* (litt. *όν* refectae) P *σκυθολῖται* V *αὐτοῦ* L *κατηκόντιζον — 241,1 ἄλσος*] *in paludem praecipites agerent* Lat

ἀνὰ τὸ ἄλσος, σπασάμενος τὸ ξίφος ἐπ' οὐδένα μὲν ὥρμησεν τῶν πολεμίων, καὶ γὰρ ἐώρα τὸ πλῆθος ἀνήνυτον, ἀναβοήσας δὲ μάλα ἐκπαθῶς „ἄξιά γε ὧν ἔδρασα πάσχω, Σκυθοπολῖται, καθ' ὑμῶν, 472
οἳ τοσούτῳ φόνῳ συγγενῶν τὴν πρὸς αὐτοὺς εὔνοιαν ἐπιστωσάμεθα. τοιγαροῦν οἷς ἄπιστον μὲν εὐλόγως εὕρηται τὸ ἀλλόφυλον, ἠόρηται δὲ [εἰς ἔσχατα] τὸ οἰκεῖον. θνήσκωμεν ὡς ἐναγεῖς χερσὶν ἰδίαις· οὐ γὰρ πρέπον ἐν ταῖς τῶν πολεμίων. τὸ αὐτὸ δ' ἂν 473
εἴη μοι καὶ κοινὴ τοῦ μιάσματος ἀξία καὶ πρὸς ἀνδρείαν ἔπαινος, ἵνα μηδεὶς τῶν ἐχθρῶν τὴν ἐμὴν αὐχήσῃ σφαγὴν μηδ' ἐπαλαζονεύσηται πεσόντι." ταῦτα εἰπὼν ἐλεοῦσιν ἅμα καὶ τεθυμωμένοις 474
ὄμμασιν περισκέπτεται τὴν ἑαυτοῦ γενεάν· ἦν δ' αὐτῷ καὶ γυνὴ καὶ τέκνα καὶ γηραιοὶ γονεῖς. ὁ δὲ πρῶτον μὲν τὸν πατέρα τῆς 475
πολιᾶς ἐπισπασάμενος διελαύνει τῷ ξίφει, μεθ' ὃν οὐκ ἄκουσαν τὴν μητέρα κἀπὶ τούτοις τὴν τε γυναῖκα καὶ τὰ τέκνα, μόνον οὐχ ὑπαντιῶντος ἑκάστου τῷ ξίφει καὶ σπεύδοντος φθάσαι τοὺς πολεμίους. ὁ δὲ διελθὼν πᾶσαν τὴν γενεὰν καὶ περίοπτος ἐπι- 476
στὰς τοῖς σώμασιν τήν τε δεξιὰν ἀνατείνας, ὡς μηδένα λαθεῖν, ὅλον εἰς τὴν ἑαυτοῦ σφαγὴν ἐβάπτισεν τὸ ξίφος, ἄξιος μὲν ἐλέους νεανίας δι' ἀλκὴν σώματος καὶ ψυχῆς παράστημα, τῆς δὲ πρὸς ἀλλοφύλους πίστεως ἕνεκεν ἀκολούθοις πάθεσι χρησάμενος.

PAMLVRC Lat Hegesippus II 18 p. 167.

1 *τὸ ἄλ | σος*, litt. *τὸ ἄλ* refectae P *ὥρμησεν*] *τρέπεται* VRC 2 *ἀνήνυτον*, litt. *νυτον* refectae P 3 *γε*] *μὲν* V *ἔδρασα* refectum P *πάσχω — ὑμῶν*] *πάσχω, Σκυθοπολῖται, παρ' ὑμῶν* uel *μεθ' ὑμῶν πάσχω, Σκυθοπολῖται* Hudson *καθ' ὑμῶν πάσχω Σκυθ.* L. Dindorf *Σκυθοπολίτας μεθ' ὑμῶν* Destinon *καθ' ὑμῶν* om. Lat Heg suspecta Bekkero *ὑμῶν, ὑ* i. ras. A 4 *οἳ*] PA et ut uid. Lat Heg *ὅτι* MLVRC *ὅτι τοσούτω* iterat M¹ litt. *σούτω φόνω ‖ συγ* refectae P *τοιούτω* L *αὐτοὺς*] *uos* Lat *uobis* Heg *ὑμᾶς* Hudson *ἐπιστωσάμην* MVRC Lat Heg 5 *τοιγαροῦν — 7 ἰδίαις*] *digne enim nobis extera gens infida est, qui in nostrum genus tanta impietate deliquimus; morior ergo quasi profanus propriis manibus* Lat *οἷς, σ* s. A *εὕρηται*] *εἴρηται* PL *ἤρηται* A 6 *εἰς ἔσχατα*] om. PA *εἰσ ἔσχατον* M *θνήσκωμεν*] *θνήσκομεν* L *θνήσκω μὲν* PAMVRC *moriar igitur* Heg *ἐναγὴς* PAMVRC Lat Heg 7 *πρέπον*] *πρέπων* V¹C *dignum est* Lat *ἐν*] *ἦν* Bekker *ταῖς τῶν*] *τοῖσ* C *τὸ αὐτὸ δ'*] *τὸ δ' αὐτὸ δ'* PAL *τὸ δ'* (*δὲ* VRC) *αὐτὸ* MVRC *iste autem ipse finis* Lat 8 *ἀνδρίαν* V²C 9 *μηδ'*] *καὶ* P *μηδὲ* VRC *ἐπαλαζονεύσητε* PA 10 *ταῦτ'* L *ἐλεοῦσιν*] *ἐλεῶσιν* P¹A¹L *τεθυμωμένοις*] *θυμουμένοις* V 11 *αὐτοῦ* (*ὑ* ex *ὐ* corr.) L *δὲ* VRC *καὶ γυνὴ*] *γυνή τε* V 12 *ὁ*] *τὸ* L¹ *μὲν*] om. AMLVRC *quidem* Lat 13 *σπασάμενοσ* L *ἐπισπάμενοσ* R *τῷ*] *τὸ* P¹L¹V¹ *ξίφει* ex *ξίφοσ* corr. uid. P 14 *καὶ ἐπὶ* VR *τε*] om. P *γε* AML *μονονουχ'* A *μονονουχὶ* LVRC 15 *ὑπαντῶντοσ* VRC 18 *ἄξιον* VR *ἐλέου* L 19 *ὁ νεανίασ* PAMVRC

477 5. *Πρὸς δὲ τὴν ἐν Σκυθοπόλει φθορὰν αἱ λοιπαὶ πόλεις ἐταν-*
ίσταντο τοῖς καθ' ἑαυτὴν Ἰουδαίοις ἑκάστη, καὶ πεντακοσίους μὲν
ἐπὶ δισχιλίοις Ἀσκαλωνῖται. Πτολεμαεῖς δὲ δισχιλίους ἀνεῖλον
478 *ἔδησάν τ' οὐκ ὀλίγους. καὶ Τύριοι συχνοὺς μὲν διεχειρίσαντο,*
πλείστους δ' αὐτῶν δεσμώτας ἐφρούρουν, Ἱππηνοί τε καὶ Γαδα- 5
ρεῖς ὁμοίως τοὺς μὲν θρασυτέρους ἀπεσκευάσαντο, τοὺς δὲ φοβε-
ροὺς διὰ φυλακῆς εἶχον, αἵ τε λοιπαὶ πόλεις τῆς Συρίας, ὅπως
479 *ἑκάστη πρὸς τὸ Ἰουδαϊκὸν ἢ μίσους ἢ δέους εἶχον. μόνοι δὲ Ἀντιο-*
χεῖς καὶ Σιδώνιοι καὶ Ἀπαμεῖς ἐφείσαντο τῶν μετοικούντων καὶ
οὔτε ἀνελεῖν τινας Ἰουδαίων ὑπέμειναν οὔτε δῆσαι, τάχα μὲν καὶ 10
διὰ τὸ σφέτερον πλῆθος ὑπερορῶντες αὐτῶν πρὸς τὰ κινήματα,
τὸ πλέον δὲ ἑκοντὶ δοκεῖν οἴκτῳ πρὸς οὓς οὐδὲν ἑώρων νεωτερί-
480 *ζοντας. Γερασηνοί τε οὔτε εἰς τοὺς ἐμμείναντας ἐπλημμέλησαν*
καὶ τοὺς ἐξελθεῖν ἐθελήσαντας προέπεμψαν μέχρι τῶν ὅρων.
481 6. *Συνέστη δὲ καὶ κατὰ τὴν Ἀγρίππα βασιλείαν ἐπιβουλὴ* 15
κατὰ Ἰουδαίων. αὐτὸς γὰρ ἐπεπόρευτο πρὸς Κέστιον Γάλλον εἰς
Ἀντιόχειαν, καταλέλειπτο δὲ διοικεῖν τὰ πράγματα τούτου τῶν
ἑταίρων τις τοὔνομα Νόαρος, Σοαίμῳ τῷ βασιλεῖ προσήκων κατὰ
482 *γένος. ἦκον δ' ἐκ τῆς Βαταναίας ἑβδομήκοντα τὸν ἀριθμὸν ἄνδρες*
οἱ κατὰ γένος καὶ σύνεσιν τῶν πολιτῶν δοκιμώτατοι στρατιὰν 20
αἰτοῦντες, ἵν' εἴ τι γένοιτο κίνημα καὶ περὶ σφᾶς, ἔχοιεν ἀξιόχρεω
483 *φυλακὴν κωλύειν τοὺς ἐτανισταμένους. τούτους ὁ Νόαρος ἐκπέμψας*
νύκτωρ τῶν βασιλικῶν τινας ὁπλιτῶν ἅπαντας ἀναιρεῖ, τολμήσας

PAMLVRCLatHegesippus II 11 p. 150. V 53 p. 382.

1 *ἐπανίστανται* L 2 *ἑαυτὴν, ην* i. ras. A *καὶ* om. PAM 3 *δισ-*
χιλίους L *πτολεμαῖσ* PA¹L *ptolemais* Lat 4 *τ'*] *δ'* PAM *δὲ* L *τε* VRC
συχνοὺς μὲν] *μὲν συχνοὺσ* VRC *διεχρήσαντο* VRC 5 *πλείστους*] *τὸ*
πλεῖον RC *τὸ πλεῖστον* V *plures* (h. e. *πλείους*) Lat *δὲ* VRC *ἱππινοί*
PA *ἱππινιοὶ* V *ἱππηνοί* R *hippinei* Lat 6 i. marg. *λε̄* V 7 *τε*] *ται* V
| *λοιπαὶ, λ* charta obducta euan. P *αἵ* — 8 *εἶχον*] *reliquae quoque urbes*
aduersum iudaeos singulae, prout habebant uel timoris uel odii, mouebantur
Lat 8 *ἰον* | * * *ϊκὸν* P i. marg. *λε̄* C *δ'* ML 9 | * * * *ώνιοι* P 10 | * * * *ε*
ἀνελεῖν P *τινα* VRC 11 *ὑπερορόντεσ* C¹ *κινήμαστα* C¹ 12 *δ'* C
δοκεῖν] Destinon et Niese *δοκεῖ* codd. 13 *γερασινοί* A 14 *ὁρῶν* PA¹ML² *ὅρων*
L¹V *fines* Lat Heg 15 post *καὶ* deletum *τὸ ἰουδαῖον* C 16 *αὐτὸς*] *οὗτοσ* M
ipse Lat *ἐπεπορεύετο* C 17 *καταλελοίπει* VR *τούτου*] *τινα* VR
18 *ἑτέρων* V¹RC *τις* om. VR *νόαρον* V *οὖα νόαροσ* (*οὖα* deletum) C
uaro Lat; cf. supra § 247. uita § 48 *σοέμω* MVRC *soemo* Lat *προσῆκον*
PC¹ *προσήκοντα* V 19 *δὲ* VRC 21 *ἵνα* VRC *καὶ* om. V *ἀξιόχρεων* LC
22 *Νόαρος*] *uarus* Lat 23 *νύκτωρ* om. Lat *τινας ὁπλιτῶν*] *αὐλῶν δι'* (*δι'*
repictum) *ὁπλιτῶν* A *ὁπλιτῶν τινασ* VRC *ἀναιρεῖ*] *interfecit in itinere* Lat

μὲν τοῦργον δίχα τῆς Ἀγρίππα γνώμης, διὰ δὲ φιλαργυρίαν ἄμετρον εἰς τοὺς ὁμοφύλους ἑλόμενος ἀσεβεῖν τὴν βασιλείαν διέφθειρεν· διετέλει τε ὡμῶς εἰς τὸ ἔθνος παρανομῶν, μέχρι πυθόμενος Ἀγρίππαν ἀνιέναι μὲν αὐτὸν ἠδέσθη διὰ Σόαιμον, ἔλαυσεν δὲ τῆς ἐπιτροπῆς. οἱ δὲ στασιασταὶ καταλαβόμενοί τι φρούριον. 484
ὃ καλεῖται μὲν Κύπρος, καθίερθεν δ' ἦν Ἱεριχοῦντος, τοὺς μὲν φρουροὺς ἀπέσφαξαν, τὰ δ' ἐρίφατα κατέρριψαν εἰς γῆν. κατὰ δὲ 485
τὰς αὐτὰς ἡμέρας καὶ τῶν ἐν Μαχαιροῦντι Ἰουδαίων τὸ πλῆθος ἐπιθὲν τοῖς φρουροῦσιν Ῥωμαίοις ἐκλείπειν τὸ φρούριον καὶ παραδιδόναι σφίσιν. οἱ δὲ τὴν ἐκ βίας ἀφαίρεσιν εὐλαβηθέντες 486
συντίθενται πρὸς αὐτοὺς ἐχωρὶς ἐπόμνυσθαι, καὶ λαβόντες τὰ πιστὰ παραδιδόασι τὸ φρούριον. ὅπερ φυλακὴ κρατυνάμενοι κατεῖχον οἱ Μαχαιρῖται.

7. Κατὰ δὲ τὴν Ἀλεξάνδρειαν ἀεὶ μὲν ἦν στάσις πρὸς τὸ 487
Ἰουδαϊκὸν τοῖς ἐπιχωρίοις ἀφ' οὗ χρισάμενος προθυμοτάτοις κατὰ τῶν Αἰγυπτίων Ἰουδαίοις Ἀλέξανδρος γέρας τῆς συμμαχίας ἔδωκεν τὸ μετοικεῖν κατὰ τὴν πόλιν ἐξ ἴσου † μοίρας πρὸς τοὺς Ἕλληνας. διέμεινεν δ' αὐτοῖς ἡ τιμὴ καὶ παρὰ τῶν διαδόχων, οἳ καὶ τόπον 488
ἴδιον αὐτοῖς ἀφώρισαν, ὅπως καθαρωτέραν ἔχοιεν τὴν δίαιταν ἧττον ἐπιμισγομένων τῶν ἀλλοφύλων, καὶ χρηματίζειν ἐπέτρεψαν Μακεδόνας, ἐπεί τε Ῥωμαῖοι κατεκτήσαντο τὴν Αἴγυπτον, οὔτε Καῖσαρ ὁ πρῶτος οὔτε τῶν μετ' αὐτόν τις ὑπέμεινεν τὰς ἀπ' Ἀλεξάνδρου τιμὰς Ἰουδαίων ἐλαττῶσαι. συμβολαὶ δ' ἦσαν αὐτῶν ἀδιά- 489

PAMLVRC Lat Hegesippus II 11 p. 151. V 53 p. 382.

2 ὁμοφύλους A *διέφθειρε* MVRC 3 τε] δὲ V ὠμῶς] ὅμως L^1 4 αὐτὸν] *uarum* Lat *σόαιμον* MVRC *soemum* Lat 5 στασιασταὶ, αὶ i. ras. A τι] τὸ C, om. VR 6 καθύπερθε LV δὲ VRC 7 δὲ VRC *κατέρριψαν*] *κατέκρυψαν* L 9 ἔπειθον VRC *ἐκλειπεῖν* PA *ἐκλιπεῖν* MLC *φρούριον*] *χωρίον* VRC 10 *ἀφαίρεσι* A 11 *συντίθεν* C^1 12 *πιστὰ* ex *πλεῖστα* corr. uid. m. 2 L *παραδίδωσι* P *παραδιδώασιν* A *κρατυνόμενοι* L^1 *κρατυνόμενον* VRC *κατ* * *‖ χον* P 13 *μαχαιρῖται*, ῖ ex corr. VR 14 i. marg. *λξ* VC *Ἀλεξάνδρειαν*] *ἀλεξέν* C^1 15 *προθυμωτάτοις* V^1C^1 *προθυμότατα* (*προθυμώτατα* P) *τοῖσ* PAL 16 Ἀλέξανδρος om. C 17 τὸ — ἴσου *μοίρας*] *et habitandi apud alexandriam facultatem et ius urbis aequale* Lat *ἰσονμοίρασ* P *ἰσονμοῖρασ* A *ἰσοτιμίασ* MLVRC *ἰσομοιρίας* Destinon

πρὸς τοὺς] τοὺσ M πρὸσ VR, om. C 18 δὲ LVRC *διδόχων* A *οἳ*] *denique* Lat 19 αὐτοῖσ ἴδιον tr. L 20 ἐπισμισγομένων P *μακεδόνασ*, α ante σ i. ras. A 21 *ἐπεί τε*] *ἐπεὶ δὲ* PAML et ut uid. Lat *δὲ καὶ ῥωμαῖοι* M 22 τῶν om. C αὐτῶν M αὐτόν ex αὐτόσ corr. C *ἀπ'*] om. P *ἀπὸ* VRC 23 *ἐλαττῶ·σαι* V *συμβουλαὶ* C *δὲ* VRC *ἀδιάλϊ·πτοι* R *ἀδιάλειποι* C^1

λειπτοι πρὸς τοὺς Ἕλληνας, καὶ τῶν ἡγεμόνων πολλοὺς ὁσημέραι
490 παρ' ἀμφοῖν κολαζόντων ἡ στάσις μᾶλλον παρωξύνετο. τότε δ'
ὡς καὶ παρὰ τοῖς ἄλλοις ἐτετάρακτο, μᾶλλον ἐξήφθη τὰ παρ'
ἐκείνοις. καὶ δὴ τῶν Ἀλεξανδρέων ἐκκλησιαζόντων περὶ ἧς ἔμελλον
ἐκπέμπειν πρεσβείας ἐπὶ Νέρωνα συνερρύησαν μὲν εἰς τὸ ἀμφι- 5
491 θέατρον ἅμα τοῖς Ἕλλησιν συχνοὶ Ἰουδαίων, κατιδόντες δὲ αὐτοὺς
οἱ διάφοροι παραχρῆμα ἀνεβόων πολεμίους καὶ κατασκόπους λέγον-
τες· ἔπειτα ἀναπηδήσαντες ἐπέβαλλον τὰς χεῖρας αὐτοῖς. οἱ μὲν
οὖν λοιποὶ φεύγοντες διεσπάρησαν, τρεῖς δὲ ἄνδρας συλλαβόντες
492 ἔσυρον ὡς ζῶντας καταφλέξοντες. ἤρθη δὲ πᾶν τὸ Ἰουδαϊκὸν ἐπὶ 10
τὴν ἄμυναν, καὶ τὸ μὲν πρῶτον λίθοις τοὺς Ἕλληνας ἔβαλλον,
αὖθις δὲ λαμπάδας ἁρπασάμενοι πρὸς τὸ ἀμφιθέατρον ὥρμησαν
ἀπειλοῦντες ἐν αὐτῷ καταφλέξειν τὸν δῆμον αὐτανδρον. κἂν
ἔφθησαν τοῦτο δράσαντες, εἰ μὴ τοὺς θυμοὺς αὐτῶν ἀνέκοψεν
493 Τιβέριος Ἀλέξανδρος ὁ τῆς πόλεως ἡγεμών. οὐ μὴν οὗτός γε ἀπὸ 15
τῶν ὅπλων ἤρξατο σωφρονίζειν, ἀλλ' ὑποπέμψας τοὺς γνωρίμους
αὐτοῖς παύσασθαι παρεκάλει καὶ μὴ καθ' ἑαυτῶν ἐρεθίζειν τὸ
Ῥωμαίων στράτευμα. καταχλευάζοντες δὲ τῆς παρακλήσεως οἱ στα-
σιώδεις ἐβλασφήμουν τὸν Τιβέριον.

494 8. Κἀκεῖνος συνιδὼν ὡς χωρὶς μεγάλης συμφορᾶς οὐκ ἂν παύ- 20
σαιντο νεωτερίζοντες, ἐταφίησιν αὐτοῖς τὰ κατὰ τὴν πόλιν Ῥω-
μαίων δύο τάγματα καὶ σὺν αὐτοῖς δισχιλίους στρατιώτας κατὰ
τύχην παρόντας εἰς τὸν Ἰουδαίων ὄλεθρον ἐκ Λιβύης· ἐπέτρεψεν
δὲ οὐ μόνον ἀναιρεῖν, ἀλλὰ καὶ τὰς κτήσεις αὐτῶν διαρπάζειν καὶ
495 τὰς οἰκίας καταφλέγειν. οἱ δ' ὁρμήσαντες εἰς τὸ καλούμενον Ἄλτα, 25
συνῴκιστο γὰρ ἐκεῖ τὸ Ἰουδαϊκόν, ἐτέλουν τὰς ἐντολάς, οὐ μὴν
ἀναιμωτί· συστραφέντες γὰρ οἱ Ἰουδαῖοι καὶ τοὺς ἄμεινον ὡπλισ-

---

PAMLVRCLatHegesippus II 11 p. 151.

1 καὶ — 2 κολαζόντων] *et iudicibus multis quotidie ab utraque parte lucrum reuchentibus* Lat ὡσήμεραι PA¹R¹C¹ 2 δὲ MVRC 3 παρὰ] τὰ παρα Destinon ἐτέτακτο A 5 ἐκπέμπει A 7 παραχρῆμα μὲν A 8 ἐπέβαλον MV 9 φυγόντεσ A διεσπάρησαν] Naber *dissipati sunt* Lat διεφθάρησαν (-εισαν A) codd. 10 ἐπὶ] εἰσ V 12 πρὸς] εἰσ V 13 καταφλέξειν ἐν αὐτῷ tr. VRC ἐν] σὺν Destinon αὐτανδρον, *ν* ante *δ* i. ras. M κἂν i. ras. 3 litt. m. 2 C 14 εἰ ex *η* corr. A 15 οὗτός] αὐτόσ M *ipse* Lat γε] τε PAML 17 αὐτοῖς] *eorum* Lat ἑαυτὸν V τὸ] τὰ V 18 στράτευμα] ὅπλα V 22 δισχιλίους] πεντακισχιλιουσ LVRCLat εὕρηται καὶ πενταϰϊσχιλίουσ i. marg. M 23 λιβύησ, *ι* i. ras. A λυβύησ R¹C¹ λιβύνησ V 24 δ' L ἀναιρεῖν] κτείνειν V 25 καταφλέγειν, *ν* s. A δὲ VRC 27 ἀναιμοτί P ἀναιμωτεί L οἱ s. A ἄμεινον] *optime* Lat

μέρους ἑαυτῶν προταξάμενοι μέχρι πλείστου μὲν ἀντέσχον, ἅπαξ
δ' ἐγκλίναντες ἀνέδην διεφθείροντο. καὶ παντοίως ἦν αὐτῶν ὄλεθρος, 496
τῶν μὲν ἐν τῷ πεδίῳ καταλαμβανομένων, τῶν δ' εἰς τὰς οἰκίας
συνωθουμένων. ὑπεπίμπρασαν δὲ καὶ ταύτας οἱ Ῥωμαῖοι προδιαρ-
πάζοντες τὰ ἔνδον, καὶ οὔτε γηπίων ἔλεος αὐτοὺς οὔτε αἰδὼς εἰσήει
γερόντων, ἀλλὰ διὰ πάσης ἡλικίας ἐχώρουν κτείνοντες, ὡς ἐπι- 497
κλυσθῆναι μὲν αἵματι πάντα τὸν χῶρον, πέντε δὲ μυριάδες ἐσωρεύ-
θησαν νεκρῶν, περιελείφθη δ' ἂν οὐδὲ τὸ λοιπόν, εἰ μὴ πρὸς
ἱκετηρίας ἐτράποντο. κατοικτείρας δ' αὐτοὺς Ἀλέξανδρος ἀναχωρεῖν
τοῖς Ῥωμαίοις ἐκέλευσεν. οἱ μὲν οὖν ἐξ ἔθους τὸ πειθήνιον ἔχοντες 498
ἅμα νεύματι τοῦ φονεύειν ἐπαύσαντο, τὸ δημοτικὸν δὲ τῶν Ἀλε-
ξανδρέων δι' ὑπερβολὴν μίσους δυσανάκλητον ἦν καὶ μόλις ἀπε-
σπᾶτο τῶν σωμάτων.

9. Τοιοῦτον μὲν τὸ κατὰ τὴν Ἀλεξάνδρειαν πάθος συνηνέχθη· 499
Κεστίῳ δὲ οὐκέτι ἠρεμεῖν ἐδόκει πανταχοῦ τῶν Ἰουδαίων ἐκπεπολε-
μωμένων. ἀναλαβὼν δὲ ἀπὸ τῆς Ἀντιοχείας τὸ μὲν δωδέκατον 500
τάγμα πλῆρες, ἀπὸ δὲ τῶν λοιπῶν ἀνὰ δισχιλίους ἐπιλέκτους,
λεξῶν τε ἐξ σπείρας καὶ τέσσαρας ἴλας ἱππέων, πρὸς αἷς τὰς
παρὰ τῶν βασιλέων συμμαχίας, Ἀντιόχου μὲν δισχιλίους ἱππεῖς
καὶ πεζοὺς τρισχιλίους τοξότας πάντας, Ἀγρίππα δὲ πεζοὺς μὲν
τοὺς ἴσους ἱππεῖς δὲ δισχιλίων ἐλάττους, εἵπετο δὲ καὶ Σόαιμος 501
μετὰ τετρακισχιλίων, ὧν ἦσαν ἱππεῖς ⁅ τρίτη μοῖρα καὶ τὸ πλέον

PAMLVRCLatHegesippus II 11 p. 151. 14 p. 159.

1 αὐτῶν VRC προτάξαντεσ VRC μὲν om. Lat 2 δ' ἐγκλίναντες] Bekker δὲ ἐκκλίναντεσ PAL δὲ κλίναντεσ MVRC ἀναίδην V¹R παντοίως] παντελῶσ VRC παντοίως — 3 καταλαμβανομένων] *(et) erat eorum grandis interitus. tamen milites quae sibi mandata fuerant exequuntur; conglobati enim iudaei his quos melius armatos habebant in fronte positis aliquamdiu quidem restiterunt, semel autem in fugam uersi mactabantur, nec unus erat exitii modus, cum alii sub diuo atque in campo deprehenderentur* Lat. a quo p. 244, 26 ἐτέλουν — 2 ὄλεθρος bis diuerso modo conuersa sunt αὐτοῖσ L 3 δὲ VRC 4 ὑπεμπρασαν P ὑπεμπίμπρασαν R ὑπεπίπρασαν C προαρπάζοντεσ M 5 αὐτοῖσ VRC 7 αἵματι] τῶι αἵματι V μυριάδασ MLVRC σωρευθῆναι LVRC 8 οὔτε VRC 9 ἱκετηρίας] ἱκετείαν VRC ἐτράποντο, *ον* ex *αν* corr. A ἐτράπετο RC κατοικτηρήσασ C δὲ LVRC 10 ἐκέλευσε VC οἱ μὲν οὖν] καὶ οἱ μὲν VRC πειθήνιον PC ἔχοντεσ τὸ πειθήνιον tr. VRC 11 ἐπαύσατο V¹ 12 ἀπεσπᾶτο τῶν, litt. οτῶ i. ras. A ἀπεσπάσατο τῶν L 14 τοιοῦτο L¹ i. marg. $\overline{\text{ιξ}}$ VC συνενέχθη] συνεχύθη C 15 ἠρεμεῖν L¹ ἡρεμήσειν C ἐκπολεμωμένων M ἐκπεπωλεμωμένων R 16 τῆς om. M 18 τε ἐξ σπείρας om. Lat τέσαρασ A εἴλασ L¹ -ῖλασ V 20 ἀγρίππασ R 21 ἱππεῖς — ἐλάττους] *et equitum mille* Lat διοχιλίουσ P χιλίων VRC σόεμοσ MVRCLat 22 τρισχιλίων V

502 τοξόται, προῆλθεν εἰς Πτολεμαΐδα. πλεῖστοι δὲ κἀκ τῶν πόλεων
ἐπίκουροι συνελέγησαν, ἐμπειρίᾳ μὲν ἡττώμενοι τῶν στρατιωτῶν,
ταῖς δὲ προθυμίαις καὶ τῷ κατὰ Ἰουδαίων μίσει τὸ λεῖπον ἐν ταῖς
ἐπιστήμαις ἀντιπληροῦντες. παρῆν δὲ καὶ αὐτὸς Ἀγρίππας Κεστίῳ
503 τῆς τε ὁδοῦ καὶ τῶν συμφερόντων ἐξηγούμενος. ἀναλαβὼν δὲ
μέρος τῆς δυνάμεως Κέστιος ὥρμησεν ἐπὶ πόλιν καρτερὰν τῆς Γαλι-
λαίας Χαβουλών, ἣ καλεῖται ἀνδρῶν, διορίζει δὲ ἀπὸ τοῦ ἔθνους
504 τὴν Πτολεμαΐδα. καὶ καταλαβὼν αὐτὴν ἔρημον μὲν ἀνδρῶν, ἀνα-
πεφεύγει γὰρ τὸ πλῆθος εἰς τὰ ὄρη, πλήρη δὲ παντοίων κτημά-
των, τὰ μὲν ἐφῆκεν τοῖς στρατιώταις διαρπάζειν. τὸ δὲ ἄστυ καίτοι
θαυμάσας τοῦ κάλλους ἔχον τὰς οἰκίας ὁμοίως ταῖς ἐν Τύρῳ καὶ
505 Σιδῶνι καὶ Βηρυτῷ δεδομημένας, ἐνέπρησεν. ἔπειτα τὴν χώραν
καταδραμὼν καὶ διαρπάσας μὲν πᾶν τὸ προσπῖπτον καταφλέξας
506 δὲ τὰς πέριξ κώμας ὑπέστρεψεν εἰς τὴν Πτολεμαΐδα. πρὸς δὲ
ταῖς ἁρπαγαῖς ἔτι τῶν Σύρων ὄντων καὶ τὸ πλέον Βηρυτίων ἀνα-
θαρσήσαντες οἱ Ἰουδαῖοι, καὶ γὰρ ἀποκεχωρικότα συνίεσαν Κέστιον,
τοῖς ἀπολειφθεῖσιν ἀδοκήτως ἐπέπεσον καὶ περὶ δισχιλίους αὐτῶν
διέφθειραν.
507 10. Ὁ δὲ Κέστιος ἀναζεύξας ἀπὸ τῆς Πτολεμαΐδος αὐτὸς μὲν
εἰς Καισάρειαν ἀφικνεῖται, μοῖραν δὲ τῆς στρατιᾶς προέπεμψεν
εἰς Ἰόππην, προστάξας, εἰ μὲν καταλαβέσθαι δυνηθεῖεν τὴν πόλιν,
φρουρεῖν, εἰ δὲ προαίσθοιντο τὴν ἔφοδον, περιμένειν αὐτόν τε καὶ
508 τὴν ἄλλην δύναμιν. τῶν δὲ οἱ μὲν κατὰ θάλασσαν οἱ δὲ κατὰ γῆν
ἐπειχθέντες ἀμφοτέρωθεν αἱροῦσιν τὴν πόλιν ῥᾳδίως· καὶ μηδὲ

PAMLVRC Lat Hegesippus II 14 p. 159.

1 *προῆλθον* PAML *κἀκ*] *καὶ ἐκ* RC *ἐκ* V 2 *ἡττόμενοι* P 3 *τῷ*] *τὸ* PAV¹C¹ *τὸ λοιπὸν* L 4 *ἐπιστίμαισ* ex corr. P *ἀναπλη-*
ροῦντεσ V *συμπαρῆν* MVRC *aderat* Lat ante *κεστίῳ* deletum *συν* C 6 *ὁ*
κέστιοσ V 7 *Χαβουλών*] Niese *ζαβουλὼν* PAMVRC *ζαβουλῶνα* L *zabulon*
Lat Heg; cf. infra III 38 (3, 1) Ant. VIII 142. uita 213. cont. Apion. I 110
ἣ] *ἥ* PA, om. R fort. recte *ἀνδρῶν*] *ἄνδρων* L *ἀνδρών* MRC; mihi suspectum,
nec legisse uid. Heg, in quo est *ingressus urbem cui nomen zabulon* 8 *καὶ*
καταλαβὼν] *καταλαβὼν δὲ* VRC *καταπεφεύγει* RC *καταπεφεύγειν* V¹
9 *πλήρησ* PA¹ 10 *ἀφῆκεν* (— *κε* M) AMV 11 *θαυμάσασ τοῦ*] PAMVRC
Lat Heg *θαυμαστοῦ* L *ἔχων* V¹C *ἔχον τοῦ κάλλουσ* tr. V *ὁμοίασ* V
12 *σιδόνι* PA *σιδῶνι, ω* i. ras. V 13 *διαρπάξασ* P *διαρπάσασ, σ* ante *α* i. ras. A
14 *τὰσ* s. V *ὑπέστρεφεν* MVRC *τὴν* om. L 15 *ἀναθαρρήσαντεσ* C
16 *συνήεσαν* V² 17 *ἐπέπεσαν* P *ἐπέσπασαν* A 21 *μὲν καταλαβέσθαι*] *μὲν*
(*μὴ* VR) *ἐγκαταλαβέσθαι* VRC *δυνηθεῖεν, ει* i. ras. m. 2 R 22 *προαί-*
σθοιντο] *oppidani praesensissent* Lat, unde *οἱ ἔνδον* excidisse putat Destinon
23 *δ* L *θάλασσαν* A 24 *ἀμφοτέρωθεν* R *αἱροῦσιν* (— *σι* MLVR)
PAMLVR *πόλιν*] *ἰόππην* RC Lat et i. marg. m. 2 V

φυγεῖν φθασάντων τῶν οἰκητόρων, οὐχ ὅπως παρασκευάσασθαι πρὸς μάχην, ἐμπεσόντες ἅπαντας ἀνεῖλον σὺν ταῖς γενεαῖς καὶ τὴν πόλιν διαρπάσαντες ἐνέπρησαν· ὁ δὲ ἀριθμὸς τῶν φονευθέντων 509
τετρακόσιοι πρὸς ὀκτακισχιλίοις. ὁμοίως δὲ καὶ εἰς τὴν ὄμορον τῆς Καισαρείας Ναβατηνὴν τοπαρχίαν ἔπεμψεν στίχους τῶν ἱππέων, οἳ τήν τε γῆν ἔτεμον καὶ πολὺ πλῆθος διέφθειραν τῶν ἐπιχωρίων τάς τε κτήσεις διήρπασαν καὶ τὰς κώμας κατέφλεξαν.

11. Εἰς δὲ τὴν Γαλιλαίαν ἀπέστειλεν Καισέννιον Γάλλον ἡγε- 510
μόνα τοῦ δωδεκάτου τάγματος παραδοὺς δύναμιν ὅσην ἀρκέσειν πρὸς τὸ ἔθνος ὑπελάμβανεν. τοῦτον ἡ καρτερωτάτη τῆς Γαλιλαίας 511
πόλις Σεπφωρὶς μετ' εὐφημίας δέχεται, καὶ πρὸς τὴν ταύτης εὐβουλίαν αἱ λοιπαὶ πόλεις ἠρέμουν. τὸ δὲ στασιῶδες καὶ λῃστρικὸν πᾶν ἔφυγεν εἰς τὸ μεσαίτατον τῆς Γαλιλαίας ὄρος, ὃ κεῖται μὲν ἀντικρὺ τῆς Σεπφώρεως, καλεῖται δὲ Ἀσαμών. τούτοις ὁ Γάλλος ἐλπίσας τὴν δύναμιν. οἱ δὲ ἕως μὲν ἦσαν ἐπερόξιοι, ῥᾳδίως τοὺς 512
Ῥωμαίους ἠμύναντο προσιόντας καὶ πρὸς διακοσίους αὐτῶν ἀνεῖλον, περιελθόντων δὲ καὶ γενομένων ἐν τοῖς ὑψηλοτέροις ἡττῶντο ταχέως, καὶ οὔτε γυμνῆτες ὁπλίτας συστάδην ἔφερον οὔτε ἐν τῇ τροπῇ τοὺς ἱππεῖς ἐξέφευγον, ὥστε ὀλίγους μὲν ἐν ταῖς δυσχωρίαις διαλαθεῖν, ἀναιρεθῆναι δὲ ὑπὲρ δισχιλίους.

XIX. 1. Γάλλος μὲν οὖν ὡς οὐδὲν ἔτι ἑώρα κατὰ τὴν Γαλι- 513
λαίαν νεωτεριζόμενον, ὑπέστρεφεν μετὰ τῆς στρατιᾶς εἰς Καισάρειαν· Κέστιος δὲ μετὰ πάσης τῆς δυνάμεως ἀναζεύξας ἐνέβαλεν εἰς Ἀντιπατρίδα, καὶ πυθόμενος ἔν τινι πύργῳ Ἀφεκοῦ καλουμένῳ συνηθροῖσθαι Ἰουδαίων δύναμιν οὐκ ὀλίγην προέπεμπεν τοὺς συμ-

---

PAMLVRC Lat Hegesippus II 14 p. 160.

2 ἐμπεσόντες] ἐμπεσόντεσ δὲ V² 3 ὁ δὲ om. PAM φ·ονευθέντων V 4 ὀκτακισχιλίουσ VRC τὴν, η ex corr. m. 2 L 5 νερβατινὴν PA ναβαρτινὴν L ναβατηνὴν V¹ ναρβαστηνὴν R ναρβατινὴν C *nabatenam* Lat *Nárbata* supra § 291 τοπαρχίαν] PALLat ἐπαρχίαν MVRC ·τῶν A 6 ἐπιχωρίων i. marg. suppl., in textu eras. πολεμίων L 8 ἔστειλε VRC *Καισέννιον*] κεσσαίνιον P κεσσένιον AL κέστιοσ MVRC et fort. Heg *cesennium* Lat 10 ὑπελάμβανε MVRC τούτων VC 11 σεπφώρισ V σεπφωρισ (sic) C ἐπφωρισ R¹ *sefforis* Lat 12 λοιπαὶ ex λοιποὶ corr. M στασιῶδεσ δὲ tr. P στασιῶ·δεσ V 13 ἔφευγεν L μεσώτατον PA μεσαίτατον, αι i. ras. 1 litt. m. 2 V 14 ἄντικρυσ LVRC σεπφώρεωσ, litt. εωσ i. ras. corr. A σεπφώρισ P σεπφώρησ L 15 δ' L 16 ἠμύναντο] ἔβαλλον VRC *ulciscebantur* Lat ἠμύνοντο Destinon προσιόντασ, ασ i. ras. A 17 δὲ om. C¹ ὑψηλοῖσ VRC *celsiora* Lat 18 γυμνῆτες ὁπλίτας] γυμνῆται (γυμνίται V¹C γυμνιταὶ R) τοὺσ ὁπλίτασ MVRC 19 ἐξέφυγον L¹R 21 ἔτι] om. VRC *iam* Lat 24 ἕν] ἑνὶ PAL ἀφαικοῦ MVRC *afeci* (nom.) Lat 25 προσέπεμπε L προὔπεμψε VRC

514 βαλοῦντας. οἱ δὲ πρὶν εἰς χεῖρας ἐλθεῖν δέει τοὺς Ἰουδαίους διε-
σκέδασαν, ἐπελθόντες δὲ ἔρημον τὸ στρατόπεδον καὶ τὰς πέριξ κώμας
515 ἐνέπρησαν. ἀπὸ δὲ τῆς Ἀντιπατρίδος Κέστιος εἰς Λύδδα προελθὼν
κενὴν ἀνδρῶν τὴν πόλιν καταλαμβάνει· διὰ γὰρ τὴν τῆς σκηνοπη-
516 γίας ἑορτὴν ἀναβεβήκει πᾶν τὸ πλῆθος εἰς Ἱεροσόλυμα. πεντή- 5
κοντα δὲ τῶν παραφανέντων διαφθείρας καὶ τὸ ἄστυ κατακαύσας
ἐχώρει πρόσω, καὶ διὰ Βαιθώρων ἀναβὰς στρατοπεδεύεται κατά
τινα χῶρον Γαβαὼ καλούμενον, ἀπέχοντα τῶν Ἱεροσολύμων πεντή-
κοντα σταδίους.

517 2. Οἱ δὲ Ἰουδαῖοι κατιδόντες ἤδη πλησιάζοντα τῇ μητροπόλει 10
τὸν πόλεμον, ἀφέμενοι τὴν ἑορτὴν ἐχώρουν ἐπὶ τὰ ὅπλα, καὶ μέγα
τῷ πλήθει θαρροῦντες ἄτακτοι μετὰ κραυγῆς ἐξεπήδων ἐπὶ τὴν
μάχην μηδὲ τῆς ἀργῆς ἑβδομάδος ἔννοιαν λαβόντες· ἦν γὰρ δὴ τὸ
518 μάλιστα παρ' αὐτοῖς θρησκευόμενον σάββατον. ὁ δ' ἐκσείσας αὐτοὺς
τῆς εὐσεβείας θυμὸς ἐποίησεν πλεονεκτῆσαι καὶ κατὰ τὴν μάχην· 15
μετὰ τοσαύτης γοῦν ὁρμῆς τοῖς Ῥωμαίοις προσέπεσον, ὡς διαρρῆξαι
519 τὰς τάξεις αὐτῶν καὶ διὰ μέσων χωρεῖν ἀναιροῦντας. εἰ δὲ μὴ
τῷ χαλασθέντι τῆς φάλαγγος οἵ τε ἱππεῖς ἐκπεριελθόντες ἐπή-
μυναν καὶ τοῦ πεζοῦ τὸ μὴ σφόδρα κάμνον, κἂν ἐκινδύνευσεν ὅλῃ
τῇ δυνάμει Κέστιος. ἀπέθανον δὲ Ῥωμαίων πεντακόσιοι δεκαπέντε· 20
τούτων ἦσαν οἱ τετρακόσιοι πεζοί, τὸ δὲ λοιπὸν ἱππεῖς· τῶν δὲ
520 Ἰουδαίων δύο πρὸς τοῖς εἴκοσι. γενναιότατοι δ' αὐτῶν ἔδοξαν οἱ
Μονοβάζου τοῦ τῆς Ἀδιαβηνῆς βασιλέως συγγενεῖς, Μονόβαζός τε
καὶ Κενεδαῖος, μεθ' οὓς ὁ Περαΐτης Νίγερ καὶ Σίλας ὁ Βαβυλώ-

PAMLVRCLatHegesippus II 14 p. 160.

1 *διεσκέδασαν, έ* ex *ά* corr. A 2 *δὲ*] *τε* L 3 *λύδδαν* C et ex corr. A *λύδα* V *προσελθὼν* VRC 6 *παραφανέντω* M *προφανέντων* C 7 *βαιθωρῶν* MVRC et ex corr. A *βεθώρων* L *bethoron* (acc.) Lat 8 *γαβαῶ* V *τῶν, ῶν* i. ras. m. 2 V *πεντήκοντα*] *π̄* A 11 *τῆσ ἑορτῆσ* MVRC 12 *μετὰ*] *καὶ μετα* MVRCLat fort. recte 14 *δὲ* VRC *ἐκσείσασ, σεισασ* ex corr. M 15 *καὶ* om. V 17 *τασ·τάξεισ,* eras. *σ* L *μέσον* AL¹C *εἰ* — 20 *Κέστιος*] *nisi ei militum parti, quae necdum locum amiserat, equites exerciti* (*exciti* Niese) *subuenissent quique non satis defecerunt pedites, in periculo totus cestii fuisset exercitus* Lat *ut omnem exercitum auerterent, nisi equites subuenissent peditibus laborantibus* Heg *εἰ δὲ μὴ τῷ*] M *εἰ δὲ δὴ τῶ μὴ* PA¹R *εἰ δὲ δὴ μὴ τῶ* ex corr. A *εἰ μὴ τῶ μὴ* L *εἰ δὲ··τῶι μὴ* (eras. *μὴ*) V *εἰ δὲ μὴ τῶ μὴ* (post *δὲ* deletum uid. *α*) C 18 *φάλλαγοσ* V 19 *τοὐσ πεζοὐσ* VR *τῶν πεζῶν* C *κάμνον*] *καμὸν* (*ο* ex *ω* corr. VC) VRC 20 *Ῥωμαίων* om. C 22 *γενναιότατοι, ι* finale suppl. A *δὲ* VRC 23 *βασιλέως* iterauit iteratum expunxit A *τε* om. C 24 *κενεδέοσ* PA *κενέδεοσ* L *κενδαῖοσ* C *cenedeus* Lat *caenezei* cod. Cass. *cedei* cod. A Heg *ὁ βαβυλώνιοσ σίλασ* tr. A

νιος αὐτομολήσας εἰς τοὺς Ἰουδαίους ἀπ' Ἀγρίππα τοῦ βασιλέως· ἐστρατεύετο γὰρ παρ' αὐτῷ. κατὰ πρόσωπον μὲν οὖν ἀνακοπέντες 521
Ἰουδαῖοι πρὸς τὴν πόλιν ὑπέστρεφον, κατόπιν δὲ τοῖς Ῥωμαίοις ἐπὶ τὴν Βεθώραν ἀνιοῦσιν προσπεσὼν ὁ τοῦ Γιώρα Σίμων πολὺ
τῆς οὐραγίας ἐσπάραξεν καὶ συχνὰ τῶν σκευοφόρων ἀποσπάσας ἤγαγεν εἰς τὴν πόλιν. μένοντος δὲ τοῦ Κεστίου κατὰ χώραν τρισὶν 522
ἡμέραις οἱ Ἰουδαῖοι τὰ μετέωρα κατειληφότες ἐτήρουν τὰς παρόδους δῆλοί τε ἦσαν οὐκ ἰρεμήσοντες ἀρξαμένων τῶν Ῥωμαίων ὁδεύειν.

3. Ἔνθα δὴ κατιδὼν Ἀγρίππας οὐδὲ τὰ Ῥωμαίων ἀκίνδυνα 523
πλήθους ἀπείρου πολεμίων τὰ ὄρη περισχόντος ἔκρινεν ἀποπειραθῆναι τῶν Ἰουδαίων λόγους· ἢ γὰρ πάντας πείσειν καταθέσθαι
τὸν πόλεμον ἢ τῶν ἐναντιωθέντων ἀποστήσειν τὸ μὴ συμφρονοῦν. ἔπεμψεν οὖν τῶν παρ' ἑαυτῷ τοὺς μάλιστα γνωρίμους ἐκείνοις 524
Βόρκιόν τε καὶ Φοῖβον, δεξιάς τε παρὰ Κεστίου καὶ συγγνώμην παρὰ Ῥωμαίοις ἀσφαλῆ περὶ τῶν ἡμαρτημένων ὑπισχνούμενος, εἰ τὰ ὅπλα ῥίψαντες πρὸς αὐτοὺς μεταβάλοιντο. δείσαντες δὲ οἱ 525
στασιασταὶ μὴ πᾶν τὸ πλῆθος ἀδείας ἐλπίδι πρὸς τὸν Ἀγρίππαν μεταβάληται, τοὺς ἀπ' αὐτοῦ πρεσβεύοντας ὥρμησαν ἀνελεῖν. καὶ 526
πρὶν ἢ φθέγξασθαι τὸν μὲν Φοῖβον διέφθειραν, ὁ δὲ Βόρκιος τρωθεὶς ἔφθη διαφυγεῖν· τοῦ δήμου δὲ τοὺς ἀγανακτήσαντας λίθοις καὶ ξύλοις παίοντες εἰς τὸ ἄστυ συνήλασαν.

4. Κέστιος δὲ τὴν πρὸς ἀλλήλους αὐτῶν ταραχὴν εὔκαιρον ἰδὼν 527

PAMLVRC Lat Hegesippus II 15 p. 160.

1 *αὐτομολισας* V *αὐτομολήσαντες* et u. 2 *ἐστρατεύοντο* uertit Lat *ἀπ' Ἀγρίππα*] Hudson e codd. Bod. et Rost. *ab agrippa* Lat *ἀγρίππα* PAMLRC *ἀγρίππασ* V 3 *οἱ Ἰουδαῖοι* MLVRC *ὑπέστρεψαν* V *κατόπην* A 4 *Βεθώραν*] PAL *βαιθωρῶν* MVRC *bethoron* Lat *ὁ* s. C *γειώρα* LR 5 *οὐραγίας*] *οὐραγίασ αὐτῶν* M *ἀποσπάσας*] *ἐξαρπάσασ* VRC 7 *οἱ*] om. P *οἱ δὲ* V¹ 8 i. marg. *λη* V *οὐχ ἠρεμήσοντεσ* PA *ἠρεμήσοντεσ, ἠρε* ex *ἐρη* corr. R 10 *Ῥωμαίων*] *ῥωμαίοις ὁδεύειν* PA, cf. u. 9 11 *πλήθους*] *πλήθουσ τὲ* R *περισχόντεσ* V *περιέχοντοσ* R et i. marg. m. 2 V 13 *τῶν ἐναντιωθέντων*] *τῶν ἐναντίων* VRC *si qui aduersarentur* Lat *τινῶν ἐναντιωθέντων* Destinon *ἀποστῆσαι* VRC 14 *ἐκείνων* VR 15 *Βόρκιόν*] PA *βορκαῖόν* MLVRC *borcaeum* Lat *lorcium* codd. Heg *τε*] *τε καὶ* PA *συγνώμην* R 16 *ῥωμαίων* MLRC *ἀσφαλῆ* V *εἰ-*, eras. *σ* R 17 *δείσαντες* iterauit M¹ *δ'* L 18 *πᾶν τὸ*] *τὸ πᾶν* P *τι ἂν τὸ* VRC 19 *πρεσβείσοντασ* PA, unde *πρεσβείσαντας* Niese 20 *Βόρκιος*] PA *βορκαῖοσ* MLRC *βαρκαῖοσ* V *borcaeus* Lat *lorcius* codd. Heg 21 *ἀγα|κτήσαντασ* P *ἐπαγανακτήσαντασ* VRC i. marg. *λθ'* V 22 i. marg. *λη* C 23 *τὴν πρὸσ*, litt. *ην πρὸ* i. ras. 3—4 litt. M

εἰς ἐπίθεσιν ἅπασαν ἐτῆγεν τὴν δύναμιν καὶ τραπέντας μέχρι Ἱερο-
528 *σολύμων κατεδίωξεν. στρατοπεδευσάμενος δὲ ἐπὶ τοῦ καλουμένου*
Σκοποῦ, διέχει δ' οὗτος ἑπτὰ τῆς πόλεως σταδίους, τρισὶ μὲν ἡμέ-
ραις οὐκ ἐπεχείρει τῇ πόλει τάχα τι παρὰ τῶν ἔνδον ἐνδοθήσεσθαι
προσδοκῶν, εἰς δὲ τὰς πέριξ κώμας ἐφ' ἁρπαγὴν σίτου πολλοὺς
διαφῆκεν τῶν στρατιωτῶν· τῇ τετάρτῃ δέ, ἥτις ἦν τριακὰς Ὑπερ-
529 *βερεταίου μηνός, διατάξας τὴν στρατιὰν εἰσῆγεν εἰς τὴν πόλιν. ὁ*
μὲν οὖν δῆμος ὑπὸ τοῖς στασιασταῖς ἔμφρουρος ἦν, οἱ δὲ στασια-
σταὶ τὴν εὐταξίαν τῶν Ῥωμαίων καταπλαγέντες τῶν μὲν ἔξω τῆς
πόλεως μερῶν εἶκον, εἰς δὲ τὴν ἐνδοτέρω καὶ τὸ ἱερὸν ἀνεχώρουν.
530 *Κέστιος δὲ παρελθὼν ἐπεσκέψατο τήν τε Βεθεζὰν προσαγορευο-*
μένην καὶ τὴν Καινόπολιν καὶ τὸ καλούμενον Λοκῶν ἀγοράν, ἔπειτα
πρὸς τὴν ἄνω πόλιν ἐλθὼν ἀντικρὺ τῆς βασιλικῆς αὐλῆς ἐστρατο-
531 *πεδεύετο. κἂν εἴπερ ἠθέλησεν κατ' αὐτὴν ἐκείνην τὴν ὥραν ἐντὸς*
τῶν τειχέων βιάσασθαι, παραυτίκα τὴν πόλιν ἔσχεν καὶ τὸν πόλε-
μον συνέβη καταλελύσθαι· ἀλλὰ γὰρ ὅ τε στρατοπεδάρχης Τυράν-
νιος Πρίσκος καὶ τῶν ἱππάρχων οἱ πλεῖστοι χρήμασιν ὑπὸ Φλώρου
532 *δεκασθέντες ἀπέστρεψαν αὐτὸν τῆς ἐπιχειρήσεως. καὶ παρὰ τὴν*
αἰτίαν ταύτην ὅ τε πόλεμος ἐπὶ τοσοῦτον μῆκος προύβη καὶ ἀνη-
κέστων Ἰουδαίους συμφορῶν ἀναπλησθῆναι συνέπεσεν.
533 *5. Ἐν δὲ τούτῳ πολλοὶ τῶν γνωρίμων δημοτῶν Ἀνάνῳ τῷ*
Ἰωνάθου παιδὶ πειυθέντες ἐκάλουν τὸν Κέστιον ὡς ἀνοίξοντες

PAMLVRC Lat Hegesipus II 15 p. 161.

1 *ἐπῆγεν*] *ἦγεν* (*ἦγε* A) PAL *in eos duxit* Lat *μέχρισ* LV² 2 *κατεδίωξε* MVRC 3 *δὲ* VRC *ἑπτὰ*] ad *tertium* stadium appropinquasse Cestium narrat Heg, locum non nominat 4 *ἐπιχειρεῖ* L *ἔνδοθεν* P *ἐνδο·θήσεσθαι* A *ἐνδοθήσεσθαι*, litt. *εσθ* solito angustius scriptae M 5 *πολλοὺσ* C Hyperberetaei 30. dies est 17. Nouembris (XV k. Dec.) anni Iuliani (66 p. Chr.) 6 *ὑπερβέρεταίου* (s. m. rec.) P *ὑπερβεραιταίου* V *octobris* Lat 7 *εἰσήγαγεν* MVRC 8 *φρουρὸσ* L *στασιασταὶ δὲ* tr. VRC 10 *μερῶν τῆσ πόλεωσ* tr. VRC *εἶκον*] *ἦκον* (*ἦ* ex *ἦ* corr. V) A¹V 11 *ὑπεμπίπρησι* (*σι* ex *σαι* corr. C) VC *ὑπεμπίμπρησι* R *Βεθεζὰν*] Niese ut supra § 328 *βηθεσδὰν* P *βεσδαθὰν* A *βεσδαθὰν* L *βεζεθὰν* MVRC *bedestham* Lat *bethesdam* cod. C *bethsaidam* cod. A Heg *Βεζεθὰν προσαγορευομένην τὴν καὶ Καινόπολιν* ex V 151 (4, 2) Relandus 12 post *τὴν* deletum *ἂν* V 13 *ἀντικρυσ* L *ἐστρατοπεδεύσατο* V 14 *κἂν*] *καὶ* P 15 *τειχῶν* VRC *ἔσχεν*] *εἶχεν* L

16 *καταλύεσθαι* PAML 17 *ἱππάρχων*, *ι* i. ras. corr. A 18 *δεκασθέντες*] L *δελεασθέντεσ* PAMVRC *corrupti* Lat Heg *ἐποφθαρέντεσ* i. marg. L *αὐτῶν* C *καὶ* — 19 *προύβη* om. Lat 19 *τοσοῦτο* L¹ 20 *ἰουδαίοισ* P *ἰουδαίουσ ἀνηκέστων* tr. VRC 21 *δημοτῶν*, *ημ* i. ras., *ο* ex *ω* corr. C *τῷ*] *τοῦ* V *Ἀνάνῳ* — 22 *πεισθέντες*] *ananias uanathias* cod. Vat. *ananias uanati filii* cod. Berol. *ananus Ionathae filius* ed. Bas. Lat 22 *ἰωνάθα* (*α* repictum) A

αὐτῷ τὰς πύλας. ὁ δὲ καὶ πρὸς ὀργὴν ὑπεριδὼν καὶ μὴ πάνυ 534
πιστεύσας διεμέλλησεν, ἕως οἱ στασιασταὶ τὴν προδοσίαν αἰσθό-
μενοι τοὺς μὲν περὶ τὸν Ἴανον ἀπὸ τοῦ τείχους κατέβαλον καὶ
λίθοις παίοντες συνέλασαν εἰς τὰς οἰκίας, αὐτοὶ δὲ διαστάντες
ἀπὸ τῶν πύργων τοὺς ἀποπειρωμένους τοῦ τείχους ἔβαλλον. πέντε 535
μὲν οὖν ἡμέρας πάντοθεν ἐπιχειροῦσιν τοῖς Ῥωμαίοις ἀμήχανος
ἦν ἡ προσβολή, τῇ δ' ἐπιούσῃ ἀναλαβὼν ὁ Κέστιος τῶν τε ἐπι-
λέκτων συχνοὺς καὶ τοὺς τοξότας κατὰ τὸ προσάρκτιον ἐπεχείρει
κλίμα τῷ ἱερῷ. Ἰουδαῖοι δὲ ἀπὸ τῆς στοᾶς εἶργον, καὶ πολλάκις 536
μὲν ἀνεκρούσαντο τοὺς τῷ τείχει προσελθόντας, τέλος δὲ τῷ πλήθει
τῶν βελῶν ἀνακοπέντες ὑπεχώρησαν. τῶν δὲ Ῥωμαίων οἱ πρῶτοι 537
τοὺς θυρεοὺς ἐξερείσαντες εἰς τὸ τεῖχος καὶ κατὰ τούτων οἱ κατόπιν
ἄλλους οἵ τε ἑξῆς ὁμοίως τὴν καλουμένην παρ' αὐτοῖς χελώνην
ἐφράξαντο, καθ' ἧς τὰ βέλη φερόμενα περιωλίσθανεν ἄπρακτα,
μηδὲν δὲ οἱ στρατιῶται κακούμενοι τὸ τεῖχος ὑπέσυρον καὶ τοῦ
ἱεροῦ τὴν πύλην ὑποπιμπράναι παρεσκευάζοντο.

6. Δεινὴ δὲ τοὺς στασιαστὰς ἔκπληξις κατέλαβεν· ἤδη δὲ 538
πολλοὶ διεδίδρασκον ἀπὸ τῆς πόλεως ὡς ἁλωσομένης αὐτίκα. τὸν
δὲ δῆμον ἐπὶ τούτοις συνέβαινεν θαρρεῖν, καὶ καθὸ παρείκοιεν οἱ
πονηροί, προσίεσαν αὐτοὶ τὰς πύλας ἀνοίξοντες καὶ δεξόμενοι τὸν
Κέστιον ὡς εὐεργέτην. ὃς εἰ βραχὺ τῇ πολιορκίᾳ προσελιπάρησεν, 539
κἂν εὐθέως τὴν πόλιν παρέλαβεν· ἀλλ' οἶμαι διὰ τοὺς πονηροὺς
ἀπεστραμμένος ὁ θεὸς ἤδη καὶ τὰ ἅγια τέλος λαβεῖν ἐπ' ἐκείνης
τῆς ἡμέρας ἐκώλυσεν τὸν πόλεμον.

PAMLVRC Lat Hegesippus II 15 p. 161.

2 *διμέλησεν* P *διεμέλησεν* A *διμέλλησεν* L^2 *neglexit* Lat *αἰσθανόμενοι* L^1 3 *τὸν ἄνανον* (litteris *νάν* inductae sunt correcturae quas non expedio) A *ἀπὸ*] *ἐπὶ* VRC *de* Lat 5 *ἀποπειρομένους* P *ἀποπειραμένους* R et ut uid.V^1 *τείχους*] *τείχουσ ἀπὸ τῶν πύργων* P 6 *ἀμήχανον* R 7 *δὲ* VRC 8 *ἐπεχείρει, πε* ex *πι* corr. P *ἐπιχειρεῖ* VR 9 *εἶργον* P et ex corr. AL *πολλάκι* V *πολλάκις* R 10 *τὸ τείχει* L^1 *πλείθει* C 11 *ἀποκοπέντεσ* L *ἀνεχώρησαν* PAML 12 *ἐξαιρήσαντεσ* PA *καὶ* om. L^1 *τούτων, τού* s. P 14 *περιωλίσθαινεν* (*ω* ex *ο* corr. V) MVC^2 *περιολίσθα* C^1 15 *μηδὲν δὲ οἱ*] *οἱ δὲ* VR *δὲ*] suppl. A *δ'* LC *καλούμενοι* R et i. marg. m. 2 V *ὑπέσυρον*] *ὑπώρυσσον* MLVRC 16 *ὑποπιπράναι* C 17 *ἤδη τε* Destinon 18 *ἁλωσομένης*] *ἁλουμένησ* P *ἁλουμενής* A, unde *ἀναλουμένης* uel *ἀπολουμένης* suspicatur Destinon 19 *συνέβαινεν ἐπὶ τούτοισ* tr. VRC *καθὸ, ο* ex *ω* aut *α* corr. L *παρήκοιεν* PA 20 *προσίεσαν* PA *ἀνοίξαντεσ* M *δεξάμενοι* L 21 *εἰ* om. L^1 post *πολιορκίᾳ* deletum *παρέλαβεν* C 22 *παρέλαβε, ρέλαβε* repictum A *ἀλλ'* — 24 *πόλεμον*] *sed credo iam tunc infestus pessimis deus, eiusque sancta illo die finem bello dari prohibuerunt* Lat 23 *ἐπ' ἐκείνης* repictum A

540 7. Ὁ γοῦν Κέστιος οὔτε τὴν τῶν πολιορκουμένων ἀπόγνωσιν
οὔτε τοῦ δήμου τὸ φρόνημα συνιδὼν ἐξαίφνης ἀνεκάλεσεν τοὺς
στρατιώτας καὶ καταγνοὺς ἐπ᾽ οὐδεμιᾷ πληγῇ τῶν ἐλπίδων παρα-
541 λογώτατα ἀπὸ τῆς πόλεως ἀνέζευξεν. πρὸς δὲ τὴν ἀδόκητον αὐτοῦ
τροπὴν ἀναθαρσήσαντες οἱ λῃσταὶ κατὰ τῶν ὑστάτων ἐπεξέδραμον 5
542 καὶ συχνοὺς τῶν ἱππέων καὶ πεζῶν διέφθειραν. τότε μὲν οὖν ἐν
τῷ κατὰ τὸν Σκοπὸν αὐλίζεται στρατοπέδῳ Κέστιος, τῇ δ᾽ ἐπιούσῃ
προσωτέρω χωριζόμενος μᾶλλον ἐξεκαλέσατο τοὺς πολεμίους, καὶ
τοὺς ὑστάτους αὐτῶν προσκείμενοι διέφθειρον καὶ καθ᾽ ἑκάτερον
543 τῆς ὁδοῦ περιιόντες ἠκόντιζον εἰς πλαγίους. οὔτε δὲ ἐπιστραφῆναι 10
πρὸς τοὺς κατόπιν τιτρώσκοντας ἐθάρρουν οἱ τελευταῖοι ἄπειρόν
τι πλῆθος οἰόμενοι διώκειν καὶ τοὺς κατὰ πλευρὸν ἐγκειμένους
ἀναστέλλειν οὐχ ὑπέμενον, αὐτοὶ μὲν ὄντες βαρεῖς καὶ δεδοικότες
τὴν τάξιν διασπᾶν, τοὺς δὲ Ἰουδαίους ὁρῶντες κούφους καὶ πρὸς
τὰς ἐπιδρομὰς εὐκόλους· ὥστε συνέβαινεν αὐτοῖς πολλὰ κακοῦσθαι 15
544 μηδὲν ἀντιβλάπτουσιν τοὺς ἐχθρούς. παρ᾽ ὅλην δὲ τὴν ὁδὸν παιό-
μενοι καὶ τῆς φάλαγγος ἐκσειόμενοι κατέπιπτον, μέχρι πολλῶν
διαφθαρέντων, ἐν οἷς ἦν Πρῖσκος μὲν στρατάρχης τάγματος ἕκτου,
Λογγῖνος δὲ χιλίαρχος, ἔπαρχος δὲ ἴλης Αἰμίλιος Ἰούκουνδος ὄνομα,
μόλις εἰς Γαβαὼν κατήντησαν ἐπὶ τὸ πρότερον στρατόπεδον, τὰ 20
545 πολλὰ καὶ τῶν σκευῶν ἀποβαλόντες. ἔνθα δύο μὲν ἡμέρας ἐπέ-
μεινεν ὁ Κέστιος ἀμηχανῶν, ὅ τι χρὴ ποιεῖν, τῇ τρίτῃ δὲ πολλῷ
πλείους τοὺς πολεμίους θεασάμενος καὶ πάντα τὰ κύκλῳ μεστὰ

PAMLVRC Lat Hegesippus II 15 p. 162.

1 *κέστιος οὔτε* ex *κέστιος* corr. m. 2 L *οὔτε* om. L¹C *πολιορ·κουμένων* P 2 *τὸ φρόνημα τοῦ δήμου* tr. VRC i. marg. *μ̄* V *συνιδὼν*] *κατιδὼν*, *κατ̈* repictum A post *ἐξαίφνης* deletum *γνοὺς* C 3 *οὐδεμιᾷ*, *οὐ* ex *ι* corr. P 4 *ἀνέζευξεν*] *ἀναζεύξας* et i. marg. *ἀνέζευξεν* L

5 *προτροπὴν* PAML *τρο·π̄ὴν* C *ἀναθαρρήσαντες* VRC *ὑπεξέδραμον* M

ἐξέδραμον ALVRC 6 *τῶν* ex *ἱππέων* corr. M *πεζοὺς* L¹ 7 *σ̄κοπον* R *στρατοπέδῳ αὐλίζεται* tr. VRC *δὲ* VRC 8 *προσωτέρω* P *προσωτέρῳ* V *χωριζόμενος* A *καὶ τοὺς* — 10 *πλαγίους*] *tamquam postremis adpositi multos necabant quam* (*cum* alii codd.) *utraque itineris parte uallata in transuersos tela iactabant* Lat 9 *διέφθειραν* A *καὶ* om. VRC *ἑκάτερον*] *ἕτερον δὲ* VRC 10 *περιόντες*] *προσιόντες* VRC 11 *ἐθάρρουν* C¹ 12 *πλευρὰν* LVC 15 *εὐκόλους*, *εὐ* i. ras. A *αὐτοῖς* PL¹ 17 *καὶ* — *ἐκσειόμενοι* i. marg. suppl. M 18 *πρίσκος* codd. *μὲν πρίσκος* tr. L 19 *λογγῖνος*, *σ* ex *ν* corr. C *ἔ-παρχος* R *ἴλης* PAL²C *εἴλης* L¹ *εἴλης* R *·ἴλης* V *αἰμίλιος* AC *ἰουκούνδος* P *ἰουκοῦνδος* VC *ὄνμα* L¹ *ὀνόματι* VR *ὄνομα᾽* C 20 *μόγις* VRC *γαβαὼ* MLVRC *gabao* (acc.) Lat 23 *μεστὰ*, *εστ* i. ras. 1—2 litt. m. 2 R

Ἰουδαίων ἔγνω καθ' ἑαυτοῦ τε βραδύνας κἂν ἔτι μείνῃ πλείοσιν χρησόμενος ἐχθροῖς.

8. Ἵνα δὲ συντονωτέρᾳ χρήσαιτο φυγῇ, τὰ τὴν στρατιὰν ἀνθέλ- 546
κοντα περικόπτειν προσέταξεν. διαφθαρέντων δὲ τῶν τε ὀρέων καὶ τῶν ὄνων ἔτι δὲ καὶ τῶν ὑποζυγίων πλὴν ὅσα βέλη παρεκόμιζεν καὶ μηχανάς, τούτων γὰρ διὰ τὴν χρείαν περιείχοντο καὶ μάλιστα δεδοικότες, μὴ Ἰουδαίοις κατ' αὐτῶν ἅλῳ, προῆγε τὴν δύναμιν ἐπὶ Βεθώρων. οἱ δὲ Ἰουδαῖοι κατὰ μὲν τὰς εὐρυχωρίας ἧττον 547
ἐπέκειντο, συνειληθέντων δὲ εἰς τὰ στενὰ καὶ τὴν κατάβασιν οἱ μὲν φθάσαντες εἶργον αὐτοὺς τῆς ἐξόδου, ἄλλοι δὲ τοῖς ἑστάσιν κατεώθουν εἰς τὴν φάραγγα, τὸ δὲ πᾶν πλῆθος παρεκταθὲν ὑπὲρ τὸν αὐχένα τῆς ὁδοῦ κατεκάλυπτε τὴν φάλαγγα τοῖς βέλεσιν. ἔνθα 548
καὶ τῶν πεζῶν ἀμηχανούντων προσαμύνειν ἑαυτοῖς ἐπισφαλέστερος τοῖς ἱππεῦσιν ὁ κίνδυνος ἦν· οὔτε γὰρ ἐν τάξει κατὰ τῆς ὁδοῦ βαδίζειν ἐδύναντο βαλλόμενοι, καὶ τὸ πρόσαντες ἐπὶ τοὺς πολεμίους ἱππάσιμον οὐκ ἦν· τὸ δὲ ἐπὶ θάτερα χρημνοὶ καὶ φάραγγες, εἰς 549
οὓς ἀσφαλέντες κατεφθείροντο, καὶ οὔτε φυγῆς τις τόπον οὔτε ἀμύνης εἶχεν ἐπίνοιαν, ἀλλ' ὑπ' ἀμηχανίας ἐπ' οἰμωγὴν ἐτράποντο καὶ τοὺς ἐν ἀπογνώσεσιν ὀδυρμούς· ἀντίκει δ' αὐτοῖς τὸ παρὰ

PAMLVRC Lat Hegesippus II 15 p. 163.

1 τε om. M βραδύνων MVRC καὶ ἐὰν VRC ἔτι μείνῃ] ἐπιμένοι VRC 2 χρησάμενος, σ finale ex ι corr. P ἐχθροῖς χρησόμενος tr. L 3 δὲ] δὴ L *itaque* Lat συντονωτέρᾳ] Dindorf συντομωτέρα codd. Lat 4 διαφθαρέντων — 5 ὑποζυγίων] *occisisque tunc mulis atque asinis aliisque iumentis* Lat διαφθαρέντων — 7 ἅλῳ] *caesa iumenta, pleraque uehicula comminuta aliaque huiusmodi, quae oneri magis quam usui in periculis erant, consumpta aut praecipitata, ut obsidionum instrumenta aut genera telorum, quibus rebus amplius terrebantur, ne aduersum se hostem suis subsidiis armarent* Heg τε] s. P om. A τότε L^1 ὀρέων] i. marg. ἡμιόνων R ὀρέων · · · · · · · , i. marg. γρ οὐρίων τουτέστιν ἡμιόνων Lips 5 καὶ τῶν ὄνων ἔτι δὲ om. VRC ὄνων] ἡμιόνων LM καὶ (post δὲ) om. AM 6 διὰ τὴν] ἐπὶ VR et fort. Lat in quo est *uelut usui futura* περιείχετο et δεδοικὼς uertit Lat 7 ἅλῳ MVRC προσῆγε PAL *antecedebat* (*exercitum*) Lat 8 ἐπὶ] κατὰ PAML *uersus* Lat βεθωρῶν A βαιθώρων M βαιθώρασ VRC *bethoron* (acc.) Lat δὲ] δαὶ C τὴν εὐρυχωρίαν V 9 δ' L τὰ στενὰ καὶ τὴν κατάβασιν] PAL Lat τὴν κατὰ τὰ στενὰ κατάβασιν MVRC 10 φθάσαντας uertit Lat ut uid. εἶργον P et ex corr. AL ἄλλοι — 11 φάραγγα] *alii postremos super agmen impingere* Lat 11 φάραγγον V 12 φάλαγγα] φάραγγα PAML *militem* Lat 17 κατεφθείροντο] PAMLLat κατεφέροντο VRC *deuoluebantur* Heg καὶ — 18 ἐπίνοιαν] *nullusque locus aut fugiendi aut ulciscendi rationem habebat* Lat τις om. RC τόπος PA 18 εἶχον RC 19 δὲ VRC

Ἰουδαίων ἐγκέλευσμα καὶ κραυγὴ χαιρόντων ἅμα καὶ τεθυμωμένων.
550 ὀλίγου δὲ δεῖν πᾶσαν ἀνήρπασαν τὴν ἅμα Κεστίῳ δύναμιν, εἰ μὴ
νὺξ ἐπέλαβεν, ἐν ᾗ Ῥωμαῖοι μὲν εἰς τὴν Βεθώραν κατέφυγον, Ἰου-
δαῖοι δὲ πάντα τὰ κύκλῳ περισχόντες ἐφρούρουν αὐτῶν τὴν ἔξοδον.
551 9. Ἔνθα δὴ Κέστιος τὴν φανερὰν ὁδὸν ἀπογνοὺς δρασμὸν
ἐβουλεύετο καὶ διακρίνας τοὺς εὐψυχοτάτους στρατιώτας ὡσεὶ τετρα-
κοσίους ἐπέστησεν τῶν δωμάτων, προστάξας ἀναβοᾶν τὰ σημεῖα
τῶν ἐν τοῖς στρατοπέδοις φυλάκων, ὅπως Ἰουδαῖοι πᾶσαν οἴωνται
τὴν δύναμιν κατὰ χώραν μένειν· αὐτὸς δὲ τοὺς λοιποὺς ἀναλαβὼν
552 ἡσυχῇ τριάκοντα πρόεισιν σταδίους. ἔωθεν δὲ Ἰουδαῖοι κατιδόντες
ἔρημον τὴν ἔπαυλιν αὐτῶν ἐπὶ τοὺς ἑξαπατήσαντας τετρακοσίους
ἔδραμον, κἀκείνους μὲν ταχέως κατηκόντισαν, ἐδίωκον δὲ τὸν Κέστιον.
553 ὁ δὲ τῆς τε νυκτὸς οὐκ ὀλίγον προειλήφει καὶ συντονώτερον ἔφευγεν
μεθ' ἡμέραν, ὥστε τοὺς στρατιώτας ὑπ' ἐκπλήξεως καὶ δέους τάς
τε ἑλεπόλεις καὶ τοὺς ὀξυβελεῖς καὶ τὰ πολλὰ τῶν ἄλλων ὀργάνων
καταλιπεῖν, ἃ τότε Ἰουδαῖοι λαβόντες αὖθις ἐχρήσαντο κατὰ τῶν
554 ἀφέντων. προῆλθον δὲ τοὺς Ῥωμαίους διώκοντες μέχρι Ἀντιπα-
τρίδος. ἔπειθ' ὡς οὐ κατελάμβανον, ὑποστρέφοντες τάς τε μηχανὰς
ἦρον καὶ τοὺς νεκροὺς ἐσύλων τήν τε ἀπολειφθεῖσαν λείαν συνῆγον
555 καὶ μετὰ παιάνων εἰς τὴν μητρόπολιν ἐπαλινδρόμουν, αὐτοὶ μὲν
ὀλίγους ἀποβεβλημένοι παντάπασιν, τῶν δὲ Ῥωμαίων καὶ τῶν
συμμάχων πεζοὺς μὲν πεντακισχιλίους καὶ τριακοσίους ἀνῃρηκότες,

---

PAMLVRC Lat Hegesippus II 15 p. 164.

1 *ἐγκέλευσμα*, i. marg. *γρ ἐγκάλυμμα* L 2 *ἀνήρπασαν*] *ἂν ἥρπασαν* PM *ἥρπασαν* VRC 3 *Βεθώραν*] *βαθώραν* MRC *βεθώραν* V *bethoron* LatHeg cf. § 516 sq. 6 *εὐψυχωτάτους* A *στρατιώ·τασ* V *ὡσεὶ*] *ὡς εἰσ* AML *εἰσ* VRC *τετρακοσίους*] *quadraginta* Heg 7 *τῶν δωμάτων*] *τῶν ὀχυρωμάτων* VR *τοῖσ ὀχυρώμασι* C *tectorum fastigiis* Lat *in munitionibus* Heg 7 *ἀναβοᾶν — 8 φυλάκων*] *ἀναβάντασ σημαίασ τῶν ἐν τοῖσ στρατοπέδοισ φυλάκων ἱστᾶν* VRC *vigilum, qui in castris excubarent, signa clamare* Lat, *ut tota nocte cum strepitu maximo officia praetendentium vallo circumsonarent* Heg *ἔν τισιν οὕτωσ εὕρηται· προστάξασ ἀναβάντασ σημαίασ τῶν ἐν τοῖσ στρατοπέδοισ φυλάκων ἱστᾶν* i. marg. M 8 *Ἰουδαῖοι*] *οἱ Ἰουδαῖοι* AMLVRC *οἴονται* PAC *οἴωνται*, i. marg. *γρ οἰόν τε* m. 2 V 9 *αὐτὸς*] *αὐτοὺσ* ML¹ 10 *δὲ οἱ Ἰουδαῖοι* AML 11 *ἔπαυλιν*] *αὐλὴν* PAL ante *τετρακοσίους* ras. 3—4 litt. C 13 *τε* om. PL *ἔφευγεν*] *ἤλαυνε* ed. pr. 15 *ἑλεπόλεισ* PALV *πολλὰ*] *λοιπὰ* VRC 17 *μέχρισ* MLVRC et ex corr. A 18 *ἔπειτα* VRC 19 *ἐσύλουν* PA¹ 21 *παντάπασιν*] om. Lat *παντάσιν* (*πα* s. i. ras.) A *καὶ* om. PALLat 22 *καὶ τριακοσίους* om. Heg

ἑπτὰς δὲ ὀγδοήκοντα καὶ τετρακοσίους. τάδε μὲν οὖν ἐπράχθη Δίου μηνὸς ὀγδόῃ δωδεκάτῳ τῆς Νέρωνος ἡγεμονίας ἔτει.

XX. 1. Μετὰ δὲ τὴν Κεστίου συμφορὰν πολλοὶ τῶν ἐπιφανῶν 556
Ἰουδαίων ὥσπερ βαπτιζομένης ἡρὸς ἀπενίζοντο τῆς πόλεως. Κοσιό-
βαρος γοῦν καὶ Σαοῦλος ἀδελφοὶ σὺν Φιλίππῳ τῷ Ἰακίμου, στρα-
τοπεδάρχης δ' ἦν οὗτος Ἀγρίππα τοῦ βασιλέως, διαδράντες ἐκ τῆς
πόλεως ᾤχοντο πρὸς Κέστιον· ὁ δὲ σὺν τούτοις κατὰ τὴν βασι- 557
λικὴν αὐλὴν πολιορκηθεὶς Ἀντίπας ὑπεριδὼν τὴν φυγὴν αὖθις ὡς
ὑπὸ τῶν στασιαστῶν διεφθάρη διηλώσομεν. Κέστιος δὲ τοὺς περὶ 558
Σαοῦλον ἀξιώσαντας ἀνέπεμψεν εἰς Ἀχαΐαν πρὸς Νέρωνα τήν τε
αὐτῶν διηλώσοντας ἀνάγκην καὶ τὰς αἰτίας τοῦ πολέμου τρέψοντας
εἰς Φλῶρον· τὴν γὰρ ἐπ' ἐκεῖνον ὀργὴν κουφίσειν καὶ τοὺς ἑαυτοῦ
κινδύνους ἤλπισεν.

2. Κἀν τούτῳ Δαμασκηνοὶ τὴν τῶν Ῥωμαίων φθορὰν πυθό- 559
μενοι τοὺς παρ' ἑαυτοῖς Ἰουδαίους ἀνελεῖν ἐσπούδασαν. καὶ καθὸ 560
μὲν εἶχον αὐτοὺς ἐν τῷ γυμνασίῳ συνηθροισμένους πάλαι διὰ τὰς
ὑποψίας τοῦτο πραγματευσάμενοι, ῥᾴστην τὴν ἐπιχείρησιν ἐδόκουν·
ἐδεδοίκεισαν δὲ τὰς ἑαυτῶν γυναῖκας ἁπάσας πλὴν ὀλίγων ὑπεγ-
μένας τῇ Ἰουδαϊκῇ θρησκείᾳ· διὸ μέγιστος αὐτοῖς ἀγὼν ἐγένετο 561
λαθεῖν ἐκείνας. τοὺς δὲ Ἰουδαίους ὡς ἂν ἐν στενῷ χωρίῳ τὸν

PAMLVRCLatHegesippus II 16 p. 165.

1 *ὀγδοήκοντα καὶ τριακοσίους* AM *τριακοσίους καὶ ὀγδοήκοντα* VRC *nongentis et octoginta* Lat *trecenti* Heg *τάδε*] *ταῦτα* VRC 2 *Δίου*] *nouembris* Lat Dii 8. dies est 25. Nouembris (VII k. Dec.) anni Iuliani (66 p. Chr.) *ὀγδόῃ* om. V spatio circiter 4 litt. uacuo relicto *δωδεκάτῳ — ἔτει*] om. V, i. marg. suppleta sunt haec: *ιβ ἔτει τῆσ νέρωνοσ ἡγεμονίασ νοεμβρίου* *ἔτει τῆσ νέρωνοσ ἡγεμονίασ* tr. RC 4 *νεὼσ* LVRC *κωστόβαροσ* R *castabarus* Lat *custobarus* Heg 5 *οὖν* VRC *καὶ*] *καὶ ὁ* L *σαοῦλοσ* MRC *ἰακίμου* V *ἰωακείμου* C 6 *δὲ* VRC 8 *αὖθις*] infra IV 140 (3, 4) 9 *διεφθάρη*] i. marg. suppl. A *διεφθάρει* ex corr. P *δηλώσωμεν* PA¹ 10 *σαοῦλον* MRC *ἀξιώσαντας*] om. Lat *ἀξιώσοντασ* L¹ et ex corr. A 11 *αὐτῶν* Bekker *δηλώσαντασ* A¹ *δηλώσοντα* R¹ *ἀνάγκην*] *φυγὴν* VRC *necessitatem* Lat *αὖθισ ὡσ ὑπὸ τῶν στασιαστων διεφθάρη* post *φυγὴν* ex u. 8 iterata deleuit C 12 *τὴν* — 13 *ἤλπισεν*] *sperauit enim et iram in illum excitatum iri et sua pericula submouenda* Lat *τὴν*] *τήν τε* VR *τῇ* C *ὀργῇ* C *κουφήσειν* R *ἤλπισε* MVRC 14 i. marg. *ιᾱ* VC 15 *ἐσπούδασαν*, *ἐ* suppl. A *ἐσπόδασαν* C¹ 16 *γνυμνασίω* A *πάλαι συνηθροισμένουσ* tr. VRC *τὰς*] *τῆσ* VRC 18 *ἐδεδοίκεσαν* VRC

ἀριθμὸν μυρίους καὶ πεντακοσίους πάντας ἀνόπλους ἐπελθόντες
ὑπὸ μίαν ὥραν ἀδεῶς ἀπέσφαξαν.

562 3. Οἱ δὲ διώξαντες τὸν Κέστιον ὡς ὑπέστρεψαν εἰς Ἱεροσό-
λυμα, τοὺς μὲν βίᾳ τῶν ἔτι ῥωμαϊζόντων τοὺς δὲ πειθοῖ προσή-
γοντο, καὶ συναθροισθέντες εἰς τὸ ἱερὸν στρατηγοὺς ἀπεδείκνυσαν
563 τοῦ πολέμου πλείονας. ἦρέθη δὲ Ἰώσηπός τε υἱὸς Γωρίονος καὶ
ὁ ἀρχιερεὺς Ἄνανος τῶν τε κατὰ τὴν πόλιν ἁπάντων αὐτοκράτορες
564 καὶ μάλιστα τὰ τείχη τῆς πόλεως ἀνεγείρειν· τὸν γὰρ τοῦ Σίμωνος
υἱὸν Ἐλεάζαρον καίπερ ὑφ' ἑαυτῷ πεποιημένον τὴν Ῥωμαίων λείαν
καὶ τὰ ἁρπαγέντα Κεστίου χρήματα, πρὸς οἷς πολλὰ τῶν δημοσίων
θησαυρῶν, ὅμως οὐκ ἐπέστησαν ταῖς χρείαις αὐτόν τε τυραννικὸν
ὁρῶντες καὶ τοὺς ὑπ' αὐτῷ ζηλωτὰς δορυφόρων ἔθεσι χρωμένους.
565 κατ' ὀλίγον γε μὴν ἥ τε χρεία τῶν χρημάτων καὶ γοητεύων Ἐλεά-
ζαρος ἐκπεριῆλθε τὸν δῆμον ὥστε αὐτῷ πειθαρχεῖν περὶ τῶν ὅλων.
566 4. Εἰς δὲ τὴν Ἰδουμαίαν ἑτέρους ἐπελέξαντο στρατηγοὺς
Ἰησοῦν υἱὸν Σαπφᾶ τῶν ἀρχιερέων ἕνα καὶ Ἐλεάζαρον ἀρχιερέως
υἱὸν Νέου· τῷ δ' ἄρχοντι τότε τῆς Ἰδουμαίας Νίγερι, γένος δ'
ἦν ἐκ τῆς περὶ Ἰορδάνην Περαίας, διὸ καὶ Περαίτης ἐκαλεῖτο, προσ-
567 έταξαν ὑποτάσσεσθαι τοῖς στρατηγοῖς. ἠμέλουν δὲ οὐδὲ τῆς ἄλλης
χώρας, ἀλλ' εἰς μὲν Ἱεριχοῦν Ἰώσηπος ὁ Σίμωνος, εἰς δὲ τὴν
Περαίαν Μανασσῆς, Θαμνᾶ δὲ τοπαρχίας Ἰωάννης ὁ Ἐσσαῖος στρα-
τηγήσων ἐπέμφθη· προσεκλήρωτο δ' αὐτῷ Λύδδα καὶ Ἰόππη καὶ
568 Ἀμμαοῦς. τῆς δὲ Γοφνιτικῆς καὶ Ἀκραβεττηνῆς ὁ Ἀνανίου Ἰωάν-

---

PAMLVRC Lat Hegesippus II 17 p. 166 III 3 p. 174.

1 *μυρίους*] *ὄντας μυρίους* VRC *πεντακοσίους* om. RC Lat Heg *ἐπελθόντας* P 2 *ἔσφαξαν* VRC 4 *ῥωμαϊζόντων, ζό* i. ras. A *πειθῶ* PA¹M 5 *ἀπεδείκνυσαν*] *ἀπέδειξαν* ed. pr. 6 *εὑρέθη* PA *ἠρέθη* LVR *iosippus* Lat *τε* om. AVRC *γορίωνος* M *γωρίωνος* LVRC *gurionis* Lat 9 *ἑαυτῶν πεποιημένων* L¹ *ἑαυτὸν πεποιημένον* L² 12 *ὑφ' ἑαυτῷ* LVRC 16 *ἰησοῦν, η* i. ras. maiore A *ἰησοῦν τε* VRC *σαπφῶ* PAM *σαπφὰν* LR *σαπφᾶν* V *saffia* Lat *Σαπφία* Hudson cl. infra § 599. uit. 66. 134 17 *Νέου*] *ναίου* C, om. Lat Heg *Ἀνανίου* Hudson; cf. supra p. 232, 2, ubi *ἐνναίου* tradit L *δὲ* VRC *ἄρχοντι, ι* i. ras. m. 2 R *τότε* om. L *δὲ* VRC 18 *περὶ*] *ὑπὲρ* Destinon et Niese *Ἰορδάνην, Ἰο* i. ras. unius litt. m. 2 R *euphraten* Heg *ἐπεκαλεῖτο* VR *προσέταξεν* L 19 *ὑποτάσσεσθαι* A *ὑποτάσσεσθαι τότε* LVRC 20 *Ἱεριχοῦντα* MVRC *hierichunta* Lat *hiericho* (nom.) Heg *ὁ Ἰώσηπος* A *iosippus* Lat 21 *μανασσῆς* (litt. *ιμο* deletae) C *μανασσήσ* R *Θαμνα* PAR *δὲ* om. VR et fort. Lat, in quo est *et trans flumen manasses thapnas et iohannes essaeus toparchias administraturi directi sunt* 22 *ἐπέφθη* R¹C¹ *δὲ* VRC 23 *ἀμμαούσ* AM *ἀμαοῦσ* L *γνοφιτικῆσ* VR *ἀκραβεττινῆσ* (*ι* ex *η* corr. L) PAL *ἀκραβετηνῆσ* M *ἀκραμβητινῆσ* V *ἀκραβατηνῆσ* R *ἀκραβατηνῆσ* C *acrabatinae* Lat *ὁ Ἀνανίου Ἰωάννης* i. marg. suppl. L *Ἀνανίου*] *annae* Lat

τῆς ἐγγεμὼν ἀποδείξηται καὶ τῆς Γαλιλαίας ἑκατέρας Ἰώσηπος Ματθίου· προσώριστο δὲ τῇ τούτου στρατηγίᾳ καὶ Γάμαλα τῶν ταύτῃ πόλεων ὀχυρωτάτη.

5. *Τῶν μὲν οὖν ἄλλων στρατηγῶν ἕκαστος ὡς εἶχεν προθυ-* 569
μίας ἢ συνέσεως διφκει τὰ πεπιστευμένα· Ἰώσηπος δὲ εἰς τὴν Γαλιλαίαν ἐλθὼν πρῶτον ἐφρόντισεν τῆς εἰς ἑαυτὸν εὐνοίας τῶν ἐπιχωρίων, εἰδὼς ὅτι ταύτῃ πλεῖστα κατορθώσει, κἂν τἆλλα διαμαρτάνῃ. συνιδὼν δὲ ὅτι τοὺς μὲν δυνατοὺς οἰκειώσεται μεταδι- 570
δοὺς τῆς ἐξουσίας αὐτοῖς, τὸ δὲ πᾶν πλῆθος εἰ δι' ἐπιχωρίων καὶ συνήθων τὰ πολλὰ προστάσσοι, τῶν μὲν γηραιῶν ἑβδομήκοντα τοὺς σωφρονεστάτους ἐπιλέξας ἐκ τοῦ ἔθνους κατέστησεν ἄρχοντας ὅλης τῆς Γαλιλαίας, ἑπτὰ δὲ ἐν ἑκάστῃ πόλει δικαστὰς τῶν εὐτελεστέ- 571
ρων διαφόρων· τὰ γὰρ μείζω πράγματα καὶ τὰς φονικὰς δίκας ἐφ' ἑαυτὸν ἀναπέμπειν ἐκέλευσεν καὶ τοὺς ἑβδομήκοντα.

6. *Καταστησάμενος δὲ τὰ πρὸς ἀλλήλους νόμιμα τῶν κατὰ* 572
πόλιν ἐπὶ τὴν ἔξωθεν αὐτῶν ἀσφάλειαν ἐχώρει. καὶ γινώσκων 573
Ῥωμαίους προεμβαλοῦντας εἰς τὴν Γαλιλαίαν τὰ ἐπιτήδεια τῶν χωρίων ἐτείχιζεν, Ἰωτάπατα μὲν καὶ Βηρσαβὲ καὶ Σελάμιν, ἔτι δὲ Καφαρεχχὼ καὶ Ἰαφὰ καὶ Σιγὼφ τό τε Ἰταβύριον καλούμενον

§ 573 sq. = uita Iosephi § 187 sq.

PAMLVRC Lat Hegesippus III 3 p. 174.

1 $^{\beta}_{\alpha}$*κατέρασ γαλιλαίασ* L *ἰώσηππος* C¹ *iosippus* Lat Heg 2 *ματαθίου* A *matthiae* Lat *γάμαλα* (*γάμ* i. ras. m. 2, eras. uid. · *εγ*) L 3 *ταύτησ* MVRC *ibi* Lat *ὀχυροτάτη* R 4 *ἄλλων*] *ἄλλουν* R¹ i. marg. *μβ* VC 6 *αὐτὸν* LVRC 7 *πλεῖστα ταύτη* tr. VRC 8 *δ'* L *οἰκειώσεται* AV 9 *ἐγχωρίων* VRC 12 *τῆς* om. AMVRC *δ'* ML 13 *διαφορῶν* LVRC 14 *ἑαυτῶν* C¹ *ἐκέλευσεν* — 16 *ἐχώρει*] *iussit etiam septuaginta. disposito autem per ciuitates, quo iure inter se uterentur, etiam quemadmodum extrinsecus tuti* (sic Destinon *usi* codd.) *essent animaduertit* Lat 16 *ἔξωθεν*] *ἔξοδον* A 17 *προσεμβαλοῦντασ* L *προσβαλοῦντασ* VRC *uenturos* Lat *τὰ*] *καὶ τὰ* R *τἀπιτήδεια* C de his nominibus cf. uita Ios. 188 18 *ἰωτάπατα*$^{\nu}$ A *ιωτα-πάτα* L *μὲν* om. MVRC *Βηρσαβὲ*] PA¹ *βηρσαβεὲ* MVR et ex corr. A *βηρωσαββὰ* (*ω* i. ras. m. 2), i. marg. m. 1 *βηρσαβεὲ* L *βηρσαβεε* sic R *bersabe* aut *bersabee* Lat *σελλάμιν* P *σελλαμὶν* M *σελαμὶν* L¹VC *σελάμιν* R *saloi* cod. Vat. *seloim* cod. Berol. Lat 19 *Καφαρεχχὼ*] *καὶ φαρεχχὼ* PAL *καὶ*

$^{\varepsilon}$*παρεχχὼ* MRC *καὶ παρεχχῶ* (s. m. 2) V *καμφαρεχχὼ* i. marg. m. 1 L (*nec non et*) *capherecho* Lat *ιαφὰ* L *ἰάφα* R *iafae* Lat *ἰταβύριον*, *ἰ* i. ras. A *ἰταβύριον* L *ἰταβύριον* C

ὄρος καὶ Ταριχέας καὶ Τιβεριάδα, πρὸς δὲ τούτοις τὰ περὶ Γεννησὰρ
τὴν λίμνην στήλαια κατὰ τὴν κάτω καλουμένην Γαλιλαίαν ἐτει-
χίσατο, τῆς δὲ ἄνω Γαλιλαίας τήν τε προσαγορευομένην Ἀκχαβάρων
574 πέτραν καὶ Σὲπφ καὶ Ἰαμνεὶθ καὶ Μηρώ. κατὰ δὲ τὴν Γαυλανι-
τικὴν Σελεύκειάν τε καὶ Σωγαναίαν καὶ Γάμαλαν ὠχύρωσεν· μόνοις
δὲ Σεπφωρίταις ἐφῆκε καθ' ἑαυτοὺς τεῖχος ἀναδείμασθαι χρημά-
των τε εὐπόρους ὁρῶν ὄντας καὶ προθύμους ἐπὶ τὸν πόλεμον δίχα
575 προστάγματος. ὁμοίως δὲ καὶ Γίσχαλα Ἰωάννης ὁ Ληΐου καθ'
ἑαυτὸν ἐτείχιζεν Ἰωσήπου κελεύσαντος· τοῖς δ' ἄλλοις ἐρύμασιν
576 ἅπασιν αὐτὸς συμπονῶν ἅμα καὶ προστάσσων παρῆν. κατέλεξεν
δὲ καὶ δύναμιν ἐκ τῆς Γαλιλαίας ὑπὲρ δέκα μυριάδας νέων ἀνδρῶν,
οὓς πάντας ἔκ τε τῶν συλλεγομένων παλαιῶν ὅπλων ἐγκατασκευα-
ζόμενος ὥπλιζεν.

577 7. Ἔπειτα συνιδὼν ἀήττητον τὴν Ῥωμαίων ἰσχὺν γεγενημένην
εὐπειθείᾳ μάλιστα καὶ μελέτῃ τῶν ὅπλων, τὴν μὲν διδασκαλίαν
ἀπέγνω τῇ χρείᾳ διωκομένην, τὸ δ' εὐπειθὲς ὁρῶν περιγινόμενον
ἐκ τοῦ πλήθους τῶν ἡγεμόνων ῥωμαϊκώτερον ἔτεμνεν τὴν στρατιὰν
578 καὶ πλείους καθίστατο ταξιάρχους. στρατιωτῶν τε γὰρ ἀπεδείκνυεν

PAMLVRC Lat Hegesippus III 3 p. 175.

1 ταριχαία PA ταριχαίας MLVRC *thariche* Lat γεννησαρέτ (-άρετ L) ML *genesar* Lat 2 κατὰ — 4 πέτραν i. marg. suppl. m. 2 partim recisa V ἐτειχίσαντο L^1 ἀνετειχίσατο VRC *munivit* Lat 3 δὲ] τε VRC *autem* Lat προσαγορευομένην — 4 Μηρώ] *achabaron et petram quae sic dicitur et iamnin et mero* Lat Ἀκχαβάρων] χαβάρων P et i. marg. L ἀχχαβαρῶν M ἀχαβάρων RC ἀχαβαρῶν V Ἀχαράβη uita 4 Σὲπφ] σεὴφ L σὲφ RC Ἰαμνεὶθ] ἰαμνεὶν L ἰαμνὶθ (ι-V) VRC μηρῶ P μηρω sic L μήρω R μηρῶι V Μηρώθ infra III 40 γαυλανίτην L 5 Σωγαναίαν] σωγάνην MC σωγάνιν VR *sogemnam* Lat; cf. uit. 266 ὠχύρωσε MVR 6 ἐφῆκε] Bekker ἔφη PAL ἀφῆκε (ε i. ras. 2 litt. m. 2 R) MVRC καθ'] PAMLVCLips τὸ | καθ' (τὸ κα suppl. m. 2) R ἑαυτοὺς, οὺσ ex οὗ corr. A αὐτοὺς RC αὐτοὺς V ἀναδείμασθαι, ειμ ex corr. A 7 τε] δὲ V ὁρῶν] ὁρῶν αὐτοὺς V 8 δὲ] γε RC *giscalam* Lat ὁ Ληΐου] PA ὁ ληϊοῦ υἱὸσ M ὁ ληείου υἱὸσ, i. marg. γρ ληϊοῦ L ὁ λεΐου υἱὸσ C σολήου υἱὸσ (s. m. 2) V σολήου υἱὸσ R, om. Lat 9 ἑαυτῶν V δὲ VRC 10 ἅπασιν] ἅπασι A, om. C αὐτὸς ἅπασι tr. VR συμπονῶν om. C 11 Γαλιλαίας] γαλιλαίασ πολλὴν A νέων om. Lat 12 οὕς — 13 ὥπλιζεν] *quos omnes undique collectis armis ueteribus instruebat* Lat τε] γε M, om. C ἐγκατασκευαζόμενος] καὶ καινὰ σκευαζόμενος Niese 15 εὐπειθία P 16 δὲ VRC περιγενόμενον AML περιγένόμενον C 18 πλείστουσ L καθίσταται P καθίστα·····το, ο ex αι corr. uid. A τε γὰρ] γαρ A δὲ VRC *que* Lat ἀπεδείκνυεν L ἀπεδείκνυ VRC

διαφορᾶς, καὶ τούτοις μὲν ἑκατοντάρχας καὶ ἑκατοντάρχαις ἔπειτα χιλιάρχοις, καὶ τούτοις ἡγεμόνας τεττάρων ἀδροτέρων ἀφηγουμένους. ἐδίδασκεν δὲ σημείων παραδόσεις καὶ σάλπιγγος 579
προκλήσεις τε καὶ ἀναλήψεις προσβολάς τε κεράτων καὶ περιωγάς, καὶ πῶς δεῖ πρὸς μὲν τὸ κάμνον ἐπισπέρχειν ἐκ τοῦ περάτους, ἐν δὲ τῷ πονοῦντι συμπαθεῖν. ὅσα τε εἰς παράστασιν 580
ψυχῆς ἢ καρτερίαν συντείνει σώματος ἀφηγεῖτο· μάλιστα δ' αὐτοὺς ἴσχειν πρὸς τὸν πόλεμον παρ' ἕκαστα τὴν Ῥωμαίων ἐνταξίαν διηγούμενος, καὶ ὡς πολεμήσουσιν πρὸς ἄνδρας, οἳ δι' ἀλκὴν σώματος καὶ ψυχῆς παράπαν πάσης ὀλίγου δεῖν τῆς οἰκουμένης κρατοῦσιν. ἔφη δὲ λείψειν αὐτῶν λήψεσθαι τῆς κατὰ τὸν πόλεμον πειθαρχίας 581
καὶ πρὸ παρατάξεως, εἰ τῶν συνήθων ἀδικημάτων ἀπόσχοιντο, κλοπῆς τε καὶ ἁρπαγῆς τοῦ τε ἐξαπατᾶν τὸ ὁμάφυλον τοῦ τε κέρδος οἰκεῖον ἡγεῖσθαι τὴν βλάβην τῶν συνηθεστάτων· διοικεῖσθαι γὰρ κάλλιστα τοὺς πολέμους παρ' οἷς ἂν ἀγαθὸν τὸ 582
συνειδὸς ἔχωσιν πάντες οἱ στρατευόμενοι, τοὺς δὲ οἴκοθεν φαύλους οὐ μόνον τοῖς ἐπιοῦσιν ἐχθροῖς ἀλλὰ καὶ τῷ θεῷ χρῆσθαι πολεμίῳ.

PAMLVRCLatHegesippus III 3 p. 175. Suidas s. *παράστασις*

1 *καὶ ἑκατοντάρχαις* om. PAMLLat 2 *χιλιάρχοις, ο* ex corr. A *καὶ ἐπὶ* VRC *ἡγεμόνας*] PAMLLat *ἡγεμόσι* VRC *πραγμάτων* uertit Lat *ἀνδροτέρων* P *ἀδροτέρων* L¹VR *ἀ· δροτέρων* C 3 *ἀφηγουμένοις* ARC *δὲ τε* VRC *σαλπίγγων* L 4 *προσκλήσεισ* PMLRC *pronocationes* Lat *excitationes* Heg *προσβολὰς — περιωγὰς*] *aciem dirigerent, clipeos intexerent* Heg *προσβολὰς*] *προβολὰσ* V¹ *principia* Lat 6 *πονοῦντι · ·* (eras. *δε*) L *συμπαθεῖν*] *συναμύνειν* ed. pr. *παράστασιν*] *παράστημα* VRC 7 *ἢ*] *καὶ* ex Bod. Hudson *συντείνει σώματος*] PALLat *συντείνει σώματοσ συνεχῶσ* M *σώματοσ συνεχῶσ* VRC *σώματος καρτερίαν συνεχῶς* Hudson nescio unde *δὲ* VRC *αὐτοὺσ, ον* ex *ο* corr. A 9 *οἳ* — 10 *κρατοῦσιν* habet Suidas 10 *παράστημα ψυχῆς* tr. Suid *πάσης* om. Suid 11 *λήψεσθαι*] *λήψεσθε* P *λαβεῖν* VRC *(periculum) fore* Lat *πειθαρχίας*] *ἐνταξίασ* VRC *quo pacto — suis essent peritari praeceptis* Lat 12 *εἰ — 14 συνηθεστάτων*] *si consuetis delictis hoc est furtis et latrociniis et rapinis abstinuissent; sed neque aut gentilibus fraudem facerent aut consuetissimorum damna proprium quaestum putarent* Lat 12 *ἀπόσχοιντο . οι* i. ras. A 13 *τε* (ante *καὶ*) om. VRC *ἐξαπατᾶν* L 14 *τοῦ τε*] Dindorf *τὸ* PA¹R *τοῦ* ex corr. A *καὶ μὴ* M *τό τε* L *καὶ μὴ το* VC *οἰκεῖον ἡγεῖσθαι*, litt. *οἰκεῖον ἡ* i. ras. A 15 *διοικεῖσθαι — 16 στρατευόμενοι*] *illa enim bella optime administrari, quorum milites bonam conscientiam gererent* Lat *plurimum in bello adere bonam conscientiam eo quod amplius de divino auxilio praesumeret qui se nulli affinem crimini recognosceret* Heg *γὰρ* om. PA *πολεμίουσ* PALVRC *παρ'*] *πρὸσ* PAL 16 *ἔχουσιν* PA *ἔχωσιν τὸ συνειδὸσ* tr. L *πάντες οἱ στρατευόμενοι*] *οἱ στρατευόμενοι πάντεσ* AM *οἱ στρατευόμενοι* VRCLat fort. melius

583 8. *Πολλὰ τοιαῦτα παραινῶν διετέλει. καὶ τὸ μὲν ἕτοιμον εἰς παράταξιν αὐτῷ συνεκεκρότητο πεζῶν μὲν ἓξ μυριάδες, ἱππεῖς δὲ πεντήκοντα καὶ τριακόσιοι, χωρὶς δὲ τούτων οἷς ἐπεποίθει μάλιστα μισθοφόροι περὶ τετρακισχιλίους καὶ πεντακοσίους· ἐπιλέκτους δὲ*
584 *περὶ αὐτὸν εἶχεν ἑξακοσίους φύλακας τοῦ σώματος. ἔτρεφον δὲ πλὴν τῶν μισθοφόρων τὴν ἄλλην στρατιὰν αἱ πόλεις ῥᾳδίως· τῶν γὰρ καταλεγέντων ἑκάστη τοὺς ἡμίσεις ἐπὶ τὴν στρατιὰν ἐκπέμπουσα τοὺς λοιποὺς ἐπὶ συμπορισμὸν αὐτοῖς τῶν ἐπιτηδείων κατεῖχον, ὡς τοὺς μὲν εἰς ὅπλα, τοὺς δὲ εἰς ἐργασίαν διῃρῆσθαι, καὶ τοῖς τὰ σῖτα πέμπουσιν ἀντιχορηγεῖσθαι παρὰ τῶν ὁπλιτῶν τὴν*
585 *ἀσφάλειαν.*

XXI. 1. *Διοικοῦντι δ' οὕτως τῷ Ἰωσήπῳ τὰ κατὰ τὴν Γαλιλαίαν παρανίσταταί τις ἐπίβουλος ἀνὴρ ἀπὸ Γισχάλων, υἱὸς Λευΐου, Ἰωάννης ὄνομα, πανουργότατος μὲν καὶ δολιώτατος τῶν ἐπισήμων ἐν τοῖσδε τοῖς πονηρεύμασιν ἁπάντων. πένης δὲ τὰ πρῶτα καὶ*
586 *μέχρι πολλοῦ κώλυμα σχὼν τῆς κακίας τὴν ἀπορίαν. ἕτοιμος μὲν ψεύσασθαι, δεινὸς δ' ἐπιθεῖναι πίστιν τοῖς ἐψευσμένοις, ἀρετὴν ἡγούμενος τὴν ἀπάτην καὶ ταύτῃ κατὰ τῶν φιλτάτων χρώμενος,*
587 *ὑποκριτὴς φιλανθρωπίας καὶ δι' ἐλπίδα κέρδους φονικώτατος, ἀεὶ μὲν ἐπιθυμήσας μεγάλων, τρέφων δὲ τὰς ἐλπίδας ἐκ τῶν ταπεινῶν κακουργημάτων· λῃστὴς γὰρ ἦν μονότροπος, ἔπειτα καὶ συνοδίαν εὗρεν τῆς τόλμης τὸ μὲν πρῶτον ὀλίγην, προκόπτων δ' ἀεὶ πλείονα.*
588 *φροντὶς δ' ἦν αὐτῷ μηδένα προσλαμβάνειν εὐάλωτον, ἀλλὰ τοὺς εὐεξίᾳ σώματος καὶ ψυχῆς παραστήματι καὶ πολέμων ἐμπειρίᾳ διαφέροντας ἐξελέγετο, μέχρι καὶ τετρακοσίων ἀνδρῶν στῖφος συνεκρότησεν, οἳ τὸ πλέον ἐκ τῆς Τυρίων χώρας καὶ τῶν ἐν αὐτῇ*

PAMLVRCLatHegesippus III 3 p. 175. IV 4 p. 227.

1 καὶ suppl. P 2 συνεκροτεῖτο L συγκεκρότητο MVRC 3 πεντήκοντα καὶ τριακόσιοι] διακόσιοι καὶ πεντήκοντα VRC Lat 4 μισθοφόροις PAL^2 μισθοφόρους C^2 καὶ πεντακοσίους om. Heg 5 περιαυτὸν PV περὶ αὐτὸν AMLVRC τοῦ suppl. P 6 τῶν — 7 ἑκάστη] namque singulae quas enumeraumus Lat 7 στρατείαν Destinon ἐκπεμπούσασ L^1 8 αὐτοὺσ PA κατεῖχεν MLVRC 9 ὡς] ὥστε LVRC διῃρεῖσθαι PA 12 i. marg. λγ VC δὲ VRC οὑτω (οὕ s. C) LVRC τὰ om. PAL 13 λῃονῦ MVR λεΰϊον C *lesin* (gen.) Lat *leuis* Heg 14 πανουργώτατοσ PA τῶν — 15 ἁπάντων] *et nequitia quidem nobilissimus omnium* Lat 15 ἐν τοῖσδε τοῖς] ἐν δὲ τοῖσ MVRC 16 σχὼν] ἔχων MVRC 17 ψεύδεσθαι VRC δὲ LVRC 18 ταύτῃ· C

19 φοινικότατοσ V^1 21 μοτροποσ C 22 πρῶτον V προκόπτων, πτων ex corr. m. 2 V δὲ VRC αἰεὶ L πλείονα] εἰσ πλείονα PA 23 δὲ VRC τουσ·· C 24 παραστήματι C^1 25 καὶ] γοῦν VRC 26 πλέων P τύρων PAMC Σύρων infra § 625

κωμῶν φυγάδες ἦσαν· δι' ὧν πᾶσαν ἐλήζετο τὴν Γαλιλαίαν καὶ 589
μετεώρους ὄντας ἐπὶ τῷ μέλλοντι πολέμῳ τοὺς πολλοὺς ἐσπάρασσεν.

2. Ἤδη δ' αὐτὸν στρατιγιῶντα καὶ μείζονον ἐφιέμενον ἔνδεια 590
χρημάτων κατεῖχεν. ἐπεὶ δὲ τὸν Ἰώσηπον ὁρῶν αὐτοῦ [σφόδρα]
χαίροντα τῷ δραστηρίῳ πείθει πρῶτον μὲν αὐτῷ λισπῆσαι τὸ
τεῖχος ἀνοικοδομῆσαι τῆς πατρίδος, ἐν ᾧ πολλὰ παρὰ τῶν πλου-
σίων ἐκέρδανεν· ἔπειτα συνθεὶς σκηνὴν πανεργοπάτην, ὡς ἁρα 591
φιλόπτωτοι πάντες οἱ κατὰ τὴν Συρίαν Ἰουδαῖοι ἐλαίῳ χρῆσθαι
μὴ δι' ὁμοφύλων ἐγκεχειρισμένῳ, πέμπειν αὐτοῖς ἐπὶ τὴν μισθορίαν
ἐξηύρετο. συνενοήμενος δὲ τοὺ Τυρίου νομίσματος, ὃ τέσσαρας 592
Ἀττικὰς δύναται, τέσσαρσι ἀμφορεῖς τῆς αὐτῆς ἐπίπρασκεν τιμῆς
ἡμιαμφόριον. οὔσης δὲ τῆς Γαλιλαίας ἐλαιοφόρου μάλιστα καὶ τότε
εὐφορηκυίας, εἰς σκανίζοντας εἰσπέμπων πολὺ καὶ μόνος ἄπειρόν
τι πλῆθος συνῆγεν χρημάτων, οἷς εὐθέως ἐχρῆτο κατὰ τοῦ τὴν
ἐργασίαν παρασχόντος. καὶ ὑπολαβών, εἰ καταλύσειεν τὸν Ἰώσηπον, 593
αὐτὸς ἡγήσεσθαι τῆς Γαλιλαίας, τοῖς μὲν ὑφ' ἑαυτὸν λῃσταῖς
προσέταξεν εὐτονώτερον ἐγχειρεῖν ταῖς ἁρπαγαῖς, ὅπως πολλῶν
νεωτεριζομένων κατὰ τὴν χώραν ἧ διαχρήσαιτό που τὸν στρατηγὸν
ἐκβοηθοῦντα λοχήσας ἢ περιορῶντα τοὺς λῃστὰς διαβάλλοι πρὸς
τοὺς ἐπιχωρίους. ἔπειτα διεφήμιζεν πόρρωθεν, ὡς ἄρα προδιδοίη 594
τὰ πράγματα Ῥωμαίοις Ἰώσηπος, καὶ πολλὰ τοιαῦτα πρὸς κατά-
λυσιν τἀνδρὸς ἐπραγματεύετο.

§ 591 = uita Iosephi 74; § 595 = uita Iosephi § 126.

PAMLVRCLat Suidas s. *ἐσπάρασσεν, μετέωρος, στρατηγιᾶν, ἀμφορεύς.*

1 *φυγάδες* om. Lat *ἐλῄζετο* codd. *ἐλῄζετο πᾶσαν* tr. VRC 2 *μετεώρους — ἐσπάρασσεν* habet Suid s. *ἐσπάρασσεν* et *μετέωρος* *ἐσπάρασεν* A 4 *ἤδη — 5 κατεῖχεν* habet Suid s. *στρατηγιᾶν* *δὲ* VRC 5 *ὁρῶν* M, qui sententiam uidit non recte procedere *σφόδρα* om. PM Lat 6 *δραστηρίῳ*] *δικαστηρίῳ* L[1] *μὲν πρῶτον* tr. ed. pr. 8 *ἐκέρδησεν* VRC *ἆρα* R 9 *ἐλέω* V *χρήσασθαι* VR 10 *ἐγχειρισμένων* R 11 *συνωνούμενος — 15 χρημάτων* habet Suid s. *ἀμφορεύς* breuiata *τοῦ*] *τῶν* C *τυρίου* ex corr. V 14 *εἰς*] *εἰ* AL *πέμπων* MVRC *πολλὺ* A[1] 15 *συνῆγεν*] PAML Suid *συνήγαγε* VRC *οἷσ, σ* s. A 16 *ἐργασίαν*] *εὐεργεσίαν* PAMLat 17 *ἡγήσεσθαι*] MLat *ἡγήσασθαι* PALVRC *ὑφ' ἑαυτῶν* P *ἀμφ' αὐτὸν* VR 19 *νεωτεριζόντων* VR 20 *διαβάλοι* R 21 *ἔπειτα — πόρρωθεν*] *iamdudum autem rumores dissipauerat* Lat *προδιδοίη*] Dindorf *προδιδώῃ* (*προδιδώιῃ* L) codd. *ῥωμαίοις τὰ πράγματα* tr. VRC 22 *πρὸς κατάλυσιν* i. marg. suppl. m. 2 L

595 3. Καθ' ὃν καιρὸν ἀπὸ Δεβαρίθθων κώμης νεανίσκοι τινὲς
τῶν ἐν τῷ μεγάλῳ πεδίῳ καθεζομένων φυλάκων ἐνεδρεύσαντες
Πτολεμαῖον τὸν Ἀγρίππα καὶ Βερνίκης ἐπίτροπον ἀφείλοντο πᾶσαν
596 ὅσην ἦγεν ἀποσκευήν, ἐν ᾗ πολυτελεῖς τε ἐσθῆτες οὐκ ὀλίγαι καὶ
πλῆθος ἐκπωμάτων ἀργυρῶν χρυσοῖ τε ἦσαν ἑξακόσιοι. μὴ δυνά- 5
μενοι δὲ διαθέσθαι κρύφα τὴν ἁρπαγὴν πάντα πρὸς Ἰώσηπτον εἰς
597 Ταριχέας ἐκόμισαν. ὁ δὲ μεμψάμενος αὐτῶν τὸ πρὸς τοὺς βασι-
λικοὺς βίαιον τίθησιν τὰ κομισθέντα παρὰ τῷ δυνατωτάτῳ τῶν
Ταριχεατῶν Ἀνναίῳ, πέμψαι κατὰ καιρὸν τοῖς δεσπόταις προαι-
598 ρούμενος· ὃ δὴ μέγιστον αὐτῷ κίνδυνον ἐπήγαγεν. οἱ γὰρ ἁρπά- 10
σαντες ἅμα μὲν ἐπὶ τῷ μηδεμιᾶς τυχεῖν μερίδος ἐκ τῶν κεκομισ-
μένων ἀγανακτοῦντες, ἅμα δὲ καὶ προσκεψάμενοι τοῦ Ἰωσήπου τὴν
διάνοιαν, ὅτι μέλλοι τὸν πόνον αὐτῶν τοῖς βασιλεῦσιν χαρίζεσθαι,
νύκτωρ εἰς τὰς κώμας διέδραμον καὶ πᾶσιν ἐνεδείκνυντο τὸν Ἰώσηπτον
ὡς προδότην· ἐνέπλησαν δὲ καὶ τὰς πλησίον πόλεις ταραχῆς, ὥστε 15
599 ὑπὸ τὴν ἕω δέκα μυριάδας ὁπλιτῶν ἐπ' αὐτὸν συνδραμεῖν. καὶ
τὸ μὲν πλῆθος ἐν τῷ κατὰ Ταριχέας ἱπποδρόμῳ συνηθροισμένον
πολλὰ πρὸς ὀργὴν ἀνεβόα καὶ καταλεύειν οἱ δὲ καίειν τὸν προ-
δότην ἐκεκράγεσαν· παρώξυνεν δὲ τοὺς πολλοὺς ὁ Ἰωάννης καὶ σὺν
600 αὐτῷ Ἰησοῦς τις υἱὸς Σαπφία, τότε ἄρχων τῆς Τιβεριάδος. οἱ μὲν 20

§ 595 = Iosephi uita § 126.

PAMLVRC Lat Hegesippus III 3 p. 176.

1 ὅν, ν s. A *Δεβαρίθθων*] *δεβαρρίθων* P *δαβαριθῶν* M *διβαρίθθων* L *δαβαριττῶν* VR *δαβαρίττων* C *damaritarum* Lat *Δαβάριττα* uit. 126. 318 2 *ἐνεδρεύοντες* VRC 3 *beronice* Heg *ἀφείλαντο* PAL¹R *ἀφείλαντο* V *ἀφήλοντο* C¹ 4 *τε* om. R post *ὀλίγαι* expunxit *μὴ δυνάμενοι δὲ* V 6 *διαθέσθαι*] *διελέσθαι* PAML *administrare* Lat 7 *Ταριχέας*] Dindorf *ταριχαίας* codd. *μεμφόμενος* i. marg. LV 8 *δυνατοτάτω* V¹ 9 *ταριχαιατῶν* (— *ἀτων* P) codd. *Ἀνναίῳ*] om. Lat *αἰναίω* VR *ἀνέα* C *Ἰανναῖον* uita 131 *καιρὸν*] *καιρὸν ταῦτα* M *τοῖς*] *τοῖσ οἰκείοις* M 11 *τῷ*] *τὸ* VC *τῷ μηδεμιᾶς*]·· *μιᾶσ*, i. marg. *τῶ* (ex *τὸ* corr.) *μὴδε* A 13 *τοῖσ βασιλεῦσι τὸν πόνον αὐτῶν αὐτῶν* om. C) tr. VRC 14 *κώμας*] *κώμασ αὐτῶν* VRC *ἐπεδείκνυντο* C 15 *τὰς*] *τὰ* C 16 *ἐπ' αὐτὸν* om. V 17 *κατὰ ταριχαίας* PMVRC *κατὰ τὰ ριχαίασ* A *κατὰ τὰ ριχαίασ*, s. m. 2 L 18 *καὶ* — 19 *ἐκεκράγεσαν*] *partim deponi partim concremari uociferans proditorem* Lat *καὶ* om. L¹ *καταλεύειν*] *καταλύειν* PA *οἱ μὲν καταλύειν* Hudson cum Lat *καὶ καίειν* Destinon 19 *ὁ* om. VRC 20 *ἰησοῦσ* VR *hiesus* Lat *σαμπφία* P *σαπφία*, *σ* ex *π* corr. uid. A *σαπφᾶ* C *γρ ἀπφία* i. marg. L *taffan* Lat; cf. uita 66. 134. supra § 566

οὖν φίλοι καὶ σωματοφύλακες τοῦ Ἰωσήπου καταλαγέντες τὴν ὁρμὴν τοῦ πλήθους ἔφυγον πλὴν τεσσάρων ἀνδρῶν, αὐτὸς δὲ κοι-
μώμενος ἤδη προσφερομένου τοῦ πυρὸς διανίσταται, καὶ παραι- 601
ρούντων φεύγειν τῶν τεσσάρων, οἳ παρέμειναν, οὔτε πρὸς τὴν καθ'
ἑαυτὸν ἐρημίαν οὔτε πρὸς τὸ πλῆθος τῶν ἐφεστώτων καταπλαγεὶς
προηλθε, περιρρηξάμενος μὲν τὴν ἐσθῆτα, καταπασάμενος δὲ τῆς
κεφαλῆς κόνιν, ἀποστρέψας δὲ ὀπίσω τὰς χεῖρας καὶ τὸ ἴδιον
ξίφος ἐλιδήσας τῷ τένοντι. πρὸς ταῦτα τῶν μὲν οἰκείως ἐχόντων, 602
καὶ μάλιστα τῶν Ταριχεατῶν, οἴκτος ἦν, οἱ δ' ἀπὸ τῆς χώρας καὶ
τῶν πλησίον ὅσοις ἐδόκει φορτικὸς ἐβλασφήμουν, προφέρειν τε τὰ
κοινὰ χρήματα θᾶττον ἐκέλευον καὶ τὰς προδοτικὰς συνθήκας ἐξο-
μολογεῖσθαι· προειλήφεσαν γὰρ ἐκ τοῦ σχήματος οὐδὲν αὐτὸν ἀρνή- 603
σεσθαι τῶν ὑπονοηθέντων, ἀλλ' ἐπὶ συγγνώμῃ παρισμῷ πάντα
πεποιηκέναι τὰ πρὸς τὸν ἕλεον. τῷ δ' ἦν ἡ ταπείνωσις προπαρα- 604
σκευὴ στρατηγήματος, καὶ τεχνιτεύων τοὺς ἀγανακτοῦντας κατ'
αὐτοῦ καὶ' ἀλλήλων στασιάσαι, ἐφ' οἷς ὠργίζοντο πάνθ' ὁμολογή-
σων, ἔπειτα δοθὲν αὐτῷ λέγειν, „ἐγὼ ταῦτα, ἔφη, τὰ χρήματα 605
οὔτε ἀναπέμπειν Ἀγρίππᾳ προῃρούμην οὔτε κερδαίνειν αὐτός· μὴ
γὰρ ἠγησαίμην ποτὲ ἢ φίλον τὸν ὑμῖν διάφορον ἢ κέρδος τὸ φέρον
τῷ κοινῷ βλάβην. ὁρῶν δέ, ὦ Ταριχεᾶται, μάλιστα τὴν ὑμετέραν 606
πόλιν ἀσφαλείας δεομένην καὶ πρὸς κατασκευὴν τείχους χρήζουσαν
ἀργυρίου, δεδοικὼς δὲ τὸν Τιβεριέων δῆμον καὶ τὰς ἄλλας πόλεις

§ 601 = uita Iosephi § 138.

PAMLVRC Lat Hegesippus III 3 p. 176. Suidas s. *καταμησάμενος, προσειλήφεσαν.*

4 *φεύγειν* om. Lat 5 *αὐτὸν* R *ἑαυτῶν* C¹ *ἑαυτους* C² 6 *περιρρηξάμενος* — 7 *κόνιν* habet Suidas *περιρηξάμενος* PAVRC *περιρρήξας* Suid *μὲν*] *δὲ* VR *καταμησάμενος* LSuid fort. recte *καταπασσάμενος* V *δὲ*] *τε* V *τὴν κεφαλὴν* P 8 *ταῦτα*] *ἃ* VRC 9 *τῶν* om. VRC *ταριχαιάτων* P *ταριχαιατῶν* (*ι* ante *χ* i. ras. m. 2 V) AMLVRC *δὲ* VRC 10 *φορτικὸν* VR *φορτικον* C *προσφέρειν* P 12 *προειλήφεσαν*] Bekker *προσειλήφεσαν* codd. Suid, qui hic incipit *opinabantur* Lat *μηδὲν* Suid *αὐτῶν* C *ἀρνήσασθαι* Suid 13 *ἀλλὰ* VR 14 *πεποιηκέναι*] finit Suid *τὸν* om. A *τῷ*] *τὸ* L¹V *δὲ* LVRC *προκατασκευὴ* VRC 15 *κατ' αὐτοῦ*] *καθ' αὐτοῦ* VRC 16 *πάντα* VRC *ὁμολογήσων*] *ὁμολογήσον* P *ὡμολόγησεν* ex *ὁμολόγησον* corr. A *ὁμολογήσειν ὑπισχνεῖτο* C *confessus est* Lat; deinde lacunam statuit Destinon 17 *ἔπειτα*] *εἶτα* VRC 18 *προηγούμην* R 19 *ἡγησάμην* L¹R¹ *ἢ* (ante *φίλον*) om. L et fort. Lat *τὸ*] *τῷ* A 20 *τῷ*] *τὸ* P *ταριχαιᾶται* PAMLRC *ταριχιᾶται* V 21 *χρήζουσιν* VRC¹ 22 *τὸν* ex *τῶν* corr. V *τιβεριαίων* PA *τιβερειαίων* L¹

ἐφεδρευούσας τοῖς ἡρπαγμένοις, κατασχεῖν ἡσυχῇ τὰ χρήματα προει-
607 λόμην, ἵνα ὑμῖν περιβάλωμαι τεῖχος. εἰ μὴ δοκεῖ, προφέρω τὰ
κεκομισμένα καὶ παρέχω διαρπάζειν· εἰ μὴ καλῶς ὑμῖν ἐβουλευσά-
μην, κολάζετε τὸν εὐεργέτην."
608 4. Ἐπὶ τούτοις οἱ Ταριχεῶται μὲν αὐτὸν ἀνευφήμουν, οἱ δ' ἀπὸ
τῆς Τιβεριάδος σὺν τοῖς ἄλλοις ἐκάκιζον καὶ διηπείλουν· κατα-
λιπόντες δ' ἑκάτεροι τὸν Ἰώσηπον ἀλλήλοις διεφέροντο. κἀκεῖνος
θαρρῶν ἤδη τοῖς ᾠκειωμένοις, ἦσαν δὲ εἰς τετρακισμυρίους Ταρι-
609 χεᾶται, παντὶ τῷ πλήθει παρρησιαστικώτερον ὡμίλει. καὶ πολλὰ
τὴν προπέτειαν αὐτῶν κατονειδίσας ἐκ μὲν τῶν παρόντων Ταρι-
χέας ἔφη τειχίσειν, ἀσφαλίσεσθαι δὲ ὁμοίως καὶ τὰς ἄλλας πόλεις·
οὐ γὰρ ἀπορήσειν χρημάτων, ἐὰν ὁμονοῶσιν ἐφ' οὓς δεῖ πορίζειν
καὶ μὴ παροξύνωνται κατὰ τοῦ πορίζοντος.
610 5 Ἔνθα δὴ τὸ μὲν ἄλλο πλῆθος τῶν ἠπατημένων ἀνεχώρει
καίτοι διωργισμένον, δισχίλιοι δ' ἐπ' αὐτὸν ὥρμησαν ἔνοπλοι, καὶ
φθάσαντος εἰς τὸ δωμάτιον παρελθεῖν ἀπειλοῦντες ἐφεστήκεσαν.
611 ἐπὶ τούτοις Ἰώσηπος ἀνάτῃ δευτέρᾳ χρῆται· ἀναβὰς γὰρ ἐπὶ τὸ
τέγος καὶ τῇ δεξιᾷ καταστείλας τὸν θόρυβον αὐτῶν ἀγνοεῖν ἔφη,
τίνων ἀξιοῦσιν τυχεῖν· οὐ γὰρ κατακούειν διὰ τὴν τῆς βοῆς σύγ-
χυσιν· ὅσα δ' ἂν κελεύσωσιν πάντα ποιήσειν, εἰ τοὺς διαλεξομέ-
612 νους ἡσυχῇ πέμψειαν ἔσω πρὸς αὐτόν. ταῦτα ἀκούσαντες οἱ γνώ-

§ 606 = uita Iosephi 142.

PAMLVRCLatHegesippus III 3 p. 176.

1 ἡρπασμένοις LC ἡρπασ·μένοις, eras. *o* R 2 ἵν' L περιβάλλωμαι L εἰ] PALRLat ἢ εἰ M εἰ δὲ VC δοκῇ PV δοκεῖ, εῖ i. ras. A προσφέρω L 3 κεκομισμένα ex κεκοσμημένα corr. C εἰ μὴ καλῶς] εἰ δὲ μὴ καλῶσ MVRC *sin recte (consului)* Lat, unde εἰ δὲ καλῶς uel εἰ δὴ μὴ κακῶς Hudson, κεἰ μὴ καλῶς Niese 5 τούτοις om. L¹ ταριχαιῶται P ταριχαιᾶται AMLRC ταριχιᾶται V *taricheatae* Lat δὲ VRC 7 δὲ LVRC 8 θαρῶν C¹ οἰκειωμένοις PA¹ εἰς τετρακισμυρίους Ταριχεᾶται] οἱ ταριχαιᾶται (ταριχιᾶται V¹) ὡς τετρακισμύριοι VR οἱ ὡς τετρακισμύριοι ταριχαιάται C 9 παντὶ om. Lat 11 τειχίζειν PAML *esse muniendam* Lat ἀσφαλεῖσθαι V¹ ὁμοίως] PAMLLat ὅμωσ VRC 12 οὓς] οἷσ V (*in*) *eos unde* Lat 13 παροξύνονται (οξ ex ωξ corr. C) PC 14 ἀπανεχώρει VC ἐπανεχώρει R 15 καίτοι] καὶ τὸ VRC *quamuis* Lat δὲ VRC καὶ] καὶ μὴ (μὴ s. m. 3) V 16 φθάσαντεσ R¹ φθάσαντες, s. m. 2 C δωμάτιον PA¹VC¹ ἐφεστήκεσαν, α i. ras. A 17 Ἰώσηπος] ὁ ἰώσηποσ L πάλιν ἰώσηποσ VRCLat χρῆ·ται V 20 κελεύσουσιν C εἰ· C διαλεγομένουσ PAL 21 ταῦτ' MLV¹

ριμοι οὖν τοῖς ἄρχουσιν εἰσῆεσαν. ὁ δὲ σίρας αὐτοὺς εἰς τὸ μυχαίτατον τῆς οἰκίας καὶ τὴν αὔλιον ἀποκλείσας ἐμαστίγωσεν, μέχρι ἑάντων τὰ σπλάγχνα γυμνῶσαι· περιειστήκει δὲ τέως τὸ πλῆθος δικαιολογεῖσθαι μακρότερα τοὺς εἰσελθόντας οἰόμενον. ὁ δὲ τὰς 613
θύρας ἐξαπίνης ἀνοίξας ἐμαγμένους ἐξαφῆκεν τοὺς ἄνδρας καὶ τοσαύτην τοῖς ἀπειλοῦσιν ἐνειργάσατο κατάπληξιν, ὥστε ῥίψαντας τὰ ὅπλα φεύγειν.

6. Πρὸς ταῦτα Ἰωάννης ἐπέτεινεν τὸν φθόνον καὶ δευτέραν 614
ἤρτυσεν ἐπιβουλὴν κατὰ τοῦ Ἰωσήπου. σκηψάμενος δὴ νόσον ἐκέλευσεν δι' ἐπιστολῆς τὸν Ἰώσηπον ἐπιτρέψαι πρὸς θεραπείαν αὐτῷ χρήσασθαι τοῖς ἐν Τιβεριάδι θερμοῖς ὕδασιν. ὁ δέ, οὔπω γὰρ 615
ἐμαίνετεν τὸν ἐπίβουλον, γράφει τοῖς κατὰ τὴν πόλιν ὑπάρχοις ξενίαν τε καὶ τὰ ἐπιτήδεια Ἰωάννῃ παρασχεῖν. ὧν ἀπολαύσας μετὰ δύο ἡμέρας ἐφ' ὃ παρῆν διετράττετο, καὶ τοὺς μὲν ἀνάταις τοὺς δὲ χρήμασι διαφθείρων ἀνέπειθεν ἀποστῆναι Ἰωσήπου. καὶ γνοὺς 616
ταῦτα Σίλας ὁ φυλάσσειν τὴν πόλιν ὑπὸ Ἰωσήπου καθεσταμένος γράφει τὰ περὶ τὴν ἐπιβουλὴν αὐτῷ κατὰ τάχος. ὁ δὲ Ἰώσηπος ὡς ἔλαβεν τὴν ἐπιστολήν, νυκτὸς ὁδεύσας συντόνως ἐωθινὸς παρῆν πρὸς τὴν Τιβεριάδα. καὶ τὸ μὲν ἄλλο πλῆθος αὐτῷ ὑπήντα, 617
Ἰωάννης δὲ καίτοι τὴν παρουσίαν ὑποπτεύσας ἐπ' αὐτὸν ὅμως πέμψας τινὰ τῶν γνωρίμων ὑπεκρίνατο τὴν ἀσθένειαν καὶ κλινήρης ὢν ὑστερῆσαι τῆς θεραπείας ἔλεγεν. ὡς δὲ εἰς τὸ στάδιον τοὺς 618
Τιβεριεῖς ἀθροίσας ὁ Ἰώσηπος ἐπειρᾶτο διαλέγεσθαι περὶ τῶν ἐπεσταλμένων, ὑποπέμψας ὁπλίτας προσέταξεν αὐτὸν ἀνελεῖν. τούτους τὰ ξίφη γυμνοῦντας ὁ δῆμος προϊδὼν ἀνεβόησεν· πρὸς δὲ 619

§ 612 = uita Iosephi § 147; § 614 cf. uita Iosephi § 85.

PAMLVRC Lat.

1 *εἰσίεσαν* PA 2 *αὔλιον* PAL¹VR *ἐπικλείσας* VRC *ἐμαστίγωσε* MLVRC 3 *πάντων*] *eorum* Lat *περιεστήκει* L¹ 4 *μακρότερα, τερα* ex corr. M *ἐλθόντας* VR 6 *εἰργάσατο* PAML 8 *ὁ ἰωάννης* AML *ἐπετείνετο* VRC *φθόνον* C 9 *ἤρτυεν* VC *δὴ*] *δὲ* VC *que* Lat *ἱκέτευσεν*] *ἐκέλευσεν* PM *ἐκέτευσεν* A *ἱκέτευε* VRC *postulauit* Lat 11 *τιβεριάδι* L¹ fere semper 12 *ἐπάρχοις* Hudson 13 *τὰ* om. M *ταπιτήδεια* C 14 *ὃ*] *ὧ* MVRC et ex corr. A *ἐπράττετο* C 15 *ἀνέπεισεν* L 16 *σύλας* C² *καθεστάμενος* PALVR *καθιστάμενος* MC 17 *περὶ τῆς ἐπιβουλῆς* L *κατὰ τὴν ἐπιβουλὴν* MVRC 18 *συντόμως* LV 19 *πρὸς*] *ἐπὶ* C 20 *ὑποπτεύων* (*ω* i. ras. ex *ει* corr. uid. V) VRC 21 *τινὰς* VRC *ὑπεκρίνατο*] *ὑπετιμᾶτο* R *κληνήρης* V¹R 22 *τιβερειεῖς* L¹ et similiter saepius 24 *προσέταξεν*] *ἐκέλευσεν* V 25 *παρι‖προϊδὼν* (*παρι* deletum) C

τὴν κραυγὴν ὁ Ἰώσηπος ἐπιστραφεὶς καὶ θεασάμενος ἐπὶ τῆς σφαγῆς ἤδη τὸν σίδηρον ἀπεπήδησεν εἰς τὸν αἰγιαλόν· εἱστήκει δὲ δημιογερῶν ἐπὶ βουνοῦ τινος ἐξανίσχοντος τὸ ὕψος· καὶ παρορμοῦντος ἐπιπηδήσας σκάφους σὺν δυσὶν σωματοφύλαξιν εἰς μέσην τὴν λίμνην ἀνέφυγεν. 5

620 7. Οἱ στρατιῶται δ' αὐτοῦ ταχέως ἁρπάσαντες τὰ ὅπλα κατὰ τῶν ἐπιβούλων ἐχώρουν. ἔνθα δείσας ὁ Ἰώσηπος, μὴ πολέμου κινηθέντος ἐμφυλίου δι' ὀλίγων φθόνον παραναλώσῃ τὴν πόλιν, πέμπει τοῖς σφετέροις ἄγγελον μόνης προνοεῖν τῆς ἑαυτῶν ἀσφαλείας, μήτε
621 δὲ κτείνειν τινὰ μήτ' ἀπελέγχειν τῶν αἰτίων. καὶ οἱ μὲν τῷ 10 παραγγέλματι πεισθέντες ἠρέμησαν, οἱ δ' ἀνὰ τὴν πέριξ χώραν πυθόμενοι τήν τε ἐπιβουλὴν καὶ τὸν συσκευάσαντα συνῆθροίζοντο κατὰ Ἰωάννου· φθάνει δ' ἐκεῖνος εἰς Γίσχαλα φυγὼν τὴν πατρίδα.
622 συνέρρεον δὲ πρὸς τὸν Ἰώσηπον οἱ Γαλιλαῖοι κατὰ πόλεις, καὶ πολλαὶ μυριάδες ὁπλιτῶν γενόμεναι παρεῖναι σφᾶς ἐπὶ τὸν Ἰωάν- 15 νην τὸν κοινὸν ἐπίβουλον ἐβόων· συγκαταφλέξειν γὰρ αὐτῷ καὶ
623 τὴν ὑποδεξαμένην πατρίδα. ὁ δὲ ἀποδέχεσθαι μὲν αὐτῶν ἔφασκεν τὴν εὔνοιαν, ἀνεῖργεν δὲ τὴν ὁρμήν, χειρώσασθαι συνέσει τοὺς
624 ἐχθροὺς μᾶλλον ἢ κτεῖναι προαιρούμενος. ἐκλαβὼν δὲ τοὺς ἀφ' ἑκάστης πόλεως Ἰωάννῃ συναφεστῶτας κατ' ὄνομα, προθύμως δὲ 20 ἐνεδείκνυντο τοὺς σφετέρους οἱ δημόται, καὶ διὰ κηρύκων ἀπειλήσας ἐντὸς ἡμέρας πέμπτης τῶν μὴ καταλιπόντων Ἰωάννην τάς τε οὐσίας
625 διαρπάσειν καὶ τὰς οἰκίας ἅμα ταῖς γενεαῖς καταφλέξειν, τρισ-

§ 619 = uita Iosephi § 96.

PAMLVRC Lat

1 ὁ om. L 3 *δημιογερῶν* R *ἐξαπήχουσ* (*ή* i. ras. A) PA *καὶ — 4 σωματοφύλαξιν*] *ascensaque inde nauicula cum duobus satellitibus, quae illuc applicuerat* Lat *παρορμῶντοσ* PAMVRC 5 *ἀνέφευγεν* PAMVRC 6 *δὲ* VRC *τὰ* om. VR 7 *ἐπιβούλουν* R *δήσασ* VC¹ 8 *ὀλίγον* AMV *φόνον* VR *παραναλώσει* P 9 *ἄγγελον*] PARLat *ἀγγέλλων* MLV *ἀγγέλων* C *αὐτῶν* RC 10 *μήτε* AMVRC *τῶν* s. V *αἰτιῶν* VR 11 *δὲ* VRC 12 *τε*] *τ'* L 13 *κατὰ τοῦ ἰωάννου* VRC *δὲ* VRC 15 *ὁπλιτῶν* i. marg. suppl. m. 2 V *τὸν* om. VRC 17 *ὑποδεξομένην* L¹ *πατρίδα*] *πόλιν* VRC fort. recte 18 *ἀνεῖργεν*] *εἶργε* VRC *cohibendum esse (dicebat)* Lat 19 *ἐκλαβὼν*] *ἐκβαλὼν* L¹ *τοὺς*] *τῆσ* L *ἀφ'*] *ἐφ'* A 20 *Ἰωάννῃ*] *ἰωάννησ* A¹, om. VRC *συνεφεστῶτασ* L¹VRC *κατ' ὄνομα*] *ἰώσηποσ κατ' ὄνομα* VRC *nominatim* Lat *δὲ* om. P 21 *ἀνεδείκνυντο* VRC *ἀπειλήσας*] i. marg. A *ἀπειλησάντων* PAMVRC *ἀπειλήσαντοσ* L *denuntiabat* Lat *ἀπειλήσας τῶν* ex Voss. et Rhed. Hudson 22 *τῶν μὴ*] *εἰ μὴ* C *μὴ* VR *καταλειπόντων* A *καταλίποιεν* C *τὸν ἰωάννην* C 23 *ἁρπάσειν* V

χιλίους μὲν ἀπέστησεν εὐθέως, οἳ παραγενόμενοι τὰ ὅπλα παρὰ τοῖς κοσὶν ἔρριψαν αὐτοῦ, σὺν δὲ τοῖς καταλιφθεῖσιν, ἦσαν δ' ὅσον εἰς δισχιλίους Σύρων φυγάδες, ἀνέστειλεν Ἰωάννης πάλιν ἐπὶ τὰς λαθραίους ἐπιβουλὰς ἐκ τῶν φανερωτέρων. κρίμα γοῦν ἔπεμπεν 626
ἀγγέλους εἰς Ἱεροσόλυμα διαβάλλων τὸν Ἰώσηπον ἐπὶ τῷ μεγέθει τῆς δυνάμεως, φάσκων ὅσον οὐδέπω τύραννον ἐλεύσεσθαι τῆς μητροπόλεως, εἰ μὴ προκαταλιφθείη. ταῦθ' ὁ μὲν δῆμος προειδὼς οὐ 627
προσεῖχεν, οἱ δυνατοὶ δὲ κατὰ φθόνον καὶ τῶν ἀρχόντων τινὲς λάθρα τῷ Ἰωάννῃ χρήματα πρὸς συλλογὴν μισθοφόρων ἔπεμψαν, ὅπως πολεμῇ πρὸς Ἰώσηπον· ἐψηφίσαντο δὲ καθ' ἑαυτοὺς καὶ μετακαλεῖν αὐτὸν ἀπὸ τῆς στρατηγίας. οὐ μὴν ἠξίουν ἀπο- 628
χρήσειν τὸ δόγμα· δισχιλίους δὲ καὶ πεντακοσίους ὁπλίτας καὶ τέσσαρας τῶν ἐπιφανῶν ἄνδρας ἔστειλαν, τόν τε τοῦ Νομικοῦ Ἰώσεδρον καὶ Ἀνανίαν Σαδούκι καὶ Σίμωνα καὶ Ἰούδην Ἰωνάθου, πάντας εἰπεῖν δυνατωτάτους, ἵν' οὗτοι τὴν πρὸς τὸν Ἰώσηπον εὔνοιαν ἀποστρέψωσιν, κἂν μὲν ἑκὼν παραγένηται, λόγον ἐπισχεῖν ἐὰν αὐτόν, εἰ δὲ βιάζοιτο μένειν, ὡς πολεμίῳ χρῆσθαι. Ἰωσήπῳ 629
δὲ παραγίνεσθαι μὲν στρατιὰν ἐπεστάλκεσαν οἱ φίλοι, τὴν δ' αἰτίαν οὐ προεδήλουν ἅτε δὴ λάθρα τῶν ἐχθρῶν βεβουλευμένων. διὸ καὶ μὴ προφυλαξαμένου τέσσαρες πόλεις εὐθέως πρὸς τοὺς διαφόρους ἀπέστησαν ἐλθόντας. Σέπφωρίς τε καὶ Γάβαρα καὶ

§ 626 = uita Iosephi § 189.

PAMLVRC Lat

1 ἀπέστεισεν L^1 παραγενόμενοι] *profugi* Lat τὰ] τά τε PAL 2 αὐτοῦ ἔρριψαν tr. P δ'] suppl. m. 2 L δὲ VRC 3 ὅσον εἰς δισχιλίους] ὡσ δισχιλίουσ P *prope mille* Lat ὡς εἰς χιλίους Destinon ἀνέστειλεν L Ἰωάννην Niese ἐπὶ] εἰσ VR 4 ἐπιβουλὰς] ἐπιβουλὰσ χωρῶν M ἐκ om. L ἔπεμ * * * ‖ P ἔπεμψεν RC ἀπέστελλεν V 7 ταῦθ' — 8 προσεῖχεν] *uerum ea populus quidem praesciens neglegebat* Lat ταῦθ'] ταῦτ' P^1M τούτοις VRC προειδὼς] προϊδὼν L^1 ἦν προειδὼσ VRC 8 προσεῖχεν] προσέσχεν M προσεῖχον δέ VRC 10 πολεμῇ] πολεμήσωσιν PAM (*ut*) *per eos — bellum gereret* Lat καθ' αὑτοὺς (αὐτ- VR) LVRC 11 καὶ μετακαλεῖν] κἀμὲ καλεῖν VR ἠξίουν] ἀξιοῦν PAL *credebant* Lat 13 τέσαρασ A *Nομικοῦ*] *iuris periti* Lat 14 Ἰωέσδρον] *iosandrum* Lat Ἰώζαρον Gelenius ex uit. 324. 332. cf. uit. 197 Σαδούκι] PA σαδουκι L *saddouci* MVRC *sadduci* Lat Ἰούδην] τούδην L πούδην VRC, τούδου ἰωνάθην i. marg. L 15 ἵνα VRC 16 μὲν - - | ἑκών, eras. ἂν L παραγίνηται L^1RC παραγίνεται V 18 παραγενέσθαι VRC *uenturum esse* Lat δὲ VRC 19 προεδήλου L^1 προεδήλουν VRC *indicauerunt* Lat τῶν ἐχθρῶν λάθρα tr. VRC 20 φυλαξαμένου M τέσσαρασ PAL 21 ἐλθόντεσ PAL σεπφωρεῖσ PAL Γάβαρα] Destinon ex uita 203 γάδαρα PAML γάμαλα VC μάλα R *gabra* Lat

630 *Γίσχαλα καὶ Τιβεριάς. ταχέως δὲ καὶ ταύτας προσηγάγετο δίχα*
τῶν ὅπλων καὶ χειρωσάμενος στρατηγήμασιν τοὺς τέσσαρας ἡγε-
μόνας τῶν τε ὁπλιτῶν τοὺς δυνατωτάτους ἀνέπεμψεν εἰς Ἱεροσό-
631 *λυμα. πρὸς οὓς ὁ δῆμος οὐ μετρίως ἠγανάκτησεν καὶ σὺν αὐτοῖς*
ὥρμησεν τοὺς προπέμψαντας ἀνελεῖν, εἰ μὴ φθάσαντες ἀπέδρασαν. 5
632 8. *Ἰωάννην δὲ λοιπὸν ἐντὸς τοῦ Γισχάλων τείχους ὁ παρὰ*
Ἰωσήπου φόβος ἐφρούρει. καὶ μετ᾽ ὀλίγας ἡμέρας πάλιν ἀπέστη
633 *Τιβεριὰς ἐπικαλεσαμένων τῶν ἔνδον Ἀγρίππαν τὸν βασιλέα. καὶ*
τοῦ μὲν μὴ καταντήσαντος ἐφ᾽ ἣν συντέτακτο προθεσμίαν. Ῥωμαϊ-
κῶν δ᾽ ὀλίγων ἱππέων κατ᾽ ἐκείνην τὴν ἡμέραν παραφανέντων, 10
634 *τὸν Ἰώσηπον ἐξεκρούσσον. τῶν δ᾽ ἰγγέλη μὲν εἰς Ταριχέας ἡ ἀπό-*
στασις εὐθέως. ἐκπεπομφὼς δὲ πάντας τοὺς στρατιώτας ἐπὶ σίτου
συλλογὴν οὔτε μόνος ἐξορμᾶν ἐπὶ τοὺς ἀποστάντας οὔτε μένειν
ἐτέμενεν, δεδοικὼς μὴ βραδύναντος αὐτοῦ φθάσωσιν οἱ βασιλικοὶ
παρελθεῖν εἰς τὴν πόλιν· οὐδὲ γὰρ τὴν ἐπιοῦσαν ἡμέραν ἐνεργὸν 15
635 *ἔξειν ἔμελλεν ἐπέχοντος σαββάτου. δόλῳ δὴ περιελθεῖν ἐπενόει*
τοὺς ἀποστάντας. καὶ τὰς μὲν πύλας τῶν Ταριχεῶν ἀποκλεῖσαι
κελεύσας, ὡς μὴ προεξαγγείλειέ τις τὸ σκέμμα τοῖς ἐπιχειρουμένοις,
τὰ δ᾽ ἐπὶ τῆς λίμνης σκάφη πάντα συναθροίσας, τριάκοντα δ᾽
εὑρέθησαν καὶ τριακόσια, καὶ ναῦται τεσσάρων οὐ πλείους ἦσαν 20

§ 632 = uita Iosephi § 155.

PAMLVRC Lat Hegesippus III 3 p. 176.

1 *προσήγετο* A *προηγάγετο* R 2 *καὶ* om. L^1 *στρατηγήμασιν*] *στρατηγήματι* VRC *consiliis* Lat 3 *τε*] *τότε* L^1 4 *ἠγανάκτησεν οὐ μετρίως* tr. VRC 6 *ἰωάννης* L^1 *το λοιπὸν* VRC *ἐντὸς*] *ἐγγὺς* L *γισχαλῶν*, *γι* i. ras. V *iaschalon* aut *ascalon* Lat 8 *ἀγρίππα* V 9 *κατατηντήσαντος* C *ἣν*] *οἷς* L^1 *συντέτα·|κτο* A *συνετέτακτο* L^1VRC 10 *δὲ* VRC *ἱππέων ὀλίγων* tr. VRC 11 *τῶν* — 12 *εὐθέως*] *hisque apud taricheas cognitis statim defectio constituta est* Lat *τῶν*] PAMVR^{1}C *τούτων* L *τῷ* ex corr. R fort. recte *δὲ* VRC *ἰγγέλλη* V *ἠγγέλη μὲν*] *ἠγγελμένων* PAMLLat *ταριχαίας* PAMLVR^{2}C *ταρχαίας* R^1 12 *εὐθέως*] *εὐθέως ἦει* (*ἤει* PA) PAML *τοὺς στρατιώτας πάντας* tr. VRC 14 *ὑπέμεινεν* P *βραδύνοντος* VRC 15 *οὔτε* L^1 *ἡμέραν* om. VRC 16 *ἔμελλον* L^1RC *ἐπέχοντος*] *ἐπισχόντος* L^1 *δὴ*] *δὲ* PAMVRC *autem* Lat *περιελθεῖν*] *περιελθεῖν εἰσ τὴν πόλιν* (cf. u. 15) L *περιελθεῖντα* (*τα* expunctum) C 17 *ταριχαιῶν* C *ταριχαίων* PAMVR *ἀποστατῶν* L *ἀποκλεῖσαι, εἶσαι* ex corr. m. 2 R 18 *προεξαγγείλειέ*] *ἐξαγγείλειέ* P *προεξαγγείλαι* V *προεξαγγείλοι* RC *proderet* Lat 19 *δὲ* LVRC *τὴν λίμνην* L *σκάφη* A *τριάκοντα δ᾽ εὑρέθησαν καὶ τριακόσια*] PA *τριάκοντα δ᾽ εὑρέθησαν καὶ διακόσια* ML *διακόσια δὲ καὶ τριάκοντα εὑρέθη* (*ηὑρέθη* C) VRCLat 20 *ἦσαν οὐ πλείονς* tr. L

ἐν ἑκάστῳ, διὰ τάχους ἐλαύνει πρὸς τὴν Τιβεριάδα. καὶ τοσοῦ- 636
τον ἀπεσχὼν τῆς πόλεως ἐξ ὅσου συνιδεῖν οἱ ῥᾴδιον ἦν χερὰς τὰς
ἀλιάδας μετεώρους σαλεύειν ἐκέλευσεν, αὐτὸς δὲ μόνους ἑπτὰ τῶν
σωματοφυλάκων ἀνόπλους ἔχων ἔγγιον ὀφθῆναι προσῄει. θεασά- 637
μενοι δ' αὐτὸν ἀπὸ τῶν τειχῶν ἔτι βλασφημοῦντες οἱ διάφοροι
καὶ διὰ τὴν ἔκπληξιν πάντα τὰ σκάφη γέμειν ἁλιτῶν νομίσαντες
ἔρριψαν τὰ ὅπλα καὶ κατασείοντες ἱκετηρίας ἐδέοντο φείσασθαι
τῆς πόλεως.

9. Ὁ δὲ Ἰώσηπος πολλὰ διαπειλησάμενος αὐτοῖς καὶ κατο- 638
νειδίσας, εἰ πρῶτον μὲν ἀράμενοι τὸν πρὸς Ῥωμαίους πόλεμον εἰς
στάσεις ἐμφυλίους προαναλίσκουσιν τὴν ἰσχὺν καὶ τὰ εὐκταιότατα
δρῶσιν τοῖς ἐχθροῖς, ἔπειτα τὸν κηδεμόνα τῆς ἀσφαλείας αὐτῶν
ἁναρπάσαι σπεύδουσιν καὶ κλείειν οὐκ αἰδοῦνται τὴν πόλιν αὐτῷ
τῷ τειχίσαντι, προσδέχεσθαι τοὺς ἀπολογησομένους ἔφασκεν καὶ
δι' ὧν βεβαιώσεται τὴν πόλιν. κατέβαινον δ' εὐθέως δέκα τῶν 639
Τιβεριέων οἱ δυνατώτατοι· καὶ τοὺς μὲν ἀναλαβὼν μιᾷ τῶν ἁλιάδων
ἀνήγαγεν πορρωτέρω, πεντήκοντα δ' ἑτέρους τῆς βουλῆς τοὺς μάλιστα
γνωρίμους κελεύει προελθεῖν ὡς καὶ παρ' ἐκείνων πίστιν τινὰ
βουλόμενος λαβεῖν. ἔπειτα καινοτέρας σκήψεις ἐπινοῶν ἄλλους ἐπ' 640
ἄλλοις ὡς ἐπὶ συνθήκαις προυκαλεῖτο. τοῖς δὲ κυβερνήταις ἐκέ- 641
λευσεν τῶν πληρουμένων διὰ τάχους εἰς Ταριχέας ἀναπλεῖν καὶ
συγκλείειν τοὺς ἄνδρας εἰς τὸ δεσμωτήριον, μέχρι πᾶσαν μὲν τὴν

---

§ 635 = uita Iosephi § 164.

PAMLVRCLatHegesippus III 3 p. 176.

1 τὴν om. P 3 ἐκέλευεν A 4 ἐνόπλους Destinon προσεῖη L 5 δὲ VRC αὐτῶν P ἔτι] ἐπι L^1 · διάφοροι A 9 δ' M 11 στάσεις] στάσησ A τάσεισ V προὰναλίσκουσῖ, σῖ ex σην corr. A παραναλίσκουσι primum scribere uoluit C *ante consumerent* Lat παραναλίσκουσι Bekker 12 δρῶσιν] ποιοῦσι VRC 13 αὐτῷ] αὐτῶν AMVRC 14 ἀπολογησαμένουσ PA *si qui sibi satisfacerent* Lat 15 βεβαιώσεται] Destinon βεβαιώσηται PAL βεβαιώσαιτο (αιτ i. ras. 2 litt. m. 2 C) MVRC κατέβαινων A δὲ VRC 16 τιβεριαίων PL^2 τιβεριαί · ων A τιβερειαων L^1 τιβεριατῶν V 17 πορρωτάτω (πορροτάτω C) VRC *procul* Lat δὲ VRC τοὺσ μάλιστα τῆσ βουλῆσ tr. C 18 γνωρίμους om. C προσελθεῖν VRC 19 ἐπ' ἄλλοις] ἐπαλλήλουσ PA 20 ὡς om. L πρ · ουκαλεῖτο A προεκαλεῖτο VR κυβερνήταισ AC^1 21 πληρουμένων] *nauium repletarum* Lat σκαφῶν πληρουμένων Bekker ταριχαίασ codd. 22 συγκλείειν, ειν i. ras. A, εί ex corr. m. 2 C

βουλὴν οὖσαν ἑξακοσίων, περὶ δὲ δισχιλίους τῶν ἀπὸ τοῦ δήμου συλλαβὼν ἀνήγαγεν σκάφεσιν εἰς Ταριχέας.

642 10. Βοώντων δὲ τῶν λοιπῶν αἴτιον εἶναι μάλιστα τῆς ἀποστάσεως Κλεῖτόν τινα καὶ παρακαλούντων εἰς ἐκεῖνον ἀπερείδεσθαι τὴν ὀργήν, ὁ Ἰώσηπος ἀνελεῖν μὲν οὐδένα προῄρητο, Ληουῖν δέ τινα τῶν ἑαυτοῦ φυλάκων ἐκέλευσεν ἐξελθεῖν, ἵνα ἀποκόψῃ τὰς
643 χεῖρας τοῦ Κλείτου. δείσας δὲ ἐκεῖνος εἰς ἐχθρῶν στῖφος ἀποβήσεσθαι μόνος οὐκ ἔφη. σχετλιάζοντα δὲ τὸν Ἰώσηπον ἐπὶ τοῦ σκάφους ὁ Κλεῖτος ὁρῶν καὶ προθυμούμενον αὐτὸν ἐπισπᾶσθαι ἐπὶ τὴν τιμωρίαν ἐκέτευεν ἀπὸ τῆς ἀκτῆς τὴν ἑτέραν τῶν χειρῶν καταλι-
644 πεῖν. κἀκείνου κατανεύσαντος ἐφ' ᾧ τὴν ἑτέραν αὐτὸς ἀποκόψειεν ἑαυτοῦ, σπασάμενος τῇ δεξιᾷ τὸ ξίφος ἀπέκοψεν τὴν λαιάν· εἰς
645 τοσοῦτον δέους ὑπὸ τοῦ Ἰωσήπου προῆχθη. τότε μὲν δὴ κενοῖς σκάφεσιν καὶ δορυφόροις ἑπτὰ τὸν δῆμον αἰχμαλωτισάμενος πάλιν Τιβεριάδα προσηγάγετο, μετὰ δ' ἡμέρας ὀλίγας Σεπφωρίταις συνα-
646 ποστᾶσαν εὑρὼν ἐπέτρεψεν διαρπάσαι τοῖς στρατιώταις. συναγαγὼν μέντοι πάντα τοῖς δημόταις ἔδωκεν τοῖς τε κατὰ Σέπφωριν ὁμοίως· καὶ γὰρ ἐκείνους χειρωσάμενος νουθετῆσαι διὰ τῆς ἁρπαγῆς ἠθέλησεν, τῇ δ' ἀποδόσει τῶν χρημάτων πάλιν εἰς εὔνοιαν προσηγάγετο.

§ 642 = uita Iosephi § 171.

PAMLVRC Lat Hegesippus III 3 p. 177. Suidas s. *ἀπερείδομαι.*

1 ἑξακοσίων] ἑξακοσίους L εἰσ ἑξακοσίους VRC δὲ om. V 2 ταριχαιασ codd. 3 δὲ] τε L^1 αἴτιον — 5 ὀργὴν excerpsit Suid 4 κλεῖτον, εῖ ex ι corr. L; item infra u. 7 et 9 ἀπερείσασθαι Suid 5 ὁ om. V προηρητο (s. m. 2) V Ληουῖν] λευῖν PAL^2 λευῖ M λήουιν aut λίουιν L^1 ληούϊν, η ex ι corr. V λϊουϊν R λευΐαν C *leuin* Lat 6 αὐτοῦ VRC κλείτου δείσασ δὲ ἐκεῖ post αὐτοῦ expunctum V 7 εἰς suppl. m. 2 L ἐχθρὸν P 9 ἐπισπᾶσθαι] ἀποσπᾶσθαι VRC 10 ἀπὸ τῆς ἀκτῆς om. Lat καταλειπεῖν PA 12 αυτοῦ L^1 αὐτοῦ L^2 αὐτοῦ V ὑπέκοψε C 13 ὑπὸ τοῦ] PAMLLat ὑπ' αὐτοῦ VRC 15 Τιβεριάδα] τὴν τιβεριάδα VRC μετὰ — 16 εὑρὼν] *paucis autem diebus post cum etiam sefforin defecisse inter alias repperisset* Lat δὲ MVRC σεπφωρίταισ, litt. ταισ i. ras. 3 litt. m. 2 L γίσχαλαν (· γίσχαλα C) σεπφωρίταισ MC σέπφωριν VR 16 εὑρὼν] ἑλὼν MLVRC ἐπέτρεψεν] ἐπέτρεψε μὲν VRC συναγαγὼν — 18 χειρωσάμενος] *omniaque inde collecta popularibus dedit etiam sefforitis; nam et captos* Lat 17 ἔδωκεν τοῖς τε om. R σέπφωριν, ιν i. ras. m. 2 A σεπφώριν VRC ὁμοίως· καὶ γὰρ ἐκείνους] ὁμοίωσ καὶ τιβεριάδα καὶ γὰρ κἀκείνουσ VRC 19 τῇ δ' ἀποδόσει] καὶ τῇ ἀποδόσει VRC ἀποδώσει P πάλιν om. V προσηγάγετο] (*uoluit*) *reuocare* Lat

XXII. 1. *Τὰ μὲν οὖν κατὰ Γαλιλαίαν ἐπέπαυτο κινήματα,* 647
καὶ τῶν ἐμφυλίων πανσάμενοι Ἰουδαῖοι ἐπὶ τὰς πρὸς Ῥωμαίους
ἐτράποντο παρασκευάς· ἐν δὲ τοῖς Ἱεροσολύμοις Ἄνανός τε ὁ 648
ἀρχιερεὺς καὶ τῶν δυνατῶν ὅσοι μὴ τὰ Ῥωμαίων ἐφρόνουν τό τε
τεῖχος ἐτεσκεύαζον καὶ πολλὰ τῶν πολεμιστηρίων ὀργάνων. καὶ 649
διὰ πάσης μὲν τῆς πόλεως ἐχαλκεύετο βέλη καὶ πανοπλία, πρὸς
ἀτάκτοις δὲ γυμνασίαις τὸ τῶν νέων πλῆθος ἦν, καὶ μεστὰ πάντα
θορύβου, δεινὴ δὲ καὶ ἐφεία τῶν μετρίων, καὶ πολλοὶ τὰς μελλούσας
προορώμενοι συμφορὰς ἀπωλοφύροντο. Θειασμοί τε τοῖς εἰρήνην 650
ἀγαπῶσιν δύσφημοι, τοῖς δὲ τὸν πόλεμον ἐξάψασιν ἐσχεδιάζοντο
πρὸς ἡδονήν, καὶ τὸ καταύτιμα τῆς πόλεως πρὶν ἐπελθεῖν Ῥωμαίοις
ἦν οἷον ἀπολουμένης. Ἀνάνῳ γε μὴν φρονοῦντι ἦν κατὰ μικρὸν ἀφι- 651
σταμένῳ τῶν εἰς τὸν πόλεμον παρασκευῶν κάμψαι πρὸς τὸ συμ-
φέρον τούς τε στασιαστὰς καὶ τὴν τῶν κληθέντων ζηλωτῶν ἀφρο-
σύνην, ἡττήθη δὲ τῆς βίας, κἀν τοῖς ἑξῆς οἷον τέλους ἔτυχεν
δηλώσομεν.

2. *Κατὰ δὲ τὴν Ἀκραβετηνὴν τοπαρχίαν ὁ Γιώρα Σίμων πολ-* 652
λοὺς τῶν νεωτεριζόντων συστησάμενος ἐφ' ἁρπαγὰς ἐτράπετο καὶ
οὐ μόνον τὰς οἰκίας ἐσπάρασσεν τῶν πλουσίων, ἀλλὰ καὶ τὰ
σώματα κατηκίζετο δῃλός τε ἦν ἤδη πόρρωθεν ἀρχόμενος τυραν-
νεῖν. πεμφθείσης δ' ἐπ' αὐτὸν ὑπ' Ἄνανου καὶ τῶν ἀρχόντων 653
στρατιᾶς πρὸς τοὺς ἐν Μασάδᾳ λῃστὰς μεθ' ὧν εἶχεν κατέφυγεν,

PAMLVRC Lat Suidas s. *Θειασμοί. ἐσχεδίαζον.*

4 *τὰ μὴ* tr. VRC *ῥωμαίων, αί* ex *ί* corr. A *τε* om. PAM 6 *πανοπλίαι* M 7 *ἀτάκτοις*] *iussis* (h. e. *τακταῖς*) Lat *καὶ μεστὰ πάντα*] *μεστὰ δ' ἦν πάντα* L *καὶ μεστὰ ἦν πάντα* VRC et ut uid. Lat 9 *Θειασμοί* — 10 *δύσφημοι*] habet Suid *infestaque pacem cupientibus omina* (sic Destinon *omnia* codd.) *uidebantur* Lat *Θιασμοὶ* V¹R *τε*] PAMLSuid *δὲ* VRC *τοῖς*] *τὴν* M 10 *τοῖς* — 11 *ἡδονήν* habet Suid s. *ἐσχεδίαζον* *ἐσχεδιάζοντο*] PAMLSuid *ἐσχετλιάζοντο* VRC *ex tempore fingebantur* Lat 11 *ἐπανελθεῖν* L *Ῥωμαίους*] *ῥωμίους* A *τὸν πόλεμον* et i. marg. m. 2 *ῥωμαίους* V 12 *γε μὴν*] *τε μὴν* PA¹ML *autem* Lat *φροντὶς* — 14 *ἀφροσύνην*] *apparatum belli neglegere cura fuit et studiosorum, quos aemulatores uocabant, amentiam ad utiliora conuertere* Lat 15 *ἡττήθη*] *ἥττητο* VRC 16 *δηλώσομεν* A¹ et ex corr. P 17 *ἀκραβετινὴν* PA *ἀκραιβατηνὴν* M *ἀκραβατηνὴν* VR *ἀκραιβατινὴν* C *acrabatena* Lat *γιώρα·*, eras. *σ* L *γεώρα* V 18 *ἁρπαγὴν* P 19 *ἐσπάρασσε* VRC *ἐτάρασσεν* (— *σε* LM) PAMLLat 20 *κατηκίζετο*] *κατηκοντίζετο* R et i. marg. m. 2 V 21 *δὲ* VRC *ἐπ'*] *ὑπ'* ut uid. L¹ *ἐπ'* i. ras. Lips *ἀνανίου* L¹ *καὶ τῶν*] C *τῆσ* (ex *τισ* corr. A) *τῶν* PAMLLat *καὶ τῆσ τῶν* V *καὶ* R; uide p. 272, 1 22 *μασάδη* P *μασάδα, ασ* ex *εσ* corr. M *magadae* Lat *κατέφευγεν* (*-γε* M) AM

κἀκεῖ μέχρι τῆς Ἰνάνου καὶ τῆς τῶν ἄλλων ἐχθρῶν ἀναιρέσεως μένων
654 συνελήζετο τὴν Ἰδουμαίαν· ὥστε τοὺς ἄρχοντας τοῦ ἔθνους διὰ τὸ πλῆθος τῶν φονευομένων καὶ τὰς συνεχεῖς ἁρπαγὰς στρατιὰν ἀθροίσαντας ἐμπρούρους τὰς κώμας ἔχειν. καὶ τὰ μὲν κατὰ τὴν Ἰδουμαίαν ἐν τούτοις ἦν.

PAMLVRCLat.

1 *τῆς τῶν*] *τῶν* LVRC 2 *συνελήζετο* codd. *ἰδουμίαν* A 3 *ἀθροίσαντας* om. A 4 *ἐνφρούρους* A *καὶ*] *αλλὰ* (sic) VC, om. LR *τὴν* om. VRC *Ἰδουμαίαν*] *ἰδουμίαν* A *ἰουδαίαν* VC *ἰουδαίων* R

Subscriptiones: *λόγος* $\overline{\beta}$ PA *ἰωσήπου ἑβραίου ἰουδαϊκῆς ἱστορίας λόγος β΄* M *φλαυΐου ἰωσ*$\overset{\pi}{\eta}$ *λόγος* $\overline{\beta}$ V *τέλος φλαουΐου ἰωσίπου περιαλώσεως λόγος δεύτερος* R *τέλος τοῦ β λόγου τῆς ἰουδαικῆς ἱστορίας* C *fl iosippi liber secundus explicit incipit liber tertius* cod. Vat. Lat

III.

Φλαυίου Ἰωσήπου ἱστορία Ἰουδαϊκοῦ πολέμου πρὸς Ῥωμαίους βιβλίον γ'.

I. 1. *Νέρωνι δ' ὡς ἠγγέλη τὰ κατὰ τὴν Ἰουδαίαν πταίσματα,* 1
λελιθυῖα μὲν ὡς εἰκὸς ἔκπληξις ἐμπίπτει καὶ δέος, φανερῶς δὲ
ὑπερηφάνει καὶ προσωργίζετο, στρατηγῶν μὲν ῥᾳστώνῃ μᾶλλον ἢ 2
ταῖς τῶν πολεμίων ἀρεταῖς γεγονέναι τὰ συμβάντα λέγων, πρέπειν
δ' ἡγούμενος ἑαυτῷ διὰ τὸν ὄγκον τῆς ἡγεμονίας κατασοβαρεύεσθαι
τῶν σκυθρωπῶν καὶ δοκεῖν δεινοῦ παντὸς ἐπάνω τὴν ψυχὴν ἔχειν.
διηλέγχετό γε μὴν ὁ τῆς ψυχῆς θόρυβος ὑπὸ τῶν φροντίδων 2. *σκεπ-* 3
τομένου τίνι πιστεύσει κινουμένην τὴν ἀνατολήν, ὃς τιμωρήσεται
μὲν τὴν τῶν Ἰουδαίων ἐπανάστασιν, προκαταλήψεται δ' αὐτοῖς ἤδη
καὶ τὰ πέριξ ἔθνη συννοσοῦντα. μόνον εὑρίσκει Οὐεσπασιανὸν ταῖς 4
χρείαις ἀναλογοῦντα καὶ τηλικούτου πολέμου μέγεθος ἀναδέξασθαι
δυνάμενον, ἄνδρα ταῖς ἀπὸ νεότητος στρατείαις ἐγγεγηρακότα καὶ

PAMLVRC Lat Hegesippus III 1 p. 169.

Titulus: *φλαυίου ἰωσήπου ἰουδαϊκῆς ἱστορίας βιβλίον γ̄* P *φλαυΐου ἰωσήπου περὶ ἁλώσεως ἰουδαϊκῆς ἱστορίας λόγος γ̄* A *φλαυΐου ἰωσηπου ἑβραίου περὶ ἁλώσεως ἰουδαϊκῆς ἱστορίας λογος τρίτος* M *τοῦ αὐτοῦ βιβλίον γ̄* L *ἰωσήπου περὶ ἁλώσεως λόγος τρίτος* VR *φλαυίου ἰωσήπου ἰουδαϊκῆς περι ἁλώσεως λόγος γ̄* C 1 *δὲ* V *ἠγγέλει* A *ἠγγέλλη* VC 2 *δ'* L 3 *προσοργίζετο* LC¹ *στρατηγοῦ* MLVRCLat *μὲν* om. R 5 *δὲ* VRC *ἑαυτῷ*] *αὐτῷ* VR *αὐτὸν* C *αὐτῷ* Dindorf 7 *διειλέγχετο* A *σκεπτομένου*] PAMLVRLat et ut uid. Heg *σκεπτόμενος δὲ* C 8 *πιστεύσει* L *πιστεύσει* V *πιστεύσειε* RC 9 *μὲν* s. L *τῶν* om. AMLRC *δὲ* VRC 10 *συννοσοῦντα* A *μόνον*] *μόνον οὖν* MLat et ex corr. A fort. recte, nisi *μόνον δ'* mauis 12 *δυναμένον*, *δ* i. ras. A *νεώτητος* A *στρατιαῖς* PMRCV² *στρατειαῖς*, *ει* ex *ι* corr. A *στρατιᾶς* V¹ *bellis* Lat *militiae* Heg

προειρηνεύσαντα μὲν πάλαι Ῥωμαίοις τὴν ἑσπέραν ὑπὸ Γερμανῶν
ταρασσομένην, προσκτησάμενον δὲ τοῖς ὅπλοις Βρεττανίαν τέως
5 λανθάνουσαν, ὅθεν αὐτοῦ καὶ τῷ πατρὶ Κλαυδίῳ παρέσχε χωρὶς
ἱδρῶτος ἰδίου θρίαμβον καταγαγεῖν.
6 3. Ταῦτά τε δὴ προκληδονιζόμενος καὶ σταθερὰν μετ' ἐμπει- 5
ρίας τὴν ἡλικίαν ὁρῶν, μέγα δὲ πίστεως αὐτοῦ τοὺς υἱοὺς ὅμηρον
καὶ τὰς τούτων ἀκμὰς χεῖρα τῆς πατρῴας συνέσεως, τάχα τι καὶ
7 περὶ τῶν ὅλων ἤδη τοῦ θεοῦ προοικονομουμένου, πέμπει τὸν ἄνδρα
λιψόμενον τὴν ἡγεμονίαν τῶν ἐπὶ Συρίας στρατευμάτων, πολλὰ
πρὸς τὸ ἐπεῖγον οἷα κελεύουσιν αἱ ἀνάγκαι μειλιξάμενός τε καὶ 10
8 προθεραπεύσας. ὁ δ' ἀπὸ τῆς Ἀχαΐας, ἔνθα συνῆν τῷ Νέρωνι,
τὸν μὲν υἱὸν Τίτον ἀπέστειλεν ἐπ' Ἀλεξανδρείας τὸ πέμπτον καὶ
δέκατον ἐκεῖθεν ἀναστήσοντα τάγμα, περάσας δ' αὐτὸς τὸν Ἑλλήσ-
τοντον πεζὸς εἰς Συρίαν ἀφικνεῖται κἀκεῖ τάς τε Ῥωμαϊκὰς δυνά-
μεις συνήγαγε καὶ συχνοὺς παρὰ τῶν γειτνιώντων βασιλέων συμ- 15
μάχους.
9 II. 1. Ἰουδαῖοι δὲ μετὰ τὴν Κεστίου πλημμὴν ἐτιμῶντο ταῖς
ἀδοκήτοις εὐπραγίαις ἀκρατεῖς ἦσαν ὁρμῆς καὶ ὥστερ ἐκριτιζό-
μενοι τῇ τύχῃ προσωτέρω τὸν πόλεμον ἐξῆγον· πᾶν γοῦν εὐθέως
ὅσον ἦν μαχιμώτατον αὐτοῖς ἀθροισθέντες ὥρμησαν ἐπ' Ἀσκά- 20
10 λωνα. πόλις ἐστὶν ἀρχαία τῶν Ἱεροσολύμων εἴκοσι πρὸς τοῖς πεντα-
κοσίοις ἀπέχουσα σταδίους ἀεὶ διὰ μίσους Ἰουδαίοις γεγενημένη,
11 διὸ καὶ τότε ταῖς πρώταις ὁρμαῖς ἐγγίων ἔδοξεν. ἐξηγοῦντο δὲ τῆς

PAMLVRC Lat Hegesippus III 1 p. 170 sq. Suidas s. *προσκληδονιζόμενος, σταθερόν.*

2 δὲ] *τε* PAML 3 *λανθάνουσαν*] *inter undas latentem* Heg αὐτοῦ] αὐτῷ PAML² et ut uid. Heg *ipsius* Lat *πατρὶ*] *πατρὶ αὐτοῦ* C 5 *ταῦτα* — 6 *ὁρῶν* habet Suidas *προσκληδονιζόμενος* Suid *σταθερὰν* VR 6 *μέγα δὲ* — *ὅμηρον*] *obsidesque fidei liberos* Lat *μέγα*] Destinon *μετὰ* codd. 7 *χεῖρας* L¹Lat *τάχα*] *τάχιστα* C 9 *ληψόμενον*] *διαληψόμενον* VRC *παραλη-ψόμενον* Destinon *στρατευμάτων*] *ταγμάτων*, i. marg. *γρ στρατευμάτων* m. 2 V 11 *προσθεραπεύσας* C *δὲ* PVRC *ἀπὸ*] *protinus ex* Lat *συνῆν, η* i. ras. m. 2 C 12 *ἀπέστειλεν*] *ἔστειλεν* LVRC *ἀλεξάνδρειαν* PAML² *τὸ*] *τό τε* VRC *πέμπτον καὶ δέκατον*] Niese praeeunte Cardwello *πέμπτον καὶ τὸ δέκατον* codd. Lat; uide infra III 65. Tacit. hist. V 1 13 *ἀναστῆσον* A¹ *τάγματα* VRC *δὲ* VRC *ἑλλήσποντον, τ* i. ras. A *ἑλήσποντον* V *ad hellespontum* Lat 15 *συνῆγε* VRC *γειτνιόντων* PAV 17 *Κεστίου*] *τοῦ κεστίου* A 18 *ἀδοκήταις* V 19 *εὐθέως* om. Lat 20 *μαχιμώτατον* A *αὐτοῖς*] *αὐτῶν* LVRC, om. Lat 21 *πόλις*] *πόλις δὲ* V *τοὶς* ex *τοὺς* corr P *τοὺς* V *πεντακοσίους* V *septingentorum* LatHeg 22 *ἀεὶ* MVRC *ἰουδαίων* C 23 *ἐγγίων*] *ἔγγιον* PML *ἐγγιεῖν* VRC *propior* Lat

καταδρομῆς τρεῖς ἄνδρες ἀλκήν τε κορυφαῖοι καὶ σύνεσιν. Νίγερ τε ὁ Περαΐτης καὶ ὁ Βαβυλώνιος Σίλας, πρὸς οἷς Ἰωάννης ὁ Ἐσσαῖος. ἡ δὲ Ἰσκάλων ἐτετείχιστο μὲν καρτερῶς, βοηθείας δὲ ἦν σχεδὸν 12 ἔρημος· ἐφρουρεῖτο γὰρ ὑπό τε σπείρας πεζῶν καὶ ὑπὸ μιᾶς ἴλης ἱππέων, ἧς ἐπῆρχεν Ἀντώνιος.

2. Οἱ μὲν οὖν πολὺ ταῖς ὁρμαῖς συντονώτερον ὁδεύσαντες ὡς 13 ἐγγύθεν ὡρμημένοι καὶ δι' ἡμέρας· ὁ δὲ Ἀντώνιος, οὐ γὰρ ἠγνόει 14 μέλλουσαν ἔτι τὴν ἔφοδον αὐτῶν, προεξήγαγε τοὺς ἱππεῖς καὶ οὐδὲν οἵτε πρὸς τὸ πλῆθος οἵτε τὴν τόλμαν ὑποδείσας τῶν πολεμίων καρτερῶς τὰς πρώτας ὁρμὰς ἀνεδέξατο καὶ τοὺς ἐπὶ τὸ τεῖχος ὠθουμένους ἀνέστειλεν. οἱ δὲ πρὸς ἐμπείρους πολέμων ἄπειροι 15 καὶ πεζοὶ πρὸς ἱππεῖς, ἀσύντακτοί τε πρὸς ἡνωμένους καὶ πρὸς ὁπλίτας ἐξηρτυμένους εἰκαιότερον ὡπλισμένοι, θυμῷ τε πλέον ἢ βουλῇ στρατηγούμενοι πρὸς εὐπειθεῖς καὶ νεύματι πάντα πράττοντας ἀντιτασσόμενοι πονοῦσιν ῥᾳδίως· ὡς γὰρ αὐτῶν ἅπαξ ἴδοι 16 συνεταράχθησαν αἱ πρῶται φάλαγγες, ὑπὸ τῆς ἵππου τρέπονται, καὶ τοῖς κατόπιν αὐτῶν ἐπὶ τὸ τεῖχος βιαζομένοις περιπίπτοντες ἀλλήλων ἦσαν πολέμιοι, μέχρι πάντες ταῖς τῶν ἱππέων ἐμβολαῖς

PAMLVRC Lat Hegesippus III 4 p. 177. Suidas s. *ἐκριπίζεσθαι*.

1 *σύνεσιν* MLVRC 2 *ἐσαῖος* C 4 *σπείρας*] C *σπείρης* PAMLVR *una cohorte* Lat; numerum supplendum esse putat Destinon *Ἴλης* PAML²C *εἴλης* L¹ *εἰλῆς* R · *ἴλης* V 5 *ὑπῆρχεν* PM *Ἀντώνιος*] *ἀντώνιος ἡγεμων* (*ὁ ἡγεμὼν* P) PAM 6 *πολλοὶ* PC *ὁρμαῖς*] PAL² *ὀργαῖσ* ML¹VRC *ira* Lat *συντομώτερον* PL 8 *μέλουσαν* C *ἔτι*] *ἐπὶ* L¹ *προεξήγαγε*] *προεξήγαγέ* (*-γέν* AL¹) *τε* AML 9 *τὴν*] *πρὸς τὴν* VRC *ὑποδήσασ* C 10 *ἀνεδέξατο*] *ὑπεδέξατο* C *τοῦ τεῖχουσ* (*ουσ* ex *οσ* corr.) V 11 *ὠθουμένους*] *ὡρμημένουσ* PAML *properantes aggredi* Lat *ἀνέστειλε* PM *οἱ* — 15 *ῥᾳδίως*] *itaque iudaei quod cum peritioribus imperiti et pedites cum equitibus cum stipatis autem inordinati leviterque armati cum instructis plusque indignationi quam consilio tribuentes cum morigeris et mutu rectoris omnia facientibus erant dimicaturi, facilis erat aduersariis labor* Lat *οἱ*] *τοῖσ* PAM *ἐμπείρους*] *ἐμπείρουσ τε* L *ἐμπείρουσ γε* VRC *πολέμων*] *πολέμου* PAM *πολεμεῖν* L *ἀπείροισ* PAM 12 *πεζοῖσ* (ex *πεζοὺσ* corr. A) PAM *ἀσυντάκτοισ* PAM *πρὸς ἡνωμένους*] *προσηνωμένοισ* P *προσηνωμένουσ* AR 13 *ἐξηρτυμένους*] ex *ἐξηρτυμένοσ* corr. A *ἐξηρτημένουσ* VR *ἐξηρτῦμένουσ* C *ὡπλισμένοισ* PAM *πλεῖον* A 14 *στρατηγούμενοι*] PLVRC *στρατηγουμένοι* A *στρατηγουμένοισ* M 15 *ἀντιτασσομένοισ* PAM *πονοῦσιν ῥᾳδίως*] *πόνοσ ἦν ῥάδιοσ* PAM *πόνοι ἦσαν ῥάδιοι* L *πόνοσ ἦν ῥᾳδίωσ* Destinon ex PAM *ἅπαξ* om. LVR 17 *βιαζόμενοι* · V 18 *πάντες*] *πάντωσ* L¹ *ἐμβολαῖς*] PAL Lat *εἰσβολαῖσ* MC et i. marg. V *ἀπειλαῖσ* R et i. marg. M

εἴξαντες ἐσκεδάσθησαν ἀνὰ πᾶν τὸ πεδίον· τὸ δὲ ἦν πολὺ καὶ
17 πᾶν ἱππάσιμον. ὃ δὴ καὶ τοῖς Ῥωμαίοις συνεργῆσαν πλεῖστον
εἰργάσατο τῶν Ἰουδαίων φόνον· τούς τε γὰρ φεύγοντας αὐτῶν
φθάνοντες ἐπέστρεφον καὶ τῶν ὑπὸ τοῦ δρόμου συνειλουμένων
διεκπαίοντες ἀπείρους ἀνῄρουν, ἄλλοι δὲ ἄλλους ὅπῃ τρέποιντο
18 κυκλούμενοι καὶ περιελαύνοντες κατηκόντιζον ῥᾳδίως. καὶ τοῖς μὲν
Ἰουδαίοις τὸ ἴδιον πλῆθος ἐρημία παρὰ τὰς ἀμηχανίας κατεφαί-
νετο, Ῥωμαῖοι δὲ ἐν ταῖς εὐπραγίαις καίπερ ὄντες ὀλίγοι τῷ
19 πολέμῳ καὶ περισσεύειν σφᾶς αὐτοὺς ὑπελάμβανον. καὶ τῶν μὲν
προσφιλονεικούντων τοῖς πταίσμασιν αἰδοῖ τε φυγῆς ταχείας καὶ
μεταβολῆς ἐλπίδι, τῶν δὲ μὴ κοπιώντων ἐν οἷς εὐτύχουν, παρέ-
τεινεν ἡ μάχη μέχρι δείλης, ἕως ἀνῃρέθησαν μὲν μύριοι τῶν Ἰου-
20 δαίων τὸν ἀριθμὸν ἄνδρες καὶ δύο τῶν ἡγεμόνων, Ἰωάννης τε
καὶ Σίλας· οἱ λοιποὶ δὲ τραυματίαι τὸ πλέον σὺν τῷ περιλειπο-
μένῳ τῶν ἡγεμόνων Νίγερι τῆς Ἰδουμαίας εἰς πολίχνην τινά, Χάαλλις
21 καλεῖται, συνέφυγον. ὀλίγοι δέ τινες καὶ τῶν Ῥωμαίων ἐπὶ τῇσδε
τῆς παρατάξεως ἐτρώθησαν.

22 3. Οὐ μὴν οἱ Ἰουδαῖοι τηλικαύτῃ συμφορᾷ κατεστάλησαν τὰ
φρονήματα, μᾶλλον δ' αὐτῶν τὸ πάθος ἤγειρε τὰς τόλμας, ὑπερο-
ρῶντές τε τοὺς ἐν ποσὶ νεκροὺς ἐδελεάζοντο τοῖς προτέροις κατορ-
23 θώμασιν ἐπὶ πλῆγὴν δευτέραν. διαλιπόντες γοῦν οὐδ' ὅσον ἰάσα-
σθαι τὰ τραύματα καὶ τὴν δύναμιν πᾶσαν ἐπισυλλέξαντες ὀργι-

PAMLVRC Lat Hegesippus III 4 p. 178.

1 *πολὺ*] *πλατὺ* (*πλατὺ*· C) VRC *plurimus* Lat 2 *τοῖς ῥωμαίων* R 4 *καὶ — 5 ἀνῄρουν*] *et quos occupassent curriculo transigendo infinitos peremerunt* Lat *συνειλουμένου* C 5 *διεκπαίοντες, αίο* i. ras. minore V *διεκπεσόντες* (s. P) PA *ὅποι* L 6 *περιελαύνοντες*] *exagitantes* Lat 8 *ῥωμαίοις* V¹ *δὲ ἐν*] *δ' ἐν* L *δὲ* VR *ὄντες* om. PA *τῷ πολέμῳ*] *τῶν πολεμίων* Niese 10 *αἰδοῖ*] *αἰδοῦσ* P *αἰδοῖ, οῖ* ex *οὐσ* uid. corr. A *με*
11 *ταβολῆσ* A *κοπιόντων* P 12 *μὲν* om. P *μύριοι τὸν ἀριθμὸν ἄνδρες* (omisso *τῶν Ἰουδαίων*) Holwerda p. 26 *μύριοι τῶν τὸν ἀριθμὸν Ἰουδαῖοι ἄνδρεσ* tr. C 13 *τὸν* om. AMLVR *ἄνδρες* om. P *ἡγουμένων* L *τε* om. C 14 *περιλειπομένων* A¹ 15 *Χάαλλις*] *χαάλλισ, σ* s. A *χαάλισ* et i. marg. *εὕρηται σάλλισ* M *σάλλισ* LRC *ἢ σάλλισ* V *challis* Lat 18 *οἱ* om. L 19 *δὲ* PVRC *πάθος*] *πλῆθοσ* L *ὑπερορῶντες — 20 ποσὶ*] *et conicientes quantum ante pedes mortuorum iaceret* Lat 20 *τε*] *δὲ* L *ἐδελεάζοντο, λ* ex *α* corr. L *προτέροις*] *προγενεστέροισ* PAM unde *προγεγενημένοις* aut simile coniecerit aliquis 21 *δευτέραν, δευ* i. ras. uid. A *διαλειπόντεσ* C *οὐδ'*] *οὐχ* P *οὐδὲ* VRC *ἰᾶσθαι* VR *ὀργιλώτερον*] *ὀργιλώτεροι* VRC

λώτερον καὶ πολλῷ πλείους ἐπαλινδρόμουν ἐπὶ τὴν Ἀσκάλωνα. παρείλετο δ' αὐτοῖς μετά τε τῆς ἀπειρίας καὶ τῶν ἄλλων πρὸς 24
πόλεμον ἐλασσωμάτων ἡ προτέρα τύχη· τοῦ γὰρ Ἀντωνίου τὰς 25
παρόδους προλοχίσαντος ἀδόκιμοι ταῖς ἐνέδραις ἐμπεσόντες καὶ
ὑπὸ τῶν ἐπιόντων πρὶν εἰς μάχην συντάξασθαι κυκλωθέντες, πάλιν
πίπτουσι μὲν ὑπὲρ ὀκτακισχιλίους, οἱ λοιποὶ δὲ πάντες ἔφυγον,
σὺν οἷς καὶ Νίγερ, πολλὰ κατὰ τὴν φυγὴν εὐτολμίας ἐπιδειξάμενος
ἔργα. συνελαύνονταί τε προσκειμένων τῶν πολεμίων εἴς τινα πύργον
ὀχυρὸν κώμης Βελζεδὲκ καλουμένης. οἱ δὲ περὶ τὸν Ἀντώνιον ὡς 26
μήτε τρίβοιντο περὶ τὸν πύργον ὄντα δυσάλωτον μήτε ζῶντα τὸν
ἡγεμόνα καὶ γενναιότατον τῶν πολεμίων περιίδοιεν, ὑποτιμῶσι
τὸ τεῖχος. φλεγομένου δὲ τοῦ πύργου Ῥωμαῖοι μὲν ἀναχωροῦσι 27
γεγηθότες ὡς διεφθαρμένου καὶ Νίγερος, ὁ δὲ εἰς τὸ μυχαίτατον
τοῦ φρουρίου σπήλαιον καταπηδήσας ἐκ τοῦ πύργου διασῴζεται,
καὶ μεθ' ἡμέρας τρεῖς τοῖς μετ' ὀλοφυρμοῦ πρὸς κηδείαν αὐτὸν
ἐρευνῶσιν ὑποφθέγγεται. προελθὼν δὲ χαρᾶς ἀνελπίστου πάντας 28
ἐπλήρωσεν Ἰουδαίους ὡς προνοίᾳ θεοῦ σωθεὶς αὐτοῖς στρατηγὸς
εἰς τὰ μέλλοντα.

4. Οὐεσπασιανὸς δὲ τὰς δυνάμεις ἀναλαβὼν ἐκ τῆς Ἀντιο- 29
χείας, ἣ μητρόπολίς ἐστι τῆς Συρίας, μεγέθους τε ἕνεκα καὶ τῆς
ἄλλης εὐδαιμονίας τρίτον ἀδιρίτως ἐπὶ τῆς ὑπὸ Ῥωμαίοις οἰκου-
μένης ἔχουσα τόπον, ἔνθα μετὰ πάσης τῆς ἰδίας ἰσχύος ἐκδεχό-
μενον αὐτοῦ τὴν ἄφιξιν καὶ Ἀγρίππαν τὸν βασιλέα κατειλήφει,
ἐπὶ Πτολεμαΐδος ἠπείγετο. καὶ κατὰ ταύτην ὑπαντῶσιν αὐτῷ τὴν 30

PAMLVRC Lat Hegesippus III 4 p. 178. 180.

1 *πολλῷ*] πολὺ AMLVRC 2 *παρήπετο* V¹ *δὲ* PVRC *τε*] AL et ex corr. P om. P¹VRC *γε* M *πρὸς* om. V¹ 3 *ἐλασσομάτων* PC¹ 4 *προλοχήσαντος* AL *προλοχίσαντος, ι* ex *η* corr. VC *ἀδόκιτοι* P 7 *σὺν* — 9 *καλουμένης*] *cumque his niger multis dum fugeret magni animi facinoribus demonstratis, et quoniam hostes instarent in turrem quandam tutissimam compelluntur alicuius uici, cui nomen est baldezel* Lat *ἐπιδειξάμενοι* PA 8 *συνελαύνονταί τε*] ex Lat Destinon *συνελαύνονται* PA *συνελαύνεται* L *συνελαύνονται δ' οὖν* MRC *συνελαύνονται οὖν* V 9 *Βελζεδὲκ*] *βεδεζὲλ* L *βεζεδὲλ* MVRC *baldezel* Lat 11 *περιείδοιεν* VR *ὑποπιπρᾶσι* C¹ 14 *τοῦ φρουρίου σπήλαιον*] *τοῦ σπηλαίου* P *castelli specus* Lat; *σπήλαιον* suspectum *πύργου*] *πυρὸς* Destinon et Niese 15 *ἡμέρας τρεῖς*] *ἡμέραν τρίτην* VRC *ὀλοφυρμῶν* VRC 16 *ἀνερευνῶσιν* ML *ὑποφθέγγεται*] *sese ostendit* Lat 19 i. marg. *γ̄* C *ἀναλαβὼν ἐκ τῆς Ἀντιοχείας*] *antiochiam ducens* Lat 20 *ἣ*] *ἥ* P *ἣ* V *μητρόπολι* A *τῆς* s. V 21 *τρίτον* om. L¹ *ἀδήριτος* L¹ *τῆς*] *τοῖς* PMC² 22 *ἐκδεχόμενον* P *ἐκδεχόμενος* C *ἐκδεχόμενον* — 23 *ἄφιξιν*] *aduentu suo* Lat 24 *κατὰ ταύτην*] *κατ' αὐτὴν* PAML *in hac* Lat

πόλιν οἱ τῆς Γαλιλαίας Σέπφωριν νεμόμενοι πόλιν, μόνοι τῶν
31 τῇδε εἰρηνικὰ φρονοῦντες· οἳ καὶ τῆς ἑαυτῶν σωτηρίας καὶ τῆς
Ῥωμαίων ἰσχύος οὐκ ἀπρονόητοι πρὶν ἀφικέσθαι Οὐεσπασιανὸν
Καισεννίῳ Γάλλῳ πίστεις τε ἔδοσαν καὶ δεξιὰς ἔλαβον καὶ παρε-
32 δέξαντο φρουράν. τότε γε μὴν φιλοφρόνως ἐκδεξάμενοι τὸν ἡγε- 5
μόνα προθύμως σφᾶς αὐτοὺς ὑπέσχοντο κατὰ τῶν ὁμοφύλων συμ-
33 μάχους· οἷς ὁ στρατηγὸς ἀξιώσασι τέως πρὸς ἀσφάλειαν ἱππεῖς
τε καὶ πεζοὺς παραδίδωσιν ὅσους ἀνθέξειν ταῖς καταδρομαῖς, εἴ
34 τι Ἰουδαῖοι παρακινοῖεν, ὑπελάμβανον· καὶ γὰρ οὐ μικρὸν ἐδόκει
τὸ κινδύνευμα πρὸς τὸν μέλλοντα πόλεμον ἀφαιρεθῆναι τὴν Σέπ- 10
φωριν, μεγίστην μὲν οὖσαν τῆς Γαλιλαίας πόλιν, ἐρυμνοτάτῳ δ'
ἐπιτετειχισμένην χωρίῳ καὶ φρουρὰν ὅλου τοῦ ἔθνους ἐσομένην.
35 III. 1. Δύο δ' οὔσας τὰς Γαλιλαίας, τήν τε ἄνω καὶ τὴν
κάτω προσαγορευομένην, περιίσχει μὲν ἡ Φοινίκη τε καὶ Συρία,
διορίζει δὲ ἀπὸ μὲν δύσεως ἡλίου Πτολεμαΐς τοῖς τῆς χώρας τέρ- 15
μασι καὶ Κάρμηλος, τὸ πάλαι μὲν Γαλιλαίων, νῦν δὲ Τυρίων
36 ὄρος· ᾧ προσίσχει Γαβαά, πόλις ἱππέων, οὕτω προσαγορευομένη
διὰ τὸ τοὺς ὑφ' Ἡρώδου βασιλέως ἀπολυομένους ἱππεῖς ἐν αὐτῇ
37 κατοικεῖν· ἀπὸ δὲ μεσημβρίας Σαμαρεῖτίς τε καὶ Σκυθόπολις μέχρι
τῶν Ἰορδάνου ναμάτων. πρὸς ἕω δὲ Ἱππηνῇ τε καὶ Γαδάροις ἀπο- 20

PAMLVRC Lat Hegesippus III 5 p. 180.

1 *νεμόμενοι πόλιν, μόνοι*] PAMLat *νεμόμενοι μόνοι* L^2 *νεμόμενοι* L^1VRC 3 post *πρὶν* eras. *ἡ* L 4 *Καισεννίῳ*] *καὶ σεντίω* PA *κεσσεννίω τῶ* L *κεστίω* MVRC *cestio* cod. Vat. *sentio* cod. Berol. Lat *caesentio* Heg; cf. supra II 510 *τε* om. A 5 *τότε*] *τό* L^1 *πό* (*π* a rubricatore additum) C *τότε γε μὴν*] *itaque et* Lat 8 *παραδίδων* R *ὅσους* iteratum deleuit man. 2 V 9 *ἴουδαίοις* L^1 *παρακινοῖ εν* ex *παρακει · · ἴνοισεν* corr. L *ὑπελάμβανο* | M *ὑπελάμβανεν* (*-νε* VC) VRC Lat fort. recte *οὐ*] *οὐδὲ* VRC 11 *ἐρυμνωτάτω* AL^1 *ἐρυμνοτάτην, ο* ex *ω* corr. V *δὲ* VRC 12 *ἐπιτετειχισμένην — ὅλου* om. C *ἐπιτετειχισμένην*] *ἐπεκτισμένην* VR et i. marg. M *conditam* Lat 13 i. marg. *ᾱ* V *δ̄* C *δὲ* VR *τὴν* om. PAL 14 *προσαγορευομένας* L *περιίσχει*] *ἣν περιΐσχει* PA *τε* om. VRC 15 *δ'* L *ptolomais* Lat *τέρμασι*] *τέλμασι* VR 16 *καὶ — Γαλιλαίων* om. C *καὶ — 17 ὄρος*] *quondam et galileorum, nunc autem mons tyriorum carmelus* Lat 17 *προίσχει* MR *Γαβαὰ*] *εὕρηται καὶ γάβλα* i. marg. M *γάβαλα* LC *γαβλαα* VR *gaba* Lat *gabaa* Heg *Γάβα* Ant. Iud. XV 294 uita 115 *πόλις ἱππέων*] *ciuitas hippeon hoc est equitum* Lat *οὕτω προσαγορευομένη*] *οὕτωσ ἀγορευομένη* VRC 18 *τοὺς*] *τῆσ* P *ὑφ'*] *ἀφ'* PAM *τοῦ βασιλέωσ* MVRC 19 *σαμαρεῖτισ* P *σαμάρειά* M *σαμαρίσ* VRC *samaritis* Lat 20 *ναμάτων*] *ῥείθρων* VRC *δ'* L *ἱππινῆ* PA *ἱππήνη* L *ἱππηνή* (*ἱππ-* V) VRC *ioppa* (abl.) Lat *ioppene* cod. Amb. Heg *Γαδάροις*] *γαδαρὶσ* VRC *gadaris* (abl.) Lat

τέμνεται καὶ τῇ Γαυλωνίτιδι· ταύτῃ καὶ τῆς Ἀγρίππα βασιλείας ὅροι. τὰ προσάρκτια δ' αὐτῆς Τύρῳ τε καὶ τῇ Τυρίων χώρᾳ 38
περαιοῦται. καὶ τῆς μὲν κάτω καλουμένης Γαλιλαίας ἀπὸ Τιβεριάδος μέχρι Χαβουλών, ἣς ἐν τοῖς παραλίοις Πτολεμαὶς γείτων,
τὸ μῆκος ἐκτείνεται. πλατύνεται δ' ἀπὸ τῆς ἐν τῷ μεγάλῳ πεδίῳ 39
κειμένης κώμης Ἐξαλὼθ καλεῖται, μέχρι Βηρσάβης. ἥ καὶ τῆς ἄνω Γαλιλαίας εἰς εὖρος ἀρχὴ μέχρι Βακὰ κώμης· αὕτη δὲ τὴν Τυρίων
γῆν ὁρίζει. μηκύνεται δὲ μέχρι Μηρὼθ ἀπὸ Θελλὰ κώμης Ἰορδάνου 40
γείτονος.

2. Τηλικαῦται δ' οὖσαι τὸ μέγεθος καὶ τοσούτοις ἔθνεσιν 41
ἀλλοφύλοις κεκυκλωμέναι πρὸς πᾶσαν ἀεὶ πολέμου πεῖραν ἀντέσχον· μάχιμοί τε γὰρ ἐκ νηπίων καὶ πολλοὶ Γαλιλαῖοι πάντοτε, καὶ οὔτε 42
δειλία ποτὲ τοὺς ἄνδρας οὔτε λιπανδρία τὴν χώραν κατέσχεν, ἐπειδὴ πίων τε πᾶσα καὶ εὔβοτος καὶ δένδρεσι παντοίοις κατάφυτος, ὡς ὑπὸ τῆς εὐπετείας προκαλέσασθαι καὶ τὸν ἧκιστα γῆς
φιλόπονον. προσισχήθη γοῦν ὑπὸ τῶν οἰκητόρων πᾶσα, καὶ μέρος 43
αὐτῆς ἀργὸν οὐδέν, ἀλλὰ καὶ πόλεις πυκναὶ καὶ τὸ τῶν κωμῶν πλῆθος πανταχοῦ πολυάνθρωπον διὰ τὴν εὐθηνίαν, ὡς τὴν

PAMLVRCLatHegesippus III 6 p. 181.

1 *καὶ τῇ* — 2 *ὅροι*] *idem autem et gaulonitidi regioni et regno agrippae confinia praescripta uetere aeuo fuere* Heg *τῇ*] *τῆ* MLR *τῆ γαυλανίτιδϊ* V *ἡ γαυλανίτις* C *ταύτῃ*] *αὕτη* C *ταύτῃ* — 2 *ὅροι*] *quae etiam regi agrippae fines sunt* Lat 2 *ὅροι*] *οἱ ὅροι* ed. pr. *προσαρκτικὰ* P *πρὸσ ἀρκτικὰ* AL *δὲ* VRC *αὐτοῖσ* P *τῇ* om. AVRC 4 *μέχρι* — *γείτων*] *usque ad zabulon, cui uicina in locis maritimis ptolomensium ciuitas* Lat *usque ad urbem, cui nomen zabulon, supra maritima ptolomaidis* Heg *Χαβουλών, ἧς*] *ζαβουλῶν* (*-ὼν* A) *ἧσ* PA *ζαβουλὼν·· L χαβουλώνησ* VRC; cf. supra II 503 *Πτολεμαὶς γείτων*] *πτολεμαϊτῶν* PAL^2 5 *δὲ* VRC 6 *Ἐξαλὼθ*] PAL *ξαλὼθ* MRCHeg *ξανλὼθ* V *salothi* Lat *ἧ ξαλὼθ* Hudson; cf. uita § 227 *βηρσαβῆσ* L *bersaben* (acc.) Lat Heg *ἧ* A 7 *βακᾶ* M *bacathae* uel *bacatae* Heg *τύρων* P 8 *μηκύνεται* — 9 *γείτονος*] *longitudinis quoque eius initium uicus est thal'ia, finis est rothtallia iordani finitimus* Heg *μηρὼθ'* V *beroth* Lat *θελλὰ* PAVR *θελλαὶ* L *thalla* (abl.) Lat 10 *δὲ* VRC 12 *πάντοτε γαλιλαῖοι* tr. VRC 13 *ποτὲ* om. L *λειπανδρεία* A *λειπανδρία* MVRC *λειψανδρία* L *χώραν*] *πόλιν*. i. marg. *τὴν χώραν* L 14 *ἐπειδὴ*] *ἔστι δὲ* Destinon *πίων*] *ἀμείνων* (i. marg. *γρ πίων* V) VR *εὕρηται καὶ ἀμείνων* i. marg. M 15 *εὐπετείας*] *εὐπειθείασ* ut uid. L^1 *εὐπαθείασ* VRC et i. marg. M *ubertate* Lat *προκαλέσ|σασθαι* A *προσκαλέσασθαι* LC *προ·καλέσασθαι* V 16 *προσισχήθη*] *προσωκίσθη* PA et ut uid. Heg *excultae sunt* Lat *οἰκητόνων* (sic) ex *φιλοπονων* corr. C 17 *οὐδὲν ἀργὸν* tr. VRC *καὶ το*, *ὶ* suppl., *ο* i. ras. P 18 *πλῆθοσ*, *πλῆ* solito angustius scriptum P *εὐθηνίαν*, *η* i. ras., *ι* ex *εἰ* corr. m. 2 L

ἐλαχίστην ὑπὲρ πεντακισχιλίους πρὸς τοῖς μυρίοις ἔχειν οἰκήτορας.

44 3. Καθόλου δέ, εἰ καὶ τῷ μεγέθει τις ἐλαττώσειε τῆς Περαίας τὴν Γαλιλαίαν, προέλοιτο δ' ἂν τῇ δυνάμει· ἡ μὲν γὰρ ἐνεργὸς ὅλη καὶ συνεχής ἐστιν καρποφόρος, ἡ Περαία δὲ πολὺ μὲν μείζων, ἔρημος δὲ καὶ τραχεῖα τὸ πλέον πρός τε καρπῶν ἡμέρων αὔξησιν
45 ἀγριωτέρα, τό γε μὴν μαλθακὸν αὐτῆς καὶ πάμφορον, καὶ τὰ πεδία δένδρεσι ποικίλοις κατάφυτα τὸ πλεῖστόν τε ἐλαίαν [τε] καὶ ἄμπελον καὶ φοινικῶνας ἥσκηται, διαρδομένη χειμάρροις τε τοῖς ἀπὸ τῶν ὀρῶν καὶ πηγαῖς ἀεννάοις ἅλις, εἴ ποτ' ἐκεῖνοι σειρίῳ
46 φθίνοιεν. μῆκος μὲν [οὖν] αὐτῆς ἀπὸ Μαχαιροῦντος εἰς Πέλλαν,
47 εὖρος δ' ἀπὸ Φιλαδελφείας μέχρι Ἰορδάνου. καὶ Πέλλῃ μέν, ἣν προειρήκαμεν, τὰ πρὸς ἄρκτον ὁρίζεται, πρὸς ἑσπέραν δὲ Ἰορδάνῃ· μεσημβρινὸν δ' αὐτῆς πέρας ἡ Μωαβῖτις, καὶ πρὸς ἀνατολὴν Ἀραβίᾳ τε καὶ Σιλωνίτιδι, πρὸς δὲ Φιλαδελφηνῇ καὶ Γεράσοις ἀποτέμνεται.

48 4. Ἡ δὲ Σαμαρεῖτις χώρα μέση μὲν τῆς Γαλιλαίας ἐστὶ καὶ τῆς Ἰουδαίας· ἀρχομένη γὰρ ἀπὸ τῆς ἐν τῷ πεδίῳ κειμένης Γηνεὼς ὄνομα κώμης ἐπιλήγει τῆς Ἀκραβετηνῶν τοπαρχίας· φύσιν δὲ

PAMLVRC Lat Hegesippus III 6 p. 182.

1 *πεντακισχιλίοις, οισ* ex *ουσ* corr. P 3 *δ'* L 4 *προέλοιτ' ἄν* Bekker *δ' ἄν*] *δὰν* P *γ' ἄν* Destinon *ἐνεργὸς, ε* ante *ρ* ex corr. M *ἐνεργῶσ* V 5 *ὅλη*] *ἐστι* C *συνεχὴς*] *assidue* Lat *συνεχὲς* Destinon ‖ *ὅλη — καρποφόρος*] *ὅλη ἐστὶ καὶ καρποφόρος* Bekker *ἐστιν*] *ὅλη* C *πολὺ* iteratum expunxit V *μὲν* om. L 6 *ἡμερῶν* PA[1] 7 *αὐτῆς*] *ταύτησ* RC *galileae* Lat *καὶ τὸ πάμφορον* VRC *καὶ τὰ πεδία*] *campos habet* Lat 8 *κατάφυτα ποικίλοισ* tr. VRC *τε*] *δὲ* MVRC, om. L *ἐλαίαν*] *εἰσ ἐλαίαν* MLVRC *τε* om. PAM 9 *φοινικῶνοσ* L[1] *διαρδομένη ·* L *χειμάροισ* C[1] 10 *καὶ*] *aut* Lat *ἀενάοισ* RC[1] *ποτε* AVRC *ἐκεῖνοι σειρίῳ*] *ἐκείνοισ ἰρίωι* (*-ω* A) PA *ἐκεῖνοι σϊρίω, ϊ* i. ras. 2 litt. m. 2 L 11 *οὖν* om. PAL 12 *δὲ* MVRC *φιλαδελφιασ* L[1]V[1]RC[1] *μέχρισ* MVRC *πέλλα* P *πέλλαν* A *Βεθλέπτεφα* Relandus *ἣν*] *ἧ* MVRC 13 *πρὸς ἑσπέραν δὲ*] *τὰ πρὸσ ἑσπέραν δὲ* MRC *τὰ δὲ πρὸσ ἑσπέραν* V *Ἰορδάνην* PA *Ἰορδάνησ* L 14 *δὲ* LVRC *μωαβίτησ* P *βωαβίτισ* M 15 *Σιλωνίτιδι*] PAL[2] *σιλβωνίτιδι* ML[1]C *σιβωνίδι* (*δι* ex *δη* corr. V) VR *selbonitide* Lat *Σερβωνίτιδι* Spanheim *Σιβωνίτιδι* Petitus *Σεβωνίτιδι* Schuerer *φιλαδελφίνῃ* PAL[2] *filadelfia* Lat *γεράροισ* PAMLC *gerasidis* Lat 18 *τῆσ Ἰουδαίασ ἐστὶ καὶ τῆσ γαλιλαίασ* tr. MLVRC Lat *ἀρχομένη ·*, eras. *σ* L *πεδίῳ*] *μεγάλῳ πεδίῳ* MVRC *Γηνεὼς*] *γηνεὸσ* M *γηνέασ* LVR *γιναίασ* C *genamae* aut *genaniae* Lat *eleas* uel *aeleas* (nom.) Heg *Γινναίας* Petitus *Γήμαν* supra II 232 *Γιναῆς* Ant. XX 118 19 *ἐπιλήγῃ* A; deinde fort. aliquid excidit *ἀκραιβατηνῶν* M *ἀκραβατηνῶν* VR *ἀκραβατινῶν* C *acrabattenam* Lat et similiter Heg

τῆς Ἰουδαίας κατ' οὐδὲν διάφορος. ἀμφότεραι γὰρ ὀρειναὶ καὶ 49
πιδιάδες, εἰς τε γεωργίαν μαλθακαὶ καὶ πολύφοροι κατάδενδροί
τε καὶ ὀπώρας ὀρεινῆς καὶ ἡμέρου μεσταί, παρ' ὅσον οὐδαμοῦ
φύσει διψάδες. ἴσονται δὲ τὸ πλέον· γλυκὺ δὲ νᾶμα πᾶν διαφόρως 50
ἐν αὐταῖς, καὶ διὰ πλῆθος πόας ἀγαθῆς τὰ κτήνη πλέον ἢ παρ'
ἄλλοις γαλακτοφόρα. μέγιστόν γε μὴν τεκμήριον ἀρετῆς καὶ εὐθη-
νίας τὸ πληθύειν ἀνδρῶν ἑκατέραν.

5. Μεθόριος δ' αὐτῶν ἡ Ἰονάθου Βόρκαιος προσαγορευομένη 51
κώμη· πέρας αὕτη τῆς Ἰουδαίας τὰ πρὸς βορέαν, τὰ νότια δ'
αὐτῆς ἐπὶ μῆκος μετρουμένης ὁρίζει προσκυροῦσα τοῖς Ἀράβων
ὅροις κώμη, καλοῦσι δ' αὐτὴν Ἰορδὰν οἱ τῇδε Ἰουδαῖοι. εὖρός γε
μὴν ἀπὸ Ἰορδάνου ποταμοῦ μέχρις Ἰόππης ἀνατείνεται. μεσαι- 52
τάτη δ' αὐτῆς πόλις τὰ Ἱεροσόλυμα κεῖται, παρ' ὃ καί τινες οὐκ
ἀσκόπως ὀμφαλὸν τὸ ἄστυ τῆς χώρας ἐκάλεσαν. ἀφῄρηται δ' οὐδὲ 53
τῶν ἐκ θαλάσσης τερπνῶν ἡ Ἰουδαία τοῖς παραλίοις κατατείνουσα
μέχρι Πτολεμαΐδος. μερίζεται δ' εἰς ἕνδεκα κληρουχίας, ὧν ἄρχει 54
μὲν βασίλειον τὰ Ἱεροσόλυμα τῆς περιοίκου πάσης

PAMLVRC Lat Hegesippus III 6 p. 183.

1 *διαφόροισ* VR *ἀμφότεραι*] *ἄμφω* VRC *καὶ* om. C 2 *πολυφόροι* Cocceji 3 *ὁπώρασ* PL *παρ'* — 4 *πλέον*] *eo quod nusquam natura sunt aridae imbriumque satis habent* Lat *παρ' ὅσον*] *παρ' ὅσον δ'* M *προσάρδεσθαι γοῦν* VRC *οὐδαμοῦ*] *οὐδαμοῦ μὲν* VRC 4 *φύσιν* P *διψάδες*] *δαψιλὲσ* VRC *εὕρηται καὶ προσάρδεσθαι γοῦν οὐδαμοῦ μὲν φύσει δαψιλὲσ* i. marg. M

γλυκαὶ (s. m. 2) V *γλυκὺ·* C 5 *πόας* — *γαλακτοφόρα*] *ἀγαθῆσ πόασ γαλακτοφόρα κτήνη ἥπερ ἄλλα* C 6 *γαλακτοφόρα, α* ante *κ* ex corr. A *γε μὴν* i. ras. minore A *τεκμήριον* u. 7 post *εὐθηνίας* tr. C *εὐθενείασ* L 8 *μεθορίοισ* VR *δὲ* VRC *Ἀνονάθου Βόρκαιος*] PA *ἀνονὰθ βορκαῖοσ* M *ἀνοννὰθ βορκαῖοσ* L *ἀνοναθβόρκεοσ* R *ἀνοναθβορκέοσ* V *ἀνονὰθ βορκέωσ* C (*uico*) *borceo* Heg *anunath uicus, qui etiam borceas appellatur* Lat *Ἀνοναθ Βαρκέως* Petitus 9 *αὕτη*] *αὐτῆσ* PA, om. Lat *τὰ*] *τὸ* AVRC *δὲ* VRC 10 *αὐ·τῆσ* A *μετρουμένη* L^1 11 *κώμη* — 12 *Ἰορδάνου*] *uico cui nomen est iordanen; at iudaeae latitudo ex iordane* Lat *κώμην* PA *καλοῦσι δ'*] *καλοῦσι δὲ* V, *καλοῦσιν* RC *Ἰορδὰν οἱ*] PAML² *ορδὰν οἱ* sic L^1 *ἰαρδὰν οἱ* C *ἰόρδανοι* (*ό* ex *ά* i. ras. corr., *οι* i. ras. 3 litt. V) VR *iordani* (dat.) Heg *τῇδε Ἰουδαῖοι*] *τῇ δὲ ἰουδαία* (*ἰουδαῖοι* V^1) VR Lat

12 *μεσατάτη* P *μεσετάτη* (s. m. 2) V 13 *δὲ* VRC *κεῖται*] *καλεῖται* V 14 *ἀσκόπωσ*] *ἀστόχωσ* Naber *δὲ* PVRC 15 *ἡ* om. VR *ἰουδαίαι* M^1 16 *ptolomaidam* Lat *δὲ* LVRC *ὧν* — 17 *βασίλειον*] *quarum prima est regnumque optinet hierosolymorum ciuitas* Lat *ἄρχει*] *ἀρχὴ* PAML² *βασίλειον*] *ὡσ βασίλειον* MVRC, spurium putat Destinon 17 *προσανίσχουσα* PA^1

ὥσπερ ἡ κεφαλὴ σώματος· αἱ λοιπαὶ δὲ μετ' αὐτὴν διῄρηνται τὰς
55 τοπαρχίας. Γοφνὰ δευτέρα καὶ μετὰ ταύτην Ἀκραβετά, Θαμνὰ
πρὸς ταύταις καὶ Λύδδα, Ἀμμαοῦς καὶ Πέλλη καὶ Ἰδουμαία καὶ
56 Ἐνγαδδαὶ καὶ Ἡρώδειον καὶ Ἱεριχοῦς, μεθ' ἃς Ἰάμνεια καὶ Ἰόππη
τῶν περιοίκων ἀφηγοῦνται, κἀπὶ ταύταις ἥ τε Γαμαλιτικὴ καὶ 5
Γαυλανῖτις Βαταναία τε καὶ Τραχωνῖτις, αἳ καὶ τῆς Ἀγρίππα
57 βασιλείας εἰσὶ μοῖραι. ἀρχομένη δὲ ἀπὸ Λιβάνου ὄρους καὶ τῶν
Ἰορδάνου πηγῶν ἡ χώρα μέχρι τῆς πρὸς Τιβεριάδα λίμνης εὐρύ-
νεται, ἀπὸ δὲ κώμης καλουμένης Ἀρφᾶς μέχρις Ἰουλιάδος ἐκτεί-
νεται τὸ μῆκος. οἰκοῦσι δ' αὐτὴν μιγάδες Ἰουδαῖοί τε καὶ Σύροι. 10
58 τὰ μὲν δὴ περὶ τῆς Ἰουδαίων τε καὶ πέριξ χώρας ὡς ἐνῆν μάλιστα
συντόμως ἀπηγγέλκαμεν.

59 IV. 1. Ἡ δ' ὑπὸ Οὐεσπασιανοῦ πεμφθεῖσα Σεπφωρίταις βοή-
θεια, χίλιοι μὲν ἱππεῖς ἑξακισχίλιοι δὲ πεζοί, Πλακίδου χιλιαρ-
χοῦντος αὐτῶν ἐν τῷ μεγάλῳ πεδίῳ στρατοπεδευσάμενοι διαιροῦν- 15
ται, καὶ τὸ μὲν πεζὸν ἐν τῇ πόλει πρὸς φυλακὴν αὐτῆς, τὸ δ'
60 ἱππικὸν ἐπὶ τῆς παρεμβολῆς αὐλίζεται. προϊόντες δὲ ἑκατέρωθεν
συνεχῶς καὶ τὰ πέριξ τῆς χώρας κατατρέχοντες μεγάλα τοὺς περὶ
τὸν Ἰώσηπον ἐκάκουν ἀτρεμοῦντα τάς τε πόλεις ἔξωθεν λῃζόμενοι

PAMLVRC Lat Hegesippus III 6 p. 184.

1 ἡ om. C *μετ' αὐτὴν*] *μετὰ ταύτην* L 2 *γοφνᾶ* A *γόφνα* MVC *γνόφνα* R *μετὰ ταύτην*] *μετ' αὐτὴν* MLVRC *ἀκραιβάται* M *ἀκραβεττὰ* L *ἀκραβετταί* VR *ἀκραιβατταί* C *acrabatta* Lat *θάμνα* V 3 *λύδα* V *ἀμμαοὺσ* P *καὶ ἀμμαοῦσ* (-οὺσ V) MVRC *itemque ammeus* Lat 4 *ἐνγαδδαι* sic P *ἐνγάδδαι* L *ἐνγάδδαί* V *angada* Lat *ἰρώδειον* P *ἡρώδιον* AVR

ἃς] LLat *ἃ* PAMVRC *ἰάμνια* PALC *ἡάμνεια* (s. m. 2) V *καὶ ἐπὶ* VR 5 *ἥ τε*] *εἴτε* V *γαμαλατικὴ* MVRC 6 *trachoniditis* Lat 7 *μοῖραι*] *μοῖρα* MVRC et ex corr. L *partes* Lat 8 *πρὸς Τιβεριάδα*] *τιβεριάδοσ* VRCHeg *tiberiadi proximum* (*lacum*) Lat *πρὸς Τιβεριάδι* Niese 9 *ἀρφὰσ* PL *sarfas* aut *farfas* (nom.) Lat *ara* aut *arfa* Heg *ἰουλιάδοσ, οσ* ex *ασ* corr. M 10 *δὲ* VRC 11 *ἰουδαίασ* C *πέριξ*] *τῶν πέριξ* MVRC *ἐνῆν*] *ἔνι* L[1] haud male 13 *δὲ* VRC *καταπεμφθεῖσα* P 14 *ἑξακισχίλιοι*] *ἑξακόσιοι* L 16 *δὲ* VRC 17 *προϊόντες*] *προσιόντεσ* R *προιῶντεσ* C[1] *δ'* M *ἑκατέροθεν* R 18 *πέριξ, ι* suppl. A 19 *ἐκάκουν* — 20 *ἀνακόπτοντες*] *incommodis quamuis quietos afficiebant et praeterea civitates extrinsecus depraedabantur quorumque conatus, si quando excurrendi habuissent fiduciam, repellendo* Lat *ἀτρεμοῦντα τάς τε πόλεις*] *ἀτρεμοῦντα·τάσ τε κατὰ πόλιν* R *ἀτρεμοῦντασ τά τε κατὰ πόλεισ* V *ἀτρεμοῦντας τά τε κατὰ πόλιν* ex cod. Voss. Hudson *ἀτρεμούντων τε τὰς πόλεις* Destinon *ἀτρεμοῦντάς τε κατὰ πόλεις* Niese *λῃζόμενοι* codd.

καὶ προθέοντας ὁπόσε θαρρήσειαν ἀνακόπτοντες. ὥρμησέ γε μὴν 61
Ἰώσηπος ἐπὶ τὴν πόλιν αἱρήσειν ἐλπίσας, ἣν αὐτὸς πρὶν αὐτο-
στῆναι Γαλιλαίων ἐτείχισεν ὡς καὶ Ῥωμαίοις ὑσάλωτον εἶναι· διὸ
καὶ τῆς ἐλπίδος ἀφήμαρτεν τοῦ τε βιάζεσθαι καὶ τοῦ μετατρέψειν
Σεπφωρίτας ἀσθενέστερος εὑρεθείς. παρώξυνεν δὲ μᾶλλον τὸν 62
πόλεμον ἐπὶ τὴν χώραν, καὶ οὔτε νύκτωρ οὔτε μεθ' ἡμέραν ὀργῆ
τῆς ἐπιβολῆς οἱ Ῥωμαῖοι διέλιπον δηοῦντες αὐτῶν τὰ πεδία καὶ
διαρπάζοντες τὰ ἐπὶ τῆς χώρας κτήματα, καὶ κτείνοντες μὲν ἀεὶ
τὸ μάχιμον, ἀνδραποδιζόμενοι δὲ τοὺς ἀσθενεῖς. πυρὶ δὲ ἡ Γαλι- 63
λαία καὶ αἵμασι πεπλήρωτο πᾶσα πάθους τε οὐδενὸς ἦ συμφορᾶς
ἀπείρατος ἦν· μία γὰρ καταφυγὴ διωκομένοις αἱ ὑπὸ τοῦ Ἰωσήπου
τειχισθεῖσαι πόλεις ἦσαν.

2. Ὁ δὲ Τίτος περαιωθεὶς ἀπὸ τῆς Ἀχαΐας εἰς τὴν Ἀλεξάν- 64
δρειαν ὠκύτερον ἢ κατὰ χειμῶνος ὥραν, παραλαμβάνει μὲν ἐφ'
ἣν ἔσταλτο δύναμιν, συντόνῳ δὲ χρώμενος πορείᾳ διὰ τάχους εἰς
Πτολεμαΐδα ἀφικνεῖται. κἀκεῖ καταλαβὼν τὸν πατέρα δυσὶ τοῖς 65
ἅμα αὐτῷ τάγμασιν, ἦν δὲ τὰ ἐπισημότατα τὸ πέμπτον καὶ τὸ
δέκατον, ζεύγνυσι τὸ ἀχθὲν ὑπ' αὐτοῦ πεντεκαιδέκατον. τούτοις 66
εἵποντο ὀκτωκαίδεκα σπεῖραι· προσεγένοντο δὲ καὶ ἀπὸ Καισαρείας
πέντε καὶ ἱππέων ἴλη μία, πέντε δ' ἕτεραι τῶν ἀπὸ Συρίας ἱππέων.
τῶν δὲ σπειρῶν αἱ δέκα μὲν εἶχον ἀνὰ χιλίους πεζούς, αἱ δὲ λοιπαὶ 67
δεκατρεῖς ἀνὰ ἑξακοσίους μὲν πεζούς, ἱππεῖς δὲ ἑκατὸν εἴκοσιν.

PAMLVRC Lat Hegesippus III 7 p. 185.

1 *προσθέοντας* PA *προθέοντας*, *ασ* i. ras. m. 2 L *θαρρήσειαν*, *αν* i. ras. minore m. 2 L *ὥρμησέ γε μὴν*] *ὥρμησεν μὲν* PA *ὥρμησεν* L^1 *ὥρμησε μὲν* L^2 *sed* (*iosippus*) *quidem impetum fecit* Lat 2 *ὁ ἰώσηπος* MVRC 5 *παρόξυνεν* P *δὲ*] *τε* L Lat, om. VR 6 *χώραν*] *iudaeam* Lat *νύκτωρ*] *νύκτα* ·, eras. uid. *ν* L *διέλειπον* V *διέλιπον* R *δηϊοῦντες* L^1V *ὀργὴ* VR^2 7 *ἐπιβολῆς*] Destinon *ἐπιβουλῆς* codd. Lat 8 *καὶ* spurium putat Destinon 9 *ἀσθενεστέρους* MVRC *imbelles* Lat *δ'* L 10 *πάθους οὐδενός τε ἢ συμφορᾶς* PAL *πάθους τε ἢ συμφορᾶς οὐδενὸς* VRC *neque quisquam* (*expers*) *eius acerbitatis aut cladis* (*erat*) Lat 11 *γὰρ*] *δὲ* Destinon 13 i. marg. *ε̄* C *τῆς Ἀχαΐας*] *τῆσ | χαΐας* M *εἰς τὴν*] *ἐπὶ* PAML 14 *χειμῶνος* V *χειμῶν* C^1 15 *ἐπέσταλτο* C *πορείᾳ*] *προθυμία* VRC 16 *καταλαβὼν*, *αβ* i. ras. m. 2 L *τὸν*] *τόν τε* L^1 17 *ἐπισημώτατα* PA^1 *τὸ* om. A *πέπτον* C 18 *ζεύγνυσι*] *ζεύγνυσι καὶ* L *τούτοις*] *σὺν αὐτοῖσ* L 19 *ὀκτωκαίδεκα* · · ·, eras. *τον* C *καὶ* om. L 20 *ἴλη* PAML^2 *ἰλη* L^1 · *ἴλη* V *εἰλὴ* R *δὲ* VRC 21 *χιλίους μὲν πεζοὺς* L *λοιπαὶ δὲ* tr. VRC *τρισκαίδεκα* (*τρισκέδεκα* R) VRC 22 *ἀνὰ*] *ἀν* V *ἑξακοσίους*] *χ̄* A *μὲν* om. PAL *εἴκοσι* (ex *εισι* corr. 2 L) AMLVRC

68 συχνὸν δὲ καὶ παρὰ τῶν βασιλέων συνήχθη συμμαχικόν, Ἀντιόχου μὲν καὶ Ἀγρίππα καὶ Σοαίμου παρασχομένων ἀνὰ δισχιλίους πεζοὺς τοξότας καὶ χιλίους ἱππεῖς, τοῦ δὲ Ἄραβος Μάλχου χιλίους πέμψαντος ἱππεῖς ἐπὶ πεζοῖς πεντακισχιλίοις, ὧν τὸ πλέον ἦσαν
69 τοξόται, ὡς τὴν πᾶσαν δύναμιν συνεξαριθμουμένων τῶν βασιλικῶν ἱππέας τε καὶ πεζοὺς εἰς ἓξ ἀθροίζεσθαι μυριάδας δίχα θεραπόντων, οἳ παμπληθεῖς μὲν εἵποντο, διὰ δὲ συνάσκησιν πολεμικὴν οὐκ ἂν ἀποτάσσοιντο τοῦ μαχίμου, κατὰ μὲν εἰρήνην ἐν ταῖς μελέταις τῶν δεσποτῶν ἀεὶ στρεφόμενοι, συγκινδυνεύοντες δ' ἐν πολέμοις, ὡς μήτ' ἐμπειρίᾳ μήτ' ἀλκῇ τινος πλὴν τῶν δεσποτῶν ἐλαττοῦσθαι.

70 V. 1. Κἂν τούτῳ μὲν οὖν θαυμάσαι τις ἂν Ῥωμαίων τὸ προμηθὲς κατασκευαζομένων ἑαυτοῖς τὸ οἰκετικὸν οὐ μόνον εἰς τὰς
71 τοῦ βίου διακονίας ἀλλὰ καὶ πρὸς τοὺς πολέμους χρήσιμον. εἰ δέ τις αὐτῶν καὶ εἰς τὴν ἄλλην σύνταξιν τῆς στρατιᾶς ἀπίδοι, γνώσεται τὴν τοσήνδε ἡγεμονίαν αὐτοὺς ἀρετῆς κτῆμα ἔχοντας, οὐ
72 δῶρον τύχης. οὐ γὰρ αὐτοῖς ἀρχὴ τῶν ὅπλων πόλεμος, οὐδ' ἐπὶ μόνας τὰς χρείας τῷ χεῖρε κινοῦσιν ἐν εἰρήνῃ προηργηκότες, ἀλλ' ὥσπερ συμπεφυκότες τοῖς ὅπλοις οὐδέποτε τῆς ἀσκήσεως λαμβά-
73 νουσιν ἐκεχειρίαν οὐδὲ ἀναμένουσι τοὺς καιρούς. αἱ μελέται δ' αὐτοῖς οὐδὲν τῆς κατὰ ἀλήθειαν εὐτονίας ἀποδέουσιν, ἀλλ' ἕκαστος

PALMVRCLat Suidas s. *ἐκεχειρία*.

2 *σοέμου* MVRC *soemus* Lat 3 *malichus* Lat 4 *πεζοὺσ πεντακισχιλίουσ* V 5 *ἐξαριθμουμένων* PAV *συναριθμουμένων* M 6 *εἰς* s. P *ἓξ — μυριάδας*] *decem milia* Lat 7 *οἳ παμπληθεῖς μὲν εἵποντο* om. M 8 *ἀποτάσσοιντο, σοι* i. ras. A, *ιν* i. ras. V 9 *αἰεὶ* LVRC *ἀεὶ στρεφόμενοι* i. ras. A *συνκινδυνεύοντεσ* LC¹ *δὲ* VRC *πολέμω* C 10 *μήτε ἐμπειρία* VR *ἐμπειρίασ* PAC *ἐμπειεμπειρία* (*ἐμπει* expunctum m. 2) V *μήτε* R *ἀλκῆσ* PAC 12 i. marg. *ϛ* C *τούτῳ*] *τῶνδε* (*τῶιδε* V) VR *θαυμάσαιτο* LRC *θαυμάσοιτο* V *ἂν* om. PA 15 *τῆσ στρατιᾶσ σύνταξιν* tr. VRC *ἀπίδοι* V 16 *κτῆμα*] *καύχημα* P 17 *δῶρον* V *τύχησ δῶρον* tr. M *ὁ πόλεμοσ* MLVRC *οὐδὲ* LVRC 18 *χρείασ, ρ* s. A *τῳ*] *τὸ* V¹ *τὰ* C¹ *ἐν εἰρήνῃ προηργηκότες*] *cum in pacis otio cessauerint* Lat *προηγηκότεσ* A *ἀπηργηκότεσ* et i. marg. *γρ ἀπειρηκότεσ* M *ἀπειρηκότεσ* VRC 19 *ὥσπερ* — 20 *ἐκεχειρίαν* habet Suid *τοῖσ ὅπλοισ συμπεφυκότεσ* tr. Suid 20 *ἐκκεχειρίαν* R² *τοὺσ καιρουσ ἀναμένουσι* tr. V *δὲ* VRC 21 *κατ'* M *εὐτονίας*] *εὐτολμίασ* VRC *ἀποδέουσιν*] *discrepant* Lat

δσημέραι στρατιώτης πάσῃ προθυμίᾳ καθάπερ ἐν πολέμῳ γυμνάζεται. διὸ κουφότατα τὰς μάχας διαφέρουσιν· οὔτε γὰρ ἀταξία 74
διασχίδνησιν αὐτοὺς ἀπὸ τῆς ἐν ἕθει συντάξεως οὔτε δέος ἐξίστησιν οὔτε δαπανᾷ πόνος. ἕπεται δὲ τὸ κρατεῖν ἀεὶ κατὰ τῶν οὐχ
5 ὁμοίων βέβαιον. καὶ οὐκ ἂν ἁμάρτοι τις εἰπὼν τὰς μὲν μελέτας 75
αὐτῶν χωρὶς αἵματος παρατάξεις, τὰς παρατάξεις δὲ μεθ' αἵματος μελέτας. οὐδὲ γὰρ ἐξ ἐπιδρομῆς εὐάλωτοι πολεμίοις· ὅτῃ δ' 76
ἂν ἐμβάλωσιν εἰς ἐχθρῶν γῆν, οὐ πρὶν ἅπτονται μάχης ἢ τειχίσαι στρατόπεδον. τὸ δὲ οἰκεῖον οὐδὲ ἀνώμαλον ἐγείρουσιν οὐδὲ 77
10 πάντες ἢ ἀτάκτως διαλαβόντες, ἀλλ' εἰ μὲν ἀνώμαλος ὢν τύχοι χῶρος, ἐξομαλίζεται· διαμετρεῖται δὲ παρεμβολὴ τετράγωνος αὐτοῖς. καὶ τεκτόνων πλῆθος ἕπεται τῶν τε πρὸς τὴν δόμησιν 78
ἐργαλείων.

2. Καὶ τὸ μὲν ἔνδον εἰς σκηνὰς διαλαμβάνουσιν, ἔξωθεν δ' ὁ 79
15 κύκλος τείχους ὄψιν ἐπέχει πύργοις ἐξ ἴσου διαστήματος κεκοσμημένος. ἐπὶ δὲ τῶν μεταπυργίων τούς τε ὀξυβελεῖς καὶ καταπέλτας 80
καὶ λιθοβόλα καὶ πᾶν ἀφετήριον ὄργανον τιθέασιν, πάντα πρὸς τὰς βολὰς ἕτοιμα. πύλαι δὲ ἐνοικοδομοῦνται τέσσαρες καθ' ἕκαστον 81
τοῦ περιβόλου κλίμα, πρός τε εἰσόδους τῶν ὑποζυγίων εὐμαρεῖς
20 καὶ πρὸς τὰς ἐκδρομὰς αὐτῶν, εἰ κατεπείγοι, πλατεῖαι. ῥυμο- 82
τομοῦσι δ' εὐδιαθέτως εἴσω τὸ στρατόπεδον, καὶ μέσας μὲν τὰς

PAMLVRCLatHegesippus III 24 p. 213 Suidas s. *μελέτη*.

1 *ὡσημέραι* P *ὡσήμεραι* C¹ 2 *διαφέρουσιν*] *φέρουσιν* PAL *tolerant* Lat *οὐδὲ* A 3 *οὔτε δαπανᾷ πόνος*] *οὔτε δαπάναι οὔτε πόνος* PALLat 4 *οὐχ ὁμοίων βέβαιον*] *οὐχ ὁμοίων τὸ βέβαιον* V *οὐχ ὁμοίως βεβαίων* Hudson ex Lat, in quo est *unde sequitur, ut semper superent quos non itidem confirmatos inuenerint* 5 *καὶ* — 7 *μελέτας* leguntur apud Suidam 6 *χω|ρ·ισ* P 7 *οὐδὲ*] *οὐ* ALC *δ' ἂν*] *δαν* P *δᾶν* A 8 *ἐμβάλωσιν* C 9 *δ'* LVR *ἐγχειροῦσιν*, i. marg. *ἐγείρουσι* m. 2 V 10 *ἢ* om. Lat *ἀτάκτω* R *διαλαβόντες*, *ο* ex *ω* corr. AV *ὢν* om. P 11 *παρεμβολὴ* A 12 *τῶν τε*] PALat *τά τε* MVRC, om. L *τὴν* om. L *δώμησιν* L¹ 13 *ἐργαλίων* PA¹ *ἐργαλεῖα* (— *λία* R) MVRC 14 *σκηνὰς*] *κηνὰσ* V *δὲ* VRC 15 *ὄψι* A *πύργοις*] *etiam turribus* Lat 17 *ἀφετήριον*, *ε* ex corr. m. 2 C *τιθέασι πάντα* ML *τιθέασιν ἅπαντα* VRC *πάντα* — 18 *ἕτοιμα*] *ut cuncta scilicet iaculorum genera in promptu sint* Lat *ἕτοιμοι* L¹ *οἰκοδομοῦνται* PA *aedificant* Lat *ἕκαστον*] *ἑκάτερον* L 19 *κλίμα*] *κλίμα μία* (*μίαν*) Destinon *πρός τε*] *πρὸσ τάσ τε* L *εὐμαρεῖς*] *εὐρεῖσ* PA *aditu faciles* Lat 20 *τὰς* om. VRC *πρὸς* — *αὐτῶν*] *intro currentibus* Lat *εἰ*] *εἰ καὶ* PA *εἴ τι* Destinon *πλατεῖαι*] *πλατείασ* PA unde u. 8 *πύλας* et u. 9 *τέσσαρας* Destinon coniecit, ut habet Lat 21 *δὲ* VR *εὐδιαθέτωσ*, *δ* i. ras. m. 2 R *ἔσω* A

τῶν ἡγεμόνων σκηνὰς τίθενται, μεσαίτατον δὲ τούτων τὸ στρατή-
83 γιον ναῷ παραπλήσιον· ὥσπερ δὲ ἐν σχεδίῳ πόλις καὶ ἀγορά τις
ἀποδείκνυται καὶ χειροτέχναις χωρίον θῶκοί τε λοχαγοῖς καὶ ταξιάρ-
84 χοις, ὅπῃ δικάζοιεν, εἴ τινες διαφέροιντο. τειχίζεται δὲ ὁ περί-
βολος καὶ τὰ ἐν αὐτῷ πάντα θᾶττον ἐπινοίας πλήθει καὶ ἐπιστήμῃ
τῶν πονούντων· εἰ δ' ἐπείγοι, καὶ τάφρος ἔξωθεν περιβάλλεται
βάθος τετράπηχυς καὶ εὖρος ἴσῃ.

85 3. Φραξάμενοι δ' αὐλίζονται κατὰ συντάξεις ἕκαστοι μεθ'
ἡσυχίας τε καὶ κόσμου. πάντα δ' αὐτοῖς καὶ τὰ ἄλλα μετ' εὐτα-
ξίας ἀνύεται καὶ ἀσφαλείας. ξυλεία τε καὶ ἐπισιτισμός, εἰ δέοιντο,
86 καὶ ὑδρεία κατὰ συντάξεις ἑκάστοις. οὐδὲ γὰρ δεῖπνον ἢ ἄριστον
ὁπότε θελήσειαν αὐτεξούσιον ἑκάστῳ, πᾶσιν δ' ὁμοῦ, τούς τε
ὕπνους αὐτοῖς καὶ τὰς φυλακὰς καὶ τὰς ἐξεγέρσεις σάλπιγγες προ-
87 σημαίνουσιν, οὐδ' ἔστιν ὅ τι γίνεται δίχα παραγγέλματος. ὑπὸ δὲ
τὴν ἕω τὸ στρατιωτικὸν μὲν ἐπὶ τοὺς ἑκατοντάρχας ἕκαστοι, πρὸς
δὲ τοὺς χιλιάρχους οἵτοι συνίασιν ἀσπασόμενοι, μεθ' ὧν πρὸς
88 τὸν ἡγεμόνα τῶν ὅλων οἱ ταξίαρχοι πάντες. ὁ δ' αὐτοῖς τό τε ἐξ
ἔθους σημεῖον καὶ τἆλλα παραγγέλματα δίδωσιν διαφέρειν εἰς τοὺς
ὑποτεταγμένους· ὃ δὴ κἀπὶ παρατάξεως πράττοντες ἐπιστρέφονται τε
ταχέως, ἵνα δέοι, καὶ πρὸς τὰς ἐφόδους αὐτοῖς καὶ πρὸς τὰς ἀνα-
κλήσεις ὑποχωροῦσιν ἀθρόοι.

89 4. Ἐξιέναι δὲ τοῦ στρατοπέδου δέον ὑποσημαίνει μὲν ἡ σάλ-

PAMLVRCLat.

1 *στρατήγειον* PA *στρατηγεῖον* L 3 *θωκαί* P *λοχάγοις* R 4 *ὁ* om. VRC 5 *θᾶσσον* LVRC 6 *δὲ* VRC *τάφ·ρος* C 7 *βάθος* i. marg. suppl. L *τετραπηχυς* (sic) P *τετραπήχης* (-*τράπηχης* VR) AMLVR *τετράπηχυς*, *υ* ex *η* corr. C *δεκάπηχυς* mauult Lipsius *εὖρος* PA *ἴσον* VRC 8 *δὲ* VRC *μεθ' ἡσυχίας* i. ras. A 9 *δὲ* VRC *τα*] *τ'* L 10 *ξυλία* PA¹C *τε* om. VRC *ξυλεία* — 11 *ὑδρεία*] *ueluti si ligno aquaue opus sit aut frumento* Lat *ἑκάστοισ· · · οὐδὲ* (*οι* i. ras. ex *ω* corr., *οὐ* ex corr. uid.) A *οὐδὲ*] *οὔτε* VR fort. recte 12 *δὲ* VRC 13 *ἐξεργασίας*, i. marg. *τὰσ ἐξεγέρσεισ* V *προ·σημαίνουσιν* C 14 *οὐδ'*] *οὐδὲ* V²RC *οὐδὲν* V¹ *τι* om. V 15 *μὲν* om. P *ἑκατοντάρχουσ* C 16 *οὗτοι*] *αὐτοὶ* PAM *συνιᾶσιν* PAM *ὧν*] *ὃν* C¹ 17 *ταξιάρχαι* C *ταξιάρχοι* AR *δὲ* VRC *τό' τε*] Bekker *τότε* uulgo 18 *τὰ ἄλλα* MVRC *δίδωσιν*] *διαδίδωσιν* (— *οσιν* A) PAM *δίδωσι· ·* (eras. *ν ἃ*) L *καὶ ἐπὶ* PLVR 19 *ἐπιστρέφονται* — 21 *ἀθρόοι*] *citius parent, ut si res exigat incursibus eius itemque reuocationibus uniuersi pariter obsecundent* Lat *τε* om. PAMVRCLat 20 *δέοι*] RC *εἰ δέοι* PAMLV *ἐνδέοι* Destinon *αὐτοῖς*] *αὐτοὺσ* PA¹ *αὐτὰσ* ex corr. A *αὐτοῦ* uertit Lat *ἀνακλίσεισ* C 21 *ὑποχωροῦσιν*] *ὑποχωρῶσιν* (*ῶ* ex *οῦ* corr.) AV *χωρῶσιν* Dindorf ex cod. L. B. *ἀθρόοι* LR 22 *ἐξεῖναι* L¹VRC¹ *δέον*] *εἰ δέον* L *ὑποσημαίνει·* C *μὲν* om. L *σάλπιξ* A *σάλπιγξ* V

πυξ. ἠρεμεῖ δ' οὐδείς, ἀλλ' ἅμα νεύματι τὰς μὲν σκηνὰς ἀναιροῦσιν, πάντα δ' ἐξαρτύονται πρὸς τὴν ἔξοδον. καὶ πάλιν αἱ 90
σάλπιγγες ὑποσημαίνουσιν παρεσκευάσθαι. οἱ δ' ἐν τάχει τοῖς τε ὄρεσιν καὶ τοῖς ὑποζυγίοις ἐπιθέντες τὴν ἀποσκευὴν ἑστᾶσιν ὥσπερ ἐφ' ὕσπληγος ἑξορμᾶν ἕτοιμοι, ὑποπιμπρᾶσίν τε ἤδη τὴν παρεμβολὴν ὡς αὐτοῖς μὲν ὂν ῥᾴδιον ἐκεῖ πάλιν τειχίσασθαι, μὴ γένοιτο δ' ἐκεῖνό ποτε τοῖς πολεμίοις χρήσιμον. καὶ τρίτον δ' 91
ὅμως αἱ σάλπιγγες προσημαίνουσιν τὴν ἔξοδον ἐπισπέρχουσαι τοὺς δι' αἰτίαν τινὰ βραδύνοντας, ὡς μή τις ἀπολειφθείη τάξεως. ὅ τε 92
κῆρυξ δεξιὸς τῷ πολεμάρχῳ παραστάς, εἰ πρὸς πόλεμόν εἰσιν ἕτοιμοι, τῇ πατρίῳ γλώσσῃ τρὶς ἀναπυνθάνεται. κἀκεῖνοι τοσαυτάκις ἀντιβοῶσιν μέγα τι καὶ πρόθυμον ἕτοιμοι λέγοντες εἶναι, φθάνουσιν δὲ τὸν ἐπερωτῶντα, καί τινος ἀρῃΐου πνεύματος ὑποπιμπλάμενοι τῇ βοῇ συνεξαίρουσιν τὰς δεξιάς.

5. Ἔπειτα προϊόντες ὁδεύουσιν ἡσυχῇ καὶ μετὰ κόσμου πάντες, 93
ὥσπερ ἐν πολέμῳ τὴν ἰδίαν τάξιν ἕκαστος φυλάσσων, οἱ μὲν πεζοὶ θώραξιν πεφραγμένοι καὶ κράνεσιν καὶ μαχαιροφοροῦντες ἀμφοτέρωθεν. μακρότερον δ' αὐτῶν τὸ λαιὸν ξίφος πολλῷ· τὸ γὰρ 94
κατὰ τὸ δεξιὸν στιθαμῆς οὐ πλέον ἔχει τὸ μῆκος. φέρουσι δ' οἱ 95
μὲν περὶ τὸν στρατηγὸν ἐπίλεκτοι πεζοὶ λόγχην καὶ ἀσπίδα, ἡ δὲ λοιπὴ φάλαγξ ξυστόν τε καὶ θυρεὸν ἐπιμήκη, πρὸς οἷς πρίονα καὶ κόφινον ἄμμην τε καὶ πέλεκυν, πρὸς δὲ ἱμάντα καὶ δρέπανον καὶ

PAMLVRCLat Suidas s. ὕσπληξ.

1 δὲ VRC ἀλλὰ VRC νεύματι] πνεύματι Lipsius μὲν om. L 2 δὲ ALVRC 3 παρασκευᾶσθαι V παρασκευάζεσθαι C οἱ δ' — 5 ἕτοιμοι] habet Suidas s. ὕσπληξ breuiata δὲ VRC τοῖσ τε, στ i. ras. m. 2 C 4 ἐπιτιθέντεσ (τι ex τε corr. A) PAMLVR τὴν ἀποσκευὴν om. VR ἑστᾶσιν, ἑ ex corr. R ἱστᾶσιν C 5 ἐφ' ὕσπληγος] MVRCSuid ὑφύσπληγοσ P ἐφ' ὑσπλῆγοσ AL² ἀφ' ὕσπληγος Naber ὑποπιπρᾶσι C 6 ὂν] ὃν L¹, om. VRC ἐκεῖ πάλιν] *alia* Lat ἐκεῖ suspectum Destinoni 7 δὲ VRC 8 ὅμως] ὁμοίως Hauerkamp ex cod. L. B. προσσημαίνουσι C 9 βραδύνοντασ MLVRC ἀπολειφθεί · η, eras. σ V τάξεως] τῆς τάξεως ex cod. Rost. Bekker 10 δεξιὸσ PA δεξιῶσ V παραστὰς εἰ] παρατάσσει V παραστάσει R 11 πατρίῳ] πατρῴᾳ PA πατρῴᾳ V γλώσσῃ, η i. ras. m. 2 V τρὶς] ML²VCLips τρεῖσ PAL¹ τρίν R 12 ἀναβοῶσιν PAL ἀντιβοῶ · σι V *respondent* Lat εἶναι om. L¹VRC 13 δὲ] τε VRC ὑποπιπλάμενοι C¹ 14 συνεξαίρουσιν] συνεξάγουσιν PAL 15 ὁδεύουσι A καὶ s. P πάντες] παντὸσ LLat 17 θώραξιν] θώραξί τε VRC fort. recte ἀμφοτέροθεν R 18 δὲ AVRC 19 τὸ (ante δεξιὸν) om. AMLVRC τὸ om. VRC δὲ VRC 20 λόγγχην V 21 φάλαξ P φάλαγξ A ἐπιμήκην, ν i. ras. ex σ corr. m. 2 L 22 κώφινον V¹R ἄμην (sic) PL¹ ἄμην ML²RC ἱμάντα L¹R ἱμάντα L²

ἄλνσιν, ἡμερῶν τε τριῶν ἐφόδιον· ὡς ὀλίγον ἀποδεῖν τῶν ἀχθο-
96 φορούντων ὀρέων τὸν πεζόν. τοῖς δὲ ἱππεῦσιν μάχαιρα μὲν ἐκ
δεξιῶν μακρὰ καὶ κοντὸς ἐτιμήκης ἐν χειρί, θυρεὸς δὲ παρὰ πλευ-
ρὸν ἵππου πλάγιος, καὶ κατὰ γωρυτοῦ παρήρτηνται τρεῖς ἢ πλείους
ἄκοντες, πλατεῖς μὲν αἰχμάς, οὐκ ἀποδέοντες δὲ δοράτων μέγεθος· 5
97 κράνη δὲ καὶ θώρακες ὁμοίως τοῖς πεζοῖς ἅπασιν. οὐδενὶ δὲ ὅπλων
διαλλάττουσιν οἱ περὶ τὸν στρατηγὸν ἔκκριτοι τῶν ἐν ταῖς ἴλαις
ἱππέων. κλήρῳ δὲ τῶν ταγμάτων ἀεὶ τὸ λαχὸν ἡγεῖται.
98 6. Τοιαῦται μὲν οὖν αἱ Ῥωμαίων πορεῖαί τε καὶ καταλύσεις,
πρὸς δὲ ὅπλων διαφοραί, οὐδὲν δὲ ἀπροβούλευτον ἐν ταῖς μάχαις 10
οὐδὲ αὐτοσχέδιον, ἀλλὰ γνώμῃ μὲν ἀεὶ παντὸς ἔργου προάγει, τοῖς
99 δοχθεῖσι δὲ ἕπεται τὰ ἔργα· παρ' ὃ καὶ σφάλλονται μὲν ἥκιστα.
100 κἂν πταίσωσι δέ, ῥᾳδίως ἀναλαμβάνουσι τὰ σφάλματα. ἡγοῦνταί
τε τῶν ἀπὸ τύχης ἐπιτευγμάτων ἀμείνους τὰς ἐπὶ τοῖς προβου-
λευθεῖσιν διαμαρτίας, ὡς τοῦ μὲν αὐτομάτου καλοῦ δελεάζοντος εἰς 15
ἀπρομήθειαν, τῆς σκέψεως δέ, κἂν ἀτυχήσῃ ποτέ, πρὸς τὸ μὴ
101 αὖθις καλὴν ἐχούσης μελέτην· καὶ τῶν μὲν αὐτομάτων ἀγαθῶν οὐ
τὸν λαβόντα αἴτιον εἶναι, τῶν δὲ παρὰ γνώμην προσπεσόντων σκυ-
θρωπῶν παραμυθίαν τό γε προσηκόντως βεβουλεῦσθαι.
102 7. Παρασκευάζουσι μὲν οἵν ἐν ταῖς μελέταις τῶν ὅπλων οὐ 20
τὰ σώματα μόνον ἀλλὰ καὶ τὰς ψυχὰς ἀλκίμους, προσασκοῦνται
103 δὲ καὶ τῷ φόβῳ. οἵ τε γὰρ νόμοι παρ' αὐτοῖς οὐ λιποταξίου
μόνον ἀλλὰ καὶ ῥᾳστώνης ὀλίγης θανατικοὶ οἵ τε στρατηγοὶ τῶν
νόμων φοβερώτεροι· ταῖς γὰρ πρὸς τοὺς ἀγαθοὺς τιμαῖς ῥέπονται
104 τὸ δοκεῖν ὠμοὶ πρὸς τοὺς κολαζομένους. τοσοῦτον δ' αὐτῶν τὸ πρὸς 25

PAMLVRC Lat Suidas s. *ἀποδέον, γωρυτός.*

1 *ὡς* — 2 *πεζόν*] habet Suidas s. *ἀποδέον* *τὸν*] *τὸ* V *ὀρέων*] *ζώων ἤτοι ὀρέων* Suid *ἱππεῦσι*] *ἱππεῦσι · ·* L *ἡ μάχαιρα* V *δεξιοῦ* VRC 3 *καὶ*] incip. Suid 4 *κατὰ γωρυτοῦ*] *καταγορύτου* P *καταγορύτου* R *κατὰ γορυτοῦ* C *παρηρτημένοι* Suid 5 *μέγεθος*] fin. Suidas 6 *οὐδενὶ δὲ ὅπλων*] *nullo armorum genere* Lat *ὅπλων*] *ὅπλῳ* VRC 7 *διαλάττουσιν* PAVC *ἔκκριτοι*] *ἐπίκριτοι* VRC *ἴλαις* PAML²C *εἴλαις* L¹ *εἵλαις* V¹R 9 *τοιαῦτα* L¹ *οὖν αἱ* om. VRC fort. recte 10 *δὲ*] *τε* PA *ἐν* om. V 11 *ἀλλὰ* — *προάγει*] *sed omnia semper sequuntur facta sententia* Lat 12 *δ'* C 13 *τὰ*] *τὰς* A *τὰ · R* 14 *τε*] *δὲ* V 15 *διαμαρτίαις* V¹ *δελεάζοντος*] *δέλεαρ ὄντος* PA *εἰς ἀπρομήθειαν*] *ut diuina prouidentia non esse credatur* Lat 16 post *τῆς* eras. uid. *δε* L *σκήψεως* V *ἀποτυχήσῃ* C *αὐτομάτων* om. C 18 *προσπεσόντων*] *συμπεσόντων* V 19 *παραμυθία* L¹ *προσηκόντος* ut uid. C¹ 22 *λειποταξίου* AVRC 23 *ὀλίγαις* V 24 *ταῖς*] *τὸ* R 25 *τὸ*] *τῷ* Hudson *τοῦ* Dindorf *ὠμοὶ*] *ὠμοὶ δὲ* L¹VR *δὲ* VRC

τοὺς ἡγεμόνας πειθήνιον, ὡς ἔν τε εἰρήνῃ κόσμον εἶναι καὶ ἐπὶ παραιάξεως ἓν σῶμα τὴν ὅλην στρατιάν. οὕτως αὐτῶν ἀσφαλεῖς 105
μὲν αἱ τάξεις, εὔστροφοι δ' εἰσὶν αἱ περιαγωγαί, ὀξεῖαι δ' ἀκοαὶ μὲν παραγγέλμασιν, ὄψεις δὲ σημείοις, ἔργοις δὲ χεῖρες. ὅθεν 106
δρᾶσαι μὲν ἀεὶ ταχεῖς, βραδύτατοι δὲ παθεῖν εἰσιν, οὐδ' ἔστιν ὅπου σταθέντες ἧ πλήθους ἧσσήθησαν ἢ στραιηγημάτων ἢ δυσχωρίας, ἀλλ' οὐδὲ τύχης· καὶ γὰρ ταύτης αὐτοῖς τὸ κρατεῖν βεβαιότερον. οἷς οὖν βουλὴ μὲν ἄρχει παρατάξεως, ἕπεται δὲ τοῖς βεβου- 107
λευμένοις στρατὸς οὕτω δραστήριος, τί θαυμαστόν, εἰ πρὸς ἕω μὲν Εὐφράτης, ὠκεανὸς δὲ πρὸς ἑσπέραν, μεσημβρινὸν δὲ Λιβύης τὸ πιότατον καὶ πρὸς ἄρκτον Ἴστρος τε καὶ Ῥῆνος τῆς ἡγεμονίας ὅροι; δεόντως γὰρ ἄν τις εἴποι τὸ κτῆμα τῶν κτησαμένων ἔλασσον.

8. Ταῦτα μὲν οἷν διεξῆλθον οὐ Ῥωμαίους ἐπαινέσαι προαιρου- 108
μενος τοσοῦτον, ὅσον εἴς τε παραμυθίαν τῶν κεχειρωμένων καὶ εἰς ἀποτροπὴν τῶν νεωτεριζόντων· εἴη δ' ἂν τοῖς ἀγνοοῦσιν τῶν 109
φιλοκαλούντων καὶ πρὸς ἐμπειρίας ἡ ἀγωγὴ τῆς Ῥωμαίων στρατιᾶς. ἐπάνειμι δ' ὅθεν ἐπὶ ταῦτ' ἐξέβην.

VI. 1. Οὐεσπασιανὸς μὲν ἅμα τῷ παιδὶ Τίτῳ διατρίβων τέως 110
ἐν τῇ Πτολεμαΐδι συνέτασσεν τὰς δυνάμεις, ὁ δὲ τὴν Γαλιλαίαν κατατρέχων Πλάκιδος ἐπεὶ πολὺ μὲν πλῆθος ἀνῃρήκει τῶν καταλαμβανομένων, τοῦτο δ' ἦν τὸ ἀσθενέστερον Γαλιλαίων καὶ ταῖς φυγαῖς ἐναποκάμνον, ὁρῶν δὲ συμφεῦγον ἀεὶ τὶ μάχιμον εἰς τὰς 111
ὑπὸ τοῦ Ἰωσήπου τειχισθείσας πόλεις ὥρμισεν ἐπὶ τὴν ὀχυρω-

PAMLVRC Lat Hegesippus III 8 p. 185.

2 *ἀσφαλεῖς*] *συναφεῖσ* L *ἀφελεῖσ* RC *copulati* Lat 3 *εὔστροφαι* AML *δὲ* VRC *προαγωγαὶ* M *δὲ* PVRC 4 *μὲν* om. L *ὄψισ* P 5 *οὐδὲ* VRC 6 *σταθέντες*] *συστάντεσ* MVRC *proeliantes* ut uid. Lat *ἡσσήθησαν*, litt. *σσήθη* i. ras., *σαν* suppl. A *ἤσθησαν* PL¹ *sensere* Lat *δυσχωρίαισ* C 7 *ἀλλ' — τύχης*] *sed ne fortunae quidem succubuerunt* Lat *βεβαιότερον τὸ κρατεῖν* tr. L 8 *ἄρχη* P *παρατάξεως*] PAL¹ *πράξεωσ* MVRC et ex corr. L *actus* Lat 9 *ἕω*] *ἠὼ*, i. marg. *ἕω* L 11 *πιώτατον* PAVR *ἱστρόσ* L² *hister* Lat 12 *τῶν* iteravit M 13 *ἔλασσον*] *ἐλάσσω* VR *ἔλασσω* C *ἔλασσον· ἕωσ ὧδε τῶν ῥωμαϊκῶν ἐκστρατευμάτων καὶ τῶν πολεμικῶν ὀργάνων ὁ ἔπαινοσ* L 15 *τε* om. V 17 *φιλοκαλοκαλούντων* C *ἐμπειρίαν* PAML *ἡ* om. C 18 *δὲ* VRC *ταῦτα* PVRC 19 *μὲν*] *δὲ* MVRC *quidem* Lat *πεδὶ* P *παιδί, αιδὶ* i. ras. angustiore V 20 i. marg. *γ̄* V 21 *ἐπεὶ*] *ἐπὶ* C 22 *δὲ* VRC 23 *φυγαῖς*] *φυλακαῖσ* PAM *ψυχαῖσ* VRC *animis* Lat *εὕρηται ἔντισι ψυχαῖσ· ἐν ἄλλοισ φυγαῖσ* i. marg. M *ἐναποκάμνον*] *ἀποκάμνων* PA¹ *ἀποκάμνον* ex corr. A *δὲ*] *δὴ* M *συμφεύγων* P *τὸ μάχιμον ἀεὶ συμφεῦγον* tr. VRC 24 *ὀχυροτάτην* C

τάτην αὐτῶν Ἰωταπάταν, οἰόμενος ἐξ ἐφόδου μὲν αἱρήσειν ῥᾳδίως, μέγα δὲ κλέος αὐτῷ παρὰ τοῖς ἡγεμόσιν κἀκείνοις ὄφελος εἰς τὰ λοιπὰ παρέξειν· προσχωρήσειν γὰρ δέει τὰς ἄλλας πόλεις τῆς
112 καρτερωτάτης ἐχομένης. πολύ γε μὴν διήμαρτεν τῆς ἐλπίδος· ἐπιόντα γὰρ αὐτὸν οἱ Ἰωταπατηνοὶ προαισθόμενοι πρὸ τῆς πόλεως ἐκδέχονται, καὶ τοῖς Ῥωμαίοις συρραγέντες ἀδοκήτοις πολλοὶ καὶ πρὸς μάχην ἕτοιμοι πρόθυμοί τε ὡς ἂν ὑπὲρ κινδυνευούσης πατρί-
113 δος καὶ γυναικῶν καὶ τέκνων, τρέπονται ταχέως. καὶ πολλοὺς μὲν τιτρώσκουσι τῶν Ῥωμαίων, ἑλτὰ δὲ ἀναιροῦσιν διὰ τὸ μήτε ἄτακτον αὐτῶν τὴν ὑποχώρησιν γενέσθαι καὶ τὰς πληγὰς ἐπιπολαίους πεφραγμένων πάντοθεν τῶν σωμάτων, τούς τε Ἰουδαίους πόρρωθεν
114 βάλλειν πλέον ἢ συμπλέκεσθαι θαρρεῖν γυμνῆτας ὁπλίταις. ἔπεσον δὲ καὶ τῶν Ἰουδαίων τρεῖς ἄνδρες καὶ ἐτρώθησαν ὀλίγοι. Πλάκιδος μὲν οὖν τῆς ἐπὶ τὴν πόλιν ὁρμῆς ἀτονώτερος εὑρεθεὶς φεύγει.
115 2. Οὐεσπασιανὸς δὲ ὡρμημένος αὐτὸς ἐμβαλεῖν εἰς τὴν Γαλιλαίαν ἐξελαύνει τῆς Πτολεμαΐδος διατάξας τὴν στρατιὰν ὁδεύειν
116 καθὰ Ῥωμαίοις ἔθος. τοὺς μέν γε ψιλοὺς τῶν ἐπικούρων καὶ τοξότας προάγειν ἐκέλευσεν, ὡς ἀνακόπτοιεν τὰς ἐξαπιναίους τῶν πολεμίων ἐπιδρομὰς καὶ διερευνῷεν τὰς ὑπόπτους καὶ λοχᾶσθαι δυναμένας ὕλας, οἷς εἵπετο καὶ Ῥωμαίων ὁπλιτικὴ μοῖρα πεζοί
117 τε καὶ ἱππεῖς. τούτοις ἀφ' ἑκάστης ἑκατονταρχίας ἠκολούθουν δέκα τήν τε ἑαυτῶν σκευὴν καὶ τὰ μέτρα τῆς παρεμβολῆς φέρον-
118 τες, καὶ μετ' αὐτοὺς ὁδοποιοί, τά τε σκολιὰ τῆς λεωφόρου κατευθύνειν καὶ χθαμαλοῦν τὰ δύσβατα καὶ τὰς ἐμποδίους ὕλας προ-
119 ανακόπτειν, ὡς μὴ ταλαιπωροῖτο δυσποροῦν τὸ στράτευμα. κατόπιν

PAMLVRCLatHegesippus III 8 p. 185.

1 αὐτοῦ C ἰωτάπαταν AC ἰωτάπατα L¹VRC οἰομένους C 2 αὐτῷ] *et sibi* Lat ἑαυτῷ ed. pr. ἡγεμόσιν] *apud alios rectores* Lat 3 παρέξειν, παρέξ i. ras. 4 litt. A δέει] PAML²Lat μηκέτι εἰσ L¹VRC 4 ἐχομένης] οἰχομένησ MVRC *occupatam* Lat 5 αὐτὸν] αὐτῶ C ἰωταπατηνοὶ·· C 6 προεκδέχονται L¹ ἀδοκήτωσ L πολλοὶ] πολὺ V 8 γυναικῶν τε καὶ AL τρέπωνται ex corr. V 10 ἐπιπολέουσ PAR ἐπιπολαίουσ V 11 βάλλειν πόρρωθεν tr. C 12 ἐμπλέκεσθαι VRC θαρεῖν C¹ γυμνίτασ MC γυμνιτὰσ R ὁπλίτασ L¹V 13 ὁ πλάκιδοσ LVRC 15 i. marg. δ̄ V ὡρμόμενοσ V ὥρμενοσ RC ἐμβάλλειν VRC 16 τῆς] τῆσ πόλεωσ (πόλεωσ s. P) PAM 18 ἀνακόπτοιεν] προσκοποῖεν VRC *cohibendos* Lat 19 διερευνοῖεν PAM διερευνῶ ἐν· V 21 ἀφ'] ἐφ' M ἠκολούθουν C¹ 22 δέκα] om. PA *deni* Lat ἑαυτῶν] καθ' ἑαυτὸν L¹ αὐτῶν VRC τὰ s. M 23 λεοφόρου P¹V¹ 25 ταλαιπωροῖτο C

δὲ τούτων τάς τε ἰδίας καὶ τὰς τῶν ὑπ' αὐτὸν ἡγεμόνων ἔταξεν ἀποσκευὰς καὶ συχνοὺς ἐπὶ τούτοις πρὸς ἀσφάλειαν τῶν ἱππέων. μεθ' οὓς αὐτὸς ἐξήλαυνεν τούς τε ἐπιλέκτους τῶν πεζῶν καὶ 120
ἱππέων καὶ τοὺς λογχοφόρους ἔχων. εἵπετο δ' αὐτῷ τὸ ἴδιον τοῦ τάγματος ἱππικόν· ἴδιοι γὰρ ἑκάστου τάγματος εἴκοσι πρὸς τοῖς ἑκατὸν ἱππεῖς. τούτοις δ' ἠκολούθουν οἱ τὰς ἐλεπόλεις φέροντες 121
ὀρεῖς καὶ τὰ λοιπὰ μηχανήματα. μετὰ τούτους ἡγεμόνες τε καὶ 122
σπειρῶν ἔπαρχοι σὺν χιλιάρχοις, ἐπιλέκτους περὶ σφᾶς στρατιώτας ἔχοντες· ἔπειτα αἱ σημαῖαι περιίσχουσαι τὸν ἀετόν, ὃς παν- 123
τὸς ἄρχει Ῥωμαίοις τάγματος, βασιλεύς τε οἰωνῶν ἁπάντων καὶ ἀλκιμώτατος ὤν· ὃ δὴ καὶ τῆς ἡγεμονίας τεκμήριον αὐτοῖς καὶ κληδών, ἐφ' οὓς ἂν ἴωσιν, τοῦ κρατήσειν δοκεῖ. τοῖς δὲ ἱεροῖς 124
ἠκολούθουν οἱ σαλπιγκταί, καὶ κατόπιν αὐτῶν ἡ φάλαγξ τὸ στῖφος εἰς ἓξ πλατύνασα. τούτοις παρείπετό τις ἑκατόνταρχος ἐξ ἔθους
τὴν τάξιν ἐπισκοπούμενος. τὸ δ' οἰκετικὸν ἑκάστου τάγματος ἅπαν 125
τοῖς πεζοῖς εἵπετο, τὰς ἀποσκευὰς τῶν στρατιωτῶν ἐπὶ τοῖς ὀρεῖσιν καὶ τοῖς ὑποζυγίοις ἄγοντες· κατόπιν δὲ πάντων [τῶν ταγ- 126
μάτων] ὁ μίσθιος ὄχλος, οἷς οὐραγοὶ πρὸς ἀσφάλειαν ἠκολούθουν πεζοί τε καὶ ὁπλῖται καὶ τῶν ἱππέων συχνοί.

3. Οὕτως ὁδεύσας Οὐεσπασιανὸς μετὰ τῆς δυνάμεως εἰς τοὺς 127
ὅρους ἀφικνεῖται τῆς Γαλιλαίας, ἔνθα καταστρατοπεδευσάμενος ὡρμημένους εἰς πόλεμον τοὺς στρατιώτας κατεῖχεν, ἐπιδεικνύμενος τὴν στρατιὰν εἰς κατάπληξιν τοῖς πολεμίοις καὶ μετανοίας καιρὸν διδούς, εἰ πρὸ μάχης μεταβάλοιντο· ἅμα δὲ καὶ πρὸς

PAMLVRC Lat Hegesippus III 8 p. 186.

1 *ἰδίους* L^1 *τὰς* om. PA *αὐτῶν* VR 3 *αὐτὸ·σ,* eras. *υ* C 4 *εἵπετο* — 6 *ἱππεῖς*] *equitumque praeterea suorum agmine comitatus; de singulis enim turmis proprios centum et uiginti equites deputatos habebat* Lat *δὲ* VRC *αὐτῶν* L^1 5 *εἴκοσι*] *κ̄* PA 6 *ἑκατὸν*] *ρ̄* PA *δ'*] *δὴ* P *δὲ* VRC *ἐλεπόλεις* P^1AVR 7 *ὀρεῖς* P^1V 8 post *στρατιώτας* 3—4 litt. eras. L 9 *σημαῖαι αἱ περιΐσχουσαι* PAM *circum aquilam signa alia* Lat *αἰετὸν* L 10 *οἰονῶν* A 11 *ἀλκιμώτατος, ι* corr. ex *η* AV 12 *ἂν ἴωσιν*] *ἀνιᾶσιν* PA *δὲ ἱεροῖς*] *δὲ ἱερεῦσιν* A *δ' ἱεροῖσ* ML *ἱεροῖσ δὲ* VRC 13 *φάλαξ* P^1A^1 14 *πλατύνουσα* (*ου* ex *α* corr. A) AL *ἑκατοντάρχησ* MVRC *ecatontarchus* Lat 15 *τὴν τάξιν*] *disciplinae atque ordinis* Lat *δὲ* VRC 17 *ὑποζυγίοισ, υγ* ex *οιγ* corr. A *τῶν* om. PA *ταγμάτων* s. P 18 *οἷς* — 19 *συχνοί*] *eamque* (*multitudinem*) *armorum coactores sequebantur armati pedites equitumque non pauci* Lat *ἠκολούθουν* A 19 *καὶ* ante *ὁπλῖται* fort. spurium *συχνοί*] *πολλοί* LVRC 20 *οὕτω* M *εἰς*] *πρὸσ* VRC 23 *τὴν*] *τε τὴν* MVRCLat 24 *διδουσ καιρὸν* tr. VRC

128 πολιορκίαν τῶν ἑρυμάτων ἐξηρτύετο. μετάνοιαν μὲν οὖν τῆς ἀπο-
στάσεως ὀφθεὶς ὁ στρατηγὸς πολλοῖς ἐνειργάσατο, κατάπληξιν δὲ
129 πᾶσιν· οἱ μὲν γὰρ περὶ τὸν Ἰώσηπον ἐστρατοπεδευκότες οὐκ
ἄπωθεν τῆς Σεπφώρεως παρὰ πόλιν Γαρὶν καλουμένην ἐπεὶ πλη-
σιάζοντα τὸν πόλεμον ἤκουσαν ὅσον τε οὔπω τοὺς Ῥωμαίους συμ-
μίξοντας σφίσιν, οὐ μόνον πρὸ μάχης, ἀλλὰ καὶ πρὶν ἰδεῖν τοὺς
130 ἐχθροὺς διασκίδνανται φυγῇ. καταλείπεται δ' ὁ Ἰώσηπος μετ'
ὀλίγων, καὶ κατιδὼν ὡς οὔτε δέχεσθαι τοὺς πολεμίους ἀρκετὴν
ἔχει δύναμιν καὶ πεπτώκοι τὰ φρονήματα τῶν Ἰουδαίων ἄσμενοί
τ' ἄν, εἰ πιστεύοιντο, χωρεῖν οἱ πλείους ἐπὶ σπονδάς, ἐδεδίει μὲν
131 ἤδη περὶ παντὸς τοῦ πολέμου, τότε δ' ὡς πορρωτάτω χωρίζεσθαι
τῶν κινδύνων ἔκρινεν. ἀναλαβὼν δὲ τοὺς συμμείναντας εἰς Τιβε-
ριάδα καταφεύγει.

132 VII. 1. Οὐεσπασιανὸς δὲ τῇ πόλει τῶν Γαδάρων ἐπελθὼν
αἱρεῖ τε κατὰ πρώτην ἔφοδον αὐτὴν μαχίμου πλήθους ἔρημον
133 καταλαβών, καὶ παρελθὼν εἴσω πάντας ἡβηδὸν ἀναιρεῖ μηδεμιᾶς
τῶν Ῥωμαίων ἡλικίας ἔλεον ποιουμένων μίσει πρὸς τὸ ἔθνος καὶ
134 μνήμῃ τῆς κατὰ τὸν Κέστιον αὐτῶν παρανομίας. ἐμπίμπρησιν δὲ
οὐ μόνον αὐτὴν τὴν πόλιν, ἀλλὰ καὶ τὰς πέριξ κώμας πάσας τε
καὶ πολίχνας, ἃς μὲν παντελῶς ἐκλελειμμένας, ἔστιν δ' ἃς αὐτὸς
ἐξανδραποδιζόμενος.

135 2. Ὁ δ' Ἰώσηπος ἦν πρὸς ἀσφάλειαν εἵλετο πόλιν αὐτὸς ἐνέ-

---

PAMLVRCLatHegesippus III 8 p. 186.

1 ἐξηρτύεται V i. marg. $\overline{\vartheta}$ C 2 εἰσοφθεὶσ PA 3 μὲν om. MVRC
4 ἄποθεν PAMLVC σεπφώρεωσ, εωσ i. ras. A σεπφώρησ P σεπφώρεως, s. m. 2 L *sefforim* (abl.) Lat παρὰ — καλουμένην om. PALLat fort. recte iudice Destinone; cf. uita 395. 412 ἐπεὶ] ἐπεὶ, πεὶ i. ras. maiore m. 2 L ἐνῇ P ἐν ᾗ A *ubi* Lat; ἐν ᾗ retinet Destinon, qui simul lacunam statuit
5 τοῖσ ῥωμαίοισ V συμμίξαντεσ PA¹ συμμίξαντασ VR 6 πρὸσ μάχην PA
7 καταλίπεται PAL¹ δὲ PVRC 9 ἔχοι ALVRC πεπτώκοι] πεπτωκότα VRC 10 τε LVRC πιστεύσοιεν L 11 δὲ PVRC 12 δὲ] *que* Lat unde τε Niese δὴ Bekker τιβεριάδα, ρι ex ρει corr. L ut solet 14 Γαδάρων] γαδαρέων MVRC γαδαραίων L *gadarensium* Lat *gadaram* Heg Γαβάρων Gfroerer 15 αἱρεῖ τε PRV¹ αἱρεῖται A αἱρεῖ τὲ M αἱρεῖτο L¹ αἵρει τε V² κατὰ] καὶ κατὰ R 16 ἡβηδὸν P¹VR 17 ἡλικίασ τῶν ῥωμαίων tr. A μίσει] μίσει τῶ MLV²C μίσει τὸ V¹ μίσει τε ed. pr. haud male 18 μνήμησ PA¹R ἐμπίμπρησι M ἐμπιπρᾶσι VC ἐμπιμπρᾶσι R *incendit* Lat δὲ, δ ex ν corr. M δ' LC 19 κώμασ πάσασ] VRCLat πάσασ πόλεισ PAM κώμασ πάσασ πόλεισ L *uicos* Heg 20 ἐκλελιμμένασ P et ut uid. A¹ δὲ LVRC αὐτοὶ ἐξανδραποδιζόμενοι VRC 22 i. marg. ī C δὲ LVRC εἵλατο RV¹

πλησεν δέους καταφυγών. οἱ δὲ ἀπὸ τῆς Τιβεριάδος οὐκ ἄν, εἰ
μὴ πρὸς τὸ πᾶν ἀπεγνώκει τὸν πόλεμον, τραπῆναί ποτε αὐτὸν
ᾤοντο. καὶ κατὰ τοῦτό γε οὐ διημάρτανον αὐτοῦ τῆς γνώμης· 136
ἑώρα μὲν γάρ, ποῖ ῥέψει τὰ Ἰουδαίων τέλους, καὶ μίαν αὐτῶν ἤδει
σωτηρίαν, εἰ μεταβάλοιντο. αὐτὸς δὲ καίπερ συγγνωσθήσεσθαι 137
παρὰ Ῥωμαίοις προσδοκῶν, ὅμως τεθνάναι μᾶλλον εἵλετο πολ-
λάκις ἢ καταπροδοὺς τὴν πατρίδα καὶ τὴν ἐμπιστευθεῖσαν αὐτῷ
στρατηγίαν ὑβρίσας εὐτυχεῖν παρ' οἷς πολεμήσων ἐπέμφθη. γρά- 138
φειν οὖν τοῖς ἐν τέλει τῶν Ἱεροσολύμων διέγνω μετὰ ἀκριβείας
τὰ πράγματα, ὡς μήτ' ἐπὶ μεῖζον ἐξάρας τὴν τῶν πολεμίων ἰσχὺν
αὖθις εἰς δειλίαν κακίζοιτο μήτε ἐνδεέστερον ἀπαγγείλας κἂν
μετανοήσαντας ἴσως θρασύνοιεν, ἵνα τε ἢ σπονδὰς αἱρούμενοι 139
ταχέως ἀντιγράψωσιν ἢ πολεμεῖν ἐγνωκότες πρὸς Ῥωμαίους ἀξιό-
μαχον αὐτῷ πέμψωσι δύναμιν. ὁ μὲν οὖν ταῦτ' ἐπιστείλας πέμπει 140
διὰ τάχους ἐπὶ Ἱεροσολύμων τοὺς τὰ γράμματα κομίζοντας.

3. Οὐεσπασιανὸς δὲ ὡρμημένος ἐξαιρεῖν τὴν Ἰωταπάταν, πέπυστο 141
γὰρ εἰς αὐτὴν πλείστους τῶν πολεμίων συμπεφευγέναι καὶ ἄλλως
ὁρμητήριον ἰσχυρὸν οὖσαν αὐτῶν, πέμπει πεζούς τε καὶ ἱππεῖς
τοὺς προεξομαλιοῦντας τὴν ὁδὸν ὀρεινὴν ὑπάρχουσαν καὶ πετρώδη,
δύσβατον δὲ καὶ πεζοῖς, ἱππεῦσιν δ' ἀμήχανον. οἱ μὲν οὖν τέσ- 142
σαρσιν ἡμέραις ἐξειργάσαντο καὶ πλατεῖαν ἤνοιξαν τῇ στρατιᾷ
λεωφόρον· τῇ πέμπτῃ δ' ὁ Ἰώσηπος, αὐτῇ δ' ἦν Ἀρτεμισίου μηνὸς
μία καὶ εἰκάς, φθάνει παρελθὼν εἰς τὴν Ἰωταπάταν ἐκ τῆς Τιβε-

---

PAMLVRC Lat Hegesippus III 8 p. 186.

1 δὲ] *nam* Lat recte ut uid. ἀπὸ] ἐπὶ Destinon 2 τὸ πᾶν] ἅπαν VRC
ποτε] τε PA 4 ποῖ] οἷ VRC ῥέψειε Hudson τὰ, ἀ i. ras. 2 litt. V
ἤδη A^1VC^1 5 μεταβάλλοιντο VC καίπερ] *quamuis adhuc* Lat 6 εἵλετο, ε ante τ
i. ras. V εἵλατο R 8 παρ'] καὶ παρ' PA παρ' — ἐπέμφθη] *a quibus fuerat*
missus Lat · γράφειν, γρα s. A 9 μετ' M 10 ὡς] om. PA^1 μήτε AVRC
μεῖζον] τὸ μεῖζον LVRC 11 εἰς δειλίαν αὖθις tr. P κακίζοιτο] κομίζοιτο C
ἐνδεσέστερον A^1 12 μετανοήσαντοσ α L θρασύνειεν LC τε ἢ om. R
13 ἀξιόμαχον πρὸς ῥωμαίους πέμψωσιν αὐτῷ δύναμιν tr. VRC 14 ταῦτα
VRC 15 τὰ s. A 16 δὲ] δ' M, om. Lat ὡρμημένος] ὥρμενοσ VRC
τὴν Ἰωταπάταν] τὴν ἰωτάπαταν (ν suppl. m. 2 L) AL τὰ ἰωτάπατα MVRC
iotapatam LatHeg τὴν Ἰωταπάτην Dindorf; cf. Steph. Byz. s. Ἰωτάπατα
πέπειστο VR 19 τοὺς om. VR 20 δὲ] τε MVRC δὲ VRC τέσαρσιν A
21 ἀνέῳξαν postulat L. Dindorf 22 δὲ ὁ VRC δὲ ἦν VRC ἀρτεμησίου
PAV^1 *mai* Lat 23 μία καὶ εἰκάς] εἰκοστὴ (εἰκοστὶ V) πρώτη (πρώτῃ, ω ex
o corr. V) VRC Artemisii 21. dies est 8. Iunii (VI id. Iun.) anni Iuliani 67
p. Chr. παρελθεῖν C Ἰωταπάταν] PA^1L^2 ἰωτάπαταν ex corr. A ἰωταπάτα
M ἰωταπάτων L^1 ἰωτάπατα (ἰ-V) VRC *iotapata* (acc.) Lat Ἰωταπάτην Dindorf

143 ριάδος καὶ πεπτωκότα τοῖς Ἰουδαίοις ἐγείρει τὰ φρονήματα. Οὐεσπασιανῷ δέ τις εὐαγγελίζεται τὴν μετάβασιν τοῦ ἀνδρὸς αὐτόμολος καὶ κατήπειγεν ἐπὶ τὴν πόλιν ὡς μετ' ἐκείνης αἱρήσοντα
144 πᾶσαν Ἰουδαίαν, εἰ λάβοι τὸν Ἰώσηπον ὑποχείριον. ὁ δ' ἁρπάσας ὥσπερ μέγιστον εὐτύχημα τὴν ἀγγελίαν, καὶ προνοίᾳ θεοῦ τὸν συνετώτατον εἶναι δοκοῦντα τῶν πολεμίων οἰόμενος εἰς εἱρκτὴν αὐθαίρετον παρελθεῖν, εὐθέως μὲν σὺν χιλίοις ἱππεῦσιν πέμπει Πλάκιδον καὶ δεκαδάρχην Αἰβούτιον, ἄνδρα τῶν ἐπισήμων κατὰ χεῖρα καὶ σύνεσιν, περικατασχεῖν κελεύσας τὴν πόλιν, ὡς μὴ λάθοι διαδρὰς ὁ Ἰώσηπος.

145 4. Αὐτὸς δὲ μετὰ μίαν ἡμέραν ἀναλαβὼν πᾶσαν τὴν δύναμιν εἵπετο καὶ μέχρι δείλης ὁδεύσας πρὸς τὴν Ἰωταπάταν ἀφι-
146 κνεῖται. ἀναλαβὼν δὲ τὴν στρατιὰν εἰς τὸ προσάρκτιον αὐτῆς μέρος ἔν τινι λόφῳ στρατοπεδεύεται διέχοντι σταδίους ἑπτὰ τῆς πόλεως, πειρώμενος ὡς μάλιστα τοῖς πολεμίοις εὐσύνοπτος
147 εἶναι πρὸς ἔκπληξιν· ἣ καὶ παραχρῆμα τοσαύτη τοὺς Ἰουδαίους
148 κατέσχεν, ὡς μηδένα τοῦ τείχους τολμῆσαι προελθεῖν. Ῥωμαῖοι δ' εὐθὺς μὲν ἀπώκνησαν προσβαλεῖν δι' ὅλης ὠδευκότες ἡμέρας, διπλῇ δὲ τῇ φάλαγγι κυκλοῦνται τὴν πόλιν καὶ τρίτην ἔξωθεν περιισᾶσιν τὴν ἵππον, πάσας ἀποφράσσοντες αὐτοῖς τὰς
149 ἐξόδους. τοῦτ' ἐν ἀπογνώσει σωτηρίας παρώξυνε τοὺς Ἰουδαίους πρὸς τόλμαν· οὐδὲν γὰρ ἀνάγκης ἐν πολέμῳ μαχιμώτερον.

PAMLVRCLat Hegesippus III 9 p. 187.

1 *πεπτωκότα, τα* suppl. m. 2 L *ἐγείρει*] *ἀνίστησι* VRC *erigit* Lat *erexit* Heg i. marg. ιβ C 2 *τὴν μετάβασιν* om. R 3 *αἱρήσοντα*] PALV¹C Lat *αἱρήσων* (αἱ - V) MRV² 4 *λάβοιτο* PAM *δὲ* VRC 5 *μέγιστε*ου (ε finale deletum) C ··*ἀγγελίαν*, eras. *ευ* L *προνοίᾳ*] *πρόνοιαν* C² *τον*] *τῶν* C¹ 6 *εἰρκτὴν* PVC 7 *αὐθαίρετον εἰρκτὴν* tr. VRC *μὲν* om. MVRC *σὺν*] *οὖν συν* PA *χιλίουσ* V 8 *δε*αὶ*κάρχην* L *Αἰβούτιον*] *εὐβούθιον* PAM *εὐβούθιον* L *ἐβούτιον* RC *ἐβούτιον*, *αἰ* s. m. 3 V *ebutium* Lat 12 *Ἰωτάπαταν* ex corr. A *Ἰωτάπατα* MVRC *Ἰωταπάτην* Dindorf 13 *εἰς*] expunxit ut uid. man. 1 L, om. Hauerkamp, nec sanum uid. 14 *ἔν*] *πρόσ* VRC 15 *πειρώμενος* — 17 *ὡς*] *consulto enim quam maxime conspici ab hostibus adfectabat, ut uisu attoniti turbarentur. quod etiam factum est, cosque tantus continuo stupor inuasit, ut* Lat 16 *ἣ*] *ἡ* V 17 *κατέσχεν*] *κατέσχεν κατάπληξισ* PA et ut uid. Lat probante Destinone, qui u. 16 *ἣ* eicit 18 *δὲ* LVRC *ὁδευκότεσ* PA¹L¹ 19 *διπλῇ δὲ*] *ob eandem causam duplici* Lat *sequenti die duplici* Heg *κυκλοῦται* R *τρίτον* L¹ 20 *πάσας*] PAMLC Lat *πᾶσαν* VR 21 *τοῦτ'*] *τοῦ γε* VR *τοῦτό γε* C *sed ea res* Lat *παρώξυναι* R *παρόξυναι* ex *παρωξύναι* corr. V 22 *μαχιμώτερον*] *ἀλκιμώτερον* Naber cl. § 209

5. *Γενομένης δὲ μεθ' ἡμέραν προσβολῆς τὸ μὲν πρῶτον Ἰου-* 150
δαῖοι κατὰ χώραν μένοντες ἀντεῖχον ἀντικρὺ τῶν Ῥωμαίων ἑστρα-
τοπεδευκότες πρὸ τοῦ τείχους· ὡς δὲ Οὐεσπασιανὸς τούτοις μὲν 151
τοὺς τοξότας καὶ σφενδονήτας καὶ πᾶν τὸ τῶν ἐκβόλων πλῆθος
ἐπιστήσας ἐπέτρεψεν βάλλειν, αὐτὸς δὲ μετὰ τῶν πεζῶν εἰς τὸ
πρόσαντες ἀνώθει καθ' ὃ τὸ τεῖχος ἦν εὐάλωτον, δείσας ὁ Ἰώση-
πος περὶ τῇ πόλει προπηδᾷ καὶ σὺν αὐτῷ πᾶν τὸ τῶν Ἰουδαίων
πλῆθος. συμπεσόντες δὲ τοῖς Ῥωμαίοις ἀθρόοι τοῦ μὲν τείχους 152
ἀνέστειλαν αὐτούς, πολλὰ δ' ἐπεδείκνυντο χειρῶν ἔργα καὶ τόλμης.
οὐκ ἔλασσόν γε μὴν ὧν ἔδρων ἀντέπασχον· ὅσον γὰρ αὐτοὺς ἧ 153
τῆς σωτηρίας ἀπόγνωσις, τοσοῦτο τοὺς Ῥωμαίους αἰδὼς παρε-
κρότει, καὶ τοὺς μὲν ἐμπειρία μετ' ἀλκῆς, τοὺς δὲ θράσος ὥπλιζε
τῷ θυμῷ στρατηγουμένους. παραταξάμενοι δὲ δι' ὅλης ἡμέρας 154
νυκτὶ διαλύονται, τρώσαντες μὲν πλείστους Ῥωμαίων, δεκαπρεῖς δ'
ἀνελόντες· αὐτῶν δ' ἔπεσον μὲν δεκαεπτά, τραυματίαι δ' ἐγένοντο
ἑξακόσιοι.

6. *Τῇ δ' ὑστεραίᾳ πάλιν προσβάλλουσι τοῖς Ῥωμαίοις ἐπεξ-* 155
ελθόντες καὶ πολὺ καρτερώτερον ἀντιπαρετάξαντο, θαρραλεώτεροι
μὲν ἐκ τοῦ παρὰ λόγον ἀντισχεῖν τῇ προτέρᾳ γεγενημένοι, χρώ-
μενοι δὲ καὶ τοῖς Ῥωμαίοις μαχιμωτέροις· ὑπὸ γὰρ αἰδοῦς εἰς 156
ὀργὴν ἐξεκαίοντο τὸ μὴ ταχέως νικᾶν ἧττον ἡγούμενοι. καὶ μέχρι 157
πέμπτης ἡμέρας προσβολαὶ μὲν ἐγίνοντο τῶν Ῥωμαίων ἀδιά-
λειπτοι, ἐκδρομαὶ δὲ τῶν Ἰωταπατηνῶν καὶ τειχομαχίαι καρτερώ-
τεραι, καὶ οὔτε Ἰουδαῖοι τὴν τῶν πολεμίων ἰσχὺν κατωρρώδουν
οὔτε Ῥωμαῖοι πρὸς τὸ τῆς πόλεως δυσάλωτον ἀπέκαμνον.

PAMLVRCLatHegesippus III 9 p. 187.

2 *ἀντικρυς* L¹ *ἐξεστρατοπεδευκότες* VRC *ἑστρατοπεδευκότων* (siue *ἐξεστρ.*) uertit Lat 5 *ἐπέτρεψεν*] *ἐκέλευσε* VRC 6 *ἀνωθεῖ* Niese *καθ' ὃ*] *unde* Lat *τοῦ τείχους* VRC *ὁ* om. RC 7 *τὴν πόλιν* C *προπηδᾶ·* V 8 *ἀθρόοι* R² 9 *δὲ* VRC *ἐπεδείκνυντο* C 10 *ἔλασσων* A¹ *ἐλάσσω* MVRC fort. recte 11 *τοσούτω* PAML *τοσοῦτον* VRC 12 *μετὰ* VRC *τοὺς*—13 *στρατηγουμένους*] *illos autem duce iracundia ferocitas armabat* Lat *ὥπλιζε* ..... (*ω* ex *ο* et *ε* ex *ο* corr. m. 2) L 13 *στρατηγούμενος* C¹ 14 *τρισκαίδεκα* MVRC *δὲ* MVRC 15 *ἀνελόντες*] *ἄνδρας ἀνελόντες* AML *ἀνελόντες ἄνδρας* VRC *δὲ* PVRC *μὲν* om. M *δεκαεπτά*] *δέκα ἑπτὰ* L¹C *δέκα καὶ ἑπτὰ* VR *τραματίαι* A *δὲ* VR 17 *δὲ* VR *ὑστεραίᾳ*] *ὑστεραία ἡμέρα* PAL *ἐπεξελθόντες*] *ἐπεξεθόντες* A *ἐπεξῆλθόν τε* Destinon 18 *καὶ* om. RC *καρτερώρον* C¹ *ἀντεπαρετάξαντο* PR *ἀντεπαρατάξαντο* LVC¹ *θαρραλαιώτεροι* P *θαραλεώτεροι* C¹ 19 *μὲν* om. VR *τῇ προτεραίᾳ* Niese 22 *τῶν* om. P *ἀδιάληπτοι* P 23 *δὲ* s. V *καρτερότεραι* P *καρτεραὶ* VRC *καρτερώτατα* Destinon 24 *κατορρώδουν* PA¹ 25 *δυσάλωτον* V¹ i. marg. *ε* V *ιβ'* C

158 7. Ἔστιν δ' Ἰωταπάτα πλὴν ὀλίγου πᾶσα κρημνός, ἐκ μὲν τῶν
ἄλλων μερῶν πάντοθεν φάραγξιν ἀπείροις ἀπότομος, ὡς τῶν κατι-
δεῖν πειρωμένων τὰς ὄψεις προεξασθενεῖν τοῦ βάθους, ἀπὸ βορέου
δὲ προσιτὴ μόνον, καθ' ὃ λήγοντι τῷ ὄρει πλαγίῳ προσέκτισται.
159 καὶ τοῦτο δ' ὁ Ἰώσηπος ἐμπεριειλήφει τειχίζων τὴν πόλιν, ὡς 5
160 ἀκατάληπτον εἶναι πολεμίοις τὴν ὑπὲρ αὐτῆς ἀκρώρειαν. κυκλόθεν
δ' ἄλλοις ὄρεσιν καλυπτομένη, πρὶν εἰσαφίκοιτό τις εἰς αὐτήν,
παντελῶς ἀόρατος ἦν. εἶχε μὲν οὖν οὕτως ὀχυρότητος Ἰωταπάτη·
161 8. Οὐεσπασιανὸς δὲ τῇ τε φύσει τοῦ χωρίου καὶ ταῖς τόλμαις
τῶν Ἰουδαίων ἀντιφιλονεικῶν ἔγνω καρτερώτερον ἅπτεσθαι τῆς 10
πολιορκίας, καὶ προσκαλεσάμενος τοὺς ὑπ' αὐτὸν ἡγεμόνας ἐβου-
162 λεύετο περὶ τῆς προσβολῆς. δόξαν δὲ χῶσαι τὸ προσιτὸν τοῦ
τείχους ἐπὶ συγκομιδὴν ὕλης ἐκπέμπει πᾶν τὸ στράτευμα, καὶ
κοπέντων τῶν περὶ τὴν πόλιν ὀρῶν συναλισθείσης τε ἅμα τοῖς
163 ξύλοις ἀπείρου χερμάδος, οἱ μὲν πρὸς ἀλεωρὰν τῶν ὑπερθεν ἀφιε- 15
μένων βελῶν γέρρα διατείναντες ὑπὲρ χαρακωμάτων ἔχουν ὑπ'
αὐτοῖς οὐδὲν ἧσσον μικρὰ βλαπτόμενοι ταῖς ἀπὸ τοῦ τείχους βολαῖς·
164 οἱ δὲ τοὺς πλησίον ὄχθους ἀνασπῶντες γῆν αὐτοῖς ἀδιαλείπτως
165 ἔφερον, καὶ τριχῇ διῃρημένων ἀργὸς ἦν οὐδείς. οἱ δὲ Ἰουδαῖοι
πέτρας τε μεγάλας ἀπὸ τῶν τειχῶν τοῖς σκεπάσμασιν αὐτῶν ἐπ- 20
ῆφίεσαν καὶ πᾶν εἶδος βελῶν· ἦν δὲ καὶ μὴ διικνουμένων πολὺς ὁ
ψόφος καὶ φοβερὸς ἐμπόδιον τοῖς ἐργαζομένοις.

PAMLVRCLatHegesippus III 9 p. 188.

1 δὲ AMVRC *ἰωτάπατα* AM *ἰωταπάτη* LVR *iotapata* Lat *ὀλίγων* C
πᾶσα] πᾶσα ᾗ (ᾗ V) VR *κρημνοῖσ* C 2 *φάραγξ* * * P *φάραγξιν* C
ὡς τῶν] *αὐτῶν* C 3 *βορέου, ορ* ex *αρ* corr. uid. A 4 *προσιτὴ*] *προσ-*
ητη M *καθ' ὃ λήγοντι*] MRCLatHeg *κατ'* (ex *καθ'* corr. PA) *ὀλίγον τι*
PAL¹ *καθ' ὃ λῆγον τί* L² *καθόλίγον τὶ* V *πλαγίωσ* ML fort. recte, nisi *πλαγία*
manus *προσέκτισται*] *προσεκτείνεται* ALM *προσεκτείνεται* P *aedificata est* Lat
παρεκτείνεται Destinon 5 *καὶ*] *κατὰ* L¹ *τοῦτο*] *τοῦ* C *δὲ* VR *ἰώσι-*
ποσ C¹ *ἐνπεριειλήφει* A *ἐκπεριειλήφει* V *τειχίζων* om. L¹ 6 *κύκλω-*
θεν PMC *κύκλοθεν* A 7 *δὲ* VRC *πρὶν*] *πρὶν δ'* L *εἰς* om.
MVRC 8 *οὖν* om. VRC 10 *ἀντιφιλονεικῶν* VRC *acriter*
Lat 11 *ὑφ' ἑαυτὸν* L 12 *προσιτὸν*] *ἀπρόσιτον* MVRC *facilis — ac-*
cessui Lat 15 *ἀλεώραν* PAMVR *ἀλεῶραν* V, i. marg. m. 2 *σκέπην* L
16 *γέρρα*] *scutisque minoribus siue ancilibus* Lat *διατείνοντεσ* AL *χαρα-*
κωμάτων] *τῶν χαρακωμάτων* L *ἔχουν*] *ἐχώρουν*, i. marg. m. 2 *ἔχουν* V
ἐχώννυον Hauerkamp ex Bod. et L. B. 18 *τοὺς*] *τοῦ* R 19 *ἔφερον*] *προσ-*
έφερον VRC fort. recte 20 *σκεπάσμασιν*] *σκιάσμασιν* L *σκέπασιν* VR *ἐπ-*
ήφίεσαν V 21 *ἦν* — 22 *ἐργαζομένοις*] *quae licet minime penetrarent, magnus*
tamen crepitus et horribile impedimentum erant operantibus Lat *πολὺς*] *πολὺσ*
ὤν (*ὤν* suppl. m. 2 L) LVRC 22 *ψόφοσ, φ* ex *τ* aut *ψ* corr. m. 2 A

9. *Οὐεσπασιανὸς δὲ ἐν κύκλῳ τὰς ἀφετηρίους μηχανὰς ἐπι-* 166
σιήσας, τὰ πάντα δ' ἦν ἑκατὸν ἑξήκοντα ὄργανα, βάλλειν ἐκέ-
λευσεν τοὺς ἐπὶ τοῦ τείχους. ὁμοῦ δὲ οἵ τε καταπέλται τὰς 167
λόγχας ἀνερροίζουν καὶ ταλαντιαῖοι λίθοι μέγεθος ἐκ τῶν πετρο-
βόλων ἐβάλλοντο πῦρ τε καὶ πλῆθος ἀθρόων οἰστῶν, ἅπερ οὐ
μόνον τὸ τεῖχος ἀνεπίβατον τοῖς Ἰουδαίοις ἐποίησεν, ἀλλὰ καὶ
τὴν ἐντὸς ὅσης ἐφικνεῖτο χώρας· καὶ γὰρ καὶ τὸ τῶν Ἀράβων 168
τοξοτῶν πλῆθος ἀκοντισταί τε καὶ σφενδονῆται πάντες ἅμα τοῖς
μηχανήμασιν ἔβαλλον. οὐ μὴν εἰργόμενοί τῆς καθύπερθεν ἀμύνης 169
ῥέμουν· ἐκτρέχοντες γὰρ ληστρικώτερον κατὰ λόχους περιέσπων
τε τῶν ἐργαζομένων τὰς σκέπας καὶ τοὺς γυμνουμένους ἔπαιον,
καὶ καθ' ὃ παρείκοιεν ἐκεῖνοι διερρίπτουν τε τὸ χῶμα καὶ τὰ
χαρακώματα σὺν τοῖς γέρροις ἐνεπίμπρασαν, μέχρι συνεὶς Οὐεσπα- 170
σιανὸς τὴν διαίρεσιν τῶν ἔργων αἰτίαν εἶναι τῆς βλάβης, τὰ γὰρ
διαστήματα τοῖς Ἰουδαίοις προσβολῆς παρεῖχεν τόπον, ἑνοῖ τὰ
σκεπάσματα, καὶ συναφθείσης ἅμα αὐτοῖς τῆς δυνάμεως ἀνείρχθη-
σαν αἱ τῶν Ἰουδαίων παραδύσεις.

10. *Ἐγειρομένου δὲ τοῦ χώματος ἤδη καὶ ταῖς ἐπάλξεσιν ὕσον* 171
οὔπω πλησιάζοντος δεινὸν ὁ Ἰώσηπος νομίσας, εἰ μηδὲν ἀντιμη-
χανήσαιτο τῇ πόλει σωτήριον, συναθροίζει τέκτονας καὶ τὸ τεῖχος
ἐκέλευσεν ὑψοῦν. τῶν δ' ἀδύνατον εἶναι φαμένων οἰκοδομεῖν 172
τοσούτοις βέλεσι βαλλομένους, σκέπην αὐτοῖς ἐπινοεῖ τοιάνδε· δρυ- 173

PAMLVRC Lat Exc. Poliorcet.

2 *δὲ* VRC 3 *ἐπὶ*] *ἀπὸ* VR *δ'* ML *τε* om. VR 4 *ἀνερρίζουν* P¹A et ex corr. L *ἔνερροίζουν* V *μέγεθος*] incip. excerpta poliorcetica cod. Paris. suppl. gr. 607 5 *ἀθρόον* L¹Exc *ἀθρόων*, *ω* in *o* corr. deinde m. 3 *ω* restitutum V *οἰστῶν* P *οἰστῶν* A *ἅπερ οὐ μόνον*] *ἀπαιρούμενον* (*αι* i. ras. 3—4 litt.) V *απαιωρούμενον* R *ἀπαιωρουμένων* C *απερουμενον* Exc 7 *τὴν*] *τῆσ* ML¹R et ex corr. V *τοῖσ* V¹ *ὅσης*] *ρῦσησ* MVR *ἀφικνεῖτο* L¹ *χώραν* Exc *καὶ γὰρ* — 9 *μηχανήμασιν*] *arabum enim sagittariorum manus et iaculatores itemque funditores omnes et machinae* Lat *καὶ* (ante *τὸ*) om. VRCExc 8 *τε* om. Exc *σφενδονῖται* P¹A *σφενδονηταὶ* (*τ* i. ras. V) L¹VRC 9 *εἰργόμενοι*] *iudaei prohibiti* Lat *τῆς*] *τοῖσ* LVRC¹ *ταῖσ* Exc *ἀμύναισ* Exc 10 *περιέπων* R 11 *γυμνωμένουσ* C¹ *ἔπαινον* V¹ 12 *παροῖεν* V *ἐκ·εῖνοι* V *διερρίπτουν τε*] Exc *διερριπτοῦντο* PAML *διερρίπτουν* VRC 13 *γέρροις*] *ἔργοισ* Exc *ἐνεπίπρασαν* C¹ 14 *ἔργων*, *ρ* ex *γ* corr. L 15 *παρεχειν* Exc haud male *τοπαν* Exc *ἑνοῖ·*, eras. ut uid. *σ* RC *τὰ σκεπάσματα*] PAMLExc *τὰσ σκέπασ* VRC 16 *ἅμα* om. Exc *αὐταῖσ* V *ἀνείρ*|*θησαν* L¹ 17 *παραλυσεισ* Exc *παρεισδύσεις* Destinon 18 i. marg. *ϛ* V *ιγ* C 19 *οὔπω οὔτω* L *ὁ* om. VRC *νομήσασ* V 21 *ἐκέλευεν* R *ὕψου* Exc *δὲ* VRC 22 *βαλλόμενοσ* C *δρυφακτοὺσ* L

ᾳάκτους πήξασθαι κελεύσας ἐμπετάσαι τε βύρσας νεοδορους βοῶν,
ὡς ἀναδέχοιντο μὲν τοὺς ἀπὸ τῶν πετροβόλων λίθους κολπούμεναι,
περιολισθάνοι δὲ ἀπ' αὐτῶν καὶ τὰ λοιπὰ βέλη καὶ τὸ πῦρ ὑπὸ
174 *τῆς ἰκμάδος εἴργοιτο, προανίστησιν τῶν τεκτόνων. ὑφ' οἷς ἀσφα-*
λῶς ἐργαζόμενοι δι' ἡμέρας τε καὶ νυκτὸς τὸ τεῖχος ἤγειραν εἰς
εἴκοσι πήχεις τὸ ὕψος, καὶ συχνοὺς μὲν πύργους ἐνῳκοδόμησαν
175 *αὐτῷ, καρτερὰν δὲ ἔπαλξιν ἐφηρμόσαντο. τοῦτο τοῖς Ῥωμαίοις*
ἤδη τῆς πόλεως ἐντὸς οἰομένοις εἶναι πολλὴν ἐποίησεν ἀθυμίαν,
καὶ πρός τε τὴν ἐπίνοιαν τοῦ Ἰωσίπου καὶ τὸ παράστημα τῶν
ἐπὶ τῆς πόλεως κατεπλάγησαν.

176 11. *Οὐεσπασιανὸς δὲ καὶ πρὸς τὸ πανοῦργον τοῦ στρατηγή-*
177 *ματος καὶ πρὸς τὰς τόλμας παρωξύνετο τῶν Ἰωταπατηνῶν· πάλιν*
γὰρ ἀναθαρσήσαντες ἐπὶ τῷ τειχισμῷ τοῖς Ῥωμαίοις ἐπεξέθεον,
καὶ καθ' ἡμέραν ἐγίνοντο συμπλοκαὶ κατὰ λόχους ἐπίνοιά τε
ληστρικὴ πᾶσα καὶ τῶν προστυχόντων ἁρπαγαὶ καὶ τῶν ἄλλων
178 *ἔργων πυρπολήσεις, ἕως Οὐεσπασιανὸς ἀναπαύσας τὴν στρατιὰν*
179 *μάχης διέγνω προσκαθεζόμενος σπάνει τῶν ἐπιτηδείων αἱρεῖν τὴν*
180 *πόλιν· ἢ γὰρ ἀναγκαζομένους ταῖς ἀπορίαις ἱκετεύσειν αὐτὸν ἢ*
μέχρι παντὸς ἀπαυθαδισαμένους διαφθαρήσεσθαι λιμῷ. πολύ τε
ῥᾴοσιν αὐτοῖς ἠξίου χρήσεσθαι κατὰ τὴν μάχην, εἰ διαλιπὼν αὖθις

PAMLVRC Lat Hegesippus III 10 p. 188. Exc. Poliorcet.

1 *πήξασθαι* corr. ex *πήξαντι* V *ἐκπετάσαι* M *ενπετασαι* Exc *βύρσαις* VRC *νεοδόρους βοῶν*] *βοῶν νεοδέρουσ* i. ras. litteris et pressis et abbreuiatis scriptum man. 2; unum *β* antiquae manus est L *νεοδόρους*] *νεοδέρουσ* PA *νεοδόροις* VRC, om. L¹ExcLat 2 *ἀναδέχοιντο*] *ἂν ἀναδέχοιντο* L *ἂν δέχοιντο* VRCExc fort. recte 3 *περιολισθαίνοι* V *δ'* Exc *καὶ* om. AMLVRC Exc Lat 4 *εἴργοιτο* AL² *ἴργοιτο* Exc *languescerel* Lat *προανίστησιν — οἷς*] *hisque ante fabros oppositis illi* Lat *ὑφ'*] *ἐφ'* VRC *οἷς*] *ἧσ* P *ἀσφαλῶς* om. Lat 5 *ἀνήγειραν* V 6 *ἀνοκοδόμησαν* P *ἀνωκοδόμησαν* AL *ἐνοικοδόμησαν* R¹ 7 *δὲ*] *τε* VRCExc *ἐφηρμώσαντο* PA 8 *οἰομένοις, σ* s. A *οἰομένουσ* L¹R *ἐνεποίησεν* Destinon 9 *ἀπόνοιαν* L¹ *ην* 12 *ἰωταπατῶν* C *πάλιν*] *πάλαι* VRC 13 *ἀναθαρρήσαντεσ* CExc 14 *ἐγείνοντο* Exc *κατὰ*] *καὶ κατὰ* LVRC 16 *ἔργων* om. Lat *ἀναπαύσασθαι* PAL *στρατειαν* Exc 17 *διέγνω*] *διέγνω · καὶ* (*καὶ* suppl., eras. uid. *σ*) A *διέγνω — τὴν πόλιν*] *ἐνδεια τῶν ἐπιτηδειων αἱρειν* (*αἱ* ex *αἰ* corr.) *εγνω* Exc *αἱρεῖν*] *ἀναιρεῖν* PAL¹ 18 *ηαναναγκαζομενοσ* Exc *ταῖς ἀπορίαις*] PALExc *τῶν ἀναγκαίων ἀπορία* MV *ἀπορία τῶν ἀναγκαίων* RC *inopia cibi* Lat *ἱκετεύειν* PAMVRCExc *supplicaturos* Lat *αὐτὸν*] *τὸν* Exc 19 *ἐπανθαδισαμένουσ* (*υσ* i. ras. R) RC *ἀπανθαδιασαμένουσ* V *διαφθαρήσεσθαι, η* i. ras. V *consumendos* Lat 20 *ῥαῶσι* Exc *αὐτὸσ* VR *χρήσασθαι* PALExc *χρήσεσθαι λιμῶ* (*λιμῶ* deletum) C *διαλειπὼν* PAC²Exc

ἐκτετρυχωμένοις ἐπιπέσοι. φρουρεῖν δὴ πάσας αὐτῶν ἐκέλευσεν
τὰς ἐξόδους.

12. Τοῖς δὲ σίτου μὲν πλῆθος ἦν ἔνδον καὶ τῶν ἄλλων πλὴν 181
ἁλὸς ἁπάντων, ἔνδεια δὲ ὕδατος ὡς ἂν πηγῆς μὲν οὐκ οὔσης κατὰ
τὴν πόλιν, τῷ δ' ὀμβρίῳ διαρκουμένων τῶν ἐν αὐτῇ· σπάνιον δ' 182
εἴ ποτε τὸ κλίμα θέρους ἔσται. καὶ κατὰ ταύτην τὴν ὥραν πολιορ-
κουμένων ἀθυμία δεινὴ πρὸς τὴν τοῦ δίψους ἐπίνοιαν ἦν, ἀσχαλ-
λόντων ἤδη ὡς καθάπαν ἐπιλελοιπότος ὕδατος· ὁ γὰρ Ἰώσηπος 183
τήν τε πόλιν ὁρῶν τῶν ἄλλων ἐπιτηδείων εὔπορον καὶ τὰ φρονή-
ματα γενναῖα τῶν ἀνδρῶν, βουλόμενός τε παρ' ἐλπίδα τοῖς Ῥω-
μαίοις ἐκτεῖναι τὴν πολιορκίαν, μέτρῳ τὸ ποτὸν αὐτοῖς διένειμεν
εὐθέως. οἱ δὲ τὸ ταμιεύεσθαι χαλεπώτερον ἐνδείας ὑπελάμβανον, 184
καὶ τὸ μὴ αὐτεξούσιον αὐτῶν πλέον ἐκίνει τὴν ὄρεξιν, καὶ καθάπερ
εἰς ἔσχατον ἤδη δίψους προήκοντες ἀπέκαμνον. διακείμενοι δὲ
οὕτως οὐκ ἐλάνθανον τοὺς Ῥωμαίους· ἀπὸ γὰρ τοῦ κατάντους 185
ἑώρων αὐτοὺς ὑπὲρ τὸ τεῖχος ἐφ' ἕνα συρρέοντας τόπον καὶ
μετρουμένους τὸ ὕδωρ, ἐφ' ὃν καὶ τοῖς ὀξυβελέσιν ἐξικνούμενοι
πολλοὺς ἀνῄρουν.

13. Καὶ Οὐεσπασιανὸς μὲν οὐκ εἰς μακρὰν τῶν ἐκδοχείων 186

PAMLVRCLatHegesippus III 10 p. 188. Exc. Poliorcet.

1 *ἐκτετρυχομένοις* R *ἐκτετρυμμενοις* Exc, unde *ἐκτετρυμένοις* Niese *δὴ*] *δὲ* MVRC *δὲ δεῖ* L *itaque* Lat *πάσας*] *ἧσαν* VR *αὐτῶν* om. C 3 *ἦν πλῆθος* tr. VRCExc *πλὴν ἁλὸς*] om. Heg *ἅλις* cod. Voss. apud Hudsonum 4 *ἁλὸς*] ex *ἁλλοσ* corr. V *αλλοσ* Exc *δ'* L 5 *τῷ*] *τῶν* PA¹ *δὲ* VRC *ὀμβρίων* PA¹ *τῶν*] *τῷ* L *δὲ* MVRC *δ' εἴ*] *δεῖ* Exc 6 *τὸ κλίμα*] *illo tractu* Lat *τὸ κλίμα τοῦτο* ex cod. Voss. Hudson *τὸ*] *τι* L *ὕ· εται* C *ὑετε* Exc *καὶ — 8 ὕδατος*] *quo tempore obsessi etiam hoc uehementius adficiebantur, quod arcendae siti fuerat excogitatum ac uelut omnis aqua iam defecisset, aegre ferebant* Lat *κατὰ ταύτην*] *καταυτὴν* Exc 7 *ἀσχαλλόντων ἤδη ὡς*] *ἤσχαλλόν (ἴσχαλον* V) *τε (τ'* L¹) *ὡσ ἤδη* MLVRC *ησχαλλεντεωσηδη* (*ε* post *λ* deletum man. 1) Exc 8 *ἐπιλελοιπότος καθάπαν* tr. VRC *ὕδατος*] *τοῦ ὕδατος* Exc *ὕδατοσ ὡσ ἂν πηγῆς μὲν οὐκ οὔσησ κατα · · · τὴν πόλιν* C cf. u. 4 9 *ἐπιτηδείων*] *ἐπιτηδείων και* C *τὰ* om. M 10 *γενναῖα* PA *γεννέα* C *παρ' ἐλπίδα τοῖς Ῥωμαίοις*] PAMLExc *ῥωμαίοισ παρ' ἐλπίδα (ἐλπίδασ* C¹) VRC 11 *ἐκτεῖναι τὴν πολιορκίαν*] *τὴν πολιορκίαν ἔσεσθαι* Exc *τὸ ποτὸν*] *τόπον* Exc *αὐτοῖσ* ex *αὐτουσ* corr. R *διένειμεν εὐθέως*] *διένεμεν* MVRCExc *διένεμεν εὐθέωσ* L *iam tunc — ministrabat* Lat 12 *χαλε · πώτερον* A 13 *αὐτεξούσιον*] *αὐτεξούσι* C¹ *ἐκίνει*] *ἐκείνη* V¹ *ἐκει* C 14 *ἐσχάτην* L¹ *ἀπέκ · αμνον* A *ἀπέκαμον* Exc *δ'* Exc 16 *ἑώρων, ων* ex *ο · · ·* corr. V *ἑωρουν* Exc *ὑπὲρ*] MVRCExc *ἐπὶ* PAL *trans* Lat 17 *ὃν*] *ὧν* Exc 19 *μὲν*] *δὲ* PAL *quidem* Lat *ἐκδοχίων* RExc et ut uid. V¹

κενωθέντων ἤλπιζεν ὑπὸ τῆς ἀνάγκης αὐτῷ παραδοθήσεσθαι τὴν
187 πόλιν· ὁ δὲ Ἰώσηπος κλάσαι τὴν ἐλπίδα ταύτην αὐτῷ προαιρούμενος ἐμβρέξαι κελεύει πλείστους τὰ ἱμάτια καὶ κατακρεμάσαι περὶ τὰς ἐπάλξεις, ὥστε περιρρεῖσθαι πᾶν ἐξαπίνης τὸ τεῖχος.
188 πρὸς τοῦτ' ἀθυμία τῶν Ῥωμαίων καὶ κατάπληξις ἦν θεασαμένων εἰς χλεύην τοσοῦτον παραναλίσκοντας ὕδατος οὗς οὐδὲ ποτὸν ἔχειν ὑπελάμβανον, ὥστε καὶ τὸν στρατηγὸν ἀπογνόντα τὴν δι' ἐνδείας
189 ἅλωσιν τρέπεσθαι πάλιν πρὸς ὅπλα καὶ βίαν. ὃ δὴ τοῖς Ἰουδαίοις δι' ἐπιθυμίας ἦν· ἀπεγνωκότες γὰρ ἑαυτοὺς καὶ τὴν πόλιν πρὸ λιμοῦ καὶ δίψης τὸν ἐν πολέμῳ θάνατον ᾑροῦντο.

190 14. Ὁ μέντοι γε Ἰώσηπος πρὸς τῷδε τῷ στρατηγήματι καὶ
191 ἕτερον ἐπενόησεν εἰς περιουσίαν αὐτῷ· διά τινος χαράδρας δυσβάτου καὶ διὰ τοῦθ' ὑπὸ τῶν φυλάκων ἀμελουμένης κατὰ τὰ πρὸς δύσιν μέρη τῆς φάραγγος ἐκπέμπων τινὰς γράμματά τε πρὸς οὓς ἐβούλετο τῶν ἔξω Ἰουδαίων διεπέμψατο καὶ παρ' αὐτῶν ἐλάμβανεν, παντός τε ἐπιτηδείου τῶν ἀνὰ τὴν πόλιν ἐπιλειποτάτων
192 εὐπόρησεν, ἔρτειν τὰ πολλὰ παρὰ τὰς φυλακὰς κελεύσας τοῖς ἐξιοῦσιν καὶ τὰ νῶτα καλύπτειν νάκεσιν, ὡς εἰ καὶ κατίδοι τις αὐτοὺς νύκτωρ, φαντασίαν παρέχοιεν κυνῶν, μέχρι συναισθόμενοι τὴν ἐπίνοιαν οἱ φρουροὶ περισχοῦσιν τὴν χαράδραν.

193 15. Καὶ τόθ' ὁ Ἰώσηπος μὲν τὴν πόλιν οὐκ εἰς μακρὰν ὁρῶν ἀνθέξειν, ἐν ἀπόρῳ δὲ τὴν ἑαυτῶν σωτηρίαν εἰ μένοι, θρασμὸν

PAMLVRC Lat Hegesippus III 10 p. 189 Exc. Poliorcet. Suidas s. *πρὸ λιμοῦ, νάκος.*

2 δὲ Ἰώσηπος] δ' ἰωσῆπρος Exc *κλάσαι*] *κλάσαι μὲν* VR *ἐλπίδα* · C *αὐτῶν* ex corr. R 3 *κελεύει* ·, eras. *ν* V *πλήστους* R *τὰ* om. V *κατακρεμάσαι, σ* ex *ν* corr. M *κατακρημνίσαι* L *κατακρεμ* · *άσαι* C *κατακρημνησαι* Exc 4 *περιρεῖσθαι* P *περιρρεῖσθαι, ι* ante *ρ* suppl. ut uid. m. 1 L *ἐξάπείνησ*‖ finis excerptorum Poliorc. 5 *τοῦτο* VRC 6 *χλεύην, νη* i. ras. m. 2 L *παραναλίσκοντεσ* V 7 *ἀπογνῶντα* PA 10 *πρὸ — ᾑροῦντο* habet Suidas s. *πρὸ λιμοῦ* 11 *ἐν τῷ πολέμῳ* Suid 12 *ἐνενόησεν* PAM *ἀνενόησεν* V *excogitauit* Lat *χαράδρας*, prius *ρ* ex *λ* corr. A 13 *τοῦτο* LVRC *ἀμελουμένης καὶ κατὰ* (*καὶ* deletum) C *τὰ* · C 14 *οὓς*] *οἷσ* PM *οἷσ, ν* ex *ι* corr. A 15 *ἐβούλετο* MVRC *ἔξω*] *ἐξ* C *διεπέμψα* · *το* A *διεπέμπετο* C *διεπέμψατο — 17 εὐπόρησεν*] *ab his omnia usui necessaria et quae in ciuitate defecerant accipiebat* Lat *ἔλαβε* MVR 16 *ἐπιλειποτάτων ἀνὰ τὴν πόλιν* tr. VRC 17 *ἔρτειν — 19 κυνῶν* habet Suidas s. *νάκος* breuiata 18 *ἐξιοῦσιν*] *εἰσιοῦσι* LVRCSuid *νάκεσιν* V *ὡς εἰ*] *ὡσεὶ* R *καὶ* om. Suid 19 *μέχρι*] *μέχρι ποτὲ* V *συναισθόμενοι, αισ* i. ras. minore A 20 *περισχήσουσι* C 21 i. marg. *ιδ'* C *τόθ' ὁ*] *τοῦθ' ὁ* M *τότ'* L *τότε* VRC *ἀνθέξειν ὁρῶν* tr. VRC 22 *ἀπορία* V *ἑαυτοῦ* MLVRC *εἰ μένοι*] *εἰ μένει* ex corr. A *αἰσθόμενοσ* VRC

ἅμα τοῖς δυνατοῖς ἐβουλεύετο. συναισθόμενοι δὲ τὸ πλῆθος καὶ περιχυθὲν αὐτῷ κατηντιβόλουν μὴ σφᾶς περιιδεῖν ἐπ' αὐτῷ μόνῳ κειμένους· εἶναι γὰρ τῇ πόλει καὶ σωτηρίας μὲν ἐλπὶς παραμένων, 194
παντὸς ἀγωνισομένου δι' αὐτὸν προθύμως, κἂν ἁλῶσιν δέ, παραμυθίαν. χρέπειν δ' αὐτῷ μήτε φυγεῖν τοὺς ἐχθροὺς μήτ' ἐγκατα- 195
λιπεῖν τοὺς φίλους μήτ' ἀπορηδὰν ὥσπερ χειμαζομένης νεώς, εἰς ἣν ἐν γαλήνῃ παρῆλθεν· ἐπιβαπτίσειν γὰρ αὐτοῖς τὴν πόλιν 196
μηδενὸς ἔτι τοῖς πολεμίοις τολμῶντος ἀνθίστασθαι δι' ὃν ἂν θαρσοῦσιν οἰχομένου.

16. Ὁ δὲ Ἰώσηπος τὸ κατ' αὐτὸν ἀσφαλὲς ὑποστελλόμενος 197
ὑπὲρ αὐτῶν ἔφασκεν ποιεῖσθαι τὴν ἔξοδον· μένων μὲν γὰρ οὔτ' 198
ἂν ὠφελῆσαί τι μέγα σωζομένους, κἂν ἁλίσκωνται, συναπολεῖσθαι περιττῶς, ἐκδὺς δὲ τῆς πολιορκίας ἔξωθεν αὐτοὺς ὠφελήσειν
μέγιστα· τούς τε γὰρ ἐκ τῆς χώρας Γαλιλαίους συναθροίσειν ᾗ 199
τάχος καὶ Ῥωμαίους ἑτέρῳ πολέμῳ τῆς πόλεως αὐτῶν ἀντιπερισπάσειν. οὐκ ὁρᾶν δέ, τί παρακαθεζόμενος αὐτοῖς χρήσιμος εἴη 200
νῦν, πλὴν εἰ μὴ Ῥωμαίους παροξύνων μᾶλλον ἐπὶ τὴν πολιορκίαν, οὓς περὶ πλείστου ποιεῖσθαι λαβεῖν αὐτόν· εἰ δ' ἐκδράντα πύθοιντο, πολὺ τῆς ἐπὶ τὴν πόλιν ὁρμῆς ἀνήσειν. οὐκ ἔπειθεν δὲ τούτοις, 201
ἀλλὰ μᾶλλον ἐξέκαυσεν τὸ πλῆθος αὐτοῦ περιέχεσθαι· παιδία γοῦν καὶ γέροντες καὶ γύναια μετὰ νηπίων ὀδυρόμενα προσέπιπτον αὐτῷ καὶ τοῖς ποσὶν ἐμπλεκόμενοι πάντες εἶχοντο, καὶ μετὰ κωκυτῶν 202

PAMLVRC Lat.

1 *συναισθόμενον* MLC *συναισθόμενόν, ν* finale corr. ex *σ, ι* s. m. 2 V 2 *περιχυθέντες* Destinon 3 *μὲν ἐλπὶς παραμένων*] PAMLLat *μένων ἐλπὶσ καὶ παραμένοντοσ αὐτοῦ* VRC *μὲν ἐλπίδα παραμένοντα* Herwerden 4 *παντὸς ἀγωνισομένου*] *uelut omnes — essent — certaturi* Lat, unde *ὡς παντὸς ἀγ.* Destinon *ἀγωνισαμένου* PA¹V¹ *ἂν ἀγωνισαμένου* A² fort. recte *προθύμωσ δι' αὐτὸν* tr. V *παραμυθία* MVRC 5 *πρέπει* PA¹L *δὲ* VRC *φεύγειν* MVRC *μήτε* LVRC *ἐγκαταλείψειν* VRC 6 *μήτ'*] *μηδὲ* VRC *νηὸσ* AM 7 *ἐν, ν* man. 2 ita correctum, ut quid uoluerit corrector non appareat C *γαλήνῃ* om. C *αὐτοῖς*] *αὐτὸν* VR *αὐτῶν* C *ipsum* Lat *ἐπιβαπτίσειν*] *magis demersurum* Lat 8 *τολμῶντοσ τοῖσ πολεμίοισ* tr. VRC *ἂν θαρσοῦσιν*] AML² *θαρσοῦσιν* P *ἀναθαρσοῦσιν* L¹ *ἀναθαρροῦσιν* VRC² *ἀναθαροῦσιν* C¹ 9 *οἰχο - μένου*, eras. *υ* A 10 *καθ' αὐτὸν* (*αὐτὸν* V) VRC 11 *γὰρ*] *γὰρ εἶσω* (*ἔσω* L) PAMLLat 12 *ὀφελῆσαί* C *συναπολέσθαι* VRC 13 *περιττῶς*] PAL¹ *περιττὸσ* ML² *περισσόσ* VRC *αὐτοῖσ* L¹ *ὠφελήσειν αὐτοὺσ* tr. VRC 14 *γαλιλαίασ* M *συναθροίζειν* PA *ᾗ*] *ἡ* P *ᾗ* ALV *ᾗ* R 16 *ἂν εἴη* Niese 17 *εἰ μὴ*] *ἢ* VR *εἰ* C *παροξύνων* R¹ 18 *οὓς περὶ*] AM *ὡσ περὶ* PLVRLat *ὥσπερεὶ* C *δὲ* VRC *πύθοιντο*] *πείθοιντο* (*οι* ex *ο* corr. A) PA 19 *ἀνήσειν*] *ἀνείσιν* P *ἀνείσειν* A *δὲ*] *τε* VRC *τούτοις*] LLat *τούτουσ* PAM *αὐτοὺσ* VRC 20 *αὐτοῦ*] *αὐτὸν* L¹ *αὐτῶν* L² *αὐτῷ* VR *παῖδεσ* VRC *γοῦν*] *οὖν* PAM 21 *ὀδυρώμενα* V

κοινωνὸν σφίσι τῆς τύχης μένειν ἱκέτευον, οὐ φθόνῳ τῆς ἐκείνου σωτηρίας, ἔμοιγε δοκεῖν, ἀλλ' ἐλπίδι τῆς ἑαυτῶν· οὐδὲν γὰρ ἧττον πείσεσθαι δεινὸν Ἰωσήπου μένοντος.

203 17. *Ὁ δὲ πειθομένῳ μὲν ἱκετηρίαν ταῦτα νομίσας, βιαζομένῳ δὲ φρουράν, πολὺ δ' αὐτοῦ τῆς εἰς τὴν ἀπόλειψιν ὁρμῆς καὶ ὁ*
204 *τῶν ὀδυρομένων ἔκλασεν οἶκτος, μένειν τε ἔγνω, καὶ τὴν κοινὴν τῆς πόλεως ἀπόγνωσιν ὁπλισάμενος, „νῦν καιρός, εἶπών, ἄρχεσθαι μάχης, ὅτ' ἐλπὶς οὐκ ἔστι σωτηρίας· καλὸν εὔκλειαν ἀντικαταλλαξάμενον τοῦ βίου καὶ δράσαντά τι γενναῖον εἰς μνήμην ὀψιγενῶν*
205 *πεσεῖν", ἐπ' ἔργα τρέπεται. καὶ προελθὼν μετὰ τῶν μαχιμωτάτων διεσκίδνα τε τοὺς φρουροὺς καὶ μέχρι τοῦ στρατοπέδου τῶν Ῥωμαίων κατέτρεχεν, καὶ τὰς μὲν ἐπὶ τῶν χωμάτων δέρρεις, αἷς*
206 *ὑπεσκήνουν, διέσπα, τοῖς δὲ ἔργοις ἐνέβαλλεν πῦρ. τῇ τε ἐξῆς ὁμοίως καὶ τῇ τρίτῃ καὶ ἐπὶ συχνὰς ἡμέρας καὶ νύκτας πολεμῶν οὐκ ἔκαμνεν.*

207 18. *Οὐεσπασιανὸς δὲ τῶν [τε] Ῥωμαίων κακουμένων ταῖς ἐκδρομαῖς, τρέπεσθαί τε γὰρ ὑπὸ Ἰουδαίων ἤδοῦντο καὶ τραπέντων ἐπιδιώκειν βάρει τῶν ὅπλων ἦσαν βραδεῖς, οἵ τε Ἰουδαῖοι πρίν*
208 *τι παθεῖν ἀεὶ ὁρῶντες ἀνέφευγον εἰς τὴν πόλιν, τοῖς μὲν ὁπλίταις τὰς ὁρμὰς αὐτῶν ἐκκλίνειν ἐκέλευσεν καὶ μὴ συμπλέκεσθαι*
209 *θανατῶσιν ἀνθρώποις· οὐδὲν γὰρ ἀλκιμώτερον εἶναι τῆς ἀπογνώσεως, περισβέννυσθαι δὲ αὐτῶν τὰς ὁρμὰς σκοπῶν ἀπορουμένας*
210 *ὥσπερ ὕλης τὸ πῦρ· προσήκειν γε μὴν καὶ Ῥωμαίοις μετὰ ἀσφαλείας καὶ τὸ νικᾶν, ὡς ἂν οὐκ ἐξ ἀνάγκης πολεμοῦσιν, ἀλλὰ προσ-*
211 *κτωμένοις. τοῖς δὲ τῶν Ἀράβων τοξόταις καὶ τοῖς ἀπὸ τῆς*

PAMLVRCLatSuidas s. *θανατᾶν*.

2 *ἐμοίγε* A *ἐμοί τε* VR *δοκεῖ* PAML *αὐτῶν* VRC 3 *πήσεσθαι* R et ut uid. V^1 5 *δὲ* VR *αὐτὸν* L *τῆς*] *τὴν* VR *ἀπόληψιν* L^1 *ὁρμὴν* VR 6 *ὀδυρομένων*] *ὀδυρομέ* | V *ἔκλασεν*] *ἐκάλεσεν* C^1 *μένει* R^1 7 *νῦν*] *καὶ νῦν* M et fort. Lat *γοῦν* PAL 8 *ὅτε* LVRC *ἔσται* (*αι* i. ras. A) PA *καλὸν*] seclusit Bekker *καλόν τε* Cardwell ex Lat, in quo est *pulchrumque uitam pacisci pro laude* *ἀνταλλάξαμενον* VRC 9 *τι* ex *τε* corr. V *ὀψιγενῶν*] *ὀψιγόνων* MVRC *πεσεῖν*] ex corr. A *occumbere* Lat *παισὶν* PA^1L *παίδων οὕτως ἀπελθεῖν* M *παίδων* VRC 10 *προσελθὼν* VR 11 *μέχρισ* ut uid. A 13 *ἐνέβαλεν* A *ἐνέβαλε* VC *τε*] *θ'* C 15 *ἔκαμνεν*, *α* ex corr. A *ν* finale suppl. m. 2 L 16 *τε* ex Lat et cod. Voss. om. Hudson *κακουμένων*] *male affectos aspiciens* Lat 17 *τρέπεσθαι*, *ε* ante *σ* i. ras. maiore m. 2 A *τε*] MVRC Lat *μὲν* PAL 20 *ἐκέλεσεν* A *μὴ* — 21 *ἀπογνώσεως* habet Suid s. *θανατᾶν* 21 · · *θανατῶσιν* V *εἶναι τῆς* om. Suid 22 *δὲ* om. C *αὐτῶν*] *αὐτῶι* L^1 *αὐτοῖσ* MVRC *illorum* Lat 23 *μετ'* AL 24 *οὐκ* om. VR *προσκτωμένοις*] *προσχρωμένοισ* C *περιουσίᾳ χρωμένοις* Holwerda p. 32 25 *τῆς*] *τοῖσ* C

Συρίας σφενδονήταις καὶ λιθοβόλοις τὰ πολλὰ τοὺς Ἰουδαίους ἀνί-
στελλεν· ἠρέμει δὲ οὐδὲ τῶν ἀφετηρίων ὀργάνων τὸ πλῆθος. οἱ 212
δὲ τούτοις μὲν εἶκον κακούμενοι, τῶν δὲ λόρρω βαλλομένων ἐνδο-
τέρω γινόμενοι προσέκειντο τοῖς Ῥωμαίοις χαλεποὶ καὶ ψυχῆς καὶ
σώματος ἀφειδοῦντες ἐμάχοντο, ἐκ διαδοχῆς ἑνάτεροι τὸ κεκμηκὸς
ἑαυτῶν ἀναλαμβάνοντες.

19. Οὐεσπασιανὸς δὲ ἡγούμενος τῷ μήκει τοῦ χρόνου καὶ ταῖς 213
ἐκδρομαῖς ἀντιπολιορκεῖσθαι, τῶν χωμάτων ἤδη τοῖς τείχεσι πελα-
ζόντων προσάγειν ἔγνω τὸν κριόν. ὁ δ' ἐστὶν ὑπερμεγέθης δοκὸς 214
ἰσοῖ νηὸς παραπλήσιος· ἐστόμωται δὲ λαχεῖ σιδήρῳ κατ' ἄκρον
εἰς κριοῦ προτομήν, ἀφ' οὗ καὶ καλεῖται, τετυπωμένῳ. καταιω- 215
ρεῖται δὲ κάλοις μέσος ὥσπερ ἀπὸ πλάστιγγος ἑτέρας δοκοῦ, σταυ-
ροῖς ἑκατέρωθεν ἐδραίοις ὑπεστηριγμένης. ἀνωθούμενος δὲ ὑπὸ 216
πλήθους ἀνδρῶν εἰς τὸ κατόπιν, τῶν αὐτῶν ἀθρόως πάλιν εἰς
τοὔμπροσθεν ἐπιβρισάντων τύπτει τὰ τείχη τῷ προανέχοντι σιδήρῳ.
καὶ οὐδεὶς οὕτως καρτερὸς πύργος ἢ περίβολος πλατύς, ὃς κἂν 217
τὰς πρώτας πληγὰς ἐνέγκῃ κατίσχυσεν τῆς ἐπιμονῆς. ἐπὶ ταύ- 218
την τὴν πεῖραν ὁ στρατηγὸς τῶν Ῥωμαίων μετέβαινεν βίᾳ τὴν
πόλιν ἑλεῖν σπεύδων, ὡς τὸ προσκαθέζεσθαι βλαβερὸν ἦν Ἰου-
δαίων οὐκ ἠρεμούντων. οἱ μὲν οὖν τούς τε καταπέλτας καὶ τὰ 219
λοιπὰ τῶν ἀφετηρίων, ὡς ἐξικνοῖτο τῶν ἐπὶ τοῦ τείχους κωλύειν

PAMLVRC Lat Hegesippus III 11 p. 189. Suidas s. *κριός, προτομή*.

1 *σφενδονίταισ* AC *σφενδονηταῖσ* L¹R 2 *δὲ*] *δ'* L *enim* Lat *ὀργάνων*, *νω* i. ras. A 3 *εἶκον*] ex *ἦκον* corr. M *εἴκουν* L¹ *εἴκων* C *ἀεὶ εἴκον* P *ἐνδότεροι* P *ἐνδοτέρω* A *ἐνδωτέρω* C 4 *προσέκειν* L¹ 5 *τὸ* — 6 *ἀναλαμβάνοντες* i. marg. suppl. m. 2 L 6 *ἑαυτῶν* om. C 7 i. marg. *ζ'* V 9 *δὲ* VRC *ἐστι* C *ὑπερμεγέθης*] incip. Suid s. *κριός* et *προτομή* *δοκὸς*] *κριὸσ* P et ut uid. L¹ *κρι*| · *ὸσ* (*κρι* suppl.) A *δοκὸσ*, *δοκ* i. ras. m. 2 L *materia* Lat 10 · *ἰστῶ* V *νηὸς*] *νεὼσ* L *παραπλησία* Suid utroque loco *ἐστόμωται* ex *ἐστωμαται* corr. V *ἐστόμωτο* AL *ἄ* · · *κρον* V 11 *εἰς*] *ἐς* Suid utroque loco *καὶ*] om. PAML *etiam* Lat *τετυπωμένῳ*] AMLVRC et s. *προτομή* Suid *τετυπωμένοσ* PLatSuid s. *κριός* *καταιωρεῖται*] ex *κατεωρῆται* corr. P *κατεώρητο* A *καταιώρηται* V *κατεώρηται* R *κατηώρηται* C 12 *κάλοισ* L *μέσοις* Suid s. *κριός* *σ* · *ταυροῖσ* L 13 *ἑκατέροθεν* R *ὑπεστηριγμένης*] M et s. *προτομή* Suid *ἐστηριγμένη σ* (— *οισ* C) VRC *ὑπεστηριγμένοισ* A *ὑπεστηριγμένοσ* PLatSuid s. *κριός* *δὲ* om. Suid s. *κριός* 14 *κατώπιν* C *πάλιν ἀθρόωσ* tr. Suid utroque loco 15 *ἐπιβρισάντων* A *ἐμβρισάντων* C *προσανέχοντι* PL¹ et utroque loco Suid 16 *οὕτω* MLVRC et utroque loco Suid *κἂν*] PAMLSuid *καὶ* VRC *εἰ καὶ* Dindorf ex cod. L. B. 17 *ἐνέγκῃ*] Niese *ἐνεγκεῖν* PAML *ἐνέγκαι* VRCDindorf *κατισχύσαι* M *κατισχύσει* VRCDindorf *κατισχύσειε* Suid utroque loco *ἐπιμονῆς*] *ἐπιβολῆσ* MV *τῆς γὰρ ἐπιμονῆς κρατούσης καθαιρεῖ τὰ τείχη* Suid, qui hic finit 19 *προκαθέζεσθαι* P 20 *τε* om. A 21 *ἐξικνεῖτο* L¹ *ἐξικνοῖντο* V

πειρωμένων, ἔγγιον προσαγαγόντες ἔβαλλον· ὁμοίως δὲ συνήγγιζον
220 οἱ τοξόται καὶ σφενδονῆται. διὰ δὲ ταῦτα μηδενὸς τῶν περιβόλων
ἐπιβῆναι τολμῶντος προσῆγον ἕτεροι τὸν κριὸν γέρροις τε διηνε-
κέσι καὶ καθύπερθεν πεφραγμένον δέρρει πρός τε αὐτῶν καὶ τοῦ
221 μηχανήματος ἀσφάλειαν. καὶ κατὰ τὴν πρώτην πληγὴν διεσείσθη 5
μὲν τὸ τεῖχος, κραυγὴ δὲ μεγίστη παρὰ τῶν ἔνδον ἤρθη καθάπερ
ἐαλωκότων ἤδη.

222 20. Ὁλλάκις δὲ εἰς τὸν αὐτὸν παίοντας τόπον ὁ Ἰώσηπος
ὁρῶν ὅσον οὔπω καταρριφθησόμενον τὸ τεῖχος, σοφίζεται κατ'
223 ὀλίγον τὴν βίαν τοῦ μηχανήματος. σάκκους ἀχύρων πληρώσαντας 10
ἐκέλευσεν καθιμᾶν καθ' ὃ φερόμενον ἀεὶ τὸν κριὸν ὁρᾶεν, ὡς
πλάζοιτό τε ἡ ἐμβολή, καὶ δεχόμενοι τὰς πληγὰς ἐκκενοῖεν τῇ χαυ-
224 νότητι. τοῦτο πλείστην διατριβὴν παρέσχεν τοῖς Ῥωμαίοις, καθ'
ὃ μὲν τρέποιεν τὴν μηχανὴν ἀντιπαραγόντων τοὺς σάκκους τῶν 15
ὑπερθεν, ὑποβαλλόντων δὲ ταῖς ἐμβολαῖς, ὡς μηδὲν κατ' ἀντιτυ-
225 πίαν βλάπτεσθαι τὸ τεῖχος· ἕως ἀντεπινοήσαντες κοντοὺς οἱ Ῥω-
μαῖοι μακροὺς καὶ δρέπανα δήσαντες ἐπ' ἄκρων τοὺς σάκους
226 ἀπέτεμνον. ἐνεργοῖς δὲ οὕτω τῆς ἑλεπόλεως γενομένης καὶ τοῦ
τείχους, νεοπαγὲς γὰρ ἦν, ἐνδιδόντος ἤδη, τὸ λοιπὸν ἐπὶ τὴν ἐκ
227 πυρὸς ἄμυναν οἱ περὶ τὸν Ἰώσηπον ἥρμησαν. ἁψάμενοι δὲ ὅσον 20
αὔης εἶχον ὕλης τριχόθεν ἐπεκθέουσιν, καὶ τά τε μηχανήματα καὶ

PAMLVRC Lat Hegesippus III 11 p. 189.

2 *σφενδονίται* AC 3 *ἕτεροι*] *ipsi* Lat *γέροισ* V 4 *καὶ* om. C *καθύπερθε* LVRC *πεφραγμένοι* L *δέρρει*] *δέρρεισ* PAL *δέρρεσι* Destinon *πρὸς* — 5 *ἀσφάλειαν* i. marg. suppl. V *τε αὐτῶν*] *τ' ἑαυτῶν* L^2

5 *πρώτην*] *α'* C *διεσείσθη* A 6 *ἔνδων* A *ἔνδοθεν* VRC 8 *πολλάκι* VR[1] *παίοντεσ* M *παίοντασ* V *παίοντα* R *παίονται* C 9 *ὅσον οὔπω*] *neque multo post* Lat, unde *καὶ ὅσον οὔπω* Hudson *καταριφθησόμενον* PALVR *καταρριφησόμενον* C post *τεῖχος* aliquid excidit, nisi u. 8 *παίοντος* mauis *κατ' ὀλίγον*] *κατολίγον* P *κατὰ μικρὸν* L *πρὸσ ὀλίγον* MVRC fort. recte *paulatim* Lat *κατεκλύειν* uel simile Destinon 11 *ὡς* — 13 *χαυνότητι*] *ut eo modo scilicet ictus erraret aut etiam excepta uulnera laxata frustraretur* Lat *ut laxo saccorum sinu elusa plaga omnis arietis emolliretur* Heg 12 *δεχομένη* PAVRC, unde *δεχομένη* Destinon 13 *πλήστην* A 14 *ἀντιπαραγότων* A 15 *κατ' ἀντιτυπίαν*] *καταντυπίαν* (*υ* i. ras., *ι* ex *ή* corr.) V 16 *ἀντεπενοήσαντεσ* V 17 *ἐπἄκρον* V *σάκκουσ* AMLVRC 18 *ἀπέτεμον* MVR *inciderent* Heg *ἐνεργοὺσ* PA *ἐνεργοῦ* LVRC *ἑλεπόλεωσ* ALVR *τοῦ*] *τοῦ τε* RC 21 *αὔης*] *αὐτῆσ* PAL[1] *ὑπεκθέουσι* (*-σιν* A) AML *inflammarunt* Lat

τὰ γέρρα καὶ τὰ χώματα τῶν Ῥωμαίων ὑπεπίμπρασαν. οἱ δὲ κακῶς 228
ἐλεβοηθουν πρός τε τὴν τόλμαν αὐτῶν καταπλαγόντες καὶ ὑπὸ
τῆς φλογὸς τὰς ἀμύνας φθανόμενοι· ξηρᾶς γὰρ ὕλης, πρὸς δὲ
ἀσφάλτου τε καὶ πίσσης, ἔτι δὲ θείου διάπλαστο τὸ πῦρ ἐπι-
τάχιον, καὶ τὰ πολλῷ καμάτῳ πεπονημένα τοῖς Ῥωμαίοις
ἐπὶ μιᾶς ὥρας ἐνέμετο.

21. Ἔνθα καὶ ἀνήρ τις ἐξεφάνη Ἰουδαίων λόγου καὶ μνήμης 229
ἄξιος· Σαμίου μὲν παῖς ἦν, Ἐλεάζαρος δὲ ἐκαλεῖτο, Σαβὰ δὲ πατρὶς
αὐτῷ τῆς Γαλιλαίας· ἐπερμεγέθη δὲ πέτραν αἰρόμενος ἀφίησιν ἀπὸ 230
τοῦ τείχους ἐπὶ τὴν ἑλέπολιν μετὰ τοσαύτης βίας, ὥστε ἀπορρῆξαι
τὴν κεφαλὴν τοῦ μηχανήματος, ἣν καὶ καινισθήσας ἐκ μέσων αἴρεται
τῶν πολεμίων καὶ μετὰ πολλῆς ἀδείας ἐπὶ τὸ τεῖχος ἔφερεν. σκο- 231
πὸς δὲ πᾶσιν τοῖς ἐχθροῖς γενόμενος καὶ γυμνῷ τῷ σώματι τὰς
πληγὰς δεξάμενος πέντε μὲν διαπείρεται βέλεσιν, πρὸς οὐδὲν δὲ 232
τούτων ἐπιστραφείς, ὅτε τὸ τεῖχος ἀνέβη καὶ περίοπτος πᾶσιν τῆς
εὐτολμίας ἔστη, τότε ἱλυσπώμενος ὑπὸ τῶν τραυμάτων μετὰ τοῦ
κριοῦ κατέπεσεν. ἄριστοι μετ' αὐτὸν ἐφάνησαν ἀδελφοὶ δύο Νετεί- 233
ρας καὶ Φίλιππος, ἀπὸ Ῥούμας κώμης, Γαλιλαῖοι καὶ αὐτοί,
οἳ προλιθῶσι μὲν εἰς τοὺς ἀπὸ τοῦ δεκάτου τάγματος, τοσούτῳ δὲ
ῥοίζῳ καὶ βίᾳ τοῖς Ῥωμαίοις συνέπεσον, ὡς διαρρῆξαί τε τὰς τάξεις
καὶ τρέψασθαι καθ' οὓς ἐφορμήσειαν ἅπαντας.

22. Μετὰ τούτους ὅ τε Ἰώσηπος καὶ τὸ λοιπὸν πλῆθος ἀρά- 234

PAMLVRC Lat Hegesippus III 11 p. 190. Mathem. uet. p. 324. Suidas s. *ῥοῖζος*.

1 *γέρα* V ὑπεπίπρασαν C 2 καταπλαγέντες C 3 ὕλης] (*flammae-aridum*) *nactae fomitem* Lat 4 τε om. PAM πί·σσης V θείου — 5 τάχιον om. C διάπτατο PA¹ 5 πεπονημένα] πεποιημένα AML τοῖς om. VRC 7 Ἰουδαίων] ἰουδαῖος MVRC 8 ἄξιος, ἃ i. ras. M Σαμίου] σαμαίου MVRC *addaei* Lat ἦν om. V δ' C Σαβὰ] σαβαὰ L σαὰβ MVRC *salab* Lat *Γάβα* Niese 9 ὑπερμεγέθη δὲ] οὗτος ὑπερμεγέθη M ὑπερμεγέθη VRC *is enim* (*saxum*) *ingens* Lat 10 ἑλεπόλιν P ἑλέπολιν AVR ἀπορρῆξαι] ἀπαρράξαι M ἀπορράξαι LVRC Math 11 μέσου PA Math 12 πολῆς C ἀνέφερε M haud male 13 γινόμενος PA¹M 14 δεχόμενος et i. marg. δεξάμενος L 16 τότε om. C ἱλυσπώμενος (ἱ ex ἑ corr. P) PAM εἱλυσπώμενος L¹R ἱλυσπώμενος (ἱ i. ras. m. 3 V) VC 17 μετ' αὐτὸν] μετὰ τοῦτον (τούτων R¹) VRC νέτειρας A νετίρας L νετίρας MVR νετῆρας C *netiras* Lat 18 ῥοῦμας V ῥουμᾶς C *roma* Lat 19 οἳ] M Lat, om. PALVRC δωδεκάτου (δω s. P) PAM *decimae* Lat τοσούτῳ — 20 τάξεις leguntur apud Suidam s. *ῥοῖζος* τοσούτῳ] PAML²Lat οὕτω L¹VRC Suid 20 συνέπεσαν, utrumque ε i. ras. A ἐνέπεσον Suid διαρρῆξαί C τε om. PAM 21 καθ'] ἐφ' M οὓς] οὗσ ἂν MVRC 22 πλῆθος om. L

μενοι πῦρ πάλιν τὰ μηχανήματα καὶ τὰς ὑποδύσεις ἅμα τοῖς ἔργοις ὑφῆψαν τοῦ τε πέμπτου καὶ τοῦ δεκάτου τραπέντος τάγματος. οἱ λοιποὶ δὲ φθάσαντες καὶ τὰ ὄργανα καὶ πᾶσαν ὕλην κατέ-
235 χωσαν. περὶ δὲ δείλην πάλιν ἀναστήσαντες προσῆγον τὸν κριὸν
236 ᾗ προπεπονήκει τυπτόμενον τὸ τεῖχος. ἔνθα τις τῶν ἀμυνομένων ἀπ' αὐτοῦ βάλλει τὸν Οὐεσπασιανὸν βέλει κατὰ τὸν ταρσὸν τοῦ ποδὸς καὶ τιτρώσκει μὲν ἐπιπολαίως προεκλύσαντος τὸ βληθὲν τοῦ διαστήματος, μέγιστον δὲ θόρυβον ἐνεποίησεν τοῖς Ῥωμαίοις·
237 πρὸς γὰρ τὸ αἷμα ταραχθέντων τῶν πλησίον φήμη διὰ παντὸς ἐπῆλθε τοῦ στρατοῦ, καὶ τῆς πολιορκίας οἱ πλείους ἀφέμενοι μετ'
238 ἐκπλήξεως καὶ δέους ἐπὶ τὸν στρατηγὸν συνέθεον. πρὸ δὲ πάντων Τίτος δείσας περὶ τῷ πατρὶ παρῆν, ὡς τὸ πλῆθος καὶ τῇ πρὸς τὸν ἡγούμενον εὐνοίᾳ καὶ τῇ τοῦ παιδὸς ἀγωνίᾳ συγχυθῆναι. ῥᾷστα μέντοι τόν τε υἱὸν ὁ πατὴρ δεδιότα καὶ τὴν στρατιὰν
239 ἔπαυσεν τοῦ θορύβου· τῶν γὰρ ἀληθόνων ἐπάνω γενόμενος καὶ πᾶσιν τοῖς ἐπτοημένοις δι' αὐτὸν ὀφθῆναι σπουδάσας χαλεπώτερον Ἰουδαίοις ἐπῆρεν τὸν πόλεμον· ἕκαστος γὰρ ὡς τιμωρὸς τοῦ στρατηγοῦ προκινδυνεύειν ἤθελεν, καὶ βοῇ παρακροτοῦντες ἀλλήλους ἐπὶ τὸ τεῖχος ὥρμων.

240 23. Οἱ δὲ περὶ τὸν Ἰώσηπον καίπερ ἐπ' ἀλλήλοις πίπτοντες ὑπὸ τῶν καταπελτικῶν καὶ τῶν πετροβόλων, ὅμως οὐκ ἀπετρέποντο τοῦ τείχους, ἀλλὰ πυρὶ καὶ σιδήρῳ καὶ πέτροις τοὺς ἐπὶ τὰ
241 γέρρα τὸν κριὸν ἐπιβρίθοντας ἔβαλλον. καὶ ἦννον μὲν οὐδὲν ἧττον μικρόν, αὐτοὶ δὲ ἀδιαλείπτως ἔπιπτον ὑπὸ μὴ βλεπομένων καθο-
242 ρώμενοι· αὐτοί τε γὰρ ὑπὸ τῆς σφετέρας περιλαμπόμενοι φλογὸς

PAMLVRC Lat Hegesippus III 12 p. 190 Suidas s. ἐπιπολαίως.

1 πῦρ πάλιν] πάλιν πῦρ LC πολὺ πῦρ VR (*raptis*) *ignibus* Lat ἅμα — 2 τάγματος] *cum operibus quintae itemque decimae et eius quae terga dederat legionis incendunt* Lat 2 ἔργοις] πύργοις V πέμπτου καὶ τοῦ δεκάτου] πεντεκαιδεκάτου Cardwell 3 δὲ om. MVRC 4 περὶ — κριὸν] *rursus autem romani post meridiem erectum arietem — appulerunt* Lat πάλιν om. VRC τὸν κριὸν] M πάλιν τὸν κριὸν PAL τὸν κριὸν πάλιν VRC 5 ᾗ] ἣ V ἧ πρότερον P 7 τιτρώσκει — 8 διαστήματος habet Suid s. ἐπιπολαίως ἐπιπολέως P¹A ἐπιπόλεως V¹R 8 ἐνεποίσε C 10 ἐπῄει] ἐπίει A ἐμπίπτει VRC *cucurrit* Lat τοῦ στρατοῦ] PAML Lat ἐπὶ τῇ πληγῇ τοῦ στρατηγοῦ VRC 11 πρὸ ex πρὸσ corr. C 12 πρὸς] περὶ VRC *circa* Lat 14 μέντοι] μὲν PC 16 ἐπτωημένοις C 17 ἐπῆρεν] ἐπήγειρε MLVRC 18 προκινδυνεύσειν L 19 ὥρμουν VRC¹ 20 ἐπ'] ὑπ' L¹ ἀπ' V 21 πτεροβόλων R 22 πυρὶ] καὶ πυρὶ V πέτροις, ἑτ s. C ἐπὶ τὰ γέρρα] *protecti pluteis* Lat ὑπὸ τὰ γέρρα Destinon 23 ἧνοιον R 24 δὲ] ex τὲ corr. V δ' C ὑπὸ] ὑπὸ τῶν M 25 περιλαμβανόμενοι PAL¹R *collucentes* Lat

σκοπὸς ἦσαν τοῖς πολεμίοις εὐσύνοπτος ὥσπερ ἐν ἡμέρᾳ, καὶ τῶν
ὀργάνων πόρρωθεν μὴ βλεπομένων δυσφύλακτον ἦν τὸ βαλλόμενον.
ἥ τε οὖν τῶν ὀξυβελῶν καὶ καταπελτῶν βία πολλοὺς ἅμα διή- 243
λαυνεν, καὶ τῶν ὑπὸ τῆς μηχανῆς ἀφιεμένων πετρῶν ὁ ῥοῖζος
ἐπάλξεις τε ἀπέσυρεν καὶ γωνίας ἀπέθρυπτε πύργων. ἀνδρῶν μὲν 244
γὰρ † οὕτως ἰσχυρὸν στῖφος, ὃ μὴ μέχρις ἐσχάτης στρώννυται
φάλαγγος βίᾳ τε καὶ μεγέθει τοῦ λίθου. μάθοι δ' ἄν τις τὴν τοῦ 245
μηχανήματος ἀλκὴν ἐκ τῶν ἐπὶ τῆσδε τῆς νυκτὸς γενομένων· πλη-
γεὶς γάρ τις ἀπ' αὐτοῦ τῶν περὶ τὸν Ἰώσηπον ἑστώτων ἀνὰ τὸ
τεῖχος ἀναράσσεται τὴν κεφαλὴν ὑπὸ τῆς πέτρας, καὶ τὸ κρανίον
ἀπὸ τριῶν ἐσφενδονήθη σταδίων. γυναικός τε μεθ' ἡμέραν ἐγκύ- 246
μονος πληγείσης τὴν γαστέρα, προῆλθε δὲ νέον ἐξ οἰκίας, ἐξέσεισεν
ἑφ' ἡμιστάδιον τὸ βρέφος· τοσαύτη ἦν ἡ τοῦ λιθοβόλου βία. τῶν 247
οὖν ὀργάνων φοβερώτερος ὁ ῥοῖζος, τῶν δὲ βαλλομένων ἦν [ὁ]
ψόφος. ἐπάλληλοι δὲ ἐκτύπουν οἱ νεκροὶ κατὰ τοῦ τείχους ῥιπτό- 248
μενοι, καὶ δεινὴ μὲν ἔνδοθεν κραυγὴ γυναικῶν ἠγείρετο, συνήχουν
δ' ἔξωθεν οἰμωγαὶ φονευομένων. αἵματι δ' ἐρρεῖτο πᾶς ὁ πρὸ 249
τῆς μάχης περίβολος, καὶ προσβατὸν ὑπὸ πτωμάτων τὸ τεῖχος ἐγί-
νετο. φοβερωτέραν δὲ ἐποίουν τὴν βοὴν περιηχοῦντα τὰ ὄρη, καὶ 250
οὐδὲν ἐπ' ἐκείνης τῆς νυκτὸς οὔτε εἰς ἀκοῆς οὔτε εἰς ὄψεως κατά-
πληξιν ἀπελείπετο. πλεῖστοι μέν γε τῶν ἐπὶ τῆς Ἰωταπάτης ἀγω- 251

PAMLVRC Lat Hegesippus III 12 p. 191 Mathemat. uet. p. 324. Suidas s. *πετρόβολον*.

2 *δυσφύλακτον* L *βαλλόμενον*] *βλεπόμενον* VRC 3 *ἥ τε — καταπελτῶν*] *ergo propterea non tam balistarum quam iaculatorum ui* Lat *τε οὖν*] *τε γὰρ* R *γοῦν* Niese *καταπέλτων* P *καταβελτῶν* M *βια·*, eras. *ι* V 4 *καὶ — ῥοῖζος*] *missaque machinis saxa* Lat *ὑπὸ*] *ἐπὶ* P 5 *ἀπέδρυπτε* Cardwell *ἀνδρῶν — 6 στῖφος*] *uirorum autem nulli tam fortiter constipati erant* Lat 6 *οὕτως*] PA¹L *οὐδενὶ οὕτωσ* ex corr. A *οὕτωσ οὐκ ἦν* M *οὐκ ἦν οὕτωσ* VRC *οὐχ οὕτως* Destinon *οὐδὲν οὕτως* Niese *ὃ μὴ* om. L 8 *γινομένων* L¹ *πληγεὶς*] incip. Suidas 9 *ἀπ'*] *ὑπ'* Suid *αὐτοῦ*] *αὐτῶν* L *ἑστώτων*] *τῶν* Suid 10 *ἀπαράσσεται* (s. m. 2) L *ἀπεράσσεται* Math 11 *ἐσφενδονήσθη* PA¹ *ἐσφενδονίσθη* MC Math *ἐγκύμονος* i. marg. suppl. C 12 *προῆλθε δὲ νέον*] LVRC Suid et i. marg. PAM *προϊούσης νέον* PAM *προϊούσης* Math *προῆλθε — οἰκίας* om. Lat 13 *ἡ* om. PAL *λιθοβόλου*] *λίθου* RC Suid *τῶν — 15 ψόφος*] *ergo machinis terribilior erat impetus et missilium strepitus* Lat 14 *οὖν*] *μὲν* ed. pr. *μὲν οὖν* Hudson *φοβερότεροσ* P *φοβερὸς* Destinon *ὁ* ante *ψόφος* om. PA 15 *ψόφος*] finit Suidas *ἐπαλλήλουσ* V *ἐπ' ἀλλήλοις* R *δ'* LRC *ἐκτύπουν οἱ*] *ἐκτυπούμενοι* VR *ῥιπτόμενοι*] *ἐριπόμενοι* R *ἐρριπόμενοι* V¹ *ἐρειπόμενοι* V² 16 *ἔνδον* M 17 *δὲ* VRC *αἵματι — 18 ἐγίνετο* u. 21 post *ἀπελείπετο* collocanda esse putat Destinon *δὲ* VR 18 *ἀπρόσβατον* L 19 *δ'* L *ὄρη*] MVRC Lat *ὄργανα* PAL 21 *ἀπελείφθη* VRC

ριζόμενοι γενναίως ἔτεσον, πλεῖστοι δ' ἐγένοντο τραυματίαι, καὶ
μόλις περὶ τὴν ἑωθινὴν φυλακὴν ἐνδίδωσι τοῖς μηχανήμασι τὸ
252 *τεῖχος ἀδιαλείπτως τυπτόμενον· οἱ δὲ φραξάμενοι τοῖς σώμασι καὶ*
τοῖς ὅπλοις τὸ καταρριφθὲν ἀντωχύρωσαν πρὶν βληθῆναι τὰς ἐπι-
βατηρίους ὑπὸ τῶν Ῥωμαίων μηχανάς.

253 24. *Ὑπὸ δὲ τὴν ἕω Οὐεσπασιανὸς ἐπὶ τὴν κατάληψιν τῆς*
πόλεως συνῆγεν τὴν στρατιὰν ὀλίγον ἀπὸ τοῦ νυκτερινοῦ πόνου
254 *διαναπαύσας. βουλόμενος δ' ἀπὸ τῶν καταρριφθέντων περισπάσαι*
τοὺς εἴργοντας τοὺς μὲν γενναιοτάτους τῶν ἱππέων ἀποβήσας [τῶν
ἵππων] τριχῇ διέταξεν κατὰ τὰ πεπτωκότα τοῦ τείχους, πάντοθεν
πεφραγμένους τοῖς ὅπλοις καὶ τοὺς κοντοὺς προϊσχοντας, ὡς ὁπότε
τὰς ἐπιβατηρίους βάλλοιεν μηχανὰς κατάρχοιντο τῆς εἰσόδου·
255 *κατόπιν δὲ αὐτῶν ἔταξεν τοῦ πεζοῦ τὸ ἀκμαιότατον, τὸ δὲ λοιπὸν*
ἱππικὸν ἀντιπαρεξέτεινεν τῷ τείχει κατὰ πᾶσαν τὴν ὀρεινὴν πρὸς
256 *τὸ μηδένα τῶν ἀναφευγόντων ἐκ τῆς ἁλώσεως διαλαθεῖν. κατόπιν*
δὲ τούτων περιέστησεν τοὺς τοξότας ἔχειν κελεύσας ἕτοιμα τὰ βέλη
πρὸς ἄφεσιν, ὁμοίως δὲ καὶ σφενδονήτας καὶ τοὺς ἐπὶ τῶν μηχα-
257 *νημάτων, ἑτέρους δὲ κλίμακας ἀραμένους προσφέρειν ἐπάνω τοῖς*
ἀκεραίοις τείχεσιν, ἵν' οἱ μὲν τούτους κωλύειν πειρώμενοι κατα-
λίποιεν τὴν ἐπὶ τοῖς καταρριφεῖσιν φυλακήν, οἱ λοιποὶ δὲ ἐπ'
ἀθρόων βιαζόμενοι τῶν βελῶν εἴξωσιν τῆς εἰσόδου.

258 25. *Ἰώσηπος δὲ συνιεὶς τὴν ἐπίνοιαν ἐπὶ μὲν τοῦ μένοντος*
τείχους σὺν τοῖς κεκμηκόσιν ἵστησι τοὺς γηραιοὺς ὡς μηδὲν ταύτῃ

PAMLVRC Lat Mathem. uet. p. 324.

1 *δὲ* VR *τραματίαι* A 2 *μηχανήμασι·* A 3 *τοῖς σώμασι καὶ τοῖς ὅπλοις*] PAML Lat *τοῖσ σώμασι καὶ τοῖσ ὁπλίτασ* VR *τοῖσ σωματικοῖσ καὶ τοῖσ ὅπλοισ* C *τὰ σώματα τοῖς ὅπλοις* Hudson ex cod. Rostoch. et Bodl. 4 *καταρριφθὲν*, prius ρ i. ras. L *καταριφθὲν* VRC *κατερειφθὲν* fort. reponendum similiterque u. 8 et 20 *ἐπιβατηρίασ*, α ante σ repictum A 6 *κατάλειψιν* C 7 *συνῆγεν*] *iam ducebat* Lat *στρατιὰν*, τρα ex α corr. R *ὀλίγου* C 8 *δὲ* VRC *καταριφθέντων* VRC 9 post *εἴργοντας* lacunam statuit Destinon *τῶν ἵππων ἀποβήσασ* tr. P, quare *τῶν ἵππων* seclusit Destinon 10 *τὰ*] om. R^1C^1 *τὴν* (s. m. 2) V 12 *βάλοιεν* V *κατάρχοιτο* C 14 *ἀντεπαρεξέτεινεν* (*-νε* M) PM et ut uid. A^1 *ὀρεινὴν*, *ειν* i. ras. m. 3 V 15 *τῶν*] *τὸν* C 16 *τούτων* pedites significari existimat et uerba 13 *τὸ δὲ* — 15 *διαλαθεῖν* u. 18 post *μηχανημάτων* ponenda esse putat Destinon *παρέστησε* V 17 *σφενδονίτασ* A *σφενδονητὰσ* L^1R 19 *ἀκαιρέοισ* P^1 *ἀκαιραλοισ* V^1C *ἵνα* LVR *τούτοισ* L^1 *τού··τουσ* V *καταλείποιεν* P^1AVR 20 *καταριφθεῖσιν* PA *καταρειφθεῖσι* L^1 *δ'* L *ὑπὸ* M 22 *συνεὶσ* MVRC 23 *σὺν τοῖσ κεκμηκόσι* s. P *γεραιοὺσ* A

βλαβησομένους, εἰς δὲ τὰ παρερρωγότα τοῖ τείχους τοὺς δυνατω-
τάτους καὶ πρὸ πάντων ἀνὰ ἕξ ἄνδρας, μεθ' ὧν καὶ αὐτὸς εἰς τὸ
προκινδυνεύειν ἐκλιρώσατο. ἐκέλευσέν τε πρὸς μὲν τὸν ἀλαλαγμὸν 259
τῶν ταγμάτων ἀποφράξαι τὰς ἀκοάς, ὡς ἂν μὴ καταπλαγεῖεν,
πρὸς δὲ τὸ πλῆθος τῶν βελῶν συνοχλήσαντας καλύψασθαι καθύ-
περθεν τοῖς θυρεοῖς ὀλιγοχωρῆσαί τε πρὸς ὀλίγον, ἕως τὰς φαρέ-
τρας κενώσωσιν οἱ τοξόται. βαλλόντων δὲ τὰς ἐπιβατηρίους μηχανὰς 260
αὐτοὺς προπηδᾶν καὶ διὰ τῶν ἰδίων ὀργάνων ἀπαντᾶν τοῖς πολε-
μίοις, ἀγωνίζεσθαί τε ἕκαστον οὐχ ὡς ὑπὲρ σωθησομένης, ἀλλ'
ὡς ὑπὲρ ἀπολωλυίας ἤδη τῆς πατρίδος ἀμυνόμενον, λαμβάνειν τε 261
πρὸ ὀφθαλμῶν σφαγησομένους γέροντας καὶ τέκνα καὶ γυναῖκας
ἀναιρεθησομένας ὑπὸ τῶν ἐχθρῶν ὅσον οὐδέπω, καὶ τὸν ἐπὶ ταῖς
μελλούσαις συμφοραῖς θυμὸν προαλίσαντας ἐναφεῖναι τοῖς δρά-
σουσιν αὐτάς.

26. Ἔταξεν μὲν οὖν οὕτως ἑκάτερον· τὸ δ' ἀργὸν ἀπὸ τῆς 262
πόλεως πλῆθος, γύναια καὶ παῖδες, ὡς ἐθεάσαντο τριπλῆ μὲν
φάλαγγι τὴν πόλιν ἐζωσμένην, οὐδὲν γὰρ εἰς τὴν μάχην μετακεκί-
νητο τῶν πάλαι φυλακῶν, πρὸς δὲ τοῖς βεβλημένοις τείχεσιν τοὺς
πολεμίους ξιφήρεις καὶ τὴν καθύπερθεν ὀρεινὴν λαμπομένην ὅπλοις,
τά τε βέλη τοῖς τοξόταις ἐπανέχοντα τῶν Ἀράβων, ὕστατόν τινα
κωκυτὸν ἀλώσεως συνήχησαν ὡς οὐκ ἀπειλουμένων ἔτι τῶν κακῶν

PAMLVRCLatMathem. uet. p. 324. Suidas s. *προαλίσαντας*.

1 *εἰς δὲ*] εἵστε L^1 *κατὰ δὲ* VRC *κατερρωγότα* (ex *τερρωγότα* corr. A) PAML *περρερρωγότα* C^1 2 *αὐτοὺς* C 4 *ἀποφράξαι*] VMath *ἐπιφράξαι* RC *καταφράξαι* PAML *ἂν* om. VRCMath *καταπλαγοῖεν* PAM 5 *καλύπτεσθαι* LVRCMath *καθύπερθεν*] *ἐμπροσθεν* C 6 *τῶν θυρεῶν* C *πρὸς*] *κατ'* LLat 7 *κενώσουσιν* C *ὑποκενώσωσιν* PAML *ἀποβατηρίους* L 8 *ἀπατᾶν* C 9 *τε*] *δὲ* L *οὐχ* — 10 *ἀμυνόμενον*] *non quasi conseruandam tueretur, sed quasi perditam iam patriam uindicaret* Lat *οὐχ ὡς ὑπὲρ*] ML et ex corr. A *οὐχ ὥσπερ* PA^1 *οὐχ ὑπερ* VR *ὡσ οὐχ ὑπὲρ* C 10 *ὡσ ὑπὲρ*] A *ὥσπερ ὑπὲρ* ML *ὥσπερ* PVRC *τε*] *δὲ* L 11 *καὶ τὰ τέκνα* VR 12 *ἀναιρεθησομένας*] *εὐρεθησομένους* (- *μένασ* AL) PAL *capi* Lat *συρησομένας* Destinon *τὸν*] incip. Suid

13 *προαλίσοντασ* P et ex corr. A *προαλίσαντασ* V *ἐναφῆναι* P^1A *δράσσουσιν* C 14 *αὐτάς*] fin. Suidas 15 *δὲ* VRC *ἑκάτερον*] *in utroque* Lat *ἐπὶ* Destinon 16 *μὲν* om. P 17 *διεζωσμένην* M *τὴν* om. PAM *μάχην*] *μ* et *χ* i. ras. m. 2 L *μετακεκίνητο*, *α* ex *ε* corr. A *οὐδὲν* — 18 *φυλακῶν*] *nullus enim ad pugnam translatus fuerat a custodiis* Lat 18 *φυλάκων* PALC *πρὸσ*, *σ* euan. P *τείχεσιν*] *ξίφεσι* L^1 19 *λαμπο* · · *μένην* A 20 *τά* — *Ἀράβων*] *atque arabum quendam sagittariis tela suggerere* (h. e. *παρέχοντα*) Lat *τοὺσ τοξότασ* VRCMath *τῶν Ἀράβων* suspecta Destinoni *ἐπανέχοντασ* VMath 21 *συνήχθησαν* V

263 ἀλλ᾽ ἤδη παρόντων. ὁ δὲ Ἰώσηπος τὰς μὲν γυναῖκας, ὡς μὴ θηλύνοιεν οἰκτῳ τὰς ὁρμὰς τῶν σφετέρων, κατακλείει ταῖς οἰκίαις μετ᾽ ἀπειλῆς ἡσυχάζειν κελεύσας· αὐτὸς δὲ ἐπὶ τῶν ἐρειφθέντων ᾗ
264 ἔλαχεν παρῆει. τοῖς μὲν οὖν καθ᾽ ἕτερα προσφέρουσι τὰς κλίμακας οὐ προσεῖχεν, ἀπεκαραδόκει δὲ τὴν ὁρμὴν τῶν βελῶν.

265 27. Ὁμοῦ δ᾽ οἵ τε σαλπικταὶ τῶν ταγμάτων ἁπάντων συνήχησαν καὶ δεινὸν ἐπηλάλαξεν ἡ στρατιά, καὶ πάντοθεν ἀφιεμένων
266 ἀπὸ συνθήματος τῶν βελῶν τὸ φῶς ὑπετέμνετο. μεμνημένοι γε μὴν τῶν τοῦ Ἰωσήπου προσταγμάτων οἱ σὺν αὐτῷ τάς τε ἀκοὰς
267 πρὸς τὴν βοὴν καὶ τὰ σώματα πρὸς τὰς ἀφέσεις ἐφράξαντο, καὶ βαλλόντων τὰς μηχανὰς ἐπεξέδραμον δι᾽ αὐτῶν πρὶν ἐπιβῆναι τοὺς
268 βαλόντας, συμπλεκόμενοί τε τοῖς ἀνιοῦσιν παντοῖα καὶ χειρῶν ἔργα καὶ ψυχῆς ἐναπεδείκνυντο, πειρώμενοι παρὰ τὰς ἐσχάτας συμφορὰς μὴ χείρους φαίνεσθαι τῶν ἐν ἀκινδύνῳ τῷ κατὰ σφᾶς ἀνδριζομέ-
269 νων· ὥστε οὐ πρότερον ἀπερρήγνυντο τῶν Ῥωμαίων πρὶν ἢ πεσεῖν
270 ἢ διαφθεῖραι. ὡς δ᾽ οἱ μὲν ἔκαμνον διηνεκῶς ἀμυνόμενοι καὶ τοὺς προμάχους ἀμείβειν οὐκ ἔχοντες, τὸ κεκμηκὸς δὲ τῶν Ῥωμαίων ἀκραιφνεῖς διεδέχοντο καὶ ταχέως ἀντὶ τῶν ἀποβιασθέντων ἐπέβαινον ἕτεροι, παρακελευσάμενοί τε ἀλλήλοις καὶ πλευρὰν μὲν ἑνώσαντες, τοῖς δὲ θυρεοῖς καθύπερθεν φραξάμενοι στῖφος ἄρρηκτον
ἐγένοντο καὶ καθάπερ ἑνὶ σώματι πάσῃ τῇ φάλαγγι τοὺς Ἰουδαίους ἀνωθοῦντες ἤδη τοῦ τείχους ἐπέβαινον.

PAMLVRC Lat Mathem. uet. p. 324.

1 *τὰς μὲν γυναῖκας*] *τὰ μὲν γύναια* VR, om. C 2 *ταῖς*] *ταῖ* C *οἰκείαις* VR *μετὰ* VC 3 *ἐπὶ — 4 παρῆει*] *ad partem muri, quae sibi optigerat, transit* Lat *ἐπὶ*] *πρὸ* LVC *πρὸσ* R *ἐρειφθέντων*] M *ἐκριφέντων* PAL¹ *ἐκριφθέντων* L² *ἐρριφθέντων* VRC *ἐρριμμένων* Bekker *ᾗ* V 4 *παρίει* A *παρείη* V *παρείην* R 6 *δ᾽*] om. M *δὲ* VRC *σαλπιγκταὶ* (*πιγ* ex corr. M) PMLR et ex corr. A *συνήχθησαν* AL¹VLat 7 *ἀπηλάλαξεν* M *ἐπιλάλαζεν* V 9 *οἱ*] *οἵ τε* VRC 11 *βαλόντων* C *ἐπεξέδραμον — 13 ἐναπεδείκνυντο*] *ipsi eas cursu et antequam hostes in his pedem ponerent occupant eosque ascendere nitentes proelio deterrebant uaria manuum itemque animi facinora demonstrantes* Lat *ἐξέδραμον* LC *ἐπιβῆναι, ν* expunctum uid. A *διαβῆναι* VRC 12 *βαλόντας*] *βάλλοντασ* PAML *διαβάλλοντασ* C *διαβαλόντασ* VR *τε*] *γε μὴν* LVRC 13 *ἐναπεδείκνυντο* Math *πειρόμενοι* AM 14 *ἀκινδύνῳ*] *κινδύνῳ* R *τῷ*] ex corr. A *τῶν* PA¹MLVRC 15 *ἀπερρύγνυντο* C 16 *διαφθαρῆναι* et i. marg. *διαφθεῖραι* V *δὲ* VRC *οἱ μὲν*] *οἱ μὲν εἰμὲν* (*εἰμὲν* deletum) C 17 *προμάχους*] PAMLLat *ἐχθροὺσ* VR *ἑαυτῶν* C 18 *ἀποβιασθέντων* MVRC 19 *παρακελευόμενοι* L *τε* om. MLVRC *μὲν* om. P 20 *καθύπερθε* V *στῖφος*] *τεῖχοσ* MVRC Math *globus* Lat 21 *ἐγένετο* V *καὶ* eicit Destinon ut hinc incipiat apodosis

28. Ὁ δὲ Ἰώσηπος ἐν ταῖς ἀμηχανίαις σύμβουλον λαβὼν τὴν 271
ἀνάγκην, ἡ δέ ἐστιν δεινὴ πρὸς ἐπίνοιαν, ὅταν αὐτὴν ἀπόγνωσις
ἐρεθίζῃ, ξέον ἔλαιον ἐκέλευσεν καταχέειν τῶν συνησπικότων. οἱ δ' 272
ὡς παρεσκευασμένον ἔχοντες μετὰ τάχους πολλοὶ καὶ πολὺ πάν-
τοθεν τῶν Ῥωμαίων κατέχεον συνεπαφιέντες καὶ τὰ ἄγγεῖα βρασσό-
μενα τῇ θέρμῃ. τοῦτο καιομένων τῶν Ῥωμαίων διεσκέδασεν τὴν 273
τάξιν, καὶ μετὰ δεινῶν ἀλγηδόνων ἀπεκυλινδοῦντο τοῦ τείχους·
ῥᾷστα μὲν γὰρ τὸ ἔλαιον ἀπὸ κορυφῆς μέχρι ποδῶν ὑπὸ τὰς πανο- 274
πλίας διέρρει τοῦ σώματος ὅλου καὶ τὴν σάρκα φλογὸς οὐδὲν
ἔλασσον ἐπεβόσκετο, θερμαινόμενόν τε φύσει ταχέως καὶ ψυχόμενον
βραδέως διὰ τὴν πιότητα. τοῖς δὲ θώραξιν καὶ τοῖς κράνεσιν ἐνδε- 275
δεμένων ἀπαλλαγὴ τῆς καύσεως οὐκ ἦν, πηδῶντες δὲ καὶ συνειλού-
μενοι ταῖς ἀλγηδόσιν ἀπὸ τῶν γεφυρωμάτων ἔπιπτον· οἱ δὲ τρα-
πέντες εἰς τοὺς σφετέρους πρόσω βιαζομένους εὐχείρωτοι τοῖς
κατόπιν τιτρώσκουσιν ἦσαν.

29. Ἐπέλιπεν δὲ οὔτε Ῥωμαίους ἐν ταῖς κακοπραγίαις ἰσχὺς 276
οὔτε τοὺς Ἰουδαίους σύνεσις, ἀλλ' οἱ μὲν καίπερ οἰκτρὰ πάσχοντας
ὁρῶντες τοὺς καταχυθέντας ὅμως εἰς τοὺς καταχέοντας ἐφέροντο
τὸν πρὸ αὐτοῦ κακίζων ἕκαστος ὡς ἐμπόδιον ὄντα τῆς ῥώμης· οἱ 277
δὲ Ἰουδαῖοι δόλῳ δευτέρῳ τὰς προσβάσεις αὐτῶν ἐπέσφαλλον τῇλιν
ἐφθὴν ὑποχέοντες ταῖς σανίσιν, ἧς ἐπολισθάνοντες ὑπεσύροντο,
καὶ οὔτε τῶν τρεπομένων οὔτε τῶν προσβαινόντων τις ὀρθὸς ἔμενεν, 278
ἀλλ' οἱ μὲν ἐπ' αὐτῶν ὑπτιαζόμενοι τῶν ἐπιβατηρίων μηχανῶν

PAMLVRC Lat Hegesippus III 12 p. 190. Mathem. uet. p. 324.

1 i. marg. η̄ V ιθ' C 2 δ' L 3 ἐρεθίζει P¹A¹C *καταχεῖν* LVRC *συνησπικότων* P *δὲ* PVRC 4 *παρασκευασμένον* AMVC *πάντωθεν* C, om. Lat 5 *συνεπαφιέντες* — 6 *θέρμῃ* om. C *ἀγγία* PV¹ et ut uid. A¹ 6 *τοῦτο*] *τούτων* PAL *τούτω* VR *haec res* Lat *τοῦτ' οὖν* Destinon 8 *ἔλεον* C *κορυφῆς*] *κόρσης* VRC *ὑπὸ*] *ἐπὶ* PAL *sub* Lat 11 *καὶ* om. MVRC *τῶν κράνεων* M 12 *πηδῶντες* — 13 *ἀλγηδόσιν*] *nunc autem salientes nunc incuruati dolore* Lat *δὲ*] *δὴ* L¹VR 13 *γεφυραμάτων* AM *οἱ δὲ* — 15 *ἦσαν*] *ad suos autem contra nitentes tuto recedere non poterant, quoniam facile ab insequentibus capiebantur* Lat 16 *ἐπέλειπε* MLVRC *δ' AL ῥωμαίοις* LVRC 17 *τοῖσ ἰουδαίοις* C 18 *ὅμως* om. P 19 *κακίζων*] *κομίζων* C *ῥώμης*] *impetum* Lat *ῥύμης* Destinon *ὁρμῆς* Niese 20 *προβάσεις* PAML *progressum* Lat *τῆλιν* ex *τήλην* corr. L 21 *ἐφθὴν* PALVRC *ἐπιχέοντες* ex cod. Voss. Hudson *αἷσ* MVRC *ἐπολισθαίνοντεσ* (*αι* i. ras. 1 litt. V) PV *ὑπολισθαίνοντεσ* M *ἐπεσύροντο* L¹ 22 *προβαινόντων* PAL 23 *ἐπ'*] *ἀπ'* A *ὑπ'* L *ἐπ' αὐτῶν* om. VRC *ὑπτιαζόμενοι*] *ἐπιβιαζόμενοι* C

279 συνεπατοῦντο, πολλοὶ δὲ ἐπὶ τὸ χῶμα κατέπιπτον. ἐπαίοντο δ' ὑπὸ τῶν Ἰουδαίων οἱ πεσόντες· ἐσφαλμένων γὰρ τῶν Ῥωμαίων οὗτοι τῆς κατὰ χεῖρα συμπλοκῆς ἐλευθερωθέντες εἰς τὰς βολὰς
280 εὐσχόλουν. πολλὰ δὲ κακουμένους ἐν τῇ προσβολῇ τοὺς στρατιώτας
281 ὁ στρατηγὸς περὶ δείλην ἀνεκάλει. ἔπεσον δὲ τούτων μὲν οὐκ ὀλίγοι καὶ πλείους ἐτρώθησαν, τῶν δ' ἀπὸ τῆς Ἰωταπάτης ἀπέθανον μὲν ἓξ ἄνδρες, τραυματίαι δ' ὑπὲρ τριακοσίους ἀνεκομίσθη-
282 σαν. εἰκάδι μὲν Δαισίου μηνὸς ἡ παράταξις ἦν.

283 30. Οὐεσπασιανὸς δὲ ἐπὶ τοῖς συμβεβηκόσι τὴν στρατιὰν παραμυθούμενος, ὡς θυμουμένους ἑώρα καὶ οὐ προτροπῆς ἀλλ' ἔργων
284 δεομένους, προσυψῶσαι μὲν τὰ χώματα, πύργους δὲ τρεῖς πεντήκοντα ποδῶν τὸ ὕψος ἕκαστον κατασκευάσαι κελεύσας πάντοθεν σιδήρῳ κεκαλυμμένους, ὡς ἕδραῖοί τε εἶεν ὑπὸ βρίθους καὶ δυσά-
285 λωτοι πυρί, τῶν χωμάτων ἐπέστησεν, συνεπιβήσας αὐτοῖς ἀκοντιστάς τε καὶ τοξότας καὶ τῶν ἀφετηρίων ὀργάνων τὰ κουφότερα,
286 πρὸς δὲ τοὺς ῥωμαλεωτάτους σφενδονήτας· οἳ μὴ καθορώμενοι διὰ τὸ ὕψος καὶ τὰ θωράκια τῶν πύργων εἰς καθορωμένους τοὺς ἐπὶ
287 τοῦ τείχους ἔβαλλον. οἱ δὲ μήτε κατὰ κόρσης φερομένων τῶν βελῶν ἐκκλίνειν ῥᾳδίως δυνάμενοι μήτε τοὺς ἀφανεῖς ἀμύνεσθαι, καὶ τὸ μὲν ὕψος τῶν πύργων δυσέφικτον ὁρῶντες ἐκ χειρὸς βέλει, πυρὶ δὲ τὴν περὶ αὐτοῖς σίδηρον ἀνάλωτον, ἔφευγον ἀπὸ τοῦ τείχους καὶ
288 προσβάλλειν πειρωμένοις ἐπεξέθεον. καὶ οἱ μὲν ἐπὶ τῆς Ἰωταπάτης ἀντεῖχον οὕτως, ἀναιρούμενοί τε καθ' ἡμέραν πολλοὶ καὶ

PAMLVRC Lat Mathemat. uet. p. 324.

1 *συνεπατοῦντο* A δ' ἐπὶ L δὲ ὑπὸ PVR 2 *ἐσφαλμένων*] *ἐφαλλομένων* L^1VR *ἐσφαλλ· μένων* L^2 *σφαλλομένων* C *desilientibus* Lat 3 *εἰς* — 4 *εὐσχόλουν*] *facillime tela dirigebant* Lat *εἰς*] *πρὸς* VRC, spurium putat Destinon *βουλὰς* C 4 *εὐστόχουν* PAML² probante Destinone 5 *ἀνεκαλεῖτο* V *ἔπεσον* — 7 *τραυ*| i. ras. unius uersus litterarum circiter 50 P 6 δὲ VRC 7 *τραυματίαι* A δὲ VRC 8 *μὲν*] om. L^1 *μὲν οὖν* VRC *δεσlου* PAMVRC Daesii 20. dies est 8. Iulii (VIII id. Iul.) anni Iuliani (67 p. Chr.) 10 *θυμουμενοσ* (sic) C 11 *τρεῖς*] *τρὶσ* (s.) P 12 *ἕκαστον τὸ ὕψοσ* tr. VRC *κελεύσας*] *βουλεύσασ* C 13 *ὡς*] *ὧς ἂν* Math 14 *ἀπέστησε* M *συνεπιβήσασ, πι* suppl. A *ἐπιβήσασ* LVRC *προσεπιβήσασ* ex cod. Voss. Dindorf 16 δὲ] *δὲ καὶ* Math *ῥωμαλαιωτάτουσ* PA *ῥωμαλαιοτάτουσ* RCMath *ῥωμαλεωτέρουσ* L *σφενδονίτασ* AMath *σφενδονητὰσ* L^1R 17 *θωρακία* R *θωρακεῖα* Dindorf 19 *ἀμύνασθαι* CMath 20 *τῇ ἐκ χειρὸσ βολῇ* Math 21 *αὐτοὺσ* PLMath *δυσάλωτον* V^1 *δυσανάλωτον* RCMath et ex corr. V *τοῦ* om. V *καὶ*] *καὶ τοῖς* Math *magisque* Lat 22 *πειρωμένουσ* PAMVC *ὑπεξέθεον* L 23 *ἀναιρούμενοί* — p. 313,2 *ἔχοντες*] *quamuis multi in dies singulos occumberent neque contra mali quicquam hostibus facerent, quod eos sine periculo prohibere non poterant* Lat

μηδὲν ἀντικακοῦν τοὺς πολεμίους, ὅτι μὴ μετὰ κινδύνων ἀντέργειν ἔχοντες.

31. Κατὰ δὲ τὰς αὐτὰς ἡμέρας Οὐεσπασιανὸς ἐπί τινα τῶν 289
τῆς Ἰωταπάτης ἀσυχαιτόνων πόλιν, Ἴαφα καλεῖται, νεωτερίζουσαν
καὶ τῶν Ἰωταπατηνῶν παρὰ δόξαν ἀντεχόντων ἐταιρομένην, Τραϊανὸν ὄντα τοῦ δεκάτου τάγματος ἡγεμόνα ἐκπέμπει παραδοὺς αὐτῷ
χιλίους μὲν ἱππεῖς πεζοὺς δὲ δισχιλίους. ὁ δὲ τὴν μὲν πόλιν δυσά- 290
λωτον καταλαβών, πρὸς γὰρ τῇ φύσει καρτερὰ τυγχάνειν οὖσα καὶ
διπλῷ περιβόλῳ τετείχιστο, προαπηντηκότας δὲ τοὺς ἐξ αὐτῆς
ἑτοίμους εἰς μάχην ἰδὼν συμβάλλει καὶ πρὸς ὀλίγον ἀντισχόντας
ἐδίωκεν. συμφυγόντων δὲ εἰς τὸ πρῶτον τεῖχος οἱ Ῥωμαῖοι κατὰ 291
πόδας προσκείμενοι συνεισέπεσον. ὁρμήσαντας δὲ πάλιν εἰς τὸ 292
δεύτερον τεῖχος ἀποκλείουσιν τῆς πόλεως οἱ σφέτεροι δείσαντες
μὴ συνεισβάλωσιν οἱ πολέμιοι. Θεὸς δ' ἦν ἄρα ὁ Ῥωμαίοις τὰ Γαλι- 293
λαίων πάθη χαριζόμενος, ὃς καὶ τότε τὸν τῆς πόλεως λαὸν αὐτανδρον χερσὶν οἰκείαις ἐκκλεισθέντα πρὸς ἀπώλειαν ἑκδοτον φονῶσιν
ἐχθροῖς παρέστησεν. ἐμπίπτοντες γὰρ ἀθρόοι ταῖς πύλαις καὶ 294
πολλὰ τοὺς ἐπ' αὐτῶν ὀνομαστὶ καλοῦντες ἐν μέσαις ἀπεσφάττοντο
ταῖς ἱκεσίαις. καὶ τὸ μὲν πρῶτον αὐτοῖς τεῖχος οἱ πολέμιοι, τὸ 295
δεύτερον δ' ἔκλεισαν οἱ σφέτεροι, μέσοι δὲ τοῖν δυοῖν κατειλού- 296
μενοι περιβόλων βύζην, πολλοὶ μὲν τοῖς ἀλλήλων, πολλοὶ δὲ τοῖς
ἰδίοις περιεπείροντο ξίφεσιν, ἄπειροι δὲ ὑπὸ Ῥωμαίων ἔπιπτον

PAMLVRC Lat Hegesippus III 13 p. 191.

1 *ἀντικακοῦντες τοὺς* PA i. marg. *κα* C 3 *κατὰ, τὰ* s. i. ras. A *αὐτὰς* iterat C 4 Ἰωταπάτης — 5 *τῶν* om. C *Ἰαφᾶ* MVC *Ἰακαφὰ* P *Ἰαφακὰ* A *afaca* Lat *iaphae* (gen.) Heg 5 *Ἰωταπατηνῶν, νῶν* ex *σ* corr. C *ἐπαιρουμένην* R *τραϊνὸν* M *τραϊανὸν, ὸν* s. V 6 *δεκάτου*] *quinto decimo* Heg *ἐκπέμπει* (sic) R 8 *τῷ*] *τὸ* P¹AVR *καρτερὰν* P *τυγχάνειν οὖσα*] *τυγχάνει* MC *τυγχάνουσα* VR 9 *προσαπηντηκότας* P *προαπαντηκότας* R et ex corr. V *προσαπαντηκότας* V¹ 10 *ἰδὼν* om. VRC 11 *πρότερον*, i. marg. *γρ πρῶτον* ut uid. m. 2 V 12 *συνέπεσον* PAL *ὁρμήσαντες* PA¹M 13 *οἱ σφέτεροι τῆς πόλεως* tr. V 14 *συνεισβάλωσιν*] *rursus intrarent* Lat *Θεὸς* — 15 *χαριζόμενος*] *profecto autem deus galilaeorum clades romanis donabat* Lat δ'] δὲ V, om. R *ὁ* om. PAL 16 *οἰκίαις* C *ἐγκλεισθέντα* PM *ἐκκριφθέντα* V *ἐκκριθέντα* RC *exclusum* Lat 17 *ἀθρόοι* R 18 *ἐπ' αὐτῶν*] *ἑαυτῶν* PM *ἐπ' αὐτον* V *ἐπ' αὐτὸν* R *καλοῦντες*] *βοῶντες* L 19 *ἱκετείαις* RC 20 *δὲ* VR *μέσοι* ex *μέσον* corr. L *τῶν δυεῖν* LVRC 21 *βύζην* om. PLat *μὲν — πολλοὶ* om. M *ἀλλήλων — τοῖς* om. VRC 22 *περιεπήροντο* R et ut uid. V¹ *ξίφεσιν*] *βέλεσιν* V

οὐδὲ ὅσον εἰς ἄμυναν ἀναθαρροῦντες· πρὸς γὰρ τῷ καταπεπλῆχθαι
τοὺς πολεμίους τὰς ψυχὰς αὐτῶν ἔκλασεν ἡ τῶν οἰκείων προδοσία.
297 πέρας ἔθνησκον οὐ Ῥωμαίοις ἀλλὰ τοῖς ἰδίοις καταρώμενοι, μέχρι
298 πάντες ἀπώλοντο μύριοι καὶ δισχίλιοι τὸν ἀριθμὸν ὄντες. κενὴν
δὲ μαχίμων λογιζόμενος εἶναι τὴν πόλιν ὁ Τραϊανός, εἰ δὲ καί 5
τινες ἔνδον εἶεν, οἰόμενος μηδὲν αὐτοὺς τολμήσειν ὑπὸ δέους, ἀνε-
τίθει τῷ στρατιγῷ τὴν ἅλωσιν, καὶ στείλας ἀγγέλους πρὸς Οὐεσπα-
σιανὸν ᾐτεῖτο πέμψαι τὸν υἱὸν αὐτῷ Τίτον ἐπιθήσοντα τῇ νίκῃ
299 τέλος. ὁ δὲ συμβαλὼν ὑπολείπεσθαί τινα πόνον μετὰ στρατιᾶς
300 τὸν υἱὸν ἐπιπέμπει πεντακοσίων μὲν ἱππέων χιλίων δὲ πεζῶν. ὁ 10
δὲ πρὸς τὴν πόλιν ἐλθὼν διὰ τάχους καὶ διατάξας τὴν στρατιὰν
ἐπὶ μὲν τοῦ λαιοῦ κέρως τὸν Τραϊανὸν ἵστησιν, αὐτὸς δὲ τὸ δεξιὸν
301 ἔχων ἐξηγεῖτο πρὸς τὴν πολιορκίαν. τῶν δὲ στρατιωτῶν κλίμακας
πάντοθεν τῷ τείχει προσφερόντων πρὸς ὀλίγον οἱ Γαλιλαῖοι καθύ-
302 περθεν ἀμυνόμενοι λείπουσιν τὸν περίβολον. ἐπιπηδήσαντες δὲ οἱ 15
περὶ τὸν Τίτον τῆς μὲν πόλεως ἐκράτησαν ταχέως, πρὸς δὲ τοὺς
303 ἔνδον αὐτοῖς συστραφέντας καρτερὰ μάχη συρρήγνυται· καὶ γὰρ ἐν
τοῖς στενωποῖς οἱ δυνατοὶ προσέπιπτον καὶ ἀπὸ τῶν οἰκιῶν αἱ
304 γυναῖκες ἔβαλλον πᾶν τὸ προστυχὸν αὐταῖς. καὶ μέχρι μὲν ἓξ ὡρῶν
ἀντεῖχον μαχόμενοι, δαπανηθέντων δὲ τῶν μαχίμων τὸ λοιπὸν 20
πλῆθος ἔν τε τοῖς ὑπαίθροις καὶ κατὰ τὰς οἰκίας ἀπεσφάττοντο
νέοι τε ὁμοῦ καὶ γέροντες· οὐδὲν γὰρ ἄρρεν ὑπελείφθη δίχα νηπίων,
305 ἃ μετὰ γυναικῶν ἐξηνδραποδίσαντο. τῶν μὲν οὖν ἀναιρεθέντων
ἀνά τε τὴν πόλιν κἀπὶ τῆς προτέρας παρατάξεως ἀριθμὸς μύριοι
πρὸς τοῖς πεντακισχιλίοις ἦν, τὰ δ' αἰχμάλωτα δισχίλια ἑκατὸν 25

PAMLVRC Lat Hegesippus III 13 p. 192.

1 *ἀναθαρροῦντες* C¹ *ἀναθαρροῦντες* C² *τῷ*] *τὸ* PA¹VR 3 *ῥωμαίων* VRC *τοῖς ἰδίοις*] *τοῖσ οἰκείοισ* P *τῶν ἰδίων* VRC *iudaeos* Lat 5 *δὲ*] *unde* Lat *τραϊνὸσ* R 6 *τολμήσειν*] *πολεμήσειν* A *πρὸσ τὸν οὐεσπασιανὸν* A 8 *αὐτῷ*] *ἑαυτοῦ* VR *αὐτοῦ* C *suum* Lat Heg 9 *τέλος*] *τὸ τέλος* ex cod. Voss. Dindorf *ὑπολίπεσθαι* V¹C *πόνον*] *τόπόνον, τό* deletum C 12 *λαιῶ* PAC *τραϊνὸν* MV *τραϊ· · ανὸν* R *ἵστησι* RC *τὸ*] *τὸν* A¹ 14 *ὀλίγον μὲν οἱ* M 15 *ἀμυνάμενοι* Destinon *ἐπιδημήσαντεσ* L¹ *saltu demissi* Lat *δ'* L 17 *αὐτοῖσ, ι* ex *υ* corr. A *αὐτῆσ* M *αὐτοὶ* L¹, om. Lat *συστραφέντεσ* L *καρτερᾶ* MLVC *μάχηι* L *συρρήγνυνται* MLR et ex corr. C 18 *στενοποῖσ* RV¹ 21 *τε* om. C *τοῖς*] *ταῖσ* PC *ὑπαιθρίοισ* VRC *οἰκ·ίασ* V *ἀπέσφαττον* L¹ 22 *τε* om. P *γὰρ*] *γοῦν* LVRC *ἀπελείφθη* VRC

23 *ἀν·αι·ρεθέντων* V 24 *καὶ ἐπὶ* VRC 25 *τοὺσ πεντακισχιλίουσ* V *δὲ* VRC *ἑκατὸν*] *καὶ ἑκατὸν* RC

καὶ τριάκοντα. τοῦτο συνέβη τὸ πάθος Γαλιλαίοις πέμπτῃ καὶ 306
εἰκάδι Δαισίου μηνός.

32. Ἔμειναν δὲ οὐδὲ Σαμαρεῖς ἀνείρατοι συμφορῶν· ἀθροι- 307
σθέντες γὰρ ἐπὶ τὸ Γαριζὶν καλούμενον ὄρος, ὅπερ αὐτοῖς ἐστιν
ἅγιον, κατὰ χώραν μὲν ἔμενον, πολέμου δ' εἶχεν ἀπειλὴν ἥ τε
σύνοδος αὐτῶν καὶ τὰ φρονήματα. καὶ οὐδὲ τοῖς γειτνιῶσι κακοῖς 308
ἐσωφρονίζοντο, πρὸς δὲ τὰς Ῥωμαίων εὐπραγίας ἐν ἀλογίστῳ τὴν
κατὰ σφᾶς ἀσθένειαν ᾤδουν καὶ μετέωροι πρὸς ταραχὴν ὑπῆρχον.
ἐδόκει δὲ Οὐεσπασιανῷ φθάσαι τὸ κίνημα καὶ τὰς ὁρμὰς αὐτῶν 309
ὑποτέμνεσθαι· καὶ γὰρ φρουραῖς ἡ Σαμαρεῖτις ὅλη διείληπτο τό
τε πλῆθος τῶν ἐλπιζόντων καὶ ἡ σύνταξις ἦν φοβερά. Κερεάλιον 310
οὖν ἔπαρχον ὄντα τοῦ πέμπτου τάγματος μετὰ ἑξακοσίων ἱππέων
καὶ πεζῶν τρισχιλίων πέμπει. τούτῳ προσβαίνειν μὲν τὸ ὄρος καὶ 311
συνάπτειν μάχην οὐκ ἀσφαλὲς ἔδοξεν πολλῶν καθύπερθεν τῶν
πολεμίων ὄντων, κυκλωσάμενος δὲ τῇ δυνάμει πᾶσαν τὴν ὑπόρειον
δι' ὅλης αὐτοὺς ἐφρούρει τῆς ἡμέρας. συνέβη δὲ ὕδατος ἀπορου- 312
μένων τῶν Σαμαρέων ἐκφλεγῆναι τότε καὶ καῦμα δεινόν, ὥρα δ'
ἦν θέρους καὶ τῶν ἐπιτηδείων τὸ πλῆθος ἀπαράσκευον, ὡς τοὺς 313
μὲν αὐθημερὸν ὑπὸ τοῦ δίψους ἀποθανεῖν, πολλοὺς δὲ τῆς τοιαύ-
της ἀπωλείας τὸ δουλεύειν προαιρουμένους Ῥωμαίοις προσφυγεῖν.
ἐξ ὧν συνεὶς ὁ Κερεάλιος καὶ τοὺς ἔτι συμμένοντας ὑπὸ τῶν ὀει- 314
νῶν κατεαγότας ἐπαναβαίνει τῷ ὄρει, καὶ τὴν δύναμιν ἐν κύκλῳ

PAMLVRC Lat Hegesippus III 13 p. 193.

1 *πέμπτῃ καὶ εἰκάδι*] *εἰκοστῇ* VRC 2 *δεσίου* PMVR *δεισίου* C *iunii* Lat Daesii 25. dies est 13. Iulii (III id. Iul.) anni Iuliani (67 p. Chr.)

3 i. marg. *κβ* C *ἔμειναν, αν* s. A *οὐδὲ*] *οὔτε* PAL *συμφορᾶς*, s. m. 2 V 4 *γαριζὶν* MVRC et ex corr. PAL *garizim* Heg *αὐτοῖς*] *αὐτοῖσ μὲν* C 5 *μὲν* s. P *δὲ* VRC 7 *πρὸς* — 8 *ᾤδουν*] *sed inconsulta suarum uirium infirmitate secundis romanorum rebus excitati prona in tumultum uoluntate pendebant* Lat *cum* — *multo autem amplius prosperioribus romanorum successibus per inuidiam commouerentur* Heg *ἐν ἀλογίστῳ* om. P *τὴν*] *τῇ* MLVRC 8 *ἀσθενεία* MLVRC *ᾤδουν*] *διώδευον* L *ὠρώδουν* MRC *ὠρώδουν* V *ταραχὰσ* V 9 *οὐεσπασιανὸσ* P *οὐεσπασιανοῦ* A[1] 10 *φρουραῖς*] *ἀεὶ φρουραῖσ* LVRC *εἰ φρουραῖσ* M et fort. Lat, in quo est *etsi* — *cincta erat* 11 *τε*] *γε* M *tamen* Lat *κερέλλιον* AL *κερέλλι* P *cerealem* Lat *cereals* Heg; cf. IV 552 sq. VI 237 12 *μεθ'* C *μετὰ* — 13 *τρισχιλίων*] *cum tribus milibus utriusque militiae uiris* Heg 13 *ἐκπέμπει* C *προβαίνειν* L 14 *τῶν πολεμίων πολλῶν καθύπερθεν* tr. VRC *καθύπερθε* L[1] 15 *ὑπόρειαν* M *ὑπώρειαν* LVC *ὑπωρίαν* R 17 *δὲ* VRC 18 *τοὺς*] *τινὰσ* AMLVRC 19 *ὑπὸ*] Bekker *ἀπὸ* codd. *δείψουσ* V[1]C[1] 20 *τῶ δουλεύει* C *προελομένουσ* RC *ῥωμαίουσ* V *προσφεύγειν* L[1] 21 *συνιεὶσ* PA *κερέλλιοσ* PAL *cerealis* Lat *ὑπὸ*] *ἐπὶ* VR

περιστήσας τοῖς πολεμίοις τὸ μὲν πρῶτον ἐπὶ δεξιὰς προυκαλεῖτο καὶ σώζεσθαι παρεκάλει διαβεβαιούμενος ἀσφάλειαν τὰ ὅπλα
315 ῥίψασιν· ὡς δ' οὐκ ἔπειθεν, προσπεσὼν ἀπέκτεινεν πάντας, χιλίους ἑξακοσίους ἐπὶ μυρίοις ὄντας· ἑβδόμῃ καὶ εἰκάδι Δαισίου μηνὸς ἐτράχθη. καὶ τοιαύταις μὲν συμφοραῖς Σαμαρεῖται ἐχρήσαντο.
316 33. Τῶν δ' ἀνὰ τὰ Ἰωτάπατα καρτερούντων καὶ παρ' ἐλπίδα τοῖς δεινοῖς ἀντεχόντων τεσσαρακοστῇ μὲν ἡμέρᾳ καὶ ἑβδόμῃ τὰ
317 χώματα τῶν Ῥωμαίων ὑπερήρθη τὸ τεῖχος, αὐτομολεῖ δέ τις πρὸς τὸν Οὐεσπασιανὸν τῆς αὐτῆς ἡμέρας τήν τε ὀλιγότητα τῶν ἐπὶ τῆς
318 πόλεως ἐξαγγέλλων καὶ τὴν ἀσθένειαν, καὶ ὡς ἀγρυπνίᾳ διηνεκεῖ καὶ μάχαις ἐπαλλήλοις δεδαπανημένοι δυνατοὶ μὲν εἶεν οὐδὲ βια-
319 ζομένους ἔτι φέρειν, καὶ δόλῳ δ' ἂν ἁλοῖεν, εἴ τις ἐπιθοῖτο· περὶ γὰρ τὴν ἐσχάτην φυλακήν, καθ' ἣν ἄνεσίν τε τῶν δεινῶν ἐδόκουν ἔχειν καὶ καθάπτεται μάλιστα κεκοπωμένων ἑωθινὸς ὕπνος, καταδαρθάνειν ἔφασκεν τοὺς φύλακας συνεβούλευέν τε κατὰ ταύτην τὴν
320 ὥραν ἐπελθεῖν. τῷ δ' ἦν μὲν δι' εὐτονίας ὁ αὐτόμολος τό τε πρὸς ἀλλήλους πιστὸν εἰδότι τῶν Ἰουδαίων καὶ τὴν πρὸς τὰς
321 κολάσεις ὑπεροψίαν, ἐπειδὴ καὶ πρότερον ληφθείς τις τῶν ἀπὸ τῆς Ἰωταπάτης πρὸς πᾶσαν αἰκίαν βασάνων ἀντέσχεν καὶ μηδὲν διὰ πυρὸς ἐξερευνῶσι τοῖς πολεμίοις περὶ τῶν ἔνδον εἰπὼν ἀνε-
322 σταυρώθη τοῦ θανάτου καταμειδιῶν· τά γε μὴν εἰκότα πιστὸν ἐποίει τὸν προδότην, καὶ τάχα μὲν ἀληθεύειν ἐκεῖνον, μηδὲν δ'

PAMLVRC Lat Hegesippus III 15 p. 194 Suidas s. *ὑπεροψίαν*, *ἀντέσχε*, *καταμειδιῶν*.

1 *τῶν πολεμίων*, i. marg. *γρ τοῖσ πολεμίοισ* m. 2 V *πρῶτον* V *ἐπὶ δεξιὰς*] *a dextera parte* Lat 3 *δὲ* VR *χιλίους* — 4 *ὄντας* i. marg. suppl. L 4 *μυρίοις*, *οι* ex *ον* corr. L *μυρίουσ* C *δεσίου* (ε ex *αι* corr. P) PMVR *δεισίου* C *δεσίου μηνὸσ ἑβδόμῃ καὶ εἰκάδι* tr. VRC *ἑβδόμῃ καὶ* delebat Toinardus Daesii 27. dies est 15. Iulii (id. Iul.) 5 *ἐπράχθη* seclusit Bekker 6 i. marg. *θ'* V *δὲ* VRC *ἰωταπάτα* L *διακαρτερούντων* MVRC *τὰ*]·· A 7 *καὶ ἑβδόμῃ*] om. L *octauo* Heg 8 *τῶν* om. PAML probante Destinone *Ῥωμαίοις* Destinon *τῷ τείχει* C 10 *ἐξαγγέλων* A *ἐξαγγέλλω* C¹ 12 *ἁλοῖεν*] Dindorf *ἁλῶεν* PAMLRC et i. marg. V *ἁλῶσιν* V *ἐπίθοιτο* M et ex corr. A *ἐπιθοῖτο*, *ι* ex *ει* corr., *θ* i. ras. m. 2 L 13 *γὰρ* om. VRC *ἄνεσίν*] *ἀναισίν* C 14 *καταδαρθά·νειν*, eras. *ι* L *καὶ καταδαρθάνειν* C 15 *συνεβούλευέν τε*] *συνεβούλευσέν τε* L¹ *συνεβούλευέ τε* L² *συνεβούλευέται* C *κατ' αὐτὴν* VR *καὶ ταύτην* C *eadem* Lat 16 *δὲ* VRC *μὲν* om. L *τό* — 18 *ὑπεροψίαν*] habet Suidas s. *ὑπεροψίαν* *τε* om. Suid 17 *καὶ* — 19 *ἀντέσχε* habet Suidas s. *ἀντέσχε* 18 *τῶν* — 19 *Ἰωταπάτης*] *ἀπὸ τῶν Ἰουδαίων* Suid 19 *μηδὲν* — 21 *καταμειδιῶν* extant apud Suidam s. *καταμειδιῶν* 20 *διὰ πυρὸς*] *διαπύρωσ* ex corr. A 21 *τά*] *τό* L¹ *εἰκότα πιστὸν* i. ras. 10—12 litt. m. 2 (eras. uid. *πιστὸν εἰκότ· ὅ*) L 22 *ἐποίη* A *δὲ* VRC

αὐτὸς ἐξ ἐνέδρας πίσεσθαι μέγα προσδοκῶν, τὸν μὲν φυλάσσειν ἐκέλευσεν, ἐπὶ δὲ τὴν κατάληψιν τῆς πόλεως παρεσκεύαζε τὴν στρατιάν.

31. Κατὰ δὲ τὴν μιν^θεῖσαν ὥραν ἦσαν ἡσυχῇ πρὸς τὸ τεῖχος. 323
καὶ πρῶτος ἐπιβαίνει Τίτος σὺν ἑνὶ τῶν χιλιάρχων Δομετίῳ 324
Σαβίνῳ τῶν ἀπὸ τοῦ λέμματος καὶ δεκάτου τάγματος ὀλίγους ἄγων· ἀνασφάξαντες δὲ τοὺς φύλακας εἰσίασιν εἰς τὴν πόλιν, μεθ' οὓς 325
Σέκστος τις Καλουάριος χιλίαρχος καὶ Ἰλάκιδος τοὺς ὑπὸ σφίσι τεταγμένους εἰσῆγον. καταλιμμάνης δὲ τῆς ἄκρας καὶ τῶν πολε- 326
μίων ἐν μέσῳ στρεφομένων, ἤδη δὲ καὶ ἡμέρας οὔσης, ὅμως οὔπω τῆς ἁλώσεως τοῖς κρατουμένοις αἴσθησις ἦν· καμάτῳ τε γὰρ οἱ 327
πολλοὶ καὶ ὕπνῳ διαλέλυντο, καὶ τῶν διανισταμένων ὁμίχλη τὰς ὄψεις ἀπέμβλυνεν πολλὴ κατὰ τύχην τότε τῇ πόλει περιχυθεῖσα, μέχρι λύσις τῆς στρατιᾶς εἰσπεσούσης πρὸς μόνην τὴν τῶν κακῶν 328
αἴσθησιν ἐξανέστησαν καὶ τὴν ἅλωσιν ἐπίστευον ἀναιρούμενοι. Ῥωμαίους δὲ κατὰ μνήμην ὧν ἐκ τῆς πολιορκίας ἔπαθον οὔτε 329
φειδὼ εἰσήει τινὸς οὔτ' ἔλεος, ἀλλ' εἰς τὸ κάταντες ἀπὸ τῆς ἄκρας τὸν λεὼ συνωθοῦντες ἐφόνευον. ἔνθα καὶ τοὺς ἔτι μάχεσθαι δυνα- 330
μένους ἡ δυσχωρία τὴν ἄμυναν ἀφείλετο· θλιβόμενοι γὰρ ἐν τοῖς
στενωποῖς καὶ κατὰ τοῦ πρανοῦς ὑπολισθάνοντες ῥέοντι κατ' ἄκρας ἐκαλύπτοντο τῷ πολέμῳ. τοῦτο πολλοὺς καὶ τῶν περὶ τὸν Ἰώσηπον 331
ἐπιλέκτων ἐπ' αὐτοχειρίαν παρώξυνεν· κατιδόντες γάρ, ὡς οὐδένα

PAMLVRCLatHegesippus III 15 p. 195.

1 *αὐτὸν* L¹ *πήσεσθαι* R *μέγα* om. V¹C *τὸ* A 2 *παρεσκεύαζε*, ζ ex *σ* corr. M *εὐτρέπιζε* L 4 *ἦσαν* A 5 *χιλιαρχῶν* R *δομιτίω* RC *δομετίω* (s. m. 2) V 6 *πεντεκαιδεκάτου* mauult Cardwell *ὀλίγους*] *τινὰς ὀλίγους* VRC *ἀγαγὼν* L¹ 7 *ἀποσφάξαντας* C | *ισίασιν* C *πόλιν*] PAL Lat *πόλιν ἡσυχῇ* MVRC 8 *σεκτός* P *σέκτος* VR *σέξτος* M *Καλουάριος*] PAL *κερεάλιος* MVC *κερέ·λλιος* R *caluarus* Lat *χιλιάρχης* PAML 9 *κατηλειμμένης* C *καὶ* om. R 10 *ἐν μέσῳ*] *ἐν μέσῃ τῇ πόλει* AMLVRCLat *ὅμως*] *ὅπως* R 11 *τε* om. P 12 *διελέλυντο* L *λέλυντο* VRC 13 *πόλει*] *πο*|(s. m. 2) C 14 *πρὸς* — 15 *αἴσθησιν*] *solo malorum periculo* Lat 16 *κατά*] *κατά τε* VRC *ἐκ τῆς πολιορκίας*] *περὶ τὴν πολιορκίαν* VRC *obsidionis tempore* Lat *ἐπὶ τῆς πολιορκίας* Niese 17 *φειδὸς* V¹ *φειδὼς* V²RC, quo uitatur hiatus *οὔτ'*] *οὔτε* VRC *κάταντες*] VRCLat *κάταντεσ ἅπαντες* PAML 18 *τὸν*] *τῶν* V¹R *λεὼν* MVRC 19 *δυσχωρία*] *δυσχέρια* R *ἀφείλατο* PA¹V¹R 20 *στενοποῖσ* V¹R *ὑπολισθάνοντες*] Dindorf *ὑπολισθαίνοντεσ* (*αί* i. ras. R) codd. *ὑπολισθαίνοντε**‖*ῥέοντι*, ante *ῥέοντι* circiter 60 litt. eras. P *ῥέοντι*] *ῥᾶόν τι* V²R 21 *ἐκαλύπτοντο*] *ἐκαλυπτον* C *τὸν* om. C 22 *παρόξυνε* C

τῶν Ῥωμαίων ἀνελεῖν δύνανται, τό γε πεσεῖν αὐτοὺς ὑπὸ Ῥωμαίων προέλαβον καὶ συναθροισθέντες ἐπὶ τὰ καταλήγοντα τῆς πόλεως σφᾶς αὐτοὺς ἀνεῖλον.

332 35. Ὅσοι γε μὴν ὑπὸ πρώτην τῆς καταλήψεως αἴσθησιν τῶν φυλάκων διαφυγεῖν ἔφθασαν ἀναβάντες εἴς τινα τῶν προσαρκτίων πύργων μέχρι μέν τινος ἀπημύναντο, περισχεθέντες δὲ πλήθει τῶν πολεμίων ὀψὲ παρεῖσαν τὰς δεξιὰς καὶ τοῖς ἐφεστῶσιν τὴν σφαγὴν
333 εὐθυμοι παρέσχον. ἀναίμακτον δ' ἂν ἦν αὐχῆσαι Ῥωμαίοις τὸ τέλος τῆς πολιορκίας, εἰ μὴ κατὰ τὴν ἅλωσιν εἷς ἔπεσέν τις· �εκα-
334 τοντάρχης ἦν Ἀντώνιος, θνήσκει δ' ἐξ ἐνέδρας. τῶν γὰρ εἰς τὰ σπήλαιά τις συμπεφευγότων, πολλοὶ δ' οἵτοι πλῆθος ἦσαν, ἱκετεύει τὸν Ἀντώνιον ὀρέξαι δεξιὰν αὐτῷ πίστιν τε σωτηρίας καὶ βοή-
335 θειαν πρὸς ἄνοδον· ὁ δ' ἀφυλάκτως ὤρεγε τὴν χεῖρα, καὶ φθάσας αὐτὸν ἐκεῖνος νύττει κάτωθεν ὑπὸ τὸν βουβῶνα δόρατι καὶ παραχρῆμα διεργάζεται.

336 36. Κατ' ἐκείνην μὲν οὖν τὴν ἡμέραν τὸ φανερὸν πλῆθος ἀνεῖλον οἱ Ῥωμαῖοι, ταῖς δ' ἐπιούσαις ἀνερευνώμενοι τὰς καταδύσεις τοὺς ἐν τοῖς ὑπονόμοις καὶ τοῖς σπηλαίοις ἐπεξῆσαν καὶ
337 διὰ πάσης ἐχώρουν ἡλικίας πλὴν νηπίων καὶ γυναικῶν. καὶ τὰ μὲν αἰχμάλωτα χίλια πρὸς τοῖς διακοσίοις συνήχθη, νεκροὶ δὲ κατὰ τὴν ἅλωσιν καὶ τὰς πρότερον μάχας συνηριθμήθησαν τετρακισμύ-
338 ριοι. Οὐεσπασιανὸς δὲ τήν τε πόλιν κατασκάψαι κελεύει καὶ τὰ

PAMLVRC Lat Hegesippus III 15 p. 195. Suidas s. *διεργάζεται*.

1 *γε*] *τε* PA, om. L *πεσεῖν*] *μὴ πεσεῖν* Hauerkamp ex cod. L. B. *αὐτοὺς*] *αὐτοὶ* MLVRC 2 *τὰ* om. C 4 *πρώτην τῆς*] *πρώτης τῆς* A et ex corr. P *πρώτης* P¹L 5 *ἀναβάντες*] *ἀναλαβόντες* C 6 *πύργον* L *δὲ τῷ πλήθει* MVRC 7 *παρῆσαν* L *παρῆκαν* C *καὶ τοῖς ἐφεστῶσιν*] *hisque instantibus* Lat *ἐφεστῶσι* V 8 *εὐθυμοι*] *ἕτοιμον* (ἔ-V) VR *ἕτοιμοι* C *δ' ἂν ἦν*] MLCV¹ *ἐνῆν* PA *ἐν ᾗ ἦν* R et ex corr. V *ῥωμαίους* MVRC 9 *εἰ μὴ* — 10 *ἐνέδρας*] *nisi unus ex ipsis excidio cecidisset ecatontarchus antonius peremptus insidiis* Lat *κατὰ*] *καὶ κατὰ* AML *εἷς ἔπεσέν τις*] *εἰσέπεσέν* (*ν* eras. L) *τισ* PAL *εἶσ ἔπεσεν* MVR *εἰσέπεσεν* C 10 *ἦν*] *ὅσ ἦν* MVRC *δὲ* LVRC 11 *συμπεφευγότων*, *υ* ex *γ* corr. A *συμπεφευγόντων* R *συμφευγόντων* C *πολλὺ* ex corr. A *πολὺ* MRC *δὲ* VRC *ἱκέτευε* MVRC 12 *πίστιν*] *πίστι* R¹ *πίστεισ* R² 13 *ὁ δ'* — 15 *διεργάζεται*] *cumque is manum porrexisset incaute super illum hasta praeuentum sub inguine perculit* Lat *δὲ* AVRC *ὄρεγε* PL¹ *ὄρεγε* C *φθάσας* — 15 *διεργάζεται* habet Suidas mutata et breuiata 14 *ὑπὸ*] *ἐπὶ* PAL Suid 17 *οἱ* om. VRC *δὲ* VRC *ἀναρευνώμενοι* R 18 *ὑπονόμοις*] *ὑπὸ νόμοισ*, *ι* ex *υ* corr. m. 2 V *ἐπεξίησαν* PA *ἐξῆσαν* C 20 *αἰχμάλωτα* · V *κατὰ*] *κατά τε* RC 21 *καὶ*] *καὶ κατα* VRC *τετρακισμύριοι συνηριθμήθησαν* (sic) tr. V *quadringenta milia* cod. Vat. et Berol. Lat

φρούρια πάντα προσεμπίπρησιν αὐτῆς. Ἰωτάπατα μὲν οὖν οὕτως 339
ἑάλω τρισκαιδεκάτῳ τῆς Νέρωνος ἡγεμονίας ἔτει Πανέμου νου-
μηνίᾳ.

VIII. 1. Ῥωμαῖοι δὲ τὸν Ἰώσηπον ἀναζητοῦντες κατά τε ὀργὴν 340
σφετέραν καὶ σφόδρα τοῦ στρατηγοῦ φιλοτιμουμένου, μεγίστη γὰρ
ἦν μοῖρα τοῦ πολέμου λιφθείς, τούς τε νεκροὺς διηρεύνων καὶ τοὺς
ἀποκρύφους. ὁ δὲ τῆς πόλεως ἁλισκομένης δαιμονίῳ τινὶ συνεργίᾳ 341
χρησάμενος μέσον μὲν ἑαυτὸν ἐκκλέπτει τῶν πολεμίων, καθάλλεται
δὲ εἴς τινα βαθὺν λάκκον, ᾧ πλατὺ σπήλαιον διέξεικτο κατὰ πλευρὰν
τοῖς ἄνωθεν ἀόρατον. ἔνθα τεσσαράκοντα μὲν τῶν ἐπισήμων ἄνδρας 342
καταλαμβάνει λανθάνοντας, παρασκευὴν δ' ἐπιτηδείων οὐκ ὀλίγαις
ἡμέραις διαρκεῖν δυναμένην. μεθ' ἡμέραν μὲν οὖν ὑπεστέλλετο 343
τῶν πολεμίων πάντα διειληφότων, νυκτὸς δ' ἀνιὼν ἐζήτει δρασμοῦ
διάδυσιν καὶ τὰς φυλακὰς κατεσκέπτετο. φρουρουμένων δὲ παντα-
χόθεν πάντων δι' αὐτὸν ὡς λαθεῖν οὐκ ἦν, αὖθις εἰς τὸ σπήλαιον
κατῆει. δύο μὲν οὖν ἡμέραις διαλανθάνει, τῇ δὲ τρίτῃ γυναικὸς 344
ἁλούσης τῶν ἅμα αὐτοῖς μηνύεται, καὶ Οὐεσπασιανὸς αὐτίκα μετὰ
σπουδῆς πέμπει δύο χιλιάρχους Παυλῖνον καὶ Γαλλικανόν, δεξιάς
τε τῷ Ἰωσήπῳ δοῦναι κελεύσας καὶ προτρεψομένους ἀνελθεῖν.

2. Ἀφικόμενοι γοῦν παρεκάλουν οὗτοι τὸν ἄνδρα καὶ πίστεις 345
περὶ σωτηρίας ἐδίδοσαν, οὐ μὴν ἔπειθον· ἐκ γὰρ ὧν εἰκὸς ἦν 346
τοσαῦτα δράσαντα παθεῖν, οὐκ ἐκ τοῦ φύσει τῶν παρακαλούντων

PAMLVRC Lat Hegesippus III 15 p. 195 Suidas s. *μοῖρα, δεξιάς.*
1 *προσεπίμπρησιν* L[1] *προσεμπίμπρησιν* R *ἰωταπάτη* L *οὖν* om. A
2 *τρισκαιδεκάτω* MLVRC *παν*^{αί}*εμου, ε* ex *η* corr., *αί* s. m. 2 V; *Πάνημος* recte dicitur *νεομηνία* L Panemi numenia est dies 20. Iulii (XIII k. Aug.) anni Iuliani (67 p. Chr.) i. marg. *ϊ' V κα' C* 5 *μεγίστη* — 6 *ληφθείς*] habet Suidas s. *μοῖρα* *διηρεύνουν* PA[1] 7 *ἀποκρύφους*] PALLat *ἀποκρύφους τῆς πόλεως μυχούς* MVRC *τῆς*] *ἄρτι τῆς* MVRC *δαιμονίᾳ* A *συνεργείᾳ* LR 8 *μέσων* M *μὲν* om. R *αὑτὸν* R *αὐτῶν* VC *ἔκλεπτεν* PAL 9 *δὲ* s. A 10 *ὥ*^{α}*ρατον, ω* ex corr. C *τεσ*^{σ}*αράκοντα* A 11 *λανθάνοντος* R[1] *δ'*] *δὲ* AC *τε* V *δὲ τῶν* ex cod. Voss. Dindorf 12 *ἀρκεῖν* V *ὑπεστέλλετο*] *ὑπέστελλεν ἑαυτὸν* L 13 *διηλειφότων* C *δὲ* VR *ἀνιὼν* — 14 *κατεσκέπτετο*] *ascendens uigilias explorabat ut fugeret* Lat *δρασμὸν* C 14 *διάλυσιν* L[1] *δὲ* om. R *πάντοθεν* L 15 *πάντων*] *πάντων τῶν πύργων* M *τῶν πύργων* VRC *δι'* om. R *αὐτὸν* R *λαθεῖν*] *λαθεῖν δ'* V 16 *ἡμέρασ* MVRC 17 *τῶν* om. VRC 18 *γαλλικιανὸν* PAML *gallicanum* Lat Heg *δεξιάς* — 19 *κελεύσας* habet Suidas 19 *τε* om. VRC *προτρεψαμένους* PAL[2] *προτρεψαμένοσ* sic C 20 *γοῦν*] *οὖν* PAL *δὲ* VRC 21 *ὧν*] *ὦ* C *ἦν*] *ἦν τὸν* VRC 22 *δράσαντα*, litt. *αντα* solito angustius scriptae M

ἡμέρου τὰς ὑποψίας συνέλεγεν ἐδεδίει τε ὡς ἐπὶ τιμωρίαν προ-
καλουμένους, ἕως Οὐεσπασιανὸς τρίτον ἐπιτέμπει χιλίαρχον Νικά-
347 νορα γνώριμον τῷ Ἰωσήπῳ καὶ συνήθη πάλαι. παρελθὼν δ' οὗτος τό τε φύσει Ῥωμαίων χρηστὸν πρὸς οὓς ἂν ἅπαξ ἕλωσι διεξ-
ήει, καὶ ὡς δι' ἀρετὴν αὐτὸς θαυμάζοιτο μᾶλλον ἢ μισοῖτο πρὸς
348 τῶν ἡγεμόνων, σπουδάζειν τε τὸν στρατηγὸν οὐκ ἐπὶ τιμωρίαν ἀναγαγεῖν αὐτόν, εἶναι γὰρ ταύτην καὶ παρὰ μὴ προϊόντος λαβεῖν.
349 ἀλλὰ σῶσαι προαιρούμενον ἄνδρα γενναῖον. προσετίθει δ' ὡς οὔτ' ἂν Οὐεσπασιανὸς ἐνδρεύων φίλον ἔπεμπεν, ἵνα τοῦ κακίστου πράγ-
ματος προστήσηται τὸ κάλλιστον, ἀπιστίας φιλίαν, οὐδ' ἂν αὐτὸς
ἀπατήσων ἄνδρα φίλον ὑπήκουσεν ἐλθεῖν.

350 3. Ἐνδοιάζοντος δὲ τοῦ Ἰωσήπου καὶ πρὸς τὸν Νικάνορα τὸ μὲν στρατιωτικὸν ὑπ' ὀργῆς ἐκκαίειν τὸ σπήλαιον ὥρμητο, κατεῖχεν
351 δ' αὐτοὺς ὁ πολέμαρχος ζωγρῆσαι τὸν ἄνδρα φιλοτιμούμενος. ὡς δ' ὅ τε Νικάνωρ προσέκειτο λιπαρῶν καὶ τὰς ἀπειλὰς τοῦ πολε-
μίου πλήθους ὁ Ἰώσηπος ἔμαθεν, ἀνάμνησις αὐτὸν τῶν διὰ νυκτὸς
ὀνείρων εἰσέρχεται, δι' ὧν ὁ θεὸς τάς τε μελλούσας αὐτῷ συμ-
φορὰς προεσήμαινεν Ἰουδαίων καὶ τὰ περὶ τοὺς Ῥωμαίων βασιλεῖς
352 ἐσόμενα. ἦν δὲ καὶ περὶ κρίσεις ὀνείρων ἱκανὸς συμβαλεῖν τὰ ἀμφιβόλως ὑπὸ τοῦ θείου λεγόμενα, τῶν γε μὴν ἱερῶν βίβλων οὐκ
ἠγνόει τὰς προφητείας ὡς ἂν αὐτός τε ὢν ἱερεὺς καὶ ἱερέων ἔγγο-

---

PAMLVRC Lat Hegesippus III 15 p. 196.

1 τε] δὲ PA τιμωρίαν] σωτηρίαν PA *poenam* Lat προκαλουμένους M προκαλούμενος PA (*uelut*) *-euocaretur* Lat 2 ἐπιπέμπει] ἔτι πέμπει VRC 3 γνώριμον C συνήθει PL¹ συνήθη, η finale i. ras. V παρελθὼν C δὲ VR 4 ῥωμαίω R¹ χρηστὸν, η ex ι corr. uid. m. 2 L διεξήει, ήει i. ras. V 6 τῶν] τὸν AC τιμωρίαν ἀναγαγεῖν] τιμωρίαν ἀγαγεῖν P¹A τιμωρία ἀναγαγεῖν VRC τιμωρία ἀνα | αγαγεῖν ex corr. P τιμωρία ἀγαγεῖν L 7 εἶναι] P¹L ἐνεῖναι AMVRC et ex corr. P μὴ παρὰ tr. LVR παρὰ om. C προσιόντος PAL 8 προσετίθη C¹ δὲ VRC 10 προστήσηται τὸ, litt. ηται τὸ i. ras. minore m. 2 L προστήσαιτο τὸ V προστήσαι τὸ RC¹ ἀπιστίαν φιλίας VRC οὐδ'] οὔτ' LVRC αὐτὸς om. C 11 ἄνδρα] ἂν ἰδία VR ὑπήκουσεν] ἐποίησεν i. marg. γρ ὑπείκουσεν V 12 ἐνδυάζοντος PL¹ δὲ om. L 13 ὥρμησαν M 14 δὲ VRC 15 δὲ VRC ὅ τε ὁ νικάνωρ V προσέκειτο] προσεκαλεῖτο P ἐπέκειτο V λιπαρῶν, ν i. ras. m. 2 L λιπαρῶς V²R τοῦ πολεμίου πλήθους] PAML Lat τοῦ πολέμου πληθούσας VRC 16 αὐτὸν] P¹AML αὐτῷ VRC et ex corr. P 17 τε om. VR συμφορὰς αὐτῷ tr. VRC 18 προεσήμανεν PAML²V τὰ] τὰς P¹ τὰ- M 19 ἱκανὸς] ἱκανῶς V² εἰκανῶς C συμβάλλειν VRC *et coniectare — sciebat* Lat 20 ἀμφιβόλως om. C 21 ἠγνόει C ἔκγονος MVRC

νος· ὢν ἐπὶ τῆς τότε ὥρας ἔνθους γενόμενος καὶ τὰ φρικώδη τῶν 353
προσφάτων ὀνείρων σπάσας φαντάσματα προσφέρει τῷ Θεῷ λελι-
θιῶσαν εὐχήν, κἀπειδὴ τὸ Ἰουδαίων, ἔφη, φῖλον ὀκλάσαι δοκεῖ σοι 354
τῷ κτίσαντι, μετέβη δὲ πρὸς Ῥωμαίους ἡ τύχη πᾶσα, καὶ τὴν ἐμὴν
ψυχὴν ἐπελέξω τὰ μέλλοντα εἰπεῖν, δίδωμι μὲν Ῥωμαίοις τὰς χεῖρας
ἑκὼν καὶ ζῶ, μαρτύρομαι δὲ ὡς οὐ προδότης, ἀλλὰ σὸς εἰμι διάκονος."

4. *Ταῦτ' εἰπὼν ἐνεδίδου τῷ Νικάνορι. καὶ τῶν Ἰουδαίων οἱ* 355
συγκαταφυγόντες ὡς τὸν Ἰώσηπον συνίεσαν εἴκοντα τοῖς παρακα-
λοῦσιν, ἀθρόοι περιστάντες, „ἦ μεγάλα γ' ἂν στενάξειαν, ἐβόων, 356
οἱ πάτριοι νόμοι, οἷς κατέφησεν Θεὸς Ἰουδαίοις ὁ κτίσας ψυχὰς
θανάτου καταφρονούσας. φιλοζωεῖς, ὦ Ἰώσηπε, καὶ φῶς ὑπομένεις 357
ὁρᾶν δοῦλον; ὡς ταχέως ἐπελάθου σαυτοῦ. πόσους ὑπὲρ ἐλευθερίας
ἀποθνήσκειν ἔπεισας. ψευδῆ μὲν ἄρα δόξαν ἀνδρείας, ψευδῆ δὲ καὶ 358
συνέσεως εἶχες. εἰ γε σωτηρίαν μὲν ἔχειν ἐλπίζεις παρ' οἷς οὕτως
ἐπολέμησας, σώζεσθαι δὲ ὑπ' ἐκείνων, κἂν ᾖ βέβαιον, θέλεις. ἀλλ' 359
εἰ καὶ σοὶ λήθην σεαυτοῦ κατέχεεν ἡ Ῥωμαίων τύχη, προνοητέον
ἡμῖν τοῦ πατρίου κλέους. χρήσομέν σοι δεξιὰν καὶ ξίφος· σὺ δ'
ἂν μὲν ἑκὼν θνήσκῃς, Ἰουδαίων στρατηγός, ἂν δ' ἄκων, προδότης

PAMLVRC Lat Hegesippus III 15 p. 196 sq.

1 ὤν] PAL ὅσ MVC, om. R οὖν uertit Lat ἔνθους] *quasi deo plenus* Lat γενόμενος C 2 προφάτων R 3 καὶ ἐπειδὴ VRC ἔφη i. marg. suppl. m. 2 V ὀκλάσαι] κολάσαι PAML fort. recte *labefactari* Lat δοκῇ C

4 ἡ paene deletum A 5 ἐπελλέξω V 6 ἑκὼν καὶ ζῶ] καὶ ζῶ ἑκών V ζῶν PAL *uiuo* Lat σόσ PAL εἶμι] εἰμι PAL ἄπειμι VRC γρ ἀλλα σὸσ ἄπειμι διάκονοσ i. marg. PA *ad eos ibo* Lat 7 i. marg. κε C ταῦτ· P ταῦτα MVRC ἐνεδίδει VR καὶ] *uerum* Lat; ante καὶ fort. aliquid excidit 8 συνίεσαν] συνήεσαν ut uid. L¹ ἤκοντα A 9 ἀθρόοι] καὶ ἀθρόοι (καὶ expunctum A) PA ἦ — 11 καταφρονούσας] *clamabant certe plurimum ingemiscere patrias leges ubi sunt quae iudaeis deus annuit, quibus mortem contemnentes animas indidit* Lat γ' ἂν] ἄγαν PAL γε ἂν VR ἂν C 10 οἷς — 11 καταφρονούσας uix sana οἷς] καὶ ML¹VRC κατέφησεν] κατηφήσαι MVRC κατεψήφισε (utrumque ε i. ras., ἡ ex η corr. m. 2) L θεὸς] ὁ θεὸσ P θεὸσ ὁ L¹VRC Ἰουδαίοις] ἰουδαίουσ L¹ ὁ om. VRC ὁ κτί|·σασ, litt. ὁ κτί i. ras. 8 litt. m. 2 (eras. uid. ἐ · · · κίσασ), ante σ eras. ι, α ex ο corr. m. 2 L 11 ὦ om. AMLVRC Lat καὶ — 12 δοῦλον] *lucemque intueri pateris seruientem* Lat *et carpere desideras lumen istut ausim dicere seruitutis* Heg 12 δοῦλοσ L fort. recte σαὐτοῦ LR 13 ψεύδη PA δόξαν] MLVRC Lat δόξασ PA ἀνδρίασ VC ἀνδρεῖοσ PA *fortitudinis* Lat ψεύδι PA 14 συνέσεως] MLVRC Lat συνέσεισ ἂσ PA 15 δ' L θέλησ PAVC¹ 16 σοὶ] σὺ P λήθην] λήθην τινὰ VRC σαυτοῦ VRC 17 πατρώων V πατρόον R πατρώιον C κλέους] νόμον VRC *gloriae* Lat χρησομέν|σομέν M¹

δὲ VRC 18 θνήσκησ A ἂν δ'] ἐὰν δὲ VRC

360 τεθνήξῃ.“ ταῦθ' ἅμα λέγοντες ἐπανετείναντο τὰ ξίφη καὶ διηπείλουν ἀναιρήσειν αὐτόν, εἰ τοῖς Ῥωμαίοις ἐνδιδοίη.

361 5. Δείσας δὲ τὴν ἔφοδον ὁ Ἰώσηπος καὶ προδοσίαν ἡγούμενος εἶναι τῶν τοῦ Θεοῦ προσταγμάτων, εἰ προαποθάνοι τῆς διαγγε-
362 λίας, ἤρχετο πρὸς αὐτοὺς φιλοσοφεῖν ἐπὶ τῆς ἀνάγκης· „τί γὰρ τοσοῦτον, ἔφη, σφῶν αὐτῶν, ἑταῖροι, φονῶμεν; ἢ τί τὰ φίλτατα
363 διαστασιάζομεν, σῶμα καὶ ψυχήν; ἠλλάχθαι τις ἐμέ φησιν. ἀλλ' οἴδασιν Ῥωμαῖοι τοῦτό γε. καλὸν ἐν πολέμῳ θνήσκειν, ἀλλὰ πολε-
364 μίου νόμῳ, τουτέστιν ὑπὸ τῶν κρατούντων. εἰ μὲν οὖν τὸν Ῥωμαίων ἀποστρέφομαι σίδηρον, ἄξιος ἀληθῶς εἰμι τοὐμοῦ ξίφους καὶ χειρὸς τῆς ἐμῆς· εἰ δ' ἐκείνους εἰσέρχεται φειδὼ πολεμίου, πόσῳ δικαιότερον ἂν ἡμᾶς ἡμῶν αὐτῶν εἰσέλθοι; καὶ γὰρ ἠλίθιον ταῦτα δρᾶν
365 σφᾶς αὐτούς, περὶ ὧν πρὸς ἐκείνους διιστάμεθα. καλὸν γὰρ ὑπὲρ τῆς ἐλευθερίας ἀποθνήσκειν· φημὶ κἀγώ, μαχομένους μέντοι, καὶ ὑπὸ τῶν ἀφαιρουμένων αὐτήν. νῦν δ' οὔτ' εἰς μάχην ἀντιά-
366 ζουσιν ἡμῖν οὔτ' ἀναιροῦσιν ἡμᾶς· δειλὸς δὲ ὁμοίως ὅ τε μὴ βουλόμενος θνήσκειν ὅταν δέῃ καὶ ὁ βουλόμενος, ὅταν μὴ δέῃ. τί δὲ
367 καὶ δεδοικότες πρὸς Ῥωμαίους οὐκ ἄνιμεν; ἆρ' οὐχὶ θάνατον; εἰθ' ὃν δεδοίκαμεν ἐκ τῶν ἐχθρῶν ὑποπτευόμενον ἑαυτοῖς βέβαιον ἐπιστήσομεν; ἀλλὰ δουλείαν, ἐρεῖ τις. πάνυ γοῦν νῦν ἐσμὲν ἐλεύ-
368 θεροι. γενναῖον γὰρ ἀνελεῖν ἑαυτόν, φήσει τις. οὔ μεν οὖν, ἀλλ' ἀγενέστατον, ὡς ἔγωγε καὶ κυβερνήτην ἡγοῦμαι δειλότατον, ὅστις χειμῶνα δεδοικὼς πρὸ τῆς θυέλλης ἐβάπτισεν ἑκὼν τὸ σκάφος.
369 ἀλλὰ μὴν ἡ αὐτοχειρία καὶ τῆς κοινῆς ἁπάντων ζῴων φύσεως ἀλλό-

---

PAMLVRCLatHegesippus III 17 p. 198.

1 *τεθνήκει* R *ταῦτα* VR *ἐπέτεινον* PAL *ἐπανέτεινον* M *ἐπετείναντο* C *τὰ*] *καὶ* PAML *διηπήλουν* C 2 *ἐνδιδοίη*] Dindorf *ἐνδιδώη* (*ἐνδιδώιη* LC) codd. 3 *εἶναι ἡγούμενος* tr. VRC 7 *ἠλάχθαι* C *διηλλάχθαι* PAML *φήσει* Hudson 8 *καλὸν*] *καὶ καλὸν* PAML 9 *τὸν*] *τῶν* PRC 10 *εἰμι ἀληθῶς* tr. VRC *τοῦ ἐμοῦ* LVR 11 *δὲ* VRC *φειδὼς* PAL²VRC *πολέμου* VRC *πόσῳ*] VRCLat et i. marg. PAM *πολὺ* PAML 12 *ἠλίθιον* ex corr. A 13 *πρὸς*] *καὶ πρὸς* PL *γὰρ*] om. MVRC *enim* Lat 14 *μαχομένοις* P 15 *δὲ* VRC *οὔτε* AVRC 16 *οὔτε* AVRC 17 *δὲ*] *δαι* C 18 *Ῥωμαίους*] *ῥωμαί* R¹ *ἄνειμεν* PA *ἄνημεν* L *ἆρ'*] s. P *ἆρα* VRC *εἶθ' ὃν*] *εἶτα οἷον* VRC 19 - - *ὑποπτευόμενον*, eras. -*α*, *π* (ante *ο*) ex *το* corr. P *βέβαιον*] *βίαιον* VRC *ἐπιστήσομεν*] PAM et i. marg. m. 2 L *ἐπιτιμήσωμεν* L *ἐπιτιμήσομεν* VC *ὑποτιμήσομεν* R *γρ βέβαιον ἐπιτιμήσομεν* i. marg. PA *γρ βιβλίον ὑποτιμήσομεν* i. marg. (ut uid. m. 2) V *inrogabimus* Lat *inferre* et *inrogare* Heg 20 *νῦν* om. P 21 *αὐτὸν* R *φήσει*] *φησί* P *φύσει* C *ἀλλὰ* VRC 22 *ἀγεννέστατον* LRC *κυβερνήτην* V *ὥστις* C 23 *ἐβάπτισεν ἑκὼν πρὸ τῆς θυέλλης* tr. L *ἐβάπτισε* R

τριον καὶ πρὸς τὸν κτίσαντα θεὸν ἡμᾶς ἐστιν ἀσέβεια. τῶν μέν 370
γε ζῴων οὐδέν ἐστιν ὃ θηήσκει μετὰ προνοίας ἢ δι' αὐτοῦ· φύσεως
γὰρ νόμος ἰσχυρὸς ἐν ἅπασιν τὸ ζῆν ἐθέλειν· διὰ τοῦτο καὶ τοὺς
φανερῶς ἀφαιρουμένους ἡμᾶς τούτου πολεμίους ἡγούμεθα καὶ τοὺς
ἐξ ἐνέδρας τιμωρούμεθα. τὸν δὲ θεὸν οὐκ οἴεσθε ἀγανακτεῖν, ὅταν 371
ἄνθρωπος αὐτοῦ τὸ δῶρον ὑβρίζῃ; καὶ γὰρ εἰλήφαμεν παρ' ἐκεί-
νου τὸ εἶναι καὶ τὸ μηκέτι εἶναι πάλιν ἐκείνῳ δίδομεν. τὰ μέν γε 372
σώματα θνητὰ πᾶσιν καὶ ἐκ φθαρτῆς ὕλης δεδημιούργηται, ψυχὴ
δὲ ἀθάνατος ἀεὶ καὶ θεοῦ μοῖρα τοῖς σώμασιν ἐνοικίζεται· εἴτ'
ἐὰν μέν ἀφανίσῃ τις ἀνθρώπου παρακαταθήκην ἢ διαθῆται κακῶς,
πονηρὸς εἶναι δοκεῖ καὶ ἄπιστος, εἰ δέ τις τοῦ σφετέρου σώματος
ἐκβάλλει τὴν παρακαταθήκην τοῦ θεοῦ, λελῆθέναι δοκεῖ τὸν ἀδι-
κούμενον; καὶ κολάζειν μὲν τοὺς ἀποδράντας οἰκέτας δίκαιον νενό- 373
μισται κἂν πονηροὺς καταλείπωσι δεσπότας, αὐτοὶ δὲ κάλλιστον
δεσπότην ἀποδιδράσκοντες τὸν θεὸν οὐ δοκοῦμεν ἀσεβεῖν; ἆρ' οὐκ 374
ἴστε ὅτι τῶν μὲν ἐξιόντων τοῦ βίου κατὰ τὸν τῆς φύσεως νόμιον
καὶ τὸ ληφθὲν παρὰ τοῦ θεοῦ χρέος ἐκτινύντων, ὅταν ὁ δοὺς κομί-
σασθαι θέλῃ, κλέος μὲν αἰώνιον, οἶκοι δὲ καὶ γενεαὶ βέβαιοι, καθα-
ραὶ δὲ καὶ ἐπήκοοι μένουσιν αἱ ψυχαί, χῶρον οὐράνιον λαχοῦσαι
τὸν ἁγιώτατον, ἔνθεν ἐκ περιτροπῆς αἰώνων ἁγνοῖς πάλιν ἀντενοι-
κίζονται σώμασιν· ὅσοις δὲ καθ' ἑαυτῶν ἐμάνησαν αἱ χεῖρες, τού- 375
των ᾅδης μὲν δέχεται τὰς ψυχὰς σκοτεινότερος, ὁ δὲ τούτων πατὴρ
θεὸς εἰς ἐγγόνους τιμωρεῖται τοὺς τῶν πατέρων ὑβριστάς. διὰ 376

PAMLVRC Lat Hegesippus III 17 p. 201 sq.

2 οὐθὲν VC et i. marg. R προνοίας] προθυμίασ L *industria* Lat αὐτοῦ M et ex corr. L 3 τοὺς — 4 τούτου] *qui nobis adimendum id putent* Lat 5 τιμωροῦμεν C δὲ om. C 6 αὐτοῦ ἄνθρωποσ tr. P τὸ δῶρον αὐτοῦ tr. C ὑβρίζῃ L ὑβρίζει C ὑβρίζῃ, η ex ει corr. V καὶ γὰρ] εἰ γὰρ καὶ P 7 δίδομεν] C et ex corr. V διδόαμεν PAML δίδωμεν RV¹ *reddendum est* Lat διδῶμεν Niese 8 πᾶσιν] πᾶ C φθαρτατῆσ C δημιουργεῖται C et i. marg. V δημιουργεῖται R δημιουργούμενα V 9 εἶτα MLVRC 10 ἐὰν] ἂν VRC ἀφανήσῃ R ἀφανίσει C διάθηται MLVRC et ex corr. A 11 πονηρὸς] *pessimus statim* Lat 12 ἐκβάλει A δοκεῖ] *existimabit* Lat 14 καταλίπωσι ML 15 ἆρα R ἄρα V 17 παρὰ τοῦ θεοῦ] παρ' αὐτοῖσ L ἐκτινύντων] L² ἐκτιννύντων PAM ἐκτινόντων L¹C ἐκτεινόντων VR 18 γεναὶ L 19 ἐπίκοοι R οὐράνιον] οὐρανοῦ AMLVRC (*locum*) *in caelo* Lat 20 ἀντοικίζονται PA 21 ἑαυτὸν M 22 μὲν ᾅδησ tr. VR μὲν om. C σκοτιώτεροσ LVRC 23 ἐγόνουσ MVRC τοὺς τῶν πατέρων ὑβριστὰς] *auctores iniuriae* Lat τῶν πατέρων] θάτερον VRC πατέρων Hauerkamp et Bekker; tradita uix sana διὰ] καὶ διὰ L

τοῦτο μεμίσηται παρὰ θεῷ τοῦτο καὶ παρὰ τῷ σοφωτάτῳ κολά-
377 ζεται νομοθέτῃ· τοὺς γοῦν ἀναιροῦντας ἑαυτοὺς παρὰ μὲν ἡμῖν
μέχρις ἡλίου δύσεως ἀτάφους ἐκρίπτειν ἔκριναν καίτοι καὶ πολε-
378 μίους θάπτειν θεμιτὸν ἡγούμενοι, παρ' ἑτέροις δὲ καὶ τὰς δεξιὰς
τῶν τοιούτων νεκρῶν ἀποκόπτειν ἐκέλευσαν, αἷς ἐστρατεύσαντο καθ'
ἑαυτῶν, ἡγούμενοι καθάπερ τὸ σῶμα τῆς ψυχῆς ἀλλότριον, οὕτως
379 καὶ τὴν χεῖρα τοῦ σώματος. καλὸν οὖν, ἑταῖροι, δίκαια φρονεῖν
καὶ μὴ ταῖς ἀνθρωπίναις συμφοραῖς προσθεῖναι τὴν εἰς τὸν κτί-
380 σαντα ἡμᾶς δυσσέβειαν. εἰ σώζεσθαι δοκεῖ, σωζώμεθα· καὶ γὰρ
οὐκ ἄδοξος ἡ σωτηρία παρ' οἷς διὰ τοσούτων ἔργων ἐπεδειξάμεθα
381 τὰς ἀρετάς· εἰ τεθνάναι, καλὸν ὑπὸ τῶν ἑλόντων. οὐ μεταβή-
σομαι δ' ἐγὼ εἰς τὴν τῶν πολεμίων τάξιν, ἵν' ἐμαυτοῦ προδότης
γένωμαι· καὶ γὰρ ἂν εἴην πολὺ τῶν αὐτομολούντων πρὸς τοὺς πολε-
μίους ἠλιθιώτερος, εἴ γ' ἐκεῖνοι μὲν ἐπὶ σωτηρίᾳ τοῦτο πράτ-
382 τουσιν, ἐγὼ δὲ ἐπὶ ἀπωλείᾳ, καί γε τῇ ἐμαυτοῦ. τὴν μέντοι Ῥω-
μαίων ἐνέδραν εὔχομαι· μετὰ γὰρ δεξιὰν ἀναιρούμενος ὑπ' αὐτῶν
εὔθυμος τεθνήξομαι, τὴν τῶν ψευσαμένων ἀπιστίαν νίκης μείζονα
ἀποφέρων παραμυθίαν."

383 6. Ὁ μὲν οὖν Ἰώσηπος πολλὰ τοιαῦτα πρὸς ἀποτροπὴν τῆς
384 αὐτοχειρίας ἔλεγεν· οἱ δὲ πεφραγμένας ἀπογνώσει τὰς ἀκοὰς ἔχοντες
ὡς ἂν πάλαι καθοσιώσαντες ἑαυτοὺς τῷ θανάτῳ παρωξύνοντο
πρὸς αὐτόν, καὶ προστρέχων ἄλλος ἄλλοθεν ξιφήρεις ἐκάκιζόν τε
385 εἰς ἀνανδρίαν καὶ ὡς ἕκαστος αὐτίκα πλήξων δῆλος ἦν. ὁ δὲ τὸν
μὲν ὀνομαστὶ καλῶν, τῷ δὲ στρατηγικώτερον ἐμβλέπων, τοῦ δὲ δρασ-
σόμενος τῆς δεξιᾶς, ὃν δὲ δεήσει δυσωπῶν, καὶ ποικίλοις διαιρού-

---

PAMLVRC Lat Hegesippus III 17 p. 203.

1 τοῦτο] τοῦτο ὃ Destinon τῷ θεῷ V²RC θεῷ, τοῦτο distinxit Destinon τῶν σοφωτάτων — νομοθετῶν Destinon σοφοτάτῳ PA 2 ἀναιροῦντας] ἀνελόντασ MLVRC 3 μέχρι VR ἐκρίπτειν] κρύπτειν VRC *abici* Lat πολεμίους, υ uid. corr. m. 2 R 5 τῶν τοιούτων] τούτων τῶν VRC αἷς ἐστρατεύσαντο] τὸ R 6 οὕτω MVRC 9 δυσέβειαν A σωζόμεθα PAML 12 δ'] δὲ VR, om. Lat ἵνα VRC ἐμαυτῷ PM προδότης] *percussor* Heg 14 ἠλιθιώτερος — μὲν i. marg. suppl. m. 2 V ἠληθιώτερος (ἠλ-A) PA γε MLRC γ∗V 15 δὲ] δέ γε L δ' C ἐπ' VRC 16 ἐπεύχομαι RC ἐπεύχομαι V *uotis expeto* Lat 17 εὐθύμως VRC μεῖζον L¹VRC, om. Lat 18 ἀποφέρων L¹ παραμύθιον VRC 19 οὖν om. ALVRC 20 ἐν ἀπογνώσει P 21 παροξύνοντο PAL¹ παροξύνονται VRC 22 προτρέχων L ξιφήρης (η ante σ i. ras. V) MLVR 23 ἀνανδρείαν PAV¹R πλήξων] καταπλήξων VR δῆλος ἦν] *adoriebatur* Lat 24 ὀνόματι PA τῷ] τὸν P τῶι ex τῶν corr. V 25 τὴν δεξιὰν L¹VRC δεήσει om. M καὶ om. Lat

μενος πάθεσιν ἐπὶ τῆς ἀνάγκης εἶργεν ἀπὸ τῆς σφαγῆς πάντων
τὸν σίδηρον, ὥσπερ τὰ κυκλωθέντα τῶν θηρίων ἀεὶ πρὸς τὸν
καθαπτόμενον ἀντιστρεφόμενος. τῶν δὲ καὶ παρὰ τὰς ἐσχάτας 386
συμφορὰς ἔτι τὸν στρατηγὸν αἰδουμένων παρελύοντο μὲν αἱ δεξιαί,
περιωλίσθανεν δὲ τὰ ξίφη, καὶ πολλοὶ τὰς δομφαίας ἐπιφέροντες
αὐτομάτως παρεῖσαν.

7. Ὁ δ' ἐν ταῖς ἀμηχανίαις οὐκ ἠπόρησεν ἐπινοίας, ἀλλὰ 387
πιστεύων τῷ κηδεμόνι θεῷ τὴν σωτηρίαν παραβάλλεται, κἀπεὶ 388
δέδοκται τὸ θνήσκειν, ἔφη, φέρε κλήρῳ τὰς ἀλλήλων σφαγὰς ἐπι-
τρέψωμεν, ὁ λαχὼν δ' ὑπὸ τοῦ μετ' αὐτὸν πιπτέτω, καὶ διοδεύσει 389
πάντων οὕτως ἡ τύχη, μηδ' ἐπὶ τῆς ἰδίας κείσθω δεξιᾶς ἕκαστος·
ἄδικον γὰρ οἰκομένων τινὰ τῶν ἄλλων μετανοήσαντα σωθῆναι." 390
πιστὸς ἔδοξεν ταῦτα εἰπὼν καὶ συνεκλιροῦτο πείσας. ἑτοίμην δ'
ὁ λαχὼν τῷ μεθ' αὑτὸν παρεῖχεν τὴν σφαγὴν ὡς αὐτίκα τεθνη-
ξομένου καὶ τοῦ στρατηγοῦ· ζωῆς γὰρ ἡδίω τὸν μετὰ [τοῦ] Ἰωσήπου
θάνατον ἡγοῦντο. καταλείπεται δ' οὗτος εἴτε ὑπὸ τύχης χρὴ λέγειν, 391
εἴτε ὑπὸ θεοῦ προνοίας σὺν ἑτέρῳ, καὶ σπουδάζων μήθ' ὑπὸ τοῦ
κλήρου καταδικασθῆναι μήτε, εἰ τελευταῖος λείποιτο, μιᾶναι τὴν
δεξιὰν ὁμοφύλῳ φόνῳ πείθει κἀκεῖνον ἐπὶ πίστει ζῆν.

8. Ὁ μὲν οὖν οὕτως τόν τε Ῥωμαίων καὶ τὸν οἰκείων διαφυ- 392
γὼν πόλεμον ἐπὶ Οὐεσπασιανὸν ἤγετο ὑπὸ [τοῦ] Νικάνορος. οἱ δὲ 393
Ῥωμαῖοι πάντες ἐπὶ θέαν αὐτοῦ συνέτρεχον, καὶ τοῦ πλήθους συν-

---

PAMLVRC Lat Hegesippus III 18 p. 204.

1 εἶργεν L^2 2 κατακυκλωθέντα MVRC τὸν] τὸ V 3 ἐπιστρεφόμενος, i. marg. m. 2 γρ ἀντιστρεφόμενος V 5 περιολίσθανεν PA^1C περιωλίσθανε R^2 παρεῖσαν] παρῆσαν PL παρῆσαν A παρείθησαν MVRC *dimittebant* Lat *tamen intentio perseuerabat* post παρεῖσαν addit Heg haud male iudice Destinone 7 δὲ VRC 8 κηδεμόνι θεῷ] i. ras. 2 litt. m. 2 V κἀπεὶ] καὶ ἐπεὶ V κἀπειδὴ A καὶ ἐπειδὴ RC 10 δὲ MVRC ἀπὸ P 11 μηδὲ VRC τῆσ, ῆ i. ras. m. 2 L ἰδίας] οἰκίασ C 12 ἄδικον — σωθῆναι eicit Destinon οἰκομένων τινὰ τῶν ἄλλων] οἰκομένων τινὰ τῶν ἄλλων μετανοήσαντα A οἰκομένων τῶν ἄλλων τινὰ MVRC *ceteris interemptis ex aliis quemquam (si paenituerit, saluum esse)* Lat 13 ἔδοξεν] δ' ἔδοξεν (— ξε ML) PAML δὲ VRC 14 τῷ] τὸ PR μεθ' ἑαυτὸν AML μετ' αὐτὸν VRC θνηξομένου PL 15 ἡδίω] ἰδίωι V τοῦ om. P 16 δὲ MVRC οὗτοσ εἴτε corr. ex οὑτόσ·· M εἴτε — 17 εἴτε] MVRC Lat, om. PAL probante Destinone 17 ἑταίρῳ L^2 μήτε VRC 18 λίποιτο C 19 κἀκεῖνο C 20 οὖν om. L^1 οὗτοσ L^1 οὕτω VRC τόν] τῶν PAV^1C τὸν] τῶν PAVRC οἰκεῖον L^1 21 ὑπὸ] διὰ VRC *per* Lat Heg τοῦ om. P 22 αὐτοῦ om. VR

θλιβομένου περὶ τῷ στρατηγῷ θόρυβος ἦν ποικίλος, τῶν μὲν γεγη-
θότων ἐπὶ τῷ ληφθέντι, τῶν δ' ἀπειλούντων, τῶν δ' ἐγγύθεν ἰδεῖν
394 *βιαζομένων. καὶ οἱ μὲν πόρρωθεν κολάζειν ἐβόων τὸν πολέμιον,*
τῶν δὲ πλησίον ἀνάμνησις αὐτοῦ τῶν ἔργων εἰσῆει καὶ πρὸς τὴν
395 *μεταβολὴν θάμβος, τῶν τε ἡγεμόνων οὐδεὶς ἦν, ὃς εἰ καὶ πρότερον* 5
396 *ὠργίζετο, τότε πρὸς τὴν ὄψιν οὐκ ἐνέδωκεν αὐτοῦ. μάλιστα δὲ*
τὸν Τίτον ἐξαιρέτως τό τε καρτερικὸν ἐν ταῖς συμφοραῖς ἦρει τοῦ
Ἰωσήπου καὶ πρὸς τὴν ἡλικίαν ἔλεος, ἀναμιμνησκομένῳ τε τὸν
πάλαι μαχόμενον καὶ τὸν ἐν χερσὶν ἐχθρῶν ἄρτι κείμενον ὁρῶντι
παρῆν [δὲ] νοεῖν, ὅσον δύναται τύχη, καὶ ὡς ὀξεῖα μὲν πολέμου 10
397 *ῥοπή, τῶν δ' ἀνθρωπίνων οὐδὲν βέβαιον· παρὸ καὶ τότε συνδιέ-*
398 *θηκεν μὲν πλείστους ἑαυτῷ καὶ πρὸς οἶκτον τοῦ Ἰωσήπου, πλείστη*
δ' αὐτῷ καὶ παρὰ τῷ πατρὶ μοῖρα σωτηρίας ἐγένετο. ὁ μέντοι
Οὐεσπασιανὸς φρουρεῖν αὐτὸν μετὰ πάσης ἀσφαλείας προσέταττεν
ὡς ἀναπέμψων αὐτίκα Νέρωνι. 15

399 9. *Τοῦτο ἀκούσας ὁ Ἰώσηπος μόνῳ τι διαλεχθῆναι θέλειν*
ἔλεγεν αὐτῷ. μεταστησαμένου δ' ἐκείνου πλὴν τοῦ παιδὸς Τίτου καὶ
400 *δυοῖν φίλων τοὺς ἄλλους ἅπαντας „σὺ μέν, ἔφη, Οὐεσπασιανέ, νομίζεις*
αἰχμάλωτον αὐτὸ μόνον εἰληφέναι Ἰώσηπον, ἐγὼ δὲ ἄγγελος ἥκω

PAMLVRCLatHegesipus III 18 p. 205. Suidas s. *Ἰώσηπος*.

1 *τοῦ στρατηγοῦ* PA¹L *τὸν στρατηγὸν* ex corr. A *ποικίλως* AL¹C 2 *δὲ* AVRC *δὲ* VRC 3 *βιαζομένων, ων* ex *οσ* corr. C *μὲν*] *μὲν* · · L 4 *τῶν* — 5 *θάμβος*] *qui uero propius erant, facta eius reputantes mutationem obstupescebant* Lat *τῶν*] *τοὺσ* MC *τὸν* Niese 5 *τε*] *δὲ* A *τε*···· (eras. uid. *τότε*) L 6 *ὄψιν, ι* i. ras. V *οὐκ* om. R *μάλιστα* — 7 *ἐξαιρέτως*] *titum uero praeter alios* Lat *titus prae ceteris* (*mouebatur*) *ingenita animi mansuetudine* Heg *ἐξαιρέτως*] PAM *ἐξ ἀρετῆσ* LVRC *γρ μάλιστα δὲ τὸν τίτον ἐξαρετῆσ* i. marg. PA *ἦρει*] *εἶρη* et i. marg. *ἤρει* V 8 *ἀναμιμνησκόμενον* PAML² *τόν τε* tr. M 9 *πάλαι*] PAML LatHeg *οὐ πάλαι* VRC fort. recte *ἐχθρὸν* PAMLVC *hostium* Lat *ἄρτι κείμενον*] *ἀντικείμενον* L¹VRC *ὁρῶντα* PML² 10 *παρῆν*] *subibat* Lat *δὲ*] *τε* VRC, om. Lat 11 *ῥοπὴν* C¹ *δὲ* VRC *βέβαιον*] *firmum atque perpetuum* Lat 12 *μὲν*] s. P om. L *καὶ* suspectum Destinoni 13 *δὲ* VRC *τῷ* om. C 14 *πάσης*] *πολλῆσ* VRC; de Lat non liquet *προσέταττεν*] i. ras. A *προσέτασεν* V¹ *προσέτασσεν* V²R 15 *ἀναπέμπων* R *αὐτίκα* om. Lat 16 *τοῦτο*] *ταῦτα* VRC; incip. Suidas s. *Ἰώσηπος* 17 *δὲ* VRCSuid 18 *δυεῖν* MLVRCSuid *ἔφη*] *εἶπεν* VRC 19 *νομίζεις* — *Ἰώσηπον*] *tantum hoc putas iosippum te habere captiuum* Lat *αὐτὸ μόνον*] *αὐτόμολον* PAL *γρ αὐτὸ μόνον* i. marg. L *αὐτον μόνον* MVR *αὐτον αὐτὸν μόνον* C, om. Suid *τὸν ἰώσηπον* MVRC *δ'* AM *ἥκω* — p. 327,2 *πῶς*] *uenio praemissus a deo, ut iudaeorum legem uiderem et quemadmodum* Lat

σοι μειζόνων. μὴ γὰρ ὑπὸ θεοῦ προπεμπόμενος ἥδειν τὸν Ἰουδαίων νόμον, καὶ πῶς στρατηγοῖς ἀποθνήσκειν πρέπει. Νέρωνί 401
με πέμπεις· τί γάρ; * οἱ μετὰ Νέρωνα μέχρι σοῦ διάδοχοι μενοῦσιν. σὺ Καῖσαρ, Οὐεσπασιανέ, καὶ αὐτοκράτωρ, σὺ καὶ παῖς ὁ σὸς
οὗτος. δέσμει δέ με νῦν ἀσφαλέστερον, καὶ τίρει σεαυτῷ· δεσπό- 402
της μὲν γὰρ οὐ μόνον ἐμοῦ σὺ Καῖσαρ, ἀλλὰ καὶ γῆς καὶ θαλάττης καὶ παντὸς ἀνθρώπων γένους, ἐγὼ δὲ ἐπὶ τιμωρίαν δέομαι φρουρᾶς μείζονος, εἰ κατασχεδιάζω καὶ θεοῦ." ταῦτ' εἰπόντος 403
παραχρῆμα μὲν Οὐεσπασιανὸς ἀπιστεῖν ἐδόκει καὶ τὸν Ἰώσηπον ὑπελάμβανεν ταῦτα περὶ σωτηρίας πανουργεῖν, κατὰ μικρὸν δὲ 404
εἰς πίστιν ὑπήγετο τοῦ θεοῦ διεγείροντος αὐτὸν εἰς τὴν ἡγεμονίαν ἤδη καὶ τὰ σκῆπτρα δι' ἑτέρων σημείων προδεικνύντος. ἀτρεκῆ 405
δὲ τὸν Ἰώσηπον καὶ ἐν ἄλλοις κατελάμβανεν· τῶν γὰρ τοῖς ἀπορρήτοις παρατυχόντων φίλων ὁ ἕτερος θαυμάζειν ἔφη πῶς οὔτε τοῖς ἐπὶ τῶν Ἰωταπάτων περὶ ἁλώσεως, οὔθ' ἑαυτῷ προμαντεύσαιτο αἰχμαλωσίαν, εἰ μὴ ταῦτα λῆρος εἴη, διακρουομένου τὰς ἐπ' αὐτὸν

PAMLVRC Lat Suidas s. Ἰώσηπος, κατασχεδιάσω.

1 μειζόνων] μεγάλων Suid μὴ] ML¹VRC Suid εἰμὶ PAL² γὰρ] γὰρ οὐχ Suid πεμπόμενος MVRC ἥδειν] οὐκ ἤδειν MVRC et i. marg. L ἰδεῖν ut uid. Lat τὸν] τῶν PA ἰουδαῖον C 2 καὶ — πρέπει om. Suid στρατηγὸς V¹C 3 excidisse uid. mentio propinquae Neronis mortis οἱ — μενοῦσιν] *quasi qui neroni usque ad te successuri sint maneant* Lat μέχρι om. M σοῦ] τοῦ Destinon μενοῦσιν] PM Suid μένουσιν (σι- VR) ALVRC 4 σὺ] σὺ δὲ Suid Οὐεσπασιανέ — σὺ om. Suid αὐτοκράτορ PA σὺ ex σοι corr. uid. P καὶ σὸς παῖς οὗτος Suid παῖς] ὁ παῖς M παῖς ὁ ex παῖο corr. m. 2 R 5 νῦν om. Suid ἀσφαλέστατα et ἀσφαλεστάτως Suidae codd. σαυτῷ VRC δεσπότης — 7 γένους breuiat Suid 6 μὲν om. MC Καῖσαρ] καὶ καῖσαρ M θαλάσσης MLVRC 7 ἐγω — 8 θεοῦ habet Suid s. κατασχεδιάσω δ' L ἐπὶ τιμωρίαν om. Suid utroque loco 8 μείζονα uertit Lat κατασχεδιάσω PAML Suid ταῦτα AVRC εἰπῶντος C 9 μὲν ὁ οὐεσπασιανὸς R 10 ὑπολαμβάνει L¹ πανουργεῖν] finit Suid s. Ἰώσηπος, postrema breuians 11 ὑπήγετο] ἠπείγετο PC διεγείροντος] διεγείραντος LVRC ἐγείροντος (ον ex corr. A) PA ἐγείραντος M 12 ἑτέρων] *multis* Lat παραδεικνύντος A προδεικνύοντος ML 13 καὶ τὸν ἰώσηπον tr. PALVRC 14 ὁ ἕτερος — ἔφη] *altero — admirari dicente* Lat ὁ om. PAML τοῖς] τῶν C 15 ἰωταπατῶν A et ex corr. L οὔθ' ἑαυτῷ] C οὐδὲ αὐτῷ PAL οὐδ' ἑαυτῷ M οὔτε αὐτῷ VR προυμαντεύσαιτο R προυμαντεύσατο C 16 αἰχμαλωσίαν] περὶ αἰχμαλωσίας MVRC et fort. Lat ταῦτα] ταῦ| C εἰ — εἴη] *nisi haec deliramenta sint* Lat λῆρος εἴη] ληρήσειε Destinon εἴη] ἦν L¹ ἦει L² διακρουόμενον L¹ διακρουσομένου MVRC διακρούμενος PAL², quod mauult Destinon

406 ὀργάς. ὁ δὲ Ἰώσηπος καὶ τοῖς Ἰωταπατηνοῖς ὅτι μετὰ τεσσαρα-
407 κοστὴν ἑβδόμην ἡμέραν ἁλώσονται προειπεῖν ἔφη, καὶ ὅτι πρὸς
408 Ῥωμαίων αὐτὸς ζωγρηθήσεται. ταῦτα παρὰ τῶν αἰχμαλώτων κατ'
ἰδίαν ὁ Οὐεσπασιανὸς ἐκπυθόμενος ὡς εὕρισκεν ἀληθῆ, οὕτω πιστεύειν
408 περὶ τῶν κατ' αὐτὸν ἤρκτο. φρουρᾶς μὲν οὖν καὶ δεσμῶν οὐκ 5
ἀνίει τὸν Ἰώσηπον, ἐδωρεῖτο δ' ἐσθῆτι καὶ τοῖς ἄλλοις κειμηλίοις
φιλοφρονούμενός τε καὶ περιέπων διετέλει τὰ πολλὰ Τίτου τῇ
τιμῇ συνεργοῦντος.

409 IX. 1. Τετάρτῃ δὲ Πανέμου μηνὸς ἀναζεύξας εἰς Πτολεμαΐδα
κἀκεῖθεν εἰς τὴν παράλιον ἀφικνεῖται Καισάρειαν, μεγίστην τῆς τε 10
410 Ἰουδαίας πόλιν καὶ τὸ πλέον ὑφ' Ἑλλήνων οἰκουμένην. ἐδέχοντο
δὲ καὶ τὴν στρατιὰν καὶ τὸν στρατηγὸν μετὰ πάσης εὐφημίας καὶ
φιλοφροσύνης οἱ ἐπιχώριοι, καὶ κατ' εὔνοιαν μὲν τὴν πρὸς Ῥω-
μαίους, τὸ δὲ πλέον ἔχθει τῶν κατεστραμμένων· διὸ καὶ τὸν Ἰώση-
411 πον ἀθρόοι καταβοῶντες ἠξίουν κολάζειν. Οὐεσπασιανὸς δὲ τὴν 15
περὶ τούτου δέησιν ὡς ὑπ' ἀκρίτου γινομένην πλήθους ἐξέλυσεν
412 ἡσυχίᾳ· τῶν δὲ ταγμάτων τὰ μὲν δύο χειμερίσοντα ἐκάθισεν ἐπὶ
τῆς Καισαρείας ἐπιτήδειον ὁρῶν τὴν πόλιν, τὸ δέκατον δὲ καὶ
πέμπτον εἰς Σκυθόπολιν, ὡς μὴ θλίβοι παντὶ τῷ στρατῷ τὴν
413 Καισάρειαν. ἀλεεινὴ δ' ἦν κἀκείνη χειμῶνος ὥρᾳ καθ' ὅσον πνι- 20
γώδης θέρους ὑπὸ καυμάτων, πεδιὰς οὖσα καὶ παράλιος.

PAMLVRCLat Hegesippus III 19 p. 206.

1 ὁ δὲ Ἰώσηπος] ὁ ἰώσηπος AL ὁ ἰώσηπος δὲ M ἰώσηπος δὲ VRC *iosippus* Lat, de quo uide ad p. 327,14 μετὰ τεσσαρακοστὴν] μετὰ μ̄ A μετασσαρακοστὴν C 3 ῥωμαίους PA κατ' ἰδίαν om. C 4 ὁ] ex ὡ corr. P, om. MV ὡς — 5 ἤρκτο] *ubi uera esse comperit —, etiam quae de se dixisset credibilia coeperat existimare* Lat ὡς om. LVRC ηὕρισκεν Dindorf οὕτω] καὶ LVRC 5 περὶ] καὶ περὶ Niese περὶ τῶν i. marg. suppl. V 6 ἀνίει] ἀνείη PV¹R ἀνήει L et ex corr. V ἐδορεῖτο P δὲ VRC ἐσθῆτα PAVR 8 i. marg. κη C 9 δὲ s. A Πανέμου] *iunii* Lat Panemi 4. dies est 23. Iulii (X k. Aug.) anni Iuliani (67 p. Chr.) πτολε·μαΐδα A τὴν πτολεμαΐδα VRC 10 ἐκεῖθεν C 11 πλέον] VRCLatHeg πλεῖστον PAML ὑπ' ἑλλήνων C ἐποικουμένην VRC fort. recte 12 καὶ τὴν] τήν τε V εὐφημίας] φιλοτιμίασ VRC *fauore* Lat 13 καὶ damnat Destinon κατ' εὔνοιαν] κατένοιαν (ν s. m. 2, οι i. ras. 1 litt. m 2) R κατ' εὔνοιαν V πρὸσ τοὺσ ῥωμαίουσ VRC 14 πλεῖον V 15 ἀθρόοι] ἀθρόοσ, οσ repictum A δὲ om. C τὴν] τὴν μὲν LVRC Lat 16 δέησιν] *iram* Heg γενομένην LV ἐξέλυεν VRC ἐξένευσεν Naber 18 τὸ δὲ πεντεκαιδέκατον Cardwell 19 εἰς] ὡσ M i. marg. κθ C 20 ἐλεεινὴ V¹R δὲ VRC χειμῶνος] ἡ τοῦ χειμῶνοσ C πνιγώδης] ἦν πνιγώδησ VRC 21 ὑπὸ καυμάτων] ὑπὸ καύματοσ MVR ὑπ' ἐκκαύματοσ C πεδιὰς] πεασ R

2. Ἐν δὲ τούτῳ συναθροισθέντες οἵ τε κατὰ στάσιν ἐκπί- 414
πτοντες τῶν πόλεων καὶ οἱ διαφυγόντες ἐκ τῶν κατεστραμμέ-
νων, πλῆθος οὐκ ὀλίγον, ἀνακτίζουσιν Ἰόππην ὁρμητήριον σφίσιν,
ἐρημωθεῖσαν ἐπὸ Κεστίου πρότερον, καὶ τῆς χώρας ἐκπεπολεμω- 415
μένης ἀνειργόμενοι μεταβαίνειν ἔγνωσαν εἰς τὴν θάλασσαν. πηξά- 416
μενοί τε πειρατικὰ σκάφη πλεῖστα τόν τε Συρίας καὶ Φοινίκης καὶ
τὸν ἐπ' Αἰγύπτου πόρον ἐλήστευον, ἄπλωτά τε πᾶσιν ἐποίουν τὰ
τῇδε πελάγη. Οὐεσπασιανὸς δὲ ὡς ἔγνω τὴν σύνταξιν αὐτῶν, 417
πέμπει πεζούς τε καὶ ἱππεῖς ἐπὶ τὴν Ἰόππην, οἳ νύκτωρ ὡς ἀφύ-
λακτον εἰσέρχονται τὴν πόλιν. οἱ δ' ἐν αὐτῇ προῃσθοντο μὲν τὴν 418
εἰσβολὴν καὶ καταδείσαντες τοῦ μὲν εἴργειν τοὺς Ῥωμαίους ἀπε-
τρέποντο, συμφυγόντες δὲ εἰς τὰς ναῦς ἐξωτέρω βέλους διενυκτέ-
ρευσαν.

3. Ἀλιμένου δ' οὔσης φύσει τῆς Ἰόππης, αἰγιαλῷ γὰρ ἐπι- 419
λίγει τραχεῖ καὶ τὸ μὲν ἄλλο πᾶν ὀρθίῳ, βραχὺ δὲ συννεύοντι
κατὰ τὰς κεραίας ἑκατέρωθεν· αἱ δὲ εἰσιν κρημνοὶ βαθεῖς καὶ 420
προύχουσαι σπιλάδες εἰς τὸ πέλαγος, ἔνθα καὶ τῶν Ἀνδρομέδας
δεσμῶν ἔτι δεικνύμενοι τύποι πιστοῦνται τὴν ἀρχαιότητα τοῦ
μύθου, τύπτων δὲ τὸν αἰγιαλὸν ἐναντίος βορέας καὶ πρὸς ταῖς 421
δεχομέναις πέτραις ὑψηλὸν ἀναπέμπων τὸ κῦμα σφαλερώτερον ἐρη-
μίας τὸν ὅρμον ἀπεργάζεται· κατὰ τοῦτον σαλεύουσιν τοῖς ἀπὸ 422

PAMLVRC Lat Hegesippus III 20 p. 206.

1 τοῦτο C οἵ — 2 πολεμίων] *qui uel ab hostibus seditione defecerant* Lat κατὰ τὴν στάσιν PM 2 πόλεων] V πολεμίων PAMLRC Lat et i. marg. m. 2 V 4 ἐκπολεμωμένης M 5 θάλλασσαν C πειξάμενοί L 6 πλεῖστα] *plurimos* Lat cum ἐλήστευον coniungens post πλεῖστα ras. 22 litt. V φοινίκης καὶ συρίας tr. VRC 7 αἰγύπτω VR¹C πόρον] πόντον MVR ἅπλοτά P τε] δὲ L πᾶσιν] *omnibus nauigiis* Lat 8 ὡς ex οὗσ corr. C 9 ὡς om. PAML 10 δ'] δὲ VRC γὰρ Destinon 11 καὶ καταδείσαντες] καὶ καὶ καταδείσαντεσ R καταδείσαντες δὲ Destinon εἴργει V¹ ἀπετράποντο L 12 δ' L 14 δὲ VRC 15 ὀρθίῳ] ῥοθίῳ PA *arduum* Lat *directum* Heg συννεύοντι AR¹ 16 ἐκ·ατέρωθεν (eras. uid. κ) A ἑκάτερθεν (ἑκ- R) VRC αἱ — 17 πέλαγος] *uastaeque supersunt cautes et ingentibus procellis pelagus turbant* Lat *in quibus profundae rupes saxaque ingentia, quae mari prominent* Heg 17 πρόχουσαι PA¹ προύχοσαι C σπιλάδεσ, εσ ex εισ corr. L ἔνθα — 19 μύθου] *ubi etiam nunc andromedae catenarum signis extantibus fabulae ueteris fides ostenditur* Lat τῶν] τὸν V 18 ἔτι δεικνύμενοι] ἐπιδεικνύμενοι PAL 19 δὲ] τε Niese ἐναντίος] ἀντίοσ VRC πρὸς — 20 κῦμα] *summos in obiectas cautes fluctus affligit* Lat 20 ante ὑψηλὸν ras. 6—7 litt. L ἀναπέμπων] ἀνακόπτων MVRC et i. marg. PA *attolluntur* Heg ἐρημίας corruptum uid. 21 τοῦτο V

τῆς Ἰόππης ὑπὸ τὴν ἕω πνεῦμα βίαιον ἐπιπίπτει· μελαμβόριον
423 ὑπὸ τῶν ταύτῃ πλοϊζομένων καλεῖται· καὶ τὰς μὲν ἀλλήλαις τῶν
νεῶν αὐτόθι συνήραξεν, τὰς δὲ πρὸς ταῖς πέτραις, πολλὰς δὲ πρὸς
ἀντίον κῦμα βιαζομένας εἰς τὸ πέλαγος, τόν τε γὰρ αἰγιαλὸν ὄντα
πετρώδη καὶ τοὺς ἐπ' αὐτοῦ πολεμίους ἐδεδοίκεσαν, μετέωρος
424 ὑπεραρθεὶς ὁ κλύδων ἐβάπτιζεν. ἦν δ' οὔτε φυγῆς τόπος οὔτε
μένουσιν σωτηρία, βίᾳ μὲν ἀνέμου τῆς θαλάσσης ἐξωθουμένοις,
Ῥωμαίων δὲ τῆς πόλεως. καὶ πολλὴ μὲν οἰμωγὴ συρρηγνυμέ-
425 νων ἐγίνετο τῶν σκαφῶν, πολὺς δ' ἀγνυμένων ὁ ψόφος. καὶ τοῦ
πλήθους οἱ μὲν ὑπὸ τῶν κυμάτων καλυπτόμενοι διεφθείροντο,
πολλοὶ δὲ τοῖς ναυαγίοις ἐμπλεκόμενοι· τινὲς δὲ ὡς κουφοτέρῳ
426 τὴν θάλατταν ἔφθανον τῷ σιδήρῳ σφᾶς αὐτοὺς ἀναιροῦντες. τό
γε μὴν πλεῖστον ὑπὸ τῶν κυμάτων ἐκφερόμενον περιεξαίνετο ταῖς
ἀπορρῳξιν, ὡς αἱμαχθῆναι μὲν ἐπὶ πλεῖστον τὸ πέλαγος, πληρω-
θῆναι δὲ νεκρῶν τὴν παράλιον· καὶ γὰρ τοὺς ἐπὶ τὸν αἰγιαλὸν
427 ἐκφερομένους ἐφεστῶτες οἱ Ῥωμαῖοι διέφθειρον. ἀριθμὸς δὲ τῶν
ἐκβρασθέντων σωμάτων τετρακισχίλιοι πρὸς τοῖς διακοσίοις ἦν.
Ῥωμαῖοι δὲ λαβόντες ἁμαχητὶ τὴν πόλιν κατασκάπτουσιν.
428 4. Ἰόππη μὲν οὖν ἐν ὀλίγῳ χρόνῳ δεύτερον ὑπὸ Ῥω-
429 μαίοις ἑάλω. Οὐεσπασιανὸς δὲ ὡς μὴ πάλιν οἱ πειραταὶ συνα-

---

PAMLVRC Lat Hegesippus III 20 p. 207.

1 *ἐμπίπτει* L *μελαμβόρειον* (*μελανβ-* V) MVRC *melamborium* Lat Heg 2 *πλωϊζομένων* ML²C *ἀλλήλαις*] ex *ἄλλαις* corr. m. 2 L *πρὸς ἀλλήλαις* MVRC *inter se* Lat 3 *συνήραξεν*] *συνετάραξεν* P *συνέρραξεν* AL *συνήρραξε* MC *collisit* Lat *miscuit atque inuoluit* Heg *πολλὰς* — 6 *ἐβάπτιζεν*] *multae autem cum magna ui aduerso aestu niterentur ad pelagus, nam et litus saxis infestum et hostes in eo constitutos timebant, sublatae in sublimi gurgite mergebantur* Lat et similiter Heg *δὲ* om. L¹C *πρὸς ἀντίον*] *προσαντίον* P *προσάντιον* V *πρὸς ἄντιον* R 4 *βιαζομένας*] *βριζομένας* R 5 *τοὺς*] *τοὺσ · · L πολέμους* V *ἐδεδοίκεισαν* L *μετέωρος*] ed. pr. cum Lat *μετέωροσ δ'* (*δὲ* VRC) codd. 6 *ὑπεραρθεὶσ* ex *ὑπερθεὶσ* corr. m. 2 L *ἐβάπτισεν* VRC *δὲ* VRC *τόπος*] *που τόποσ* VRCLat et fort. Heg 7 *βίᾳ*] *βία ·* (eras. *ν* aut *σ*) A *βίασ* L *ὑπὸ βίασ* P *ἀνέμων* PLat *ἐξωθουμένησ* PAL *γρ ἐξωθουμένων* i. marg. PA 8 *πόλεως*] *πόλεωσ φερομένων τῶν βελῶν ἐκκλίνειν* V; post *πόλεως* eras. litt. fere 25, quarum prima fuit *φ* L *συρρυγνυμένων* C 9 *ἐγίνετο, ι* i. ras. m. 2 L *πολλὸσ* AL¹ *δὲ* VRC *ἀγνυμένων*] *ἀνοιγνυμένων* VR *τοῦ πλήθους*] *ioppenorum* Lat 11 *πολλοὶ δὲ* — 16 *διέφθειρον* om. C *συμπλεκόμενοι* A *δ'* L 12 *θάλασσαν* MVR *ἔφθασαν* V 13 *ταῖς*] *τοῖσ* AML 14 *ἀπορρῶξιν* V¹ *αἱμαχθῆναι, χ* i. ras. m. 2 ex *σ* corr. uid. L 15 *παραλίαν* L¹VR 16 *διέφθειρον, ο* ex *α* corr. A *ἀριθμὸς δὲ*] *ἀριθμὸσ* R *ἦν ἀριθμὸσ* C 17 *τετρακισχίλια* R *διακοσίοις*] *quingenta* Heg *ἦν* om. C 19 *μὲν οὖν*] *μὲν οὖν οὕτωσ* M *μὲν* L *οὕτωσ* VRC *quidem hoc modo* Lat *ῥωμαίοισ* ex *ῥωμαῖοσ* corr. A 20 *δ'* L

λισθεῖεν εἰς αὐτήν, στρατόπεδόν τε ἐπὶ τῆς ἀκροπόλεως ἐγείρει καὶ τὸ ἱππικὸν ἐν αὐτῷ καταλείπει μετὰ πεζῶν ὀλίγων, ἵν' οὗτοι 430
μὲν κατὰ χώραν μένοντες φρουρῶσι τὸ στρατόπεδον, οἱ δ' ἱππεῖς προνομεύωσι τὴν πέριξ καὶ τὰς περιοίκους κώμας τε καὶ πολίχνας
5 ἐξαιρῶσιν τῆς Ἰόππης. οἱ μὲν οὖν κατὰ τὰ προσταχθέντα τὴν 431
χώραν κατατρέχοντες καθ' ἡμέραν ἔτεμνόν τε καὶ ἠρήμουν ἅπασαν.

5. Ὡς δὲ εἰς τὰ Ἱεροσόλυμα τὸ κατὰ τὴν Ἰωταπάτην πάθος 432
ἠγγέλη, τὸ μὲν πρῶτον ἧκιστον οἱ πολλοὶ καὶ διὰ τὸ μέγεθος
τῆς συμφορᾶς καὶ διὰ τὸ μηδένα τῶν λεγομένων αὐτόπτην παρεῖναι·
10 διεσώθη γὰρ οὐδὲ ἄγγελος, ἀλλ' αὐτομάτι διεκήρυσσεν φήμη τὴν 433
ἅλωσιν οἰκεία φύσει τῶν σκυθρωποτέρων. κατ' ὀλίγον δὲ διὰ τῶν 434
προσχώρων ὧδευε τἀληθὲς καὶ παρὰ πᾶσιν ἀμφιβολίας ἦν ἤδη
βεβαιότερον, προσεσχεδιάζετό γε μὴν τοῖς πεπραγμένοις καὶ τὰ μὴ
γενόμενα· τεθνεὼς γὰρ ἐπὶ τῆς ἁλώσεως καὶ ὁ Ἰώσηπος ἠγγέλλετο.
15 τοῦτο μεγίστου τὰ Ἱεροσόλυμα πένθους ἐπλήρωσεν· κατὰ μέν γε 435
οἴκους καὶ κατὰ συγγενείας οἷς προσήκων ἕκαστος ἦν τῶν ἀπολω-
λότων ἐθρηνεῖτο, τὸ δ' ἐπὶ τῷ στρατηγῷ πένθος ἐδημεύθη, καὶ οἱ 436
μὲν ξένους, οἱ δὲ συγγενεῖς, οἱ δὲ φίλους ἐθρήνουν, τὸν Ἰώσηπον
δὲ πάντες, ὡς ἐπὶ τριακοστὴν μὲν ἡμέραν μὴ διαλιπεῖν τὰς ὀλο- 437
20 φύρσεις ἐν τῇ πόλει, πλείστους δὲ μισθοῦσθαι τοὺς αὐλητάς, οἳ
θρήνων αὐτοῖς ἐξῆρχον.

6. Ὡς δὲ τἀληθῆ διεκαλύπτετο τῷ χρόνῳ καὶ τὰ μὲν κατὰ 438
τὴν Ἰωταπάτην ὥσπερ εἶχεν, ἐσχεδιασμένον δὲ τὸ κατὰ τὸν Ἰώση-
πον πάθος εὑρίσκετο, ζῆν δ' αὐτὸν ἔγνωσαν καὶ παρὰ Ῥωμαίοις
25 ὄντα καὶ πρὸς τῶν ἡγεμόνων πλέον ἢ κατ' αἰχμαλώτου τύχην περιέ-

---

PAMLVRC Lat Hegesippus III 20 p. 209.

2 ἵνα AVRC 3 φρουροῦσι C δὲ VRC 4 προνομεύωσι, ω ex ου corr. P προνομεύσωσι C 5 ἐξαιρῶσιν] L. Dindorf ἐξαίρωσι (-σιν PA, ex ἐξορί·ωσι corr. m. 2 L ἐξαίροσι R) codd. τὴν] τήν τε P 6 ante καθ' eras. καὶ L τε] μὲν C 7 i. marg. λ' C ιᾱ V 8 ἠγγέλλη R ἠγγέλθη ex cod. Voss. Dindorf καὶ om. A 9 γενομένων et i. marg. m. 2 λεγομένων V 10 ἀλλὰ VRC αὐτοματι] PA αὐτομάτη MLVRC *ipsa per se* Lat 11 οἰκεία — 12 τἀληθὲς] *unde pro natura tristium paulatim per finitimos ueritas ambulabat* Lat ὀκεῖα C 12 τὸ ἀληθὲς VRC τὸ δ' ἀληθὲς L 13 βεβαιώτερον C πεπραγμένοις, πεπραγμέ i. ras. 5—6 litt. m. 2 R 14 ὁ om. VRC ἰώσηπος, σηπ i. ras. V ἠγγέλετο V 15 μεγίστου ex μεγέθους corr. m. 2 L μέν γε] γε μὴν PAML 16 προσῆκον PA¹VRC ἦν ἕκαστος tr. VRC 17 τὸ] τῷ PA δὲ VRC ἐδημοσιεύθη MVRC 18 φίλους] φίλους οἱ δὲ ἀδελφοὺς MLVRCLat τὸν δὲ ἰώσηπον tr. V 19 μὲν om. M διαλειπεῖν PA 21 θρῆνον A¹ ἐξῆρχον αὐτοῖς tr. VRC 22 τἀληθῆ] τὸ ἀληθὲς MVRC ἀπεκαλύπτετο L 24 ηὑρίσκετο Dindorf δὲ VRC 25 καὶ om. VRC τῶν] τὸν L¹ πλέον om. VRC τύχης VR

πεσθαι, τοσοῦτον ὀργῆς ἐπὶ ζῶντος ὅσον εὐνοίας ἐπὶ τεθνάναι
439 δοκοῦντος πρότερον ἀνελάμβανον. καὶ παρ' οἷς μὲν εἰς ἀνανδρίαν,
παρ' οἷς δὲ εἰς προδοσίαν ἐκακίζετο, πλήρης τε ἀγανακτήσεως ἦν
440 καὶ τῶν κατ' αὐτοῦ βλασφημιῶν ἡ πόλις. παρωξύνοντο δὲ ταῖς
πληγαῖς καὶ προσεξεκαίοντο ταῖς κακοπραγίαις· τό γε μὴν πταίειν, 5
ὃ γίνεται τοῖς εὖ φρονοῦσιν ἀσφαλείας καὶ τῶν ὁμοίων φυλακῆς
αἴτιον, ἐκείνοις κέντρον ἑτέρων ἐγίνετο συμφορῶν· καὶ τὸ τέλος ἀεὶ
441 τῶν κακῶν αὖθις ἀρχή· μᾶλλον γοῦν ὥρμων ἐπὶ τοὺς Ῥωμαίους
442 ὡς καὶ Ἰώσηπον ἐν αὐτοῖς ἀμυνούμενοι. τοὺς μὲν οὖν ἐπὶ τῶν 10
Ἱεροσολύμων τοιοῦτοι θόρυβοι κατεῖχον.

443 7. Οὐεσπασιανὸς δὲ καθ' ἱστορίαν τῆς Ἀγρίππα βασιλείας,
ἐνῆγεν γὰρ βασιλεὺς αὐτόν, ἅμα καὶ δεξιώσασθαι τὸν ἡγεμόνα σὺν
τῇ στρατιᾷ τῷ κατὰ τὸν οἶκον ὄλβῳ προαιρούμενος καὶ καταστεῖ-
λαι δι' αὐτῶν τὰ νοσοῦντα τῆς ἀρχῆς, ἄρας ἀπὸ τῆς παράλου
Καισαρείας εἰς τὴν Φιλίππου καλουμένην μεταβαίνει Καισάρειαν. 15
444 ἔνθα μέχρι μὲν ἡμερῶν εἴκοσι τὴν στρατιὰν διαναπαύων καὶ αὐτὸς
ἐν εὐωχίαις ἦν, ἀποδιδοὺς τῷ θεῷ χαριστήρια τῶν κατωρθωμένων.
445 ὡς δ' αὐτῷ Τιβεριὰς μὲν νεωτερίζειν, ἀφεστάναι δὲ ἠγγέλλοντο
Ταριχέαι, μοῖρα δὲ τῆς Ἀγρίππα βασιλείας ἦσαν ἀμφότεραι, παν-
ταχόθεν τοὺς Ἰουδαίους καταστρέφεσθαι διεγνωκὼς τὴν ἐπὶ τού- 20
τους στρατείαν εὔκαιρον ἡγεῖτο καὶ δι' Ἀγρίππαν, ὡς εἰς ξενίας
446 ἀμοιβὴν σωφρονίσων αὐτῷ τὰς πόλεις. πέμπει δὴ τὸν υἱὸν Τίτον
εἰς Καισάρειαν μετάξοντα τὴν ἐκεῖθεν στρατιὰν εἰς Σκυθόπολιν·

PAMLVRC Lat Hegesippus III 21 p. 210.

2 *δοκοῦντος, οσ* ex *ων* corr. uid. A *ἀνελάμ‖νον* (litt. *βα* num exstiterint incertum) P *ἀνανδρείαν* PAV¹R *ἀνδρείαν* L *ἀνδρίαν* C 3 *δ'* L *τε*] *δ'* L *δὲ* VRC *que* Lat 4 *κατ'*] *καυτ'* L *παροξύνοντο* PA¹V¹ 5 *γε μὴν*] *et* Lat *μέν γε* Destinon 7 *κέντρων* C *ἑτέρων* om. PA Heg *ἐγίνοντο* C 8 *τῶν*] *νέων* Destinon *αὖθις*] *ἄλλων κακῶν αὖθις* Niese *ὥρμουν* PA¹VRC 9 *Ἰώσηπον, ν* ex *σ* corr. A *τὸν Ἰώσηπον* V *ἀμυνόμενοι* PA¹C *τῶν Ἱεροσο-λύμων*] *τοῖσ Ἱεροσολύμοισ* PAML recte si pro *ἐπὶ* scribetur *ἐν* 10 *Ἱερεωνοσολύ-μων* (litt. *εων* expunctae) C 11 i. marg. *λα'* C 12 *ἐνῆγε*] *ἐνῇ* R *βασι-λεὺς*] *καὶ βασιλεὺσ* L *ὁ βασιλεὺσ* V *αὐτὸσ* MLVRC Lat *ἅμα*] *ἅμα δὲ* PAL 14 *αὐτὸν* P¹V *αὐτοῦ* C *παράλου, ρά* s. (*ά* i. ras.) A 15 *εἰς*] *ἐπὶ* V *μεταβαίνει*] om., i. marg. suppl. *μεταβαίνειν* C 17 *εὐωχίᾳ* PAL *εὐχίαισ* C *κατορθωμένων* PA¹L¹ 18 *δὲ* VRC *τιβεριὰσ* ut solet L¹ *νεωτερίζειν*] *ἐνεωτέριζεν* PAL *δ'* L *ἠγγέλλετο* (*ἠγγέλ*|*λετο*, eras. *λ* A) PAML 19 *Ταρι-χέαι*] Dindorf *ταριχαῖαι* PALVRC *ταριχαία* M *taricheas* Lat *πάντοθεν* L fort. recte 20 *τούτους*] Niese *τούτου* PA *τούτοισ* MLVRC 21 *στρα-τείαν*] Hudson *στρατιὰν* codd. 22 *σωφρονήσων* VR *αὐτῷ, ῷ* ex *οῦ* corr. C *δὴ*] *δὲ* C 23 *μετάξοντα*] *μετατάξοντα* VRC *εἰσκυθόπολιν* R

ἡ δ' ἐστὶν μεγίστη τῆς δεκαπόλεως καὶ γείτων τῆς Τιβεριάδος. ἔνθα καὶ αὐτὸς παραγενόμενος ἐκδέχεται τὸν υἱὸν καὶ μετὰ τριῶν 447
ταγμάτων προελθὼν στρατοπεδεύεται μὲν ἀπὸ τριάκοντα τῆς Τιβεριάδος σταδίων κατά τινα σταθμὸν εὐσύνοπτον τοῖς νεωτερίζουσιν· Ἔνναβρις ὀνομάζεται. πέμπει δὲ δεκαδάρχην Οὐαλεριανὸν σὺν 448
ἱππεῦσιν πεντήκοντα διαλεχθησόμενον εἰρηνικὰ τοῖς κατὰ τὴν πόλιν καὶ προτρεψόμενον ἐπὶ πίστεις· ἀκηκόει γάρ, ὡς ἐπιθυμοίη μὲν εἰρήνης ὁ δῆμος, καταστασιάζοιτο δ' ὑπό τινων πολεμεῖν βιαζομένων. προσελάσας δὲ Οὐαλεριανὸς ἐπεὶ πλησίον ἦν τοῦ τείχους, 449
αὐτός τε καταβαίνει καὶ τοὺς σὺν αὐτῷ τῶν ἱππέων ἀπέβησεν, ὡς μὴ δοκοῖεν ἀκροβολιζόμενοι παρεῖναι. καὶ πρὶν εἰς λόγους ἐλθεῖν ἐπεχθέουσιν αὐτῷ τῶν στασιαστῶν οἱ δυνατώτατοι μεθ' ὅπλων. 450
ἐξηγεῖτο δ' αὐτῶν Ἰησοῦς τις ὄνομα παῖς Τοῦφα τοῦ λῃστρικοῦ στίφους ὁ κορυφαιότατος. Οὐαλεριανὸς δὲ οὔτε παρὰ τὰς ἐντολὰς 451
τοῦ στρατηγοῦ συμβαλεῖν ἀσφαλὲς ἡγούμενος, εἰ καὶ τὸ νικᾶν εἴη βέβαιον, καὶ σφαλερὸν τὸ μάχεσθαι πολλοῖς μετ' ὀλίγων ἀπαρασκεύαστοις τε πρὸς ἑτοίμους, καὶ ἄλλως ἐκπλαγεὶς τὴν ἀδόκητον 452
τῶν Ἰουδαίων τόλμαν, φεύγει πεζός, ἕτεροί τε ὁμοίως πέντε τοὺς ἵππους ἀπέλιπον, οὓς οἱ περὶ τὸν Ἰησοῦν ἀπήγαγον εἰς τὴν πόλιν γεγηθότες ὡς μάχῃ ληφθέντας οὐκ ἐνέδρᾳ.

PAMLVRC Lat Hegesippus III 22 p. 211.

1 *δέ ἐστι* VRC 2 *ἔνθα* — 3 *Τιβεριάδος* i. marg. inferiore suppl. m. 2 L, cuius supplementi pars (*πεδεύεται* — *Τιβεριάδος*) praeter apices litterarum nunc abscisa est 3 *προσελθὼν* VR 4 *τινα* | *σταθμὸν*, litt. *τινα σ* i. ras. m. 2 L 5 *Ἔνναβρις*] PAL *enabris* Lat *σενναβρὶσ* MR *σεναβρὶσ* V *σενναβαρὶσ* C; cf. IV 455 (8,2) ubi traditur *Γινναβρίν* *δὲ*] om. R *δὴ* PAL *atque hinc* Lat *οὐάλεριανὸν*, *λ* i. ras. ex *ρ* corr. A *οὐαλλεριανὸν* VC *ualerinum* Lat *decadarchum* Lat 6 *τοῖς*] *τοὺσ* C *τὴν* om. PAM 7 *ἠκηκόει* ML *ἐπιθυμοίη*] *ἐπιθυμώη* ML¹VR *ἐπιθυμοῦσιν* PA *ἐπιθυμοῦσι* L² recte si scribetur *καταστασιάζοιτο δ' ὁ δῆμος* 8 *ὁ δῆμος* — *τινων* om. C *δὲ* VR 9 *δὲ*] *δ'* L *δὲ ὁ* VR *οὐαλλεριανὸσ* VC *ualerinus* Lat 10 *σὺν αὐτοὺσ* C 11 *ἀκριβολογιζόμενοι* L¹ *εἰσ* ex *εἰσ τοὺσ* corr. m. 2 L 12 *ἐπεχθέουσιν* A *αὐτῶν* L¹V *δυνατώτεροι* VRC Lat *μετὰ* VRC 13 *ἐξηγεῖτο*, *ο* i. ras. ex *αι* corr. m. 2 L *δὲ* VRC *ἰησούσ* LV *ὀνόματι* VRC *Τοῦφα τοῦ*] *τοῦ φάτου* PA *τοφάτου* L *σαφάτου τοῦ* MC *τοῦ* (*ο* ex *ω* corr.), i. marg. *γρ σαφάτου* V *τῶ φάϊσ τοῦ* R *tofae* Lat; sine dubio Iesus est, qui supra II 599. uita 66. 134 fertur filius Sapphiae aut Sapithae 14 *στίφουσ*] *ὧν στιφουσ* PAM *κορυφότατοσ* V *κορυφαῖοσ* L *οὐαλλεριανὸσ* VC *ualerinus* Lat 15 *ἀσφαλὲσ*] *ἀβλαβὲσ* L *τὸ* -, eras. *ν* V *εἴη*] *ἦ* L 16 *ἀπαρασκεύαστοις*] *ἀπαράσκευόν* V *ἀπαρασκεύων* R *ἀπαρασκευῶν* C 17 *τὴν*] *πρὸσ τὴν* VRC 18 *πέντε*] *πεντήκοντα* Hudson 19 *ἀπέλιπον* V *ἀπέλειπον* R 20 *ὡσ*] *ὥσπερ* VRC

453 8. *Τοῦτο καταδείσαντες οἱ γηραιοὶ τοῦ δήμου καὶ προύχειν*
454 *δοκοῦντες φεύγουσι μὲν εἰς τὸ τῶν Ῥωμαίων στρατόπεδον, ἐπαγό-*
μενοι δὲ τὸν βασιλέα προσπίπτουσιν ἱκέται Οὐεσπασιανῷ, μὴ σφᾶς
περιιδεῖν δεόμενοι, μηδὲ τὴν ὀλίγων ἀπόνοιαν ἡγήσασθαι τῆς
455 *πόλεως ὅλης· φείσασθαι δὲ τοῦ δήμου Ῥωμαίοις φίλα φρονοῦντος* 5
ἀεί, καὶ τοὺς αἰτίους τιμωρήσασθαι τῆς ἀποστάσεως, ὑφ' ὧν αὐτοὶ
456 *φρουρηθῆναι μέχρι νῦν ἐπὶ δεξιὰς ἐπειγόμενοι πάλαι. ταύταις ἐνε-*
δίδου ταῖς ἱκεσίαις ὁ στρατηγὸς καίτοι διὰ τὴν ἁρπαγὴν τῶν ἵππων
ἐφ' ὅλην ὠργισμένος τὴν πόλιν· καὶ γὰρ ἀγωνιῶντα περὶ αὐτῆς
457 *τὸν Ἀγρίππαν ἑώρα. λαβόντων δὲ τούτων τῷ δήμῳ δεξιὰς οἱ περὶ* 10
τὸν Ἰησοῦν οὐκέτι ἀσφαλὲς ἡγούμενοι μένειν ἐπὶ τῆς Τιβεριάδος
458 *εἰς Ταριχέας ἀποδιδράσκουσιν. καὶ μεθ' ἡμέραν Οὐεσπασιανὸς*
σὺν ἵπποις προπέμπει πρὸς τὴν ἀκρώρειαν Τραϊανὸν ἀποπει-
459 *ραθῆναι τοῦ πλήθους, εἰ πάντες εἰρηνικὰ φρονοῖεν. ὡς δ' ἔγνω*
τὸν δῆμον ὁμοφρονοῦντα τοῖς ἱκέταις, ἀναλαβὼν τὴν δύναμιν ἦει 15
πρὸς τὴν πόλιν. οἱ δὲ τάς τε πύλας ἀνοίγουσιν αὐτῷ καὶ μετ'
460 *εὐφημιῶν ὑπήντων σωτῆρα καὶ εὐεργέτην ἀνακαλοῦντες. τῆς δὲ*
στρατιᾶς τριβομένης περὶ τὴν τῶν εἰσόδων στενότητα παραρρῆξαι
τοῦ κατὰ μεσημβρίαν τείχους Οὐεσπασιανὸς κελεύσας πλατύνει
461 *τὴν εἴσβολὴν αὐτοῖς. ἁρπαγῆς μέντοι καὶ ὕβρεως ἀπέχεσθαι παρήγ-* 20
γειλεν τῷ βασιλεῖ χαριζόμενος, τῶν τε τειχῶν διὰ τοῦτον ἐφείσατο
συμμενεῖν πρὸς τὸ λοιπὸν ἐγγυωμένου τοὺς ἐν αὐτοῖς, καὶ πολλὰ
κεκακωμένην τὴν πόλιν ἐκ τῆς στάσεως ἀνελάμβανεν.

462 X. 1. *Ἔπειτα προελθὼν αὐτῆς τε μεταξὺ καὶ Ταριχεῶν στρατο-*

PAMLVRC Lat Hegesippus III 22 p. 211.

1 *διὰ* (uel *πρὸς*) *τοῦτο* Destinon *καταδήσαντες* C *γεραιοὶ* PAR *καὶ* om. M 3 *οὐεσπασιανοῦ* PA 4 *μήτε* PAL *τῆς — 5 φείσασθαι* om. PAR 5 *δὲ* om. A *φίλα φρονοῦντας* P *φιλοφρονοῦντος* AL 6 *αὐτοὶ*] *αὐτῶν* PAML *αὐτοὶ·*, eras. *σ* V 7 *ἐνεδίδει* VR 8 *ἱππέων* V 9 *ὀργισμένος* C 10 *λαμβανόντων* C *τῷ δήμῳ*] VRLat *τοῦ δήμου* PAMLC 11 *hiesus* hic et infra Lat *οὐκ ἔτ'* L 12 *Ταριχέας*] Dindorf *ταριχαίας* codd. *tarícheas* Lat Heg 13 *τραϊνὸν* M 14 *δὲ* VRC 15 *ὁμοφρονοῦντα*] *ὁμονοοῦντα* VRC *οἰκέταισ* V *ἦει*] *εἴη* V 16 *τε* om. PAL *ἀνοίγνυσιν* V 18 *παραρῆξαι* A *παραρρῖξαι* C 19 *μεσημβρία* A *τὴν μεσημβρίαν* VRC *οὐεσπασιανὸσ·*|*κελεύσασ* (*κε* suppl.) A 20 *παρήγγελλε* LV *παρήγγελλεν* (*ν* expunctum) C *παρήγγελε* R 21 *τοῦτο* RC 22 *συμμενεῖν*] Lat Dindorf *συμμένειν* codd. *ἐγγυομένου* PA *ἐν*] *σὺν* VR *πολλὰ*] *τὰ ἄλλα* VRC Lat haud male 23 *ἀνελάμβανεν*] *κατελάμβανεν* L¹ *ἀναλαμβάνειν* VR 24 *αὐτῆς*] *αὐτοῖσ* C *αὐτῆς τε μεταξὺ*] *τε αὐτῆσ μεταξὺ* AL *μεταξὺ αὐτῆσ* P *ταριχαίων* PAVR *ταριχαιῶν* MLC *tarícheas* LatHeg semper *στρατοπαιδεύεται* M

πεδεύεται. τειχίζει τε τὴν παρεμβολὴν ὀχυρωτέραν ὑφορώμενος ἐκεῖ πολέμου τριβὴν αὐτῷ γενησομένην· συντέρρει γὰρ εἰς τὰς Ταριχέας 463
πᾶν τὸ νεωτερίζον, τῇ τε τῆς πόλεως ὀχυρότητι καὶ τῇ λίμνῃ πεποιθότες. ἣ καλεῖται Γεννησὰρ πρὸς τῶν ἐπιχωρίων. ἡ μὲν γὰρ 464
πόλις, ὥσπερ ἡ Τιβεριὰς ὑπόρειος οὖσα, καθὰ μὴ τῇ λίμνῃ προσεκλίζετο πάντοθεν ὑπὸ τοῦ Ἰωσήπου τετείχιστο καρτερῶς, ἔλασσον μέντοι τῆς Τιβεριάδος· τὸν μὲν γὰρ ἐκεῖ περίβολον ἐν ἀρχῇ 465
τῆς ἀποστάσεως δαψιλείᾳ χρημάτων καὶ δυνάμεως ἐκρατύνατο, Ταριχέαι δ' αὐτοῦ τὰ λείψανα τῆς φιλοτιμίας μετέλαβον. σκάφη 466
δ' ἦν αὐτοῖς ἐπὶ τῆς λίμνης παρεσκευασμένα πολλὰ πρός τε τὸ συμφεύγειν ἐπὶ γῆς ἡττωμένους, κἂν εἰ δέοι, διαναυμαχεῖν ἐξηρτυμένα. περιβαλλομένων δὲ τῶν Ῥωμαίων τὸ στρατόπεδον οἱ περὶ 467
τὸν Ἰησοῦν οὔτε πρὸς τὸ πλῆθος οὔτε πρὸς τὴν εὐταξίαν τῶν πολεμίων ὑποδείσαντες προθέουσιν, καὶ πρὸς τὴν πρώτην ἔφοδον 468
τῶν τειχοποιῶν σκεδασθέντων ὀλίγα τῆς δομήσεως σπαράξαντες, ὡς ἑώρων τοὺς ὁπλίτας ἀθροιζομένους, πρίν τι παθεῖν εἰς τοὺς σφετέρους ἀνέφευγον· ἐπιδιώξαντες δὲ Ῥωμαῖοι συνελαύνουσιν αὐτοὺς εἰς τὰ σκάφη. καὶ οἱ μὲν ἀναχθέντες εἰς ὅσον ἐξικνεῖσθαι 469
τῶν Ῥωμαίων βάλλοντες δύναιντο τάς τε ἀγκύρας ἔβαλλον καὶ πυκνώσαντες ὥσπερ φάλαγγα τὰς ναῦς ἐπαλλήλους τοῖς ἐπὶ γῆς πολεμίοις διεναυμάχουν· Οὐεσπασιανὸς δὲ τὸ πολὺ πλῆθος αὐτῶν 470
ἠθροισμένον ἀκούων ἐν τῷ πρὸ τῆς πόλεως πεδίῳ πέμπει τὸν υἱὸν σὺν ἱππεῦσιν ἑξακοσίοις ἐπιλέκτοις.

2. Ὁ δ' ὑπέρογκον εὑρὼν τὴν τῶν πολεμίων πληθὺν πρὸς μὲν 471
τὸν πατέρα πέμπει πλείονος δυνάμεως αὐτῷ δεῖν λέγων, αὐτὸς δὲ

PAMLVRC Lat Hegesippus III 23 p. 212.

1 τε] δὲ MLVRC ὀχυροτέραν P 2 εἰς] ἐσ V ταριχαίασ codd. 3 τὸ] τὸν V¹ 4 ἣ] ἦ P ἥ A, om. L γεννησὰ L¹ 5 ἡ om. L¹ ὑπώρειοσ PAL ὑπόριοσ VR 6 πανταχόθεν M post ὑπὸ eras. γὰρ L τοῦ] τῶν VR ἐλάσσω LVRC 8 δαψιλία R ἐκρατύνετο PAMLC 9 ταριχαῖαι (αίαι PR²) PAMVRC ταριχαῖα L δὲ VRC μετέλαβεν L 10 παρασκευασμένα A τε] γε PAML 11 συμφυγεῖν VRC διαναυμαχεῖν] διαναυμαχίαν PL διαναυμαχεῖαν A *ad nauale bellum* Lat ἐξηρτισμένα PAL 14 προσθέουσιν PA 15 παράξαντεσ L¹ 16 ἀθροιζομένουσ L¹R 17 ἀνέφυγον M 19 βάλλοντες] βάλλεσθαι VR 20 φάλαγγασ (λ i. ras. A) PAMLV et ut uid. Lat ἐπ' ἀλλήλουσ ARC γῆς] τῆσ γῆσ RC 21 διενανμάχουν πολεμίοις tr. VRC τὸ om. V πτ̃ὴθοσ A 22 πόλεοσ C υἱὸν] υἱὸν τῖτον M 23 ἐξακοσίοις, οι ex ου corr. A ἐπιλέκτοισ, οι ex ου corr. A 24 i. marg. λγ′ C δὲ VRC 25 αὐτῶ δυνάμεωσ tr. L αὐτῷ] αὐτῷ Bekker, om. Lat αὐτὸ · σ L

τοὺς μὲν πλείους τῶν ἱππέων ὡρμημένους ὁρῶν καὶ πρὶν ἀφικέσθαι
βοήθειαν, ἔστιν δ' οὓς ἡσυχῇ πρὸς τὸ πλῆθος τῶν Ἰουδαίων κατα-
472 πεπληγότας, ἐν ἐπηκόῳ στὰς ἔλεξεν ὧδε· „ἄνδρες, ἔφη, Ῥωμαῖοι,
καλὸν γὰρ ἐν ἀρχῇ τῶν λόγων ὑπομνῆσαι τοῦ γένους ὑμᾶς, ἵν'
473 εἰδῆτε, τίνες ὄντες πρὸς τίνας μάχεσθαι μέλλομεν. τὰς μέν γε ἡμε-
τέρας χεῖρας οὐδὲν εἰς τοῦτο τῶν ἐπὶ τῆς οἰκουμένης διαπέφευγεν,
Ἰουδαῖοι δέ, ἵν' εἴπωμεν καὶ ὑπὲρ αὐτῶν, μέχρι νῦν οὐ κοπιῶσιν
ἡττώμενοι. καὶ δεινὸν ἐκείνων ἑστώτων ἐν ταῖς κακοπραγίαις ἡμᾶς
474 τοῖς εὐτυχήμασιν ἐγκάμνειν. προθυμίας μὲν εἰς τὸ φανερὸν ὑμᾶς
εὖ ἔχοντας χαίρω βλέπων, δέδοικα δὲ μή τινι τῶν πολεμίων τὸ
475 πλῆθος κατάπληξιν λεληθυῖαν ἐνεργάσηται. λογισάσθω δὴ πάλιν
οἷος πρὸς οἵους παρατάξεται, καὶ διότι Ἰουδαῖοι μέν, εἰ καὶ σφόδρα
τολμηταὶ καὶ θανάτου καταφρονοῦντες, ἀλλ' ἀσύντακτοί τε καὶ
πολέμων ἄπειροι καὶ ὄχλος ἂν ἄλλως, οὐ στρατιὰ λέγοιντο· τὰ
δὲ τῆς ἡμετέρας ἐμπειρίας καὶ τάξεως τί δεῖ καὶ λέγειν; ἐπὶ τοῦτο
μέντοι γε μόνοι καὶ κατ' εἰρήνην ἀσκούμεθα τοῖς ὅπλοις, ἵν' ἐν
476 πολέμῳ μὴ πρὸς τὸ ἀντίπαλον ἀριθμῶμεν ἑαυτούς. ἐπεὶ τίς
ὄνησις τῆς διηνεκοῦς στρατείας, ἂν ἴσοι πρὸς ἀστρατεύτους ἀντι-
477 τασσώμεθα; λογίζεσθε δέ, ὅτι καὶ πρὸς γυμνῆτας ὁπλῖται καὶ ἱππεῖς
πρὸς πεζοὺς καὶ στρατηγούμενοι πρὸς ἀστρατηγήτους διαγωνίζεσθε,

---

PAMLVRC Lat Hegesippus III 24 p. 212.

2 ἔστιν δ' οὓς] *ἰδὼν* L ἔστι (ἔστιν V) δὲ οὕς VRC ἡσυχῇ om. Lat 3 ἔλεξεν ὧδε om. MLVRC Lat 4 τῶν λόγων] τοῦ λόγου· (eras. uid. *υ*) P τὸν λόγον C *sermonis* Lat γένους] γέρους R ἵνα VRC ἵν' — 5 μέλλομεν] *meminisse etiam loci oportet, in quo nunc sitis, et aduersus quos romani bellum geratis* Heg 5 πρὸς] Bekker *καὶ πρὸσ* codd. et fort. Lat γε] γὰρ C 6 χεῖρας] i. ras. 4 litt. m. 2 R, om. V et man. 1 Lips *οἰδὲν* suppl. m. 2 R *οὐδὲν εἰς τοῦτο*] *nemo umquam — hostis ullus* Lat τῶν] τὸν C 7 ἵνα VRC εἴπωμεν] PAML Lat εἴπω VRC 8 δεινὸν] δεῖ uertit Lat ἑστώτων ἐκείνων tr. VRC 9 τοῖς om. V 10 βλέπων] *καὶ βλέπων* VRC τινι] τινα L¹ τὸ πλῆθοσ τῶν πολεμίων tr. VRC 11 λογισάσθω] *quisque cogitet* Lat 12 οἷος] οἷσ C διότι] ὅτι V εἰ ex corr. A 13 ἀλλὰ VRC τε] γε Destinon 14 ἄλλως] ἄλλωσ *καὶ* L ἄλλοσ C στρατεία P τὰ] τὰσ R 15 *καὶ λέγειν* δεῖ tr. RC τούτω C 16 ἵνα VR ἵν' — 17 ἑαυτούς] *ut in bello casus belli dubios non sentiamus* Heg 17 αὐτοὺσ AML ἐπεὶ] ἐπεὶ *καὶ* LVRC 18 στρατιᾶσ PAMVRC ἐὰν VRC ἴσοι ML²C ἀντιτασσόμεθα P 19 δὲ] *quin etiam* Lat γυμνήτασ PMC et ex corr. V γυνίτασ V¹R 20 ἀστρατηγήτους] *uagis neque rectorem habentibus* Lat

καὶ ὡς ἡμᾶς μὲν ταῦτα πολλαπλασίους ποιεῖ τὰ πλεονεκτήματα, πολὺ δὲ τοῦ τῶν πολεμίων ἀριθμοῦ [παραιρεῖται τὰ ἐλαττώματα]. κατορθοῖ δὲ τοὺς πολέμους οὐ πλῆθος ἀνθρώπων, κἂν ᾖ μάχιμον, 478 ἀνδρεία δέ, κἂν ἐν ὀλίγοις· οἱ μέν γε καὶ τάξασθαι ῥᾴδιοι καὶ προσ- 5 αμύνειν ἑαυτοῖς, αἱ δ' ὑπέρογκοι δυνάμεις ὑφ' ἑαυτῶν βλάπτονται πλέον ἢ τῶν πολεμίων. Ἰουδαίων μὲν οὖν τόλμα καὶ θράσος 479 ἡγεῖται καὶ ἀπόνοια, πάθη κατὰ μὲν τὰς εὐπραγίας εὔτονα, σβεννύμενα δὲ ἐν ἐλαχίστοις σφάλμασιν· ἡμῶν δ' ἀρετὴ καὶ εὐπείθεια καὶ τὸ γενναῖον, ὃ κἂν τοῖς ἄλλοις εὐτυχήμασιν ἀκμάζει κἂν τοῖς 10 παίσμασιν οὐ μέχρι τέλους σφάλλεται. καὶ ὑπὲρ μειζόνων δὲ ἢ 480 Ἰουδαῖοι διαγωνιεῖσθε· καὶ γὰρ εἰ περὶ ἐλευθερίας καὶ πατρίδων ἐκείνοις ὁ πόλεμος κινδυνεύεται, τί μεῖζον ἡμῖν εὐδοξίας καὶ τοῦ μὴ δοκεῖν μετὰ τὴν τῆς οἰκουμένης ἡγεμονίαν ἐν ἀντιπάλῳ τὰ Ἰουδαίων τίθεσθαι; σκεπτέον δ' ὅτι καὶ παθεῖν μὲν οὐδὲν ἀνήκεστον 481 15 ἡμῖν φόβος· πολλοὶ γὰρ οἱ βοηθήσοντες καὶ πλησίον· ἁρπάσαι δὲ τὴν νίκην δυνάμεθα, καὶ χρὴ τοὺς ὑπὸ τοῦ πατρὸς πεμπομένους ἡμῖν συμμάχους φθάνειν, ἵν' ἀκοινώνητόν τε ᾖ τὸ κατόρθωμα καὶ μεῖζον. νομίζω δ' ἔγωγε ἐπὶ τῇδε τῆς ὥρας καὶ τὸν πατέρα 482 τὸν ἐμὸν κρίνεσθαι καλῶς καὶ ὑμᾶς, εἰ τῶν μὲν προκατορθωμένων 20 ἄξιος ἐκεῖνος, ἐγὼ δ' ἐκείνου παῖς, στρατιῶται δ' ὑμεῖς ἐμοῦ· καὶ γὰρ ἐκείνῳ τὸ νικᾶν ἔθος, κἀγὼ πρὸς αὐτὸν ὑποστρέφειν οὐκ ἂν

PAMLVRC Lat Hegesippus III 24 p. 214.

1 ὡς — 2 ἀριθμοῦ] (*reputate -*) *quod uos hae uirtutes multo plures efficiant, multum autem uitia de hostium numero detrahant* Lat 2 πολὺ] *πολλοὶ* C τοῦ] *τὸν* VR *τὸ* C ἀριθμὸν VRC παραιρεῖται *τὰ ἐλαττώματα* om. PA, et certe *τὰ ἐλαττώματα* minime placent et spuria uid. *ἐλασσώματα* L 3 πολεμίουσ L^1V^1 μάχιμον] *ἀμήχανον* Destinon 4 ἀνδρία V^2C ὀλίγοις] *ὀλίγοισ ᾖ* MVRC οἱ] *τοῖσ* ex corr. A γε] *γὰρ* ML παρατάξασθαι MVRC ῥάδιον PAL 5 δὲ VRC βλάπτωνται P 6 Ἰουδαίων — 7 πάθη] *itaque iudaeos audacia et ferocitas ac desperatio mentis uitia ducunt* (*quae*) Lat 7 καὶ ἀπόνοια, πάθη] καὶ ἀπόνοια καὶ πάθη PA *καὶ ἀπόνοια · · · πάθη* L *ἀπονοίασ πάθη* MVRC κατὰ μὲν τὰς] καὶ τὰ μὲν τῆσ (τὰσ C) PAC 8 δὲ] δ' L δ'] δὲ VRC ἀρετῆι V εὐπείθεια] εὐθυμία VRC 9 ἄλλοις om. LVR; aut hoc aut εὐτυχήμασιν spurium uid. ἀκμάζῃ (η i. ras. V) PAV κἂν] καὶ VRC 10 μέχρι τέλουσ οὐ tr. PAML ἢ om. R 11 ἰουδαίων PA^1 ἰουδαίοισ R^2 πατρίδοσ P τοῦ] C et ex corr. A τὸ PA^1MLVR 14 προτίθεσθαι MVRC σκεπταῖον C δὲ VRC 16 post καὶ ras. 2 litt. (eras. uid. με) A χρὴστοὺσ V^1 ἀπὸ V ἡμῖν πεμπομένουσ tr. VRC 17 ἵνα V τε om. P 18 δὲ RC ἔγωγε] ἐγὼ RC τὸν πατέρα τὸν, litt. τὸν πατέρα τ solito angustius scriptae M 19 προκατορθωμένων PAV^1C 20 ἐμοῦ] ἐμοί LV

483 ἐπομείναιμι λειφθείς. ὑμεῖς δὲ πῶς οὐκ ἂν αἰσχύνοισθε προκιν-
δυνεύοντος ἡγεμόνος ἡττώμενοι; προκινδυνεύσω γάρ, εὖ ἴστε, καὶ
484 πρῶτος εἰς τοὺς πολεμίους ἐμβαλῶ. μὴ λείπεσθε δ' ὑμεῖς ἐμοῦ
πεπεισμένοι τὴν ἐμὴν ὁρμὴν παρακροτεῖσθαι θεῷ συμμάχῳ, καὶ
προγινώσκετε σαφῶς, ὅτι τῆς ἔξω μάχης πλέον τι κατορθώσομεν." 5
485 3. Ταῦτα τοῦ Τίτου διεξιόντος προθυμία δαιμόνιος ἐμπίπτει
τοῖς ἀνδράσιν, καὶ προσγενομένου πρὶν συμβαλεῖν Τραϊανοῦ μετὰ
τετρακοσίων ἱππέων ἧσσαλλον ὡς μειουμένης τῆς νίκης αὐτοῖς διὰ
486 τὴν κοινωνίαν. ἔπεμψεν δὲ Οὐεσπασιανὸς καὶ Ἀντώνιον Σίλωνα
σὺν δισχιλίοις τοξόταις κελεύσας καταλαβόντας τὸ ἀντικρὺ τῆς 10
487 πόλεως ὄρος τοὺς ἐπὶ τοῦ τείχους ἀνείργειν. καὶ οἱ μὲν ὡς προσ-
ετέτακτο τοὺς ταύτῃ πειρωμένους ἐκβοηθεῖν περιέσχον, ὁ δὲ Τίτος
πρῶτος τὸν ἵππον ἤλαυνεν εἰς τοὺς πολεμίους καὶ σὺν κραυγῇ μετ'
αὐτὸν οἱ λοιποὶ παρεκτείναντες ἑαυτοὺς εἰς ὅσον ἐπεῖχον οἱ πολέμιοι
488 τὸ πεδίον· παρὸ καὶ πολὺ πλείους ἔδοξαν. οἱ δὲ Ἰουδαῖοι καίτοι 15
τήν τε ὁρμὴν καὶ τὴν εὐταξίαν αὐτῶν καταπλαγέντες πρὸς ὀλίγον
μὲν ἀντέσχον ταῖς ἐμβολαῖς, νυσσόμενοι δὲ τοῖς κοντοῖς καὶ τῷ
489 ῥοίζῳ τῶν ἱππέων ἀνατρεπόμενοι συνετατοῦντο. πολλῶν δὲ παν-
ταχοῦ φονευομένων διασκίδνανται καὶ πρὸς τὴν πόλιν ὡς ἕκαστος
490 εἶχεν τάχους ἔφευγον. Τίτος δὲ τοὺς μὲν κατόπιν προσκείμενος 20
ἀνῄρει, τῶν δὲ διεκπαίων ἀθρόων, οὓς δὲ φθάνων κατὰ στόμα
διήλαυνεν, πολλοὺς δὲ συνηλοία περὶ ἀλλήλοις πεσόντας ἐμπηδῶν,
491 πᾶσιν δὲ τὰς πρὸς τὸ τεῖχος φυγὰς ἐτετέμνετο καὶ πρὸς τὸ πεδίον

PAMLVRC LatHegesippus III 24 p. 215.

1 *ληφθεὶς* L^1V^1 ἂν om. LV *αἰσχύνοισθε*] ex cod. Voss. Dindorf *αἰσχύνεσθε* PALVR *αἰσχύνησθε* MC 2 *εὖ ἴστε*] *εὖτε* RC 3 *πρῶτος* ex *πρώτους* corr. L *ἐμβαλῶ*] ex corr. L *ἐμβαλών* $PAML^1VRC$ *irrumpam* Lat 4 *ὁρμὴν ἐμὴν* tr. LVR 5 *ὅτι — κατορθώσομεν*] *quod multo plus permixti hostibus efficiemus quam si extrinsecus pugnaremus* Lat i. marg. *λδ'* C 8 *τετρακοσίων*] *trecentis* Heg *ἱππέων*] *ἀνδρῶν ἱππέων* V^2RC *ἧσσαλλον* C *μειουμένης τῆς νίκης αὐτοῖς*] *μειουμένοις αὐτοῖς τῆσ νίκησ* V *τῆς νίκης* s. m. 2 L 9 *δ'* LV *ἀντώνιον καὶ σίλωνα* PA *silonem et antonium* Lat 10 *καταλαβεῖν* C *ἀντικρὺ* corr. ex *ἀντικρυσ* L 14 *ἑαυτοὺς*] *εισ αὐτοὺσ* L^1 15 *τὸ πεδίον*] om. Lat *τοῦ πεδίου* Hudson 19 *ἕκαστοσ ὡσ* tr. R 20 *εἶχον* PALV^1 *εἶχε* M *προσκείμενος*] M et ex corr. A *προσκειμένουσ* PA^1LVRC *instans* Lat 21 *τῶν*] *τουσ* MVRC *ἀθρόων*] Niese *ἀθρόον* PA *ἀθρόουσ* MLVRC, om. Lat *φθάνον* V^1C 22 *συνηλόα* MC *συνείλου* L *συνειλον* (s. m. 2) V *ἀλλήλουσ* P^1M^1V *ἐμπηδῶν· πᾶσιν δὲ*] LLatHeg *πάλιν δ' ἐμπηδῶν* P *ἐμπηδῶν* (*ἐκπηδῶν* M) *πάλιν δὲ* AMVRC 23 *πᾶσιν — 339,2 συνέφευγον*] *uniuersos praeuerso itinere a muris repellit et obuius recurrentibus fugam intercludit. rursus tamen dum alii sternuntur, elapsi alii quibus urbs refugio erat* Heg *πρὸς το τεῖχος*] PAMLVLat *πρὸσ ἀλλήλουσ* RC et i. marg. m. 2 V

ἀπέστρεφεν, ἕως τῷ πλήθει βιασάμενοι καὶ διεκπεσόντες εἰς τὴν πόλιν συνέφευγον.

4. Ἐκδέχεται δὲ αὐτοὺς πάλιν στάσις ἔσω χαλεπή· τοῖς μὲν 492
γὰρ ἐπιχωρίοις διά τε τὰς κτήσεις καὶ τὴν πόλιν οὐκ ἐδόκει πολε-
μεῖν ἀπ' ἀρχῆς καὶ τότε διὰ τὴν ἧτταν πλέον· ὁ δ' ἐπήλυς πολὺς 493
ὢν πλεῖον ἐβιάζετο, καὶ διωργισμένων ἐπ' ἀλλήλοις κραυγή τε ἦν
καὶ θόρυβος ὡς ὅσον οὔπω φερομένων εἰς ὅπλα. κατακούσας δὲ 494
τῆς ταραχῆς Τίτος, οὐ γὰρ ἦν ἄπωθεν τοῦ τείχους, „οὗτος ἦν ὁ
καιρός, ἐκβοᾷ, καὶ τί, συστρατιῶται, μέλλομεν ἐκδιδόντες ἡμῖν Ἰου-
δαίους θεοῦ; δέξασθε τὴν νίκην. οὐκ ἀκούετε βοῆς; στασιάζουσιν 495
οἱ τὰς χεῖρας ἡμῶν διεκφυγόντες. ἔχομεν τὴν πόλιν, ἐὰν ταχύνωμεν·
δεῖ δὲ πόνου πρὸς τῷ τάχει καὶ λήμματος· οὐδὲν γὰρ τῶν μεγάλων
φιλεῖ δίχα κινδύνου κατορθοῦσθαι. φθάνειν δ' οὐ μόνον χρὴ τὴν 496
τῶν πολεμίων ὁμόνοιαν, οὗς ἀνάγκη διαλλάξει ταχέως, ἀλλὰ καὶ
τὴν τῶν ἡμετέρων βοήθειαν, ἵνα πρὸς τῷ νικῆσαι τοσοῦτον πλῆθος
ὀλίγοι καὶ τὴν πόλιν ἕλωμεν μόνοι."

5. Ταῦθ' ἅμα λέγων ἐπὶ τὸν ἵππον ἀνεπήδα καὶ καθηγεῖται 497
πρὸς τὴν λίμνην, δι' ἧς ἐλάσας πρῶτος εἰς τὴν πόλιν εἰσέρχεται
καὶ μετ' αὐτὸν οἱ λοιποί. δέος δὲ πρὸς τὴν τόλμαν αὐτοῦ τοῖς 498
ἐπὶ τῶν τειχῶν ἐνέπεσεν, καὶ μάχεσθαι μὲν ἢ διακωλύειν οὐδεὶς
ὑπέμεινεν, λιπόντες δὲ τὴν φρουρὰν οἱ μὲν περὶ τὸν Ἰησοῦν διὰ
τῆς χώρας ἔφευγον, οἱ δ' ἐπὶ τὴν λίμνην καταθέοντες ὑπαντιά- 499
ζουσιν τοῖς πολεμίοις περιέπιπτον· ἐκτείνοντο δ' οἱ μὲν ἐπιβαί-
νοντες τῶν σκαφῶν, οἱ δὲ τοῖς ἀναχθεῖσιν προσπίπτειν πειρώμενοι.

PAMLVRC Lat Hegesippus III 25 p. 216.

1 *διεκπεσόντες*] *διεκπαίσαντες* L^1 *συνεκπεσόντες* V Lips *συνεισπεσόντες* RC 2 *συνέφευγον*] *δι συνέφευγον*, s. m. 2 V *διέφυγον* RC 3 *ἐκδέχεται*] *εἰσδέχεται* PA i. marg. *γρ ἐκδέχεται* A *δὲ*] s. A *δ'* LVRC *πάλιν* om. RC Lat *εἴσω* LVRC 5 *δὲ* V 6 *πλεῖον*] om. Lat *πλέον* RC *πολεμεῖν* Destinon 7 *καὶ θόρυβος* om. Lat *θό·νβοσ* M 8 *ἄποθεν* PA¹MLV et ex corr. C *ἦν*] *est* Lat Heg; fort. spurium 9 *ἐκβοᾷ*] *ἐβόα* LV^1 *μέλομεν* R 10 *δέξασθαι* R 11 *διεκφυγόντες*] *διαφυγόντεσ* (α i. ras. maiore A) AMLVRC *ἔχωμεν* P *ἐὰν*] *ἂν* LV^1 12 *πόνου* om. Lat *τῷ*] *τὸ* R *λήμματοσ* PAMRC 13 *φιλεῖ*, *ιλ* s. C *χρὴ τὴν*] *χρὴ* R *χρηστὴν* C 14 *διαλλάξει*] MLat *διαλάσσει* PALC *διαλλάσσει* V *διαλλάσσει* R 15 *ἵνα*] *ἵνα τὸ* P · *τῷ*] *τὸ* $PA^1L^1V^1C$ *τοσοῦτο* L^1VRC 17 *ἀναπηδᾶ* MLVRC *καθηγεῖται*] *κατέθει* LV i. marg. *γρ καθηγεῖται* m. 2 V *decurrit* Lat 18 *ἐλά·σασ* A 19 *λοιποί*] *πολλοὶ* PA *ceteri* Lat Heg 21 *ὑπέμενε* (-εν C) LVC fort. recte *μὲν*] VRC Lat, om. PAM eras. L 22 *ἔφυγον* RC *δὲ* V *ὑπαντιάζουσιν*] *γρ ὑπτιάζουσι* i. marg. m. 2 V 23 *τοῖς*] *τῆσ* C 24 *προσπίπτειν*] *προσμένειν* L, om. C *natando assequi* Lat, unde *προσνεῖν* Destinon *πειρόμενοι* R

500 πολὺς δὲ τῶν κατὰ τὴν πόλιν ἦν φόνος, τῶν μὲν ἐπιλύδων ὅσοι
μὴ διαφυγεῖν ἔφθασαν ἀντιτασσομένων, ἁμαχητὶ δὲ τῶν ἐπιχω-
ρίων· κατὰ γὰρ ἐλπίδα δεξιᾶς καὶ τὸ συνειδὸς τοῦ μὴ βεβουλεῦσθαι
501 πολεμεῖν μάχης ἀπετρέποντο, μέχρι Τίτος τοὺς μὲν αἰτίους ἀνελών,
502 οἰκτείρας δὲ τοὺς ἐπιχωρίους ἀνεπαύσατο φόνου. καὶ οἱ μὲν εἰς 5
τὴν λίμνην καταφυγόντες ἐπεὶ τὴν πόλιν εἶδον ἁλωκυῖαν, ὡς πορ-
ρωτάτω τῶν πολεμίων ἀνήχθησαν·

503 6. Τίτος δ' ἐκπέμψας τινὰ τῶν ἱππέων εὐαγγελίζεται τῷ
504 πατρὶ τὸ ἔργον. ὁ δ', ὡς εἰκός, ὑπερησθεὶς τῇ τε τοῦ παιδὸς
ἀρετῇ καὶ τῷ κατορθώματι, μεγίστη γὰρ ἐδόκει καθηρῆσθαι μοῖρα 10
τοῦ πολέμου, τότε μὲν ἐλθὼν περισχόντας τὴν πόλιν φρουρεῖν ἐκέ-
λευσεν, ὡς μή διαλάθοι τις ἐξ αὐτῆς, καὶ κτείνειν προσέταξεν *
505 τῇ δ' ὑστεραίᾳ πρὸς τὴν λίμνην καταβὰς σχεδίας ἐκέλευσεν πήσ-
σειν ἐπὶ τοὺς καταπεφευγότας· αἱ δ' ἐγίνοντο ταχέως ἀφθονίᾳ
τε ὕλης καὶ πλήθει τεχνιτῶν. 15

506 7. Ἡ δὲ λίμνη Γεννησὰρ μὲν ἀπὸ τῆς προσεχοῦς χώρας
καλεῖται, σταδίων δ' εὖρος οὖσα τεσσαράκοντα καὶ πρὸς τούτοις
ἑτέρων ἑκατὸν τὸ μῆκος γλυκεῖά τε ὅμως ἐστὶ καὶ ποιμωτάτη·
507 καὶ γὰρ τῆς ἑλώδους παχύτητος ἔχει τὸ ναμα λεπτότερον καθαρά τ'
ἐστὶν πάντοθεν αἰγιαλοῖς ἐπιλήγουσα καὶ ψάμμῳ, πρὸς δὲ εὔκρα- 20
τος ἀρύσασθαι, ποταμοῦ μὲν ἧ κρήνης προσηνεστέρα, ψυχροτέρα
508 δὲ ἧ κατὰ λίμνης διάχυσιν ἀεὶ μένουσα. τὸ μὲν γὰρ ὕδωρ οὐκ

PAMLVRC Lat Hegesippus III 25 p. 216.
1 δὲ] *que* Lat ἐπιλύδων PV¹R 2 διαφεύγειν LVRC 3 δεξιὰν L¹V
συνειδὼς C μὴ om. L¹V¹ βεβουλῆσθαι R βεβουλεῦσθαι, s. m. 2 V
5 φόνου] Hudson *internicione* Lat πόνου codd. ἁλωκυῖαν εἶδον tr. C
6 ὡς] ὠ R 8 δὲ RC 9 ὑπερησθὴς P τε om. PAMLV 10 καθηρεῖσθαι
(inter γὰρ et ἐδόκει s. P) PA 11 τότε] ex τούτω corr. m. 2 L ex τούτων corr. m.
2 V περισχόντα L φρουρεῖν R post ἐκέλευσεν ras. 12—14 litt. A
12 ὡς μὴ — προσέταξεν] *ne quis ex ea clam subterfugeret neque a caedibus temperaret* Lat διαλάθῃ PMC λάθοι R καὶ — προσέταξεν] *eo quod uniuersi poenae deberentur* Heg προσέταξεν] ἐκέλευσεν (i. ras. 8 litt. m. 2 V)
AMLVRC lacunam statuit Destinon 13 τῇ om. V¹ δὲ RC ὑστερέα A
14 ἐπὶ] ὡσ·ἐπὶ P ὡσ ἐπὶ — 14 καταπεφευγότασ i. ras. circiter 23 litt. P
15 τεχνητῶν C 16 i. marg. ιγ V λε' C γεννησὰ ex γενησὰ corr. L *genesar*
Lat προσεχῶσ PA 17 δ'] om. MRC δὲ V οὖσα] ἔχουσα MLV 18 τε]
δὲ C ὅμως] ὁμοίωσ LV 19 ναῦμα C λεπτότατον PA τ'] δ' PAMLV
τε RC 20 αἰγιαλῶσ C 22 δὲ ἧ] δ' ἧ LRC δὴ V μένουσα· A τὸ μὲν
γὰρ] τὸ μέν γε AM fort. recte τό γε μὴν LV καὶ τὸ μὲν RC τὸ μὲν — 341,2
ἐπιχωρίοις] *aestiuisque noctibus eius aquae sub diuo perflatae nequaquam cedibus* (repone *niuibus*) *cedunt; id enim facere indigenis moris est* Lat

ἀπάδει χιόνος ἐξαθριασθέν, ὅπερ θέρους νυκτὸς ποιεῖν ἔθος τοῖς
ἐπιχωρίοις. γένη δὲ ἰχθύων ἐν αὐτῇ διάφορα πρὸς τοὺς ἀλλαχοῦ
γείσίν τε καὶ ἰδέαν. μέσῃ δ' ὑπὸ τοῦ Ἰορδάνου τέμνεται. καὶ 509
δοκεῖ μὲν Ἰορδάνου πηγὴ τὸ Πάνειον, φέρεται δ' ὑπὸ γῆν εἰς τοῦτο
κρυπτῶς ἐκ τῆς καλουμένης Φιάλης· ἡ δ' ἐστὶν ἀνιόντων εἰς τὴν 510
Τραχωνῖτιν ἀπὸ σταδίων ἑκατὸν εἴκοσι Καισαρείας τῆς ὁδοῦ κατὰ
τὸ δεξιὸν μέρος οὐκ ἄπωθεν. ἐκ μὲν οὖν τῆς περιφερείας ἐτύμως 511
Φιάλη καλεῖται τροχοειδὴς οὖσα λίμνη, μένει δ' ἐπὶ χείλους αὐτῆς
ἀεὶ τὸ ὕδωρ μήθ' ὑπονοστοῦν μήθ' ὑπερχεόμενον. ἀγνοούμενος 512
δὲ τέως ὁ Ἰορδάνης ἐντεῦθεν ἄρχεσθαι διὰ τοῦ τετραρχήσαντος
Τραχωνιτῶν ἠλέγχθη Φιλίππου· βαλὼν γὰρ οἷτος εἰς τὴν Φιάλην 513
ἄχυρα κατὰ τὸ Πάνειον, ἔνθεν ἐδόκουν οἱ παλαιοὶ γεννᾶσθαι τὸν
ποταμόν, εὗρεν ἀνενεχθέντα. τοῦ μὲν οὖν Πανείου τὸ φυσικὸν 514
κάλλος ὑπὸ τῆς βασιλικῆς προσεξήσκηται πολυτελείας τῷ Ἀγρίππα
πλούτῳ κεκοσμημένον· ἀρχόμενος δὲ φανεροῦ ῥεύματος ὁ Ἰορδάνης 515
ἀπὸ τοῦδε τοῦ ἄντρου κόπτει μὲν τὰ τῆς Σεμεχωνίτιδος λίμνης ἕλη
καὶ τέλματα, διαμείψας δ' ἑτέρους ἑκατὸν εἴκοσι σταδίους μετὰ
πόλιν Ἰουλιάδα διεκπαίει τὴν Γεννησὰρ μέσην, ἔπειτα πολλὴν ἀνα-
μετρούμενος ἐρημίαν εἰς τὴν Ἀσφαλτῖτιν ἔξεισι λίμνην.

PAMLVRC Lat Hegesippus III 26 p. 217.

1 *ἀπάδει*] *ἀποδεῖ* MLVRC *γρ ουκαποδεῖ χιόνος* i. marg. A *ἀπάδει χιόνος*] *a niuis ritu distare* Heg *χειόνος* R *ἐξεθριασθὲν* P *ὅπερ θέρους νυκτὸς*] *ὑπὲρ τῆσ νυκτὸσ ὃ* L *ὅπερ* (*ὅ* corr. ex *υ* uid.) *τῆσ νυκτὸσ*·, eras. *ὃ*, ad *τῆς* i. marg. m. 2 *θέρουσ* V 2 *δ'* L *τοὺς*] *τοῖσ* R 3 *δ'*] *τε* L *δὲ* VRC *Ἰορδάνου*] *Ἰορδάνου πηγὴ* L *τέμνεται* — 4 *Ἰορδάνου* om. PA et Lat, in quo est *medius autem fons est in fluuio iordane panium nomine* 4 *πηγὴ* om. L *πάνιον* PALC *πανεῖον* (*εῖ* ex corr. V) VR *δὲ* VRC 5 *κρυπτὸσ* R *δὲ* VRC 6 *τραχωνίτην* PV¹C *ἑκατὸν εἴκοσι*] *ρκ* PAC 7 *τὸ* om. LVRC *ἄποθεν* PMLV et ex corr. C *ἐτύμως*] Hudson *ἑτοίμωσ* codd. *proprie* Lat 8 *καλεῖται*] *κέκληται* VRC *τροχοειδῆσ* P *προχοειδὴσ* C *μένειν* L *δὲ* VRC *αὐτῆς*] PAML Lat *αὐτῇ* VRC 9 *αἰεὶ* L *ὕδωρ* — *μήθ'* *ὑπερ* om. R *μήτε* VC *μήτε* VC *ὑπερεχόμενον* PA 11 *τραχωνίτου* L¹ *βαλλὼν* A¹ 12 *πάνιον* PALC *πανεῖον* VR *παλαιοὶ*] *πάλαι* VRC 13 *μὲν οὖν*] *γε μὴν* LVRC *quidem* Lat *πανίου* PALC 14 *κάλοσ* V¹ *προσεξήσκηται* — 15 *κεκοσμημένον*] *regiis opibus et agrippae diuitiis magnificentius accurata est* Lat *προεξήσκηται* PAMLV¹ *προσεξίσκηται* C *τῷ*] Bekker *τὸν* PAMLVR *τῶν* C 15 *πλούτῳ*] P et Bekker *πλοῦτον* AMLVRC¹ *πλοῦτων* ex corr. C *κεκοσμημένον*] *κεκομῖσμένον* M *Ἰορδάνησ, Ἰορ* i. ras. 2 litt. V 16 *διακόπτει* Niese *σεμεμεχώνιτιδοσ* (secundum *μ* ex *χ* corr.) sic P *σεμεχωνίτιδοσ* (*σε* ex *ε* corr.) A *ἀμαχωνίτιδοσ* L *ἐμεχωνίτιδοσ* C *μεχωνίτιδοσ* R *semechonitidis* Lat *semechonitin* Heg; cf. p. 346, 9 17 *καὶ*] *τε καὶ* VRC *δὲ* VRC *ἑκατὸν εἴκοσι*] *ρκ* C 18 *διεκπαίει*] *διεκτέμνει* VRC *γεννησὰν* L *genesara* Lat *genesar* Heg 19 *asfaltidem* Lat *asphaltio* Heg

516 8. *Παρατείνει δὲ τὴν Γεννησὰρ ὁμώνυμος χώρα θαυμαστὴ*
φύσιν τε καὶ κάλλος· οὔτε γὰρ αὐτή τι φυτὸν ἀρνεῖται διὰ τὴν
πιότητα, καὶ πᾶν πεφυτεύκασιν οἱ νεμόμενοι, τοῦ δ' ἀέρος τὸ εὔκρα-
517 *τον ἁρμόζει καὶ τοῖς διαφόροις. καρύαι μέν γε φυτῶν τὸ χειμε-*
ριώτατον ἄπειροι τεθήλασιν ἔνθα φοίνικες, οἳ καύματι τρέφονται. 5
συκαῖ δὲ καὶ ἐλαῖαι πλησίον τούτων, αἷς μαλθακώτερος ἀὴρ ἀπο-
518 *δέδεικται. φιλοτιμίαν ἄν τις εἴποι τῆς φύσεως βιασαμένης εἰς ἓν*
συναγαγεῖν τὰ μάχιμα καὶ τῶν ὡρῶν ἀγαθὴν ἔριν ἑκάστης ὥσπερ
ἀντιποιουμένης τοῦ χωρίου· καὶ γὰρ οὐ μόνον τρέφει παρὰ δόξαν
519 *τὰς διαφόρους ὀπώρας ἀλλὰ καὶ διαφυλάσσει. τὰ μέν γε βασιλι-* 10
κώτατα σταφυλήν τε καὶ σῦκον δέκα μησὶν ἀδιαλείπτως χορηγεῖ,
τοὺς δὲ λοιποὺς καρποὺς δι' ἔτους ὅλου περιγηράσκοντας ἑαυτοῖς·
πρὸς γὰρ τῇ τῶν ἀέρων εὐκρασίᾳ καὶ πηγῇ διάρδεται γονιμωτάτῃ,
520 *Καφαρναοὺμ αὐτὴν οἱ ἐπιχώριοι καλοῦσιν. ταύτην φλέβα τινὲς*
τοῦ Νείλου ἔδοξαν, ἐπεὶ γεννᾷ τῷ κατὰ τὴν Ἀλεξανδρέων λίμνην 15
521 *κορακίνῳ παραπλήσιον. μῆκος δὲ τοῦ χωρίου παρατείνει κατὰ τὸν*
αἰγιαλὸν τῆς ὁμωνύμου λίμνης ἐπὶ σταδίους τριάκοντα, καὶ εὖρος
εἴκοσι. ταῦτα μὲν οὕτως φύσεως ἔχει.
522 9. *Οὐεσπασιανὸς δέ, ἐπεὶ παρεσκευάσθησαν αἱ σχεδίαι, τῆς*
δυνάμεως ἐπιβήσας ὅσον ᾤετο τοῖς κατὰ τὴν λίμνην ἀνταρκέσειν 20
ἐπανήγετο. τοῖς δὲ συνελαυνομένοις οὔτ' ἐπὶ γῆν διαφεύγειν ἦν

PAMLVRC Lat Hegesippus III 26 p. 219.

1 *γεννησὰν* L *genesara* Lat 2 *κάλλους* L^1 *κάλος* V^1 *αὐτή*] *ipsa* Lat *αὖτη* PAL *αὐτὴν* MVRC *ἀρνεῖται*] *ἀρδεῖται* V 3 *ποιότητα* VR *πᾶν*] *πᾶσαν* MVRC Lat *νεμώμενοι* PAV^1 *δὲ* VRC 4 *καρύαι*] *καρέαι* M *καὶ ῥοιαὶ* L 5 *ἔνθα*] *ubi etiam* Lat, suspectum Destinoni *φοίνικας* V 6 *δὲ*] *τε* VRC *πλησίον*] *αἱ πλησίον* R *μαλθακότερος* PV^1 7 *ἄν* om. C *βιασμένη* V^1 9 *ἀντιποιουμένης*, litt. *ποιουμέ* i. ras. A *τρέφειν* V 10 *τὰ — βασιλικώτατα*] *egregia quidem et quodammodo regnantia* Lat 11 *δέκα — 12 αὐτοῖς*] (*ut-*) *aliqua genera maxima parte anni non deficiant, reliqua omnia tota anni aetate usque ad finem supersint* Heg 12 *δι' ἔτους ὅλου*] *δὶς τοῦ θέρους* L *anni spatio* Lat *ἑαυτοῖς*] *αὐτοῖς* PAMVRC, om. Lat 13 *τῇ*] *τὴν* PA^1M *εὐκρασίαν* PA^1M *πηγὴ* MR *γονιμωτάτῃ*] *ποτιμωτάτη* VRC *uberrimo* Lat 14 *καφαρναοὺμ, κα* ex *καὶ* corr. V *καφαρναοὺν* L *capharnaum* Lat Heg; cf. uita § 403 *φλέβαι* P *φλέβεσ* (ex *φλέμαι* corr. A) AL 15 *τοῦ νείλου τινὲς* tr. VRC *τινὲς* iterat C *ἐπεὶ — 16 παραπλήσιον*] *quod similes coracino sicut lacus generat pisces* Lat *ἐπεὶ γεννᾷ*] *ἐπιγεννᾶν* PAL *ἐπεὶ γεννᾶν* Destinon *τῶ·* L *τὸ* V *τὴν* om. V *ἀλεξάνδρειαν* PA 16 *κωρακίνω·* L 17 *ὁμωνύμου··* P 18 *ταῦτα*] *καὶ ταῦτα* L *μὲν*] *μὲν οὖν* Hauerkamp ex Lugd. Bat *οὕτω* MVRC 19 *δ'* L 20 *ἀνταρκέσειν*] *αὐταρκέσιν* P *αὐταρκέσειν* AMVC *αὔταρκες εἶναι* L 21 *οὔτε* VRC *ἦν*] *ἐνῆν* LVRC

ἐκπεπολεμωμένων πάντων οὔτ' ἐξ ἴσου διαναμαχεῖν· τά τε γὰρ 523
σκάφη μικρὰ ὄντα καὶ λῃστρικὰ πρὸς τὰς σχεδίας ἦν ἀσθενῆ, καὶ
καθ' ἕκαστον ἐμπλέοντες ὀλίγοι πρὸς ἀθρόους ἐφεστῶτας τοὺς
Ῥωμαίους ἐγγίζειν ἐδεδοίκεισαν. ὅμως δ' οὐν ἐκπεριπλέοντες τὰς 524
σχεδίας, ἔστιν δ' ὅπου καὶ πλησιάζοντες, πόρρωθεν τοὺς Ῥωμαίους
ἔβαλλον λίθοις καὶ παραξύοντες ἐγγύθεν ἔπαιον. ἐκακοῦντο δ' 525
αὐτοὶ πλέον κατ' ἀμφότερα· ταῖς τε γὰρ χερμάσιν οὐδὲν δρῶντες
ὅτι μὴ κτύπον ἐπάλληλον, εἰς γὰρ πεφραγμένους ἔβαλλον, ἐφικτοὶ
τοῖς Ῥωμαίων ἐγίνοντο βέλεσιν, καὶ πλησιάζειν τολμῶντες πρὶν
δρᾶσαί τι παθεῖν ἔφθανον καὶ σὺν αὐτοῖς ἐβαπτίζοντο τοῖς σκά-
φεσιν. τῶν δὲ διεκπαίειν πειρωμένων πολλοὺς μὲν ἐφικνούμενοι 526
κοντοῖς διέπειρον, οὓς δὲ ξιφήρεις ἐπιπηδῶντες εἰς τὰ σκάφη,
τινὰς δὲ συντρεχούσαις ταῖς σχεδίαις ἐναποληφθέντας μέσους εἶλον
ἅμα ταῖς ἁλιάσιν. τῶν δὲ βαπτισθέντων τοὺς ἀνανεύοντας ἢ βέλος 527
ἔφθανεν ἢ σχεδία κατελάμβανεν, καὶ προσβαίνειν ὑπ' ἀμηχανίας
εἰς τοὺς ἐχθροὺς πειρωμένων ἢ κεφαλὰς ἢ χεῖρας ἀπέκοπτον οἱ
Ῥωμαῖοι. πολλή τε ἦν αὐτῶν καὶ ποικίλη φθορὰ πανταχοῦ, μέχρι 528
τραπέντες εἰς γῆν ἐξεώσθησαν οἱ λοιποὶ κεκυκλωμένων αὐτοῖς τῶν
ἁλιάδων. ἐκχεόμενοι δὲ πολλοὶ μὲν ἐν αὐτῇ κατηκοντίζοντο τῇ 529
λίμνῃ, πολλοὺς δ' ἐκπηδήσαντας οἱ Ῥωμαῖοι διέφθειραν ἐπὶ γῆς.
ἦν δ' ἰδεῖν κεκερασμένην μὲν αἵματι, πεπληρωμένην δὲ νεκρῶν τὴν
λίμνην ἅπασαν· διεσώθη γὰρ οὐδείς. δεινὴ δὲ ταῖς ἑξῆς ἡμέραις 530
περιεῖχε τὴν χώραν ὀδμή τε καὶ ὄψις· οἱ μὲν γὰρ αἰγιαλοὶ ναυα-

---

PAMLVRCLatHegesippus III 26 p. 220.

1 οὔτε VRC 2 πρὸς] καὶ πρὸσ L 3 ἀθρόουσ R 4 οὖν om. L ἐμπεριπλέοντεσ AML *circum (rates) nauigando* Lat 5 post *σχεδίας* expunxit ἦν ἀσθενῆ C δὲ VR πόρρωθεν om. MVRC 6 παραξύοντες] MVCLips *paroξύνοντεσ* PALLat *paroξύοντεσ* (?) R δὲ VRC 7 κατ' om. L¹ χερμάσιν] χερσὶν R et i. marg. m. 2 V 8 κτύπον] κρυπτὸν R et i. marg. m. 2 V ἐφικτοὶ] καὶ ἐφικτοὶ PAL 9 τολμῶντες] δοκοῦντεσ PAML *ausi fuissent* Lat γρ καὶ πλησιάζειν τολμῶντεσ i. marg. PA γρ τολμῶντεσ i. marg. M 10 ἐβαπτίζοντο — 11 διεκ (παίειν) om. C 11 διεκπαίειν] *uulnera inferre* Lat ἐφικνουμένουσ PA 12 ἐπικαταπηδῶντεσ VRC 13 ἐναπολειφθέντασ PA εἷλον] MVRCLat ἐβύθιζον L ἦλθον PA ἠλόων uel συνηλόων Destinon, qui huc refert uerba Hegesippi *aut concursu ratium proterebantur* 14 ἢ om. PAMVRC 18 εἰς] ἐπὶ τὴν VRC ἐξώσθησαν MVRC κεκλωμένων C 19 ἐκχεόμενοι] PALLat ἐκκλειόμενοι MVRC δὲ] om. R, u. 18 ante αὐτοῖς ponendum esse putat Destinon αὐτῇ V 20 δὲ VRC ἐκπηδήσαντεσ AL² 21 δὲ AVRC κεκραμένην LVRC γρ κεκραμμένην i. marg. A. μὲν] suppl. P om. A 22 διεσώθει R οὐδὲ εἷσ MV 23 περιέσχε VRC αἰγιαλοὶ] αἰαλοὶ (sic) C

γίων ἅμα καὶ διοιδούντων ἔγεμον σωμάτων, ἐκκαιόμενοι δὲ καὶ μυδῶντες οἱ νεκροὶ τὸν ἀέρα διέφθειρον, ὡς μὴ μόνον οἰκτρὸν Ἰουδαίοις γενέσθαι τὸ πάθος, ἀλλὰ καὶ διὰ μίσους τοῖς δράσασιν
531 ἐλθεῖν. τοῦτο μὲν ἐκείνης τῆς ναυμαχίας τὸ τέλος, ἀπέθανον δὲ σὺν τοῖς ἐπὶ τῆς πόλεως πρότερον πεσοῦσιν ἑξακισχίλιοι ἑπτακόσιοι.
532 10. Οὐεσπασιανὸς δὲ μετὰ τὴν μάχην καθίζει μὲν ἐπὶ βήματος ἐν Ταριχέαις, διακρίνων δ' ἀπὸ τῶν ἐπιχωρίων τὸν ἔπηλυν λεώ. κατάρξαι γὰρ οὗτος ἐδόκει πολέμου, μετὰ τῶν ἡγεμόνων εἰ χρὴ
533 καὶ τούτους σώζειν ἐσκέπτετο. φαμένων δὲ τούτων βλαβερὰν ἔσεσθαι τὴν ἄφεσιν αὐτῶν, οὐ γὰρ ἠρεμήσειν ἀπολυθέντας ἀνθρώπους ἐστερημένους μὲν τῶν πατρίδων, βιάζεσθαι δὲ καὶ πρὸς οὓς
534 ἂν καταφύγωσιν πολεμεῖν δυναμένους, Οὐεσπασιανὸς ὡς μὲν οὔτ' ἄξιοι σωτηρίας εἶεν καὶ διαφεύξονται κατὰ τῶν ἀφέντων ἐγί-
535 νωσκεν, τὸν δὲ τρόπον αὐτῶν τῆς ἀναιρέσεως διενοεῖτο. καὶ γὰρ αὐτόθι κτείνων ἐκπολεμώσειν ὑφωρᾶτο τοὺς ἐπιχωρίους, οὐ γὰρ ἀνέξεσθαι φονευομένων ἱκετῶν τοσούτων παρ' αὐτοῖς, καὶ μετὰ
536 πίστεις ἐπιθέσθαι προελθοῦσιν οὐχ ὑπέμενεν. ἐξενίκων δ' οἱ φίλοι μηδὲν κατὰ Ἰουδαίων ἀσεβὲς εἶναι λέγοντες καὶ χρῆναι τὸ συμφέρον αἱρεῖσθαι πρὸ τοῦ πρέποντος, ὅταν ᾖ μὴ δυνατὸν ἄμφω.
537 κατανεύσας οὖν αὐτοῖς ἄδειαν ἀμφίβολον ἐπέτρεψεν ἐξιέναι διὰ
538 μόνης τῆς ἐπὶ Τιβεριάδα φερούσης ὁδοῦ. τῶν δὲ ταχέως πιστευ-

---

PAMLVRC Lat Hegesippus III 26 p. 220. Suidas s. ἔπηλυς.

1 ἐγκαιόμενοι MLRC 2 διέφθειραν C 3 Ἰουδαίοις] ἰουδαίους V, om. C μίσους] μύσους Hudson 4 τὸ om. AMVR 5 τοῖς] τῆσ C ἐπὶ τῆς] ἐπισήμοις τῆσ PA ἑπτακόσιοι] PAHeg πεντακόσιοι LVRCLat et i. marg. M 6 i. marg. λς' C ἐπὶ τοῦ βήματος ed. pr. 7 ταριχαίαις codd. διακρίνων — λεώ habet Suidas δὲ VRC τὸν] τὴν VR λεὼν VRC Suid et ex corr. A 9 σώζεσθαι M δὲ om. C τούτων] πάντων VRC fort. recte 11 τῶν om. VRC 12 ἂν om. P καταφυγῶσιν P Οὐεσπασιανὸς] οὐεσπασιανὸσ δὲ AVR ὁ δ' οὐεσπασιανὸσ P οὔτε VRC 13 ἄξιοι] ἄξιοσ ut uid. L¹ καὶ] R κἂν PAVC καὶ εἰ ML κἂν εἰ Herwerden recepto mox ex M ὁπλίζεσθαι διαφεύξονται PAC et ex corr. V ἀφέντων] ἀφέντων ὁπλίζεσθαι M ἐγίνωσκεν] ἐγίνωσκε δὲ (δὲ i. ras. 1 litt. m. 2) L 14 τὸν δὲ τρόπον] ML¹VRC τὸν τρόπον PA¹L² τὸν τρόπον δὲ ex corr. A *sed de qualitate* Lat τῆσ ἀναιρέσεωσ αὐτῶν tr. VRC 15 ἐκπολεμώσειν] ἐκπολεμῶσιν C, om. Lat ὑφορᾶτο PR¹V¹C γὰρ om. Lat 16 αὐτοῖς] MLVRCLat αὐτοῦ PA μετὰ πίστεις] μεταπεισθεὶσ AL 17 ἐπιθέσθαι] om. P *uim — afferre* Lat προελθοῦσιν PAML παρελθοῦσιν C *deditis* Lat ὑπέμεινεν PAL δὲ VRC 18 Ἰουδαίων] τῶν ἰουδαίων M 19 αἱρεῖσθε V πρὸ om. C ᾖ] ἢ VR 20 ἐξιέναι] καὶ ἐξιέναι P ἐξεῖναι AMLVRC *exire* Lat

σάντων οἷς ἤθελον καὶ μετὰ φανερῶν ἐν ἀσφαλεῖ τῶν χρημάτων
ἧπερ ἐτετράπη χωρούντων, διαλαμβάνουσιν μὲν οἱ Ῥωμαῖοι τὴν
μέχρι Τιβεριάδος πᾶσαν, ὡς μή τις ἀποκλίνειεν, συγκλείουσι δ'
αὐτοὺς εἰς τὴν πόλιν. καὶ Οὐεσπασιανὸς ἐπελθὼν ἵστησι πάντας 539
ἐν τῷ σταδίῳ, καὶ γεραιοὺς μὲν ἅμα τοῖς ἀχρήστοις διακοσίους ἐπὶ
χιλίοις ὄντας ἀνελεῖν ἐκέλευσεν, τῶν δὲ νέων ἐπιλέξας τοὺς ἰσχυρο- 540
τάτους ἑξακισχιλίους ἔπεμψεν εἰς τὸν ἰσθμὸν Νέρωνι, καὶ τὸ λοιπὸν
πλῆθος εἰς τρισμυρίους καὶ τετρακοσίους ὄντας πιπράσκει χωρὶς
τῶν Ἀγρίππα χαρισθέντων· τοὺς γὰρ ἐκ τῆς τούτου βασιλείας ἐπέ- 541
τρεψεν αὐτῷ ποιεῖν εἴ τι βούλοιτο· πιπράσκει δὲ καὶ τούτους ὁ
βασιλεύς. ὁ μέντοι γε ἄλλος ὄχλος Τραχωνῖται καὶ Γαυλανῖται καὶ 542
Ἱππηνοὶ καὶ ἐκ τῆς Γαδαρίτιδος τὸ πλέον ὡς στασιασταὶ καὶ
φυγάδες καὶ οἷς τὰ τῆς εἰρήνης ὀνείδη τὸν πόλεμον προυξένει
** ἐάλωσαν δὲ Γορπιαίου μηνὸς ὀγδόῃ.*

PAMLVRC Lat Hegesippus III 26 p. 221.

1 *καὶ — 2 χωρούντων*] (*cum-*) *et quam iussum fuerat comitati neque pecuniis suis quicquam metuentes abirent* Lat *φανερῶν, ρῶ* i. ras. V *ἐν*] *ὡς ἐν* Destinon et Niese 2 *εἶπερ* PA *ἐπετράπη*] *ἐπετρά* (sic) R et m. 1 Lips 3 *δὲ* VRC 4 *αὐτοῖσ* L^1 *ἐπελθὼν*] *εἰσελθὼν* L 5 *γηρεοὺσ* P *ἀχρήστοις* C 6 *χιλίουσ* C *ἐκέλευσε* MVR *ἰσχυρωτάτουσ* PA^1L^1 *ἰσχυροτέρουσ* (*-ωτέρουσ* R) MVRC *ualidissimos* Lat 7 *ἔπεμπεν* PLC 8 *ὄντας* om. C 9 *ἀγρίπα* C *τοὺς*] *τῆσ* P *ἐπέτρεπεν* VRC 10 *εἴ τι*] *ὅ τι* VRC fort. recte *ὁ — 14 ὀγδόῃ*] *reliquum tamen uulgus, qui erant trachonitae et gaulanitae et ippeni pluresque ex gadaritide seditiosi ac fugitiui et qui probra pacis bello conciliarent, capti sunt sexto iduum septembrium die* Lat *praeterea populus alius trachonitidis et gaulanitidis regionis et hippeni et gadaritae tamquam belli excitores et per turbatores concordiae, deserentes propria incursantes aliena, qui sumtis armis pacem uiolauissent, iustas et debitas pro flagitiorum meritis poenas dedere* Heg 11 *μέντοι*] *μέν* RC *ἄλλος ὄχλος*] *ὄχλοσ ἄλλοσ* V *τραχανῖται* C *γαυλανίται, αι* i. ras. V *χαυλανῖται* C 12 *ἱππινοὶ* C *καὶ*] *καὶ οἱ* MLVRC *ὡς*] *ὦ* A^1L^1 *tamquam* Heg *ἦσαν* ex cod. Voss. Hauerkamp 13 *τῆς εἰρήνης*] *ἐν εἰρήνη* PAML *ὀνείδη, ει* deletum L *προεξένει* V 14 *δὲ* om. MLVRC Lat fort. recte Gorpiaei s. dies est 26. Septembris (VI k. Oct.) anni Iuliani (67 p. Chr.)

Subscriptiones: *φλαυΐου ἰωσήπου περὶ ἁλώσεως λόγοσ τρίτοσ* P *τελοσ φλαουΐου ἰωσήπου περιἁλώσεωσ λόγοσ τρίτοσ* R *liber tertius explicit* Lat

IV.

Φλαυίου Ἰωσήπου ἱστορία Ἰουδαϊκοῦ πολέμου πρὸς Ῥωμαίους βιβλίον δ'.

1 I. 1. *Ὅσοι δὲ μετὰ τὴν Ἰωταπάτων ἅλωσιν Γαλιλαῖοι Ῥωμαίων*
ἀφεστήκεσαν, οὗτοι τῶν ἐν Ταριχέαις ἡττηθέντων προσεχώρουν,
καὶ παρέλαβον πάντα Ῥωμαῖοι τὰ φρούρια καὶ τὰς πόλεις πλὴν
2 *Γισχάλων καὶ τῶν τὸ Ἰταβύριον ὄρος κατειληφότων. συνέστη δὲ*
τούτοις καὶ Γάμαλα πόλις Ταριχεῶν ἄντικρυς ὑπὲρ τὴν λίμνην
κειμένη. τῆς δ' Ἀγρίππα λήξεως αὕτη τε ἦν καὶ Σωγάνη καὶ
Σελεύκεια, καὶ αἱ μὲν [ἐκ] τῆς Γαυλανίτιδος ἀμφότεραι· τοῦ γὰρ
ἄνω καλουμένου Γαυλανᾶ μέρος ἦν ἡ Σωγάνη, τοῦ κάτω δ' ἡ
3 *Γάμαλα· Σελεύκεια δὲ πρὸς τῇ Σεμεχωνιτῶν λίμνῃ. ταύτῃ τριά-*
κοντα μὲν εὖρος, ἑξήκοντα δὲ μῆκος στάδιοι· διατείνει δ' αὐτῆς
τὰ ἕλη μέχρι Δάφνης χωρίου τά τε ἄλλα τρυφεροῦ καὶ πηγὰς ἔχον-

---

PAMLVRC Lat Hegesippus IV 1 p. 222. Suidas s. *Ἐμεχωνῖται.*
Titulos praemittunt: *φλαυίου ἰωσήπου ἑβραίου περὶ ἁλωσεως βιβλιον δ* P *φαυίου ἰωσήπου περι ἁλώσεως ἰουδαϊκῆς ἱστορίας βιβλίον δ* A *φλαυίου ἰωσήπου ἑβραίου· ἰουδαϊκῆς ἱστορίας περὶ ἁλώσεως, λόγος τέταρτος* M *τοῦ αὐτοῦ βιβλίον δ'* L *ἰωσήπου περὶ ἁλώσεως λόγος δ* (*τέταρτος* R) VR *φλανουίου ἰωσήπου ἰουδαϊκῆς ἱστορίας περὶ ἅλωσεως λόγος δ* C 1 *ιωταπατῶν* ex corr. L 2 *ταριχαίαις* codd. 4 *ἰταβύριον* M *ιταβύριον* L *itaberium* ut uid. Lat *κατειληφότων*] *κατοικούντων* L 5 *γαμάλα* P hic et infra *ταριχαίων* PAV *ταριχαιῶν* MLRC (*contra*) *tarichearn* Lat 6 *δὲ* VRC *Σωγάνη*] *σώτανις* PAL *sotanim* aut *sotanin* (nom.) Lat itemque u. S, *sotanis* Heg, *Σωγανεῖς* fort. restituendum; cf. supra II 574. uita 187. 265 sq. 7 *ἐκ* spurium uid. 8 *γαυλανὰ* PAL *γαυλάνα* V *μέρους* LV *Σωγάνη*] *σώτανις* PAL *κάτου* C *δ'*] *δὲ* VRC *δ' ὑπῆρχεν* L 9 *τῆς* R *σαμεχωνιτῶν* L *ἐμεχωνιτῶν* R Suid *σαμαρειτῶν* i. marg. R et m. 2 V (*lacum*) *semecolim* Lat 10 *δὲ* VRC *αὐτῆς*] *suas* Lat 11 *Δάφνης*] codd. Lat Heg *Δάνης* Relandus; cf. Ant. Iud. VIII 226

τος, αἳ τρέφουσαι τὸν μικρὸν καλούμενον Ἰόρδανον ὑπὸ τὸν τῆς
χρυσῆς βοὸς νεὼ προπέμπουσι τῷ μεγάλῳ. τοὺς μὲν οὖν ἐπὶ 4
Σωγάνην καὶ Σελεύκειαν ὑπὸ τὴν ἀρχὴν τῆς ἀποστάσεως δεξιᾶς
Ἀγρίππας προσηγάγετο. Γάμαλα δ' οὐ προσεχώρει πεποιθυῖα τῇ
5 δυσχωρίᾳ πλέον τῶν Ἰωταπάτων. τραχὺς γὰρ αὐχὴν ἀφ' ὑψηλοῦ 5
κατατείνων ὄρους μέσον ἐναίρει τέροντα, μικύνεται δὲ ἐκ τῆς ὑπερ-
οχῆς εἰς τοὔμπροσθεν ἐκκλίνων ὅσον κατόπιν, ὡς εἰκάζεσθαι
καμήλῳ τὸ σχῆμα, παρ' ἣν ὠνόμασται τὸ τραῦμα τῆς κλήσεως οὐκ
ἐξακριβούντων τῶν ἐπιχωρίων. κατὰ πλευρὰ μὲν δὴ καὶ πρόσωπον 6
10 εἰς φάραγγας ἀβάτους περισχίζεται, τὸ κατ' οὐρὰν δὲ ὀλίγον ἀνα-
φεύγει τῆς δυσχωρίας, ὅθεν ἀπίρρηται τοῦ ὄρους· καὶ τοῦτο δ'
ἐπικαρσίᾳ παρακόψαντες τάφρῳ δύσβατον οἱ ἐπιχώριοι κατεσκεύα-
σαν. πρὸς ὀρθίῳ δὲ τῇ λαγόνι δεδομημέναι πεπύκνωντο δεινῶς 7
ἐπ' ἀλλήλαις αἱ οἰκίαι. κρημνιζομένῃ τε ἡ πόλις ἐοικυῖα κατέτρεχεν
15 εἰς ἑαυτὴν ἀπὸ τῆς ὀξύτητος. καὶ πρὸς μεσημβρίαν μὲν ἔκλινεν, ὁ 8
νότιος δ' αὐτῆς ὄχθος εἰς ἄπειρον ὕψος ἀνατείνων ἄκρα τῆς
πόλεως ἦν, ἀτείχιστος δὲ ὑπὲρ αὐτὴν κρημνὸς εἰς τὴν βαθυτάτην
κατατείνων φάραγγα· πηγὴ δ' ἐντὸς τοῦ τείχους, ἐφ' ἣν τὸ ἄστυ
κατέλῃγεν.

20 2. Οὕτως οὖσαν φύσει δυσμήχανον τὴν πόλιν τειχίζων ὁ 9
Ἰώσηπος ἐποίησεν ὀχυρωτέραν ὑπονόμοις τε καὶ διώρυξιν. οἱ δ' 10
ἐν αὐτῇ φύσει μὲν τοῦ χωρίου θαρραλεώτεροι τῶν κατὰ τὴν Ἰωτα-

---

PAMLVRCLatHegesippus IV 1 p. 222.

1 *μικρὸν* om. R *Ἰορδάνην* MLVRC 2 *νεὼν* MVRC *προσπέμπουσι* MVR *deducunt* Lat *ἐπὶ*] *ὑπὸ* L 3 *Σωγάνην*] *σώτανιν* PAL LatHeg *Σωγάνης καὶ Σελευκείας* dubitans Niese *ὑπὸ*] L *ἐπὶ* PA *παρὰ* MVRC *περὶ* Destinon 4 *δὲ* VRC i. marg. *β'* C 6 *ἐπαίρει*] *ἐπέχει* L *δ'* L 7 *ὅσον*] *ὅσο* (ex *ὅσω* corr. P) PA 8 *τὸ*] ex *τῷ* corr. P, ex *τῶι* V *ὠνόμασται* (*αι* fort. in *ο* corr.) P 9 *πλευρὰ*] ALat *πλευρὰν* PMLVRC 10 *περισχίζεται*, *χ* et *ζ* i. ras. m. 2 L *τὸ* — 11 *ὄρους*] *post uero qua de monte pendet, paululum difficultate* (*difficultates* Niese) *refugit* Lat *δ'* L 11 *τῆς*] *τὰς* Niese *οὔρους* C *δ'*] *δὲ* V, om. RC 12 *ἐπικαρσίᾳ*] ex *ἐπικάρσιο·* corr. m. 2 L *ἐπικάρσια* V 13 *πρὸς* — 14 *οἰκίαι*] *domus autem crebrae et uicissim per prona erant aedificatae* Lat *λαγόνι* PV¹ *λαγόνι*, *ν* i. ras. R *δεδομημέναι* PL¹ *πεπύκνωνται* LVR²C *πεπύκνωται* R¹ 14 *κατατρέχει* MVRC 15 *εἰς* om. A *μὲν* om. Lat *ἔκκλινεν* P 16 *νότος* PA *δὲ* VRC *ἄκρα τῆς*] *ἀκρατὴς* C 17 *πόλεος* C *δὲ*] *ὁ δὲ* PAL probante Destinone *ὑπὲρ*] *ὑπ'* Niese *περὶ* Destinon ex § 74 *αὐτῆς* PAMVRC *κρημνὸς* R *κρημνὸς ἦν* C 18 *δὲ* VRC 20 *φύσει* om. C *δυσμήχανον*] *δύσμαχον* C *paene inexpugnabilem* Lat 21 *ὑπονόμους* C *δὲ* VRC 22 *θαραλεώτεροι* A¹C *τῶν*, *ῶ* i. ras. m. 2 L *ἰωταπάτων* P *ἰωταπάταν* VR

πάτην ἦσαν, πολὺ δ' ἐλάττους μάχιμοι, καὶ τῷ τόπῳ πεποιθότες
*οὐδὲ πλείονας ὑπελάμβανον * πεπλήρωτο γὰρ ἡ πόλις διὰ τὴν*
ὀχυρότητα συμφυγόντων· παρὸ καὶ τοῖς ὑπ' Ἀγρίππα προπεμ-
φθεῖσιν ἐπὶ τὴν πολιορκίαν ἀντεῖχεν ἐπὶ μῆνας ἑπτά.

11 3. *Οὐεσπασιανὸς δ' ἄρας ἀπὸ τῆς Ἀμμαθοῦς, ἔνθα πρὸ τῆς* 5
Τιβεριάδος ἐστρατοπεδεύκει· μεθερμηνευομένη δ' Ἀμμαθοῦς θερμὰ
λέγοιτ' ἄν, ἔστι γὰρ ἐν αὐτῇ πηγὴ θερμῶν ὑδάτων πρὸς ἄκεσιν
12 *ἐπιτηδείων· ἀφικνεῖται πρὸς τὴν Γάμαλαν. καὶ πᾶσαν μὲν κυκλώ-*
σασθαι φυλακῇ τὴν πόλιν οὐχ οἷός τε ἦν οὕτως διακειμένην, πρὸς
δὲ τοῖς δυνατοῖς φρουροῖς καθίστησι καὶ τὸ ὑπερκείμενον ὄρος 10
13 *καταλαμβάνεται. τειχισαμένων δὲ ὥσπερ ἔθος τῶν ταγμάτων ὑπὲρ*
αὐτοῦ στρατόπεδα χωμάτων ἤρχετο κατ' οὐράν, καὶ τὸ μὲν κατ'
ἀνατολὰς αὐτῷ μέρος, ἧπερ ὁ ἀνωτάτω τῆς πόλεως πύργος ἦν,
ἐφ' οὗ τὸ πέμπτον καὶ δέκατον τάγμα, καὶ τὸ πέμπτον μὲν κατὰ
μέσην ἐξειργάζετο τὴν πόλιν, τὰς δὲ διώρυγας ἀνεπλήρου καὶ τὰς 15
14 *φάραγγας τὸ δέκατον. κἂν τούτῳ προσελθόντα τοῖς τείχεσιν*
Ἀγρίππαν τὸν βασιλέα καὶ περὶ παραδόσεως τοῖς ἐφεστῶσι πειρώ-

---

PAMLVRCLatHegesippus IV 1 p. 222.

1 *πολλὺ* C *δὲ* VRC *ἐλάτους* V *ἐλάττους μάχιμοι*] *pauciores minusque pugnaces* Lat *ἐλάττους οἱ μάχιμοι* Niese 2 *οὐδὲ — ὑπελάμβανον*] *plures esse hostes non putabant* Lat 3 *συμφευγόντων* VRC *τοῖς*] *τοὺς* V *ὑπ'*] VR et ex corr. A *ὑπὲρ* PA¹ *ὑπὸ* ML, om. C *προπεμφθέντας* V¹ 5 *δὲ* ALVRC *Ἀμμαθοῦς*] L *ἀμμαοῦσ* AMVRC *ἐμμαοῦσ* P *amathunte* Lat; cf. Ant. XVIII 36 *πρὸσ* RC 6 *δὲ* LVRC *Ἀμμαθοῦς*] LLatHeg *ἀμμαοῦσ* PAMVRC; cf. Hegesippum p. 248 7 *λέγοιτο* VR *πηγὴ*] *τῇ γῇ* P *πηγῇ* C 8 *ἐπιτηδείων*] *ἐπιτήδειοσ* (*ἐπητ-* C) VRCLat *ἀφικνεῖται*] *ἥτισ ἀφικνεῖται* VRC *τὴν* om. VRC *γάμαλα* RC *καὶ* om. C *πᾶσα* V 9 *φυλακῇ*, *ι* i. ras. A *οἷόν* VRC *οὕτω* LVRC 10 *καθίστησι*] P¹C¹ *καθίστη* AML et ex corr. PVC *καθίστει* V¹R *τὸ*] *τὸ μὲν* P 12 *αὐτοῦ*] *αὐτοὺσ* VR *στρατόπεδον* MVRC *κατ' οὐρὰν*] *postremo* Lat *καὶ τὸ — 13 ἦν*] *et a parte quidem orientis summo supra ciuitatem loco turris era* Lat *μὲν*] om. Dindorf cum cod. L. B. 13 *αὐτῷ*] MLR et ex corr. A *αὐτὸ* P *αὐτοῦ* A¹VC *ἧπερ*] *ἥπερ* P *ὅπερ* MLVR, om. CLat 14 *ἐφ' οὗ — 15 τὴν πόλιν*] *ubi et quintadecima legio nec non et quinta contra mediam ciuitatem operabatur* Lat 14 *ἐφ' οὗ*] *ἔχον* optime Destinon; insequentia nondum emendata sunt *τὸ πεντεκαιδέκατον* Cardwell *πέμπτον — καὶ τὸ* om. R *δέκατον τάγμα*] *τὸ δέκατον* L¹ *τὸ δέκατον τάγμα* L² *δέκατον τάγμα ἐστρατοπεδεύκει* M *δέκατον ἐστρατοπεδεύκει* (*ἐστρατοπεδεύει* | *κει* ex *στρατοπεδεύκει* corr. V *στρατοπεδεύκει* m. 1 Lips) *τάγμα* VCLips *πέμπτον μὲν - - (ον μὲν* i. ras. pressius scriptum m. 2, eras. *γε*) L *κατὰ*] om. L *τὰ κατὰ* Niese 15 *διώρυγασ δὲ ἀνεπλήρου* tr. VRC *διορυγὰσ* PC *διωρυγὰσ* R 16 *κἂν*] *καὶ* C *τούτῳ*] *τοῦτο* C 17 *παραδώσεωσ* L *ὑφεστῶσι* L¹

μενον διαλέγεσθαι βάλλει τις τῶν σφενδονητῶν κατὰ τὸν δεξιὸν ἀγκῶνα λίθῳ. καὶ ὁ μὲν ὑπὸ τῶν οἰκείων θᾶττον περιεσχέθη, Ῥω- 15
μαίους δὲ ἐπήγειρεν εἰς τὴν πολιορκίαν ὀργή τε περὶ τοῦ βασι-
λέως καὶ περὶ σφῶν αὐτῶν δέος· οἱ γὰρ ἀπολείψειν ὠμότητος 16
ὑπερβολὴν καὶ ἀλλοφύλων καὶ πολεμίων τοὺς πρὸς ὁμόφυλον καὶ
τῶν συμφερόντων αὐτοῖς σύμβουλον οὕτως ἀγριωθέντας.

4. Συντελεσθέντων οὖν τῶν χωμάτων θᾶττον πλήθει χειρῶν 17
καὶ τῶν πρατομένων ἔθει προσῆγον τὰς μηχανάς. οἱ δὲ περὶ τὸν 18
Χάριτα καὶ Ἰώσηπον, οὗτοι γὰρ ἦσαν τῶν κατὰ τὴν πόλιν δυνα-
τώτατοι, καίπερ καταπεπληγότας τοὺς ὁπλίτας τάττουσιν, ἐπειδὴ
μέχρι πολλοῦ πρὸς τὴν πολιορκίαν ἀνθέξειν οὐχ ὑπελάμβανον
ὕδατι καὶ τοῖς ἄλλοις ἐπιτηδείοις μὴ διαρκούμενοι. παρακροτή- 19
σαντες δ' ὅμως ἐξήγαγον ἐπὶ τὸ τεῖχος, καὶ πρὸς ὀλίγον μὲν ἀπη-
μύναντο τοὺς προσάγοντας τὰς μηχανάς, βαλλόμενοι δὲ τοῖς κατα-
πελτικοῖς καὶ τοῖς πετροβόλοις ἀνεχώρουν εἰς τὴν πόλιν. καὶ 20
προσάγοντες οἱ Ῥωμαῖοι τριχόθεν τοὺς κριοὺς διασείουσι μὲν τὸ
τεῖχος, ὑπὲρ δὲ τῶν ἐρειφθέντων εἰσχεόμενοι μετὰ πολλοῦ σαλ-
πίγγων ἦχοι καὶ κτύπου τῶν ὅπλων αὐτοί τ' ἐπαλαλάζοντες συνερ-
ρήγνυντο τοῖς κατὰ τὴν πόλιν. οἱ δὲ τέως μὲν κατὰ τὰς πρώτας 21
εἰσόδους ἐνιστάμενοι προσωτέρω χωρεῖν ἐκώλυον καὶ καρτερῶς τοὺς
Ῥωμαίους ἀνεῖργον· βιαζόμενοι δὲ ὑπὸ πολλῶν καὶ πάντοθεν τρέ- 22
πονται πρὸς τὰ ὑψηλὰ τῆς πόλεως καὶ προσκειμένοις τοῖς πολε-
μίοις ἐξ ὑποστροφῆς ἐπιπεσόντες συνώθουν εἰς τὸ κάταντες καὶ

PAMLVRCLatHegesippus IV 1 p. 223.

2 *λίθον* V *θᾶττον*] om. C *propterea* Lat 3 δ' L *περὶ* om. V 4 *περὶ* om. V 7 i. marg. *γ'* C *οὖν*] *δὲ* L *autem* Lat 8 *περὶ*] *πρὸσ* (*ὸσ* i. ras.) R 9 *χάριτα* PRC *χάρητα* ex *χάριτο* · corr. m. 2 L *Ἰώσηπον*] *ἰώσην* L¹; cf. p. 355, 15 10 *τάττουσιν*] corruptum putat Destinon *ordinauerunt* Lat *ἐπειδὴ*] *ἐπεὶ δὲ* PAML *et quamquam* Lat 12 *ἀρκούμενοι* L 13 δ'] *δὲ* VRC, om. MLLat *ἐπὶ τὸ τεῖχοσ ἐξήγαγον* tr. L *ἐξῆγον* V *ἠμύναντο* V¹ 15 *πετροβόλοις*] *περιβόλοισ* C *καὶ προσάγοντεσ* — 19 *πόλιν* i. marg. suppl. A 16 *προσαγαγόντεσ* M teste Herwerdeno *τριχόθεν*, *τρι* i. ras. A 17 *ἐρειφθέντων*] *ἐρριφθέντων* PL *ῥιφθέντων* VR *ῥιφέντων* C 18 *τε* VRC *ἐπαλαλάξοντεσ* R *ἐπαλαλάξαντεσ* A fort. recte *συνερρήγνυντο* C 19 *κατὰ*] *παρὰ* L 21 *ἀνεῖγον* man. 1 RLips *βιαζόμενοι* — 22 *πολεμίοις*] *γρ βιαζόμενοι δὲ ὑπὸ πολλῶν καὶ* (*καὶ* om. A) *πάντοθεν* (*πάτοθεν* A) *τρέπονται* (*τρέπ · ται* A) *ὡσ τὰ ὑψηλὰ τῆσ πόλεωσ καὶ προσκειμένοισ τοῖσ πολεμίοισ* i. marg. PA *caeterum ui et multitudine superati undique ad excelsa ciuitatis loca fugiunt; deinde reuertentes instantibus hostibus* (*incumbunt*) Lat *δὲ*] i. marg. PA *τε* PAMLVRC *τρέποντα*ι] i. marg. PA *τρεπόντων* codd. 22 *πρὸς*] *καὶ πρὸσ* codd. *ὡσ* i. marg. PA *καὶ*] i. marg. PA, om. codd.

23 τῇ στενότητι καὶ δυσχωρίᾳ θλιβομένους ἀνῄρουν. οἱ δὲ μήτε τοὺς
κατὰ κορυφὴν ἀμύνασθαι δυνάμενοι μήτε διεκπαίειν τῶν σφετέρων
πρόσω βιαζομένων ἐπὶ τὰς οἰκίας τῶν πολεμίων, πρόσγειοι γὰρ
24 ἦσαν, ἀνέφευγον. αἱ δὲ ταχέως κατηρείποντο πληρούμεναι καὶ τὸ
βάρος μὴ στέγουσαι, κατέσειε δὲ πολλὰς μία τῶν ὑπ' αὐτῆς 5
25 πεσοῦσα καὶ πάλιν ἐκεῖναι τὰς ὑπ' αὐτάς. τοῦτο πλείστους διέ-
φθειρε τῶν Ῥωμαίων· ὑπὸ γὰρ ἀμηχανίας καίτοι συνιζανούσας
ὁρῶντες ἐπεπήδων ταῖς στέγαις, καὶ πολλοὶ μὲν κατεχώννυντο τοῖς
ἐρειπίοις, πολλοὶ δ' ὑποφεύγοντες μέρη τοῦ σώματος κατελαμβά-
26 νοντο, πλείστους δὲ ὁ κονιορτὸς ἄγχων ἀνῄρει. συνεργίαν θεοῦ 10
τοῦτο Γαμαλεῖς ὑπελάμβανον καὶ τῆς κατὰ σφᾶς ἀμελοῦντες βλάβης
ἐπέκειντο, πρός τε τὰ στέγη τοὺς πολεμίους ἀνωθοῦντες καί τοι
κατολισθάνοντας ἐν ὀξέσι τοῖς στενωποῖς καὶ ἀεὶ τοὺς πίπτοντας
27 ὕπερθεν βάλλοντες ἔκτεινον. καὶ τὰ μὲν ἐρείπια χερμάδων πλέα
ἦν αὐτοῖς, σίδηρον δὲ παρεῖχον οἱ τῶν πολεμίων νεκροί· παρα- 15
στιῶντες γὰρ τὰ τῶν πεσόντων ξίφη κατὰ τῶν δυσθανατούντων
28 ἐχρῶντο. πολλοὶ δ' ἀπὸ πιπτόντων ἤδη τῶν δωμάτων σφᾶς
29 αὐτοὺς βάλλοντες ἔθνησκον. ἦν δ' οὐδὲ τραπέντων ἡ φυγὴ ῥᾴδιος·
κατὰ γὰρ ἄγνοιαν τῶν ὁδῶν καὶ ταχύτητα τοῦ κονιορτοῦ μηδὲ ἀλλή-
λους ἐπιγινώσκοντες ἀνειλοῦντο καὶ περὶ σφᾶς ἔπιπτον. 20

PAMLVRC Lat Hegesippus IV 1 p. 223.

2 *ἀμύνεσθαι* A 4 *κατηρείποντο*] *κατερρίπτοντο* L *κατηρίπωντο, η* ex *ι* corr. C *κατηρίποντο* R 5 *στέγουσαι*] *φέρουσαι* L *αὐτῆς*] *αὐτὴν* ML^2C *αὐτοῖσ* ut uid. L^1 *αὐτων* (*ων* expunctum) V *αὐτὰς* Niese 6 *τούτω* VR *διέφθειραν* VR 7 *συνιζανούσας*] *συνιζώσασ* L^1 *συνιζούσασ* L^2VRC *γρ συμπιπτούσασ* i. marg. A 8 *στέγαις*] *τέγαισ* L^1 *κατεχώννυντο* V 9 *ἐριπίοισ* R *δὲ* VRC *μέρει* Dindorf ex cod. L. B. 10 *δ'* L *ἄγχων* ex *ἔγχων* corr. V *συνεργίαν*] *συνεργείαν* P et ut uid. V^1 *συνέργειαν* R *συνεργίαν* — 11 *ὑπελάμβανον*] *sed ea gamalenses pro se fieri existimabant* Lat 11 *ὑπελάμβανεν* V^1 *κατὰσσφὰσ* A 12 *πρός τε* — 14 *ἔκτεινον*] *hostesque in tecta sua quamuis labentes sustentando compellebant. qui uero per angustos uiarum cliuos cecidissent, eos telis desuper missis interficiebant* Lat 12 *στέγη*] *τέγη* LVR¹C *ἀνωθοῦντες*] *ἀνώθουν* L et fort. Lat *ἀνώθουν τε* Destinon *καί τοι*] fort. spurium *καὶ τοὺσ* V 13 *κατολισθαίνοντασ* $PMLV^2$ *ὀξέσι*] *ὀξέσι δὲ* LLat *στενοποῖσ* RV^1 *καὶ* om. LLat 14 *ὕπερθε* LV *βάλλοντεσ, β* ex *ν* corr. L *ἔκτειναν* A *ἐρίπια* V^1R *ἐρίπεια* C *πλέα ἦν*] *πλῆθοσ* LLat fort. recte 16 *δυσθανατώντων* ML^1C *δυσθανάτων* VR 17 *πολλοὶ* — 18 *ἔθνησκον*] *multi* (*multis* cod. Vat.) *iam procumbentibus tectis semet inde proiciendo moriebantur* Lat 17 *δὲ* VRC *ἀπὸ πιπτόντων*] Herwerden *ἀποπιπτόντων* PAL *ἀποπίπτοντεσ* MVRC *δωμα|ματων* C 18 *δὲ* VRC *οὔτε* L

5. Οἱ μὲν οὖν μόλις εὑρίσκοντες τὰς ἐξόδους ἀνεχώρησαν ἐκ 30
τῆς πόλεως· Οὐεσπασιανὸς δ' ἀεὶ προσμένων τοῖς πονουμένοις, 31
δεινόν γάρ τι πάθος αὐτὸν εἰσῄει κατερειπομένην ὁρῶντα περὶ τῷ
στρατῷ τὴν πόλιν, ἐν λήθῃ τοῦ κατ' αὐτὸν ἀσφαλοῦς γενόμενος
λανθάνει κατὰ μικρὸν ἀνωτάτω τῆς πόλεως προελθών, ἔνθα μέσοις
ἐγκαταλείπεται τοῖς κινδύνοις μετ' ὀλίγων παντελῶς· οὐδὲ γὰρ ὁ 32
παῖς αὐτῷ Τῖτος τότε συμπαρῆν τηνικαῦτα πρὸς Μουκιανὸν εἰς
Συρίαν ἀπεσταλμένος. τραπῆναι μὲν οὖν οὔτε ἀσφαλὲς οὔτε πρέπον 33
ἡγήσατο, μνησθεὶς δὲ τῶν ἀπὸ νεότητος αὐτῷ πεπονημένων καὶ τῆς
ἰδίας ἀρετῆς, ὥσπερ ἔνθους γενόμενος, συνασπίζει μὲν τοὺς ἅμ' 34
αὐτῷ τά τε σώματα καὶ τὰς πανοπλίας, ὑφίσταται δὲ κατὰ κορυ-
φὴν ἐπιρρέοντα τὸν πόλεμον καὶ οὔτε ἀνδρῶν πλῆθος οὔτε βελῶν
ἐπομβρίᾳς ἐπέμενε, μέχρι δαιμόνιον τὸ παράστημα τῆς ψυχῆς
συννοήσαντες οἱ πολέμιοι ταῖς ὁρμαῖς ἐνέδοσαν. ἀτονώτερον δὲ 35
προσκειμένων αὐτοὺς ἐπὶ πόδα ἀνεχώρει νῶτα μὴ δεικνὺς ἕως ἔξω
τοῦ τείχους ἐγένετο. πλεῖστοι μὲν οὖν Ῥωμαίων κατὰ ταύτην ἔπεσον 36
τὴν μάχην, ἐν οἷς ὁ δεκαδάρχης Αἰβούτιος, ἀνὴρ οὐ μόνον ἐφ' ἧς
ἔπεσε παρατάξεως, ἀλλὰ πανταχοῦ καὶ πρότερον γενναιότατος φανεὶς
καὶ πλεῖστα κακὰ Ἰουδαίους ἐργασάμενος. ἑκατοντάρχης δέ τις, 37
Γάλλος ὀνόματι, μετὰ στρατιωτῶν δέκα περισχεθεὶς ἐν τῇ ταραχῇ
κατέδυ μὲν εἴς τινος οἰκίαν, τῶν δ' ἐν αὐτῇ διαλαλούντων παρὰ 38
δεῖπνον ὅσα κατὰ τῶν Ῥωμαίων ἢ περὶ σφῶν ὁ δῆμος ἐβουλεύετο
κατακρουσάμενος, ἦν δὲ αὐτός τε καὶ οἱ σὺν αὐτῷ Σύροι, νύκτωρ

PAMLVRC Lat Hegesippus IV 1 p. 224.

1 *οἱ μὲν — 2 πόλεως* i. marg. suppl. A i. marg. *δ'* C 2 *δὲ* ALVRC 3 *ἐσῄει* L^1 *κατερειπωμένην* L *κατηρειπωμένην* MC *κατερειπομένην* R *καταρριπτομένην* PA *ὁρῶντι* PAMLVR *περὶ* om. M 4 *στρατῷ*] *στρατηγῷ* V^1 *λήθει* V^1C *καθ' ἑαυτὸν* L *καθ' αὐτὸν* Dindorf *γενόμενο · σ* V 5 *προσελθὼν* PA 6 *ἐνκαταλείπεται* A 7 *αὐτῷ*] *αὐτοῦ* PAM *εἰ* Lat 8 *οὔτε*] MVRC Lat *οὐκέτ'* PALDestinon *οὔτε*] *οὐδὲ* Destinon *πρέπων* A et ex corr. P 10 *τοὺς*] *τοῖσ* M *ἅμα* LVRC 11 *αὐτῷ* Dindorf *καὶ* om. L^1VRC *ταῖσ πανοπλίαισ* L^1VRC *ὑφίσταται*] *ἐνυφίσταται* AMLVRC *cum his una — sustinebat* Lat litt. *ίσταται δὲ κα* sub plica latent V *κατὰ*] *καὶ κατὰ* L^1 12 *ἐπιρέοντα* VC *οὔτε βελῶν*, litt. *οὔτ* latent sub plica V 13 *ἐπέμενε*] *ἔμενεν* L 14 *νοήσαντεσ* V *τὰσ ὁρμὰσ* LVRC 16 *ῥωμαῖοι* L 17 *δ*] *καὶ ὁ* C fort. recte *Αἰβούτιος*] Destinon *ἐβούτιοσ* (*τ* ex *σ* corr. V) PALVRC *εὐβούτιοσ* MLat *butius* Heg *ἐφ'*] *ἀφ'* V^1 18 *καὶ* s. m. 2 L 19 *ἰουδαίοισ* MLVRC *δέ τισ* iterat C^1 20 *ὀνόματι γάλλοσ* tr. C 21 *δὲ* LVRC 22 *δεῖπ · νον*, eras. *ο* A *κατὰ*] *κακὰ* VR . *ἢ περὶ σφῶν* om. Lat *ἐβούλετο*, i. marg. *ἐβουλεύετο* V 23 *δ'* A *τε* om. L

ἐπανίσταται καὶ πάντας ἀποσφάξας μετὰ τῶν στρατιωτῶν εἰς τοὺς Ῥωμαίους διασώζεται.

39 6. Οὐεσπασιανὸς δ' ἀθυμοῦσαν τὴν στρατιὰν ἀνοίᾳ πταισμάτων καὶ διότι τέως οὐδαμοῦ τηλικαύτῃ συμφορᾷ κέχρηντο, τό γε μὴν πλέον αἰδουμένους ἐπὶ τῷ τὸν στρατηγὸν μόνον τοῖς κινδύνοις
40 ἐγκαταλιπεῖν παρεμυθεῖτο, περὶ μὲν τοῦ καθ' αὑτὸν ὑποστελλόμενος, ὡς μηδὲ τὴν ἀρχὴν μέμφεσθαι δοκοίη, δεῖν δὲ τὰ κοινὰ λέγων ἀνδρείως φέρειν τὴν τοῦ πολέμου φύσιν ἐννοοῦντας, ὡς οὐδαμοῦ τὸ νικᾶν ἀναμιωτὶ περιγίνεται, δαπανᾷ δ' ἡ τύχη τι καὶ
41 παρίσταται. τοσαύτας μέντοι μυριάδας Ἰουδαίων ἀνελόντας αὐτοὺς
42 ὀλίγην τῷ δαίμονι δεδωκέναι συμβολήν. εἶναι δ' ὥσπερ ἀπειροκάλων τὸ λίαν ἐπαίρεσθαι ταῖς εὐπραγίαις, οὕτως ἀνάνδρων τὸ καταπτήσσειν ἐν τοῖς πταίσμασιν· ὀξεῖα γὰρ ἐν ἀμφοτέροις ἡ μεταβολή, κἀκεῖνος ἄριστος ὁ κἂν τοῖς εὐτυχήμασιν νήφων, ἵνα μένῃ καὶ
43 δι' εὐθυμίας ἀναπαλαίων τὰ σφάλματα. τὰ μέντοι συμβεβηκότα
νῦν οὔτε μαλακισθέντων ὑμῶν οὔτε παρὰ τὴν τῶν Ἰουδαίων ἀρετὴν γέγονεν, ἀλλὰ κἀκείνοις τοῦ πλεονεκτῆσαι καὶ τοῦ διαμαρτεῖν
44 ἡμῖν αἴτιον ἡ δυσχωρία. καθ' ἣν ἄν τις ὑμῶν μέμψαιτο τῆς ὁρμῆς τὸ ἀταμίευτον· ἀναφυγόντων γὰρ ἐπὶ τὰ ὑψηλὰ τῶν πολε-

---

PAMLVRC Lat Hegesippus IV 1 p. 224.

1 post *στρατιωτῶν* expunctum *δεκαπερ* V, cf. p. 351, 20 3 *δὲ* LVRC *ἀθυμοῦσαν — πταισμάτων*] *maerere aduersis casibus exercitum uidens* Lat *ubi maestum exercitum aduertit plurimorum amissione* Heg *τὴν*] *τε τὴν* PAMRC *τι τὴν* Hudson *ἀνοίᾳ*] *ἐννοίᾳ* Bosius *ἀγνοίᾳ* Destinon *τε πταισμάτων* Niese 4 *καὶ* spurium putat Destinon *ἐκέχρηντο* PAML 5 *αἰδούμενος* C *τῷ*] i. marg. suppl. A s. C *στρατηγὸν*] *ἡγεμόνα* L 6 *καταλιπεῖν* C *μὲν*] *μὲν οὖν* L *κατ' αὐτὸν* L 7 *μηδὲ*] *μηδένα* uertit Lat 8 *ἐννοοῦντας* — 9 *περιγίνεται* latent sub plica V 9 *ἀναμοτὶ* PAR *δαπανᾷ* — 10 *παρίσταται*] *δαπανᾶ* (i. ras. fere 7 litt. m. 2; litterarum erasarum uestigia eiusmodi sunt, ut possit fuisse *παλίμπους*) *δ' ἡ τύχη τι καὶ* (*τι καὶ* suppl. m. 2) *παρίσταται* L *ἡ γὰρ παλίμπους τύχη περᾶται* VRC et i. marg. M *iterumque habeat fortuna regressum* Lat *etsi experta uirtus praeminere soleat in bello, solet tamen aliquid licere casibus* Heg *παλίμπους δ' ἡ τύχη παρίσταται* ex L^1 Niese 11 *δεδοκέναι* R *συμβ· ολήν, ο* ex *υ* corr. M *δὲ* VRC 13 *πταίσμασι* C *ἐν ἀμφοτέροις*] *in utrumque* Lat 14 *κἀκεῖνος* — 15 *σφάλματα*] *et ille uir fortis habetur, cuius sobrius erit animus in rebus quoque infeliciter gestis, ut idem scilicet maneat rectis consiliis peccata restituens* Lat *ὁ*] *ὃς* Destinon *εὐτυχήμασιν*] *ἀτυχήμασι* ex Lat Lowthius et Hudson *ἵνα μένῃ*] *διαμένει* Destinon 16 *ὑμῶν*] *ἡμῶν* LLat *τὴν* s. V 18 *ἡμῖν*] *ὑμῖν* Herwerden *ἄν*] L *ἄγαν* PAMVRC *nimium* Lat *γ' ἄν* Destinon *μέμψοιτο* L *μέμψαιτο, αι* i. ras. R

μίων αὐτοὺς ἐποστέλλειν ἐχρῆν. καὶ μὴ κατὰ κορυφὴν ἱσταμένοις τοῖς κινδύνοις ἕλεσθαι, κραιοῦντας δὲ τῆς κάτω πόλεως καὶ ὀλίγον προκαλεῖσθαι τοὺς ἀναφεύγοντας εἰς ἀσφαλῆ καὶ ἑδραίαν μάχην. νυνὶ δὲ ἀκρατῶς ἐπὶ τὴν νίκην ἐπειγόμενοι τῆς ἀσφαλείας ἠμελήσατε. τὸ δ' ἀπερίσκεπτον ἐν πολέμῳ καὶ τῆς ὁρμῆς μανιώδες οὐ 45
πρὸς Ῥωμαίων, οἳ πάντα ἐμπειρίᾳ καὶ τάξει κατορθοῦμεν, ἀλλὰ βαρβαρικόν, καὶ ᾧ μάλιστα Ἰουδαῖοι κραιοῦνται. χρὴ τοίνυν ἐπὶ 46
τὴν αὐτῶν ἀρετὴν ἀναδραμεῖν καὶ θυμοῦσθαι μᾶλλον ἢ προσαθυμεῖν τῷ παρ' ἀξίαν πταίσματι. τὴν δ' ἀρίστην ἕκαστος ἐκ τῆς ἰδίας 47
χειρὸς ἐπιζητείτω παραμυθίαν· οὕτω γὰρ τοῖς τε ἀπολωλόσι τιμωρήσεσθε καὶ τοὺς ἀνελόντας ἀμυνεῖσθε. πειράσομαι δ' ἐγώ, καθάπερ 48
νῦν, ἐπὶ πάσης μάχης προάγειν τε ὑμῶν εἰς τοὺς πολεμίους καὶ τελευταῖος ἀποχωρεῖν."

7. Ὁ μὲν οὖν τοιαῦτα λέγων τὴν στρατιὰν ἀνελάμβανεν, τοῖς 49
δὲ Γαμαλεῦσιν πρὸς ὀλίγον μὲν θαρρῆσαι τῷ κατορθώματι παρέστη, παραλόγως τε συμβάντι καὶ μεγάλως, λογιζόμενοι δ' ὕστερον ἀφρ- 50
ρήσθαι σφᾶς αὐτοὺς καὶ δεξιᾶς ἐλπίδας τό τε μὴ δύνασθαι διαφεύγειν ἐννοοῦντες, ἤδη γὰρ ἐπέλιπε τὰ ἐπιτήδεια, δεινῶς ἠθύμουν καὶ ταῖς ψυχαῖς ἀναπεπτώκεσαν. οὐ μὴν εἰς τὸ δυνατὸν ἠμέλουν 51
σωτηρίας, ἀλλὰ καὶ τὰ παραρρηχθέντα τοῦ τείχους οἱ γενναιότατοι καὶ τὰ μένοντα περισχόντες ἐφύλασσον οἱ λοιποί. τῶν δὲ Ῥωμαίων 52
ἐπιρρωννύντων τὰ χώματα καὶ πάλιν πειρωμένων προσβολῆς οἱ πολλοὶ διεδίδρασκον ἐκ τῆς πόλεως κατά τε δυσβάτων φαράγγων, ἧπερ οὐκ ἔκειντο φυλακαί, καὶ διὰ τῶν ἐπονόμων. ὅσοι γε μὴν δέει 53

PAMLVRC Lat Hegesippus IV 2 p. 226.

1 αὐτοὺς AL ἑαυτοὺς MVRC ἱστάμενοι R 2 litt. *νοισ τοῖσ κινδύνοισ ἕ* latent in plica V 3 ἀναφεύγοντας] *qui — refugerant* Lat ἀναφυγόντας Dindorf 5 δὲ VRC ἀπερίσκεπον L^1 τῆς ὁρμῆς seclusit Bekker 7 κρατοῦνται] κατορθοῦμεν ἀλλὰ βαρβαρικὸν C ἐπὶ τὴν αὐτῶν] *nos ad propriam* Lat 8 αὐτῶν PAM ἑαυτῶν LVRC προσαθυμεῖν] ἀθυμεῖν, i. marg. προσαθυ (reliquis recisis) m. 2 V 9 πταίσματι] πταίσαντι, σαντι adrasum, i. marg. σματι L δὲ AMVRC 10 τε] LLat, om. PAMVRC τιμωρήσεσθαι PAV¹C¹ 11 ἀνελόντασ, όν ex οῦν corr. A ἀμύνεσθαι PA ἀμυνεῖσθε, θε ex θαι corr. C δὲ VRC 12 ἐπὶ πάσης] *aeque* Lat, quem ἐπίσης habuisse putat Destinon πολεμίους] πολέμουσ uertit Lat 16 μεγάλῳ Destinon δὲ VRC 17 αὐτοὺσ ex corr. P ἐλπίδα LVRC διαφυγεῖν P 18 ἐπέλειπε LVR τἀπιτήδεια C 19 ἠμέλλουν L 20 παραρρηχθέντα] Herwerden περιρρηχθέντα (περιρη- AV) codd. 21 ἐφύλαττον L 22 ἐπιρωννύντων A ἐπιχωννύντων MVRC *construentibus* Lat εἰσβολῆσ LVRC 23 τε, τ i. ras. m. 2 L 24 φύλακεσ P *custodes* Lat

τοῦ λιφθῆναι παρέμενον, [ἐν] ἐνδείᾳ διεφθείροντο· πανταχόθεν γὰρ τροφὴ τοῖς μάχεσθαι δυναμένοις συνηθροίζετο.

54 8. Καὶ οἱ μὲν ἐν τοιούτοις πάθεσι διεκαρτέρουν, Οὐεσπασιανὸς δὲ πάρεργον ἐποιεῖτο τῆς πολιορκίας τοὺς τὸ Ἰταβύριον κατειληφότας ὄρος, ὅ ἐστι τοῦ μεγάλου πεδίου καὶ Σκυθοπόλεως μέσον· 5
55 οὗ τὸ μὲν ὕψος ἐπὶ τριάκοντα σταδίους ἀνίσχει, μόλις προσβατὸν κατὰ τὸ προσάρκτιον κλίμα, πεδίον δ' ἐστὶν ἡ κορυφὴ σταδίων
56 ἓξ καὶ εἴκοσι, πᾶν τετειχισμένον. ἦγειρε δὲ τοσοῦτον ὄντα τὸν περίβολον ὁ Ἰώσηπος ἐν τεσσαράκοντα ἡμέραις τῇ τε ἄλλῃ χορηγούμενος ὕλῃ κάτωθεν καὶ ὕδατι· καὶ γὰρ τοῖς ἐποίκοις μόνον ἦν 10
57 ὄμβριον. πολλοῦ οὖν πλήθους ἐπὶ τοῦτο συνειλεγμένου Οὐεσπα-
58 σιανὸς Πλάκιδον σὺν ἵπποις ἑξακοσίοις πέμπει. τούτῳ τὸ μὲν προσβαίνειν ἀμήχανον ἦν, ἐλπίδι δὲ δεξιῶν καὶ παρακλήσεως πρὸς
59 εἰρήνην τοὺς πολλοὺς προεκαλεῖτο. κατῆσαν δὲ ἀντεπιβουλεύοντες· ὅ τε γὰρ Πλάκιδος ὡμίλει πρόσθεν σπουδάζων αὐτοὺς ἐν τῷ 15
60 πεδίῳ λαβεῖν, κἀκεῖνοι κατῆσαν ὡς πειθόμενοι δῆθεν, ἵνα ἀφυλάκτῳ προσπέσωσιν. ἐνίκα μέντοι τὸ Πλακίδου πανοῦργον· ἀρξαμένων γὰρ τῶν Ἰουδαίων μάχης φυγὴν ὑπεκρίνετο καὶ διώκοντας ἐκύκλωσεν ἐπὶ πολὺ τοῦ πεδίου τοὺς ἵππεῖς ἐπιστρέφει, τρεψάμενος δὲ πλείστους μὲν αὐτῶν ἀναιρεῖ, τὸ δὲ λοιπὸν πλῆθος ὑποτεμό- 20
61 μενος εἴργει τῆς ἀνόδου. καὶ οἱ μὲν τὸ Ἰταβύριον καταλιπόντες ἐπὶ Ἱεροσολύμων ἔφευγον, οἱ δὲ ἐπιχώριοι πίστεις λαβόντες, ἐπι-

---

PAMLVRC Lat Hegesippus IV 4 p. 230.

1 τοῦ] τὸ PA¹ λειφθῆναι P ἐν seclusit Dindorf cum cod. L. B. ἐφθείροντο PAMVRC 2 μάχεσθαι δυναμένοις] *solis — qui pugnare poterant* Lat 3 ὀνεσπασιανὸς, ὁ suppl. m. 2 C 4 ἰταβύριον PA ιταβύριον (sic) L *taberius* aut *tabyrius* Heg 5 ὄρος κατειληφότας tr. L 6 σταδίων C μόλις προσβατὸν] *inaccessa* Lat 7 δὲ VRC 8 ἓξ καὶ εἴκοσι] *XX et III* Heg τὸν om. C 9 τεσσαράκοντα, τα s. A 11 ὄμβρι·ον, eras. ν A πολλῆς οὖν πληθύος — συνειλεγμένης propter hiatum Niese τοῦτο] τούτου AML¹V τούτῳ L²RC τοῦ τόπου Niese συνειλημμένου A 12 πλακίδιον P τὸ om. PA 13 δὲ δεξιῶν] δὲ ξιων L¹ δὲ ἐξιῶν C παρακλήσεως] παρακλήσει L¹ fort. recte πρὸς om. C 14 πολλοὺς] πολεμίους Destinon προεκαλεῖτο] Destinon προσεκαλεῖτο PAMVRC συνεκαλεῖτο L *hortabatur* Lat κατῆσαν] κατίσαν PA 15 πλακίδιος P 16 κατίσαν PA ὑν' L ἀφυλάκτως V 17 ἀρξαμένων, ων ex ου corr. V 18 μάχην PA¹ φυγὴν] ἐσ φυγὴν PA φυγεῖν C ὑποκρίνεται MLVRC 19 τρεψάμενος, σ ex ι corr. P 20 δὲ] τε Destinon πλείστους μὲν] πλείστους τοὺς μὲν habuit fort. Lat, in quo est *plurimisque in terga uersis aliquos interfecit* ὑποτεμνόμενος P 21 ἰταβύριον A 22 δ' AL

λελοίπει δ' αὐτοὺς ὕδωρ, τό τε ὄρος καὶ σφᾶς αὐτοὺς Πλακίδῳ παρέδοσαν.

9. Τῶν δ' ἐπὶ τῆς Γαμάλας οἱ παραβολώτεροι μὲν φεύγοντες 62
διελάνθανον, οἱ δ' ἀσθενεῖς διεφθείροντο λιμῷ· τὸ μάχιμον δ' 63
ἀντεῖχεν τῇ πολιορκίᾳ, μέχρι δευτέρᾳ καὶ εἰκάδι μηνὸς Ὑπερβερεταίου τρεῖς τῶν ἀπὸ τοῦ πέμπτου καὶ δεκάτου τάγματος στρατιῶται περὶ τὴν ἑωθινὴν φυλακὴν ὑποδύντες τὸν προέχοντα κατὰ τοῦτους πύργον ὑπορύσσουσιν ἡσυχῇ. τοῖς δ' ὑπὲρ αὐτοῦ φύλαξιν οὔτε προσ- 64
ιόντων αἴσθησις, νὺξ γὰρ ἦν, οὔτε προσελθόντων ἐγένετο. οἱ δὲ στρατιῶται φειδόμενοι τοῦ ψόφου καὶ πέντε τοὺς κραταιοτάτους ἐκκυλίσαντες λίθους ὑπεκηδῶσι. κατηρείπετο δὲ ὁ πύργος ἐξαίφνης 65
μετὰ μεγίστου ψόφου, καὶ συγκατακριμνίζονται μὲν οἱ φύλακες αὐτῷ, θορυβηθέντες δὲ οἱ κατὰ τὰς ἄλλας φυλακὰς ἔφευγον· καὶ 66
πολλοὺς διεκταίειν τολμῶντας οἱ Ῥωμαῖοι διέφθειραν, ἐν οἷς καὶ Ἰώσηπόν τις ὑπὲρ τὸ παρερριγμένον τοῦ τείχους ἐκδιδράσκοντα βαλὼν ἀναιρεῖ. τῶν δ' ἀνὰ τὴν πόλιν διασεισθέντων ὑπὸ τοῦ 67
ψόφου διαδρομή τε ἦν καὶ πτόα πολλὴ καθάπερ εἰσπεπτωκότων πάντων τῶν πολεμίων. ἔνθα καὶ Χάρις κατακείμενος καὶ νοσι- 68
λευόμενος ἐκλείπει πολλοῖ δέους συνεργήσαντος εἰς θάνατον τῇ νόσῳ. Ῥωμαῖοί γε μὴν μεμνημένοι τοῦ προτέρου πταίσματος οὐκ 69
εἰσέβαλλον ἕως τρίτῃ καὶ εἰκάδι τοῦ προειρημένου μηνός.

PAMLVRC Lat Hegesippus IV 3 p. 226.

1 *δὲ* VRC *αὐτοῖς* LV *ὕδωρ*] *τὸ ὕδωρ* C *πλακιδίω* P 2 *παρέδωσαν* C 3 i. marg. *ζ'* C *δ'*] *δὲ* VR, om. C *τῆς* om. M *Γαμάλας*] *γαμάλησ* LV *γα*|*λιλαίας* C 4 *δὲ* VRC *δὲ* VRC 5 *Ὑπερβερεταίου*] *octobris* Lat; Hyperberetaei 22. dies est 9. Nouembris (V id. Nou.) anni Iuliani (67 p. Chr.) 6 *πέμπτου*] *πέντε* L *ε̄* C 7 *ἑωθηνην* (sic) C 8 *δὲ* VRC 9 *προ·ελθόντων*, eras. *σ* A *οἱ δὲ*] *ἐλθόντεσ δὲ* (*δ'* L) *οἱ* LVRC *idem autem* (*milites*) Lat 10 *στρατιῶται* V¹ *τοῦ* om. C *καὶ* om. Dindorf cum cod. L. B. *κραταιοτάτους*] *κραταιοὺσ* C 11 *ἐκκοιλίσαντεσ* PA *λίθους*] *τῶν λίθων* LVRC *ὑπεκηδῶσι* Niese *κατηρείπετο*] *καταρρίπτεται* M *καταρίπτεται* VRC, fort. igitur *κατερείπεται* scribendum est *δ'* L 12 *συγκατακρημνίζονται, γ* i. ras. m. 2 V *συγκατακριμνίζονται* R *συγκατακρημνήζονται* C

13 *αὐτῶν* V *δὲ* om. C *ἔφεγον* C 14 *τολμῶντεσ* C *διέφθειρον* L 15 *Ἰώσηπόν*] *ιώσην* L¹Lat; cf. supra p. 349, 9 *ἐκδιαδράσκοντα* A 16 *δὲ* VR 17 *πτόα* corr. ex *πτοὰ* L *πτοία* MR²C *εἰσπεπεκότων* L *εἰσπεπτωκότων* MVRC 18 *χάρησ, ησ* ex corr. M ex *χάριτοσ* corr. m. 2 L *νοσηλευόμενοσ*] *νοσιλευόμενοσ* V, i. marg. *ἀσθενὼν* L 19 *πολλοῦ* — 20 *νόσῳ*] *cum timoris magnitudo morbum eius plurimum iuuisset ad mortem* Lat *πολλοῦ*] *πολὺ τοῦ* Hauerkamp ex cod. L. B. *πολλὰ τοῦ* Niese *τῇ νόσω εἰσ θάνατον* tr. C 21 *εἰσέβαλον* ML *τριτησ καὶ εἰκαδοσ* C *προηρημένου* V

70 10. *Τίτος δέ, ἤδη γὰρ παρῆν, ὀργῇ τῆς πληγῆς ἣν παρ' αὐτὸν*
ἐπλήγησαν ἀπόντα Ῥωμαῖοι, τῶν ἱππέων ἐπιλέξας διακοσίους, πρὸς
71 *οἷς πεζοὺς *, εἰσέρχεται τὴν πόλιν ἡσυχῇ. καὶ παρελθόντος οἱ*
μὲν φύλακες αἰσθόμενοι μετὰ βοῆς ἐχώρουν ἐπὶ τὰ ὅπλα, δήλης
δὲ τῆς εἰσβολῆς ταχέως καὶ τοῖς εἴσω γενομένης, οἱ μὲν ἁρπάζοντες
τὰ τέκνα καὶ γυναῖκας ἐπισυρόμενοι πρὸς τὴν ἄκραν ἀνέφευγον μετὰ
κωκυτοῦ καὶ βοῆς, οἱ δὲ τὸν Τίτον ὑπαντιάζοντες ἀδιαλείπτως
72 *ἔπιπτον· ὅσοι δὲ ἀπεκωλύθησαν ἐπὶ τὴν κορυφὴν ἀναδραμεῖν ὑπ'*
ἀμηχανίας εἰς τὰς τῶν Ῥωμαίων φρουρὰς ἐξέπιπτον. ἄπειρος δ'
ἦν πανταχοῦ φονευομένων ὁ στόνος, καὶ τὸ αἷμα πᾶσαν ἐπέκλυζε
73 *τὴν πόλιν κατὰ πρανοῦς χεόμενον. πρὸς δὲ τοὺς ἀναφεύγοντας εἰς*
τὴν ἄκραν ἐπεβοήθει Οὐεσπασιανὸς πᾶσαν εἰσαγαγὼν τὴν δύναμιν.
74 *ἦν δ' ἡ τε κορυφὴ πάντοθεν πετρώδης καὶ δύσβατος, εἰς ἄπειρον*
ὕψος ἐπηρμένη, καὶ πανταχόθεν † τοῦ βάθους κατέγεμεν περιει-
75 *λημμένη, κρημνοῖς κατέτεμνόν τε. ἐνταῦθα τοὺς προσβαίνοντας οἱ*
Ἰουδαῖοι τοῖς τε ἄλλοις βέλεσι καὶ πέτρας κατακυλινδοῦντες ἐκά-
76 *κουν· αὐτοὶ δὲ δι' ὕψος ἦσαν δυσέφικτοι βέλει. γίνεται δὲ πρὸς*
ἀπώλειαν αὐτῶν ἄντικρυς θύελλα δαιμόνιος, ἣ τὰ μὲν Ῥωμαίων
ἔφερεν εἰς αὐτοὺς βέλη, τὰ δὲ αὐτῶν ἀνέστρεφεν καὶ πλάγια παρέ-
77 *συρεν. οὔτε δὲ τοῖς ὑποκρήμνοις ἐφίστασθαι διὰ τὴν βίαν ἐδύναντο*
τοῦ πνεύματος μηδὲν ἑδραῖον ἔχοντες, οὔτε τοὺς προσβαίνοντας

PAMLVRC Lat Hegesippus IV 3 p. 226.

1 *δέ* eicit Destinon cum antecedentibus haec coniungens *γὰρ* om. A *παρ' αὐτὸν* — 2 *ἀπόντα*] *se absente* Lat *αὐτὸν*] Hauerkamp ex L. B. et Rost *αὐτῶν* codd. 2 *ἀπόντα*] *ἀπόντος* MC *τῶν ἱππέων* — 3 *πεζοὺς*] *ducentis equitibus praeter pedites lectis* Lat *ἐπιλεξάμενος* L 3 *πεζοὺς*] CLat *πεζὸς* PAMLVR: excidit numerus peditum *τὴν*] *εἰς τὴν* PAMVRC *παρελθόντος* L 5 *ταχέως* om. Lat 6 *γυναῖκας* (*ασ* i. ras. m. 2) V *τὰς γυναῖκας* LC et ex corr. Lips S *ἐπὶ τὴν κορυφὴν ἀπεκωλύθησαν* tr. C 9 *δὲ* VRC 10 *στόνος*, *ν* i. ras. m. 2 R *στόλος* V *ὑπέκλυζε* L 11 *εἰς*] *ἐπὶ* L 13 *ἦν* — 16 *ἐκάκουν*] *erat autem saxosus et accessu difficillimus uertex in immensum editus et undique circum hostium multitudinem praeceps, unde romanos ad se adeuntes alios telis et praeterea saxis deuolutis ulciscebantur iudaei* Lat *δὲ* LVRC *καὶ* — 15 *κρημνοῖς*] *γρ καὶ πάντοθεν ϑ· ὑποπλήθουσ περιειλημμένη κρημνοῖσ* i. marg. P *εὕρηται καὶ οὕτωσ· καὶ πανταχό ὑπὸ πλήθουσ περιειλημμένη κρημνῶν* i. marg. M 14 *βάθους*] *πλήθουσ* L *κατέγεμεν* spurium censet Cardwell 15 *κατέτεμνόν τε*] *κατέτεμνον δὲ* L; haec quoque corrupta *προβαίνοντασ* PA[1]VC *οἱ* om. R 16 *τούς τε ἄλλους* Hudson *πέτραισ* PAMLVR 17 *βέλει*] ex *βέλη* corr. m. 2 L *βέλεσι* MVRC *γίγνεται* L *δὲ* om. in exitu uersus C 18 *ἀντικρὺ* VRC *ἣ* P *ἦι* L 19 *δ'* L *ἀντέστρεφεν* L *καὶ*] *ἣ* Destinon *πλαγία* PA 20 *ἀποκρήμνοισ* L *ἠδύναντο* L 21 *ἑδραῖον* PARC *προβαίνοντασ* PAC *προσβαίνοντασ* (s. m. 2) V

καθορᾶν. ἐναναβαίνουσι δὲ Ῥωμαῖοι, καὶ περιοχόντες οὓς μὲν ἀμυ- 78
ομένους ἔφθανον, οὓς δὲ χεῖρας προΐσχοντας· ἐτόνου δὲ τὸν θυμὸν
αὐτοῖς ἐπὶ πάντας ἡ μνήμη τῶν ἐπὶ τῆς πρώτης εἰσβολῆς ἀπολω-
λότων. ἀπογινώσκοντες δὲ τὴν σωτηρίαν πανταχόθεν οἱ πολλοὶ 79
περισχόμενοι τέκνα καὶ γυναῖκας αὐτούς τε κατεκρήμνιζον εἰς τὴν
φάραγγα· βαθυτάτη δ' αὕτη καὶ τὴν ἄκραν ὑπορώρυκτο. σινάβρι 80
δὲ τὴν Ῥωμαίων ὀργὴν τῆς εἰς ἑαυτοὺς ἀπονοίας τῶν ἁλόντων
πραοτέραν φανῆναι· τετρακισχίλιοι μέν γε ὑπὸ τούτων ἐσφάγησαν,
οἱ δὲ ῥίψαντες ἑαυτοὺς ὑπὲρ πεντακισχιλίους εὑρέθησαν. διασώθη 81
δὲ πλὴν δύο γυναικῶν οὐδείς· τῆς Φιλίππου δὲ ἦσαν ἀδελφῆς
θυγατέρες αὗται, αὐτὸς δὲ ὁ Φίλιππος Ἰακίμου τινὸς ἀνδρὸς ἐπι-
σήμου, τετραρχήσαντος Ἀγρίππᾳ τῷ βασιλεῖ. διασώθησαν δὲ καὶ 82
παρὰ τὴν ἅλωσιν ὀργὰς Ῥωμαίων λαθοῦσαι· τότε γὰρ οὐδὲ γυναικῶν
ἐφείδοντο, πολλὰ δ' ἑκάστοτε ἁρπάζοντες ἐσφενδόνων ἀπὸ τῆς
ἄκρας. Γάμαλα μὲν οὕτως ἑάλω τρίτῃ καὶ εἰκάδι μηνὸς Ὑπερβερε- 83
ταίου τῆς ἀποστάσεως ἀρξαμένης Ξανθικοῦ μηνὸς τετάρτῃ καὶ
εἰκάδι.

II. 1. Μόνη δὲ Γίσχαλα πολίχνη τῆς Γαλιλαίας ἀχείρωτος κατε- 84
λείπετο, τοῦ μὲν πλήθους εἰρηνικὰ φρονοῦντος, καὶ γὰρ ἦσαν τὸ
πλέον γεωργοὶ καὶ ταῖς ἀπὸ τῶν καρπῶν ἐλπίσιν ἀεὶ προσανέ-
χοντες, παρεισεφθαρμένου δ' αὐτοῖς οὐκ ὀλίγου λῃστρικοῦ τάγμα-

---

PAMLVRCLatHegesippus IV 3 p. 226.

1 δὲ] *itaque* Lat 2 *προσίσχοντας* AM 3 *αὐτοῖς* om. C *εἰσβολῆς*] *aggressu* Lat *εἰσβολῆ ἀτονησάντων* (*ἀτονησάντων* expunctum) C 5 *περισχόμενοι*] *circumclusi* Lat *αὐτούς* P *ἑαυτοὺς* MLVRC *τε*] PALLat, om. MVRC 6 *δὲ* VRC *ὑπορώρυκτο*] *ὑπώρυκτο* PAMLVC *ὑπερῆκτο* R

7 *ἑαυτοὺς*] *αὐτοὺς* LVRC *ἁλόντων*] *ἄλλων* L 8 *φανεῖναι* C 9 *αὐτοὺς* C *ἑαὐτοὺς* VR *ηνρεθησαν* (sic) C 10 *οὐδεεῖς* L[1] *δ'* L 11 *αὐτὸς δὲ ὁ* i. ras. 9 litt. m. 2 L, eras. uid. *καίτοι γε ὁ*; hoc uertit Lat, in quo est *quamuis filippus iacimo genitus esset* *δ'* C *Ἰωακείμου* MC *Ἰωακίμου* V post *Ἰακίμου* ras. 4—5 litt., quarum prima fuit *τ* A *τινὸς ἀνδρὸς*] *τινὸσ ἦν ἀνδρὸσ* M *τινὸσ ἀνδρὸσ ἦν* L de Philippo cf. supra II 421. 556. Ant. XVII 29 sq. uit. 46. 177. 407 sq. 12 *τετραρχήσαντος*] PALLat *στρατραρχήσαντοσ* MVRC *τὰς*] *ταῖσ* PAVRC 13 *ὀργαῖσ* PAVRC *impetum* Lat *τότε γὰρ οὐδὲ*] *τότε γὰρ οὔτε* PAM *οὔτε γὰρ* L *nec enim* Lat 14 *πολλὰ* — 15 *ἄκρας*] *quorum multos singuli raptos ex arce proiciebant* Lat *δὲ* VRC *ἑκάστοτε*] PL *ἕκαστόσ τε* A *ἕκαστοσ τότε* MVRC *ἐσφενδόννν* R 15 *γαμάλα* A *μὲν*] PALat *μὲν οὖν* MLVRC *Ὑπερβερεταίου*] *octobris* Lat; Hyperberetaei 23. dies est 10. Nouembris (IV id. Nou.) anni Iuliani (67 p. Chr.) 16 *ἀπαρξαμένησ* L *Γορπιαίου*] *septembris* Lat *τετάρτῃ*] *τετράδι* L[1]; Gorpiaei 24. dies est 12. Octobris (IV id. Oct.) 18 i. marg. *ἡ* C *δὲ ἡ γίσχαλα* V 19 *φρονοῦν* C 20 *προσανίσχοντεσ* L[1] 21 *εἰσεφθαρμένου* L *δὲ* LVRC *συντάγματοσ* L

85 τος, ᾧ τινες καὶ τοῦ πολιτικοῦ συνενόσουν. ἐνῆγε δὲ τούτους εἰς
τὴν ἀπόστασιν καὶ συνεκρότει Λεῖου τινὸς υἱὸς Ἰωάννης, γόης ἀνὴρ
καὶ ποικιλώτατος τὸ ἦθος, πρόχειρος μὲν ἐλπίσαι μεγάλα, δεινὸς
δὲ τῶν ἐλπισθέντων περιγενέσθαι παντί τε ὢν δῆλος ἀγαπᾶν τὸν
86 πόλεμον εἰς δυναστείας ἐπίθεσιν. ὑπὸ τούτῳ τὸ στασιῶδες ἐν τοῖς
Γισχάλοις ἐτέτακτο, δι' οὓς τυχὸν καὶ πρεσβευσάμενον περὶ παρα-
δόσεως τὸ δημοτικὸν ἐν πολέμου μοίρᾳ τὴν Ῥωμαίων ἔφοδον ἐξε-
87 δέχετο. Οὐεσπασιανὸς δὲ ἐπὶ μὲν τούτους Τίτον ἐκπέμπει σὺν
χιλίοις ἱππεῦσιν, τὸ δέκατον δὲ τάγμα ἀπαίρει εἰς Σκυθόπολιν.
88 αὐτὸς δὲ σὺν δυσὶ τοῖς λοιποῖς ἐπανῆλθεν εἰς Καισάρειαν, τοῦ τε
συνεχοῦς καμάτου διδοὺς ἀνάπαυσιν αὐτοῖς καὶ δι' εὐθηνίαν τῶν
πόλεων τά τε σώματα καὶ τὸ πρόθυμον ὑποθρέψειν οἰόμενος
89 ἐπὶ τοὺς μέλλοντας ἀγῶνας· οὐ γὰρ ὀλίγον αὐτῷ πόνον ἑώρα περὶ
τοῖς Ἱεροσολύμοις λειπόμενον, ἅτε δὴ βασιλείου μὲν οὔσης τῆς
πόλεως καὶ προανεχούσης ὅλου τοῦ ἔθνους, συρρεόντων δὲ εἰς
90 αὐτὴν τῶν ἐκ τοῦ πολέμου διαδιδρασκόντων. τό γε μὴν φύσει τε
ὀχυρὸν αὐτῆς καὶ διὰ κατασκευὴν τειχῶν ἀγωνίαν οὐ τὴν τυχοῦσαν
ἐνεποίει· τὰ δὲ φρονήματα τῶν ἀνδρῶν καὶ τὰς τόλμας δυσμετα-
91 χειρίστους καὶ δίχα τειχῶν ὑπελάμβανεν. διὸ δὴ τοὺς στρατιώτας
καθάπερ ἀθλητὰς προήσκει τῶν ἀγώνων.

92 2. Τίτῳ δὲ προσιππασαμένῳ τοῖς Γισχάλοις εὐπετὲς μὲν ἦν
ἐξ ἐφόδου τὴν πόλιν ἑλεῖν, εἰδὼς δέ, εἰ βίᾳ ληφθείη, διαφθαρη-
σόμενον ὑπὸ τῶν στρατιωτῶν ἀνέδην τὸ πλῆθος, ἦν δ' αὐτῷ κόρος
ἤδη φόνων καὶ δι' οἴκτου τὸ πλέον ἀκρίτως συναπολλύμενον τοῖς

PAMLVRCLatHegesippus IV 4 p. 227.

1 *τούτοις* L^1 2 *ἀποστασίαν* C *Λεῖου*] *ληου* L^1 *ληουῦ* VR *λευΐου* C *leui* Lat *leuis* Heg 3 *ποικιλότατος* ex corr. A *δεινῶς* C 4 *παντί*] *πάντη* L^1 *ὢν*] *ὧν* C 5 *ὑπόθεσιν* VR *τοῖς*] om. L *ταῖς* C 6 *τυχὸν*] *τυχὼν* ex corr. C *τάχα ἂν* L recte, nisi potius mox *κἂν* pro *καὶ* scribendum est *πρεσβευσάμενος* V 7 *ἔφοδον*] *δύναμιν* L *congressum* Lat 8 *τούτοις* AV^2 9 *εἰσκυθόπολιν* R 11 *καὶ δι'* — 13 *ἀγῶνας*] *et ciuitatum copiis eorum corpora itemque animos ad futura certamina existimans esse refouendos* Lat 12 *πόλεων*] *πολεμίων* PL *ἐπιτηδείων* A *ὑποθρύψειν* P 13 *ἑαυτῷ* LR *αὐτῷ* C 14 *λειπόμενον*] *πειθόμενος* C 16 *τε*] Bekker, om. codd. 17 *κατασσκευὴν* A^1 *ἀγωνίαν* i. ras. 3 litt. (eras. *ὑ·-*) m. 2 L *οὐ* — 19 *τειχῶν* i. marg. inferiore suppl. m. 2 L; litt. *δυσμεταχειρίστους — τειχῶν* abscisae L 19 *ὑπελάμβανε, ὑπε* suppl. m. 2 L 20 *ἀθλητὰς, θλ* i. ras., eras. uid. *σκ* A *ἀσκητὰς* L 21 i. marg. *θ'* C *προιππασαμένω* R *προσιππευσαμένω, α* ex corr. V 22 *δέ*] om. L^1 *δὲ ὡς* MVRC 23 *ἀναίδην* L^1V^1R *δὲ* VRC 24 *φόνου* L *φ·όνων* R *οἴκτου* C *συναπολούμενον* ed. pr.

αἰτίοις, ἐβούλετο μᾶλλον ὁμολογίας παραστήσασθαι τὴν πόλιν. καὶ δὴ τοῦ τείχους ἀνδρῶν καταγέμοντος, οἳ τὸ πλέον ἦσαν ἐκ τοῦ 93
διεφθαρμένου τάγματος, θαυμάζειν ἔφη πρὸς αὐτούς, τίνι πεποιθότες κάσης ἀλωκυίας πόλεως μόνοι τὰ Ῥωμαίων ὅπλα μένουσιν.
ἐωρακότες μὲν ὀχυροτέρας πολλῷ πόλεις ἐπὶ μίαν προσβολὴν 94
κατεσκαμμένας, ἐν ἀσφαλείᾳ δὲ τῶν ἰδίων κτημάτων ἀπολαύοντας ὅσοι ταῖς Ῥωμαίων δεξιαῖς ἐπίστευσαν, ἃς καὶ νῦν προτείνειν αὐτοῖς μηδὲν μνησικακῶν τῆς αὐθαδείας. εἶναι γὰρ συγγνωστὸν 95
ἐλευθερίας ἐλπίδα, μηκέτι μέντοι τὴν ἐν τοῖς ἀδυνάτοις ἐπιμονήν·
εἰ γὰρ οὐ πεισθήσονται λόγοις φιλανθρώποις καὶ δεξιαῖς πίστεως, 96
πειράσειν αὐτοὺς ἀφειδῆ τὰ ὅπλα, καὶ ὅσον οὐδέπω † γνωσθήσεσθαι πιεζόμενον τοῖς Ῥωμαίων μηχανήμασιν τὸ τεῖχος, ᾧ πεποιθότες ἐπιδείκνυνται μόνοι Γαλιλαίων, ὅτι εἰσὶν αὐθάδεις αἰχμάλωτοι.

3. Πρὸς ταῦτα τῶν μὲν δημοτικῶν οὐ μόνον οὐκ ἀποκρίνεσθαί 97
τινι μετῆν, ἀλλ' οὐδ' ἐπὶ τὸ τεῖχος ἀναβῆναι· προδιείληπτο γὰρ ἅπαν τοῖς λῃστρικοῖς, καὶ φύλακες τῶν πυλῶν ἦσαν, ὡς μή τινες ἢ προέλθοιεν ἐπὶ τὰς σπονδὰς ἢ δέξαιντό τινας τῶν ἐπιτέων εἰς τὴν πόλιν· ὁ δ' Ἰωάννης αὐτός τε ἀγαπᾶν ἔφη τὰς προκλήσεις 98
καὶ τοὺς ἀπειθοῦντας ἢ πείσειν ἢ συναναγκάσειν· δεῖν μέντοι τὴν 99
ἡμέραν αὐτὸν ἐκείνην, ἑβδομὰς γὰρ ἦν, χαρίσασθαι τῷ Ἰουδαίων νόμῳ, καθ' ἣν ὥσπερ ὅπλα κινεῖν αὐτοῖς, οὕτω καὶ τὸ συντίθεσθαι περὶ εἰρήνης ἀθέμιτον. οὐκ ἀγνοεῖν δὲ οὐδὲ Ῥωμαίους, ὡς ἀρχὴ 100
πάντων αὐτοῖς ἐστιν ἡ τῆς ἑβδομάδος περίοδος, ἔν τε τῷ παραβαίνειν αὐτὴν οὐχ ἧττον ἀσεβεῖν τῶν βιασθέντων τὸν βιασάμενον.

PAMLVRCLat Hegesippus IV 4 p. 228.

1 *αἰτίοις*] αἰτίοισ τὸ μὴ αἴτιον M *ἐβούλετο*] ἐβουλευετο sic C *περισταίσασθαι* V¹ 2 *οἳ*] οἷσ R *τὸ*] τό τε C 6 *κτημάτων* V¹ *ἀπολαύοντα* R 8 *τῆς αὐθαδίας* L¹ *ταῖς αὐθαδείαις* (*εἰ* ex *ι* corr.) C *εἶναι* — 9 *ἐπιμονήν*] *quia spem libertatis ignoscendam putaret, non tamen etiam si quis impossibilia uellet, perseueraret* Lat *γὰρ* om. P 9 *ἐλπίδι* L¹VR *μηκέτι*] *μηκέτοι* V *μηκέτη*, *η* finale ex corr. C *τὴν*] *τῆσ* C *ἐν*] *ἐπὶ* V 10 *δεξιᾶς* R 11 *γνώσεσθαι* AM 12 *πιεζόμενον*] *παιζόμενον* L¹ *moenia sua ludum fore* Lat *παιδιὰν ἐσόμενον* Hudson 13 *γαλιλαῖοι* L¹ 15 *οὐ μόνον* s. m. 2 L 16 *μετῆν*, *η* i. ras. C *οὐδὲ* VRC *προείληπτο* ML 18 *προέλθοιεν*] *παρέλθοιεν* M *προσέλθοιεν* VRC *τὰς*] *τὰ* L¹ 19 *δὲ* LVRC 20 *ἀπειθοῦντας*] *ἀπιστοῦντασ* (*ι* i. ras. A) AMLVRC *renitentibus* Lat *συναναγκάζειν* L 21 *τῷ*] *τῶν* A¹ *τῶ τῶν* L fort. recte 23 *δὲ*] *τε* L *nam* Lat *οὐδὲ*] *οὔτε* LC 24 *πάντων*] *πάντωσ* L *τε*] *δὲ* L 25 *ἧττον* L¹ *βιαζόμενον* L

101 φέρειν δ' ἐκείνῳ μὲν οὐδεμίαν βλάβην τὰ τῆς ὑπερθέσεως· τί γὰρ
ἄν τις ἐν νυκτὶ βουλεύσαιτο ὁρασμοῦ πλέον ἔξον περιστρατοπεδεί-
102 σαντα παραφυλάξαι; μέγα δὲ κέρδος αὐτοῖς τὸ μηδὲν παραβῆναι
τῶν πατρίων ἐθῶν. πρέπει δὲ τῷ παρὰ προσδοκίαν εἰρήνην χαρι-
103 ζομένῳ τοῖς σωζομένοις τηρεῖν καὶ τοὺς νόμους." τοιούτοις ἐσο-
φίζετο τὸν Τίτον, οὐ τοσοῦτον τῆς ἑβδομάδος στοχαζόμενος, ὅσον
τῆς αὐτοῦ σωτηρίας· ἐδεδοίκει δὲ ἐγκαταληφθῆναι παραχρῆμα τῆς
πόλεως ἁλούσης ἐν νυκτὶ καὶ φυγῇ τὰς ἐλπίδας ἔχων τοῦ βίου.
104 θεοῦ δ' ἦν ἔργον ἄρα τοῦ σώζοντος τὸν Ἰωάννην ἐπὶ τὸν τῶν
Ἱεροσολύμων ὄλεθρον τὸ μὴ μόνον πεισθῆναι Τίτον τῇ σκέψει
τῆς ὑπερθέσεως, ἀλλὰ καὶ τῆς πόλεως πορρωτέρω στρατοπεδεί-
105 σασθαι πρὸς Κυδασοῖς· μεσόγειος δέ ἐστι Τυρίων κώμη καρτερά,
διὰ μίσους ἀεὶ καὶ πολέμου Γαλιλαίοις, ἔχουσα πλῆθός τε οἰκη-
τόρων καὶ τὴν ὀχυρότητα τῆς πρὸς τὸ ἔθνος διαφορᾶς ἐφόδια.
106 4. Νυκτὸς δ' ὁ Ἰώαννης ὡς οὐδεμίαν περὶ τῇ πόλει Ῥωμαίων
ἑώρα φυλακήν, τὸν καιρὸν ἁρπασάμενος οὐ μόνον τοὺς περὶ αὐτὸν
ὁπλίτας ἀλλὰ καὶ τῶν ἀργοτέρων συχνοὺς ἅμα ταῖς γενεαῖς ἀνα-
107 λαβὼν ἐπὶ Ἱεροσολύμων ἔφευγε. μέχρι μὲν οὖν εἴκοσι σταδίων
οἷόν τε ἦν συνεξαγαγεῖν γυναικῶν καὶ παιδίων ὄχλον ἀνθρώπῳ
κατασπερχομένῳ τοῖς ὑπὲρ αἰχμαλωσίας καὶ τοῦ ζῆν φόβοις, περαι-

---

PAMLVRC Lat Hegesippus IV 4 p. 229.

1 δὲ LVR τὰ] τὰ· A τι — 3 παραφυλάξαι] *quod enim unius noctis spatium praeter fugae consilium ceperit, praesertim cum id obseruare circumsedentem nemo prohibeat* Lat 2 ὁρασμοῦ spurium putat Destinon παρα-
ξαι
στρατοπεδεύσαντα L¹ περιστρατευσαντα C 3 παραφυλάττειν (s. m. 1 L, s. m. 2 V) LV παραβῆναι] *despicere* Lat 4 πατριῶν PM ἐθῶν] νόμων ed. pr. πρέπει] *decere* Lat πρέπειν Dindorf τῷ] τὸ C χαριζομένωι, ωι ex ων corr. V 7 αὐτοῦ PA¹MVR ἑαυτοῦ LC δὲ] δ' L γαρ (sic) i. ras. R *enim* Lat ἐγκαταλειφθῆναι PA¹LV² *ne — solus destitueretur* Lat 9 δὲ VRC σώσαντος VRC τὸν om. L¹ τὸν τῶν] τὸν (ὸ ex ῶ corr. V) LV τῶν R τῷ τῶν (et ὀλέθρῳ) Dindorf ex cod. L. B. 10 Ἱεροσολύμων] P¹LVRCLat Ἱεροσολυμιτῶν AM et ex corr. P σκέψει C 11 ὑποθέσεως L πορρωτέρω] ἀπωτέρω L στρατοπεδεύσασ V 12 Κυδασοῖς] κυδακοῖσ PAL² κυδαισοῖσ ut uid. L¹ κυδοισσοῖσ MCLips κυδυσσοῖσ VR *cydysan* aut *cydissam* Lat; Κάδασα uocatur supra II 459, Κύδισσα Ant. Iud. IX 235 δ' L 13 διὰ] καὶ διὰ L

ἂν
14 ὀχυρωτάτην VR τῆς] διτῆσ (δι deletum) C ἐφόδια] ἐφοδείαν R ἐφοδίου (s. m. 2) V 15 δὲ LVRC ὡς om. Dindorf ex cod. L. B. οὐδεμίαν] οὔτε μίαν PAM Ῥωμαίων s. P 16 ἑωρακὼς Dindorf ex cod. L. B. ἁρπασάμενος] ἀσπασάμενοσ L¹ 18 σταδίων] σταδίων ὡσ VRC 19 συνεξαγαγεῖν, εξ s. C γυναικῶν — ὄχλον] *mulieres ac pueros (paruulos* cod. Vat.*) aliamque multitudinem* Lat παιδίων] παίδων AM 20 φόβοις] φόβοισ οἱ συνεξελθόντεσ εἵποντο C φόβοις εἵποντο Cocceji; cf. Holwerda p. 155 περετέρω R et ut uid. V¹

τέρω δὲ προσκόπτοντος ἀπελείποντο, καὶ δειναὶ τῶν ἑωμένων ἦσαν ὀλοφύρσεις· ὅσον γὰρ ἕκαστος τῶν οἰκείων ἐγίνετο πορρωτέρω, 108
τοσοῦτον ἐγγὺς ὑπελάμβανεν εἶναι τῶν πολεμίων, παρεῖναί τε ἤδη τοῖς ἀχμαλωτισομένοις δοκοῦντες ἐπιόντο, καὶ πρὸς τὸν ἀλλήλων
ἐκ τοῦ δρόμου ψόφον ἐπεστρέφοντο καθάπερ ἤδη παρόντων οὓς ἔφευγον· ἀνοδίαις τ' ἐνέπιπτον οἱ πολλοί, καὶ περὶ τὴν λεωφόρον 109
ἦ τῶν φθανόντων ἔρις συνέτριβεν τοὺς πολλούς. οἰκτρὸς δὲ γυναι- 110
κῶν καὶ παιδίων ὄλεθρος ἦν, καί τινες πρὸς ἀνακλήσεις ἀνδρῶν τε καὶ συγγενῶν ἐθάρσησαν μετὰ κωκυτῶν ἱκετεύουσαι περιμένειν.
ἀλλ' ἐνίκα τὸ Ἰωάννου παρακέλευσμα σώζειν ἑαυτοὺς ἐμβοῶντος 111
καὶ καταφεύγειν ἔνθα καὶ περὶ τῶν ἀπολειπομένων ἀμυνοῦνται Ῥωμαίοις ἂν ἁρπαγῶσι. τὸ μὲν οὖν τῶν διαδιδρασκόντων πλῆθος
ὡς ἕκαστος ἰσχύος εἶχεν ἢ τάχους ἐσκέδαστο.

5. Τίτος δὲ μεθ' ἡμέραν ἐπὶ τὰς συνθήκας πρὸς τὸ τεῖχος 112
παρῆν. ἀνοίγει δ' αὐτῷ τὰς πύλας ὁ δῆμος, καὶ μετὰ τῶν γενεῶν 113
προελθόντες ἀνευφήμουν ὡς εὐεργέτην καὶ φρουρὰς ἐλευθερώσαντα τὴν πόλιν· ἐδήλουν γὰρ ἅμα τὴν τοῦ Ἰωάννου φυγὴν καὶ παρεκά- 114
λουν φείσασθαί τε αὐτῶν καὶ παρελθόντα τοὺς ὑπολειπομένους τῶν νεωτεριζόντων κολάσαι. ὁ δὲ τὰς τοῦ δήμου δεήσεις ἐν δευ- 115
τέρῳ θέμενος μοῖραν ἔπεμπε τῶν ἱππέων Ἰωάννην διώξουσαν, οἳ

PAMLVRC Lat Hegesippus IV 4 p. 229.

1 ἀπελίποντο P ἀπελείπ^{ον}·το (eras. ε) L ἐπελείποντο VR ἑωμένων] ἑσομένων C 2 αἱ ὀλοφύρσεις L ἐγένετο L 3 ἐγγὺς] *propiorem* Lat ἔγγιον Herwerden παρῆναι P 4 ἐπτώηντο ex corr. C τὸν] τῶν LR ἀλλήλλων, λ post ή ex η corr. C 6 ἀνοδίαις — πολλοί] *multique simul ruebant* Lat ἀνωδίαισ C τε VRC λεοφόρον P 7 φθανόντων, των s. P πολλοὺς] πολεμίουσ C οἰκτρὸς] L¹Hudson *miserabile* Lat οἶκτοσ PAMVRC et ex corr. L 8 παιδίων] παίδων M νηπίων L *infantium* Lat 9 συγγενῶν] VRC γυναικῶν PAML *propinquos* Lat ἐθάρρησαν L κωκυτῶν] γυναι|κῶνκυτῶν (γυναικῶν deletum) C ἱκετεύουσαι] ἱκετεῦσαι VRC cf. Holwerda p. 155 10 ἀλλὰ L παρακέλευμα PA¹ προκέλευσμα corr. ex προβούλευμα L ἐκβοῶντοσ P *inclamantis* Lat 11 καταφυγεῖν VR ἀπολειπομένων] ἀπειλουμένων C ἀμύνονται L¹C 12 διαδράντων L *qui fugerant* Lat 13 ἦ] ἢ A ἢ τάχους] *cito* Lat, quem ἦ τάχος legisse uideri adnotat Destinon 15 παρῆν πρὸσ τὸ τεῖχοσ tr. C ἀνόγει V¹ δὲ VRC γενεῶν] -γενεῶν (eras. uid. α) P τέκνων καὶ γυναικῶν L *coniugibus* Lat γρ μετὰ γυναικῶν i. marg. AM 16 προελθόντες] Niese προσελθόντεσ codd. *adeuntes* Lat ἀνευφήμουν] P et ex corr. A ἀνευφημουντεσ A¹ ἀνευφήμουν τε MLVRC ἐλευθερώσαντα, λεν i. ras. V 17 ἐδήλου R τοῦ suppl. P φυγὴν ex φυγεῖν corr. A 18 τε om. PAM αὐτῶν, ῶν ex οῦ corr. A ἐπιλειπομένουσ PAMLVR 19 τὰσ δεήσεισ τοῦ δήμου tr. PAMVRC 20 τιθέμενοσ L ἔπεμπε· A ἐπέπεμπεν L οἳ] οἱ δὲ L

τὸν μὲν οὐ καταλαμβάνουσιν, ἔφθη γὰρ εἰς Ἱεροσόλυμα διαφυγών, τῶν δὲ συναναβάντων ἀποκτείνουσι μὲν εἰς ἑξακισχιλίους, γύναια δὲ καὶ παιδία τρισχιλίων ὀλίγον ἀποδέοντα περιελάσαντες ἀνήγαγον.
116 ὁ δὲ Τίτος ἤχθετο μὲν ἐπὶ τῷ μὴ παραχρῆμα τιμωρήσασθαι τὸν Ἰωάννην τῆς ἀπάτης, ἱκανὸν δὲ ἀστοχήσαντι τῷ θυμῷ παραμύθιον ἔχων τὸ πλῆθος τῶν αἰχμαλώτων καὶ τοὺς διεφθαρμένους εἰσῄει
117 τε ἀνευφημούμενος εἰς τὴν πόλιν, καὶ τοῖς στρατιώταις ὀλίγον τοῦ τείχους παρασπάσαι κελεύσας νόμῳ καταλήψεως ἀπειλαῖς μᾶλλον
118 ἢ κολάσει τοὺς ταράσσοντας τὴν πόλιν ἀνέστελλε· πολλοὺς γὰρ ἂν καὶ διὰ τὰ οἰκεῖα μίσει καὶ διαφορὰς ἰδίας ἐνδείξασθαι τοὺς ἀναιτίους, εἰ διακρίνοι τοὺς τιμωρίας ἀξίους· ἄμεινον δ' εἶναι μετέωρον ἐν φόβῳ τὸν αἴτιον καταλιπεῖν ἢ τινα τῶν οὐκ ἀξίων αὐτῷ
119 συναπολεῖν· τὸν μὲν γὰρ ἴσως καὶ σωφρονῆσαι δέει κολάσεως τὴν ἐπὶ τοῖς παρῳχημένοις συγγνώμην αἰδούμενον, ἀδιόρθωτον δὲ τὴν
120 ἐπὶ τοῖς παραναλωθεῖσι τιμωρίαν εἶναι. φρουρᾷ μέντοι τὴν πόλιν ἠσφαλίσατο, δι' ἧς τούς τε νεωτερίζοντας ἐφέξειν καὶ τοὺς εἰρηνικὰ φρονοῦντας θαρραλεωτέρους καταλείψειν ἔμελλεν. Γαλιλαία μὲν οὖν οὕτως ἑάλω πᾶσα, πολλοῖς ἱδρῶσι προγυμνάσασα Ῥωμαίους ἐπὶ τὰ Ἱεροσόλυμα.
121 III. 1. Πρὸς δὲ τὴν εἴσοδον τοῦ Ἰωάννου ὁ πᾶς δῆμος ἐξεκέχυτο, καὶ περὶ ἕκαστον τῶν συμπεφευγότων μυρίος ὅμιλος συνη-

---

PAMLVRCLatHegesippus IV 4 p. 230. Suidas s. *ἐνδείκνυμι*.

2 *ἀποκτένουσι* PAMVR *ἀποκτέννουσι* C 3 *παιδία* ex *παιδι* · · corr. A *ἑξακισχιλίους*] *duo milia* LatHeg *ἀνήγαγον*] *ἀπήγαγον* L^1 *ἐπανῆγον* C 4 *τῷ*] *τὸ* PVC 5 *ἱκανὰ* C 6 *ἔχειν* C 8 *παρασπάσαι*] *κατασπάσαι* L *καταλείψεως* V *μᾶλλον* C 9 *κολάσει* · · (eras. uid. *σι*) L *κολάσσει* V *κολάσεσι* C *πολλοὺς* — 10 *ἀναιτίους* habet Suidas *γὰρ ἂν*] *γὰρ* L^1 Suid *δ' ἂν* VRC 10 *καὶ* om. Suid *μίσει* P *ἀνετίους* C 11 *διακρίνοιτο* C *δὲ* VRC 12 *ἐν φόβῳ μετέωρον* tr. C *καταλειπεῖν* PA *τῶν οὐκ ἀξίων*] *οὐκ ἄξιον* VR 13 *συναπόλεῖν* (s. m. 2) R *συναπελθεῖν* VC *cum (eo) perdere* Lat *συνανελεῖν* L. Dindorf *καὶ*] *κἂν* Bekker *σωφρονίσαι* L *modestiorem futurum* Lat, unde *σωφρονήσειν* Niese *δέει* — 14 *αἰδούμενον*] *uel metu supplicii uel quod erubesceret* Lat *δέει*] *φόβῳ δέει* L . *δέει κολάσεως*] *δίχα κολάσεως* aut *δέει κολάσεως ἢ* Destinon 14 *παρωχημένοις* M *συγνώμην* R *δὲ τὴν*] *δ' ἣν* L^1 *δὲ τοῖς* C 15 *μέντοι*] *μὲν οὖν* L *δὲ* V *tamen* Lat 16 *ἠσφαλίσαντο* P *τε* om. L *νεωτερίσαντας* L 17 i. marg. *ι'* C 18 *οὖν* om. AMLVRC *πο*|· *λλοῖς* P *προγυμνάσασα, προ* s. P *postquam exercuit* Lat 19 *ἐπὶ*] *ἐπὶ δὲ* LVRLat *ἐπειδὴ δὲ* C 20 *δὲ* om. LVRCLat *ἰωανου* C *συμπεφευγότων* L^1 *μυρίοις* V^1 *ὁμίλος* (s. m. 2) R *συνηθροισμένος* MV^2RC *συνηθρησμένος* V^1

θροισμένοι τὰς ἔξωθεν συμφορὰς ἀνεπτερώθησαν. τῶν δὲ τὸ μὲν 122
ἄσθμα θερμὸν ἔτι κοπτόμενον ἐδήλου τὴν ἀνάγκην, ἠλαζονεύοντο
δὲ κἀν κακοῖς, οὐ πεφευγέναι Ῥωμαίους φάσκοντες, ἀλλ' ἥκειν πολε-
μήσοντες αὐτοὺς ἐξ ἀσφαλοῦς· ἀλογίστων γὰρ εἶναι καὶ ἀχρήστων 123
παραβόλως προκινδυνεύειν περὶ Γίσχαλα καὶ πολίχνας ἀσθενεῖς,
δέον τὰ ὅπλα καὶ τὰς ἀκμὰς ταμιεύεσθαι τῇ μητροπόλει καὶ συμ-
φυλάσσειν. ἔνθα δὴ παρεδήλουν τὴν ἅλωσιν τῶν Γισχάλων, καὶ 124
τὴν λεγομένην εὐσχημόνως ὑποχώρησιν αὐτῶν οἱ πολλοὶ δρασμὸν
ἐνενόουν. ὡς μέντοι τὰ περὶ τοὺς αἰχμαλωτισθέντας ἠκούσθη, 125
σύγχυσις οὐ μετρία κατέσχε τὸν δῆμον, καὶ μεγάλα τῆς ἑαυτῶν
ἁλώσεως συνελογίζοντο τὰ τεκμήρια. Ἰωάννης δ' ἐπὶ μὲν τοῖς κατα- 126
ληφθεῖσιν ἧττον ἠρυθρία, περιὼν δ' ἑκάστους ἐπὶ τὸν πόλεμον
ἐνῆγεν ταῖς ἐλπίσιν, τὰ μὲν Ῥωμαίων ἀσθενῆ κατασκευάζων, τὴν
δ' οἰκείαν δύναμιν ἐξαίρων, καὶ κατειρωνευόμενος τῆς τῶν ἀπεί- 127
ρων ἀγροίας, ὡς οὐδ' ἂν πτερὰ λαβόντες ὑπερβαῖέν ποτε Ῥωμαῖοι
τὸ Ἱεροσολύμων τεῖχος οἱ περὶ ταῖς Γαλιλαίων κώμαις κακοπα-
θοῦντες καὶ πρὸς τοῖς ἐκεῖ τείχεσι κατατρίψαντες τὰς μιχανάς.

2. Τούτοις τὸ πολὺ τῶν νέων προσδιεφθείρετο καὶ πρὸς [μὲν] 128
τὸν πόλεμον ἦρτο, τῶν δὲ σωφρονούντων καὶ γηραιῶν οὐκ ἦν ὅστις
οὐ τὰ μέλλοντα προορώμενος ὡς ἤδη τῆς πόλεως οἰχομένης ἐπένθει.
ὁ μὲν οὖν δῆμος ἦν ἐν τοιαύτῃ συγχύσει, προὔτεινε δὲ τὸ κατὰ 129
τὴν χώραν πλῆθος τῆς ἐν Ἱεροσολύμοις στάσεως. ὁ μὲν γὰρ Τίτος 130
ἀπὸ Γισχάλων εἰς Καισάρειαν, Οὐεσπασιανὸς δὲ ἀπὸ Καισαρείας
εἰς Ἰάμνειαν καὶ Ἄζωτον ἀφικόμενος παρίσταταί τε αὐτὰς καὶ

PAMLVRC Lat Hegesippus IV 6 p. 231. Exc Peiresc.

1 *ἀνεπνυθάνετο* MVRC 3 *καὶ ἐν* VRC · *τοὺς ῥωμαίους* LC *ηκειν*] *εἶκειν* C *πολεμήσοντας* L^1 5 *κινδυνεύειν* L 6 *ἀκμὰς*] *αἰχμὰς* VRC *vigorem* Lat *συνφυλάσσειν* PA 7 *ἔνθα δὴ* — 9 *ἐνενόουν*] *significando tamen excidium giscalorum etiam quam dicebant honestam discessionem suam ut primi fugam esse intellegerent prodiderunt* Lat; ante *ἔνθα* aliquid excidisse putat Destinon *δη*] *δὴ καὶ* M *παρεδήλου* L 8 *εὐσχημόνως*] *εὐσχήμονον* corr. ex *εὐσχημόνων* R 9 *τοὺς*] *τῆς* V^1 10 *σύχυσις* L *σύγχησις* C *αὐτῶν* AM^1VR *αὐτῶν* ex corr. M 11 *ἐλογίζοντο* L *τὰ* om. L *δ'*] *δὲ* V^2RC *μὲν* V^1 *καταλειφθεῖσιν* A^1L^1Lat 12 *ἧττον* A^1 *περιὼν*] *παριὼν* P *δὲ* LVRC 13 *ἐνῆγε*] *ἦγε* V^1 14 *δὲ* LVRC *τῆς*] *τοῖς* C 18 *πολὺ*] *πολὺ μὲν* ex corr. A fort. recte *προσδιεφθείρετο*] *διεφθείρετο* L *μὲν*] expunxit A seclusit Bekker *καὶ* — 19 *ἦρτο* om. Lat 19 *σωφρόνων* L 21 *συγχήσει* V^1C *προδιέστη*] *προέστη* Exc, quae hinc incipiunt 22 *τῆς*] *τοῖς* C *ὁ* — 364,2 *προσκεχωρηκότων* om. Exc 23 *δ'* M

24 *ἰάμνιαν* (*ιάμνιαν* L) ALC *ἰάμν· ϊαν, ἰά* ex *ἄ* corr., s. m. 2 V *αὐτὰς*] *αὐταῖς* PAMLVR *utramque* Lat

φρουροὺς ἐγκαταστήσας ἐπέστρεψε πολὺ πλῆθος ἐπαγόμενος τῶν ἐπὶ
131 δεξιᾷ προσκεχωρηκότων. ἐκινεῖτο δ' ἐν ἑκάστῃ πόλει ταραχὴ καὶ
πόλεμος ἐμφύλιος, ὅσον τε ἀπὸ Ῥωμαίων ἀνέπνεον εἰς ἀλλήλους
τὰς χεῖρας ἐπέστρεφον. ἦν δὲ τῶν ἐρώντων τοῦ πολέμου πρὸς τοὺς
132 ἐπιθυμοῦντας εἰρήνης ἔρις χαλεπή. καὶ πρῶτον μὲν ἐν οἰκίαις
ἥπτετο τῶν ὁμονοούντων πάλαι τὸ φιλόνεικον, ἔπειτα ἀφηνιάζοντες
ἀλλήλων οἱ φίλτατοι [λαοὶ] καὶ συνιὼν ἕκαστος πρὸς τοὺς τὰ αὐτὰ
133 προαιρουμένους ἤδη κατὰ πλῆθος ἀντετάσσοντο. καὶ στάσις μὲν
ἦν πανταχοῦ, τὸ νεωτερίζον δὲ καὶ τῶν ὅπλων ἐπιθυμοῦν ἐπεκράτει
134 νεότητι καὶ τόλμῃ γηραιῶν καὶ σωφρόνων. ἐτράποντο δὲ πρῶτον
μὲν εἰς ἁρπαγὰς ἕκαστοι τῶν ἐπιχωρίων, ἔπειτα συντασσόμενοι
κατὰ λόχους ἐπὶ λῃστείαν τῶν κατὰ τὴν χώραν, ὡς ὠμότητος καὶ
παρανομίας ἕνεκεν αὐτοῖς μηδὲν Ῥωμαίων τοὺς ὁμοφύλους διαφέ-
ρειν καὶ πολὺ τοῖς πορθουμένοις κουφοτέραν δοκεῖν τὴν ὑπὸ Ῥω-
μαίοις ἅλωσιν.

135 3. Οἱ φρουροὶ δὲ τῶν πόλεων τὰ μὲν ὄκνῳ τοῦ κακοπαθεῖν,
τὰ δὲ μίσει τοῦ ἔθνους οὐδὲν ἢ μικρὰ προσήμυνον τοῖς κακουμένοις,
μέχρι κόρῳ τῶν κατὰ τὴν χώραν ἁρπαγῶν ἀθροισθέντες οἱ τῶν
πανταχοῦ συνταγμάτων ἀρχιλῃσταὶ καὶ γενόμενοι πονηρίας στῖφος
136 εἰς τὰ Ἱεροσόλυμα παρεισφθείρονται, πόλιν ἀστρατήγητον καὶ
πατρίῳ μὲν ἔθει πᾶν ἀπαραιτήτως δεχομένην τὸ ὁμόφυλον, τότε
δ' οἰομένων ἁπάντων τοὺς ἐπιχειροῦντας πάντας ἀπ' εὐνοίας ἥκειν
137 συμμάχους. ὃ δὴ καὶ δίχα τῆς στάσεως ὕστερον ἐβάπτισεν τὴν

PAMLVRCLat Hegesippus IV 6 p. 231 Exc Peiresc.

1 *ἐπὶ*] *ἐν* P 2 *ἐκανείτω* P *δ'*] *δὲ* PVRC *γὰρ* Exc *ἑκάστῃ*, *η* ex *ω* corr. A 3 *ἐμφύλιος*, *ι* uid. eras. V *ὅσον*] PAMLLat *ὅσοι* VRCExc *ἀπὸ*] *ὑπὸ* M 4 *ἐρώντων*] *ἐπιθυμούντων* LExc *τοῦ* om. LExc *πολέμου* ·, eras. *σ* L *πολέμους* Exc 5 *εἰρήνην* (*ν* finale i. ras. m. 3 V)VExc *ἐν* om. L¹ *οἰκείαις* L¹Exc 6 *ἥπτετο*, *ετο* i. ras. A *τῶν μὴ ὁμονοούντων* V *ἀφηνιάζοντες*] *ἀφανίζοντες* C 7 *λαοὶ* expunxit A *αὐτὰ*] *αὐτὰ φρονούντας καὶ* Exc 8 *πλῆθος*] *τὸ πλῆθος*, *τὸ* expunctum A *ἤδη*] *aperte iam* Lat *ἀντετάσσοντο*, anterius *σ* ex *ρ* corr. uid. L *ἀνετάσσοντο* Exc 9 *τὸ*] *τὸν* V¹ *νεωτερίζων* Exc *ἐπιθυμοῦν*] *ἐπεθύμουν* VR¹ *ἐπεθύμει* C *ἐπεκράτει τε* (*τε* ex *τῇ* corr. m. 2 R) VRCLips 10 *νεώτητι* P 11 *ἕκαστος* C *συνταξάμενοι* LExc 12 *λῃστείας* LExc *χώραν*] *χώραν ἐξήεσαν* M 13 *μηδὲν αὐτοῖς* tr. LVRCExc 14 *πορθουμένοις*] *ὁμοφύλοις* P *ῥωμαίους* VC *ῥωμαίων* LExc fort. recte 16 *κακοπαθεῖν*] *παθεῖν* P i. marg. *ια'* C 17 *κακουμένοις*, *κα* ex *και* corr. uid. C 20 *εἰς τὰ*] *εἴσ τε* LExc *προσφθείρονται* Exc 21 *δεχομένην* R *τότε*] *tunc praecipue* Lat 22 *δὲ* AVRCExc *ἁπάντων* s. P *ἐπεισχεομένους* MC *ἐπι·χεομένους*, eras. *σ* V *εἴκειν* C 23 *ὃ*] LLatExc *οἳ* PAMVRC *ἐβάπτισαν* PAMVRC

πόλιν· πλήθει γὰρ ἀχρήστῳ καὶ ἀργῷ προεξαναλώθη τὰ τοῖς μαχίμοις διαρκεῖν δυνάμενα, καὶ πρὸς τῷ πολέμῳ στάσιν τε ἑαυτοῖς καὶ λιμὸν ἐπικατεσκεύασαν.

4. Ἄλλοι τε ἀπὸ τῆς χώρας λησταὶ παρελθόντες εἰς τὴν πόλιν 138
καὶ τοὺς ἔνδον ῥᾳδίως καλεπωτέρους οὐδὲν ἔτι τῶν δεινῶν
παρίεσαν· οἵ γε οὐ μόνον ἁρπαγαῖς καὶ λωποδυσίαις τὴν τόλμαν 139
ἐμέτρουν, ἀλλὰ καὶ μέχρι φόνων ἐχώρουν, οὐ νυκτὸς ἢ λαθραίως
ἢ ἐπὶ τοὺς τυχόντας, ἀλλὰ φανερῶς καὶ μεθ' ἡμέραν καὶ τῶν ἐπι-
σημοτάτων καταρχόμενοι. πρῶτον μὲν γὰρ Ἀντίπαν, ἄνδρα τοῦ βασι- 140
λικοῦ γένους καὶ τῶν κατὰ τὴν πόλιν δυνατωτάτων, ὡς καὶ τοὺς δημο-
σίους θησαυροὺς πεπιστεῦσθαι, συλλαβόντες εἶρξαν· ἐπὶ τούτῳ 141
Ἀηνίαν τινὰ τῶν ἐπισήμων καὶ Σνφὰν υἱὸν Ἀρεγέτου, βασιλικὸν δ'
ἦν καὶ τούτων τὸ γένος, πρὸς δὲ τοὺς κατὰ τὴν χώραν προύχειν
δοκοῦντας. δεινὴ δὲ κατάπληξις εἶχε τὸν δῆμον, καὶ καθάπερ κατει- 142
λημμένης τῆς πόλεως πολέμῳ τὴν καθ' αὑτὸν ἕκαστος σωτηρίαν ἠγάλλετο.

5. Τοῖς δ' οὐκ ἀπέχρη τὰ δεσμὰ τῶν συνειλημμένων, οὐδὲ 143
ἀσφαλὲς ᾤοντο τὸ μέχρι πολλοῦ δυνατοὺς ἄνδρας οὕτω φυλάσσειν·
ἱκανοὺς μὲν γὰρ εἶναι καὶ τοὺς οἴκους αὐτῶν πρὸς ἄμυναν οὐκ ὀλι- 144
γάνδρους ὄντας, οὐ μὴν ἀλλὰ καὶ τὸν δῆμον ἐπαναστήσεσθαι τάχα
κινηθέντα πρὸς τὴν παρανομίαν. δόξαν οὖν ἀναιρεῖν αὐτοὺς Ἰωάν- 145
νην τινὰ πέμπουσιν τὸν ἐξ αὐτῶν εἰς φόνους προχειρότατον· Δορκάδος
οὗτος ἐκαλεῖτο παῖς κατὰ τὴν ἐπιχώριον γλῶσσαν· ᾧ δέκα

PAMLVRCLatHegesippus IV 6 p. 231 Exc Peiresc.

1 *προεξαναλώθη, θη* s. m. 2 L *προεξανηλώθη* MVRC 2 *στάσιν*] *σπάνιν* Destinon *ἑαυτοῖς*] PLExc *αὐτοῖσ* AMVRC *his* Lat 3 *λοιμὸν* Destinon *κατεσκεύασαν* LExc 5 *οὐδὲν ἔτι*] *οὐδέν τι* MVRC fort. recte *nullum* Lat 6 *παρίεσαν, η* i. ras. m. 2 L *παρείασαν* MVRC *οὐ μόνον*] *οὐχ* Destinon *τόλμαν*] *πόλιν* C 7 *ἀνεμέτρουν* C 8 *ἢ*] *οὐδ'* V *οὐδὲ* R *ἐπισημωτάτων* PC¹ 9 *βασιλικοῦ*] LExc *βασιλείου* PAMVRC 10 *δυνατωτάτων*] PALCExc *δυνατώτατον* MVRLat 11 *πεπιστεῦθαι* L¹V¹C et ex corr. A *εἶρξαν* P 12 *Ἀηνίαν*] *ληνβίαν* P *ληνϋβίαν* A *ληβίαν* LExc *λευΐαν* C *leuiam* LatHeg *Σνφὰν*] P *συφᾶν* ALExc *σωφᾶν* M *σώφαν* VR *σοφᾶν* C *foam* cod. Vat. *foriam* cod. Berol. Lat *foras* (nom.) Heg *υἱὸν* — 13 *γένος*] om. Exc *filium rageti et ipsum rageti regalis similiter utrumque familiae* Lat *Ἀρεγέτου*] *ῥεγέτου* L *ῥαγώλου* M *ῥεγώλου* VR *ῥαγονήλου* C *βασιλικὸν*] *τοῦ βασιλικοῦ* P *δὲ* VRC 16 *δὲ* LVRCExc *ἀπέχρη*] *ἀπέχρησεν* L *απέχρησε* Exc *ἀπέχρι* C *οὐδ'* LExc 17 *ἀσφαλῶσ* L¹Exc *τὸ* om. ALVRCExc 18 *καὶ* om. L¹Exc *αὐτῶν*] *τῶν* L¹Exc 19 *ἐπαναστήσασθαι* PA¹ 21 *τινὰ* om. Exc *πέμπουσιν τὸν ἐξ αὐτῶν*] AMLVLips *πέμπουσιν τῶν ἐξ αὐτῶν* P *τῶν ἐξ αὐτῶν πέμπουσιν* C *πέμπουσι σὺν τοῖσ ἀμφ' αὐτὸν* (*σὺν* — *αὐτὸν* i. ras. m. 2) R *πέμπουσιν* Exc *φόνον* C *προχειρώτατον* A *Δορκάδος* — 22 *γλῶσσαν* om. Exc 22 *οὗτος* iterauit C¹ *ᾧ δέκα*] *ὠιδέκα*, litt. *ῶι δέ* i. ras. pressius scriptae m. 2 V *ὧ δὲ καὶ* R¹ *ὧ δὲ* ex corr. R et ut uid. Lips. m. 1

συνελθόντες εἰς τὴν εἰρκτὴν ξιφήρεις ἀποσφάττουσιν τοὺς συνειλημ-
146 *μένους. παρανομήματι δ' ἐν τηλικούτῳ μεγάλως ἀτεψεύδοντο καὶ προφάσεις [ἀνέπλαττον]· διαλεχθῆναι γὰρ αὐτοὺς Ῥωμαίοις περὶ παραδόσεως τῶν Ἱεροσολύμων, καὶ προδότας ἀνῃρηκέναι τῆς κοινῆς ἐλευθερίας ἔφασκον, καθόλου τ' ἐπηλαζονεύοντο τοῖς τολμήμασιν* 5
ὡς εὐεργέται καὶ σωτῆρες τῆς πόλεως γεγενημένοι.

147 6. *Συνέβη δὲ εἰς τοσοῦτον τὸν μὲν δῆμον ταπεινότητος καὶ δέους, ἐκείνους δὲ ἀπονοίας προελθεῖν, ὡς ἐπ' αὐτοῖς εἶναι καὶ τὰς*
148 *χειροτονίας τῶν ἀρχιερέων. ἄκυρα γοῦν τὰ γένη ποιήσαντες, ἐξ ὧν κατὰ διαδοχὰς οἱ ἀρχιερεῖς ἀπεδείκνυντο, καθίστασαν ἀσήμους καὶ* 10
149 *ἀγενεῖς, ἵν' ἔχοιεν συνεργοὺς τῶν ἀσεβημάτων· τοῖς γὰρ παρ' ἀξίαν*
ἐπιτυχοῦσι τῆς ἀνωτάτω τιμῆς ὑπακούειν ἦν ἀνάγκη τοῖς παρα-
150 *σχοῦσι. συνέκρουον δὲ καὶ τοὺς ἐν τέλει τοικίλαις ἐπινοίαις καὶ λογοποιίαις, καιρὸν ἑαυτοῖς ἐν ταῖς πρὸς ἀλλήλους τῶν κωλυόντων φιλονεικίαις ποιούμενοι, μέχρι τῶν εἰς ἀνθρώπους ὑπερεμπλησθέντες* 15
ἀδικημάτων ἐπὶ τὸ θεῖον μετήνεγκαν τὴν ὕβριν καὶ μεμιασμένοις τοῖς ποσὶ παρῆεσαν εἰς τὸ ἅγιον.

151 7. *Ἐπανισταμένου τε αὐτοῖς ἤδη τοῦ πλήθους, ἐνῆγε γὰρ ὁ γεραίτατος τῶν ἀρχιερέων Ἄνανος, ἀνὴρ σωφρονέστατος καὶ τάχα ἂν διασώσας τὴν πόλιν, εἰ τὰς τῶν ἐπιβούλων χεῖρας ἐξέφυγεν, οἱ* 20
δὲ τὸν νεὼν τοῦ θεοῦ φρούριον αὐτοῖς καὶ τῶν ἀπὸ τοῦ δήμου ταραχῶν ποιοῦνται καταφυγήν, καὶ τυραννεῖον ἦν αὐτοῖς τὸ ἅγιον.

PAMLVRC Lat Hegesippus IV 6 p. 231 Exc. Peiresc.

1 *συνελθόντες, ν* ante *τ* deletum L *εἰρκτὴν* P *τοὺς συνειλημμένους*] *γρ τοὺσ εἰργμένουσ παρανομηματι δ' ἐν (δε ἐπι A) τηλικούτω μεγάλην ἀπεψεύδοντο πρόφασιν· διαλεχθῆναι γὰρ* i. marg. PA *συνειλημμένους*] *εἰργμένουσ* LCExc et i. marg. M *quos comprehenderant* Lat 2 *παρανομήματι* — 3 *ἀνέπλαττον*] *fingebant autem huius immanissimi sceleris causam* Lat *δ'*] *δὲ* VR *ἐν*] *ἐπὶ* C *μεγάλως*] *μεγάλην* VC et i. marg. M, om. Lat *καὶ* om. VC *ἐπεψεύδοντο* L. Dindorf 3 *προφάσεις*] *πρόφασιν* L¹VRCExcLat et i. marg. M *ἀνέπλαττον*] om. L¹VRCExcLat *ἀνεπλάττοντο* i. marg. suppl. m. 2 L 4 *προδότας ἀνευρηκέναι* Exc 5 *καθόλου τ'* (*τε* LExc)] LCExcLat *κατ' ὀλίγον δὲ* (*δ'* P) PAMVR *γρ καθόλου* i. marg. M *prorsus* Lat *ἐπηλαζονεύοντο*] *ἐπιλάλαζον* A *ἐπαλαζοντο* C *γρ καθόλου* (*κακαθόλου* A) *δὲ ἐπηλαζονεύοντο* (*ἐπιλ* — A) *τοῖσ τολμήμασιν* i. marg. PA 7 *μὲν τον* tr. VRC 8 *δὲ*] *δ'* L *δι* Exc *προελθεῖν*] *ἐλθεῖν* V 9 *ἀρχιερέων* finiunt Exc *ἄκυραν* R² *ὧν*] *οὗ* P *ὧν* ex *ὃν* corr. A 10 *κατὰ*] *τὰσ* PA 11 *ἀγεννεῖσ* L¹ *ἵνα* R 14 *καιρὸν, και* i. ras. minore A 15 *φιλονεικίαισ, ει* i. ras. m. 2 V 16 *μεμιαμμένοισ* VRC 17 *τοῖς* om. C *ποσὶν* L¹ *ποσὶ, ο* ex *ρο* corr. V *παρίεσαν* A 18 i. marg. *ιβ'* C *πλῆθοσ* C 19 *γεραίτεροσ* PAM *γεραιότατοσ* L *σωφρονέστατοσ ἀνὴρ* tr. L 20 *ἂν* om. L *εἰ*] *εἰσ* A¹ *ἐξέφυγεχεῖρασ* tr. L *ἐξέφυγε* C *οἱ*] *ὁ* A¹ 21 *αὐτοῖσ* PAMLVC *sibi* Lat 22 *καταφυγὴν*] *καὶ καταφυγὴν* LA¹ *καὶ καταφυγὴ* (*η* i. ras. V) VRC

παρεκίρνατο δὲ τοῖς δεινοῖς εἰρωνεία, τὸ τῶν ἐνεργουμένων ἀλγεινότερον· ἀπειρώμενοι γὰρ τῆς τοῦ δήμου καταλήξεως καὶ τὴν αἰτιῶν δοκιμάζοντες ἰσχὺν χλιρωτοὺς ἐπεχείρισαν ποιεῖν τοὺς ἀρχιερεῖς οὔσης, ὡς ἔφαμεν, κατὰ γένος αὐτῶν τῆς διαδοχῆς. ἦν δὲ πρόσχημα μὲν τῆς ἐπιβουλῆς ἔθος ἀρχαῖον, ἐπειδὴ καὶ πάλαι κληρωτὴν ἔφασαν εἶναι τὴν ἀρχιερωσύνην, τὸ δὲ ἀληθὲς τοῦ βεβαιοτέρου [νόμου] καταλῦσαι καὶ τέχνῃ πρὸς δυνασείαν τὰς ἀρχὰς δι' αὐτῶν καθισταμένους. 152 153 154

8. Καὶ δὴ μεταπεμψάμενοι μίαν τῶν ἀρχιερατικῶν φυλήν, 155
Ἐνιάχιν καλεῖται, διεκλήρουν ἀρχιερέα, λαγχάνει δ' ἀπὸ τύχης ὁ μάλιστα διαδείξας αὐτῶν τὴν παρανομίαν, Φαννί τις ὄνομα, υἱὸς Σαμουήλου κώμης Ἀφθίας, ἀνὴρ οὐ μόνον οὐκ ἐξ ἀρχιερέων, ἀλλ' οὐδ' ἐπιστάμενος σαφῶς τί ποτ' ἦν ἀρχιερωσύνη δι' ἀγροικίαν. ἀπὸ γοῦν τῆς χώρας αὐτὸν ἄκοντα σύραντες ὥσπερ ἐπὶ σκηνῆς 156
ἀλλοτρίῳ κατεκόσμουν προσωπείῳ τήν τ' ἐσθῆτα περιτιθέντες τὴν ἱερὰν καὶ τὸ τί δεῖ ποιεῖν ἐπὶ καιροῦ διδάσκοντες. χλεύη δ' ἦν 157
ἐκείνοις καὶ παιδιὰ τὸ τιλικοῦτον ἀσέβημα, τοῖς δ' ἄλλοις ἱερεῦσιν ἐλιθωμένοις πόρρωθεν παίζόμενον τὸν νόμον διακρίειν ἐμέλει καὶ κατέστενον τὴν τῶν ἱερῶν τιμῶν κατάλυσιν.

9. Ταύτην τὴν τόλμαν αὐτῶν οὐκ ἤνεγκεν ὁ δῆμος, ἀλλ' ὥσπερ 158

PAMLVRCLatHegesippus IV 6 p. 232.

1 *παρεκιρνᾶτο* PAML² *παρεκρίνατο* L¹ *εἰρωνία* P *τὸ* om. C *ἐνενεργουμένων* C *ἀλγεινότερον*, *ρ* i. ras. 2 litt. V 2 *αὐτῶν* PAMVR *ἑαυτῶν* L 5 *πρόσσχημα* R *μὲν* om. M *ἐπιβολῆς* Niese 6 *εἶναι* om. L *ἀρχιεροσύνην* A¹V¹R *δ'* L 7 *νόμου* om. L¹ *δι' αὐτῶν τὰς ἀρχὰς* tr. L 8 *αὐτῶν* AVR 9 *ἀρχιερατικῶν*] *ἱερατικῶν* VR *sacratarum* Lat *φυλῶν* L *φυλακὴν* (*ακὴν* expunctum) V 10 *ἐνιάχιν*, *ιν* i. ras. 3 litt. A *ἐνιαχεὶμ* MVR *ἐνιαχεῖν* L *ἐνιαχὶν* C *eniachin* Lat *eniachim* (accus.) Heg *ἢ Ἰαχὶμ* uel *Ἰαχεὶμ* Lowthius *Ἐλιακεὶμ* Relandus *διεκλήρου* R *δὲ* VR 11 *διαδείξας*] *διαδεξόμενος* VR *εὕρηται καὶ διαδεξόμενος* i. marg. M *Φαννί τις*] *φαννίτης* MV et ex corr. A *φάνι τις* L *φαννίας τίς* C *fani cuidam* ut uid. Lat *phanis quidam* Heg *Φάνασος* uel *Φήνασος* uocatur Ant. Iud. XX 227 *Φινεὲς* Nicephorus p. 112 *ὄνομα* ‖ *υἱὸς* (*ὄνομα* i. ras. m. 2, *υἱὸς* suppl. m. 2) L 12 *σαμουήλου*, *αμου* i. ras. V *Ἀφθίας*] *φθάς* L *ἄφθασ* RC *ἀφθᾶς* V (*ex uico*) *aphathas* Lat *οὐ μόνον*, litt. *οὐμον* ex corr. M *οὐκ*, *ου* ex *ο* corr. M *οὐκ ἐξ ἀρχιερέων*] *ἀνάξιος ἀρχιερεὺς* C 13 *οὐδὲ* VR *ποτε* VRC 15 *ἀλλοτρίᾳ* (s. m. 2) V *προσωπεῖον* C *τ'*] *τε* ML²VRC *γὰρ* L¹ *περιθέντες* L 16 *τὸ τί*] *ὅ* L *δεῖ*, *ει* i. ras. maiore m. 2 V *δ'*] *δὲ* VR *que* Lat 17 *δ'*] *δὲ* VR *quidem* Lat *ἱερεῦσιν*, *σι* expunctum C 18 *ἐπιθεμένοις* C *πεζόμενον* A et ut uid V¹ 19 *τιμῶν*] *τιμὴν* C *τιμῶν* (s. m. 2) V 20 *τόλμην* R *ὥσπερ*] *ὡς* AMLVRC

159 *ἐπὶ τυραννίδος κατάλυσιν ὥρμηντο πάντες· καὶ γὰρ οἱ προύχειν*
αὐτῶν δοκοῦντες, Γωρίων τε υἱὸς Ἰωσήπου καὶ ὁ Γαμαλιήλου
Σιμεών, παρεκρότουν ἔν τε ταῖς ἐκκλησίαις ἀθρόους καὶ κατ' ἰδίαν
περιιόντες ἕκαστον ἤδη ποτὲ τίσασθαι τοὺς λυμεῶνας τῆς ἐλευθε-
160 *ρίας καὶ καθᾶραι τῶν μιαφόνων τὸ ἅγιον. οἵ τε δοκιμώτατοι τῶν*
ἀρχιερέων, Γαμάλα μὲν υἱὸς Ἰησοῦς Ἀνάνου δὲ Ἄνανος, πολλὰ τὸν
δῆμον εἰς νωθείαν κατονειδίζοντες ἐν ταῖς συνόδοις ἐπήγειρον τοῖς
161 *ζηλωταῖς· τοῦτο γὰρ αὐτοὺς ἐκάλεσαν ὡς ἐπ' ἀγαθοῖς ἐπιτηδεύ-*
μασιν ἀλλ' οὐχὶ ζηλώσαντες τὰ κάκιστα τῶν ἔργων [καὶ] ὑπερ-
βαλλόμενοι.

162 10. *Καὶ δὴ συνελθόντος τοῦ πλήθους εἰς ἐκκλησίαν καὶ πάν-*
των ἀγανακτούντων μὲν ἐπὶ τῇ καταλήψει τῶν ἁγίων ταῖς τε
ἁρπαγαῖς καὶ τοῖς πεφονευμένοις, οὕτω δὲ πρὸς τὴν ἄμυναν ὡρμη-
μένων τῷ δυσεπιχειρήτους. ὅπερ ἦν, τοὺς ζηλωτὰς ὑπολαμβάνειν,
καταστὰς ἐν μέσοις ὁ Ἄνανος καὶ πολλάκις εἰς τὸν ναὸν ἀπιδὼν
163 *ἐμπλήσας τε τοὺς ὀφθαλμοὺς δακρύων „ἦ καλόν γε, εἶπεν, ἦν ἐμοὶ*
τεθνάναι πρὶν ἐπιδεῖν τὸν οἶκον τοῦ θεοῦ τοσούτοις ἄγεσι κατα-
γέμοντα καὶ τὰς ἁγίας χώρας τοσὶ μιαφόνων στενο-
164 *χωρουμένας. ἀλλὰ περικείμενος τὴν ἀρχιερατικὴν ἐσθῆτα καὶ τὸ*
τιμιώτατον καλούμενος τῶν σεβασμίων ὀνομάτων, ζῶ καὶ φιλοψυχῶ,
μηδ' ὑπὲρ τοὐμοῦ γήρως ὑπομένων εἰκλεῆ θάνατον † εἰ δεῖ μὴ

PAMLVRCLat.

2 *δοκοῦντες αὐτῶν* tr. VRC *γορρίων* L *γώριών, ων* ex *ον* corr. C *gorgion* Lat *iosippi* Lat *Γαμαλιήλου*] MVRCLat *γαμαήλου* PAL *συμεὼν ὁ γαμαήλου* tr. L 3 *παρεκροτοῦντο* L *τε* om. VRC *καὶ* om. C 4 *περιιόντες*] *παριόντες* P 5 *καθῆραι* AV *καθήραι* R 6 *γάμαλα* PA ···*γαμάλα* (eras. *καὶ*) L *γαμαλὰ* V *γαμαλᾶ* MRC *ἰησοῦ* VR *hiesu* Lat 7 *νωθίαν* PL¹ *νοθίαν* V¹R *ἐπήγειραν* VRC 8 *αὐτοὺς* PA *ἑαυτοὺς* L *ἐκάλεσαν*] *ἐκέλευσαν* C *ὡς* — 9 *ὑπερβαλλόμενοι*] *uti bonarum professionum aemuli ac non qui pessimam facinorum immanitatem superassent* Lat 9 *ἀλλ' οὐχὶ*] LLat *ἄλλους* PAMVRC, quod mauult Destinon *ζηλώσαντας* C *κάκιστα τῶν*] *κάκιστ' αὐτοὶ τῶν* Destinon *καὶ* om. PALat *ὑπερβαλόμενοι* LR *ὑπερβαλομένους* C 11 *εἰσ ἐκ*‖*εἰσ ἐκκλησίαν* C 12 *καταλείψει* LV¹ 13 *φονευομένοις* L *οὔπω δὲ*] *οὐδέπω* L¹ *οὐδέπω δὲ* L² 14 *τῷ*] *τὸ* PV¹ *δυσεπιχειρίτους* A *δυσεπιχωρήτους* L *ὅπερ*] *ὥσπερ* M 15 *κατα·στὰς* A *καὶ στὰς* C *ὁ* om. VRC *ναὸν*] *legem* Lat 16 *τε* om. L¹ *ἦ* — 17 *τεθνάναι*] *magis ait, mihi mori satis est* Lat *ἦ*] *ἢ* sic P *ἢ* V *καλὸν*] *μᾶλλον* L¹Lat *γε*] *γ'* L¹ *ἦν* om. L 17 *τεθνάναι*] *τεθνάναι βέλτιον* L¹ et fort. Lat *τοιούτοις* V *ἄγεσι*] *doloribus* (h. e. *ἄχεσι*) Lat 18 *μιαφόνων, μ* ex *ν* corr. L 19 *ἀρχιερατικὴν*] *ἱερὰν* V 20 *καλούμενον* PAMLR *ferens* Lat 21 *μηδ'*] Destinon *μήθ'* PAML *μηκέτι* VRC *nec — quidem* Lat *τοὐμοῦ*] *τοῦ ἐμοῦ* R² *γήρους* C *εἰ δεῖ μὴ*] *εἰ δὴ μὴ* L *εἰ δὲ δὴ* MVRC *igitur* Lat *ἤδη δὴ* Destinon

μόνος εἰμὶ καὶ καθάπερ ἐν ἐρημίᾳ τὴν ἐμαυτοῦ ψυχὴν ἐπιδώσω
μόνην ὑπὲρ τοῦ θεοῦ. τί γὰρ καὶ δεῖ ζῆν ἐν δήμῳ συμφορῶν ἀναι- 165
σθητοῦντι καὶ παρ' οἷς ἀπόλωλεν ἡ τῶν ἐν χερσὶ παθῶν ἀντί-
λημψις; ἁρπαζόμενοι γοῦν ἀνέχεσθε καὶ τυπτόμενοι σιωπᾶτε, καὶ
τοῖς φονευομένοις οὐδ' ἐπιστένει τις ἀναφανδόν. ὦ τῆς λιχρᾶς 166
τυραννίδος. τί [δὲ] μέμφομαι τοὺς τυράννους; μὴ γὰρ οὐκ ἐπά-
φησαν ἐφ' ὑμῶν καὶ τῆς ὑμετέρας ἀνεξικακίας; μὴ γὰρ οἰχ ὑμεῖς 167
περιιδόντες τοὺς πρώτους συνισταμένους, ἔτι δ' ὀλίγοι, πλείους
ἐποιήσατε τῇ σιωπῇ καὶ καθολιζομένων ἐρημοῦντες καθ' ἑαυτῶν
ἐπισιρέψαιε τὰ ὅπλα, δέον τὰς πρώτας αὐτῶν ἐπικόπτειν ὁρμάς. 168
ὅτε λοιδορίαις καθήπτοντο τῶν συγγενῶν, ὑμεῖς δὲ ἀμελήσαντες
ἐφ' ἁρπαγὰς παρωξύνατε τοὺς ἀλιτηρίους, καὶ πορθουμένου οἴκων
λόγος ἦν οὐδείς· τοιγαροῦν αὐτοὺς ἥρπαζον τοὺς δεσπότας, καὶ
συρομένοις διὰ μέσης τῆς πόλεως οὐδεὶς ἐτίμυνεν. οἱ δὲ καὶ δεσ- 169
μοῖς ἐκίσαντο τοὺς ὑφ' ὑμῶν προδοθέντας, ἐῶ λέγειν πόσοις καὶ
ποδαπούς· ἀλλ' ἀκαταιτιάτοις ἀκρίτοις οὐδεὶς ἐβοήθησε τοῖς δεδε-
μένοις. ἀκόλουθον ἦν ἐπιδεῖν τοὺς αὐτοὺς φονευομένους. ἐπείδομεν 170
καὶ τοῦτο καθάπερ ἐξ ἀγέλης ζῴων ἀλόγων ἑλκομένου τοῦ κρατι-
στεύοντος ἀεὶ θύματος, οὐδὲ φωνήν τις ἀφῆκεν οἰχ ὅπως ἐκίνησε
τὴν δεξιάν. φέρετε δὴ [τοίνυν], φέρετε πατούμενα βλέποντες τὰ 171
ἅγια καὶ πάντας ὑποθέντες αὐτοὶ τοῖς ἀνοσίοις τοὺς τῶν τολμη-
μάτων βαθμοὺς μὴ βαρύνεσθε τὴν ὑπεροχήν· καὶ γὰρ νῦν πάντως

PAMLVRC Lat.

1 εἰμὶ] *ibo* Lat εἶμι Destinon 4 *γοῦν*] οὖν PAM 5 οὐδὲ VRC *ἐπισταίνει* L 6 δὲ om. PL¹C Lat 7 ἡμῶν ALRC ἡμετέρας RC 8 *τοὺς — συνισταμένους*] *qui mecum ierant* Lat *πρώτως* R δὲ VRC 9 *ἠρεμοῦντες*] *κρεμνοῦντεσ* R 10 *ἐπετρέψατε* R *ἐπεθρέψατε* Naber *ὁρμὰς*] *πεῖρασ* (sic) L *conatus* Lat 11 *λοιδωρίαισ* V¹C *καθήπτοντο τῶν συγγενῶν* i. ras. V *εὐγενῶν* Destinon δ' L 12 *ἁρπαγαῖσ* AMLVR *ἀλητηρίουσ* A *ἀλιτηρίουσ, λι* i. ras. 4 litt. V *καὶ*] *quia* Lat 13 *ἀνήρπαζον* V 14 *διὰ μέσης*] *δι' ὅλησ* V 15 *ὑμῶν, υ* uid. corr. A *ἡμῶν* M et ut uid. Lat *ἐῶ* — 16 *δεδεμένοις*] *non dico quantos et quales, sed quot non accusatos indemnatos uinctos nullus adiuuit* Lat 16 *ποταπούσ* ML *ἀλλὰ* VRC *ἀκαταιτιάτουσ* LVRC *ἀκρίτωσ* L *ἀκρίτουσ* VRC 17 *ἐπίδομεν* PAV¹R 18 post *τοῦτο* ras. 8 litt. (apparent litt. *θ··ήτουσ*) L *καθάπερ*] *ac ueluti* cod. Vat. Lat *ἑλκομένουσ* V *κρατιστεύοντος*] *κρατίστου* L *κρατίστου ὄντοσ* VRC 19 *ἀφῆκε* P *οὐχ* — 20 *δεξιὰν* om. C 20 *φέρετε — φέρετε*] *patiemini ergo patiemini* Lat *φέρετε* (ante *δή*) om. i. marg. suppl. C *δὴ* om. L *τοίνυν* om. A *τὰ ἅγια*] *καὶ τὰ ἅγια* L¹ *sancta etiam* Lat 21 *πάντασ, α* ante *σ* i. ras. m. 2 L *πάντεσ* VRC *αὐτοὶ*] ex corr. A *αὐτοῖσ* PA¹ML² *αὐτοὺσ* L¹V *αὐτοὺσ* R, om. C Lat 22 *μὴ βαρύνεσθε*] *reueremini* Lat *βαρύνεσθαι* PRV¹

ἂν ἐπὶ μεῖζον προύκοψαν. εἴ τι τῶν ἁγίων καταλῦσαι μεῖζον εἶχον.
172 κεκράτηται μὲν οὖν τὸ ὀχυρώτατον τῆς πόλεως· λεγέσθω γὰρ νῦν
τὸ ἱερὸν ὡς ἄκρα τις ἢ φρούριον· ἔχοντες δ' ἐπιτετειχισμένην
τυραννίδα τοσαύτην καὶ τοὺς ἐχθροὺς ὑπὲρ κορυφὴν βλέποντες, τί
173 βουλεύεσθε καὶ τίσι τὰς γνώμας προσθάλπετε; Ῥωμαίους ἄρα
περιμενεῖτε, ἵν' ἡμῶν βοηθήσωσι τοῖς ἁγίοις; ἔχει μὲν οὕτως τὰ
πράγματα τῇ πόλει, καὶ πρὸς τοσοῦτον ἥκομεν συμφορῶν, ἵνα
174 ἡμᾶς ἐλεήσωσι καὶ πολέμιοι. οὐκ ἐξαναστήσεσθε, ὦ τλημονέστατοι, καὶ πρὸς τὰς πληγὰς ἐπιστραφέντες. ὃ κἀπὶ τῶν θηρίων ἔστιν
ἰδεῖν, τοὺς τύπτοντας ἀμυνεῖσθε; οὐκ ἀναμνήσεσθε τῶν ἰδίων
ἕκαστος συμφορῶν οὐδὲ ἃ πεπόνθατε πρὸ ὀφθαλμῶν θέμενοι τὰς
175 ψυχὰς ἐπ' αὐτοὺς θήξετε πρὸς τὴν ἄμυναν; ἀπόλωλεν ἄρα παρ'
ἡμῖν τὸ τιμιώτατον τῶν παθῶν καὶ φυσικώτατον, ἐλευθερίας ἐπιθυμία, φιλόδουλοι δὲ καὶ φιλοδέσποτοι γεγόναμεν ὥσπερ ἐκ προ-
176 γόνων τὸ ὑποτάσσεσθαι παραλαβόντες. ἀλλ' ἐκεῖνοί γε πολλοὺς
καὶ μεγάλους ὑπὲρ τῆς αὐτονομίας πολέμους διήνεγκαν καὶ οὔτε
τῆς Αἰγυπτίων οὔτε τῆς Μήδων δυναστείας ἠττήθησαν ὑπὲρ τοῦ
177 μὴ ποιεῖν τὸ κελευόμενον. καὶ τί δεῖ τὰ τῶν προγόνων λέγειν;
ἀλλ' ὁ νῦν πρὸς Ῥωμαίους πόλεμος, ἐῶ διελέγχειν πότερον λυσιτελὴς ὢν καὶ σύμφορος ἢ τοὐναντίον, τίνα δ' οὖν ἔχει πρόφασιν;
178 οὐ τὴν ἐλευθερίαν; εἶτα τοὺς τῆς οἰκουμένης δεσπότας μὴ φέροντες
179 τῶν ὁμοφύλων τυράννων ἀνεξόμεθα; καίτοι τὸ μὲν τοῖς ἔξωθεν
ὑπακούειν ἀνενέγκαι τις ἂν εἰς τὴν ἄναξ ἠττήσασαν τύχην, τὸ δὲ

PAMLVRCLat Hegesippus V 2 p. 278.

1 *προέκοψαν.* L ante *εἰ* rasura (eras. uid. *εἰ*) L *μεῖζον καταλῦσαι* tr. V 2 *λεγέσθω* — 3 *ἱερὸν*] *nunc autem fanum appellatur* Lat *γὰρ*] *δὲ* L *νῦν* om. P 3 *ἔχοντες* — 5 *βουλεύεσθε*] *tanta igitur contra uos tyrannide munita et inimicis supra uerticem positis, ut uidetis, quid cogitatis?* Lat *ἔχοντες*] *ἑλόντες* PA *ὁρῶντες* M *δ'*] *δὲ* VR et ex corr. L 4 *τυραννίδα*] *τὴν τυραννίδα* A *βλέποντες*] *ὄντας* M 5 *βουλεύεσθε*] *βούλεσθε* LRC *ἄρα* (*ἆρα* C) MLRC 6 *περιμένετε* VR Lat *ἵνα* VR *οὕτω* LVRC 7 *ἵν'* L 9 *ὃ*] *ὦ* P *καὶ ἐπὶ* VR 10 *ἀναμνήσεσθε*] *ἀναμνησθήσεσθε* VRC 11 *οὐδ'* L 12 *ἐπ' αὐτοὺς* om. Lat *ἐπ'*] *ἀπ'* MVRC *αὐτοὺς*] PAL² *αὐτοῖς* L¹ *αὐτῶν* MVRC 13 *ἡμῖν* C *τιμιώτατον*, *α* i. ras. M

14 *δὲ*] *τε* L 15 *τὸ* om. L *ὑμοτάσσεσθαι* A 16 *οὔτε τῆσ μήδων δυναστείασ οὔτε τῆσ αἰγυπτίων* tr. C 19 *πότερον ἐῶ διελέγχειν* tr. P *πρότερον* L¹C 20 *ὢν* om. C *δ' οὖν*] *γοῦν* L 22 *ἀνεξώμεθα* C *καίτοι* — 23 *τύχην*] *quamquam externis oboedientes ad fortunam semel id referunt, cuius iniuria uicti sunt* Lat *καίτοι τὸ*] *καὶ τοῦτο*, i. marg. *γρ καίτοι το* m. 2 V 23 *ἀνενέγκαι*] *ἐνέγκαι* PALC *ἂν* om. PAM *ἐμήσθην ῥωμαίων* post *ἄπαξ* expunxit V; cf. p. 371,2 *ἠττήσασαν*] *ἠττηθεῖσαν* LC

τοῖς οἰκείοις εἴκειν πονηροῖς ἀγεννῶν ἐστι καὶ προαιρουμένων.
ἐπειδὴ δὲ ἅπαξ ἐμνήσθην Ῥωμαίων, οὐκ ἀποκρύψομαι πρὸς ὑμᾶς 180
εἰπεῖν ὃ μεταξὺ τῶν λόγων ἐμαυτὸν ἐπέστρεψε τὴν διάνοιαν, ὅτι
κἂν ἁλῶμεν ὑπ' ἐκείνοις, ἀπείη δὲ ἡ πεῖρα τοῦ λόγου, χαλεπώ-
5 τερον οὐδὲν παθεῖν ἔχομεν ὧν ὑμᾶς διατεθείκασιν οὗτοι. πῶς δὲ 181
οὐ δακρύων ἄξιον ἐκείνων μὲν ἐν τῷ ἱερῷ καὶ ἀναθήματα βλέπειν,
τῶν δὲ ὁμοφύλων τὰ σκῦλα σεσυλημένων καὶ ἀνελόντων τὴν τῆς
μητροπόλεως εὐγένειαν, καὶ πεφονευμένους ἄνδρας ὧν ἀπέσχοντο
ἂν κἀκεῖνοι κρατήσαντες; καὶ Ῥωμαίους μὲν μηδέποτε ἐνεργῆναι 182
10 τὸν ὅρον τῶν βεβήλων μηδὲ παραβῆναί τι τῶν ἱερῶν ἐθῶν,
πεφρικέναι δὲ πόρρωθεν ὁρῶντας τοὺς τῶν ἁγίων περιβόλους, γενη- 183
θέντας δέ τινας ἐν τῇδε τῇ χώρᾳ καὶ τραφέντας ὑπὸ τοῖς ἡμετέροις ἤθεσι
καὶ Ἰουδαίους καλουμένους ἐμπεριπατεῖν μέσοις τοῖς ἁγίοις θερμὰς
ἔτι τὰς χεῖρας ἐξ ὁμοφύλων ἔχοντας φόνων; εἶτά τις δέδοικεν τὸν 184
15 ἔξωθεν πόλεμον καὶ τοὺς ἐν συγχρίσει πολλῷ τῶν οἰκείων ἡμῖν
μετριωτέρους; καὶ γὰρ ἄν, εἰ ἐτίμους δεῖ τοῖς πράγμασι τὰς κλή-
σεις ἐφαρμόζειν, τάχα ἂν εὕροι τις Ῥωμαίους μὲν ἡμῖν βεβαιοτὰς
τῶν νόμων, πολεμίους δὲ τοὺς ἔνδον. ἀλλ' ὅτι μὲν ἐξώλεις οἱ ἐπι- 185
20 βουλοι τῆς ἐλευθερίας, καὶ πρὸς ἃ δεδράκασιν οὐκ ἄν τις ἐπινοή-
σειεν δίκην ἀξίαν κατ' αὐτῶν, οἶμαι πάντας ἴσχειν πεπεισμένους
οἴκοθεν καὶ πρὸ τῶν ἐμῶν λόγων παρωξύνθαι τοῖς ἔργοις ἐπ'
αὐτούς, ἃ πεπόνθατε. καταπλήσσονται δ' ἴσως οἱ πολλοὶ τό τε 186
πλῆθος αὐτῶν καὶ τὴν τόλμαν, ἔτι δὲ καὶ τὴν ἐκ τοῦ τόπου πλεο-

PAMLVRC Lat Hegesippus V 2 p. 279.

1 *οἰκείοις*] *ἰδίοις* L *εἴκειν*] *ἥκειν* V 2 *δὲ* s. V 3 *ἐμπεσὼν* P^1V^1C *ἐπέτρεψε* L 4 *ἐκείνων* C *ἀπείη*] *ἀπήει* AL^1V^1R 5 *παθεῖν οὐδὲν* tr. V *διατεθήκασιν* L^1V^1 *διατεθείκεσαν* PAM *δ'* C 6 *ἐκείνων*] *ὑπ' ἐκείνων* Herwerden 7 *δ'* M *σκῦλα, σκ* i. ras. m. 2 L *καὶ ἀνελόντων*] om. L^1 Lat, suppl. L^2 ita, ut *καὶ* ante *τὴν*, *ἀνελόντων* uero u. 8 post *εὐγένειαν* positum sit 9 *ἂν* om. L *μηδέποτε* V^1C 10 *πεφρηκέναι* C 11 *ἐφορῶντας* L *γενηθέντας*] Niese *γεννηθέντας* codd. *natos* Lat 14 *φόνων* (s. m. 2) V *εἶτά τις*] Bekker *εἶτα τίσ* codd. Lat 16 *ἄν* om. L recte ut uid. *εἰ* om. PAL *ἑτοίμους* PAL^2RC *ἑτοίμουσ* V *propria* (*-uocabula*) Lat 17 *τίσ, ισ* i. ras. minore m. 2 L *μὲν* s. P *ἡμῖν*] *ἡμῖν ὁμοίως* Dindorf ex cod. L. B. et Rost. 18 *δὲ*] *μὲν* V^1 *μὲν*] *μὲν οὖν* PA *ἐξώλεις*] *ἐξ ὅλησ* V 19 *ἐπινοήσαι* L^1 *ἐπινοήσειε* L^2 20 *οἶμαι* — 21 *λόγων*] *certum est, idemque omnibus uobis et ante orationem meam esse persuasum atque* Lat *ἥκειν*] *εἴκειν* LVRC 21 *καὶ* s. P *ἐμῶν* om. VR *παρωξυνθῆναι* P *παρωξύνεσθαι* A *παρωξύνεσθε* (s. m. 2) V *παροξύνθαι* C 22 *δὲ* VRC *οἱ*] *εἰ* V^1

187 νεξίαν. ταῦτα δ' ὥσπερ συνέστη διὰ τὴν ὑμετέραν ἀμέλειαν, καὶ
νῦν αὐξηθήσεται πλέον ὑπερθεμένων· καὶ γὰρ τὸ πλῆθος αὐτοῖς
ἐπιτρέφεται καθ' ἡμέραν παντὸς πονηροῦ πρὸς τοὺς ὁμοίους αὐτο-
188 μολοῦντος, καὶ τὴν τόλμαν ἐξάπτει μέχρι νῦν μηδὲν ἐμπόδιον, τῷ
τε τόπῳ καθύπερθεν ὄντες χρήσαιντο καὶ μετὰ παρασκευῆς, ἂν
189 ἡμεῖς χρόνον δῶμεν. πιστεύσατε δὲ ὡς, ἐὰν προσβαίνωμεν ἐπ'
αὐτούς, ἔσονται τῇ συνειδήσει ταπεινότεροι, καὶ τὸ πλεονέκτημα
190 τοῦ ὕψους ὁ λογισμὸς ἀπολεῖ. τάχα τὸ θεῖον ὑβρισμένον ἀνα-
στρέψει κατ' αὐτῶν τὰ βαλλόμενα, καὶ τοῖς σφετέροις διαφθαρή-
σονται βέλεσιν οἱ δυσσεβεῖς. μόνον ὀφθῶμεν αὐτοῖς, καὶ κατα-
191 λέλυνται. καλὸν δέ, κἂν προσῇ τις κίνδυνος, ἀποθνήσκειν πρὸς
τοῖς ἱεροῖς πυλῶσι καὶ τὴν ψυχὴν εἰ καὶ μὴ πρὸ παίδων ἢ γυναι-
192 κῶν, ἀλλ' ὑπὲρ τοῦ θεοῦ καὶ τῶν ἁγίων προέσθαι. προστήσομαι
δ' ἐγὼ γνώμῃ τε καὶ χειρί, καὶ οὔτε ἐπίνοιά τις ὑμῖν λείψει πρὸς
ἀσφάλειαν ἐξ ἡμῶν οὔτε τοῦ σώματος ὄψεσθε φειδόμενον."

193 11. Τούτοις ὁ Ἄνανος παρακροτεῖ τὸ πλῆθος ἐπὶ τοὺς ζηλω-
τάς, οὐκ ἀγνοῶν μὲν ὡς εἶεν ἤδη δυσκατάλυτοι πλήθει τε καὶ νεό-
τητι καὶ παραστήματι ψυχῆς, τὸ πλέον δὲ συνειδήσει τῶν εἰργασμέ-
νων· οὐ γὰρ ἐνδώσειν αὐτοὺς εἰς ἰσχάτην συγγνώμην ἐφ' οἷς ἔδρασαν
194 ἐλπίσαντας· ὅμως δὲ πᾶν ὁτιοῦν παθεῖν προῃρεῖτο μᾶλλον ἢ
195 περιιδεῖν ἐν τοιαύτῃ τὰ πράγματα συγχύσει. τὸ δὲ πλῆθος ἄγειν
αὐτοὺς ἐβόα καθ' ὧν παρεκάλει, καὶ προκινδυνεύειν ἕκαστος ἦν
ἑτοιμότατος.

196 12. Ἐν ὅσῳ δὲ ὁ Ἄνανος κατέλεγέ τε καὶ συνέτασσε τοὺς ἐπι-

---

PAMLVRCLatHegesippus V 2 p. 279.

1 δὲ VRC ἡμετέραν AV 2 πλῆθος] πλῆ C 3 ἐπιστρέφεται L^1 πρὸς] καὶ πρὸσ L^1 αὐτομολοῦντασ MC 4 ἐξάπτειν PAL τῷ τε] τότε PC 5 καθύπερθε L^1 χρήσαιντο] *utentur* Lat, χρήσονται aut χρήσαιντ' ἄν scribendum uid. μετὰ i. ras. V 6 ··πιστεύσατε, eras. uid. ἐμ L δ' L προβαίνωμεν LC ἐπ'] πρὸσ L 7 αὐτοῖσ VR 11 προσῇ, οσ ex corr. M 12 μὴ om. M ἢ] καὶ L *et* Lat 13 πρόεσθαι V προστήσομαι] *praebebo* Lat 14 δὲ VR οὔτ' L ὑμῖν om. C 15 οὔτε] οὔτε με Herwerden ὄψεσθαι AV^1C 16 Ἄνανος] ἄνονοσ ex ἄνομοσ corr. C παρεκρότει L 17 δυσκατάλυτοι] δυσκατάληπτοι V 18 συνηδήσει P 19 οὐ — 20 ἐλπίσαντας] *nec enim concessum iri extremam ueniam his quae perpetrauerant sperabant* Lat ἐνδόσειν R ἐνδώσιν ut uid. V^1 εἰς ἐσχάτην] codd. εἰς ἔσχατον ex cod. Voss. Hudson ἐσχάτην Destinon 20 ἐλπίσαντεσ PAL ἀπελπίσαντας Destinon cl. V 354 δὲ om. A προῃρεῖτο] προήρητο MVR προειρεῖτο C 21 τοσαύτῃ L συγχήσει, γ ex χ corr. C 22 ὧν] ὃν C 23 ἑτοιμότατοσ ἦν tr. L 24 i. marg. ιδ' C κατέλεγε·, ε ante γ i. ras. m. 2, eras. ν L τε iterat P συνέταξε ut uid. L^1

τηδείους πρὸς μάχην, οἱ ζηλωταὶ πυνθανόμενοι τὴν ἐπιχείρησιν,
παρῆσαν γὰρ οἱ ἀγγέλλοντες αὐτοῖς πάντα τὰ παρὰ τοῦ δήμου,
παροξύνονται κἀκ τοῦ ἱεροῦ προπηδῶντες ἀθρόοι τε καὶ κατὰ λόχους
οὐδενὸς ἐφείδοντο τῶν προστυγχανόντων. ἀθροίζεται δὲ ὑπ' Ἀνάνου 197
ταχέως τὸ δημοτικόν, πλήθει μὲν ὑπερέχον, ὅπλοις δὲ καὶ τῷ μὴ
συγκεκροτῆσθαι λειπόμενον τῶν ζηλωτῶν. τὸ πρόθυμον δὲ παρ' 198
ἑκατέροις ἀνεπλήρου τὰ λείποντα, τῶν μὲν ἀπὸ τῆς πόλεως ἀνει-
ληφότων ὀργὴν ἰσχυροτέραν τῶν ὅπλων, τῶν δὲ ἀπὸ τοῦ ἱεροῦ
τόλμαν παντὸς πλήθους ὑπερέχουσαν· καὶ οἱ μὲν ἀοίκητον ὑπο- 199
λαμβάνοντες αὐτοῖς τὴν πόλιν εἰ μὴ τοὺς λῃστὰς ἐκκόψειαν αὐτῆς,
οἱ ζηλωταὶ δὲ εἰ μὴ κρατοῖεν οὐκ ἔστιν ἵστινος ἵστερήσειν τιμω-
ρίας, συνερρήγνυντο στρατηγούμενοι τοῖς πάθεσι, τὸ μὲν πρῶ- 200
τον κατὰ τὴν πόλιν καὶ πρὸ τοῦ ἱεροῦ λίθοις βάλλοντες ἀλλήλους
καὶ πόρρωθεν διακοντιζόμενοι, κατὰ δὲ τὰς τροπὰς οἱ κρατοῦντες
ἐχρῶντο τοῖς ξίφεσι· καὶ πολὺς ἦν ἑκατέρων φόνος, τραυματίαι τε
ἐγίνοντο συχνοί. καὶ τοὺς μὲν ἀπὸ τοῦ δήμου διεκόμιζον εἰς τὰς 201
οἰκίας οἱ προσήκοντες, ὁ δὲ βληθεὶς τῶν ζηλωτῶν εἰς τὸ ἱερὸν
ἀνῄει καθαιμάσσων τὸ θεῖον ἔδαφος· καὶ μόνον ἄν τις εἴποι τὸ
ἐκείνων αἷμα μιᾶναι τὰ ἅγια. κατὰ μὲν οὖν τὰς συμβολὰς ἐκτρέ- 202
χοντες ἀεὶ περιῆσαν οἱ λῃστρικοί, τεθυμωμένοι δὲ οἱ δημοτικοὶ καὶ
πλείους ἀεὶ γινόμενοι, κακίζοντες τοὺς ἐνδιδόντας καὶ μὴ διδόντες
τοῖς τρεπομένοις ἀναχώρησιν οἱ κατόπιν βιαζόμενοι, πᾶν μὲν ἐπι-
στρέφουσι τὸ σφέτερον εἰς τοὺς ὑπεναντίους· κἀκείνων μηκέτ' 203
ἀντεχόντων τῇ βίᾳ, κατὰ μικρὸν δ' ἀναχωρούντων εἰς τὸ ἱερὸν
συνεισπίπτουσιν οἱ περὶ τὸν Ἄνανον. τοῖς δὲ κατάπληξις ἐμπίπτει 204
στερομένοις τοῦ πρώτου περιβόλου, καὶ καταφυγόντες εἰς τὸ ἐνδο-

---

PAMLVRC Lat Hegesippus IV 6 p. 232.

1 *πυθόμενοι* MLC *τὴν ἐπιχείρησιν*] *cunctis eius conatibus* Lat 2 *ἀγγέλλοντες*, alterum λ suppletum A *τὰ παρὰ τοῦ δήμου* om. Lat 3 *καὶ ἐκ* VR *παροξύνονται — ἱεροῦ*] *in pontificem commouentur ac* Lat *προπηδόντες* V 4 *δ'* LC *ὑπὸ* L 5 *τῷ*] *τὸ* PLV¹C 6 *συγκεκροτεῖσθαι* P *συγκεκροτῆσθαι, γκ* i. ras. minore M *παρ'*] *καθ'* L 7 *μὲν*] *μὲν οὖν* P 8 *δ'* LC 9 *ὑπολαμβάνοντες*] *arbitrabantur* Lat 10 *αὐτοῖς* PAMV *ἑαυτοῖς* LC 11 *δ'* L *ἥστινος*] *εἴσ τινος* C 12 *συνερρήγνυντο*] ex corr. A *συνερρήγνυντο δὲ* PA¹MLVRC Lat 13 *λίθους* V 15 *τε*] *δὲ* L 16 *ἐγένοντο* ed. pr. 19 *οὖν* om. L¹C Lat 20 *τεθυμωμένοι — δημοτικοὶ* om. P *δ'* L 23 *τοὺς ἐναντίους* LVRC *καὶ ἐκείνων* L *μηκέτι* VRC 24 *δ'*] *δὲ* LVR *δὲ μηκέτι ἀν* (*μηκέτι ἀν* deletum) C *ἀναχωρούντων*] *ἀναχωρούν* (sic) C 25 *συνεπιπίπτουσιν* PA 26 *στερουμένοις* (*ι* ex *υ* corr. LV) MLVRC *περιβόλου*] *περιαὔλου* (corr. ex *περιβόλου*) C *ἐνδότερον* (*-ώτερον* C) LVRC

205 *τέρω ταχέως ἀποκλείουσι τὰς πύλας. τῷ δ' Ἀνάνῳ προσβαλεῖν*
μὲν οὐκ ἐδόκει τοῖς ἱεροῖς πυλῶσιν ἄλλως τε κἀκείνων βαλλόντων
ἄνωθεν, ἀθέμιτον δ' ἡγεῖτο, κἂν κρατήσῃ, μὴ προηγνευκὸς εἰσαγα-
206 *γεῖν τὸ πλῆθος· διακληρώσας δ' ἐκ πάντων εἰς ἑξακισχιλίους*
207 *ὁπλίτας καθίστησιν ἐπὶ ταῖς στοαῖς φρουράς· διεδέχοντο δὲ ἄλλοι*
τούτους, καὶ παντὶ μὲν ἀνάγκη παρεῖναι πρὸς τὴν φυλακὴν ἐκ
περιόδου, πολλοὶ δὲ τῶν ἐν ἀξιώμασιν ἐφεθέντες ὑπὸ τῶν ἄρχειν
δοκούντων μισθούμενοι πενιχροτέρους ἀνθ' ἑαυτῶν ἐπὶ τὴν φρουρὰν
ἔπεμπον.

208 13. *Γίνεται δὲ τούτοις πᾶσιν ὀλέθρου παραίτιος Ἰωάννης, ὃν*
ἔφαμεν ἀπὸ Γισχάλων διαδρᾶναι, δολιώτατος ἀνὴρ καὶ δεινὸν ἔρωτα
τυραννίδος ἐν τῇ ψυχῇ περιφέρων, ὃς πόρρωθεν ἐπεβούλευε τοῖς
209 *πράγμασιν. καὶ δὴ τότε τὰ τοῦ δήμου φρονεῖν ὑποκρινόμενος συμ-*
περιῆει μὲν τῷ Ἀνάνῳ βουλευομένῳ σὺν τοῖς δυνατοῖς μεθ' ἡμέραν
καὶ νύκτωρ ἐπιόντι τὰς φυλακάς, διήγγελλε δὲ τὰ ἀπόρρητα τοῖς
ζηλωταῖς, καὶ πᾶν σκέμμα τοῦ δήμου πρὶν καλῶς βουλευθῆναι παρὰ
210 *τοῖς ἐχθροῖς ἐγινώσκετο δι' αὐτοῦ. μηχανώμενος δὲ τὸ μὴ δι' ὑπο-*
ψίας ἐλθεῖν ἀμέτροις ἐχρῆτο ταῖς θεραπείαις εἰς τόν τε Ἄνανον
211 *καὶ τοὺς τοῦ δήμου προεστῶτας. ἐχώρει δ' εἰς τοὐναντίον αὐτῷ τὸ*
φιλότιμον· διὰ γὰρ τὰς ἀλόγους κολακείας μᾶλλον ὑποπτεύετο,
καὶ τὸ κανταχοῦ παρεῖναι μὴ καλούμενον ἔμφασιν προδοσίας τῶν

VI. 1. Τούτοις πεισθέντες οἱ Ἰδουμαῖοι πρῶτον μὲν λύουσι
τοὺς ἐν τοῖς δεσμωτηρίοις περὶ δισχιλίους δημότας, οἳ παραχρῆμα
φυγόντες ἐκ τῆς πόλεως ἀφικνοῦνται πρὸς Σίμωνα, περὶ οὗ μικρὸν
ὕστερον ἐροῦμεν· ἔπειτα ἐκ τῶν Ἱεροσολύμων ἀνεχώρησαν ἐπ' οἴκου.
καὶ συνέβη τὸν χωρισμὸν αὐτῶν γενέσθαι παράδοξον ἀμφοτέροις·
ὅ τε γὰρ δῆμος ἀγνοῶν τὴν μετάνοιαν ἀνεθάρσησε πρὸς ὀλίγον
ὡς ἐχθρῶν κεκουφισμένος, οἵ τε ζηλωταὶ μᾶλλον ἐτανέστησαν, οὐχ
ὡς ὑπὸ συμμάχων καταλειφθέντες, ἀλλ' ἀπηλλαγμένοι τῶν δυσω-
πούντων καὶ διατρεπόντων παρανομεῖν. οὐκέτι γοῦν μέλλησις ἦ
σκέψις ἦν τῶν ἀδικημάτων, ἀλλ' ὀξυτάταις μὲν ἐχρῶντο ταῖς ἐπι-

---

PAMLVRC Lat

1 *καὶ μὴ δοθῆναι — 2 εἴσοδον*] *εἰσ εἴσοδον* PAMVRC *καὶ τὴν εἴσοδον* L *atque aditum in oppidum* Lat *γρ τὰσ πύλασ καὶ μὴ δοθῆναι μετατῶν ὅπλων αὐτοῖσ ἑτοίμην τὴν εἴσοδον* i. marg. P 2 *εἴρξαντασ* A *τετιμώρησθε* PVR¹C *τετιμώρησθαι* A *καὶ* om. L 3 *δ'* ML 4 *οἷς*] *οὕσ* L 6 *ἐν*] *ἐπ'* PAMVR *ὄμμασι γοῦν*] *ὄμμασιν οὖν* A¹V *τὰ*] *τὰ-* A 7 *τὰς*] *τοὺσ* V¹ 8 *μέχρις — δρωμένων*] *quatenus ea non prohibeant neque ab his separentur* Lat *μέχρι* R *κωλύει* C *κωλύειν* V *χωρίζεται* C *δρομένων* PA¹ 9 *ἐπειδὴ*] *ἐπεὶ* L 10 *οὐδὲ μία* LVRC *δ'*] *τε* PAMVRC *uero* Lat 11 *καὶ — 12 μετάσχοιεν*] *malorumque societatem uitando cuncta diluere flagitia, quorum non sponte sed decepti participes extitissent* Lat *τῷ*] ex corr. AC *τοῦ* PA¹MLVRC¹ 12 *πέρι*] Destinon *περὶ* codd. *φαινακισθέντεσ* PA 14 *τούτοις*] *τούτοισ δὲ* AMLVR 15 *δημώτασ* A *δεσμῶτασ* M *οἳ παραχρῆμα*] *statimque* Lat 18 *παράδοξον*] *παρὰ δόξαν* VR 19 *ἐθάρσησε* PMVRC *ἐθάρρησεν* L *πρὸσ* om. L 20 *ἐπανίστησαν* Hudson *οὐχ ὡς*] *ὡσ οὐχ* Destinon 21 *καταληφθέντεσ* V *ἀπηλλαγμένοι* C 22 *μέλησισ* C

νοίαις εἰς ἕκαστα, τὰ δοχθέντα δὲ τάχιον καὶ τῆς ἐπινοίας ἐνήρ-
357 γουν. μάλιστα δ' ἐπ' ἀνδρείαν τε καὶ εὐγένειαν ἐφόνων, τὴν μὲν
φθόνῳ λυμαινόμενοι, τὸ δὲ γενναῖον δέει· μόνην γὰρ αὐτῶν ἀσφά-
358 λειαν ὑπελάμβανον τὸ μηδένα τῶν δυνατῶν καταλιπεῖν. ἀνηρέθη
γοῦν σὺν πολλοῖς ἑτέροις καὶ Γουρίων, ἀξιώματι μὲν καὶ γένει
προύχων, δημοκρατικὸς δὲ καὶ φρονήματος ἐλευθερίου μεστός, εἰ
καί τις ἕτερος Ἰουδαίων· ἀπώλεσε δὲ αὐτὸν ἡ παρρησία μάλιστα
359 πρὸς τοῖς ἄλλοις πλεονεκτήμασιν. οὐδ' ὁ Περαΐτης Νίγερ αὐτῶν
τὰς χεῖρας διέφυγεν, ἀνὴρ ἄριστος ἐν τοῖς πρὸς Ῥωμαίους πολέ-
μοις γενόμενος· ὃς καὶ βοῶν πολλάκις τάς τε ὠτειλὰς ἐπιδεικνὺς
360 διὰ μέσης ἐσύρετο τῆς πόλεως. ἐπεὶ δὲ ἔξω τῶν πυλῶν ἦκτο,
τὴν σωτηρίαν ἀπογνοὺς περὶ ταφῆς ἱκέτευεν· οἱ δὲ προαπειλήσαντες
ἧς ἐπεθύμει μάλιστα γῆς μὴ μεταδώσειν αὐτῷ, τὸν φόνον ἐνήργουν.
361 ἀναιρούμενος δὲ ὁ Νίγερ τιμωροὺς Ῥωμαίους αὐτοῖς ἐπηράσατο
λιμόν τε καὶ λοιμὸν ἐπὶ τῷ πολέμῳ καὶ πρὸς ἅπασι τὰς ἀλλήλων
362 χεῖρας· ἃ δὴ πάντα κατὰ τῶν ἀσεβῶν ἐκύρωσεν ὁ Θεός, καὶ τὸ
δικαιότατον, ὅτι γεύσασθαι τῆς ἀλλήλων ἀπονοίας ἔμελλον οὐκ εἰς
363 μακρὰν στασιάσαντες. Νίγερ μὲν οὖν ἀνῃρημένος τοὺς περὶ τῆς
καταλύσεως αὐτῶν φόβους ἐπεκούφισε, τοῦ λαοῦ δὲ μέρος οὐδὲν
364 ἦν, ᾧ μὴ πρὸς ἀπώλειαν ἐπενοεῖτο πρόφασις. τὸ μὲν γὰρ αὐτῶν
διενεχθέν τινι πάλαι διέφθαρτο. τὸ δὲ μὴ προσκροῦσαν κατ' εἰρή-
νην ἐπικαίρους ἐλάμβανε τὰς αἰτίας· καὶ ὁ μὲν μηδ' ὅλως αὐτοῖς
προσιὼν ὡς ὑπερήφανος, ὁ προσιὼν δὲ μετὰ παρρησίας ὡς κατα-
365 φρονῶν, ὁ θεραπεύων δ' ὡς ἐπίβουλος ἐπτοπτεύετο. μία δὲ ἦν
τῶν τε μεγίστων καὶ μετριωτάτων ἐγκλημάτων τιμωρία θάνατος·

PAMLVRCLatHegesippus IV 10 p. 241.

1 *καὶ* damnat Naber *ἐνείργουν* A 2 *δὲ* VR *ἀνδρίαν* V²C *τε*] suppl. in initio uersus A om. L *εὐγένειαν*] *συγγένειαν* L *τὴν*] *τῷ* P *τὸ* A 3 *το*] *τὸν* R post *γενναῖον* 7—8 litt. eras. (apparent *εφο···ν*) V 4 *μηδένα τῶν*] *μηδὲν αὐτῶν* L *ἀνηρέθη-*, eras. *ν* V 5 *Γουρίων*] *gurgon* Heg *Γορίων* Hudson 6 *φρονήματοσ* corr. ex *φρονημότατοσ* P *ἐλευθέρου* M *εἰ καί*] *εἴπερ* L 7 *δ'* LC 8 *οὐδὲ* VRC *τὰσ χεῖρασ αὐτῶν* tr. L 9 *ῥωμαίοισ* RC 10 *πολλάκι* V 11 *δ'* L 12 *περὶ* in confinio paginarum iterauit C 13 *ἧσ, η* ex corr. P *μεταδῶσιν* C 14 *τιμωροὺς*] *τιμωρησομένουσ* L *τιμωρουμένουσ* VRC 15 *ἐπὶ*] *ἐν* L *πρὸς ἅπασι*] *προσάπεισι* C 17 *ὅτι* damnat Destinon 19 *ἐπεκούφισεν* L 20 *ᾧ* i. ras. maiore A *ἐπενοεῖτω* P 21 *κατ' εἰρήνην* uix rectum uideri adnotat Destinon 22 *ἐπικαιροὺσ* P *ἐπὶ καιροὺσ* AVR *subitas* Lat *μηδὲ* VRC 23 *ὡς — προσιὼν δὲ* om. Lat 24 *δὲ* ALVRC *ὑποπτεύετο* V¹RC¹ *δὲ*] *τ'* L 25 *τε* om. LC *μετριοτάτων* P *τῶν μετριωτάτων* VRC i. marg. *κά* C *ἐγκλημάτων* i. marg. suppl. V

καὶ διέφυγεν οἰδείς, εἰ μὴ σφόδρα τις ἦν ταπεινὸς ἢ δι' ἀγένειαν ἢ διὰ τύχην.

2. Ῥωμαίων δὲ οἱ μὲν ἄλλοι πάντες ἡγεμόνες ἕρμαιον ἡγού- 366
μενοι τὴν στάσιν τῶν πολεμίων ὥρμητο πρὸς τὴν πόλιν καὶ τὸν
Οὐεσπασιανὸν ἤλειγον ὡς ἂν ὄντα κύριον τῶν ὅλων, φάμενοι πρό-
νοιαν θεοῦ σύμμαχον σφίσι τῷ τετράφθαι τοὺς ἐχθροὺς κατ' ἀλλή-
λων· εἶναι μέντοι τὴν δοπὴν ὀξεῖαν, καὶ ταχέως Ἰουδαίους ὁμονο- 367
ήσειν [ἡμῖν] ἢ κοπιάσαντας ἐν τοῖς ἐμφυλίοις κακοῖς ἢ μετανοήσαντας.
Οὐεσπασιανὸς δὲ πλεῖστον αὐτοὺς ἔφη τοῦ δέοντος ἁμαρτάνειν, 368
ὥσπερ ἐν θεάτρῳ χειρῶν τε καὶ ὅπλων ἐπίδειξιν ποιήσασθαι γλιχο-
μένους οὐκ ἀκίνδυνον, ἀλλὰ μὴ τὸ συμφέρον καὶ τὰσφαλὲς σκο-
ποῦντας. εἰ μὲν γὰρ εὐθέως ὁρμήσειεν ἐπὶ τὴν πόλιν, αἴτιος ὁμο- 369
νοίας ἔσεσθαι τοῖς πολεμίοις καὶ τὴν ἰσχὺν αὐτῶν ἀκμάζουσαν ἐφ'
ἑαυτὸν ἐπιστρέψειν· εἰ δὲ περιμείνειεν, ὀλιγωτέροις χρήσεσθαι δα-
ταιρηθεῖσιν ἐν τῇ στάσει. στρατηγεῖν μὲν γὰρ ἄμεινον αὐτοῦ τὸν 370
θεὸν ἀλιονητὶ Ῥωμαίοις παραδιδόντα Ἰουδαίους καὶ τὴν νίκην ἀκιν-
δύνως τῇ στρατηγίᾳ χαριζόμενον· ὥστε χρῆναι διαφθειρομένων 371
χερσὶν οἰκείαις τῶν ἐχθρῶν καὶ τῷ μεγίστῳ κακῷ στάσει χρωμένων
θεατὰς μᾶλλον αὐτοὺς ἀποκαθῆσθαι τῶν κινδύνων ἢ θανατῶσιν
ἀνθρώποις καὶ λελυσσηκόσιν κατ' ἀλλήλων χεῖρα μίσγειν. εἰ δέ 372
τις οἴεται τὴν δόξαν τῆς νίκης ἑωλοτέραν ἔσεσθαι δίχα μάχης,

PAMLVRC Lat Hegesippus IV 11 p. 242.

1 ἦν] εἴη L haud male ἢ om. L δι' ἀγένειαν] διὰ πενίαν L διὰ ἀγένειαν RC 3 ἕρμαιον A ἑρμαιον (sic) L ἑρμαῖον C ἑρμαῖον V 5 φάμενοι — 6 ἀλλήλων] (*incitabant*) *diuinae prouidentiae firmantes auxilio in semet hostes esse conuersos* Lat 6 σύμμαχον] συμμαχεῖν M fort. recte τῷ] τὸ C 8 ἡμῖν] om. Lat et ed. pr. ἐν damnat Herwerden 9 δὲ s. A 10 χλιχομένους C 11 μὴ om. M συμφέρον] σύμφορον L καὶ τὰσφαλὲς om. Lat τὸ ἀσφαλὲς MVRC σκοποῦντες A¹ σκοπούντων VR 12 ὁρμήσειεν] ex corr. A ὁρμήσαιεν PA¹MRC et ex corr. V ὥρμήσαιεν L ὥρμήσαμεν V¹ ἐπὶ] εἰς V αἴτιοι MVRCLat 13 ἐπακμάζουσαν L (*uires*) — *etiam nunc uigentes* (h. e. ἔτ' ἀκμάζουσαν) Lat ἐφ' ἑαυτὸν] PL ἐφ' ἑαυτοὺς M ἐφ' αὐτὸν A ἐπ' αὐτοὺς VRC 14 ἐπιστρέψειν] Bekker ἐπιστρέφειν codd. *prouocaturos* Lat περιμείνοιεν M περιμένοιεν LVRC ὀλιγοτέροις V *paucioribus ac moderatioribus* Lat χρῆσθαι L 15 ἐν spurium putat Destinon μὲν om. L αὐτοῦ ἄμεινον tr. L 16 ἀπονητὶ] ἀκοντὶ L ἀκονιτὶ VRC Ἰουδαίους παραδιδόντα Ῥωμαίοις tr. L Ἰουδαίους] τοὺς Ἰουδαίους V Ἰουδαίοις C

17 στρατηγίᾳ] στραγία A στρατιᾷ LVC χαριζόμενος P χαριζόμενον, *r* finale i. ras. A 18 χρωμένων] *turbatis* Lat τρυχομένων Destinon 19 ἀποκαθεῖσθαι V θανατοῦσιν V¹ 20 λελυσσικόσι P λελυσικόσι (κόσι s.) V 21 οἴεται, εται i. ras. 4—5 litt. A ἑωλοτέραν, ωλ ex αλ corr. m. recent. P ἑωλοτέραν, ωλο i. ras. M

γνώτω τοῦ διὰ τῶν ὅπλων σφαλεροῦ τὸ μετὰ ἡσυχίας κατόρθωμα
373 λυσιτελέστερον· καὶ γὰρ οὐχ ἧττον εὐκλεῖς οἴεσθαι χρὴ τῶν κατὰ
χεῖρα λαμπρῶν τοὺς ἐγκρατείᾳ καὶ συνέσει τὰ ἴσα πράξαντας. ἅμα
μέντοι μειουμένων τῶν πολεμίων καὶ τὴν αὐτοῦ στρατιὰν ἀναλη-
374 φθεῖσαν ἐκ τῶν συνεχῶν πόνων ἐρρωμενέστερον ἄξειν. ἄλλως τε 5
καὶ τῶν στοχαζομένων τῆς περὶ τὴν νίκην λαμπρότητος οὐ τοῦτον
375 εἶναι τὸν καιρόν· οὐ γὰρ περὶ κατασκευὴν ὅπλων ἢ τειχῶν οὐδὲ
περὶ συλλογὴν ἐπικούρων Ἰουδαίους ἀσχολεῖσθαι, καὶ τὴν ὑπέρθεσιν
ἔσεσθαι κατὰ τῶν διδόντων, ἀλλ' ἐμφυλίῳ πολέμῳ καὶ διχονοίᾳ
τραχηλιζομένους καθ' ἡμέραν οἰκτρότερα πάσχειν ὧν ἂν ἐτελθόντες 10
376 αὐτοὶ διαθεῖεν αὐτοὺς ἁλόντας. εἴτ' οὖν τὰσφαλές τις σκοποίη,
χρῆναι τοὺς ὑφ' ἑαυτῶν ἀναλισκομένους ἐᾶν, εἴτε τὸ εὐκλεέστερον
τοῦ κατορθώματος, οὐ δεῖν τοῖς οἴκοι νοσοῦσιν ἐπιχειρεῖν· ῥηθή-
σεσθαι γὰρ εὐλόγως οὐκ αὐτῶν τὴν νίκην ἀλλὰ τῆς στάσεως.
377 3. Ταῦτα Οὐεσπασιανῷ λέγοντι συνήνουν οἱ ἡγεμόνες, καὶ 15
παραχρῆμα τὸ στρατηγικὸν τῆς γνώμης ἀνεφαίνετο· πολλοὶ γοῦν καθ'
378 ἡμέραν ἠτιῶντο τοὺς ζηλωτὰς διαδιδράσκοντες. χαλεπὴ δ' ἦν
ἡ φυγὴ φρουραῖς διειλημμένων τὰς διεξόδους πάσας καὶ τὸν ὁπωσ-
οὖν ἐν αὐταῖς ἁλισκόμενον ὡς πρὸς Ῥωμαίους ἀτιόντα διαχρω-
379 μένων. ὅ γε μὴν χρήματα δοὺς ἐξηφίετο καὶ μόνος ἦν ὁ μὴ διδοὺς 20
προδότης, ὥστε κατελείπετο τῶν εὐπόρων τὴν φυγὴν ὠνουμένων

PAMLVRCLatHegesippus IV 11 p. 242 Suidas s. *τραχηλίζων*.

1 *γνώτω*] *sciat, inquit* Lat ὅπλων, *o* ex *η* corr. uid. A μεθ' C
2 λυσιτελέστερον ὄν Herwerden γὰρ s. A εὐκλεὴς A χρὴ] εἰ χρὴ P · χρὴ A 3 πράξαντας] διαπράξαντας C 4 αὐτοῦ] ἑαυτοῦ L αὐτοῦ AMVRC, om. Lat ἀναλειφθεῖσαν C 5 ἐρωμενέστερον R ἄξειν] ἔξειν A ἄρξειν (sic) L *ductum iri* Lat; εἰ μὲν ἐρρωμενέστερον ἄρξειν· εἰ δὲ ἐρρωμενεστέραν, ἔξειν· i. marg. adnotat litteris maiusculis m. 1 L 6 τῶν στοχαζόντων R τοῖς στοχαζομένοις Hudson τῷ στοχαζομένῳ Destinon τῆς om. C 8 ἐπικουριῶν L καὶ] *atque ideo* Lat ὡς Destinon; idem aliter sententiam restitui posse existimat uerbis *καὶ — διδόντων* supra p. 395,8 post μετανοήσαντας positis 9 διδόντων] διδόντων καθ' ἡμέραν (cfr. ad u. 10) A ἐνφυλίῳ P ἐμφυλίω, ω s. A πολέμῳ — 10 πάσχειν habet Suidas διχονοία, οι i. ras. 1 litt. m. 2 V 10 τραχηλιαζομένους RC καθ' ἡμέραν om. A καθημέραν τραχηλιζομένους tr. Suid οἰκτρότατα LSuid 11 εἴτ' οὖν] εἰτοῦν P εἴτε οὖν VRC τὰσφαλές] τὸ ἀσφαλὲς MVRC τὰ ἀσφαλῆ L *studiose* Lat 12 εἴτε — 13 κατορθώματος] *siue facti ad gloriam clariorem* Lat 13 δεῖ MLVRC οἴκοις V ῥηθήσεται PAVR 14 γὰρ om. PA¹ 16 i. marg. κβ' C γοῦν] δὲ PAMVRC *namque* Lat γὰρ Bekker 17 δὲ VRC 18 φρουραῖς] φρουρᾶ L ἐξόδους V τὸν] τῶν C ὁποσοῦν C 19 ἐν αὐταῖς om. VRC ἀπιόντα] ἀπιόντω C 20 ἐ·ξηφίετο C

μόνους ἐνατοσφάττεσθαι τοὺς πάντας. νεκροὶ δὲ κατὰ τὰς λεω- 380
φόρους πᾶσας ἐσωρεύοντο παμπληθεῖς, καὶ πολλοὶ τῶν ὁρμωμένων
αὐτομολεῖν πάλιν τὴν ἔνδον ἀπώλειαν ἠροῦντο· τὸν γὰρ ἐπὶ τῆς
πατρίδος θάνατον ἐλπὶς ταφῆς ἐποίει δοκεῖν μετριώτερον. οἱ δὲ 381
εἰς τοσοῦτον ὠμότητος ἐξώκειλαν, ὡς μήτε τοῖς ἔνδον ἀναιρουμένοις
μήτε τοῖς ἀνὰ τὰς ὁδοὺς μεταδοῦναι γῆς, ἀλλὰ καθάπερ συνθήκας 382
πεποιημένοι τοῖς τῆς πατρίδος συγκαταλῦσαι καὶ τοὺς τῆς φύσεως
νόμους ἅμα τε τοῖς εἰς ἀνθρώπους ἀδικήμασιν συμπᾶναι καὶ τὸ
θεῖον. ἐφ' ἡλίῳ τοὺς νεκροὺς μυδῶντας ἀπέλειπον. τοῖς δὲ θάπτουσί 383
τινα τῶν προσικότων ὃ καὶ τοῖς αὐτομολοῦσιν ἐπιτίμιον θάνατος
ἦν, καὶ δεῖσθαι παραχρῆμα ταφῆς ἔδει τὸν ἑτέρῳ χαριζόμενον.
καθόλου τε εἰπεῖν, οὐδὲν οὕτως ἀπολώλει χρηστὸν πάθος ἐν ταῖς 384
τότε συμφοραῖς ὡς ἔλεος· ἃ γὰρ ἐχρῆν οἰκτείρειν, ταῦτα παρώξυνε
τοὺς ἀλιτηρίους, καὶ ἀπὸ μὲν τῶν ζώντων ἐπὶ τοὺς ἀνῃρημένους,
ἀπὸ δὲ τῶν νεκρῶν ἐπὶ τοὺς ζῶντας τὰς ὀργὰς μετέφερον· καὶ οἱ 385
ὑπερβολὴν δέους ὁ περιὼν τοὺς προλιφθέντας ὡς ἀναπαυσαμένους
ἐμακάριζεν οἵ τε ἐν τοῖς δεσμωτηρίοις αἰκιζόμενοι κατὰ σύγκρισιν
καὶ τοὺς ἀτάφους ἀπέφαινον εὐδαίμονας. κατεστατεῖτο μὲν οὖν 386
πᾶς αὐτοῖς θεσμὸς ἀνθρώπων, ἐγελᾶτο δὲ τὰ θεῖα, καὶ τοὺς τῶν
προφητῶν χρησμοὺς ὥσπερ ἀγυρτικὰς λογοποιίας ἐχλεύαζον. πολλὰ 387
δ' οὗτοι περὶ ἀρετῆς καὶ κακίας προεθέσπισαν, ἃ παραβάντες οἱ
ζηλωταὶ καὶ τὴν κατὰ τῆς πατρίδος προφητείαν τέλους ἠξίωσαν.
ἦν γὰρ δή τις παλαιὸς λόγος ἀνδρῶν † ἔνθα τότε τὴν πόλιν ἁλώ- 388

PAMLVRCLat Hegesippus IV 12 p. 243. V 2 p. 279 sq. Exc Peiresc.

1 *ἀποσφάττεσθαι* VRC 2 *ὠρμωμένων* (ὠ ex ὁ corr. A) PAV² *ὁρμημένων* C 3 *αὐτομολεῖν* V¹ *ἔνδον*] *ἔνδοθεν* L *ἠροῦντο* (οῦντο i. ras. A) PARC 4 *δοκεῖ* R *δ'* L 5 *ἐξώκιλαν* P *ὡσ μηδὲ* L 6 *μὴδὲ* L *καθάπερ* incipiunt Exc breuiatis quae proxime antecedunt 7 *τοῖς* om. V 9 *ἡ*|*·λίῳ, ω* i. ras. A *ἀπέλιπον* MC 10 *ὃ* — 11 *ἦν*] *idem quod transfugis imminebat supplicium mortis* Lat *ὃ*] *ὁ* PA *καὶ ὃ* Exc *αὐτομολοῦσι* R *ἐπιτίμιοσ* PA 11 *τὸν ἑτέρῳ*] *τῶ νεωτέρω* PA¹ 12 *ἀπωλώλει* AMLV²Exc *χρηστὸν, η* i. ras. M 15 *νεκρῶν*] *ἀνηρημένων* Exc 16 *ὡς ἀναπαυσαμένους* om. Exc *ἀναπαυσομένουσ* C 17 *οἵ τε*] *οἱ δ'* LExc 18 *ἀτάφους*] *τάφουσ* Exc *εὐδαίμονασ, ἰμο* i. ras. A 19 *αὐτοῖσ πᾶσ* tr. C *θεσμὸσ·, ο* ex *ω* corr., eras. uid. *ι* (potest fuisse *θεσμωστι*) V 20 *χρησμοὺς*] LExc *θεσμοὺσ* PAMVRC *responsis* Lat 21 *δ' οὗτοι*] *δ' αὐτοῖσ* LExc *δὲ οὗτοι* VRC *ἐθέσπισαν* C 22 *τὴν*] *τῆσ* LExc *προφητείασ* LExc 23 *ἦν* — 398,2 *τέμενος*] *uetus enim quidam sermo ferebatur tunc demum ciuitatem captum iri sanctaque flammis exurenda esse, cum lege belli seditio fuisset exorta fanumque dei propriae manus ante uiolassent* Lat *erat enim sermo uetus et frequens tunc perituram urbem hierusalem et sancta eius exurenda, cum seditio belli lege incesseret et domesticae manus templum dei contaminarent* Heg *λόγοσ* corr. ex *νόμοσ* A *ἔνθα*] *ἔνθεον* cod. Voss. apud Hauerkampum *ἐνθέων* Holwerda

σεσθαι καὶ καταφλέξεσθαι τὸ ἁγιώτατον νόμῳ πολέμου, στασις
ἐὰν κατασκήψῃ καὶ χεῖρες οἰκεῖαι προμιάνωσι τὸ τοῦ θεοῦ τέμε-
νος· οἷς οὐκ ἀντιστήσαντες οἱ ζηλωταὶ διακόνους αὐτοὺς ἐπέδοσαν.
389 VII. 1. Ἤδη δὲ Ἰωάννῃ τυραννιῶντι τὸ πρὸς τοὺς ὁμοίους ἰσό-
τιμον ἠδοξεῖτο, καὶ κατ᾽ ὀλίγους προσποιούμενος τῶν πονηροτέρων
390 ἀφηνίαζε τοῦ συντάγματος. ἀεὶ δὲ τοῖς μὲν τῶν ἄλλων δόγμασιν
ἀπειθῶν, τὰ δὲ αὐτοῦ προστάσσων δεσποτικώτερον, δῆλος ἦν
391 μοναρχίας ἀντιποιούμενος. εἶχον δ᾽ αὐτῷ τινὲς μὲν δέει, τινὲς δὲ
κατ᾽ εὔνοιαν, δεινὸς γὰρ ἦν ἀπάτῃ καὶ λόγῳ προσαγαγέσθαι, πολλοὶ
δὲ πρὸς ἀσφαλείας ἡγούμενοι τῆς αὐτῶν τὰς αἰτίας ἤδη τῶν τολ-
392 μωμένων ἐφ᾽ ἕνα καὶ μὴ πολλοὺς ἀναφέρεσθαι. τό γε μὴν δρα-
στήριον αὐτοῦ κατά τε χεῖρα καὶ κατὰ γνώμην δορυφόρους εἶχεν
393 οὐκ ὀλίγους. πολλὴ δὲ μοῖρα τῶν ἀντικαθισταμένων ἀπελείπετο,
παρ᾽ οἷς ἴσχυε μὲν καὶ φθόνος δεινὸν ἡγουμένων ὑποτετάχθαι τὸ
πρὶν ἰσοτίμῳ, τὸ πλέον δ᾽ εὐλάβεια τῆς μοναρχίας ἀπέτρεπεν·
394 οὔτε γὰρ καταλύσειν ῥᾳδίως ἤλπιζον αὐτὸν ἅπαξ κρατήσαντα, καὶ
καθ᾽ αὑτῶν πρόφασιν ἕξειν τὸ τὴν ἀρχὴν ἀντισπᾶσαι· προῃρεῖτο
δ᾽ οὖν πολεμίων ἕκαστος ὁτιοῦν παθεῖν ἢ δουλεύσας ἑκουσίως ἐν
395 ἀνδραπόδου μοίρᾳ παραπολέσθαι. διαιρεῖται μὲν οὖν ἡ στάσις ἐκ
396 τούτων, καὶ τοῖς ἐναντιωθεῖσιν Ἰωάννης ἀντεβασίλευσεν. ἀλλὰ τὰ
μὲν πρὸς ἀλλήλους αὐτοῖς διὰ φυλακῆς ἦν, καὶ οὐδὲν ἢ μικρὸν εἴ

PAMLVRC Lat Hegesippus IV 13 p. 243. ExcPeiresc.

1 *καταφλέξεσθαι*] *γρ κατενεχθήσεσθαι* i. marg. P *καταφλεχθήσεσθαι* LExc *καταφλεγήσεσθαι* C *τὸ ἁγιώτατον*] *τὰ ἅγια ὅταν* (*ὅτ᾽ ἂν* L) MLExc *τὰ ἅγια* C *πολέμου νόμῳ* tr. LExc 2 *ἐὰν κατασκήψῃ*] *ἐγκατασκήψῃ* PAMLExc *ἐγκατασκήψει* Destinon *οἰκείαις* C *προμιανοῦσι* PA probante Destinone *τέμενος*] *ἅγιον τέμενος* Exc 3 *ἀπιστήσαντες*] *ἀποστήσαντες* Exc *αὐτοὺς* MV *ἑαυτοὺς* LCExc *ἐπέδωσαν* C 4 i. marg. *κγ΄* C *τοὺς* om. Dindorf 6 *ἀφηνιάζετο* (*ἀφιν-* Exc) *τοῦ* LExc *τοῖς*] *τρεῖς* C *μὲν* s. P 7 *δὲ αὐτοῦ*] *δὲ αὐτοῦ* PVR *δ᾽ ἑαυτοῦ* M *δὲ ἑαυτοῦ* LExc *προτάσσων* PA *ἦν*] | · · *ἦν* L S *τῆς μοναρχίας* LExc *εἶχον*] *sociabantur* Lat *δὲ* VRC 9 *ἀπάτῃ καὶ λόγῳ*] *oratione atque fallacia* Lat *λόγῳ*] *δόλῳ* C et fort. Heg *γρ καὶ δόλῳ* i. marg. M *προσάγεσθαι* LExc 10 *ἀσφάλειαν* LExc *αὐτῶν* AMLR¹C *ἤδη — τολμωμένων*] *priorum delictorum* Lat *τολμωμένων*, *μω* ex *μη* corr. C, unde *τετολμημένων* coniecerit aliquis 11 *πολλοὺς*] *πολλοῖς* R² 12 *τε* om. LExc *δορυφόρους* R¹ *εἶχεν*] *εἶχειν* Exc, om. C 13 *ἀντικαθημένων* AMLVRExc 14 *ἴσχυε*] *ἰσχὺς* LExc *τὸ*] *τῷ* MLVRExc 15 *δὲ* MVRC *εὐλαβεία* M *ἀπέτρεπεν*] *exagitabat* Lat 16 *κατάλυσιν* C 17 *κατ᾽ αὐτῶν* A *καθ᾽ ἑαυτὸν* LExc *in se* Lat *προῄρητο* A *προηγεῖτο* VR 18 *δ᾽ οὖν*] PAMLExc *δὲ* R *δὲ ἦ* VC *proinde* Lat *πολεμῶ* R *ἑκουσίως*] *ἀκουσίως* LExc 19 *παραπολεῖσθαι* LExc *πα*|*παραπολέσθαι* C 20 *ἐναντιωθεῖσειν* Exc 21 *διὰ φυλακῆς αὐτοῖς* tr. LExc *οὐδὲν ἢ μικρὸν*] *οὐδὲ μικρὸν ἦν* LExc *nihil autem* (*aut* ed. Basil.) *parvum agebatur* Lat

ποτε διηκροβολίζοντο τοῖς ὅπλοις. ἤριζον δὲ καὶ τοῦ δήμου καὶ πότεροι πλείονα λείαν ἄξουσιν ἀντεφιλονείκουν. ἐπεὶ δὲ ἡ πόλις 397
τριοὶ τοῖς μεγίστοις κακοῖς ἐχειμάζετο, πολέμῳ καὶ τυραννίδι καὶ στάσει, κατὰ σύγκρισιν μετριώτερον ἦν τοῖς δημοτικοῖς ὁ πόλεμος· ἀμύνει διαδιδράσκοντες ἐκ τῶν οἰκείων ἔφυγον πρὸς τοὺς ἀλλοφύλους καὶ παρὰ Ῥωμαίοις ἧς ἀπέλιπον ἐν τοῖς ἰδίοις σωτηρίας ἠξιοῦντο.

2. Τέταρτον δὲ ἄλλο κακὸν ἐκινεῖτο πρὸς τὴν τοῦ ἔθνους κατά- 398
λυσιν. φρούριον ἦν οὐ πόρρω Ἱεροσολύμων καρτερώτατον, ὑπὸ 399
τῶν ἀρχαίων βασιλέων εἴς τε ὑπέκθεσιν κτήσεως ἐν πολέμου φοναῖς καὶ σωμάτων ἀσφάλειαν κατεσκευασμένον, ὃ ἐκαλεῖτο Μασάδα. τοῦτο κατειληφότες οἱ προσαγορευόμενοι σικάριοι τέως μὲν τὰς 400
πλησίον χώρας κατέτρεχον οὐδὲν πλέον τῶν ἐπιτηδείων ποριζόμενοι· δέει γὰρ ἀνεστέλλοντο τῆς πλείονος ἁρπαγῆς· ὡς [δὲ] τὴν Ῥωμαίων 401
στρατιὰν ἠρεμοῦσαν, στάσει δὲ καὶ τυραννίδι ἰδίᾳ τοὺς ἐν Ἱεροσολύμοις Ἰουδαίους ἐπύθοντο διηρημένους, ἀδροτέρων ἥπτοντο τολμημάτων. καὶ κατὰ τὴν ἑορτὴν τῶν ἀζύμων, ἣν ἄγουσιν Ἰουδαῖοι 402
σωτήρια ἐξ οὗ τῆς ἐπ' Αἰγυπτίοις δουλείας ἀνεθέντες εἰς τὴν πάτριον γῆν κατῆλθον, νύκτωρ τοὺς ἐμποδὼν ὄντας διαλαθόντες πολίχνην τινὰ κατατρέχουσιν καλουμένην Ἐνγαδδί, ἐν ᾗ τὸ μὲν 403
ἀμύνεσθαι δυνάμενον πρὶν ὅπλων ἅψασθαι καὶ συνελθεῖν φθά-

PAMLVRCLatHegesippus IV 13 p. 244. ExcPeiresc.

1 *ποτε*] *ποτε συνέβη* M *ἤριζον*] *uel maxime contentionem susceperant* Lat 2 *πότερον* M *πρότεροι* CExc *λείαν* spurium putat Destinon *ἀνάξουσιν* MLVRC Exc *ἐπεί*] *ἐπειδὴ* LExc 4 *στάσει καὶ τυραννίδι* (*ι* (in *δι*) i. ras.) tr. M *μετριότερον* P 5 *ἀμύνει*] *μέλει* Exc *ἀλλοφύλους*] *ἀλλοτρίους* VRC 6 *καὶ* — 8 *κατάλυσιν* om. Exc 8 *ἄλλο*] *ἤδη* ed. pr. 10 *εἴς*] *ἧς* P *κτήσεων* LExc *ἐν*] *καὶ* Exc 11 *κατασκευασμένον* A¹ *ὃ ἐκαλεῖτο*] *ἐκαλεῖτο δὲ* LExc haud male *μασανδρα* (sic) Exc *mesada* cod. Vat. Lat 12 *προκατειληφότες* LCExc *occupauerant* Lat *σικάριοι*] *σικάριοι λησταὶ* M, i. marg. *λησταὶ* PA *τέως* — 13 *ποριζόμενοι* om. LVRCLatExc 13 *τῶν*] AM, om. P *ἐπιτήδειον* P et ut uid. A¹ 14 *ὡς*] *εἶθ' ὡς* ex corr. A *δὲ*] om. PALat; quare u. 13 *οὐδὲν δὲ πλέον* proponit Destinon *ῥωμαίων μὲν* LExc 15 *στρατιὰν αὖθις ἠρεμοῦσαν* C¹ *στάσι* Exc *ἰδίᾳ*] suspectum *ἴδιαν* Exc 16 *ἐπυνθάνοντο* LExc *ἀνδροτέρων* PA¹Exc *ἀδροτέρων* VR 17 *Ἰουδαῖοι*] *ἑβραῖοι* LLat 18 *σωτηρία* VRC *ἐξ οὗ*] MLLatExc *ἐξόδου* PAVR *ἔξοδον* C *ἐξ ὅτου* Destinon *τῆς*] *τοῖς* A¹C *ἐπ'*] *ἀπ'* R² *Αἰγυπτίοις*] *αἰγύπτου* LExc 19 *διαλαθέντες* C 20 *πολίχνην*] PAMLLatExc *καὶ πολίχνην* LVRC *τινὰ* — *Ἐνγαδδί*] *tina kalouμένην γαδδεῖν κατατρέχουσιν* Exc *ἐνγαδδί*, *ν* i. ras. A *γαδδεὶν* LExc *γρ γαλάδν* i. marg. PA *γρ καὶ γαλαδδίν* i. marg. M *galadin* Lat *ἐν* — *ἐξέβαλον*] *ubi pugna quidem iudaeos ante praeuentos atque dispersos quam arma caperent siue concurrerent ciuitate pepulerunt* Lat 21 *ἀμύνασθαι* LExc *ἅψασθαι ὅπλων* tr. PAMVR

σαντες ἐσκέδασαν καὶ τῆς πόλεως ἐξέβαλον, τὸ δὲ φυγεῖν ἧττον ὄν,
404 γύναιά τε καὶ παῖδας, ὑπὲρ ἑπτακοσίους ἀναιροῦσιν. ἔπειτα τούς
τε οἴκους ἐξεσκευασμένοι καὶ τῶν καρπῶν τοὺς ἀκμαιοτάτους ἁρπά-
405 σαντες ἀνήνεγκαν εἰς τὴν Μασάδαν. καὶ οἱ μὲν ἐλῄζοντο πάσας
τὰς περὶ τὸ φρούριον κώμας καὶ τὴν χώραν ἐπόρθουν ἅπασαν
προσδιαφθειρομένων αὐτοῖς καθ' ἡμέραν ἑκασταχόθεν οὐκ ὀλίγων·
406 ἐκινεῖτο δὲ καὶ κατὰ τὰ ἄλλα τῆς Ἰουδαίας κλίματα τὸ τέως ἠρε-
μοῦν τὸ λῃστρικόν. καθάπερ δὲ ἐν σώματι τοῦ κυριωτάτου φλεγ-
407 μαίνοντος πάντα τὰ μέλη συνενόσει· διὰ γοῦν τὴν ἐν τῇ μητρο-
πόλει στάσιν καὶ ταραχὴν ἄδειαν ἔσχον οἱ κατὰ τὴν χώραν πονηροὶ
τῶν ἁρπαγῶν καὶ τὰς οἰκείας ἕκαστος κώμας ἁρπάζοντες ἔπειτα
408 εἰς τὴν ἐρημίαν ἀφίσταντο. συναθροιζόμενοί τε καὶ συνομνύμενοι
κατὰ λόχους στρατιᾶς μὲν ὀλιγώτεροι πλείους δὲ λῃστηρίου προσ-
409 έπιπτον ἱεροῖς καὶ πόλεσιν, καὶ κακοῦσθαι μὲν συνέβαινεν ἐφ' οὓς
ὁρμήσειαν ὡς ἐν πολέμῳ καταληφθέντας, φθάνεσθαι δὲ τὰς ἀμύ-
νας ὡς λῃστῶν ἅμα ταῖς ἁρπαγαῖς ἀποδιδρασκόντων. οὐδὲν δὲ
μέρος ἦν τῆς Ἰουδαίας, ὃ μὴ τῇ προανεχούσῃ πόλει συναπώλλυτο.
410 3. Ταῦτα Οὐεσπασιανῷ παρὰ τῶν αὐτομόλων διηγγέλλετο.
καίπερ γὰρ φρουρούντων τὰς ἐξόδους τῶν στασιαστῶν ἀτάσας καὶ
διαφθειρόντων τοὺς ὀπωσοῦν προσιόντας, ὅμως ἦσαν οἳ διελάν-
Θανον καὶ καταφεύγοντες εἰς τοὺς Ῥωμαίους τὸν στρατηγὸν ἐνῆγον
411 ἀμῦναι τῇ πόλει καὶ τὰ τοῦ δήμου περισῶσαι λείψανα· διὰ γὰρ
τὴν πρὸς Ῥωμαίους εὔνοιαν ἀνῃρῆσθαί τε τοὺς πολλοὺς καὶ κιν-

PAMLVRC Lat Hegesippus IV 13 p. 244. Exc Peiresc.

1 *ἐσκέδασαν*] MLCExc et i. marg. PA *ἐκόλασαν* PAVR; *ἐσκέδασαν* num uerum sit dubitat Destinon *φυγεῖν*] *φεῦγον* LExc *ὄν*] *ὢν* PA *ἦν* LExc 2 *τε*] *δὲ* LExc, om. M 3 *ἀκμαίους* LVRCExc fort. recte 4 *μασάδα* LExc *mesada* cod. Vat. Lat *οἱ μὲν* om. Exc *ἐλῄζοντο* codd. 5 *τὸ* · R 6 *αὐτοῖς καθ' ἡμέραν*] *καθ' ἡμέραν αὐτοῖσ* L *καθ' ἡμέραν τοῖσ* Exc 7 *ἐκινεῖτο* — 8 *λῃστρικόν*] *simul autem concitat sunt etiam per singulos iudeae tractus in latrocinia qui interim quiescebant* Lat *ἐκινείτω* C *κατὰ*] M et ex corr. A, om. PA¹LVRCExc *τἆλλα* L *τἀλλὰ* Exc *Ἰουδαίας*] *ἰδουμαίασ* LC *τὸ τέως*] *τότε ὡσ* P *τότε τέωσ* VRC *ἠρέμουν* VR 8 *τὸ* om. AMLExc *τὸ λῃστρικόν* spurium uid. *δὲ*] *γὰρ* A *ἐν*] *ἐν ἐνὶ* LExc 9 *μέλη*, *με* i. ras. A *μέλει* R *συννοσεῖ* omisso mox *γοῦν* Herwerden *τῇ* om. VRC 11 *ἕκαστοι* L *ἁρπάξαντεσ* LVR *ἔπειτα* ex *ἐπιτὰ* corr. A 12 *τὴν* om. M *συνομούμενοι* Exc 14 *πόλεσι* MC *οὓς*] *οὕσ ἂν* LExc 15 *ὡρμήσειαν* L *ἐν* om. LExc *καταλειφθέντασ* LR 17 *Ἰουδαίας*] *ἰδαίασ* C *προσανεχούσῃ* LExc *προανεχούσι* C *συναπόλλυτο* PLExc *συναπώλλοντο* V *συναπόλλοιτο* C 18 *περὶ* C *διηγγέλλετο*] *ἀπήγγελτο* Exc, quae hic finiunt 19 *τῶν στασιαστῶν τὰσ ἐξόδουσ* tr. P 20 *ὁποσοῦν* C 23 *πολοὺσ* C

δυνεύειν τοῖς κρατοῦντας. ὁ δὲ οἰκτίρων ἤδη τὰς συμφορὰς αὐτῶν 412
τὸ μὲν δοκεῖν ἐκπολιορκήσων ἐφίσταται τὰ Ἱεροσόλυμα, τὸ δὲ
ἀληθὲς ἀπαλλάξων πολιορκίας. ἔδει μὲν προκατασκέψασθαι τὰ 413
λειπόμενα καὶ μηδὲν ἔξωθεν ἐμπόδιον τῇ πολιορκίᾳ καταλιπεῖν·
ἐλθὼν οὖν ἐπὶ τὰ Γάδαρα μητρόπολιν τῆς Περαίας χαρτερὰν
τετράδι Λύστρου μηνὸς εἴσεισιν εἰς τὴν πόλιν· καὶ γὰρ ἔτυχον οἱ 414
δυνατοὶ λάθρα τῶν στασιωδῶν πρεσβευσάμενοι πρὸς αὐτὸν περὶ
παραδόσεως πόθῳ τε εἰρήνης καὶ διὰ τὰς οὐσίας· πολλοὶ δὲ τὰ
Γάδαρα κατῴκουν πλούσιοι. τούτων τὴν πρεσβείαν ἠγνοήκεσαν οἱ 415
διάφοροι, πλησίον δὲ ἤδη ὄντος Οὐεσπασιανοῦ διεπύθοντο, καὶ
κατασχεῖν μὲν αὐτοὶ τὴν πόλιν ἀπέγνωσαν δύνασθαι τῶν τε ἔνδον
ἐχθρῶν πλήθει λειπόμενοι καὶ Ῥωμαίους ὁρῶντες οὐ μακρὰν τῆς
πόλεως, φεύγειν δὲ κρίνοντες ἠδόξουν ἀναιμωτὶ καὶ μηδεμίαν παρὰ
τῶν αἰτίων εἰσπραξάμενοι τιμωρίαν. συλλαβόντες δὴ τὸν Δόλεσον, 416
οὗτος γὰρ ἦν οὐ μόνον ἀξιώματι καὶ γένει τῆς πόλεως πρῶτος,
ἀλλ' ἐδόκει καὶ τῆς πρεσβείας αἴτιος, κτείνουσί τε αὐτὸν καὶ δι'
ὑπερβολὴν ὀργῆς νεκρὸν αἰκισάμενοι διέδρασαν ἐκ τῆς πόλεως.
ἐτιούσης δὲ ἤδη τῆς Ῥωμαϊκῆς δυνάμεως ὅ τε δῆμος τῶν Γαδαρέων 417
μετ' εὐφημίας τὸν Οὐεσπασιανὸν εἰσδεξάμενοι δεξιὰς παρ' αὐτοῦ
πίστεως ἔλαβον καὶ φρουρὰν ἱππέων τε καὶ πεζῶν πρὸς τὰς τῶν
φυγάδων καταδρομάς· τὸ γὰρ τεῖχος αὐτοὶ πρὶν ἀξιῶσαι Ῥωμαίους 418
καθεῖλον, ὅπως εἴη πίστις αὐτοῖς τοῦ τὴν εἰρήνην ἀγαπᾶν τὸ μηδὲ
βουληθέντας δύνασθαι πολεμεῖν.

PAMLVRC Lat Hegesippus IV 14 p. 244.

2 τὸ] τῷ AMLV¹R ἐφίσταται] ἀνίσταται VRC fort. recte *propius ad eos — accedit* Lat δ' L 3 ἔδει — 4 λειπόμενα] *spe autem reliqua subigendi* Lat μὲν] δὲ MVRC μὲν τοῦ L μέντοι Destinon 5 ἐλθὼν οὖν] ἐλθόντων οὖν PAVRC ἐξελθόντων οὖν M ἐλθὼν γοῦν L *cum igitur uenisset* Lat τὰ om. L γάδηρα P μητρόπολιν i. ras. A 6 Δύστρου] *martii* Lat Dystri 4. dies est 21. Martii (XII k. April.) anni Iuliani 68 p. Chr. γὰρ om. L ἔτοιχον C 7 στασιωτῶν ed. pr. αὐτὸν] τὸν αὐτὸν L 9 τούτων, ο ex ω corr. A ἠγνωνίκεσαν C ἠγνήκεσαν R 10 διάφοροι] διάφροι L ὄντως PC ὄντος ἤδη tr. Niese, ne extet hiatus uitiosus 11 τε] δὲ PA¹ 13 δὲ, δ i. ras. A τε L φεύγειν δ' ἔκρινον ἄδοξον Herwerden κρίναντες MVRC ἀναιμοτὶ R παρὰ] ὑπὸ L 14 συλλαβόμενοι C δὴ] δὲ PAMVRC *itaque* Lat τὸν fort. spurium δόλισσον L *dolesum* LatHeg 16 ἐδόκει] *erat* Lat 18 δὲ om. L Γαδαρέων] γαδάρων LVRC 19 εἰσδεξάμενος L 20 ἔλαβεν L τας] τα V 22 τοῦ om. VR τὸ — 23 πολεμεῖν] *si bellum gerere ne uolentes quidem posse uiderentur* Lat τὸ] τῷ V² μηδὲ] μηδὲν V μηδ' ἂν Destinon 23 δύνασθαι] Lat et ex corr. A, om. PA¹MLVRC probante Destinone

419 4. Οὐεσπασιανὸς δὲ ἐπὶ μὲν τοὺς διαδράντας ἐκ τῶν Γαδάρων
Πλάκιδον σὺν ἱππεῦσιν πεντακοσίοις καὶ πεζοῖς τρισχιλίοις πέμπει,
420 αὐτὸς δὲ μετὰ τῆς ἄλλης στρατιᾶς ὑπέστρεψεν εἰς Καισάρειαν. οἱ
δὲ φυγάδες ὡς αἰφνίδιον τοὺς διώκοντας ἱππεῖς ἐθεάσαντο, πρὶν
εἰς χεῖρας ἐλθεῖν εἴς τινα κώμην συνειλοῦνται Βηθενναβρὶν προσα- 5
421 γορευομένην· ἐν ᾗ νέων πλῆθος οὐκ ὀλίγον εὑρόντες καὶ τοὺς μὲν
ἑκόντας τοὺς δὲ βίᾳ καθοπλίσαντες εἰκαίως, προπηδῶσιν ἐπὶ τοὺς
422 περὶ τὸν Πλάκιδον. οἱ δὲ πρὸς μὲν τὴν πρώτην ἐμβολὴν ὀλίγον
εἶξαν ἅμα καὶ προκαλέσασθαι τεχνιτεύοντες αὐτοὺς ἀπὸ τοῦ τεί-
423 χους πορρωτέρω. λαβόντες δ' εἰς ἐπιτήδειον περιήλαυνόν τε καὶ 10
κατηκόντιζον, καὶ τοὺς μὲν φυγάδας αὐτῶν οἱ ἱππεῖς ἐπετέμνοντο,
424 τὰς συμπλοκὰς δὲ τὸ πεζὸν εὐτόνως διέφθειρον. οὐ μέντοι πλέον
τι τόλμης ἐπιδεικνύμενοι Ἰουδαῖοι διεφθείροντο· πεπτωκυίαις
γὰρ τοῖς Ῥωμαίοις προσπίπτοντες καὶ ταῖς παροπλίαις ὥσπερ
τετειχισμένοις, αὐτοὶ μὲν οὐχ εὕρισκον βέλους παράδυσιν οὐδ' ἡτό- 15
425 νουν ῥῆξαι τὴν φάλαγγα, περιεπείροντο δὲ τοῖς ἐκείνων βέλεσι καὶ
τοῖς ἀγριωτάτοις παραπλήσιοι θηρίοις ὥρμων ἐπὶ τὸν σίδηρον. διε-
φθείροντο δ' οἱ μὲν κατὰ στόμα παιόμενοι τοῖς ξίφεσιν, οἱ δὲ
ὑπὸ τῶν ἱππέων σκεδαννύμενοι.
426 5. Σπουδὴ γὰρ ἦν τῷ Πλακίδῳ τὰς ἐπὶ τὴν κώμην ὁρμὰς αὐτῶν 20
427 διακλεῖσαι. καὶ συνεχῶς παρελαύνων κατ' ἐκεῖνο τὸ μέρος, ἔπειτα
ἐπιστρέφων ἅμα καὶ τοῖς βέλεσι χρώμενος εὐστόχως ἀνῄρει τοὺς
πλησιάζοντας καὶ δέει τοὺς πόρρωθεν ἀνέστρεφεν, μέχρι βίᾳ διεκ-
428 πεσόντες οἱ γενναιότατοι πρὸς τὸ τεῖχος διέφευγον. ἀπορίᾳ δ'
εἶχε τοὺς φύλακας· οὔτε γὰρ ἀποκλεῖσαι τοὺς ἀπὸ τῶν Γαδάρων 25
ἐπέμενον διὰ τοὺς σφετέρους καὶ δεξάμενοι συναπολεῖσθαι προσ-

---

PAMLVRC Lat Hegesippus IV 15 p. 245.

1 δὲ] δ' AM τῶν γαδάρων τοὺς διαδράντας (om. ἐκ) tr. C 2 τρισχιλίοις, οις ex ους corr. A τριακοσίοις L 3 αὐτὸς — ἄλλης] μετὰ τῆς ἄλλης δὲ (δὲ suppl.) A μετὰ δὲ τῆς ἄλλης LVRC fort. recte 5 βηθενναβριν A βιθεναβρὶν L βηθεναβρὶν C bethenabrin Lat, om. Heg 6 ἐν ᾗ νέων] ἐν ᾗ ἰουδαίων PAM ἔνθα ἰουδαίων L ubi iuuenum Lat et similiter Heg 8 πλάκιδον, πλα i. ras. corr. A ἐμβολὴν] συμβολὴν L 9 προσκαλέσασθαι C 10 πορροτέρω P δὲ LVRC ἐπιτήδειον] ἐπιτήδειον τόπον Naber 11 τὰς μὲν φυγὰς Destinon 12 εὐτόνως A διέφθειρον] διέφθειρεν L διέφερον Destinon ὑπεδέξατο uel simile Niese πλεῖόν L τι om. C 13 οἱ ἰουδαῖοι PAMLVR 14 προσπίπτοντες τοῖσ ῥωμαίοις tr. LVRC 15 ἠρίσκον L οὐδὲ VRC ἠτόνουν PA¹ 17 ὥρμον PC¹ 18 δ'] δὲ VRC 9' Niese παιόμενοι] πληττόμενοι L ξίφεσιν] ὀϊστοῖσ L sagittis LatHeg δ' M 20 supra τὴν scriptum ut uid. ληστασ m. 2 R ὁρμὰς αὐτῶν διακλεῖσαι] αὐτῶν ὁρμὰσ διακωλύειν L 21 ἐκεῖνω AC 22 τοὺς] τε τοὺς Niese 23 διεκπαίοντεσ VRC 24 διέφυγον MLVRC δὲ VRC 26 συναπολέσθαι P συναποκλεῖσθαι R συναποκεκλεῖσθαι C

εδόκουν. ὃ δὴ καὶ συνέβη· συνωσθέντων γὰρ αὐτῶν εἰς τὸ τεῖχος 429
παρ' ὀλίγον μὲν οἱ τῶν Ῥωμαίων ἵπποις συνεισέπεσον, οὐ μὴν ἀλλὰ
καὶ φθασάντων ἀποκλεῖσαι τὰς πύλας προσβαλὼν ὁ Πλάκιδος καὶ
μέχρι δείλης γενναίως ἀγωνισάμενος τοῦ τείχους καὶ τῶν ἐν τῇ
κώμῃ ἐκράτει. τὰ μὲν οὖν ἀρχὰ πλήθη διεφθείρετο, φυγὴ δὲ ἦν 430
τῶν δυνατωτέρων, τὰς δ' οἰκίας οἱ στρατιῶται διήρπασαν καὶ τὴν
κώμην ἐνέπρησαν. οἱ δὲ διαδράντες ἐξ αὐτῆς τοὺς κατὰ τὴν χώραν 431
συνανέστησαν, καὶ τὰς μὲν αὐτῶν συμφορὰς ἐξαίροντες ἐπὶ μεῖζον,
τῶν δὲ Ῥωμαίων τὴν στρατιὰν πᾶσαν ἐπιέναι λέγοντες πάντας
πανταχόθεν ἐξέσεισαν τῷ δέει, γενόμενοί τε παμπληθεῖς ἔφευγον
ἐπὶ Ἱεριχοῦντος· αὕτη γὰρ ἔτι μόνη τὰς ἐλπίδας αὐτῶν ἔθαλπε 432
τῆς σωτηρίας καρτερὰ πληθή γε οἰκητόρων. Πλάκιδος δὲ τοῖς 433
ἵπποις καὶ ταῖς προαγούσαις εὐπραγίαις τεθαρρηκὼς ἕπετο, καὶ
μέχρι μὲν Ἰορδάνου τοὺς ἀεὶ καταλαμβανομένους ἀνῄρει, συνελάσας
δὲ πρὸς τὸν ποταμὸν πᾶν τὸ πλῆθος εἰργομένους ὑπὸ τοῦ ῥεύμα-
τος, τραχὺν γὰρ ὑπ' ὄμβρων ὄβατον ἦν, ἀντικρὺ παρετάσσετο.
παρώξυνε δ' ἡ ἀνάγκη πρὸς μάχην τοὺς φυγῆς τόπον οὐκ ἔχοντας, 434
καὶ ταῖς ὄχθαις ἐπὶ μήκιστον παρεκτείναντες σφᾶς αὐτοὺς ἐδέχοντο
τὰ βέλη καὶ τὰς τῶν ἱππέων ἐμβολάς, οἳ πολλοὺς αὐτῶν παίοντες
εἰς τὸ ῥεῦμα κατέβαλον. καὶ τὸ μὲν ἐν χερσὶν αὐτῶν διαφθαρὲν μύριοι 435
πεντακισχίλιοι, τὸ δὲ βιασθὲν ἐμπηδῆσαι εἰς τὸν Ἰορδάνην πλῆθος

PAMLVRC Lat Hegesippus IV 15 p. 245 sq.

3 *φθασάντων*] *μὴ φθασάντων* R^2 *ἀποκλεῖσαι* ex *ἀποκλειν* corr. uid. m. 2 R *πύλας*, ex *θύρας* corr. A *προσβαλὼν*] *προλαβὼν* L 5 *ἐκράτει*] *δὲ κρατεῖ* L *κρατεῖ* Niese *διεφθείροντο* L *δ'* L 6 *δὲ* VRC *οἰκίας*, *οἱ* i. ras., *ι* ex *εἱ* corr. A 7 *διέπρησαν* (*α* ex *ε* corr. A) PA 8 *αὐτῶν* Bekker 9 *τῶν δὲ Ῥωμαίων τὴν*] *τὴν δὲ τῶν ῥωμαίων* M *τὴν δὲ ῥωμαίων* LVRC 10 *ἐξέσεισαν*] *ἐξέστησαν* C *γενόμενοί τε παμπληθεῖς*] *ἠτιμωμενοι δὲ παμπληθεῖ* L 11 *ἱεροϊχοῦντος, ρῖ* ex *ρο* corr. V *μόνη* om. Lat *αὐτῶν ἔτι μόνη τὰς ἐλπίδας* tr. L 11—12 *quae propter incolae multitudinis agmina spem ceterorum fouebat* Heg 12 *καρτερὰ — οἰκητόρων*] *quod esset ualida et populosa* Lat *καρτερία* L *πλήθει*] *τείχει τε καὶ πλήθει* ed. pr. *γε*] *τε* PAL *τῶν* C, om. M *οἰκητόρων*] *οἰκητόρων τυγχάνουσα* C *πλάκιδος, κ* suppl. *λ* ex *ρ* corr. C 13 *ἱππεῦσι, ι* finale i. ras. maiore A *προαγούσαις* R *προαγούσουσαις* (*σου* deletum) C 15 *τὸν*] *τὸ·*, eras. *ν* A *εἰργομένοις* AL *εἰργομένοις* VR *εἰργόμενος* C *prohibitus* cod. Vat *prohibitam* (*multitudinem*) cod. Berol. Lat 16 *ὑπ'*] *ὑπὸ* PV *ἄντικρυς* L fort. recte 17 *δὲ* VRC 18 *παρεκτείνοντες* PALR 20 *κατέβαλλον* ML *καὶ τὸ μὲν*] *nam* Lat *μύριοι πεντακισχίλιοι*] *tredecim milia* Lat Heg 21 *πεντακισχίλιοι*] *τριακόσιοι* L *ἐμπηδῆσαι*] *ἐκπηδῆσαι* P *πηδῆσαι* L *desilierunt* Lat *εἰς — 404,1 ἑκουσίως*] PAMVRC Lat *ἀκουσίως εἰσ τον ιορδάνην πλῆθοσ* L *ἑκουσίως εἰς τὸν Ἰορδάνην πλῆθος* Destinon *πλῆθος ἑκουσίως εἰς τὸν Ἰορδάνην* Niese, ut uitetur hiatus

436 ἑκουσίως ἄπειρον ἦν. ἑάλωσαν δὲ περὶ δισχιλίους καὶ διακοσίους
λεία τε ταμπλησθὲς ὄνων τε καὶ προβάτων καὶ καμήλων καὶ βοῶν.
437 6. Ἰουδαίοις μὲν οὖν οὐδὲν ἐλάττων ἥδε ἡ πλημμὴ προσπεσοῦσα
καὶ μείζων ἔδοξεν ἑαυτῆς διὰ τὸ μὴ μόνον τὴν χώραν ἅπασαν δι'
ἧς ἔφευγον πλησθῆναι φόνου μηδὲ νεκροῖς διαβατὸν γενέσθαι τὸν
Ἰορδάνην, ἐμπλησθῆναι δὲ τῶν σωμάτων καὶ τὴν Ἀσφαλτικὴν
438 λίμνην, εἰς ἣν ταμπλησθεῖς ὑπὸ τοῦ ποταμοῦ κατεσύρησαν. Πλά-
κιδος δὲ δεξιᾷ τύχῃ χρώμενος ὥρμησεν ἐπὶ τὰς πέριξ πολίχνας τε
καὶ κώμας, καταλαμβανόμενός τε Ἄβιλα καὶ Ἰουλιάδα καὶ Βησιμὼ
τάς τε μέχρι [τῆς] Ἀσφαλτίτιδος πάσας ἐγκαθίστησιν ἑκάστῃ τοὺς
439 ἐπιτηδείους τῶν αὐτομόλων. ἔπειτα σκάφεσιν ἐπιβήσας τοὺς στρα-
τιώτας αἱρεῖ τοὺς εἰς τὴν λίμνην καταφεύγοντας. καὶ τὰ μὲν κατὰ
τὴν Περαίαν προσεχώρησεν ἢ ἑάλω πάντα μέχρι Μαχαιροῦντος.
440 VIII. 1. Ἐν δὲ τούτῳ τὸ περὶ τὴν Γαλατίαν ἀγγέλλεται κίνημα
καὶ Οὐίνδιξ ἅμα τοῖς δυνατοῖς τῶν ἐπιχωρίων ἀφεστὼς Νέρωνος,
441 περὶ οὗ ἐν ἀκριβεστέροις ἀναγέγραπται. Οὐεσπασιανὸν δ' ἐπήγειρεν εἰς τὴν ὁρμὴν τοῦ πολέμου τὰ ἠγγελμένα προορώμενον ἤδη
τοὺς μέλλοντας ἐμφυλίους πολέμους καὶ τὸν ὅλης κίνδυνον τῆς ἡγε-
μονίας, ἐν ᾧ προειρηνεύσας τὰ κατὰ τὴν ἀνατολὴν ἐπικουφίσειν
442 ᾤετο τοὺς κατὰ τὴν Ἰταλίαν φόβους. ἕως μὲν οὖν ἐπεῖχεν ὁ χειμὼν
τὰς ὑπηγμένας διησφαλίζετο κώμας τε καὶ πολίχνας φρουραῖς,

PAMLVRC Lat Hegesippus IV 15 p. 247.

1 *XCII milia et CC* Heg 2 παμπληθεῖσ PC τε om. MVR καὶ καμήλων καὶ βοῶν καὶ προβάτων tr. L 3 οὐδὲν ἐλάττων] *quamuis par superioribus* Lat *maxima* Heg οὐδεμιᾶς ἐλάττων Herwerden ἔλαττον PA ἐλάττω L | λαττῶ C ἥδε ἡ] ἡ δὲ L 4 μεῖζον L ἔδοξεν om. C αὐτῆσ L 6 δὲ] τε L Ἀσφαλτικὴν] ἀσφαλτίτιν (— τιν LC) MLVRC *asfaltites* Lat *asphaltius* Heg 7 Πλάκιδος] ‖ λάκιδοσ C (π om. rubricator) 8 τύχῃ] τῇι τύχηι L fort. recte 9 καταλαβόμενόσ ML ἅμιλαν L ἄβηλα C *adila* codd. Berol. et Vat. Lat *abilam* Heg ἰουλίδα C Βησιμὼ τάς] A βησιμώτασ P βασιμὼθ τάσ L βησιμὼθ τάσ MVRC *besemoth* Lat *bethesmon* Heg 10 τῆς om. PAM 11 ἐπιβήσας] ἐπιβιβάσασ LC 12 αἱρεῖ] αἵρει PA ἀναιρεῖ MVRC *subegit* Lat καταφεύγοντας] ex καταφυγόντασ corr. M καταφυγόντασ VRC κατὰ] περὶ L 13 Περαίαν] πορείαν C ἢ] ἐνῆι L *ubique* Lat 14 τὴν γαλατίαν, *tl* i. ras. C τῆσ γαλατίασ PAMLVR, ut de τὰς Γαλατίας possis cogitare 16 ἐν ἄλλοις ἀκριβέστερον Naber δὲ LVRC ἐπήγειρεν A 17 ἠγγελλμένα A 18 μέλλοντας om. P fort. recte τῆσ ἡγεμονίασ ἐν ᾧ i. ras. V 19 ἐπικουφίζειν L 20 ἰταλίαν C μὲν om. VR ἐπεῖχεν] *obstante* Lat 21 ὑπηγμένας] *subactos interim* Lat

δεκαδάρχας μὲν κώμας ἐγκαθιστάς, ἑκατοντάρχας δὲ πόλεσι· πολλὰ
δὲ ἀνῄρκιζε καὶ τῶν πεπορθημένων. ὑπὸ δὲ τὴν ἀρχὴν τοῦ ἔαρος 443
ἀναλαβὼν τὸ πλέον τῆς δυνάμεως ἦγεν ἀπὸ τῆς Καισαρείας ἐπὶ
Ἀντιπατρίδος, ἔνθα δυσὶν ἡμέραις καταστησάμενος τὴν πόλιν τῇ
τρίτῃ προῆλθε πορθῶν καὶ καίων τὰς πέριξ πάσας. καταστρεψά- 444
μενος δὲ τὰ περὶ τὴν Θαμνὰ τοπαρχίαν ἐπὶ Λύδδων καὶ Ἰαμνείας
ἐχώρει καὶ προκεχειρωμένας ἑκατέρας ἐγκαταστήσας οἰκήτορας τῶν
προσκεχωρηκότων ἱκανοὺς εἰς Ἀμμαοῦντα ἀφικνεῖται. καταλαβό- 445
μενος δὲ τὰς ἐπὶ τὴν μητρόπολιν αὐτῶν εἰσβολὰς στρατόπεδόν τε
τειχίζει καὶ τὸ πέμπτον ἐν αὐτῇ τάγμα καταλιπὼν πρόεισι μετὰ
τῆς ἄλλης δυνάμεως ἐπὶ τὴν Βεθλεπτηνφῶν τοπαρχίαν. λυπεῖ δὲ 446
αὐτήν τε καὶ τὴν γειτνιῶσαν ἀνελὼν καὶ τὰ πέριξ τῆς Ἰδουμαίας
φρούρια τοῖς ἐπικαίροις τόποις ἐπετείχισε· καταλαβόμενος δὲ δύο 447
κώμας τὰς μεσαιτάτας τῆς Ἰδουμαίας, Βήταβριν καὶ Καφάρτοβαν,
κτείνει μὲν ὑπὲρ μυρίους, αἰχμαλωτίζεται δὲ ὑπὲρ χιλίους, καὶ τὸ 448
λοιπὸν πλῆθος ἐξελάσας ἐγκαθίστησιν τῆς οἰκείας δυνάμεως οὐκ
ὀλίγην, οἳ κατατρέχοντες ἐπόρθουν ἅπασαν τὴν ὀρεινήν. αὐτὸς δὲ 449
μετὰ τῆς λοιπῆς δυνάμεως ὑπέστρεψεν εἰς Ἀμμαοῦν, ὅθεν διὰ τῆς
Σαμαρείτιδος καὶ παρὰ τὴν Νέαν πόλιν καλουμένην. Μαβαρθὰ δ'

PAMLVRC Lat Hegesippus IV 16 p. 247.

1 *ἐγκαθιστὰς*] *opponens* Lat 2 *ὑπὸ — ἔαρος*] *prius tamen* Lat ἔαροσ ex ἀέροσ corr. uid. A ἀέροσ VC 4 *δυσῖν* L *καταστησάμενος*] *ἐγκαταστησάμενοσ* PAMVRC (*ciuitate*) *composita* Lat *τῇ* om. P 6 *τὰ*] *τὰσ* LLat *θαμνὰ*, *α* ante *μ* ex *ι* corr. A *θαμνᾶ* MR *θαμνὰν* L *θαμνᾶν* V *θαμνᾶν*, *ν* finale deletum uid. C *tamnam* Lat *τοπαρχιασ* LLat *Λύδδων*] *λύδων* PA *λύδδησ* LV²C *lyddam* (acc.) Lat *ἰαμνίασ* LC *ἴαμν·ιασ* V 7 *προκεχειρωμένας*] *προσκεχωρημέναισ* L Lat 8 *προσκεχωκότων* A *amathunta* cod. Berol. Lat 9 *δὲ*] *τε* L Lat 10 *τὸ* om. R *καταλειπὼν* C *πρόσεισι* PAMVRC 11 *βεθλεπτηνφῶν*, *εθλε* i. ras. A *βεθλεπτημφῶν* M *βεθλεπτηνφὼν* V *βετελεπτηφῶν* L *βεθλεπτηφὼν* C *bethlepton* ut uid. Lat; cf. Plin. h. n. V 70 12 *τε* om. L 13 *φρούρια*] *φρούρια μὲν* LLat fort. recte 14 *Βήταβριν*] *βήταριν* MVRC *μετάφορίν τε* L *begabri* (abl.) Lat *legarim* Heg; cf. Steph. Byz. s. *Βαιταρροῦς* *Καφάρτοβαν*] ed. pr. *καταφάρτοβαν* PAC *καταφαρτόβαν* MR *καταφαρτοβαν* (sic) V *φαρτόρβαν* L *cafartobran* Lat *capartoren* codd. Hegesippi 15 *αἰχμαλωτίζει* L *ὑπὲρ*] *περι* L 16 *οἰκείας*] *ἰδίασ* AMVRC 17 *ὀλίγον* C *ἅπασαν ἐπόρθουν* tr. L *δὲ*] *δὲ τότε* L 18 *δυνάμεως*] *στρατιᾶσ* L *ὑπέστρεψεν* A *ὑπέστρεφεν* LVRC *Ἀμμαοῦν*] *ἐμμαοῦν* L *ἀμμαοῦντα* C *amaum* Lat *amathum*, *quae de aquis calidis uocabulum sumpsit*, *quod aquarum uapor syriae sermone amathus appellari fertur* Heg; cf. p. 348, 6 19 *νεάπολιν* PAMVRC *Μαβαρθὰ δ'*] *μαβαρθάδ'* (*θ* i. ras. ex *λ* corr. uid.) P *μαβαρθὰ* MC *μαβαρθὰν δὲ* L *μαβάρθαδ'* R *maborta* aut *mabortham* Lat *Mamortha* Plin. h. n. V 69; cf. Stiehle Philol. XI 188

ὑπὸ τῶν ἐπιχωρίων, καταβὰς εἰς Κορέαν δευτέρᾳ Δαισίου μηνὸς
450 στρατοπεδεύεται. τῇ δ' ἑξῆς εἰς Ἰεριχοῦντα ἀφικνεῖται, καθ' ἣν
αὐτῷ συμμίσγει Τραϊανὸς εἷς τῶν ἡγεμόνων τὴν ἐκ τῆς Περαίας
ἄγων δύναμιν ἤδη τῶν ὑπὲρ τὸν Ἰορδάνην κεχειρωμένων.
451 2. Τὸ μὲν οὖν πολὺ πλῆθος ἐκ τῆς Ἰεριχοῦς φθάσαν τὴν ἔφο- 5
δον αὐτῶν εἰς τὴν ἀντικρὺς Ἱεροσολύμων ὀρεινὴν διαπεφεύγει, κατα-
452 λειφθὲν δὲ οὐκ ὀλίγον διαφθείρεται. τὴν δὲ πόλιν ἔρημον κατει-
λήφεσαν, ἥτις ἵδρυται μὲν ἐν πεδίῳ, ψιλὸν δὲ ὑπέρκειται αὐτῇ
453 καὶ ἄκαρπον ὄρος μήκιστον· κατὰ γὰρ τὸ βόρειον κλίμα μέχρι τῆς
Σκυθοπολιτῶν γῆς ἐκτείνεται, κατὰ δὲ τὸ μεσημβρινὸν μέχρι τῆς 10
Σοδομιτῶν χώρας καὶ τῶν περάτων τῆς Ἀσφαλτίτιδος. ἔστιν δὲ
454 ἀνώμαλόν τε πᾶν καὶ ἀοίκητον διὰ τὴν ἀγονίαν. ἀντίκειται δὲ
τούτῳ τὸ περὶ τὸν Ἰορδάνην ὄρος ἀρχόμενον ἀπὸ Ἰουλιάδος καὶ τῶν
βορείων κλιμάτων, παρατεῖνον δὲ εἰς μεσημβρίαν ἕως Σομόρων,
ἥπερ ὁρίζει τὴν Πέτραν τῆς Ἀραβίας. ἐν τούτῳ δ' ἐστὶ καὶ τὸ 15
455 Σιδηροῦν καλούμενον ὄρος μηκυνόμενον μέχρι τῆς Μωαβίτιδος. ἡ
μέση δὲ τῶν δύο ὀρέων χώρα τὸ μέγα πεδίον καλεῖται, ἀπὸ κώμης
456 Γιναβρὶν διῆκον μέχρι τῆς Ἀσφαλτίτιδος. ἔστι δὲ αὐτοῦ μῆκος
μὲν σταδίων χιλίων διακοσίων, εὖρος δ' εἴκοσι καὶ ἑκατόν, καὶ
μέσον ὑπὸ τοῦ Ἰορδάνου τέμνεται λίμνας τε ἔχει τήν τε Ἀσφαλ- 20
τῖτιν καὶ τὴν Τιβεριέων φύσιν ἐναντίας· ἡ μὲν γὰρ ἁλμυρώδης καὶ

PAMLVRC Lat Hegesippus IV 16 p. 248.

1 *κοραίαν* MLVRC *δησίου* PA *δεσίου* MVRC *iunii* Lat Daesii 2. dies est 20. Iunii (XII K. Iul.) anni Iuliani (68 p. Chr.) 2 *δὲ* LVRC 3 *μίσγει* P *τραϊνος* M 4 *τῶν*] *τὸν* A^1R *κεκυρωμένων* L 5 *ἱεριχοῦντος* MVRC *hierichunte* Lat *hiericho* (abl.) Heg 6 *διαφεύγει* L *καταλειφθὲν*] PAMLLatHeg *καταληφθὲν* VRC 7 *δ'* C 8 *ἥτις*]|*τισ* C *μὲν ἐμπεδίῳ* R *ψιλὸν*] *ὑψηλὸν* A *αὐτὴ* M *αὐτὴν* L *αὐτῆς* ex Rehd. Hudson 9 *γὰρ*] *μὲν* L *enim* LatHeg *τῆς*] *τῶν* L 10 *ἐκτείνεται*] *ἐκγίνεται* A 11 *Σοδομιτῶν*] *σοδομίτιδοσ*, i. marg. *γρ σαμαρείτιδοσ* L 12 *ἀγωνίαν* P 13 *περὶ*] *supra* Heg *ὑπὲρ* Destinon 14 *παρατεῖνον* PL *εἰς*] om. L *εἰ* R^1 *Σομόρων*] *σομόρρων* VR *σομορρων* (sic) C *sobara* (acc.) Lat *soboros* Heg *Γομόρρα* Cocceji *Ζωάρων* Weber ad Heg 15 *ἥπερ ὁρίζει*] *ἣ* (*ἣ* P) *περιορίζει* PL *δ' ἐστὶ*] *δ' ἐστὶν* L *δέ ἐστι* (*ἐστιν* V) VRC 16 *Μωαβίτιδος*] *μοαβίτιδοσ λίμνησ* (cf. ad u. 18) P 17 *ὀρῶν* L *καλεῖται πεδίον* tr. L 18 *Γιναβρὶν*] *δενναβρὶ* L *γιναβαρὶν* C *gennabra* Lat *gennabri* Heg; cf. supra p. 333, 5 *Ἀσφαλτίτιδος*] *ἀσφαλτίτιδοσ χώρασ* A *ἀσφαλτίτιδοσ λίμνησ* MLVRCLatHeg *δ'* C *μῆκος*] *το μῆκοσ* P 19 *χιλίων διακοσίων*] *τριάκοντα καὶ διακοσίων* L LatHeg *δὲ* AMLVRC 20 *μέσον*] *μέσον μὲν* LC *τε*] *δὲ* L *τήν τε ἀσφαλτῖτιν ἔχει* tr. L *ἀσφαλτίτην* P 21 *τιβεριαίων* PAR *τιβεριαίων* L *τιβεριαίαν* V *tyberiensis* Lat *φύσεισ* L *ἁλμυρόδησ* P

ἄγονος. ἡ Τιβεριέων δὲ γλυκεῖα καὶ γόνιμος. ἐκπυροῦται δὲ ὥρᾳ 457
θέρους τὸ πεδίον καὶ δι' ὑπερβολὴν αὐχμοῦ περιέχει νοσώδη τὸν
ἀέρα· πᾶν γὰρ ἄνυδρον πλὴν τοῦ Ἰορδάνου. παρὸ καὶ τοὺς μὲν ἐπὶ 458
ταῖς ὄχθαις φοινικῶνας εὐθαλεστέρους καὶ πολυφορωτέρους εἶναι
συμβέβηκεν, ἧττον δὲ τοὺς πόρρω κεχωρισμένους.

3. Παρὰ μέντοι τὴν Ἰεριχοῦν ἐστι πηγὴ δαψιλής τε καὶ πρὸς 459
ἀρδείας λιπαρωτάτη παρὰ τὴν παλαιὰν ἀναβλύζουσα πόλιν, ἣν
Ἰησοῦς ὁ Ναυῆ παῖς στρατηγὸς Ἑβραίων πρώτην εἶλε γῆς Χανα-
ναίων δορίκτητον. ταύτην τὴν πηγὴν λόγος ἔχει κατ' ἀρχὰς οὐ 460
μόνον γῆς καὶ δένδρων καρποὺς ἀναμβλύνειν. ἀλλὰ καὶ γυναικῶν
γονάς, καθόλου τε πᾶσιν εἶναι νοσώδη τε καὶ φθαρτικήν. ἐξιμερω-
θῆναι δὲ καὶ γενέσθαι τοὐναντίον ὑγιεινοτάτην τε καὶ γονιμωτάτην
ὑπὸ Ἐλισσαίου τοῦ προφήτου· γνώριμος δ' ἦν οὗτος Ἠλίᾳ καὶ
διάδοχος· ὃς ἐπιξενωθεὶς τοῖς κατὰ τὴν Ἰεριχοῦν, περισσὸν δή τι 461
φιλοφρονησαμένων αὐτὸν τῶν ἀνθρώπων αὐτούς τε ἀμείβεται καὶ
τὴν χώραν αἰωνίῳ χάριτι. προελθὼν γὰρ ἐπὶ τὴν πηγὴν καὶ κατα- 462
βαλὼν εἰς τὸ ῥεῦμα πλῆρες ἁλῶν ἀγγεῖον κεράμου, ἔπειτα εἰς
οὐρανὸν δεξιὰν ἀνατείνας δικαίαν κἀπὶ γῆς στονδὰς μειλικτηρίους
χεόμενος, τὴν μὲν ἧττον μαλάξαι τὸ ῥεῦμα καὶ γλυκυτέρας φλέβας
ἀνοῖξαι, τὸν δὲ ἐγκεράσασθαι τῷ ῥεύματι γονιμωτέρους [τε] ἀέρας 463
δοῦναί τε ἅμα καὶ καρπῶν εὐθηνίαν τοῖς ἐπιχωρίοις καὶ τέκνων

PAMLVRC LatHegesippus IV 17 p. 250.

1 *τιβεριαίων* PAVR *τιβερειαίων* L *δὲ τιβεριαίων* tr. L 2 *περιέχειν* V 3 *παρὸ*] *παρῶ* L 4 *καὶ πολυφορωτέρους* om. PA 5 *ἧττον*] *ἢ* R 6 *ἱεριχοῦντα* MC *ipsam — hiericum* Lat *hiericho* (acc.) Heg *ἔστι* (*-ιν* L) codd. *δαψιλέσ* C 8 *ναυὴ* PALVRC 9 *δορύκτητον* PAMR^2 *π·ηγὴν* C 10 *ἀμβλύνειν* P *ἀμβλύνειν* V 11 *τε πᾶσιν*] *δὲ πᾶσιν* P 12 *δὲ*] *τε* PAMVRC *ὑγιεινοτάτην, νο* ex *μο* corr. A *τε* om. PAMVRC *γονιμωτάτην*, litt. *νι* s. A 13 *ελισσαίου* P *ἐλισαίου* A *ἐλισαίου* M *ἐλισσαίου* L *ἐλισσαὲ* VR *elisaeo* aut *helisaeo* Lat *helisaeus* Heg *τοῦ*] *τινὸσ* LLat fort. recte *γνώρημοσ* C *δὲ* AVR *ἦλία* PVC *ηλία* L *heliae* LatHeg 14 *τὴν* om. L *ἱεριχοῦντα* MVC *hierichuntis* (gen.) Lat *hiericho* (acc.) Heg *τι*] *τινα* L 15 *αὐτὸν*, litt. *τὸν* s. A, litt. *ὸν* i. ras. M *αὐτῶν* VC^1 16 *αἰωνία* L *χάριτι*] *χάριτι ἐδωρήσατο* Dindorf ex cod. L. B. *προσελθὼν* PAL *γὰρ*] *que* Lat 17 *κεραμοῦν* Naber 18 *τὸν οὐρανὸν* M *ἀνατείνασ δεξιαν* tr. C *κἀπὶ γῆς*] *καὶ ἐπὶ γῆσ* i. marg. A *καὶ πηγῆσ* PAL *καὶ τῇ πηγῇ* M *καὶ πηγῇ* VRC *fontique* Lat 19 *χεόμενον* PA^1 *immergens* Lat *τὴν μὲν ἧττο* in confinio paginarum iterat C *φλέβας*] *βλέβασ* R^1 20 *τὸν*] *deum* Lat *δ'* L *γεύματι* L *τε*] om. MVRC *τοὺς* Destinon 21 *τε*] *τι* L *τοῖς*] LCLat *τοῖσ δ'* (*δὲ* VR) PAMVR

διαδοχήν, μηδ' ἐπιλιπεῖν αὐτοῖς τὸ τούτων γεννητικὸν ὕδωρ, ἕως
464 μένουσι δίκαιοι. ταύταις ταῖς εὐχαῖς πολλὰ προσχειρουργήσας ἐξ
ἐπιστήμης ἔτρεψε τὴν πηγήν, καὶ τὸ πρὶν ὀρφανίας αὐτοῖς καὶ
λιμοῦ παραίτιον ὕδωρ ἔκτοτε εὐτεκνίας καὶ κόρου χορηγὸν κατέστη.
465 τοσαύτην γοῦν ἐν ταῖς ἀρδείαις ἔχει δύναμιν ὡς, εἰ καὶ μόνον ἐρά- 5
ψαιτο τῆς χώρας, νοστιμώτερον εἶναι τῶν μέχρι κόρου χρονιζόντων.
466 παρὸ καὶ τῶν [μὲν] δαψιλεστέρως χρωμένων ἡ ὄνησίς ἐστιν ὀλίγη,
467 τούτου δὲ τοῦ ὀλίγου χορηγία δαψιλής. ἄρδει γοῦν πλέονα τῶν
ἄλλων ἁπάντων, καὶ πεδίον μὲν ἔπεισιν ἑβδομήκοντα σταδίων μῆκος
εὖρος δ' εἴκοσιν, ἐκτρέφει δ' ἐν αὐτῷ παραδείσους καλλίστους τε 10
468 καὶ πυκνοτάτους. τῶν δὲ φοινίκων ἐπαρδομένων γένη πολλὰ ταῖς
γεύσεσι καὶ ταῖς παρηγορίαις διάφορα· τούτων οἱ πιότεροι πατού-
469 μενοι καὶ μέλι δαψιλὲς ἀνιᾶσιν οὐ πολλῷ τοῦ λοιποῦ χεῖρον. καὶ
μελιττοτρόφος δὲ ἡ χώρα· φέρει δὲ καὶ ὀποβάλσαμον, ὃ δὴ τιμιώ-
τατον τῶν τῇδε καρπῶν, κύπρον τε καὶ μυροβάλανον, ὡς οὐκ ἂν 15
ἁμαρτεῖν τινα εἰπόντα θεῖον εἶναι τὸ χωρίον, ἐν ᾧ δαψιλῆ τὰ
470 στανιώτατα καὶ κάλλιστα γεννᾶται. τῶν μὲν γὰρ ἄλλων αὐτῷ
καρπῶν ἕνεκεν οὐκ ἂν ῥᾳδίως τι παραβλαθείη κλίμα τῆς οἰκου-
471 μένης· οὕτως τὸ καταβλᾶθὲν πολίχνην ἀναδίδωσιν. αἴτιόν μοι δοκεῖ
τὸ θερμὸν τῶν ἀέρων καὶ τὸ τῶν ὑδάτων εὔτονον, τῶν μὲν προ- 20

PAMLVRCLatHegesippus IV 17 p. 250.

1 *μηδὲ* LVRC *ἐπιλειπεῖν* PAL[1] *ἐπιλείπειν* M *τὸ τούτων*] *τοσοῦτον* P *γεννηματικὸν* VRC 2 *μενοῦσι* melius uid. *ταύταις — 3 ἐπιστήμης*] *ad has preces ex disciplina manibus quoque multa operatus* Lat *προσχειρουργήσας*] ex Lat Destinon *προχειρουργήσασ* PAMLVC *περιχειρουργήσασ* R 3 *τὸ*] *τὸ μὲν* PAL *ὀρφανείασ* L *αὐτοῖς*] *τε* L *his* Lat 5 *ὡς εἰ*] *ὡσεὶ* VR 6 *τῆς*] *τοῖσ τῆσ* L *τῶν*] *τῶ* V *τῶν — χρονιζόντων*] *aquis diu perseuerantibus* Lat *quam ubi diutius irrigauerit* Heg *κόρου*] *καιροῦ* L et ut uid. Lat *χρονιζόντων*] *νοτιζόντων* Destinon 7 *μὲν* om. PL *δαψιλέστερον* R *δαψιλέστερον* VCLips *δαψιλεστέρῳ* Niese *χρωμένων* (*εο* i. ras.) R *χωμένων* man. 1 Lips *ὀλίγη ἐστίν* tr. PAM 8 *τούτου — ὀλίγου*] *qui uero parcius* (*utuntur*) Lat *τῶν δ' ὀλίγῳ* aut *τοῦ δ' ὀλίγου* Niese *χορηγία*] PM et ex corr. A *ἡ χορηγία* L, om. A[1]VRCLat *πλείονα* M *πλέον* L *πλέονα τῶν*] *πλέον αὐτῶν* R 9 *ἄλλων ἁπάντων*] *quam ceteri fontes* Lat et similiter Heg 10 *δ' εἴκοσιν*] *δὲ εἴκοσιν* (— *σι* LVR) AMLVRC *ἐκτρέφει*] *ἐπιτρέφει* Dindorf ex cod. L. B. *δ'*] *δὲ* L *τ'* AM *τε* VRC 11 *δὲ*] *τε* PAM *πολλὰ* om. Lat 12 *παρηγορίαις*] *nominibus* Lat *προσηγορίαις* Niese *πιότεροι*] *πλειότεροι* L *πιώτεροι* VR 13 *πολλῷ*] *πολὺ* L *τοῦ λοιποῦ*] *τοῦ Ὑβλαίου* uel simile Niese 14 *μελιτοτρόφοσ* LLat *δ'* L *ὀποβάλσα* R[1] 15 *τῶν* om. C *κύπειρον* M probante Herwerdeno *τε καὶ* om. Lat 18 *ἕνεκα* L *οὐκ ἄν*] *οὐ* A *κλῆμα* V 19 *οὕτω* VRC *τὸ* iterauit C *ἀποδίδωσιν* VR *αἴτιόν μοι*] *αἴτιον ἐμοὶ* L *αἴτιον δέ μοι* C 20 *εὔτονον*] i. marg. PAM *εὔγονον* codd. *uis lenta* Lat *προκαλουμένων*] ed. pr. *prouocet* Lat *προσκαλουμένων* codd.

καλουμένων τὰ φυόμενα καὶ διαχεόντων, τῆς δὲ ἰκμάδος ῥιζούσης ἕκαστον ἰσχυρῶς καὶ χοριγούσης τὴν ἐν θέρει δύναμιν· περικαὲς δέ ἐστιν οὗτος τὸ χωρίον, ὡς μηδένα ῥᾳδίως προϊέναι. τὸ δὲ ὕδωρ 472
πρὸ ἀνατολῆς ἀντλούμενον, ἔπειτα ἐξαθριασθὲν γίνεται ψυχρότατον καὶ τὴν ἐναντίαν πρὸς τὸ περιέχον φύσιν λαμβάνει, χειμῶνος δὲ ἀνάπαλιν χλιαίνεται καὶ τοῖς ἐμβαίνουσι γίνεται προσηνέστατον. ἔστι δὲ καὶ τὸ περιέχον οὕτως εὔκρατον, ὡς λινοῦν ἀμφιέννυσθαι 473
τοὺς ἐπιχωρίους νιφομένης τῆς ἄλλης Ἰουδαίας. ἀπέχει δὲ ἀπὸ 474
Ἱεροσολύμων μὲν σταδίους ἑκατὸν πεντήκοντα, τοῦ δὲ Ἰορδάνου ἑξήκοντα, καὶ τὸ μὲν μέχρι Ἱεροσολύμων αὐτῆς ἔρημον καὶ πετρῶδες, τὸ δὲ μέχρι τοῦ Ἰορδάνου καὶ τῆς Ἀσφαλτίτιδος χθαμαλώτερον μέν, ἔρημον δὲ ὁμοίως καὶ ἄκαρπον. ἀλλὰ γὰρ τὰ μὲν περὶ Ἱεριχοῦν 475
εὐδαιμονεστάτην οὖσαν ἀποχρώντως δεδήλωται.

4. Ἄξιον δὲ ἀφηγήσασθαι καὶ τὴν φύσιν τῆς Ἀσφαλτίτιδος 476
λίμνης. ἥτις ἐστὶ μέν, ὡς ἔφην, πικρὰ καὶ ἄγονος. ὑπὸ δὲ κουφότητος καὶ τὰ βαρύτατα τῶν εἰς αὐτὴν ῥιφέντων ἀναφέρει, καταδῦναι δ' εἰς τὸν βυθὸν οὐδὲ ἐπιτηδεύσαντα ῥᾴδιον. ἀφικόμενος γοῦν καθ' 477
ἱστορίαν ἐπ' αὐτὴν Οὐεσπασιανὸς ἐκέλευσέ τινας τῶν νεῖν οὐκ ἐπισταμένων δεθέντας ὀπίσω τὰς χεῖρας ῥιφῆναι κατὰ τοῦ βυθοῦ, καὶ συνέβη πάντας ἐπινήξασθαι καθάπερ ὑπὸ πνεύματος ἄνω βιαζομένους. ἔστι δ' ἐπὶ τούτῳ καὶ ἡ τῆς χρόας μεταβολὴ θαυμάσιος· 478
τρὶς γὰρ ἑκάστης ἡμέρας τὴν ἐπιφάνειαν ἀλλάσσεται καὶ πρὸς τὰς ἡλιακὰς ἀκτῖνας ἀνταυγεῖ ποικίλως. τῆς μέντοι ἀσφάλτου κατὰ 479

PAMLVRC Lat Hegesippus IV 18 p. 251.

1 *τῆς* in confinio paginarum iterauit C *δ'* L *ῥιζούσης*] *ἐρριζούσης* L 2 *τὴν*] *τοῖσ* VR 3 *δέ ἐστιν οὕτωσ*, litt. *δ' ἐστιν οὕ* i. ras. A *δ' οὕτωσ ἐστὶ* L *οὕτω* VRC *ῥάδιον* L *προσιέναι* LC *procedat ac pullulet* Lat 4 *ἀνατολῆς*] *ἀνατολῆσ ἡλίου* L *ἀντλούμενον*, *ν* et *λ* i. ras. A *ἔπειτα* om. L *ἐξεθριασθὲν* P *γίνεται* L 6 *δὲ*] *τε* L *ἐμβαίνουσι*] *ἐκβαίνουσι* (*β* ex corr. m. 2 R) RLips *καὶ — προσηνέστατον*] *προσινέστατον δὲ γίνεται τοῖσ ἐμβαίνουσι* C 7 *λινοῦν*] *λίνω* PAM 8 *νειφομένησ* PAV¹R *ἰουδαίασ*, *σ* i. ras. L *δ'* L *ἀπὸ* om. LVRC 9 *μὲν* om. L *ἑξήκοντα*] *σταδίουσ ἑξήκοντα* LLat fort. recte 10 *μέχρισ* ML 11 *μέν*, *με* i. ras. 1 litt. A 12 *γαρ* om. LVRC; cf. p. 390, 1 *περὶ*] *περὶ τὴν* V fort. recte *ἱεριχοῦντα* MC *hiericho* (abl.) Lat 13 *ἀποχρῶντωσ*, *τω* i. ras. A *ἀποχρῶντοσ* C 14 *δ'* ML 15 *ἐστὶ πικρὰ μὲν ὡσ ἔφην καὶ* tr. L *μὲν* om. C *κουφότητοσ*] *παχύτητοσ* Hudson *στυφότητοσ* Destinon; uide infra u. 20 16 *τὰ* om. L *βαρύτατα τῶν*] *βαρυτάτων* L *βαρύτατῶν* A *ἀναφέρει*] *referuntur* Lat 17 *δὲ* VRC *οὐδ'* L *καθ'*] *κατ'* P 18 *νεῖν*] C et i. marg. M *δύνειν* PAMLVR *natandi* Lat *nandi* Heg 19 *βυθοῦ*] *βάθουσ* L 20 *βιαζομένου* VR 21 *δὲ* VRC *χρόασ* P *χώρασ* VR 22 *ἀλάσσεται* LR *ἀλάσσεται τὴν ἐπιφάνειαν* tr. L 23 *κατὰ*] *καὶ τὰ* R

πολλὰ μέρη βώλους μελαίνας ἀναδίδωσιν· αἱ δ' ἐπινήχονται τό τε
480 σχῆμα καὶ τὸ μέγεθος ταύροις ἀκεφάλοις παραπλήσιαι. προσελαύ-
νοντες δὲ οἱ τῆς λίμνης ἐργάται καὶ δρασσόμενοι τοῦ συνεστῶτος
ἕλκουσιν εἰς τὰ σκάφη, πληρώσασι δὲ ἀποκόπτειν οὐ ῥᾴδιον, ἀλλὰ
δι' εὐτονίαν προσήρτηται τῷ μηρύματι τὸ σκάφος, ἕως ἂν ἐμπνεύσῃ 5
481 γυναικῶν αἵματι καὶ οὖρῳ διαλύσωσιν αὐτήν, οἷς μόνοις ἵκει. καὶ
χρήσιμος δὲ οὐ μόνον εἰς ἁρμονίας νεῶν ἀλλὰ καὶ πρὸς ἄκεσιν σω-
482 μάτων· εἰς πολλὰ γοῦν τῶν φαρμάκων παραμίσγεται. ταύτης τῆς
λίμνης μῆκος μὲν ὀγδοήκοντα καὶ πεντακόσιοι στάδιοι, καθὸ δὴ
μέχρι Ζοάρων τῆς Ἀραβίας ἐκτείνεται, εὖρος δὲ πεντήκοντα καὶ 10
483 ἑκατόν. γειτνιᾷ δ' ἡ Σοδομῖτις αὐτῇ, πάλαι μὲν εὐδαίμων γῇ καρ-
πῶν τε ἕνεκεν καὶ τῆς κατὰ πόλιν περιουσίας, νῦν δὲ κεκαυμένη
484 πᾶσα. φασὶ δὲ ὡς δι' ἀσέβειαν οἰκητόρων κεραυνοῖς καταφλεγῆναι·
ἔστι γοῦν ἔτι λείψανα τοῦ θείου πυρός, καὶ πέντε μὲν πόλεων ἰδεῖν
σκιάς, ἔτι δὲ κἂν τοῖς καρποῖς σποδιὰν ἀναγεννωμένην, οἳ χροιὰν 15
μὲν ἔχουσι τῶν ἐδωδίμων ὁμοίαν, δρεψαμένων δὲ χερσὶν εἰς καπνὸν
485 διαλύονται καὶ τέφραν. τὰ μὲν δὴ περὶ τὴν Σοδομῖτιν μυθευόμενα
τοιαύτην ἔχει πίστιν ἀπὸ τῆς ὄψεως.

486 IX. 1. Ὁ δὲ Οὐεσπασιανὸς πανταχόθεν περιτειχίζων τοὺς ἐν
τοῖς Ἱεροσολύμοις ἔν τε τῇ Ἱεριχοῖ καὶ ἐν Ἀδίδοις ἐγείρει στρα- 20
τόπεδα καὶ φρουροὺς ἀμφοτέραις ἐγκαθίστησιν ἔκ τε τοῦ Ῥω-
487 μαϊκοῦ καὶ συμμαχικοῦ συντάγματος. πέμπει δὲ καὶ εἰς Γέρασα
488 Λούκιον Ἄννιον καταδοὺς μοῖραν ἱππέων καὶ σχοινοὺς πεζούς. ὁ μὲν

PAMLVRC Lat Hegesippus IV 18 p. 251 sq.

1 *βώλους* P *κώλους* R *μελαίνας*] Bekker *μελανὰς* PA *μέλανας* MLVRC
δὲ VRC 2 *προσελαύνον* ‖ *προσελαύνονται* C 3 *δρασόμενοι* A 4 *ἕκουσιν* A 5 *προσήρται* P *προσήρτηται, ῆρ* i. ras. 1 litt. m. 2 V *τῷ*] *τὸ* C *τοῦ σκάφους* C *ἐνμηνίῳ* P *ἐμμηνίων* L 6 *καὶ χρήσιμος δὲ*] *ἐπιτήδειος δέ ἐστιν* L et fort. Lat 7 *νέων* PA *ἄκεσι* M 8 *εἰς πολλὰ*] *πολλοῖς* L et fort. Lat *γοῦν* om. Lat 9 *μῆκος μὲν* s. P *καθ' ὃ* L 10 *Ζοάρων*] *ζωάρων* C *ζοβάρων* PAM *ζοβαρῶν* L *zoaran* Lat *zoaros* Heg *δὲ* om. VR 11 *δὲ ἡ* VRC 12 *ἕνεκα* VRC *πόλεις* VRC *νῦν* — 13 *καταφλεγῆναι*] *nunc autem omnis exusta atque habitatorum impietate fulminibus conflagrasse memoratur* Lat 13 *δ'* L *ἀσέβειαν, ἀ* ex *εὐ* corr. V *κατεφλέγη* L 15 *ἔτι*] *ἔστι* C *κἂν*] *καὶ* P *ἀναγεννομένην* R *χροιὰν*] *χρόαν* C et ex corr. V *χρώαν* V¹R 16 *τῶν ἐδωδίμων*] *τοῖς ἐδωδίμοις* (*ἐδωδίμοις* R *ἐδωδήμοις* C) LVRC *edulii* Lat 17 *διαλύονται*] *ἀναλύονται* L 19 i. marg. *κη'* C *πανταχόσε* PAMVR *undique* Lat *περιτειχίζων*] *ἐπιτειχίζων* L *munire — cupiens* Lat 20 *τῇ* s. P *hiericho* (acc.) Lat *Ἀδίδοις*] (*apud*) *auuillam* Lat 21 *φρουρὰς* VRC 22 *συντάγματος*] *τάγματος* PMLVRC *Γέρασα*] *geraran* (acc.) Lat Heg *Γέζηρα* Relandus

23 *Ἄννιον* C *πεζῶν* L

οὖν ἐξ ἐφόδου τὴν πόλιν ἑλὼν ἀποκτείνει μὲν χιλίους τῶν νέων, ὅσοι μὴ διαφυγεῖν ἔφθασαν, γυναῖκας δὲ ἠχμαλωτίσατο καὶ τὰς κτήσεις διαρπάσαι τοῖς στρατιώταις ἐπέτρεψεν· ἔπειτα τὰς οἰκίας ἐμπρήσας ἐπὶ τὰς πέριξ κώμας ἐχώρει. φυγαὶ δ' ἦσαν τῶν δυνατῶν 489
καὶ φθοραὶ τῶν ἀσθενεστέρων, τὸ καταλειφθὲν δὲ πᾶν ἐνεπίμπρατο. καὶ διειλιφότος τοῦ πολέμου τήν τε ὀρεινὴν ὅλην καὶ τὴν 490
πεδιάδα πάσας οἱ ἐν τοῖς Ἱεροσολύμοις τὰς ἐξόδους ἀφῄρηντο· τοὺς μέν γε αὐτομολεῖν προαιρουμένους οἱ ζηλωταὶ παρεφύλασσοντο, τοὺς δὲ οὕτω τὰ Ῥωμαίων φρονοῦντας εἶργεν ἡ στρατιὰ πανταχόθεν τὴν πόλιν περιέχουσα.

2. Οὐεσπασιανῷ δ' εἰς Καισάρειαν ἐπιστρέψαντι καὶ παρα- 491
σκευαζομένῳ μετὰ πάσης τῆς δυνάμεως ἐπ' αὐτῶν τῶν Ἱεροσολύμων ἐξελαύνειν ἀγγέλλεται Νέρων ἀνῃρημένος, τρία καὶ δέκα βασιλεύσας ἔτη καὶ ἡμέρας ὀκτώ. περὶ οὗ λέγειν ὃν τρόπον εἰς τὴν ἀρχὴν 492
ἐξέβρισεν πιστεύσας τὰ πράγματα τοῖς πονηροτάτοις, Νυμφιδίῳ καὶ Τιγελλίνῳ, τοῖς τε ἀναξίοις τῶν ἐξελευθέρων, καὶ ὡς ὑπὸ τού- 493
των ἐπιβουλευθεὶς κατελείφθη μὲν ὑπὸ τῶν φυλάκων ἁπάντων, διαδρὰς δὲ σὺν τέτρασι τῶν πιστῶν ἀπελευθέρων ἐν τοῖς προαστείοις ἑαυτὸν ἀνεῖλεν, καὶ ὡς οἱ καταλύσαντες αὐτὸν μετ' οὐ πολὺν
χρόνον δίκας ἔδοσαν, τόν τε κατὰ τὴν Γαλατίαν πόλεμον ὡς ἐτε- 494
λεύτησε, καὶ πῶς Γάλβας ἀποδειχθεὶς αὐτοκράτωρ εἰς Ῥώμην ἐπανῆλθεν ἐκ τῆς Ἱσπανίας, καὶ ὡς ὑπὸ τῶν στρατιωτῶν αἰτιαθεὶς ἐπὶ ταπεινοφροσύνῃ ἐδολοφονήθη, κατὰ μέσην τὴν Ῥωμαίων ἀγορὸν ἀπεδείχθη τε αὐτοκράτωρ Ὄθων· τήν τε τούτου στρατείαν ἐπὶ τοὺς 495

PAMLVRC LatHegesippus IV 19sq. p. 254. Zonaras I p. 524.

1 ἑλὼν τὴν πόλιν tr. PAMVRC ἀποκτένει MVC ἀποκτενεῖ R 2 αἰχμαλωτίσατο PA αἰχμαλωτίσας L κτίσεις L 4 κώμας om. C φυγαὶ, φ ex corr. A δὲ VRC 5 φθοραὶ] φυγαὶ P καταλειφθὲν, ει ex η corr. P καταληφθὲν uertit Lat ἐνεπίμπρᾶτο PMVR ἐνεπίπρατο C 6 ὅλην om. AL 7 πάσας] Destinon πᾶσαν codd. Lat ἀφῄρηντο] ἀφήρηντο πανταχόσε A 8 μέν γε] Destinon μέντοι γε PA μὲν γὰρ MLVRC 9 εἶργεν A εἴρξεν L 11 i. marg. κθ' C δὲ LVRC 13 τρία καὶ δέκα] τρισκαίδεκα C 14 ἔτη] ἔτι C καὶ μῆνας ὀκτὼ καὶ ἡμέρας ὀκτώ scribendum erat 16 τιγελαίνω (ί ex corr. uid. A) PA *tigillino* Lat *gemellino* Heg τε] γε MRC, om. V 18 διαδρὰς] διαδιδράσκει P probante Destinone τέσσαρσιν P 19 ἀνεῖλεν] ἀνελὼν P probante Destinone, qui u. 19 ante ἐν quaedam excidisse putat uelut ὥς θ' εὑρέθη μετ' οὐ] Cardwell μετὰ codd. Lat 20 τὴν om. L 21 πῶς] ποσ ex πρὸσ corr. C 22 ἱσπανίας MC et ex corr. A σπανίας PA¹LVR ὑπὸ] ἐκ L στρατιαθεὶς P αἰτιασθεὶς R 23 κατὰ μέσην ἐδολοφονηθη τὴν tr. Niese τὴν] τῶν C 24 τε] δ' L ὤθων C τε s. P στρατείαν] Dindorf στρατιὰν codd.

Οὐιτελλίου στρατιγοὺς καὶ κατάλυσιν, ἔπειτα τοὺς κατὰ Οὐιτέλλιον
ταράχους καὶ τὴν περὶ τὸ Καπετώλιον συμβολήν, ὅτως τε Ἀντώνιος
Πρῖμος καὶ Μουκιανὸς διαφθείραντες Οὐιτέλλιον καὶ τὰ Γερμανικὰ
496 *τάγματα κατέστειλαν τὸν ἐμφύλιον πόλεμον. πάντα ταῦτα διεξιέναι*
μὲν ἐπ' ἀκριβὲς παρητησάμην, ἐπειδὴ δι' ὄχλου πᾶσίν ἐστιν καὶ 5
πολλοῖς Ἑλλήνων τε καὶ Ῥωμαίων ἀναγέγραπται, συναφείας δὲ ἕνεκεν
τῶν πραγμάτων καὶ τοῦ μὴ διηρτῆσθαι τὴν ἱστορίαν κεφαλαιωδῶς
ἕκαστον ἐπισημαίνομαι.
497 *Οὐεσπασιανὸς τοίνυν τὸ μὲν πρῶτον ἀνεβάλλετο τὴν τῶν Ἱερο-*
σολύμων στρατείαν, καραδοκῶν πρός τινα δέψει τὸ κρατεῖν μετὰ 10
498 *Νέρωνα· αὖθις δὲ Γάλβαν ἀκούσας αὐτοκράτορα, πρὶν ἐπιστεῖλαί*
τι περὶ τοῦ πολέμου κἀκεῖνον, οὐκ ἐπεχείρει, πέμπει δὲ πρὸς αὐτὸν
καὶ τὸν υἱὸν Τίτον ἀσπασόμενόν τε καὶ λῆψόμενον τὰς περὶ Ἰου-
δαίων ἐντολάς. διὰ δὲ τὰς αὐτὰς αἰτίας ἅμα Τίτῳ καὶ Ἀγρίππας
499 *ὁ βασιλεὺς πρὸς Γάλβαν ἔπλει. καὶ διὰ τῆς Ἀχαΐας, χειμῶνος* 15
γὰρ ἦν ὥρα, μακραῖς ναυσὶ περιπλεόντων φθάνει Γάλβας ἀναιρε-
θεὶς μετὰ μῆνας ἑπτὰ καὶ ἴσας ἡμέρας· ἐξ οὗ καὶ τὴν ἡγεμονίαν
500 *παρέλαβεν Ὄθων ἀντιποιούμενος τῶν πραγμάτων. ὁ μὲν οὖν Ἀγρίπ-*
πας εἰς τὴν Ῥώμην ἀφικέσθαι διέγνω μηδὲν ὀρρωδήσας πρὸς τὴν
501 *μεταβολήν· Τίτος δὲ κατὰ δαιμόνιον ὁρμὴν ἀπὸ τῆς Ἑλλάδος εἰς* 20
τὴν Συρίαν ἀνέπλει καὶ κατὰ τάχος εἰς Καισάρειαν ἀφικνεῖται πρὸς
502 *τὸν πατέρα. καὶ οἱ μὲν μετέωροι περὶ τῶν ὅλων ὄντες ὡς ἂν*
σαλευομένης τῆς Ῥωμαίων ἡγεμονίας ὑπερεώρων τὴν ἐπὶ Ἰουδαίους
στρατείαν, καὶ διὰ τὸν περὶ τῆς πατρίδος φόβον τὴν ἐπὶ τοὺς ἀλλο-
φύλους ὁρμὴν ἄωρον ἐνόμιζον.

PAMLVRC Lat Hegesippus IV 21 p. 255. Zonaras I p. 524.

1 *οὐιτελίου* (*ί* i. ras., *ου* s. A) PA *βιτελίου* M *οὐϊτιλλίου* V *οὐϊτιλλίουσ* R *οὐιτέλιον* PA *βιτελίου* M *οὐιτέλλιον* ex *ἰουτέλλιον* corr. C *οὐϊτίλλιον* V *οὐϊτιλλίου* R 2 *καπιτώλιον* L 3 *οὐιτέλιον* PA *βιτέλιον* M *οὐϊτίλλιον* VR 4 *ταῦτα πάντα* tr. AL 6 *ἕνεκα* VRC 7 *διηρτῆσθαι*] *διηρῆσθαι* PA *(ne) intercisa pendeat* Lat 8 *ἐπεσημηνάμην* MVRC *designabo* Lat 9 *τῶν* om. V 10 *στρατιὰν* PAMVR 11 *αὖθι* A 13 *καὶ*] cum cod. L. B. om. Hauerkamp *ἀσπασόμενον, ὁ* ex *ἀ* corr. uid. A *τε* om. RC 14 *διὰ — αὐτὰς*] *διὰ δε ταύτασ τὰσ* A *τῆσ αὐτῆσ δὲ* VRC *ἅμα Τίτῳ* om. Lat 15 *καὶ διὰ — πλεόντων*] *sed dum achaiam, quod hiemps erat, longis nauibus praeteruehuntur* Lat *Ἀχαΐας*] *ἀχαΐασ αὐτῶν* L 16 *ὥρα ἦν* tr. PAMVR *ναυσὶ μακραῖσ* tr. L *περιπλεόντων*] *πλεόντων* C *παραπλεόντων* Hudson 17 *ἐξ οὗ — 18 πραγμάτων*] *deinde otho suscepit imperium ac tres menses rempublicam procurauit* Lat, quare in graecis aliquid excidisse putabat Hudson *καὶ* om. VRCLat 19 *ἀφικνεῖσθαι* L *ὀρρωδή | δήσασ* C 21 *ἔπλει* PLC *εἰσ τὴν καισάρειαν* L 24 *στρατείαν*] *στρατιὰν* VR *στρατηγίαν* PAM i. marg. *λ'* C

3. Ἐπανίσταται δὲ ἄλλος τοῖς Ἱεροσολύμοις πόλεμος. υἱὸς ἦν 503
Γιώρα Σίμων τις, Γερασηνὸς τὸ γένος, νεανίας πανουργίᾳ μὲν ἡττώ-
μενος Ἰωάννου τοῦ προκατέχοντος ἤδη τὴν πόλιν, ἀλκῇ δὲ σώματος
καὶ τόλμῃ διαφέρων, δι' ἣν καὶ ὑπὸ Ἀνάνου τοῦ ἀρχιερέως φυγα- 504
δευθεὶς ἐξ ἧς εἶχε τοπαρχίας Ἀκραβετηνῆς πρὸς τοῖς καταλιφόσιν
τὴν Μασάδαν λῃστὰς παραγίνεται. τὸ μὲν οὖν πρῶτον ἦν αὐτοῖς 505
δι' ἐλευθερίας· εἰς τὸ κατωτέρω γοῦν φρούριον ἐπέτρεψαν αὐτῷ παρελ-
θεῖν ἅμα ταῖς γυναιξίν, ὡς ἄγων ἦκεν, αὐτοὶ τὸ ὑψηλότερον οἰκοῦντες·
αὖθις δὲ διὰ συγγένειαν ἠθῶν καὶ ὅτι πιστὸς ἐδόκει, συμπροενό- 506
μενε γοῦν αὐτοῖς ἐξιὼν καὶ συνεπόρθει τὰ περὶ τὴν Μασάδαν *. οὐ 507
μὴν ἐπὶ τὰ μείζω παρακαλῶν ἔπεισεν· οἱ μὲν γὰρ ἐν ἔθει ὄντες
τῷ φρουρίῳ, καθάπερ φωλεοῦ χωρίζεσθαι μακρὰν ἐδεδοίκεσαν, ὁ 508
δὲ τυραννιῶν καὶ μεγάλων ἐφιέμενος ἐπειδὴ καὶ τὴν Ἀνάνου τελευ-
τὴν ἤκουσεν, εἰς τὴν ὀρεινὴν ἀφίσταται, καὶ προκηρύξας δούλοις
μὲν ἐλευθερίαν, γέρας δὲ ἐλευθέροις τοὺς πανταχόθεν κοινιροὺς
συνήθροιζεν.

4. Ὡς δ' ἦν αὐτῷ κραταιὸν ἤδη τὸ σύνταγμα, τὰς ἀνὰ τὴν 509
ὀρεινὴν κώμας κατέτρεχεν, ἀεὶ δὲ προσγινομένων πλειόνων ἐθάρρει
καταβαίνειν εἰς τὰ χθαμαλώτερα. κἀπειδὴ πόλεσιν ἤδη φοβερὸς 510
ἦν, πολλοὶ πρὸς τὴν ἰσχὺν καὶ τὴν εὔροιαν τῶν κατορθωμάτων
ἐφθείροντο δυνατοί, καὶ οὐκέτι ἦν δούλων μόνων οὐδὲ λῃστῶν στρα-
τός, ἀλλὰ καὶ δημοτικῶν οὐκ ὀλίγων ὡς πρὸς βασιλέα πειθαρχεῖν.

PAMLVRC Lat Hegesippus IV 22 p. 256.

1 *ἐπανίστατο* LVR *δ'* L 2 *Γιώρα*] *diorae* cod. Vat. et Berol. Lat *τις* om. LLat *γερασινὸς* PALRC *τὸ γένος*] *τῷ γένει* C, om. L *πανουργίαν* C¹ 3 *τοῦ* om. VRC *ἀλκὴ* L 4 *ἦν*] *ἣν* A 5 *ἐξ ἧς*] *ἐξῆς* R *εἶχε*] *ἦχε* C *ἦρχε* ex cod. Voss. Dindorf *ἀκραβαιτηνῆς* PAR *ἀκραβεττηνῆς* L *ἀκραιβατηνῆς* C *acrabatena* aut *cerabatena* Lat 6 *μασάδα* A *μεσσάδα* L *μεσάδαν* R *μάσαδαν* C *messadam* Lat *ληστᾶς* C 7 *γοῦν*] s. P ex *οὖν* corr. A 8 *ὑψηλὸν* A *οἰκοῦντες, εσ* ex *ασ* corr. A 9 *καὶ ὅτι* om. Lat *ὅτι* om. C *συμπροενόμενε*] *ductor erat* Lat 10 *ἐξιὼν*] *exeuntibus* Lat *τὰ περὶ*] *τὴν περὶ* V *μασάδα* (ασ i. ras. m. 2 R) PAVR *μεσσάδα* L *μασαδαν* C *messadae* Lat 11 *ἔπειθεν* (-θε C) MLVRC *metuebat* Lat *οἱ* — 12 *ἐδεδοίκεσαν* om. Lat *γὰρ* om. V *ἐν ἔθει ὄντες*] *ἐθίζοντες* L *ἐνεθισθέντες* uel simile propter hiatum Niese 12 *τοῦ φρουρίου* C probante Herwerdeno *φωλαιοῦ* PA *φωλεῷ* Hudson *μακρὸν* PA 14 *ἐφίσταται* L 15 *ἐλευθέροις, οι* ex *ω* corr. uid. A 17 *δὲ* VRC *τὸ σύνταγμα ἤδη* tr. PAMVRC 18 *προσγινομένων πλειόνων*] *πλειόνων γιγνομένων* L *προσγινομένων αὐτῷ πλειόνων* ex cod. Voss. Dindorf 19 *εἰς*] *ἐπὶ* L *θα χμαλώτερα* A *καὶ ἐπειδὴ* VR 20 *πολλοὶ* · R *εὔνοιαν* C 21 *μόνον* AMRC *καὶ* — 22 *πειθαρχεῖν*] *sed multorum etiam popularium tamquam regi parebat obsequium* Lat 22 *δημοτικὸν οὐκ ὀλίγον* Destinon *πειθαρχεῖν*] *πειθαρχία* MLVRC *πειθαρχούντων* ex cod. Voss. Dindorf *πειθαρχοῦν* Destinon *πειθαρχίᾳ χρωμένων* Herwerden

511 κατέτρεχε δὲ τήν τε Ἀκραβετηνὴν τοπαρχίαν καὶ τὰ μέχρι τῆς
μεγάλης Ἰδουμαίας· κατὰ γὰρ κώμην τινὰ καλουμένην Ἄϊν τεῖχος
512 κατασκευάσας ὥσπερ φρουρίῳ πρὸς ἀσφάλειαν ἐχρῆτο, κατὰ δὲ τὴν
φάραγγα προσαγορευομένην Φερεταὶ πολλὰ μὲν ἀνευρύνας σπήλαια,
πολλὰ δ' εὑρὼν ἕτοιμα ταμιείοις ἐχρῆτο θησαυρῶν καὶ τῆς λείας 5
513 ἐκδοχείοις. ἀνετίθει δὲ καὶ τοὺς ἁρπαζομένους εἰς αὐτὰ καρπούς,
οἵ τε πολλοὶ τῶν λόχων δίαιταν εἶχον ἐν ἐκείνοις· δῆλος δ' ἦν τό
τε σύνταγμα προγυμνάζων καὶ τὰς παρασκευὰς κατὰ τῶν Ἱεροσο-
λύμων.

514 5. Ὅθεν οἱ ζηλωταὶ δείσαντες αὐτοῦ τὴν ἐπιβουλὴν καὶ προ- 10
λαβεῖν βουλόμενοι τὸν κατ' αὐτῶν τρεφόμενον ἐξίασι μετὰ τῶν
ὅπλων οἱ πλείους· ἐπαντιάζει δὲ Σίμων, καὶ παραταξάμενος συχνοὺς
515 μὲν αὐτῶν ἀναιρεῖ, συνελαύνει δὲ τοὺς λοιποὺς εἰς τὴν πόλιν. οὕτω
δὲ θαρρῶν τῇ δυνάμει τοῦ μὲν τοῖς τείχεσιν προσβάλλειν ἀνετράπη,
χειρώσασθαι δὲ πρότερον τὴν Ἰδουμαίαν ἐπεβάλετο· καὶ δὴ δισ- 15
516 μυρίους ἔχων ὁπλίτας ἤλαυνεν ἐπὶ τοὺς ὅρους αὐτῆς. οἱ δὲ ἄρ-
χοντες τῆς Ἰδουμαίας κατὰ τάχος ἀθροίσαντες ἐκ τῆς χώρας τὸ
μαχιμώτατον περὶ πεντακισχιλίους καὶ δισμυρίους, τοὺς δὲ πολλοὺς
ἐάσαντες φρουρεῖν τὰ σφέτερα διὰ τὰς τῶν ἐν Μασάδᾳ σικαρίων
517 καταδρομάς, ἐδέχοντο τὸν Σίμωνα πρὸς τοῖς ὅροις. ἔνθα συμβαλὼν 20
αὐτοῖς καὶ δι' ὅλης πολεμήσας ἡμέρας, οὔτε νενικηκὼς οὔτε νενικη-
μένος διεκρίθη, καὶ ὁ μὲν εἰς τὴν Ναΐν, οἱ δὲ Ἰδουμαῖοι διελύθησαν
518 ἐπ' οἶκον. καὶ μετ' οὐ πολὺ Σίμων μείζονι δυνάμει πάλιν εἰς τὴν
χώραν αὐτῶν ὥρμητο. στρατοπεδευσάμενος δὲ κατά τινα κώμην,

PAMLVRC Lat Hegesippus IV 22 p. 256.

1 *τήν τε*] *τὴν* LVRC *ἀκραβαιτινὴν* P *ἀκραβατηνὴν* AC *ἀκραβεττηνὴν* L *ἀκραβατηνὴν* VR *acrabatenam* Lat 2 *γὰρ*] *μὲν γὰρ* L *Ἄϊν*] *ναὶν* MLVRC *aia* aut *aiam* (nom.) Lat *aiacis* Heg; cf. u. 22 3 *ἐχρεῖτο* C 4 *φάραγγα — Φερεταὶ*] *φαραγγα προσαγορευομένην φέρεται* A *φαρὰν προσαγορευομένην φέρεται* L *φαρὰν* (*φαρὰ* C) *προσαγορευομένην φάραγγα* MVRC (*in*) *nulle* (*autem*) *quae appellatur faragga* (*faragata* cod. Berol.) Lat *μὲν* om. L *ἂν εὑρύνας* L 5 *δὲ* LVRC *ταμείοις*] *οἷς ταμείοισ* L *ταμείοισ* C *ταμείοις — 6 ἐκδοχείοις*] *conditorum et praedae receptaculis utebatur* Lat *ἐχρεῖτο* C 7 *δὲ* VRC 8 *παρασκευὰς*] *παρασκευὰς ποιούμενος* uel simile Niese 10 *ἐπιβουλὴν*] *successus* Heg *ἐπιβολὴν* Destinon 11 *τρεφόμενον*] *στρεφόμενον* L *τρεφόμενον φθονον* R^2 *ἐξιᾶσι* PA 13 *οὕπω*] *οὔτω* L 14 *θαρῶν* C *τοῖς* iterat C *προσβαλεῖν* MLVRC *ἐπετράπη* M *ἀνετράπη* LC 15 *δὲ* s. A *ἐπεβάλλετο* LC *δυσμυρίουσ* V^1R^1C 16 *ἤλαυνον* L 17 *τῆς Ἰδουμαίας*] *τῶν ἰδουμαίων* L *τάχουσ* C 18 *δυσμυρίουσ* C *πολλοὺς*] *λοιποὺς* ed. pr. 19 *μασάδι* PA^1 *μεσαδα* L *messada* Lat *Μασάδῃ* Niese 22 *Ναΐν*] *aiam* Lat *Ἄϊν* Destinon ex u. 2 *οἰδουμαῖοι* V 23 *πολὺ, ὑ* i. ras. A 24 *ὅρμητο* PA^1 *δὲ* om. L

Θεκουὲ καλεῖται, πρὸς τοὺς ἐν Ἡρωδείῳ φρουροὺς, ὅπερ ἦν πλησίον.
Ἐλεάζαρόν τινα τῶν ἑταίρων ἐπεμψε πείσοντα παραδοῦναι τὸ ἕρυμα.
τοῦτον οἱ φύλακες προθύμως ἐδέξαντο τὴν αἰτίαν ἐγνοοῦντες δι' 519
ἣν ἦκεν, φθεγξάμενον δὲ περὶ παραδόσεως ἐδίωκον σπασάμενοι τὰ
ξίφη, μέχρι φυγῆς τόπον οὐκ ἔχων ἔρριψεν ἀπὸ τοῦ τείχους ἑαυ-
τὸν εἰς τὴν ὑποκειμένην φάραγγα. καὶ ὁ μὲν αὐτίκα τελευτᾷ, τοῖς 520
δ' Ἰδουμαίοις ἤδη καταῤῥωδοῦσι τὴν ἰσχὺν τοῦ Σίμωνος ἔδοξε πρὸ
τοῦ συμβαλεῖν κατασκέψασθαι τὴν στρατιὰν τῶν πολεμίων.

6. *Εἰς τοῦτο δὲ ὑπηρέτην αὐτὸν ἑτοίμως ἐπεδίδου Ἰάκωβος,* 521
εἷς τῶν ἡγεμόνων, *προδοσίαν ἐνθυμούμενος. ὁρμήσας γοῦν ἀπὸ* 522
τῆς Ἀλούρου, κατὰ γὰρ ταύτην συνήθροισιο τὴν κώμην τότε τῶν
Ἰδουμαίων τὸ στράτευμα, παραγίνεται πρὸς Σίμωνα, καὶ πρώτην 523
αὐτῷ παραδώσειν συντίθεται τὴν αὐτοῦ πατρίδα. λαβὼν ὅρκους
ὡς ἀεὶ τίμιος ὢν διατελέσει, συνεργήσειν δὲ ὑπέσχετο καὶ περὶ τῆς
ὅλης Ἰδουμαίας. ἐφ' οἷς ἐστιαθεὶς φιλοφρόνως ὑπὸ τοῦ Σίμωνος 524
καὶ λαμπραῖς ἐπαρθεὶς ὑποσχέσεσιν, ἐπειδήπερ εἰς τοὺς σφετέρους
ὑπέστρεψε, τὸ μὲν πρῶτον πολλαπλασίονα τὴν στρατιὰν ἐψεύδετο
τοῦ Σίμωνος, ἔπειτα δεξιούμενος τοὺς τε ἡγεμόνας καὶ κατ' ὀλίγους 525
πᾶν τὸ πλῆθος ἐνῆγεν ὥστε δέξασθαι τὸν Σίμωνα καὶ παραδοῦναι
δίχα μάχης αὐτῷ τὴν τῶν ὅλων ἀρχήν. ἅμα δὲ ταῦτα διαπραττό- 526
μενος καὶ Σίμωνα δι' ἀγγέλων ἐκάλει σκεδάσειν ἐπισχυόμενος τοὺς
Ἰδουμαίους· ὃ δὴ παρέσχεν. ὡς γὰρ ἦν ἤδη πλησίον ἡ στρατιά, πρῶ- 527
τος ἀναπηδήσας ἐπὶ τὸν ἵππον μετὰ τῶν συνδιεφθαρμένων ἔφευγε.
πτοία δ' ἐμπίπτει παντὶ τῷ πλήθει, καὶ πρὶν εἰς χεῖρας ἐλθεῖν 528
λυθέντες ἐκ τῆς τάξεως ἀνεχώρουν ἕκαστοι πρὸς τὰ ἴδια.

PAMLVRC Lat Hegesippus IV 23 p. 257.

1 *Θεκουὲ*] *θεκωὲ* LVR *ἡ θεκουὲ* C *theocoae* Lat *ἠρωδίῳ* (*ἡ* ex *ι* corr. P) PAVR *ὅπερ ἦν*, litt. *ρ η* ex corr. V 2 *τινα* om. L *τὸν ἑταῖρον* L *τὸν ἑτέρων* (*αι* *ετ* *αι*) C *τῶν ἑτέρων* V *τῶν ἑτέρων* R *πείσαντα* L 3 *προθύμως*] *ἑτοίμως* AMLVRC *ἐδέχοντο* L 4 *παραδόσεως* (*ο* s. m. 2) V 5 *αὐτὸν* A 7 *δὲ* PVRC *ἰσχὺν*] *ορμὴν* L 8 *συμβαλλεῖν* L *πολεμίων, μί* s. P 9 *αὐτὸν* AVC *ἑαυτὸν* L 11 *Ἀλούρου*] *ὀλούρου* MVRC *aluro* (abl.) Lat *συνοίθροιστο* C *τότε*] *τὸ* C 12 *τὸ* om C *πρῶτον* M 13 *παράδοσιν* L *αὐτοῦ*] *ἑαυτοῦ* L *αὐτοῦ* RC 14 *διατελέσει*] *διατελοίη* C *διατελεῖ* L fort. recte 17 *ὑπέστρεψεν* L *πολλαπλασίονα, α* ante *σ* i. ras. A 18 *τοῦ σίμωνος ἐψεύδετο* tr. L *σίμονος* C *δεξιούμενος τούς*, litt. *οσ τ* suppl. m. 2 V *perterritis* Lat, quem *δεδιοσόμενος* habuisse putat Destinon *ὀλίγον* L 20 *διαπεραττόμενος* V 21 *διαγγέλλων* PLC *τοῖς ἰδουμαίοις* R 23 *πρῶτον* R *συνδιεφθαρμένων*] MLVRC *διεφθαρμένων* PA *ἔφευγε*] *διέφευγεν* L 24 *πτόα* PAVR[1] *πτοιὰ* L[1] *δὲ* LVRC 24 *καὶ* om. R 25 *ἐκ* om. L

529 7. Σίμων δὲ κατὰ δόξαν εἰς τὴν Ἰδουμαίαν εἰσήλασεν ἀναι-
μωτὶ καὶ προσβαλὼν ἀδοκήτως πρώτην αἱρεῖ τὴν πολίχνην Χεβρών,
530 ἐν ᾗ πλείστης ἐκράτησε λείας, πάμπολυν δὲ διήρτασε καρπόν. ὡς
δέ φασιν οἱ ἐπιχώριοι τὴν Χεβρὼν οὐ μόνον τῶν τῇδε πόλεων ἀλλὰ
καὶ τῆς ἐν Αἰγύπτῳ Μέμφεως ἀρχαιοτέραν· διοχίλια γοῦν αὐτῇ
531 καὶ τριακόσια ἔτη συναριθμεῖται. μυθεύουσι δὲ αὐτὴν καὶ οἰκη-
τήριον Ἀβράμου τοῦ Ἰουδαίων προγόνου γεγονέναι μετὰ τὴν ἐκ τῆς
Μεσοποταμίας ἀνανάστασιν, τοὺς τε παῖδας αὐτοῦ λέγουσι κατα-
532 βῆναι εἰς Αἴγυπτον ἔνθεν· ὧν καὶ τὰ μνημεῖα μέχρι νῦν ἐν τῇδε
τῇ πολίχνῃ δείκνυται πάνυ καλῆς μαρμάρου καὶ φιλοτίμως εἰργασ-
533 μένα. δείκνυται δ' ἀπὸ σταδίων ἓξ τοῦ ἄστεος τερέβινθος μεγίστη,
534 καὶ φασὶ τὸ δένδρον ἀπὸ τῆς κτίσεως μέχρι νῦν διαμένειν. ἔνθεν
ὁ Σίμων ἐχώρει διὰ πάσης τῆς Ἰδουμαίας, οὐ μόνον κώμας καὶ
πόλεις πορθῶν, λυμαινόμενος δὲ καὶ τὴν χώραν· δίχα γὰρ τῶν
ὁπλιτῶν τέσσαρες αὐτῷ συνείποντο μυριάδες, ὡς μηδὲ τῶν ἐπι-
535 τηδείων ἐξαρκούντων πρὸς τὸ πλῆθος. προσῆν δὲ ταῖς χρείαις
ὠμότης τε αὐτοῦ καὶ πρὸς τὸ γένος ὀργή, δι' ἃ μᾶλλον ἐξερημοῦσθαι
536 συνέβαινε τὴν Ἰδουμαίαν. καθάπερ δὲ ὑπὸ τῶν ἀκρίδων κατόπιν
ὕλην ἔστιν ἰδεῖν ἐψιλωμένην πᾶσαν, οὕτω τὸ κατὰ νώτου τῆς Σί-
537 μωνος στρατιᾶς ἐρημία κατελείπετο· καὶ τὰ μὲν ἐμπιπρῶντες τα
δὲ κατασκάπτοντες, πᾶν δὲ τὸ πεφυκὸς ἀνὰ τὴν χώραν ἢ συμπα-
τοῦντες ἠφάνιζον ἢ νεμόμενοι καὶ τὴν ἐνεργὸν ὑπὸ τῆς πορείας
σκληροτέραν ἐποίουν τῆς ἀκάρπου, καθόλου τε εἰπεῖν, οὐδὲ ση-
μεῖόν τι κατελείπετο τοῖς πορθουμένοις τοῦ γεγονέναι.

PAMLVRC Lat Hegesippus IV 23 p. 258.

1 δὲ] δὴ Destinon ἀναιμοτί A 2 ἀδοκήτως C πρῶτον L αἱρεῖ PAMVRC αἱρεῖ L πολίχνην] πόλιν VRC 3 ἐκράτησε, ρ ex μ corr. uid. A πάμπολυ PA¹C 4 ἐγχώριοι M 5 αὐτῇ] αὕτη L 6 τριακόσια] τριάκοντα RC συνηρίθμητο VRC 7 ἀβράμου PAM ἀβραάμου C τῆς om. L 8 τούς τε] τοὺς δὲ L 9 νῦν] τοῦ νῦν C 10 πολίχνῃ] πόλει A 11 δὲ VRC ἄστεος, ο ex corr. V 12 ἔνθεν] ἔνθε A¹ ἐν R¹ i. marg. λβ' C 13 διὰ πάσης ἐχώρει tr. LVRC ἰδουμαίας ex ἰουδαίας corr. A κόμας C 14 λυμαινόμενος C τῶν om. PC 15 ὡς — 16 πλῆθος u. 14 post χώραν tr. Bekker 16 ἐξαρκούντων] ἐξαρκεῖν δυναμένων M 17 πρὸς τὸ γένος om. Lat δι' ἃ] διὸ L ἐξερημοῦσθαι, ἐξερ ex ἐρ corr. M 18 δ' L ὑπὸ eicit Herwerden 19 τὸ] τῷ ex corr. A τῆς] τοῦ P 20 ἐμπιπρῶντες] PAM ἐμπιμπράντες LR et ex corr. V ἐμπιπράντες V¹C 21 πεφυκὼς PA¹ 22 πορίας PA¹ ἐποιοῦντο P 23 οὐδὲ] οὔτε PAMVR 24 τοῦ] τούτοις τοῦ PA

8. *Ταῦτα πάλιν τοὺς ζηλωτὰς ἐνήγειρεν, καὶ φανερῶς μὲν ἀντι-* 538
παρατάξασθαι κατέδεισαν, προλοχίσαντες δ' ἐν ταῖς παρόδοις ἁρπά-
ζουσι τοῦ Σίμωνος τὴν γυναῖκα καὶ τῆς περὶ αὐτὴν θεραπείας σιχ-
ραίς. ἔπειτα ὡς αὐτὸν ἀχμαλωτισάμενοι τὸν Σίμωνα γεγήθοτες 539
εἰς τὴν πόλιν ὑπέστρεψαν καὶ ὅσον οὐδέπω προσεδόκων κατα-
θέμενον τὰ ὅπλα περὶ τῆς γυναικὸς ἱκετεύσειν. τὸν δὲ οὐκ ἔλεος 540
εἰσῆλθεν ἀλλ' ὀργὴ περὶ τῆς ἡρπασμένης, καὶ πρὸς τὸ τεῖχος τῶν
Ἱεροσολύμων ἐλθὼν καθάπερ τὰ πρωθέντα τῶν θηρίων, ἐπειδὴ
τοὺς τρώσαντας οὐ κατέλαβεν, ἐφ' οὓς εὗρε τὸν θυμὸν ἐφίει. ὅσοι 541
γοῦν λαχανείας ἕνεκεν ἢ φρυγανισμοῦ προεληλύθεσαν ἔξω πυλῶν
ἀνόπλους καὶ γέροντας συλλαμβάνων ἠκίζετο καὶ διέφθειρεν, δι'
ὑπερβολὴν ἀγανακτήσεως μονονουχὶ καὶ νεκρῶν γευόμενος τῶν σω-
μάτων. πολλοὺς δὲ καὶ χειροκοπήσας εἰσέπεμπε καταπλήξασθαι 542
τοὺς ἐχθροὺς ἅμα καὶ διαστῆσαι τὸν δῆμον ἐπιχειρῶν πρὸς τοὺς
αἰτίους. ἐντέταλτο δ' αὐτοῖς λέγειν, ὅτι Σίμων θεὸν ὄμνυσι τὸν 543
πάντων ἔφορον, εἰ μὴ θᾶττον ἀποδώσουσιν αὐτῷ τὴν γυναῖκα, ῥήξας
τὸ τεῖχος τοιαῦτα διαθήσειν πάντας τοὺς κατὰ τὴν πόλιν, μηδεμιᾶς
φεισάμενος ἡλικίας μηδὲ ἀπὸ τῶν ἀναιτίων διακρίνας τοὺς αἰτίους.
τούτοις οὐ μόνον ὁ δῆμος ἀλλὰ καὶ οἱ ζηλωταὶ καταπλαγέντες ἀπο- 544
πέμπουσιν αὐτῷ τὴν γυναῖκα· καὶ τότε μὲν ἐκμειλιχθεὶς ὀλίγον
ἀνεπαύσατο τοῦ συνεχοῦς φόνου.

9. *Οὐ μόνον δὲ κατὰ τὴν Ἰουδαίαν στάσις ἦν καὶ πόλεμος ἐμ-* 545
φύλιος, ἀλλὰ κἀπὶ τῆς Ἰταλίας. ἀνῄρητο μὲν γὰρ κατὰ μέσην τὴν 546
Ῥωμαίων ἀγορὰν Γάλβας, ἀποδεδειγμένος δὲ αὐτοκράτωρ Ὄθων
ἐπολέμει Οὐιτελλίῳ βασιλειεῦντι· τοῦτον γὰρ ἥρητο τὰ κατὰ Γερ-

---

PAMLVRCLatHegesippus IV 23 p. 259. Zonaras I p. 525.

1 *φαναιρῶς* C *ἀντιπαρατάξασθαι κατέδεισαν*, litt. *ξάσθαι κατέδεισαν* i. ras. 6—7 litt. V 2 *κατέδησαν* C *προλοχήσαντεσ* PALC *δὲ* VRC *ταῖς*] *τοῖσ* M 3 *σιμῶνοσ* L 4 *ἠχμαλωτισμένοι* VRC *σίμονα* R 5 *ὑπέστρεφον* Bekker *προσεδόκουν* C 7 *εἰσῆλθεν*] *εἴσεισιν* VRC 8 *ἱεροσολυμιτῶν* PM *ἐλθὼν*] *παρελθὼν* L 9 *εὗροι* Destinon *ἠφίει*] *ἐφίει* L 10 *λαχανίασ* PALVR *ἕνεκεν* om. L *ἢ*] *καὶ* C *φρυγανισμοῦ* PA *φρυγανισμοῦ χάριν* L *ἐξεληλύθεισαν* L *προεληλύθησαν* C 12 *μόνον οὐχὶ* A *νεκρὸσ* C 13 *καταπλήξασθαι* — 14 *ἅμα*] *ἅμα καὶ καταπλήξασθαι τοὺσ ἐχθροὺσ* L haud male 14 *διαστῆσαι*] *διαστασιάσαι* L 15 *ἐντέταλται* L *δὲ* VRC *ὀμνυσι* C 16 *ἀποδώσωσιν* PAVR *ἀποδωσ·ιν*, *ω* ex *ώ* corr. L 17 *διαθήσειν*] *θήσειν* PAMVR 18 *μηδ'* L *ἀναιτίων*] *αἰτίων* C 19 *ἀποπέμπουσι* A^1 21 *τοὺσ συνεχοὺσ* L 22 i. marg. *λγ'* C *στάσις*] *φόνοσ* L 23 *καὶ ἐπὶ* LVRC *ἀνῃρεῖτο* L *γάλβασ κατὰ μέσην τὴν ῥωμαίων ἀγοράν* tr. L 24 *ἀγορὰν*] *τὴν ἀγορὰν* A 25 *οὐιτιλλίω* PAVR *βιτελλίω* M *βασιλειῶντι*] *βασιλεύοντι* PA *βασιλεῖ ὄντι* L *imperante* Lat *ἥρητο*] *ἠρεῖτο* M *τὰ* s. V *κατὰ*] *κατὰ τὴν* P

547 μανίαν τάγματα. καὶ γενομένης συμβολῆς κατὰ Φρυγδίακον τῆς
Γαλατίας τρός τε Οὐάλεντα καὶ Καικίνναν τοὺς Οὐιτελλίου στρατη-
γούς, τῇ πρώτῃ μὲν ἡμέρᾳ περιῆν Ὄθων, τῇ δὲ δευτέρᾳ τὸ Οὐιτελ-
548 λίου στρατιωτικόν· καὶ πολλοῦ φόνου γενομένου διεχρήσατο μὲν
Ὄθων αὐτὸν ἐν Βριξέλλῳ τὴν ἦτταν πυθόμενος ἡμέρας δύο καὶ
549 τρεῖς μῆνας κρατήσας τῶν πραγμάτων, προσεχώρησε δὲ τοῖς Οὐι-
τελλίου στρατηγοῖς ἡ στρατιά, καὶ κατέβαινεν αὐτὸς εἰς τὴν Ῥώμην
550 μετὰ τῆς δυνάμεως. ἐν δὲ τούτῳ καὶ Οὐεσπασιανὸς ἀναστὰς ἐκ
τῆς Καισαρείας πέμπτῃ Δαισίου μηνὸς ὥρμησεν ἐπὶ τὰ μηδέπω
551 κατεστραμμένα τῶν τῆς Ἰουδαίας χωρίων. ἀναβὰς δὲ εἰς τὴν ὀρει-
νὴν αἱρεῖ δύο τοπαρχίας, τήν τε Γοφνιτικὴν καὶ τὴν Ἀκραβετηνὴν
καλουμένην, μεθ' ἃς Βήθηγά τε καὶ Ἐφραὶμ πολίχνια, οἷς φρου-
ροὺς ἐγκαταστήσας μέχρι Ἱεροσολύμων ἐπτάζετο· φθορὰ δ' ἦν
552 πολλῶν καταλαμβανομένων καὶ συχνοὺς ᾐχμαλωτίζετο. Κερεάλιος
δὲ αὐτῷ τῶν ἡγεμόνων μοῖραν ἱππέων καὶ πεζῶν ἀναλαβὼν τὴν
ἄνω καλουμένην Ἰδουμαίαν ἐπόρθει, καὶ Κάφεθρα μὲν ψευδοπολί-
χνιον ἐξ ἐφόδου λαβὼν ἐμπίπρησιν, ἑτέραν δὲ καλουμένην Χαραβὶν
553 προσβαλὼν ἐπολιόρκει. πάνυ δ' ἦν ἰσχυρὸν τὸ τεῖχος. καὶ τρί-
ψεσθαι προσδοκῶντι πλείω χρόνον αἰφνιδίως ἀνοίγουσιν οἱ ἔνδον

PAMLVRC Lat Hegesippus IV 24 p. 259. Zonaras I p. 525.

1 *Φρυγδίακον*] *φρηγδιακὸν* MVRC *φηγδίακον* L *fretiacum* Lat *Βηδριακὸν* Hudson recte nisi *Βητριακον* mauis 2 *οὐάλεντα* P *Καικίνναν*] ed. pr. *κίνναν* PALVRC *κίννα* M *cinna* Lat *caecina* Heg *οὐιτιλλίου* PAVR *βιτελλίου* M 3 *τῇ*] *καὶ τῇ* M *δευτέρα δὲ* tr. VRC *οὐιτιλλίου* PVR *ἰουτελλίου* A *βιτελλίου* M 5 *ἑαυτὸν* ALVRC *ἑαυτὸν ὄθων* tr. L *Βριξέλλῳ*] ed. pr. *βριξέμω* codd. *brixenum* Lat *Βρεξέλλῳ* Hudson errore ut uid. typothetarum 6 *οὐιτιλλίου* (*ι* ante *τ* i. ras. V) PVR *ἰουτιλλίου* A *βιτελλίου* M *ἰουτελλίου* L 7 *στρατιά*] *στρατιὰ ὄθωνος* A *othonis milites* Lat *καὶ τοῦ Ὄθωνος ἡ στρατιὰ* ex cod. Voss. Hudson 8 i. marg. *λδ'* C *ἐκ*] *ἀπὸ* L 9 *δησίου* PA *δεσίου* MVRC *iunii* Lat Daesii 5. dies est 23. Iunii (IX k. Iul.) anni Iuliani (68 p. Chr.) 10 *δ'* L 11 *αἱρεῖ* PAVR *γνοφιτικὴν* PAVR *γοφνητικην* L *gofniticam* Lat *ἀκραβαιτινὴν* P *ἀκραβητηνὴν* A *ἀκραβατηνὴν* MVR *ἀκραβεττηνὴν* L *ἀκραιβατινὴν* C *acrabattenam* Lat 12 *καλουμένην* om. LLat *Βήθηγά*] *βηθηγὰ* L *βαίθηλά* M *βηθηλά* (– *λᾶ* V) VRC *uitherga* aut *uithegra* Lat *Ἐφραὶμ*] *eufre* Lat 13 *μέχρισ* MVRC *δὲ* VRC 14 *κεραάλιοσ* P 15 *δ'* L *ἡγεμόνων* ex *ἡγουμένων* corr. A 16 *Κάφεθρα μὲν ψευδοπολίχνιον*] Hudson *καφαιορα μὲν ψευδοπολίχνιον* L *χαφεθραμὰν ψευδοπολίχνιον μὲν* PAM *χαφεθραμν (χαφεθραβὶν* ex corr. C) *ψευδοπολίχνιον* VRC *caphaoran quidem pseudomunicipium* Lat 17 *ἐμπίπρησιν* — 18 *προσβαλὼν* om. C *ἐμπίμπρησιν* VR *χαραβιν* V *χαράβιν* R *χαφαραβειν* L *καφαραβὶν* Berol. et m. 2 Lips aut *capharim* Lat 18 *προσβαλὼν ἐπολιόρκει*] *ἐπολιόρκει προσλαβὼν* L *προσβαλεῖν ἐπολιόρκει* VR *δὲ* VRC *τρίψασθαι* L 19 *πλείονα* L *χρόνων* A *οἱ ἔνδον* om. Lat

τὰς πύλας καὶ μεθ' ἱκετηριῶν προϊόντες ἑαυτοὺς παρέδοσαν. Κερεάλιος δὲ τούτους παρασιησάμενος ἐπὶ Χεβρὼν ἑτέρας πόλεως 554
ἀρχαιοτάτης ἐχώρει· κεῖται δ', ὡς ἔφην, αὕτη κατὰ τὴν ὀρεινὴν οὐ πόρρω Ἱεροσολύμων· βιασάμενος δὲ τὰς εἰσόδους τὸ μὲν ἐγκατα-
λῆφθὲν πλῆθος ἁβρὸν ἀναιρεῖ, τὸ δ' ἄστυ καταπίμπρησι. καὶ 555
πάντων ἤδη κεχειρωμένων πλὴν Ἡρωδείου καὶ Μασάδας καὶ Μα-
χαιροῦντος, ταῦτα δ' ὑπὸ τῶν λῃστῶν κατείληπτο, σκοπὸς ἦδη τὰ Ἱεροσόλυμα προύκειτο Ῥωμαίοις.

10. Ὁ δὲ Σίμων ὡς ἐρρύσατο παρὰ τῶν ζηλωτῶν τὴν γυναῖκα, 556
πάλιν ἐπὶ τὰ λείψανα τῆς Ἰδουμαίας ἐπέστρεψεν, καὶ περιελαύνων
πανταχόθεν τὸ ἔθνος εἰς Ἱεροσόλυμα τοὺς πολλοὺς φεύγειν συνη-
νάγκασεν. εἵπετο δὲ καὶ αὐτὸς ἐπὶ τὴν πόλιν καὶ κυκλωσάμενος 557
αὖθις τὸ τεῖχος ὅντινα λάβοι τῶν προϊόντων κατὰ τὴν χώραν ἐργα-
τῶν διέφθειρεν. ἦν δὲ τῷ δήμῳ Σίμων μὲν ἔξωθεν Ῥωμαίων 558
φοβερώτερος, οἱ ζηλωταὶ δ' ἔνδον ἑκατέρων χαλεπώτεροι, κἀν τούτοις
ἐπινοίᾳ κακῶν καὶ τόλμῃ τὸ σύνταγμα τῶν Γαλιλαίων διέφερεν·
τόν τε γὰρ Ἰωάννην παρήγαγον εἰς ἰσχὺν οἵτοι, κἀκεῖνος αὐτοὺς ἐξ 559
ἧς περιεποιήσατο δυναστείας ἠμείβετο πάντα ἐπιτρέπων ὁρᾶν ὧν
ἕκαστος ἐπεθύμει. πόθοι δ' ἦσαν ἁρπαγῆς ἀτλήρωτοι καὶ τῶν 560
πλουσίων οἴκων ἔρευνα φόνος τε ἀνδρῶν καὶ γυναικῶν ὕβρεις ἐπαί-
ζοντο, μεθ' αἵματός τε τὰ συληθέντα κατέπινον καὶ μετ' ἀδείας 561
ἐνεθηλυπάθουν τῷ κόρῳ, κόμας συνθετιζόμενοι καὶ γυναικείας
ἐσθῆτας ἀναλαμβάνοντες, καταντλούμενοι δὲ μύροις καὶ πρὸς εὐτρέ-

---

PAMLVRCLatHegesippus IV 25 p. 260. Exc Peiresc. Zonaras I p. 525.

1 *ἱκετηρίων* L *προσελθόντες* PML *αὐτοὺς* R *αὐτοὺς* VC 2 *παρα-στησάμενος*] *παρατηρησάμενος* V 3 *δὲ* VRC 4 *ἐγκαταλειφθὲν* PAML et ut uid. Lat 5 *δὲ* VRC *καταπίπρησι* C 6 *ἤδη*] *δὴ* L *ἡρωδίου* PAVR *μεσάδας* L *messada* (acc.) Lat 7 *δὲ* VRC *σκοπὸς* — 8 *Ῥωμαίοις*] *sola iam hierosolyma romanis ante oculos erat quae expugnanda restabat* Lat 9 i. marg. *λε'* C 11 *τοὺς* om. VRC 13 *αὖθις τὸ τεῖχος*] *muro eius* Lat *ὅντινα* — 14 *διέφθειρεν*] *si quem operariorum ex agris adeuntem cepisset interficiebat* Lat *προϊόντων*] ML *προσιόντων* PARC *προσιόντων τωι* (τωι expunctum) V *προϊόντων ἢ τῶν* Niese *ἐργατῶν*] *τῶν ἐργατῶν* PAVR *τῶν ἐργαζομένων* L 14 *ἦν δὲ*] incip. Exc 15 *δὲ* PLVRC *κἀν* — 16 *διέφερεν*] *quos etiam galilei nouis inuentis et audacia factionum corruperant* Lat *τούτοις, ισ* ex *νσ* corr. A *ἐπινοίᾳ*] nescio quis apud Cardwellum *ἐπινοία* P¹ *ἐπίνοια* AMLVRC Exc et ex corr. P 16 *τὸ*] *τότε* PALVRExc *διέφερεν*] uir doctus apud Cardwellum *διέφθειρε* (— *ρεν* PLExc) codd. Exc *διεφθείρετο* Cardwell 17 *Ἰωάννην* om. L *παρῆγον* PAMVRC 18 *περιεποίησαν* PAM *περιεποιήσαντο* LVR¹Exc *comparauerat* Lat 19 *δὲ* VR 20 *τε*] *δ'* LExc *ὕβρισ* PAM *ἐπαίζετο* M 21 *τε*] *δὲ* VRC, om. LExc *μετὰ* VRC 22 *κόμασ* A *συνθετιζόμενοι*] *συντεθειμένοι* LExc *γρ συντιθέμενοι· εὐθετιζόμενοι* i. marg. M *γυναικίασ* Exc 23 *ἐσθῆτας*] *σθῆτασ* L *δὲ*] *τε* C

562 πειαν ὑπογράφοντες ὀφθαλμούς. οὐ μόνον δὲ κόσμον, ἀλλὰ καὶ
πάθη γυναικῶν ἐμιμοῦντο καὶ δι' ὑπερβολὴν ἀσελγείας ἀθεμίτους
ἐπενόησαν ἔρωτας· ἐνηλινδοῦντο δ' ὡς πορνείῳ τῇ πόλει καὶ
563 πᾶσαν ἀκαθάρτοις ἐμίαναν ἔργοις. γυναικιζόμενοι δὲ τὰς ὄψεις
ἐφόρουν ταῖς δεξιαῖς θρυπτόμενοί τε τοῖς βαδίσμασιν ἐτιόντες 5
ἐξαπίνης ἐγίνοντο πολεμισταὶ τά τε ξίφη προφέροντες ἀπὸ τῶν
564 βεβαμμένων χλανιδίων τὸν προστυχόντα διήλαυνον. τοὺς ἀποδιδρά-
σκοντας δὲ Ἰωάννην Σίμων φονικώτερον ἐξεδέχετο, καὶ διαφυγών
τις τὸν ἐντὸς τείχους τύραννον ὑπὸ τοῦ πρὸ πυλῶν διεφθείρετο.
565 πᾶσα δὲ φυγῆς ὁδὸς τοῖς αὐτομολεῖν πρὸς Ῥωμαίους βουλο- 10
μένοις ἀπεκέκοπτο.

566 11. Διεστασιάζετο δὲ πρὸς τὸν Ἰωάννην ἡ δύναμις, καὶ πᾶν
ὅσον [ἦν] Ἰδουμαίων ἐν αὐτῇ χωρισθὲν ἐπεχείρει τῷ τυράννῳ
567 φθόνῳ τε τῆς ἰσχύος αὐτοῦ καὶ μίσει τῆς ὠμότητος. συμβαλόντες
δὲ ἀναιροῦσί τε πολλοὺς τῶν ζηλωτῶν καὶ συνελαύνουσι τοὺς 15
λοιποὺς εἰς τὴν βασιλικὴν αὐλὴν κατασκευασθεῖσαν ὑπὸ Γραπτῆς·
568 συγγενὴς δὲ ἦν αὕτη τοῦ τῶν Ἰδιαβηνῶν βασιλέως Ἰζᾶ· συνεισ-
πίπτουσι δὲ οἱ Ἰδουμαῖοι, κἀκεῖθεν εἰς τὸ ἱερὸν ἐξώσαντες τοὺς
569 ζηλωτὰς ἐφ' ἁρπαγὴν ἐτράποντο τῶν Ἰωάννου χρημάτων· κατὰ
γὰρ τὴν προειρημένην αὐλὴν αὐτός τε † ὢν ἐκεῖ καὶ τὰ λάφυρα 20

PAMLVRC Lat Hegesippus IV 25 p. 260. Exc Peiresc. Zonaras I p. 525.

1 *ὀφθαλμοὺς ὑπογράφοντες* tr. LExc 2 *δι'* — 3 *ἐπενόησαν*] *obscenitate nimia nefarios coitus exigentes* Lat *ἀσελγείας* — 3 *ἔρωτας*] M *ἀσωτίας ἀσελγείας ἀθεμίτους ἐπενόησαν* P *ἀσελγείας ἀθεμίτους ἐπενόησαν* A *ἀσελγείας ἀθεμίτους ἡδονὰς ἐπενόησαν* LVRCExc 3 *ἐνειλινδοῦντο* PMLExc *ἐνειλιδοῦντο* A *δὲ* VRC *ὥσπερ* LExc *πορνίῳ* C 5 *τε*] LExcLat *δὲ* PAMRVC *ἐξαπίνης ἐπιόντες* tr. M 6 *προφέροντες*] *προβάλλοντες* LExc *προσφέροντες* C *eductis* Lat *ἀπο*] *de* Lat *ὑπὸ* Herwerden 7 *βεβαμμένων*] LExc *περιβεβλημένων* PAMVRC *uersicoloribus* Lat *reconciliatis* aut *conciliatis* (*conchyliatis* Weber) Heg *χλανιδίων*] *χλανίδων* LExc *paludamentis* Lat *clamidibus* Heg *διαδιδράσκοντα* P 8 *φονικώτερος* VR *ἐξεδέχετο*, *το* i. ras. 4 litt. L

9 *τὸν*] *τὸ* R¹ *ἐντος τοῦ τείχους* PL *πυλῶν*] *τῶν πυλῶν* M *φυγεῖς* A 11 *ἀπεκόπτετο* P 12 *διεστασιάζετο* — 13 *χωρισθὲν*] *inter iohannis autem copias quantum erat idumaeorum iam dissidebat separatique ab aliis* Lat *διαστασιάζεται* VRC *πρὸς*] *ἢ περὶ* LExc *ἢ* om. LExc 13 *ἦν* om. P *ἰδουμαῖον* ALRExc 14 *αὐτοῦ* post *ὠμότητος* tr. LExc *συμβάλλοντες* LExc 15 *δὲ*] *τε* LExc *τε* om. Exc 16 *λοιποὺς*] *πολλοὺς* PA *Γραπτῆς*] finiunt Exc 17 *συγγενὶς* M *δ'* LC *αὐτῆ* C *ἀδιαβηνῶν*, *ἀ* s. V *Ἰζᾶ*] *αἰζᾶ* PA *sizae* Lat *Ἰζάτου* Cocceji; cf. V 147. VI 356. A. I. XX 17 18 *δ'* LC *οἱ* om. L *Ἰδουμαῖοι*] *δουμαῖοι* C *iudaei* Lat *ἐξώσαντες*] *περιεξώσαντες* L *περιώσαντες* C 20 *προηρημένην* P *ὢν ἐκεῖ καὶ*] *ἦν ἐκεῖ καὶ* M *ἦν κἀκεῖ* C *degebat et* Lat *ᾤκει καὶ* Destinon

τῆς τυραννίδος κατέθετο. ἐν δὲ τούτῳ τὸ κατὰ τὴν πόλιν ἐσκε- 570
δασμένον πλῆθος τῶν ζηλωτῶν εἰς τὸ ἱερὸν πρὸς τοὺς διαπεφευ-
γότας ἠθροίσθη, καὶ κατάγειν αὐτοὺς παρεσκευάσατο Ἰωάννης ἐπί
τε τὸν δῆμον καὶ τοὺς Ἰδουμαίους. τοῖς δὲ οὐχ οὕτω τὴν ἔφοδον 571
αὐτῶν καταδεῖσαι παρέστη μαχιμωτέροις οὖσιν ὡς τὴν ἀπόνοιαν,
μὴ νύκτωρ ἐκ τοῦ ἱεροῦ παρεισδύντες αὐτούς τε διαφθείρωσι καὶ
τὸ ἄστυ καταπιμπρῶσι. συνελθόντες οὖν μετὰ τῶν ἀρχιερέων 572
ἐβουλεύοντο, τίνα χρὴ τρόπον φυλάξασθαι τὴν ἐπίθεσιν. θεὸς δὲ 573
ἄρα τὰς γνώμας αὐτῶν εἰς κακὸν ἔτρεψε, καὶ χαλεπώτερον ἀπω-
λείας ἐπενόησαν τὸ πρὸς σωτηρίαν φάρμακον· ἵνα γοῦν καταλύ-
σωσιν Ἰωάννην, ἔκριναν δέχεσθαι Σίμωνα καὶ μετὰ ἱκετηρίων δεύ-
τερον εἰσαγαγεῖν ἑαυτοῖς τύραννον. ἐπεραίνετο δ' ἡ βουλή, καὶ τὸν 574
ἀρχιερέα Ματθίαν πέμψαντες ἐδέοντο Σίμωνι εἰσελθεῖν ὃν πολλὰ
ἔδεισαν· συμπαρεκάλουν δὲ οἱ ἐκ τῶν Ἱεροσολύμων τοὺς ζηλωτὰς
φεύγοντες πόθῳ τῶν οἴκων καὶ τῶν κτημάτων. ὁ δ' αὐτοῖς ὑπερ- 575
ηφάνως κατανεύσας τὸ δεσπόζειν εἰσέρχεται μὲν ὡς ἀπαλλάξων
τῶν ζηλωτῶν τὴν πόλιν σωτὴρ ὑπὸ τοῦ δήμου καὶ κηδεμὼν εὐφη-
μούμενος, παρελθὼν δὲ μετὰ τῆς δυνάμεως ἐσκόπει τὰ περὶ τῆς 576
ἑαυτοῦ δυναστείας καὶ τοὺς καλέσαντας οὐχ ἧττον ἐχθροὺς ἐνόμιζεν
ἢ καθ' ὧν ἐκέκλητο.

12. Σίμων μὲν οὕτως ἐνιαυτῷ τρίτῳ τοῦ πολέμου Ξανθικῷ 577
μηνὶ Ἱεροσολύμων ἐγκρατὴς γίνεται· Ἰωάννης δὲ καὶ τὸ τῶν ζηλω-
τῶν πλῆθος εἰργόμενοι τῶν ἐξόδων τοῦ ἱεροῦ καὶ τὰ τῆς πόλεως
ἀπολωλεκότες, παραχρῆμα γὰρ τὰ ἐκείνων οἱ περὶ τὸν Σίμωνα

PAMLVRC Lat Hegesippus IV 25 p. 260. Zonaras I p. 525.

3 *κατάγειν*] *ἄγειν* Herwerden *παρεσκευάζετο* LVRC ante *Ἰωάννης* ras. 1 litt. A 4 *οὕτω* ex *ὅτω* corr. A 5 *καταδῆσαι* P 6 *παρεισδύναντες* L *διαφθείρουσι* P *διαφθείρωσι, ω* ex *ου* corr. A *διαφθείραντες* L 7 *καταπιμπρῶσι*] *καταπρήσωσι* MVRC 8 *δ'* L 9 *ἄρα* C *ἀπολείας* (*λει* ex corr.) C 10 *ἐπενόησαν τὸ*] *ἐπενοήσαντο* MLVR 11 *μεθ'* LVRC *ἱκετηρίων* LA[1] *δεύτερον*] *χείρονα* Zon *perniciosiorem* Heg *δεινότερον* Destinon 12 *ἐπεραίνετο*] i. ras. 7—8 litt. M *ἐπαιρέτο* PA (*decreto*) *obtemperatur* Lat *δὲ* AMVRC 13 *ἐδέοντο — εἰσελθεῖν*] *rogant simonem, ut ad se introiret* Lat *σίμωνι*] PA[1] *σίμωνος* MLVRC et ex corr. A *τιμωρὸν* uel simile desideratur *πολλὰ*] *πολλάκις* L *saepe* Lat 14 *συνπαρεκάλουν* PA *δ'* C 15 *φεύγοντας* VR *δὲ* VRC *αὐτὸς* M 16 *τὸ*] *τῷ* P *ἀπαλλάξων* A *ἀπαλλάξων, ἀ* suppl. m. 2 R 17 *ὁ σωτὴρ* L 21 *Σίμων — 22 γίνεται* om. Lat *μὲν*] *μὲν οὖν* C *Ξανθικῷ*] h. e. mense Aprili aut Maio anni 69 p. Chr. 22 *μηνὶ*] *μηνὶ τρίτῃ* L *γίνεται*] *ἐγένετο* VRC *τὸ*] *τῷ* A 23 *εἰργόμενοι, ο* ex corr. P *εἰργόμενον* (*εἰργ — C*) LVRC *τὰ*] *τὰς* coni. Bekker 24 *ἀπολολεκότες* P *ἀπολωλεκότων* L *ἀπολελοκότες* C

578 διήρτασαν. ἐν ἀπόρῳ τὴν σωτηρίαν εἶχον. προσέβαλλε δὲ τῷ ἱερῷ
Σίμων τοῦ δήμου βοηθοῦντος, κἀκεῖνοι καταστάντες ἐπὶ τῶν στοῶν
579 καὶ τῶν ἐπάλξεων ἠμύνοντο τὰς προσβολάς. συχνοὶ δ' ἔπιπτον
τῶν περὶ Σίμωνα καὶ πολλοὶ τραυματίαι κατεφέροντο· ῥᾳδίως γὰρ
ἐξ ὑπερδεξίου τὰς βολὰς οἱ ζηλωταὶ καὶ οὐκ ἀστόχους ἐποιοῦντο.
580 πλεονεκτοῦντες δὲ τῷ τόπῳ καὶ πύργους ἔτι προσκατεσκεύασαν
τέσσαρας μεγίστους, ὡς ἀφ' ὑψηλοτέρων ποιοῖντο τὰς ἀφέσεις,
581 τὸν μὲν κατὰ τὴν ἀνατολικὴν καὶ βόρειον γωνίαν, τὸν δὲ τοῦ
ξυστοῦ καθύπερθεν, τὸν δὲ τρίτον κατὰ γωνίαν ἄλλην ἀντικρὺ τῆς
582 κάτω πόλεως· ὁ δὲ λοιπὸς ὑπὲρ τὴν κορυφὴν κατεσκεύαστο τῶν
παστοφορίων, ἔνθα τῶν ἱερέων εἷς ἐξ ἔθους ἱστάμενος ἑκάστην
ἑβδομάδα εἰσιοῦσαν προεσήμαινε σάλπιγγι δείλης καὶ τελεσθεῖσαν
αὖθις περὶ ἑσπέραν, ὅτε μὲν ἀνέργειαν τῷ λαῷ καταγγέλλων, ὅτε
583 δ' ἔργων ἔχεσθαι. διέστησαν δ' ἐπὶ τῶν πύργων ὀξυβελεῖς τε καὶ
584 λιθοβόλους μηχανὰς τούς τε τοξότας καὶ σφενδονήτας. ἔνθα δὴ
τὰς μὲν προσβολὰς ὀκνηροτέρας ἐποιεῖτο ὁ Σίμων μαλακιζομένων
αὐτῷ τῶν πλειόνων, ἀντεῖχε δ' ὅμως περιουσίᾳ δυνάμεως· τὰ δὲ
ἀπὸ τῶν ὀργάνων βέλη πορρωτέρω φερόμενα πολλοὺς τῶν μαχο-
μένων ἀνῄρει.

585 X. 1. Κατὰ δὲ τὸν αὐτὸν καιρὸν περιέσχε καὶ τὴν Ῥώμην πάθη
586 χαλεπά. παρῆν μὲν γὰρ ἀπὸ Γερμανίας Οὐιτέλλιος ἅμα τῷ στρα-
τιωτικῷ πολὺ πλῆθος ἐπισυρόμενος ἕτερον, μὴ χωρούμενος δὲ τοῖς
ἀποδεδειγμένοις εἰς τοὺς στρατιώτας περιβόλοις ὅλην ἐποιήσατο τὴν
587 Ῥώμην στρατόπεδον καὶ πᾶσαν οἰκίαν ὁπλιτῶν ἐπλήρωσεν. οἱ δὲ

PAMLVRC Lat Zonaras I 25 p. 525.

1 *προσέβαλε* ML *προσεβάλλετο* PAVR 3 *δὲ* VRC 4 *τῶν, τῷ* ex corr. A *τὸν* PC¹ *περὶ τὸν σίμωνα* L *ῥᾳδίουσ* LRC 5 *ὑπερδεξιοῦ* PA¹VR *οὐκ] οὔτε* VR 6 *προσκατεσκεύασαν* ex *προσκατασκευάσαν* corr. M *προσπαρακατεσκεύασαν* PA *προσκατασκευάσαντεσ* L *προσκατεσκεύασεν* V *προκατεσκεύασαν* C *fabricauerunt* Lat 7 *μεγίστουσ τέσσαρασ* tr. L *τέσσαρας* om. C *ὡς] ὡσ ἂν* L 8 *βορείαν* L 9 *ξύστου* L *καθύπερθε* PA *ἀντικρυσ* L 11 *ἱερέων* ex *ἱερῶν* corr. L *εἷς] τισ* C 12 *προεσήμανεν* C 13 *ἀνέργειαν] ἐνέργειαν* M *ἀνείργειν* LVRC *ferias* Lat *ἀνεργεῖν* Hudson ex cod. Voss. et Bodl. *ὁτὲ* ML *καταγγέλων* V *ὅτε δ ἔργων] ὅτ᾽ δ᾽ ἔργων* sic P *ὁτὲ* ML 14 *δὲ* VRC *δὲ ἐπὶ* VR 15 *λιθοβόλουσ] πετροβόλουσ* L *μηχανὰς] καὶ μηχανὰσ* C *σφενδονητάσ* LR 16 *ὁ σίμων ὀκνηροτέρασ ἐποιεῖτο* tr. L *ὁ* om. AM *μαλακιζομένων* L 17 *ἀντεῖχε] ἀντέχει* L *propius accedebat* Lat *δὲ* VR *δὲ] δ᾽* L 18 *βέλη] μέρη* L 20 *Ῥώμην] ῥωμαίων ἡγεμονίαν* L 21 *χαλεπώτερα* L fort. recte *saeuiora* Lat *μὲν* om. C *γὰρ* om. A *οὐιτέλλιοσ* (alterum *λ* suppl. A) PAV²R *ὁ βιτέλλιοσ* M *οὐιτάλλιοσ* V¹ 23 *εἰς τοὺς* in confinio paginarum iterat C *ὅλην, ην* i. ras. ex *ο* · corr. A *ὅλοισ* P 24 *δ᾽* L

ἀήθεσιν ὀφθαλμοῖς τὸν Ῥωμαίων πλοῦτον θεασάμενοι καὶ περι-
λαμφθέντες πάντοθεν ἀργύρῳ τε καὶ χρυσῷ τὰς ἐπιθυμίας μόλις
κατεῖχον, ὥστε μὴ ἐφ' ἁρπαγὰς τρέπεσθαί τε καὶ τοὺς ἐμποδὼν γινο-
μένους ἀναιρεῖν. καὶ τὰ μὲν κατὰ τὴν Ἰταλίαν ἐν τούτοις ἦν.

2. Οὐεσπασιανὸς δὲ ὡς τὰ πλησίον Ἱεροσολύμων καταστρεψάμενος 588
ἐπέστρεψεν εἰς Καισάρειαν, ἀκοὴν τὰς κατὰ τὴν Ῥώμην ταραχὰς καὶ
Οὐιτέλλιον αὐτοκράτορα. τοῦτο αὐτὸν καίπερ ἄρχεσθαι καθάπερ 589
ἄρχειν καλῶς ἐπιστάμενον εἰς ἀγανάκτησιν προήγαγεν, καὶ τὸν μὲν
ὡς ἐρήμου καταμανέντα τῆς ἡγεμονίας ἠδόξει δεσπότην, περιαλγήσας 590
δὲ τῷ πάθει καρτερεῖν τὴν βάσανον οὐχ οἷός τε ἦν καὶ τῆς κατρί-
δος πορθουμένης ἑτέροις προσευσχολεῖν πολέμοις. ἀλλ' ὅσον ὁ 591
θυμὸς ἔπτειγεν ἐπὶ τὴν ἄμυναν, τοσοῦτον εἶργεν ἔννοια τοῦ διαστή-
ματος· πολλὰ γὰρ φθάσαι πανουργήσασαν τὴν τύχην πρὶν αὐτὸν
εἰς τὴν Ἰταλίαν περαιωθῆναι καὶ ταῦτα χειμῶνος ὥρᾳ πλέοντα·
σφαδάζουσαν ἤδη κατεῖχεν τὴν ὀργήν.

3. Συνιόντες δὲ οἵ τε ἡγεμόνες καὶ στρατιῶται καθ' ἑταιρίαν 592
φανερῶς ἤδη μεταβολὴν ἐβουλεύοντο καὶ διαγανακτοῦντες ἐβόων, ὡς
οἱ μὲν ἐπὶ τῆς Ῥώμης στρατιῶται τρυφῶντες καὶ μηδ' ἀκούειν
πολέμου φήμην ὑπομένοντες διαχειροτονοῦσιν οἷς βούλονται τὴν
ἡγεμονίαν καὶ πρὸς ἐλπίδα λημμάτων ἀποδεικνύουσιν αὐτοκράτο-
ρας, αὐτοὶ δὲ διὰ τοσούτων κεχωρικότες πόνων καὶ γηρῶντες ὑπὸ 593
τοῖς κράνεσιν ἑτέροις χαρίζονται τὴν ἐξουσίαν καὶ ταῦτα τὸν ἀξιώ-
τερον ἄρχειν παρ' αὐτοῖς ἔχοντες. ᾧ τίνα δικαιοτέραν ποτὲ τῆς 594
εἰς αὐτοὺς εὐνοίας ἀποδώσειν ἀμοιβήν, εἰ τὴν νῦν καταπροοῖντο;

PAMLVRC Lat Hegesippus IV 26 p. 262. Zonaras I p. 526.

1 *ἀηθέσιν* A¹ *ἀείθεσιν* C *τὸν*] *τῶν* PA 3 *ὥστε μὴ*] *adeo ut* Lat *τραπέσθαι* L 4 *καὶ* om. LVRC 5 i. marg. *λζ'* C 6 *τὴν* om. L 7 *οὐιτέλλιον* PAVR *βιτέλλιον* M *τοῦτο*] *τούτω* P *τούτ'* (sic) *οὖν* L *τοῦτο οὖν* VRC *hoc autem* Lat 8 *μὲν* om. MLVRC 11 *προσευσχολεῖν*] *προσασχολεῖν* M *πρὸσ εὐσχολὴν* C *uacare* Lat 12 *εἶπειγεν* C *εἶργεν* PC et ex corr. A *ἡ ἔννοια* C 13 *γὰρ*] *γὰρ ἂν* Herwerden *πανουργήσασαν*] *καλλιουργήσασαν* L *noua facere* (h. e. *καινουργήσασαν*) Lat 14 *τὴν* om. L *περεωθῆναι* PA *πλέοντα*] *πλέοντασ* P *plusque* (h. e. *πλέον τε*) Lat 15 *σφαδάζουσαν*] *σφαδάζουσαν δ'* C *καὶ σφαδάζουσαν* Destinon *σφαδάζουσαν* Herwerden *ὁρμήν* L 16 *συνιέντεσ* PLVR *καὶ*] *καὶ οἱ* LVRC *καθ' ἑταιρίαν* om. Lat *ἑταιρείαν* M 17 *ὡς* om. PAVR *ὥσ οἱ* ex *ὅσοι* corr. C 18 *καὶ*] *τὲ καὶ* M *μηδὲ* VRC 20 *ἀποδεικνύουσιν, ι* ante *ν* i. ras. L 22 *κράνεσι* R *ἑταίροισ* C *ἀξιότερον* PA 23 *αὐτοῖσ* PAVRC *ἑαυτοῖσ* L *ᾧ τίνα*] *ὥτινα* PL *ὥσ τινα* VRC *δικαιότερον* VRC *δικαίαν* Destinon *ποτὲ*] *ἢ ποτε* L *μήποτε* VR *μήποτε δὲ* C *uel quando* Lat 24 *ἀποδώσουσιν* L *referent* Lat *τὴν* ex *τὸν* corr. uid. L *τὴν νῦν*] *τὸν νῦν καιρὸν* M *καταπρόοιντο* codd.

τοσούτῳ δ' εἶναι Οὐεσπασιανὸν ἡγεμονεύειν Οὐιτελλίου δικαιότερον,
595 ὅσῳ καὶ αὐτοὺς τῶν ἐκεῖνον ἀποδειξάντων· οὐ γὰρ δὴ μικροτέρους
τῶν ἀπὸ Γερμανίας διενηνοχέναι πολέμους οὐδὲ τῶν ἐκεῖθεν κατα-
596 γαγόντων τὸν τύραννον ἡττῆσθαι τοῖς ὅπλοις. ἀγῶνος δὲ ἐνδεήσειν
οὐδέν· οὐ γὰρ τὴν σύγκλητον ἢ τὸν Ῥωμαίων δῆμον ἀνέξεσθαι τῆς
Οὐιτελλίου λαγνείας ἀντὶ τῆς Οὐεσπασιανοῦ σωφροσύνης, οὐδ' ἀντὶ
μὲν ἡγεμόνος ἀγαθοῦ τύραννον ὠμότατον, ἄπαιδα δὲ ἀντὶ πατρὸς
αἱρήσεσθαι προστάτην· μέγιστον γὰρ δὴ πρὸς ἀσφάλειαν εἰρήνης
597 εἶναι τὰς γνησίους τῶν βασιλέων διαδοχάς. εἴτε οὖν ἐμπειρίᾳ
γήρως προσήκει τὸ ἄρχειν, Οὐεσπασιανὸν αὐτοὺς ἔχειν, εἴτε νεότη-
τος ἀλκῇ, Τίτον· κραθήσεσθαι γὰρ τῆς παρ' ἀμφοῖν ἡλικίας τὸ
598 ὠφέλιμον. χορηγήσειν δὲ οὐ μόνον αὐτοὶ τὴν ἰσχὺν τοῖς ἀποδειχ-
θεῖσι τρία τάγματα καὶ τὰς παρὰ τῶν βασιλέων συμμαχίας ἔχοντες
συνετηρήσαμεν τά τε πρὸς ἕω πάντα καὶ τῆς Εὐρώπης ὅσα τῶν
ἀπὸ Οὐιτελλίου φόβων κεχώρισται, καὶ τοὺς ἐπὶ τῆς Ἰταλίας δὲ
599 συμμάχους. ἀδελφὸν Οὐεσπασιανοῦ καὶ παῖδα ἕτερον, ὧν τῷ μὲν
προσθήσεσθαι πολλοὺς τῶν ἐν ἀξιώματι νέων, τὸν δὲ καὶ τὴν τῆς

PAMLVRC Lat Hegesippus IV 26 p. 263.

1 *τοσοῦτο* C *δὲ* VRC *ἡγεμονεύειν*] *ἡγεμόνα* L *οὐιτιλλίου* PAVR *βιτελλίου* M 2 *αὐτοὶ* Herwerden *ἐκεῖνον, ον* ex corr. M 3 *τῶν*] *τοὺς* L 4 *καταγόντων* LVRC et ut uid. Lat, in quo est *qui tyrannum inde deducerent* *ἡττᾶσθαι* R *ἀγῶνος* — 5 *οὐδέν*] *nullum autem in creando uespasiano fore certamen* Lat *δὲ ἐνδεήσειν*] M *ἐνδεήσειν δὲ* PAVRC *ἐνδεηθεῖσιν* L *ἐνδεήσειν* Destinon 5 *οὐδέν*] *οὐδενὸς* C *τὸν*] *τῶν* PA 6 *οὐιτιλλίου* PAVR *βιτελλίου* M *εὐφρωσύνης* C *οὐδὲ* VRC *οὐδ' αὐτοὶ* Destinon mox tradita retinens 7 *ἄπαιδα*] ed. pr. *παῖδα* codd. Lat 8 *αἱρήσεσθαι*] LCLat *αἱρεῖσθαι* PAMVR 9 *διαδοχάς*] Bekker *ὑπεροχὰς* codd. et fort. Heg *praestantiam* Lat 10 *αὐτοὺς*] fort. spurium *αὐτοὶ* Herwerden 11 *κραθήσεσθαι*] PAMLLat *καρπήσεσθαι* VR *καρπίσεσθαι* C *παρὰ* L 12 *ὀφέλιμον* C *χορηγεῖν* L *χορηγήσει* C *χορηγήσειν* — 16 *ἕτερον*] *non solum autem se ministraturos declarati imperii uires, qui tres legiones regumque habentes auxilia conseruassent omnia ad orientem atque europam uitellii timoribus separata: sed etiam qui essent in italia propugnatores uespasiani fratrem atque alterum filium* Lat; longe alia habet Heg *δ'* L *αὐτοὶ*] *αὐτοὺς* PAM *αὐτοῖς* L *αὐτοὺς τότε* VRC *αὐτοὶ τότε* ex cod. Voss. Bekker *τοῖς* om. C *ἀποδειχθεῖσιν* LVRC 13 *τρία*] *ὅτι τρία* LVR *ἅτε τρία* C *ἔχοντας* MC *ἔχοντα* VR 14 *συνετηρήσαμεν*] *συνεργήσειν δὲ* M *ἀλλὰ συνεργήσειν* VR *ἀλλὰ καὶ συνεργήσειν* C *αἷς συνετήρησαν* Niese *ἕω*] *ἑῶ* PL *ἕω* ex *ἡω* corr. A *ἡῶ· V ἡῶ* R *ἡῶ* C *τῆς*] *τὰ τῆσ* AL post *Εὐρώπης* ras. 5 litt. (eras. uid. *παν··*) P 15 *οὐιτιλλίου* (*ο* initiale ex *ι* corr. A) PAVR *βιτελλίου* M *φόβον* C *ἰτα· λίασ* (eras. *λ*) L 16 *ὧν τῷ*] MLVLat *οὕτω* PA *ὧν τῶν* R *ὧν τὸ* C 17 *προσθήσεσθαι*, *ε* ex *α* corr. A *καὶ* om. M *τὴν*] om. PAVRC, p. 425, 1 ante *φυλακὴν* tr. M

λόλεως φυλακὴν πεπιστεῦσθαι, μέρος οὐκ ὀλίγον εἰς ἐπιβολὴν ἡγε- μονίας. καθόλου τε ἂν βραδύνωσιν αὐτοί, τάχα τὴν σύγκλητον 600 ἀποδείξειν τὸν ὑπὸ τῶν συντετηρηκότων στρατιωτῶν ἀτιμούμενον.

4. Τοιαῦτα κατὰ συστροφὰς οἱ στρατιῶται διελάλουν· ἔπειτα 601 συναθροισθέντες καὶ παρακροτήσαντες ἀλλήλους ἀναγορεύουσι τὸν Οὐεσπασιανὸν αὐτοκράτορα καὶ σώζειν τὴν κινδυνεύουσαν ἡγεμονίαν παρεκάλουν. τῷ δὲ φρονεῖν μὲν ἦν πάλαι περὶ τῶν ὅλων, οὔτι γε 602 μὴν αὐτὸς ἄρχειν προῄρητο. τοῖς μὲν ἔργοις ἑαυτὸν ἄξιον ἡγούμενος, προορίνων δὲ τῶν ἐν λαμπρότητι κινδύνων τὴν ἐν ἰδιώταις ἀσφά- λειαν. ἀρνουμένῳ δὲ μᾶλλον οἱ ἡγεμόνες ἐπέκειντο καὶ περιεχ- 603 θέντες οἱ στρατιῶται ξιφήρεις ἀναιρεῖν αὐτὸν ἠπείλουν, εἰ μὴ βούλοιτο ζῆν ἀξίως. πολλὰ δὲ πρὸς αὐτοὺς διατεινάμενος ἐξ ὧν 604 διωθεῖτο τὴν ἀρχὴν τελευταῖον, ὡς οὐκ ἔπειθεν, εἴκει τοῖς ὀνομάσασι.

5. Προτρεπομένων δ' αὐτὸν ἤδη Μουκιανοῦ τε καὶ τῶν ἄλλων 605 ἡγεμόνων ὡς αὐτοκράτορα καὶ τῆς ἄλλης στρατιᾶς ἄγειν ἐπὶ πᾶν τὸ ἀντίπαλον, ὁ δὲ πρῶτον τῶν ἐπ' Ἀλεξανδρείας εἴχετο πραγ- μάτων, εἰδὼς πλεῖστον τῆς ἡγεμονίας μέρος τὴν Αἴγυπτον οὖσαν διὰ τὴν τοῦ σίτου χορηγίαν, ἧς κρατήσας εἰ παρέλκοι καὶ βίᾳ 606 καθαιρήσειν ἤλπιζεν Οὐιτέλλιον, οὐ γὰρ ἀνέξεσθαι πείνης ἐπὶ Ῥώμης τὸ πλῆθος, τὰ δύο τε ἐπὶ τῆς Ἀλεξανδρείας τάγματα προσποιήσασθαι βουλόμενος. ἐνεθυμεῖτο δὲ καὶ πρόβλημα τὴν 607

PAMLVRCLatHegesippus IV 26 p. 262. 263.

1 *πεπιστεῦσθαι*] *πεπιστευμένον* M *πεπιστεῦθαι* (*πεπει-* C) LVC *μέρος*] *μέρος ἔσεσθαι* M *ἐπιβολὴν* PAMVRC *principia* Lat *τῆς ἡγεμονίας* M 2 *τε ἂν*] *τ' ἐν* V 3 *συντετηρηκότων*] om. L *συγγεγηρακότων* Destinon *συνηργηκότων* Herwerden haud male *τὸν ἀτιμούμενον* P 4 *τοιαῦτα*] *haec primo* Lat *συστροφὰς*] *τὰς συστροφὰς* L 8 *αὐτὸς* om. Lat *προηρεῖτο* PAMVRC *ἄξιον ἑαυτὸν* tr. L haud male 9 *ἐν ἰδιόταις* C *ἐν ἰδιωτείαις* L *priuatae uitae* Lat 10 *οἱ*] *οἵ τε* Niese *προσέκειντο* L 11 *ἀναιρήσειν* Herwerden 12 *διατεινόμενος* L *ἐξ ὧν*] *ἐξῶν* P et ut uid. L^1 13 *δι-ω·θεῖτο* A *ἔπειθε* C *ὀνομάσασι*] primum uoluit *ὀνόμασι* scribere P *ὀνό- μασι* M 14 i. marg. *λη'* C *προτρεπομένων* — 16 *ἀντίπαλον*] *mummiano autem ceterisque rectoribus, qui eum ad imperium inuitauerant, et exercitu alio uociferante ut se in omnes hostes duceret* Lat *δὲ* VRC *αὐτῶν* PAC *Μουκιανοῦ*] *μουκρανοῦ* V *τε* om. L 15 *ὡς*] *εἰσ* LVRC *ἄγειν*] *ἄγειν βοώσησ* VR *ἄγειν βοώσησ αὐτὸν* LC *ἄγειν βοώσης αὐτὴν* ed. pr. 16 *ὁ δὲ*] *αὐτὸσ* VRC *ἐπ'*] *ἀπ'* LVRC 17 *πλεῖστον*] *πλεῖστον μὲν* L 18 *εἰ — βίᾳ*] *ui quoque si perstaret* Lat *παρέλκοι*] *παρέλθοι* C *παρείκοι* Cardwell *κα·* (eras. *ὶ*) A *βίασ* R 19 *οὐιτέλλιον* PAVR *βιτέλλιον* M *πείνης*] *πίνησ* PA^1 *πείνησ ἂν* (sic) L *πεινῆσαν* MC *ἐπὶ Ῥώμης*] *ἐπὶ τῆσ ῥώμησ* L, om. Lat 21 *προσποιήσεσθαι* (ex *προσποιῆσθαι* corr. A) PAML *προβλήματα τὴν* A

χώραν ἔχειν τῶν ἀπὸ τῆς τύχης ἀδήλων· ἔστι γὰρ κατά τε γῆν
608 δυσέμβολος καὶ τὰ πρὸς θαλάσσης ἀλίμενος, κατὰ μὲν ἑσπέραν
προβεβλημένη τὰ ἄνυδρα τῆς Λιβύης, κατὰ δὲ μεσημβρίαν τὴν
διορίζουσαν ἀπὸ Αἰθιόπων τὴν Συήνην καὶ τοὺς ἀπλώτους τοῦ
ποταμοῦ καταράκτας, ἀπὸ δὲ τῆς ἀνατολῆς τὴν ἐρυθρὰν θά- 5
609 λασσαν ἀναχεομένην μέχρι Κοπτοῦ. βόρειον δὲ τεῖχος αὐτῇ ἥ τε
μέχρι Συρίας γῆ καὶ τὸ καλούμενον Αἰγύπτιον πέλαγος, πᾶν ἄπορον
610 ὅρμων. τετείχισται μὲν οὕτως ἡ Αἴγυπτος πάντοθεν· τὸ μεταξὺ
δὲ Πηλουσίου καὶ Συήνης μῆκος αὐτῆς σταδίων δισχιλίων, ὅ τε ἀπὸ
τῆς Πλινθίνης ἀνάπλους εἰς τὸ Πηλούσιον σταδίων τρισχιλίων ἑξα- 10
611 κοσίων. ὁ δὲ Νεῖλος ἀναπλεῖται μέχρι τῆς Ἐλεφάντων καλουμένης
πόλεως, ἔνθεν ἦν εἴργουσι προσωτέρω χωρεῖν οὓς προειρήκαμεν
612 καταράκτας. δυσπρόσιτος δὲ λιμὴν ναυσὶ καὶ κατ' εἰρήνην Ἀλεξαν-
δρείας· στενός τε γὰρ εἴσπλους καὶ πέτραις ὑφάλοις τὸν ἐπ' εὐθὺ
613 καμπτόμενος ὁρμιον. καὶ τὸ μὲν ἀριστερὸν αὐτοῦ μέρος πέφρακται 15
χειροκμήτοις σκέλεσιν, ἐν δεξιᾷ δὲ ἡ προσαγορευομένη Φάρος νῆσος
πρόκειται, πύργον ἔχουσα μέγιστον ἐκπυρσεύοντα τοῖς καταπλέουσιν
ἐπὶ τριακοσίους σταδίους, ὡς ἐν νυκτὶ πόρρωθεν ὁρμίζοιντο πρὸς
614 τὴν δυσχέρειαν τοῦ κατάπλου. περὶ ταύτην τὴν νῆσον καταβέβληται

PAMLVRC Lat Hegesippus IV 26 p. 263 sq.

1 ἔχειν] ἂν ἔχειν Niese 2 δυσέμβολος P δυσέμβολο (δυσέμβο i. ras.) A τὰ om. Bekker πρὸ · A θάλασσαν MC κατὰ] καὶ τὰ C 3 μεσημβρίαν δὲ tr. L 4 τὴν om. Bekker συήνην, υ ex ο corr. uid. P, υ i. ras. A σοηνὴν VR *soen* Heg cod. C ἀπλότους PAL 5 καταρράκτας MC τὴν] ex Lat ἐπὶ τὴν codd. ἔτι τὴν Hudson 6 ἀναχεομένην] LLat ἀναχεομένη PAMVRC Κοπτοῦ] κόπτου PA¹VR (*ad*) *copton ciuitatem* Lat Κλείθρου Max Ihm (Mus. Rhen. 46 p. 323) ex Hegesippo, in quo est *ab oriente refunditur mare rubrum clythro* (sic cod. C; *Clithro* Weber) *tenus, qui locus extremis ultimus terris peruium ad indos aperit iter nauigaturis* αὐτῇ] αὐτῆς Niese 7 πᾶν om. P 9 Συήνης] σοηνῆσ VR *soenen* Heg cod. C σταδίων — 10 τρισχιλίων ἑξακοσίων] *inter pelusium uero et syenen per duo milia stadiorum porrigitur. ex plintine autem ad pelusium nauigio stadiorum est trium milium et sexcentorum* Lat *inter soenen et pelusium longitudo immensa stadiorum duum milium si fides assertis adest, et a plinthine usque ad pelusium item trium milium sexcentorum* Heg δισχιλίων — 10 σταδίων om. PAC τε] δὲ L 10 πλιθίνησ L τὸ om. MVR in numeris stadiorum erratum esse apparet 11 νεῖλοσ, λο ex ν corr. M τῆς om. R μέχρι — 12 πόλεως] *ad elefantinen usque oppidum* Lat 12 προσοτέρω P 13 καταρράκτασ M ὁ Ἀλεξανδρείας (uel Ἀλεξάνδρεια) Bekker 14 τε om. PC ἐπ'] ὑπ' L 15 καμπτόμενοσ, αμ i. ras. minore M, μ i. ras. L 16 νησὶσ VRC et i. marg. M 17 πρόσκειται RC ἔχουσα] ἀνέχουσα LVRC *sustinet* Lat ἐκπυρσεύουσα VC 19 δυσχέριαν V¹R νῆσον] νησίδα LVRC et i. marg. M καταβέβληται] καταβάλλεται L

χειροποίητα τείχη μέγιστα, προσαρασσόμενον δὲ τούτοις τὸ πέλαγος
καὶ τοῖς ἄντικρυς ἔρκεσιν ἀμφαγνυμένον ἐπιραχύνει τὸν πόρον καὶ
σφαλερὰν διὰ στενοῦ τὴν εἴσοδον ἀπεργάζεται. ὁ μέντοι γε λιμὴν 615
ἀσφαλέστατος ἔνδον καὶ τριάκοντα σταδίων τὸ μέγεθος, εἰς ὃν τά
τε λείποντα τῇ χώρᾳ πρὸς εὐδαιμονίαν κατάγεται καὶ τὰ περισ-
σεύοντα τῶν ἐπιχωρίων ἀγαθῶν εἰς πᾶσαν χωρίζεται τὴν οἰκου-
μένην.

6. Ἔφιετο μὲν οὖν εἰκότως τῶν ταύτῃ πραγμάτων Οὐεσπασιανὸς 616
εἰς βεβαίωσιν τῆς ὅλης ἡγεμονίας, ἐπιστέλλει δ' εὐθὺς τῷ διέποντι
τὴν Αἴγυπτον καὶ τὴν Ἀλεξάνδρειαν Τιβερίῳ Ἀλεξάνδρῳ, διλῶν τὸ
τῆς στρατιᾶς πρόθυμον, καὶ ὡς αὐτὸς ὑποδὺς ἀναγκαίως τὸ βάρος
τῆς ἡγεμονίας συνεργὸν αὐτὸν καὶ βοηθὸν προσλαμβάνοι. παρ- 617
αναγνοὺς δὲ τὴν ἐπιστολὴν Ἀλέξανδρος προθύμως τά τε τάγματα
καὶ τὸ πλῆθος εἰς αὐτὸν ὥρκωσεν. ἑκάτεροι δὲ ἀσμένως ὑπήκουσαν
τὴν ἀρετὴν τἀνδρὸς ἐκ τῆς ἐγγὺς στρατηγίας εἰδότες. καὶ ὁ μὲν 618
πεπιστευμένος ἤδη τὰ περὶ τὴν ἀρχὴν προπαρεσκεύαζεν αὐτῷ καὶ
τὰ πρὸς τὴν ἄφιξιν, τάχιον δ' ἐπινοίας διήγγελλον αἱ φῆμαι τὸν
ἐπὶ τῆς ἀνατολῆς αὐτοκράτορα. καὶ πᾶσα μὲν πόλις εὐήρατεν εὐαγ-
γέλια [δὲ] καὶ θυσίας ὑπὲρ αὐτοῦ ἐπετέλει. τὰ δὲ κατὰ Μυσίαν καὶ 619
Παννονίαν τάγματα, μικρῷ πρόσθεν κεκινημένα πρὸς τὴν Οὐιτελ-
λίου τόλμιαν, μείζονι χαρᾷ Οὐεσπασιανῷ τὴν ἡγεμονίαν ὤμνυον. ὁ 620
δ' ἀναζεύξας ἀπὸ Καισαρείας εἰς Βηρυτὸν παρῆν, ἔνθα πολλαὶ μὲν

PAMLVRC Lat Hegesipus IV 28 p. 267.

1 *προσρασσόμενον* L 2 *τοῖς*] *πρὸσ τοῖσ* C *ἔρκεσιν* AVC *ἀμφαγνυμένον*] Dindorf *ἀφικνύμενον* P *ἀφικνούμενον* AM *ἀφιγνύμενον* LRC *ἀφῃγνυμένον*, *ν* suppl. V *fractum* Lat *recurrentibus* Heg *ἐπιρηγνύμενον* aut *ἀφηγνυμένον* Hudson *ἀπαγνύμενον* Cocceji *ἀμφιρρηγνύμενον* Naber 4 *ἔνδον*, *ἔ* ex *ὠ* corr. P *ἔνδον ἀσφαλέστατοσ* tr. L *τά τε*] *τὰ* L 5 *τῆσ χώρασ* L 6 *χωρίζεται*] *μερίζεται* MVRC *μεριζόμενα* L *diuisa exportantur* Lat *diffunditur* Heg 8 *οὖν* om. L *ταύτησ* L 9 *δ'*] *δὲ* A *δ' οὖν* VRC 10 *τιβερείω* L *ἀλεξάνδρω*, *ά* ex *έ* corr. A *τὸ*] *τό τε* Destinon 11 *στρατείασ* P 12 *αὐτῶν* C *προσλαμβάνοι*] *προσλάμ*[*νοι* A *παραλαμβάνοι* L *παραγνοὺσ* P *προσαναγνοὺσ* VRC *legit* Lat 13 *προθύμως*] *ἅμα προθύμωσ* C 14 *δ'* L 15 *τοῦ ἀνδρὸσ* LVRC *στρατηγείασ* C 16 *προσπαρεσκεύαζεν* A *αὐτῷ*] *αὐτῶ ἤδη* L et fort. Lat 17 *δὲ* VRC *διήγγελον* C *τὸν*] *uespasianum* Lat 18 *ἐπὶ*] *ἀπο* L *ἑόρταζεν* PALR 19 *δὲ* melius abest *ὑπὲρ αὐτοῦ* suspecta *ἐπετέλει* ex *ἐτέλει* corr. P 20 *παννωνίαν* M *πανονίαν* L *πανωνίαν* C *οὐιτιλλίου* PAVR *τοῦ βιτελλίου* M 21 *οὐεσπασιανῶ*, *ῶ* ex *ὸσ* corr. A 22 *δὲ* LVRC *βηρυτὸν*, *η* i. ras. R *παρῆν*] *παραγίνεται* ex cod. Voss. Dindorf

ἀπὸ τῆς Συρίας αὐτῷ, πολλαὶ δὲ κἀπὸ τῶν ἄλλων ἐπαρχιῶν πρεσβεῖαι συνήντων, στεφάνους παρ' ἑκάστης πόλεως καὶ συγχαρτικὰ
621 προσφέρουσαι ψηφίσματα. παρῆν δὲ καὶ Μουκιανὸς ὁ τῆς ἐπαρχίας ἡγεμὼν τὸ πρόθυμον τῶν δήμων καὶ τοὺς κατὰ πόλιν ὅρκους ἀπαγγέλλων.

622 7. Προχωρούσης δὲ πανταχοῦ κατὰ νοῦν τῆς τύχης καὶ τῶν πραγμάτων συννενευκότων ἐκ τοῦ πλείστου μέρους, ἤδη παρίστατο τῷ Οὐεσπασιανῷ νοεῖν, ὡς οὐ δίχα δαιμονίου προνοίας ἅψαιτο τῆς ἀρχῆς, ἀλλὰ δικαία τις εἱμαρμένη περιαγάγοι τὸ κρατεῖν τῶν ὅλων
623 ἐπ' αὐτόν· ἀναμιμνήσκεται γὰρ τά τε ἄλλα σημεῖα, πολλὰ δ' αὐτῷ γεγόνει πανταχοῦ προφαίνοντα τὴν ἡγεμονίαν, καὶ τὰς τοῦ Ἰωσήπου φωνάς, ὃς αὐτὸν ἔτι ζῶντος Νέρωνος αὐτοκράτορα προσειπεῖν ἐθάρ-
624 σησεν. ἐξεπέπληκτο δὲ τὸν ἄνδρα δεσμώτην ἔτι ὄντα παρ' αὐτῷ, καὶ προσκαλεσάμενος Μουκιανὸν ἅμα τοῖς ἄλλοις ἡγεμόσι καὶ φίλοις πρῶτον μὲν αὐτοῦ τὸ δραστήριον ἐκδιηγεῖτο καὶ ὅσα περὶ
625 τοῖς Ἰωταπάτοις δι' αὐτὸν ἔκαμον, ἔπειτα τὰς μαντείας, ἃς αὐτὸς μὲν ὑπόπτευσε τότε πλάσματα τοῦ δέους, ἀποδειχθῆναι δὲ ὑπὸ
626 τοῦ χρόνου καὶ τῶν πραγμάτων θείας. „αἰσχρὸν οὖν, ἔφη, τὸν προθεσπίσαντά μοι τὴν ἀρχὴν καὶ διάκονον τῆς τοῦ θεοῦ φωνῆς ἔτι αἰχμαλώτου τάξιν ἢ δεσμώτου τύχην ἐπομένειν" καὶ καλέσας τὸν
627 Ἰώσηπον λυθῆναι κελεύει. τοῖς μὲν οὖν ἡγεμόσιν ἐκ τῆς εἰς τὸν ἀλλόφυλον ἀμοιβῆς λαμπρὰ καὶ περὶ αὐτῶν ἐλπίζειν παρέστη.
628 συνὼν δὲ τῷ πατρὶ Τίτος „δίκαιον, ὦ πάτερ, ἔφη, τοῦ Ἰωσήπου καὶ τὸ ὄνειδος ἀφαιρεθῆναι σὺν τῷ σιδήρῳ· γενήσεται γὰρ ὅμοιος τῷ μὴ δεθέντι τὴν ἀρχήν, ἂν αὐτοῦ μὴ λύσωμεν ἀλλὰ κόψωμεν

PAMLVRC Lat Hegesippus IV 28 p. 267.

1 *κἀπὸ*] *καὶ ἀπὸ* PMLRC *ἀπὸ* V *πρεσβεῖαι·*, eras. *σ* A 2 *παρ'*] *ἀφ'* C *συγχαριτικὰ* (*γ* s. C) PVRC *συνχαριτικὰ* A *συγχαρητικὰ* M 4 *καὶ — ὅρκους*] *iurataque per ipsum principem sacramenta* Lat 5 *ἀπαγγέλλων* VC i. marg. *λθ'* C 6 *κατὰ, τὰ* s. C 7 *τοῦ* om. LVRC fort. recte 9 *περιάγοι* MVRC *circumduxisset* Lat *κ**τεῖν* L 10 *δὲ* VRC *αὐτοῦ* C 11 *προφαίνοντα, ον* ex corr. C *τὴν*] *τήν τε* (*τε* expunxit A) AVR 12 *ὃς*] *ὡς* PA *quibus* Lat *ζόντος* C *ἀ**οκράτορα* L *προειπεῖν* RC *ἐθάρρησεν* LVRC 13 *τὸν ἄνδρα* i. marg. suppl. A *δεσμώτην, δ* i. ras. A 15 *ἐκδιηγεῖται* MV *ἐδιηγεῖτο* R *περὶ*] L, om. PAMVRC *in* Lat *πρὸς* Herwerden 16 *ἔκαμον*] *laborasset* Lat *ἔκαμεν* ed. pr. 17 *πλάσμα* LC *ὑπόπτευσε* R¹C 18 *θείωσ* R 21 *κελεύει λυθῆναι* tr. L *ἡγεμόσι* C *εἰς*] *πρὸσ* L 22 *αὐτῶν* PALR *αυτῶν* V *αὐτὸν* C 23 *ὦ πάτερ, ἔφη*] *ἔφη πάτερ* C 25 *μὴ* ante *λύσωμεν* om. R *ἀλλὰ κόψωμεν* om. VR *κόψομεν* C

τὰ δεσμά.“ τοῦτο γὰρ ἐπὶ τῶν μὴ δεόντως δεθέντων πράττεται. συνεδόκει ταῦτα. καὶ παρελθών τις πελέκει διέκοψε τὴν ἅλυσιν. ὁ 629
δὲ Ἰώσιππος εἰλικρινῶς περὶ τῶν προειρημένων γέρας τὴν ἐπιτιμίαν ἤδη καὶ περὶ τῶν μελλόντων ἀξιόπιστος ἦν.

XI. 1. Οὐεσπασιανὸς δὲ ταῖς πρεσβείαις χρηματίσας καὶ κατα- 630
στησάμενος ἑκάστοις τὰς ἀρχὰς δικαίως καὶ διὰ τῶν ἀξίων εἰς Ἀντιόχειαν ἀφικνεῖται. καὶ βουλευόμενος, ποῖ τρέπεσθαι, προυρ- 631
γαίτερα τῆς εἰς Ἀλεξάνδρειαν ὁρμῆς τὰ κατὰ τὴν Ῥώμην ἔκρινε, τὴν μὲν βέβαιον οὖσαν ὁρῶν, τὰ δ' ὑπὸ Οὐιτελλίου ταραττόμενα. πέμπει δὴ Μουκιανὸν εἰς τὴν Ἰταλίαν παραδοὺς ἱππέων τε καὶ 632
πεζῶν συχνὴν δύναμιν. ὁ δὲ διὰ τὴν τοῦ χειμῶνος ἀκμὴν δείσας τὸ πλεῖν πεζῇ τὴν στρατιὰν ἦγε διὰ Καππαδοκίας καὶ Φρυγίας.

2. Ἐν δὲ τούτῳ καὶ Ἀντώνιος Πρῖμος ἀναλαβὼν τὸ τρίτον 633
τάγμα τῶν κατὰ Μυσίαν, ἔτυχεν δ' ἡγεμονεύων αὐτόθι, Οὐιτελλίῳ παραταξόμενος ἠπείγετο. Οὐιτέλλιος δὲ αὐτῷ συναντήσοντα μετὰ 634
πολλῆς δυνάμεως Καικίναν Ἀλιηνὸν ἐκπέμπει, μέγα θαρρῶν τἀνδρὶ διὰ τὴν ἐπ' Ὄθωνι νίκην. ὁ δὲ ἀπὸ τῆς Ῥώμης ἐλαίνων διὰ τάχους περὶ Κρέμωνα τῆς Γαλατίας τὸν Ἀντώνιον καταλαμβάνει· μεθόριος δ' ἐστὶν ἡ πόλις αὕτη τῆς Ἰταλίας. κατιδὼν δὲ ἐνταῦθα τὸ πλῆθος 635
τῶν πολεμίων καὶ τὴν εὐταξίαν, συμβαλεῖν μὲν οὐκ ἐθάρρει, σφα- λερὰν δὲ τὴν ἀναχώρησιν λογιζόμενος προδοσίαν ἐβουλεύετο. συνα- 636

PAMLVRC Lat Hegesippus IV 28 p. 267.

1 ἐπὶ om. V *δεόντως δεθέντων*] *δεόντων δεθέντων δὲ* PA 2 *συνεδόκει*] *συνεδόκει δὲ* AVRC *συνευδοκεῖ δὲ* L *πέλεκι* PA *πέλυκι* VR 3 *περὶ*] *ὑπὲρ* Niese nisi delere mauis *ἐπιτιμίαν*] *ἐλευθερίαν*, i. marg. *γρ καὶ ἐπιτιμίαν* M *καταστησάμενος, ά* suppl. m. 2 R 6 *τὰς ἀρχὰς*] *administrationibus* Lat 7 *ἀφ* * * *νεῖται* L *βουλόμενος* PMC *ποῖ*] *ποι* PAC *τρέπεσθαι*] *χρὴ τρέπεσθαι* MLVR *tenderet* Lat *προυργαίτερα*] *προυργιότερα* PA[1] *προεργιέτερα* V *προυργιέτερα* R *praestabilius* Lat 9 *βεβαίαν* L *δὲ* VRC *οὐϊτιλλίω* PVR *οὐϊτιλλίου* A *βιτελλίου* M *τοῦ οὐϊτελλίου* L *οὐιτελλίω* C *ταραττόμενα* L 12 *πλεῖν*] Hudson *πᾶν* codd. *nauigare* Lat similiterque Heg, in quo est *prolixae nauigationi reuocatus formidine* *στρατείαν* P 13 i. marg. *μα'* C *πρίμος* codd. *τὸ*] *τῷ* A 14 *κατὰ τὴν μυσίαν* L *δ'*] *γὰρ* L *δὲ* VRC *enim* Lat *οὐϊτιλλίω* PAVR *βιτελλίω* M *οὐϊτελίω* C[1] 15 *παραταξάμενος* PAV *οὐϊτίλλιος* PAVR *βιτέλλιος* M *δ'* L *συναντήσαντα* C 16 *Καικίναν — θαρρῶν* om. C *Καικίναν*] *κικίλλιον* PAM *κικίλιον* LVR *caecinam* Heg *cecinam* aut *cecinium* Lat *καικίνναν* ed. pr. *ἀλιηνὸν, ι* s. A *ἀλιῆνον* M *ἁλιηνὸν* L *ἀλιήνον* R *cominium* aut *commium* Lat *μέγα — 17 νίκην* om. Lat *τῷ ἀνδρὶ* VRC 18 *κρεμῶνα* L *γαλλίας* VR 19 *δὲ* VRC *αὕτη ἡ πόλις* tr. PAM *δ'* L 20 *συμβάλλειν* LVR

γαγὼν δὲ τοὺς ὑπ' αὐτὸν ἑκατοντάρχας καὶ χιλιάρχους ἐνῆγεν μεταβῆναι πρὸς τὸν Ἀντώνιον. ταπεινῶν μὲν τὰ Οὐιτελλίου πράγματα,
637 *τὴν Οὐεσπασιανοῦ δ' ἰσχὺν ἐπαίρων, καὶ παρ' ᾧ μὲν εἶναι λέγων μόνον τῆς ἀρχῆς ὄνομα, παρ' ᾧ δὲ τὴν δύναμιν, καὶ αὐτοὺς δὲ ἄμεινον προλαβόντας τὴν ἀνάγκην ποιῆσαι χάριν καὶ μέλλοντας*
638 *ἥττασθαι τοῖς ὅπλοις ταῖς γνώμαις τὸν κίνδυνον φθάσαι· Οὐεσπασιανὸν μὲν γὰρ ἱκανὸν εἶναι καὶ χωρὶς αὐτῶν προσκτήσασθαι καὶ τὰ λείποντα, Οὐιτέλλιον δ' οὐδὲ σὺν αὐτοῖς τηρῆσαι τὰ ὄντα.*
639 3. *Πολλὰ τοιαῦτα λέγων ἔπεισε καὶ πρὸς τὸν Ἀντώνιον αὐτο-*
640 *μολεῖ μετὰ τῆς δυνάμεως. τῆς δ' αὐτῆς νυκτὸς ἐμπίπτει μετάνοια τοῖς στρατιώταις καὶ δέος τοῦ προτέμψαντος, εἰ χρείσσων γένοιτο· σπασάμενοι δὲ τὰ ξίφη τὸν Καικίναν ὥρμησαν ἀνελεῖν, κἂν ἐπράχθη τὸ ἔργον αὐτοῖς, εἰ μὴ προσπίπτοντες οἱ χιλίαρχοι καθικέτευσαν*
641 *αὐτούς. οἱ δὲ τοῦ μὲν κτείνειν ἀπέσχοντο, δήσαντες δὲ τὸν προδότην οἷοί τε ἦσαν πέμπειν Οὐιτελλίῳ. ταῦτ' ἀκούσας ὁ Πρῖμος*
642 *αὐτίκα τοὺς σφετέρους ἀνίστησι καὶ μετὰ τῶν ὅπλων ἦγεν ἐπὶ τοὺς ἀποστάντας. οἱ δὲ παραταξάμενοι πρὸς ὀλίγον μὲν ἀντέσχον, αὖθις δὲ τραπέντες ἔφευγον εἰς τὴν Κρέμωνα. τοὺς δὲ ἱππεῖς ἀναλαβὼν Πρῖμος ὑποτέμνεται τὰς εἰσόδους αὐτῶν, καὶ τὸ μὲν πολὺ πλῆθος κυκλωσάμενος πρὸ τῆς πόλεως διαφθείρει, τῷ δὲ λοιπῷ συνεισ-*
643 *πεσὼν διαρπάσαι τὸ ἄστυ τοῖς στρατιώταις ἐφῆκεν. ἔνθα δὴ πολλοὶ μὲν τῶν ξένων ἔμποροι, πολλοὶ δὲ τῶν ἐπιχωρίων ἀπώλοντο,*

PAMLVRCLatHegesippus IV 29 p. 268. 30 p. 270.

1 δὲ] δὲ̓ A ὑπ' αὐτὸν] ὑφ' αὐτὸν LC ἑκατοντάρχους AMLVR 2 οὐϊτιλλίου PAVR βιτελλίου M πράγματα, τα suppl. A 3 Οὐεσπασιανοῦ δ'] οὐεσπασιανοῦ δὲ LVR et ex corr. A οὐεσπασιανοῦ A^1 δ' οὐεσπασιανοῦ P ᾧ] ὧν C 4 ὀνόματα L αὐτοὺς] αὐτοῖσ L et ut uid. Lat δὲ] τε A 5 ἄμεινον] ἄμεινον εἶναι L et ut uid. Lat προλαβόντας] λαβόντασ M ἀνάγκην, ν ante ά i. ras. A καὶ] κε C 6 ἡττασθαι C ὅπλοις] *multitudine* (h. e. ὄχλοις) Lat τῶν κίνδυνων C 7 καὶ] om. L *etiam* Lat προσκτήσασθαι] Dindorf προσθήσεσθαι PAMVRC προκτήσασθαι L (*ad reliqua*) *uindicanda* Lat 8 οὐϊτίλλιον PAVR βιτέλλιον M δὲ MVRC 10 μετὰ i. ras. minore A τῆς — ἐμπίπτει] τῆσ δ' αῦ πίπτει L δὲ VRC 11 κρεῖσσον P 12 Καικίναν] κικίλλιον PAM κικίλιον LVRC *caecinam* Heg *cecinam* aut *cecinium* Lat ὥρμησαν PA 14 αὐτούς] αὐτοῖσ C ἑκάστουσ L *his* Lat μὲν κτείνειν] M κτείνειν P κτεῖναι AVRC κτεῖναι μὲν L *caede quidem* Lat δὲ s. A τὸν προδότην] *quasi proditorem* Lat 15 πέμπειν] ἀναπέμπειν L πέμψειν C *transmittendum* Lat οὐϊτιλλίῳ PAVR τῷ βιτελλίῳ M ταῦτα PLVRC πρίμοσ PAMLVR hic et infra 18 ἔφυγον L κρεμῶνα LRC τοὺς δὲ] καὶ τοὺσ LVRC fort. recte 19 πολλὺ A^1 20 συνεισπεσὼν] *aggressus* Lat 22 μὲν om. PAMR πολλοὶ δὲ] om. P πολλὰ δὲ L

λᾶσα δὲ καὶ ἡ Οὐιτελλίου στρατιά, μυριάδες ἀνδρῶν τρεῖς καὶ διακόσιοι· τῶν δ' ἀπὸ τῆς Μυσίας Ἀντώνιος τετρακισχιλίους ἀποβάλλει καὶ πεντακοσίους. λύσας δὲ τὸν Καικίναν πέμπει πρὸς 644
Οὐεσπασιανὸν ἀγγελοῦντα τὰ πεπραγμένα. καὶ ὃς ἐλθὼν ἀπεδέχθη τε ἐπ' αὐτοῦ καὶ τὰ τῆς προδοσίας ὀνείδη ταῖς παρ' ἐλπίδα τιμαῖς ἐπεκάλυψεν.

4. Ἀνεθάρσει δὲ ἤδη καὶ κατὰ τὴν Ῥώμην Σαβῖνος, ὡς πλησίον 645
Ἀντώνιος ὢν ἀπηγγέλλετο, καὶ συναθροίσας τὰ τῶν νυκτοφυλάκων στρατιωτῶν τάγματα νύκτωρ καταλαμβάνει τὸ Καπετώλιον. μεθ' 646
ἡμέραν δ' αὐτῷ πολλοὶ τῶν ἐπισήμων προσεγένοντο καὶ Δομετιανὸς ὁ τἀδελφοῦ παῖς, μεγίστη μοῖρα τῶν εἰς τὸ κρατεῖν ἐλπίδων. Οὐιτελλίῳ δὲ Πρίμου μὲν ἐλάττων φροντὶς ἦν, τεθύμωτο δ' ἐπὶ 647
τοῖς συναποστάντας τῷ Σαβίνῳ, καὶ διὰ τὴν ἔμφυτον ὠμότητα διψῶν αἵματος εὐγενοῦς τοῦ στρατιωτικοῦ τὴν συγκατελθοῦσαν αὐτῷ δύναμιν ἐναφίησι τῷ Καπετωλίῳ. πολλὰ μὲν οὖν ἔκ τε ταύτης 648
καὶ τῶν ἀπὸ τοῦ ἱεροῦ μαχομένων ἐτολμήθη, τέλος δὲ τῷ πλήθει περιόντες οἱ ἀπὸ τῆς Γερμανίας ἐκράτησαν τοῦ λόφου. καὶ Δομε- 649
τιανὸς μὲν σὺν πολλοῖς τῶν ἐν τέλει Ῥωμαίων δαιμονιώτερον διασώζεται, τὸ δὲ λοιπὸν πλῆθος ἅπαν κατεκόπη, καὶ Σαβῖνος ἀναχθεὶς ἐπὶ Οὐιτέλλιον ἀναιρεῖται διαρπάσαντές τε οἱ στρατιῶται τὰ ἀναθήματα τῶν ναῶν ἐνέπρησαν. καὶ μετὰ μίαν ἡμέραν εἰσελαύνει μὲν 650
Ἀντώνιος μετὰ τῆς δυνάμεως, ὑπήντων δ' οἱ Οὐιτελλίου καὶ τριχῇ κατὰ τὴν πόλιν συμβαλόντες ἀπώλοντο πάντες. προέρχεται δὲ 651

PAMLVRC Lat Hegesippus IV 30 p. 270.

1 *καὶ ἡ*] *ἡ ἡ* A *ἡ* MLVRC *οὐϊτιλλίου* PAVR *βιτελλίου* M *τρεῖσ ἀνδρῶν* tr. LVRC 2 *διακόσιοι διεφθάρησαν* M *δὲ* LVRC *ἀπὸ*, *π* i. ras. L *ἀποβάλλει* · V 3 *Καικίναν*] *κικίλλιον* PAM *κικίλιον* LVRC *caecina* Heg *cecinam* aut *cecinium* Lat 4 *ἀναγγελοῦντα* P *καὶ ὃς ἐλθὼν*] *ὅσ εἰσελθὼν* L et ut uid. Lat, in quo est *qui ad eum intromissus (est)* *ἀπεδείχθη* RC 6 *ἐπεκάλυψε* L *consolatus est* Heg 7 *ἀνεθάρσησε* A 8 *ἀπηγγέλετο* ex corr. C 9 *καταλαμβάνεται* L *καπιτώλιον* L 10 *δὲ* VRC *προσετένοντο* P *προσεγένοντο*, *γ* i. ras. A 11 *τοῦ ἀδελφοῦ* VRC 12 *οὐϊτιλλίω* PAVR *βιτελλίω* M *δὲ* om. L *πρίμω* L *ἐλάττω* PLVR et ex corr. C *ἐλάττῶ* A *τεθύμωτο*] *τεθυμωμένοσ* LLat fort. recte *δὲ* LVRC 13 *συναποστάτασ* M *διὰ* deletum C 14 *σὺνκατελθοῦσαν* A 15 *καπιτωλίω* L 17 *περιϋόντεσ* V 18 *μὲν*] Bekker *δὲ* codd. *quidem* Lat *δὲ συμπολλοῖσ* V *ἐν*, *ν* i. ras. V 19 *ἅπαν πλῆθοσ* tr. M *διεκόπη* L *καὶ Σαβῖνος*] *et sabinus quidem* Lat 20 *οὐϊτίλλιον* PAVR *βιτέλλιον* M *τε*] *δὲ* L *autem* Lat 21 *ἐνέπρησαν*] *ἐμπιπρῶσι* RC *ἐμπιμπρῶσι* V 22 *δὲ* PLVRC *οὐϊτιλλίου* PAVR *τοῦ βιτελλίου* M 23 *συμβάλοντεσ* L *προ·έρχεται* R *προσέρχεται* C *procedit* Lat *rapitur* Heg; unde *προέλκεται* Destinon; cf. Tac. hist. III 84

μεθύων ἐκ τοῦ βασιλείου Οὐιτέλλιος καὶ δαψιλέστερον ὥσπερ ἐν
652 ἐσχάτοις τῆς ἀσώτου τραπέζης κεκορεσμένος. συρεὶς δὲ διὰ τοῦ
πλήθους καὶ παντοδαπαῖς αἰκίαις ἐξυβρισθεὶς ἐπὶ μέσης τῆς Ῥώ-
μης ἀπερσφάττεται, μῆνας ὀκτὼ κρατήσας καὶ ἡμέρας πέντε, ὃν εἰ
συνέβη πλείω βιῶσαι χρόνον, ἐπιλιπεῖν ἂν αὐτοῦ τῇ λαγνείᾳ τὴν 5
653 ἡγεμονίαν οἶμαι. τῶν δ' ἄλλων νεκρῶν ὑπὲρ πέντε μυριάδες ἠριθ-
654 μήθησαν. ταῦτα μὲν τρίτῃ μηνὸς Ἀπελλαίου πέπρακτο, τῇ δ'
ὑστεραίᾳ Μουκιανὸς εἰσεισι μετὰ τῆς στρατιᾶς, καὶ τοὺς σὺν Ἀντω-
νίῳ παύσας τοῦ κτείνειν, ἔτι γὰρ ἐξερευνώμενοι τὰς οἰκίας πολλοὺς
μὲν τῶν Οὐιτελλίου στρατιωτῶν πολλοὺς δὲ τῶν δημοτικῶν ὡς 10
ἐκείνου ἀνήρουν φθάνοντες τῷ θυμῷ τὴν ἀκριβῆ διάκρισιν, προα-
γαγὼν δὲ τὸν Δομετιανὸν συνίστησι τῷ πλήθει μέχρι τῆς τοῦ
655 πατρὸς ἀφίξεως ἡγεμόνα. ὁ δὲ δῆμος ἀπηλλαγμένος ἤδη τῶν φόβων
αὐτοκράτορα Οὐεσπασιανὸν εὐφήμει, καὶ ἅμα τήν τε τούτου βεβαίω-
σιν ἑώρταζε καὶ τὴν Οὐιτελλίου κατάλυσιν. 15

656 5. Εἰς δὲ τὴν Ἀλεξάνδρειαν ἀφιγμένῳ τῷ Οὐεσπασιανῷ τὰ
ἀπὸ τῆς Ῥώμης εὐαγγέλια ἦκε καὶ πρέσβεις ἐκ πάσης τῆς ἰδίας
οἰκουμένης συνηδόμενοι· μεγίστη τε οὖσα μετὰ τὴν Ῥώμην ἡ πόλις
657 στενοτέρα τοῦ πλήθους ἠλέγχετο. κεκυρωμένης δὲ ἤδη τῆς ἀρχῆς
ἁπάσης καὶ σεσωσμένων παρ' ἐλπίδα Ῥωμαίοις τῶν πραγμάτων 20
Οὐεσπασιανὸς ἐπὶ τὰ λείψανα τῆς Ἰουδαίας τὸν λογισμὸν ἐπέ-
658 στρεφεν. αὐτὸς μέντοι γε εἰς τὴν Ῥώμην ὥρμητο λήξαντος τοῦ χειμῶ-
νος ἀνάγεσθαι καὶ τάχος τὰ κατὰ τὴν Ἀλεξάνδρειαν διώκει, τὸν δὲ

PAMLVRC Lat Hegesippus IV 32 p. 271.

1 *οὐϊτίλλιος* PAVR *ὁ βιτέλλιος* M 4 *μῆνας — πέντε*] *κρατήσας μῆνας ὀκτὼ ἡμέρας πέντε* PAM fort. recte 5 *πλείω*] *πλεῖον* C *χρόνον βιῶσαι* tr. PAMVRC *ἐπιλειπεῖν* PALC *ἂν* om. PAMVRC 6 *δὲ* VRC *μυριάδας* AVRC 7 *μὲν*] *μὲν οὖν* L *δὲ* VRC *quidem* Lat *ἀπελλαίου* PA *octobris* Lat; Apellaei 3. dies est 20. Decembris (XIII kal. Ian.) anni Iuliani (69 p. Chr.) *πέπρακται* L *πεπρακτο, ρ* s. C *δὲ* LVRC 8 *μουκιανὸς, σ* ex *ν* corr. C *εἴσισι* P *στρατείας* PA *ἀντονίῳ* P 9 *ἐξερευνώμενος* PA¹ 10 *οὐϊτιλλίου* PAVR *τοῦ βιτελλίου* M 11 post *ἐκείνου* aliquid excidisse uid. *ἀνήρουν, ν* ante *ή* i. ras. L *διάκρισιν*] *διάγνωσιν* VRC *προαγαγὼν δὲ*] *προάγων* A *καὶ προαγαγὼν* VC *καὶ προσαγαγὼν* R 14 *εὐφημεῖ* L *τε* om. PA *τούτου* deletum C 15 *ἑόρταζε* P *οὐϊτιλλίου* PAR et ex corr. V *ἰοὐτιλλίου* V¹ *βιτελλίου* M

16 *ἀφικομένῳ* L *τῷ* om. L 17 *εὐαγγέλια ἦκε*] *εὐαγγέλιακεν* L 19 *στενοτέρα*] *στεντέρα τότε* sic L *στενοτέρα, ο* ex *ω* corr. V *στενοστερα* C 20 *σεσωσμένων, ων* i. ras. L 22 *γε* om. PAMVRC *λήξαντος*] *λήξαντος δὲ* PAM *λήξαντός γε* Destinon 23 *ἀνάγεσθαι*] *ἀνάγεσθαι ἔσπευδε* M *τὰ* om. A *διώκει*] *componere properabat* Lat

υἱὸν Τίτον μετὰ τῆς ἐκκρίτου δυνάμεως ἀντέστειλεν ἐξαιρήσοντα τὰ Ἱεροσόλυμα. ὁ δὲ προελθὼν πεζῇ μέχρι Νικοπόλεως, ἣ ἐστὶν ἀπ' 659
ἄρτι διέχει τῆς Ἀλεξανδρείας σταδίους, κἀκεῖθεν ἀναβήσας τὴν στρατιὰν μακρῶν πλοίων ἀναπλεῖ διὰ τοῦ Νείλου καὶ τὸν Μενδήσιον
5 νομὸν μέχρι πόλεως Θμουέως. ἐκεῖθεν δ' ἀποβὰς ὁδεύει κἀκεῖ καὶ 660
πολίχνην Τάνιν αὐλίζεται. δεύτερος αὐτῷ σταθμὸς Ἡρακλέους πόλις καὶ τρίτος Πηλούσιον γίνεται. δυσὶ δ' ἡμέραις ἐνταῦθα τὴν 661
στρατιὰν ἀναλαβὼν τῇ τρίτῃ διέξεισι τὰς ἐμβολὰς τοῦ Πηλουσίου, καὶ προελθὼν σταθμὸν ἕνα διὰ τῆς ἐρήμου πρὸς τῷ τοῦ Κασίου
10 Διὸς ἱερῷ στρατοπεδεύεται. τῇ δ' ὑστεραίᾳ κατὰ τὴν Ὀστρακίνην· οὗτος ὁ σταθμὸς ἦν ἄνυδρος, ἐπεισάκτοις δὲ ὕδασιν οἱ ἐπιχώριοι χρῶνται. μετὰ ταῦτα πρὸς Ῥινοκουρούροις ἀναπαύεται, κἀκεῖθεν 662
εἰς Ῥάφειαν προελθὼν σταθμὸν τέταρτον, ἔστι δ' ἡ πόλις αὕτη, Συρίας ἀρχή, τὸ πέμπτον ἐν Γάζῃ τίθεται στρατόπεδον, μεθ' ἣν 663
15 εἰς Ἀσκάλωνα κἀκεῖθεν εἰς Ἰάμνειαν, ἔπειτα εἰς Ἰόππην κἀξ Ἰόππης εἰς Καισάρειαν ἀφικνεῖται διεγνωκὼς αὐτόθι τὰς ἄλλας δυνάμεις ἀθροίζειν.

PAMLVRC Lat Hegesippus IV 33 p. 273.

1 *ἐκκρίτου*] *externis* Lat 2 *προσελθὼν* PL *εἴκοσι*] *XXIIII* Heg *δ'* L *αὔτῃ*] *αὐτῇ* LC 3 *στρατείαν* PA 4 *μακρῶν*] *ἐπὶ μακρῶν* M *ἀναπλεῖ*] *ἀνάβῃ* L *deuehitur* Lat *decurrit* Heg *κατὰ*] *μετὰ* PAMVRC *post* Lat *Μενδήσιον*] *δημόσιον* PA *mendesium* Lat 5 *νόμον* PAL *θμουέως* PVR *δὲ* PLVRC *ἀποβὰς ὁδεύει καὶ*] *in terram egressus* Lat 6 *πολίχνην*] PALat *πολίχνην τινὰ* MLVRC *δεύτερος*] *δεύτερος δ'* L *ἡρακλέως* PA *ἡρακλέος* M *ἡρακλεέος* VRC *heracleus* Lat 7 *τρίτον* PAVR *δὲ* VRC *ἐνταῦθα* om. L 8 *στρατείαν* PA *διέξεισι*] *διεξῄει* L *πηλουσίου, η* i. ras. L 9 *προσελθὼν* LC *τῷ*] *τὸ* PALVR *κασσίου* PAMVR Lat Heg *κασίου* C 10 *ἱερὸν* PAL *δὲ* VRC 11 *οἱ* om. L 12 *ρηνοκουρούροις* PA *ῥινοκουρούροις, ῥ* initiale ex *ν* corr. uid. C *ῥινοκορούροις* LV Berol. et ex corr. Lips. *ῥινοκούροις* R et m. 1 Lips. (*apud*) *rinocoruram* Lat *rinochiri* Heg *ἀναπαύεται, α* ante *π* ex *ε* corr. V 13 *ῥαφίαν* PAVR *rafiul* Heg *προσελθὼν* L¹VRC *ἔστι δ'*] *ἔστιν* L *ἔστι δὲ* RC *ἔστιν δὲ* V 14 *Συρίας*] *τῆς συρίας* L 15 *ἰάμνιαν* AL et ex corr. VC *iopen* Heg *κἀξ*] *καὶ ἐξ* VRC *καὶ ἀπὸ* L

Subscriptio deest in ALC *ἰωσήπου περὶ ἁλώσεως λόγος ϛ̄* P *ἑβραίου ἰωσήπου ἰουδαϊκῆς ἱστορίας περὶ ἁλώσεως. λόγος τέταρτος* M *φλαουίου ἰωσήπου περὶ ἁλώσεως λόγος ϛ̄* VR *fl iosippi liber quintus explicit* Lat

V.

Φλαυίου Ἰωσήπου ἱστορία Ἰουδαϊκοῦ πολέμου πρὸς Ῥωμαίους βιβλίον ε'.

I. 1. *Ὁ μὲν Τίτος ὃν προειρήκαμεν τρόπον διοδεύσας τὴν ὑπὲρ Αἰγύπτου μέχρι Συρίας ἐρημίαν εἰς Καισάρειαν παρῆν ταύτῃ διεγνωκὼς προσεντάξασθαι τὰς δυνάμεις. ἔτι δ' αὐτοῦ κατὰ τὴν Ἀλεξάνδρειαν συγκαθισταμένου τῷ πατρὶ τὴν ἡγεμονίαν νέον αὐτοῖς ἐγκεχειρισμένην ὑπὸ τοῦ θεοῦ συνέβη καὶ τὴν ἐν [τοῖς] Ἱεροσολύμοις στάσιν ἀνακιμάσασαν τριμερῆ γενέσθαι καὶ καθ' αὑτοῦ θάτερον ἐπιστρέψαι μέρος, ὅπερ ἄν τις ὡς ἐν κακοῖς ἀγαθὸν εἴποι καὶ δίκης ἔργον. ἡ μὲν γὰρ κατὰ τοῦ δήμου τῶν ζηλωτῶν ἐπίθεσις, ἥπερ κατῆρξεν ἁλώσεως τῇ πόλει, προδεδήλωται μετὰ ἀκριβείας ὅθεν τε ἔφυ καὶ πρὸς ὅσον κακῶν ηὐξήθη· ταύτην δ' οὐκ ἂν ἁμάρτοι τις εἰτὼν στάσει στάσιν ἐγγενέσθαι, καὶ καθάπερ θηρίον λυσσῆσαν ἐνδείᾳ τῶν ἔξωθεν ἐπὶ τὰς ἰδίας ἤδη σάρκας ὁρμᾷ. οὕτως 2. Ἐλεάζαρος ὁ τοῦ Σίμωνος, ὃς δὴ καὶ τὰ πρῶτα τοῦ δήμου τοὺς*

PAMLVRC Lat Hegesippus V 3 p. 281. Exc Peiresc.

Tituli: *φλαυίου ἰωσήπου ἰουδαϊκῆς ἱστορίας βιβλίον ε̄* P *φλαυίου ἰωσήπου περὶ ἁλώσεως ἰουδαϊκῆς ἱστορίας λόγος ε̄* A *ἰωσήπου ἑβραίου περὶ ἁλώσεως ἰουδαϊκῆς ἱστορίας λόγος πέμπτος* M *τοῦ αὐτοῦ βιβλίον ε̄* L *ἰωσήπου περὶ ἁλώσεως λόγος ε̄ (πεμπτος* R) VR *φλαονίονίου ἰωσήπου ἰουδαϊκῆς ἱστορίας περὶ ἁλώσεως λόγος ε'* C *incipit liber sextus* Lat

1 *μὲν*] *μὲν οὖν* L *quidem* Lat 2 *αἴγυπτον* C *ἐρημίαν* ex *ἔρημον* corr. M 3 *προσσυντάξασθαι* C *δὲ* LVRC 4 *συγκαθεζομένου* L *νέον*] V *νέαν* PAMLRC *nuper* Lat 5 *την*]*τὴν*···· C *τοῖς* om. P 6 *ἀκμάσασαν* AML *ἐνακμάσασαν* ex corr. R *ἐνανακμάσασαν* C *αὐτοῦ* V 9 *κατῆρξεν, τ* ex *θ* corr. M 10 *τε* om. L *πρὸς ὅσον κακῶν*] *per quos* Lat *ὅσων* PAL *κακὸν* MVR *ἀνηυξήθη* ALVRC *δὲ* VR 11 *τίς, ί* ex *ω* corr. P *καὶ καθάπερ*] *καθάπερ γαρ* Destinon 12 *ἤδη* om. PLat *ὁρμᾷ, οὕτως Ἐλεάζαρος*] PAMVRC Lat *ὁρμᾶν· ελεάζαροσ γὰρ* L fort. recte *Ἐλεάζαρος*] incip. Exc hisce *ελεάζαροσ γὰρ ὁ του σίμωνοσ· ὡσ ἀγανακτῶν δήθη τοῖσ οσημέραι τῶι ἰωάννηι τετολμημένοισ διίσταται· πόθωι τῶν ὅλων καὶ δυναστείασ ἰδίασ ἐπιθυμίαι· παραλαβων δε ἰουδήν τε* etc.

ξιλιάδας ἀπέστιγσεν εἰς τὸ τέμενος ὡς ἀγαπαστῶν δίθεν ἐπὶ τοῖς ὁσημέραι τῷ Ἰωάννῃ τολμωμένοις. οἱ γὰρ ἀνειμένοι φρονῶν οὔτος. τὸ δ' ἀληθὲς αὐτοῦ μεταγενεστέρῳ τυράννῳ μὴ φέρων ἐλευθέρᾳ θαι. πόθῳ τῶν ὅλων καὶ συνασπείας ἰδίας ἐπιθυμίᾳ διέστασαν. καρα 6
λαμβὼν Ἰούδην τε τὸν Χέλκια καὶ Σίμωνα τὸν Ἐσρῶνος τῶν δυνατῶν, κρὸς οἷς Ἐζεκίας Χωβαρεῖ παῖς οὐκ ἄσημος. καθ' ἕκαστον δὲ οὐκ 7
ὀλίγοι τῶν ξιλιωτῶν ἐκολούθησαν. καὶ καταλαβόμενοι τὸν ἐνδότερον τοῦ νεὼ περίβολον ἔπερ τὰς ἱερὰς πύλας ἐπὶ τῶν ἁγίων μετώπων τίθενται τὰ ὅπλα. πλήρεις μὲν οὖν ἐπιτηδείων ὄντες ἐθάρρουν, 8
καὶ γὰρ ἀφθονία τῶν ἱερῶν ἐγίνετο πραγμάτων τοῖς γε μηδὲν ἀσεβὲς ἡγουμένοις, ὀλιγότητι δὲ τῇ κατὰ σφᾶς ὀρθοδοῦντες ἐγκαθήμενοι τὰ πολλὰ κατὰ χώραν ἔμενον. ὁ δὲ Ἰωάννης ὅσον ἀνδρῶν 9
ὑπερεῖχε πλήθει, τοσοῦτον ἐλείπετο τῷ τόπῳ καὶ κατὰ κορυφὴν ἔχων τοὺς πολεμίους οὔτ' ἀδεεῖς ἐποιεῖτο τὰς προσβολὰς οὔτε δι' ὀργὴν ἠρέμει, κακούμενος δὲ πλέον ἢπερ διατιθεὶς τοὺς περὶ τὸν 10
Ἐλεάζαρον ὅμως οὐκ ἀνίει. συνεχεῖς δ' ἐκδρομαὶ καὶ βελῶν ἀφέσεις ἐγίνοντο, καὶ φόνοις ἐμιαίνετο πανταχοῦ τὸ ἱερόν.

3. Ὁ δὲ τοῦ Γιώρα Σίμων, ὃν ἐν ταῖς ἀμηχανίαις ἐπίκλητον 11
αὐτῷ τύραννον ὁ δῆμος ἐλπίδι βοηθείας προσεισήγαγε, τήν τε ἄνω

PAMLVRC Lat Hegesippus V 1 p. 274. Exc Peiresc. Suidas s. *ἐπίκλητος*.
1 *τὸ* s. A 2 *ὡσημέραι* PA[1] et ex corr. C *ἰωάννη, ά* ex *ό* corr. A *τετολμημένοις* LExc *τολμωμένοις, οι* ex *ο* corr. C *ἀνεπαύετο*] *ἀναπεύετο* sic A *φόνων* PLVC 3 *δὲ* VRC *αὐτοῦ* PMVRC *ἑαυτοῦ* L 4 *ἰδίας* om. VR 5 *ἰούδιν* A *ἰουδήν* L *χέλκια* L *χελίκα* R *χελκα* Exc *chelicae* Lat *Χελκία* Hudson *Σίμωνα τον Ἐσρῶνος*] *τὸν νεσρωνος σίμωνα* Exc *ἔσρωνος* M *νέσρωνος* L *ἔζρωνος* V *ἐζρῶνος* RC *γρ καὶ ἐζέρωνος* i. marg. M *czeronis* Lat Heg 6 *πρὸς οἷς*] *praeter quos erat* Lat *Ἐζεκίας*] *ἐζεκίασ ἦν* LVCExc fort. recte, nisi aliud excidit *χωβαρὶ* LExc *καθ' ἕκαστον δὲ*] *horum singulos* Lat *δὲ*] *δὲ τούτοις* LExc 7 *ὀλίγοι, ί* ex *ό* corr. A *ἐνδωτέρων* C *ἐνδοτέρω* Herwerden 8 *τοῦ*] *τῶ* C *νεῶ* C *ναοῦ* LExc *μετόπων* PExc 9 *πλήρεις μὲν οὖν*] *καὶ πλήρεισ μὲν* Exc *ὄντεσ ἐπιτηδείων* tr. C *ἐπιτηδεῖοσ* Exc 10 *πραγμάτων ἐγίνετο* tr. LExc *ἀπαρχῶν* Destinon *γε*] *δὲ* L Exc 11 *δὲ*] *δ' ἐν* PA *δ' ἐπὶ* Destinon *ἐγκαθήμενοι τὰ πολλὰ*] P et ut uid. Lat, in quo est *plerumque in locis suis otiosi manebant* *ἐγκαθιστάμενοι τὰ πολλὰ* AMVC *ἐγκαθισάμενοι τὰ ὅπλα* LExc *ἐγκαθισάμενοι τὰ πολλὰ* R 12 *ὅσων* A *ὅσω* LExc 14 *οὔτ' ἀδεεῖς*] PAMLat *οὔτε δέει* LExc *οὔτε δὲ εἶσ* VR *οὔτ' ἀδεεῖ* C 15 *ἠρεμει··* C *δὲ*] *δὴ* C 16 *ἀνείη* P *ἀνίη* A *δ'*] *δὲ* AVR *τε* LExc *autem* Lat *ἐκδρομαὶ*] *ἐκδρομαὶ κατ' ἀλλήλων* C 17 *πανταχόθεν* RC 18 *ὃν* — 19 *προσεισήγαγε* extant apud Suidam breuiata 19 *αὐτῷ τύραννον*] *αὐτωτύραννον* A *αὐτοτύραννον* P. quod non displicet Destinoni *αὐτῶ* MR *ἑαυτῶ* LCExc *ἑαυτοῖς* Suid *ὁ δῆμος*] *Ἰουδαῖοι* Suid *προσεισήγαγεν* L *προσήγαγε* PAMR Exc *προεισήγαγε* V *προσηγάγετο* C *introduxerat* Lat Heg *προσήγαγον* et *προεισήγαγον* Suidae codd.

πόλιν ἔχων καὶ τῆς κάτω πολὺ μέρος ἐρρωμενέστερον ἤδη τοῖς περὶ
τὸν Ἰωάννην προσέβαλλεν ὡς ἂν καὶ καθύπερθεν πολεμουμένοις·
12 ἦν δ' ὑπὸ χεῖρα προσιὼν αὐτοῖς, ὥσπερ ἐκεῖνοι τοῖς ἄνωθεν. καὶ
τῷ Ἰωάννῃ διχόθεν πολεμουμένῳ συνέβαινε βλάπτεσθαί τε καὶ
βλάπτειν εὐκόλως, καὶ καθ' ὅσον ἥττατο τῶν ἀμφὶ τὸν Ἐλεάζαρον 5
ὢν ταπεινότερος, τοσοῦτον ἐπλεονέκτει τῷ ὑψηλῷ τοῦ Σίμωνος.
13 παρὸ καὶ χειρὶ μὲν τὰς κάτωθεν προσβολὰς ἰσχυρῶς εἶργε, τοὺς
δὲ ἄνωθεν ἀπὸ τοῦ ἱεροῦ κατακοντίζοντας ἀνέστελλε τοῖς ὀργάνοις·
14 ὀξυβελεῖς τε γὰρ αὐτῷ καὶ καταπέλται παρῆσαν οὐκ ὀλίγοι καὶ
λιθοβόλοι, δι' ὧν οὐ μόνον ἠμύνετο τοὺς πολεμοῦντας, ἀλλὰ καὶ 10
15 πολλοὺς τῶν ἱερουργούντων ἀνῄρει. καίπερ γὰρ πρὸς πᾶσαν ἀσέ-
βειαν ἐκλελυσσικότες, ὅμως τοὺς θύειν ἐθέλοντας εἰσιφίεσαν, μεθ'
ὑποψιῶν μὲν καὶ φυλακῆς τοὺς ἐπιχωρίους, διερευνώμενοι δὲ τοὺς
ξένους· οἳ καίπερ περὶ τὰς εἰσόδους δυσωπήσαντες αὐτῶν τὴν
16 ὠμότητα παρανάλωμα τῆς στάσεως ἐγίνοντο. τὰ γὰρ ἀπὸ τῶν 15
ὀργάνων βέλη μέχρι τοῦ βωμοῦ καὶ τοῦ νεὼ διὰ τὴν βίαν ὑπερ-
17 φερόμενα τοῖς τε ἱερεῦσι καὶ τοῖς ἱερουργοῦσιν ἐνέπιπτε, καὶ πολλοὶ
σπεύσαντες ἀπὸ γῆς τεράτων περὶ τὸν διώνυμον καὶ πᾶσιν ἀν-
θρώποις χῶρον ἅγιον πρὸ τῶν θυμάτων ἔπεσον αὐτοὶ καὶ τὸν
Ἕλλησι πᾶσι καὶ βαρβάροις σεβάσμιον βωμὸν κατέσπεισαν ἰδίῳ 20
18 φόνῳ. νεκροῖς δ' ἐπιχωρίοις ἀλλόφυλοι καὶ ἱερεῦσι βέβηλοι συνε-
φύροντο, καὶ παντοδαπῶν αἷμα πτωμάτων ἐν τοῖς θείοις περι-
19 βόλοις ἐλιμνάζετο. τί τηλικοῦτον, ὦ τλημονεστάτη πόλις, πέπονθας

PAMLVRCLatHegesippus V 1 p. 274 sq. ExcPeiresc.

2 τὸν om. Exc προσέβαλλεν] προσέβαλεν L ἔβαλλεν VR καὶ om. M καθύπερθε RCExc πολεμούμενοσ LExc 3 ἦν — αὐτοῖς] *subiectus autem illorum manibus erat* Lat ἦν] ην P ἣν A δὲ LVRC αὐτοῖς] ExcHudson αὐτὸσ codd. καὶ — 10 δι' ὧν breuiant Exc 4 διχόθεν] διωχθὲν C παντα-χόθεν L 5 εὐκόλως om. Lat ἐλεάζαρον ut saepius C 6 ταπεινώ-τεροσ C τοσούτω A τῷ] ἐν VRC τῷ ὑψηλῷ] *celsior constitutus* Lat 7 ἰσχυρῶς] εὐμαρῶσ LVRC εὐχερῶς Destinon 8 δ' L 9 καὶ (post αὐτῷ) damnat L. Dindorf 12 μεθ' — 15 ἐγίνοντο] *cum suspicione quidem atque custodia indigenas perscrutando; hospites enim etiam qui exorassent eorum crudelitatem post exituri subsicina seditionis opera consumebantur* Lat 13 ὑπο-ψίασ LExc μὲν] μὴ Exc διερευνόμενοι R προδιερευνώμενοι C δὲ τοὺς ξένους] τοὺσ δὲ ξένουσ ἀδεέστερον LCExc 14 καίπερ] καὶ LCExc δυσω-πήσαντεσ, litt. τεσ suppl. in marg. A 16 βέλη om. L 17 τε] θ' A, om. LExc ἐνέπιπτον Exc 18 περὶ — 19 ἅγιον] *ad dionimum omnibus hominibus sanctissimum locum* Lat περὶ] ἐπὶ LExcLat διώνυμον] δνώνυμον primum scripserat A περιώνυμον LExc 19 πρὸ — αὐτοὶ] *ante ipsas hostias* Lat 20 βωμὸν] om. A ναὸν et in marg. βωμὸν L κατέσπισαν R 21 δὲ VRC βεβήλοισ L 22 παντοδαπὸν P 23 ὦ τλημονεστάτη] ἀτλημονε-στάτη Exc

ἐπὶ Ῥωμαίων, οἵ σου τὰ ἐμφύλια μύσι πυρὶ καθαροῦντες εἰσῆλθον· θεοῦ μὲν γὰρ οὔτε ἦς ἔτι χῶρος οὔτε μένειν ἐδύνασο, τάφος οἰκείων γενομένη σωμάτων καὶ πολέμου τὸν ναὸν ἐμφύλιον ποιήσασα πολυάνδριον· δύναιο δ' ἂν γενέσθαι πάλιν ἀμείνων, εἴγε ποτὲ τὸν πορθήσαντα θεὸν ἐξιλάσῃ. ἀλλὰ καθεκτέον γὰρ καὶ τὰ πάθη τῷ νόμῳ τῆς γραφῆς, ὡς οὐκ ὀλοφυρμῶν οἰκείων ὁ καιρός, ἀλλ' ἀμυγήσεως πραγμάτων. δίειμι δὲ τὰ ἑξῆς ἔργα τῆς στάσεως.

4. Τριχῇ τῶν ἐπιβούλων τῆς πόλεως διῃρημένων οἱ μὲν περὶ τὸν Ἐλεάζαρον τὰς ἱερὰς ἀπαρχὰς διαφυλάσσοντες κατὰ τοῦ Ἰωάννου τὴν μέθην ἔφερον, οἱ δὲ σὺν τούτῳ διαπάζοντες τοὺς δημότας ἠγείροντο κατὰ τοῦ Σίμωνος· ἦν δὲ κἀκείνῳ τροφὴ κατὰ τῶν ἀντιστασιαστῶν ἡ πόλις. ὁπότε μὲν οὖν ἀμφοτέρωθεν ἐπιχειροῖτο, τοὺς συόντας ὁ Ἰωάννης ἀντέστρεφε, καὶ τοὺς μὲν ἐκ τῆς πόλεως ἀνιόντας ἀπὸ τῶν στοῶν βάλλων, τοὺς δ' ἀπὸ τοῦ ἱεροῦ κατακοντίζοντας ἠμύνετο τοῖς ὀργάνοις· εἰ δ' ἐλευθερωθείη ποτὲ τῶν καθύπερθεν ἐπικειμένων, διανέπτατε δ' αὐτοὺς πολλάκις μέθη καὶ κάματος, ἀδεέστερον τοῖς περὶ τὸν Σίμωνα μετὰ πλειόνων ἐπεξέθεεν. ἀεὶ δ' ἐφ' ὅσον τρέψαιτο τῆς πόλεως ὑπεπίμπρη τὰς οἰκίας σίτου μεστὰς καὶ παντοδαπῶν ἐπιτηδείων· τὸ δ' αὐτὸ πάλιν ὑποχωροῦντος ἐτέρου δ Σίμων ἔπραττεν, ὥστερ ἐπίτηδες Ῥωμαίοις διαφθείροντες ἃ παρεσκευάσατο πρὸς πολιορκίαν ἡ πόλις, καὶ τὰ νεῦρα

PAMLVRC Lat Hegesippus V 1 p. 274 sq. Exc Peiresc.

1 i. marg. *β'* C *μύσι*] *μίσει* A *πυρὶ καθαροῦντες*] *περικαθαιροῦντες* PMVR *περὶ καθαιροῦντες* AC *πυρὶ καθαίροντες* LExc *purgaturi flammis* Lat *περικαθαροῦντες* Hudson; cf. p. 389, 13 2 *ἦς*] *εἰσ* Exc *χῶρος ἔτι* tr. Exc *οὔτε*] *οὐδὲ* L *ἠδύνασο* C *ἐδύνατο* Exc 3 *καὶ* — 4 *πολυάνδριον*] *et quae fanum ciuili bello tumulum constitueras* Lat *ποιήσασα*] Hudson *πλήσασα* codd. Exc *πλήσασα εἰς* Destinon 4 *πολυάνδρειον* PAL *δύναιο* — 5 *ἐξιλάσῃ*] *poteris autem denuo fieri patero* (*patere* cod. Berol.) *si umquam uastatorem tui deum placaueris* Lat *ἀμείνων*] *ἄμεινον* P *ἀμείνων, ω* ex *ο* corr. A *ἂν ἄμεινον* V; corruptum putat Destinon 5 *πορθήσαντα*] *πορθήσαντά σε* M *ἐξιλάσει* Cardwell *γὰρ καθεκτέον* tr. PM 6 *γραφῆς*] PALExc *συγγραφῆς* MVRC 7 i. marg. *γ'* C *δὲ τὰ*] *μετὰ* R *ἑξῆς* ALC *τῆ* C[1] 8 *πόλεως*] *στάσε|ὡς* C 9 *τὰς ἱερὰς ἀπαρχὰς*] *τὰσ ἀπαρχὰσ τὰσ ἱερὰσ* LExc 10 *τοῦτο* A *δημώτας* CExc 11 *ἠγείροντο* Exc 12 *ἐπιχειροῖτο*] *ἐπεχείρουν* LExc *adpetebatur* Lat *ὁ* om. C 14 *ἀνιέντας* PA[1] *στοῶν* C *δὲ* VRC *κατακοντικοντίζοντας* P 15 *δὲ* MLVRC 16 *δὲ* VRC *πολλάκισ* A *πολλάκι* R *μέθη*] *μέθη τε* LVRC 17 *ἐξέθεε* C *ἐπεξέθει* maault L. Dindorf 18 *δὲ* VRC *ὑπεμπίπρει* PA *ὑπεπίμπρα* M *ὑπεμπίπρησι* LExc *ὑπεμπίμπρα* VR *ὑπεμπίπρα* C *σίτου τε* C 19 *δὲ* VR *αὐτῶ* C 20 *ῥωμαῖοι* C *διαφθείροντες*] *διαφέροντεσ* Exc 21 *ἃ* — *πόλις*] *παρεσκείαζον* (*παρεσκενάζοντο* Exc) *πρὸσ πολιορκίαν τὴν πόλιν* LExc

25 τῆς αὐτῶν ὑποκόπτοντες δυνάμεως. συνέβη γοῦν τὰ μὲν περὶ τὸ
ἱερὸν πάντα συμφλεγῆναι καὶ μεταίχμιον ἐρημίας γενέσθαι παρα-
τάξεως οἰκείας τὴν πόλιν, κατακαῆναι δὲ πλὴν ὀλίγου πάντα
τὸν σῖτον, ὃς ἂν αὐτοῖς οὐκ ἐπ' ὀλίγα διήρκεσεν ἔτη πολιορκου-
26 μένοις. λιμῷ γοῦν ἑάλωσαν, ὅπερ ἥκιστα δυνατὸν ἦν, εἰ μὴ τοῦτον
αὐτοῖς προπαρεσκεύασαν.

27 5. Πανταχόθεν δὲ τῆς πόλεως πολεμουμένης ὑπὸ τῶν ἐπι-
βούλων καὶ συγκλύδων μέσος ὁ δῆμος ὥσπερ μέγα σῶμα διεσπα-
28 ράσσετο. γηραιοὶ δὲ καὶ γυναῖκες ὑπ' ἀμηχανίας τῶν εἴσω κακῶν
ἠύχοντο Ῥωμαίοις καὶ τὸν ἔξωθεν πόλεμον ἐπ' ἐλευθερίᾳ τῶν
29 εἴσω κακῶν ἐκαραδόκουν. κατάπληξις δὲ δεινὴ καὶ δέος ἦν τοῖς
γνησίοις, καὶ οὔτε βουλῆς καιρὸς εἰς μεταβολὴν οὔτε συμβάσεως
30 ἐλπὶς οὔτε φυγὴ τοῖς ἐθέλουσιν· ἐφρουρεῖτο γὰρ πάντα, καὶ τὰ
λοιπὰ στασιάζοντες οἱ ἀρχιλῃσταὶ τοὺς εἰρηνικὰ Ῥωμαίοις φρο-
νοῦντας ἢ πρὸς αὐτομολίαν ὑπόπτους ὡς κοινοὺς πολεμίους ἀήρουν
31 καὶ μόνον ὁμονόουν τὸ φονεύειν τοὺς σωτηρίας ἀξίους. καὶ τῶν
μὲν μαχομένων ἀδιάλειπτος ἦν κραυγὴ μεθ' ἡμέραν τε καὶ νύκτωρ,
32 δεινότεροι δὲ οἱ τῶν πενθούντων ὀδυρμοὶ δέει. καὶ θρήνων μὲν
αἰτίας ἐπαλλήλους αἱ συμφοραὶ προσέφερον, τὰς δ' οἰμωγὰς ἐνέ-
κλειεν ἡ κατάπληξις αὐτῶν, φιμούμενοι δὲ τά γε πάθη τῷ φόβῳ
33 μεμυκόσι τοῖς στεναγμοῖς ἐβασανίζοντο. καὶ οὔτε πρὸς τοὺς ζῶντας
ἦν αἰδὼς ἔτι τοῖς προσήκουσιν οὔτε πρόνοια τῶν ἀπολωλότων

PAMLVRC Lat Hegesippus V 1 p. 276. Exc Peiresc.

1 ἑαυτῶν LExc ἀποκόπτοντεσ LExc μὲν om. PAExc 2 *καὶ μεταίχμιον — 3 τὴν πόλιν*] *et inter proprias acies solitudinem atque aream pugnae fieri civitatem* Lat μεσταίχμιον A μεσαίχμιον VRC ἐρημίᾳ Hudson *γενέσθαι*] *γενέσθαι καὶ* MC 3 οἰκείας] οἰκεῖον Hudson 4 ὃς ἂν] ὅσον P ὡσ ἂν C ἔτη om. Exc 5 λιμοῦ PA ὅπερ] ὥσπερ PAL *(fame) qua* Lat ᾧπερ Destinon 6 αὐτοῖσ PA ἑαυτοῖσ MLVRC *sibimet ipsi* Lat 7 i. marg. δ' C 8 *συγκλύδων* PA *συγκλυδῶν* R *συγκλύδων* L. Dindorf *μέγα σῶμα*] *μέσωμα* m. 1 RLips *διεσπαράσσετο* P 9 *καὶ* om. C *τῶν εἴσω κακῶν* fort. ex u. 10 iterata εἴσω] ἴσων LExc *intestinis* Lat 10 Ῥωμαίουσ Destinon *τὸν* om. Exc 11 εἴσω] οἰκείων LExc *domesticis* Lat 13 φυγῆσ LCExcLat 14 οἱ om. VRC ἀρχιλῃσταὶ P¹AV¹ 15 κυνοὶσ C et ut uid. V¹ 16 ὁμονόουν PAR ὠμονόουν L ὁμονόουν C τὸ] τοῦ Exc 17 ἀδιαλείπτωσ C ἦν κραυγὴ] ἡ κραυγὴ ἦν LExc 18 δ' LExc *δέει*] PAMLat ἀεὶ LVRCExc; neutrum placet 19 δὲ VRC 20 *φιμούμενοι — 21 ἐβασανίζοντο*] *atque obmutiscente dolore prae formidine tacito gemitu cruciabantur* Lat φιμούμενοι] φοβούμενοι Exc δὲ] δὴ LExc γε] τε LExc πάθη] πλήθη LExc 21 ἐβασάνιζον C 22 ἔτι] οὔτε C

ταρῆς. αἴτιον δὲ ἀμφοτέρων ἡ καθ' ἑαυτὸν ἀπόγνωσις ἑκάστοι· παρεῖσαν γὰρ εἰς πάντα τὰς προθυμίας οἱ μὴ στασιάζοντες ὡς ἀπολούμενοι πάντως ὅσον οὐδέπω. κατοῦντες δὴ τοὺς νεκροὺς 34
ἐπ' ἀλλήλοις σεσορευμένους οἱ στασιασταὶ συνελέγοντο καὶ τὴν ἀπόνοιαν ἀπὸ τῶν ἐν νοσοῖ πτωμάτων σκῶντες ἦσαν ἀφυώτεροι. προσεξερίσκοντες δ' ἀεί τι καθ' αὑτῶν ὀλέθριον καὶ πᾶν τὸ δυσθὲν 35
ἀφειδῶς δρῶντες οὐδεμίαν οὔτ' αἰκίας ὁδὸν οὔτε ὠμότητος παρέλειπον. ἀμέλει Ἰωάννης τὴν ἱερὰν ὕλην εἰς πολεμιστηρίων κατα- 36
σκευὴν ὀργάνων ἀπεχρήσατο· δόξαν γάρ ποτε τῷ λαῷ καὶ τοῖς ἀρ-
χιερεῦσιν ὑποστηρίξαντας τὸν ναὸν εἴκοσι πήχεις προσυψῶσαι, κατάγει μὲν ἀπὸ τοῦ Λιβάνου μεγίστοις ἀναλώμασι καὶ πόνοις τὴν χρήσιμον ὕλην ὁ βασιλεὺς Ἀγρίππας, ξύλα θέας ἄξια τήν τε εὐθύτητα καὶ τὸ μέγεθος· μεσολαβήσαντος δὲ τοῦ πολέμου τὸ ἔργον 37
Ἰωάννης τειῶν αὐτὰ πύργους κατεσκεύασεν ἐξαρκοῦν τὸ μῆκος
εὐρὼν πρὸς τοὺς ἀπὸ τοῦ καθύπερθεν ἱεροῦ μαχομένους, ὑστηρί 38
τε προσαγαγὼν κατόπιν τοῦ περιβόλου τῆς πρὸς δύσιν ἐξέδρας ἄντικρυς, ὑπερ καὶ μόνη δυναὸν ἦν τῶν ἄλλων μερῶν βαθμοῖς πόρρωθεν διειλημμένων.

6. Καὶ ὁ μὲν τοῖς κατασκευασθεῖσιν ἐξ ἀσεβείας ὀργάνοις κρα- 39
τήσειν ἤλπισε τῶν ἐχθρῶν, ὁ δὲ θεὸς ἄχρηστον αὐτῷ τὸν πόνον ἀπέδειξε πρὶν ἐπιστῆσαί τινα τῶν πύργων Ῥωμαίους ἐπαγωγών.

PAMLVRC Lat ExcPeiresc.

1 δ' LCExc ἀμφοτέροις C ἑαυτῶν PAC 2 παρῆσαν L παρείθησαν MVRC *remiserant* Lat γὰρ s. P τὰς] τῆσ LExc μὴ om. MVRC ὡς om. LExc 3 πα·τοῦντεσ, eras. *ν* A δὴ] δὲ C 4 ἀλλήλουσ P¹LExc σεσορευμένουσ R 5 ἀπόπνοιαν aut ἀποπνοὴν Destinon ἀπὸ om. PA Destinon σπῶντεσ, litt. *τ* ex corr. A, *σπ* i. ras. V 6 προσεξερίσκοντεσ P δ'] δὲ VRC, om. M ἑαυτῶν MLVExc 7 ἀφειδρῶσ V¹ οὐτεμίαν Exc οὔτε αἰκίασ LVRC οὔτ' ὠμότητοσ LExc πάρέλει·πον M 8 ὕλιν C πολεμηστηρίων M i. marg. ε' C 9 ἀπεχρήσατο, χ i. ras. A 10 ὑποστηρίξασ C 11 τοῖσ μεγίστοισ LExc 12 τε om. PM 14 ὁ ἰωάννησ (ἰωάνησ C) AMLVRCExc πύργουσ — 17 ἄντικρυσ] *quod sufficere longitudinem reperit, turres aedificauit et aduersus eos constituit, qui desuper a templo pugnarent, post muri ambitum contra exedram occidentalem admotas* Lat κατεσκεύασεν ex κατεσκεύασαν corr. L κατεσκεύαζεν MVRC 15 ἱεροῦ] τοῦ ἱεροῦ P ὑστησί τε] ὑστησίν τε καὶ LExc 16 τῆσ ex τῇ corr. A 17 ἀντικρυ-, eras. σ V ἤπερ PAV μόνον M 18 διειλη|μμένων, prius *μ* i. ras. A 19 ἐξ ἀσεβείασ κατασκευασθεῖσιν tr. LExc 20 τῶν ἐχθρῶν ἤλπισεν tr. LExc θεὸσ δὲ tr. LExc αὐτῷ τὸν πόνον ἀπέδειξε] ἀπέκλεισεν αὐτῷ τὸν πόνον L αὐτῷ ἀπέδειξε τὸν πόνον Exc ἐπιστῆναι L 21 πρὶν — πύργων] *priusquam in his quemquam poneret* Lat ἐπαγαγών] ἐπάγων LExc; finiunt Exc

40 *ὁ γὰρ δὴ Τίτος ἐπειδὴ τὰ μὲν συνήγαγε τῆς δυνάμεως πρὸς αὐτόν,*
τοῖς δὲ ἐπὶ Ἱεροσολύμων συναντᾶν ἐπέστειλεν, ἐξήλαυνε τῆς Και-
41 *σαρείας. ἦν δὲ τρία μὲν τὰ πρότερον αὐτοῦ τῷ πατρὶ συνδηώ-*
σαντα τὴν Ἰουδαίαν τάγματα καὶ τὸ πάλαι σὺν Κεστίῳ πταῖσαν
δωδέκατον, ὅπερ καὶ ἄλλως ἐπίσημον δι' ἀνδρείαν ὑπάρχον τότε
42 *κατὰ μνήμην ὧν ἔπαθεν εἰς ἄμυναν ἦει προθυμότερον. τούτων*
μὲν οὖν τὸ πέμπτον δι' Ἀμμαοῦς ἐκέλευσεν αὐτῷ συναντᾶν καὶ
διὰ Ἰεριχοῦντος τὸ δέκατον ἀναβαίνειν, αὐτὸς δ' ἀνέζευξε μετὰ
τῶν λοιπῶν, πρὸς οἷς αἵ τε τῶν βασιλέων συμμαχίαι πολὺ πλείους
43 *καὶ συχνοὶ τῶν ἀπὸ τῆς Συρίας ἐπίκουροι συνῆλθον. ἀνεπληρώθη*
δὲ καὶ τῶν τεσσάρων ταγμάτων ὅσον Οὐεσπασιανὸς ἐπιλέξας Μου-
κιανῷ συνέπεμψεν εἰς Ἰταλίαν ἐκ τῶν ἐπελθόντων μετὰ Τίτου.
44 *δισχίλιοι μὲν γὰρ αὐτῷ τῶν ἀπ' Ἀλεξανδρείας στρατευμάτων ἐπί-*
45 *λεκτοι, τρισχίλιοι δὲ συνείποντο τῶν ἀπ' Εὐφράτου φυλάκων. φίλων*
δὲ δοκιμώτατος εὔνοιάν τε καὶ σύνεσιν Τιβέριος Ἀλέξανδρος, πρό-
46 *τερον μὲν αὐτοῖς τὴν Αἴγυπτον διέπων, τότε δὲ τῶν στρατευμάτων*
ἄρχων, κριθεὶς ἄξιος ἐξ ὧν ἐδεξιώσατο πρῶτος ἐγειρομένην ἄρτι
τὴν ἡγεμονίαν καὶ μετὰ πίστεως λαμπρᾶς ἐξ ἀδήλου τῇ τύχῃ προσ-
έθετο, σύμβουλός γε μὴν ταῖς τοῦ πολέμου χρείαις ἡλικία τε
προύχων καὶ κατ' ἐμπειρίαν εἵπετο.
47 II. 1. *Προϊόντι δὲ εἰς τὴν πολεμίαν Τίτῳ προῆγον μὲν οἱ*
βασιλικοὶ καὶ πᾶν τὸ συμμαχικόν, ἐφ' οἷς ὁδοποιοὶ καὶ μετρηταὶ
στρατοπέδων, ἔπειτα τὰ τῶν ἡγεμόνων σκευοφόρα καὶ μετὰ τοὺς

PAMLVRC Lat Hegesippus V 3 p. 282. Exc Peiresc.

1 i. marg. *ς'* C *τὰ*] *ταῦτα* C *αὐτὸν* AMVC *ἑαυτὸν* L 2 *δ'* L *ἐπέστελλεν* P *ἐπιστείλασ* L fort. recte 3 *μὲν* om. M *πρότερα* A *αὐτοῦ* VC *συνδηώσοντα* M 4 *τὸ*] *τῷ* C 5 *καὶ* om. L *ἀνδρίαν* V²C *ὑπάρχων* C 6 *κατὰ τὴν μνήμην* R 7 *μὲν οὖν*] *μὲν* L *quidem* Lat *Ἀμμαοῦντος* Hudson 8 *ἀναβαίνειν τὸ δέκατον* tr. L *δὲ* PLVR 9 *πρὸς*] *προὶσ* sic P *τε* om. PA *πολὺ*] *πάλιν* A *πᾶσαι* MVRC *πάλαι* L et ut uid. Lat, in quo est *plura quam dudum* 10 *ἐπήκουροι* C *ἀνεπληρώθη, ε* ex *π* corr. A 11 *μουκιανῷ συνέπεμψεν*, litt. *ῶσ* ex *ὸν* corr. C 12 *ἰταλείαν* R 13 *ἀπὸ* LR 14 *συνείποντο* om. VR *τῶν* om. C *ἀπὸ* L *φυλάκων* om. Lat 15 *τιβέρειοσ* L 16 *αὐτοῖς*] *αὐτὸσ* LR, om. Lat *διέπων* om. L *τῶν* — 17 *ἄξιος*] *dignus qui exercitum regeret* — *iudicatus* Lat 17 *ἄρχων*] om. M *ἄρχειν* Hudson fort. recte 18 *ἐξ* — *προσέθετο*] *incertae fortunae sociatus est* Lat *ἐξ ἀδήλοι*] *ἔτ' ἀδήλῳ* Niese *ἀδήλου τῇ τύχῃ*] *ἀδήλου τύχησ* sic L 19 *σύμβουλοσ*, litt. *ουλ* ex corr. A 20 *προὔχον* C 21 *προσιόντι* LVRC *progredientem* Lat *δὲ*] *τε* L *προσῆγον* LC 22 *μετριταὶ* R 23 *τὰ* om. L *τὰ* — 441,1 *αὐτὸς*] *rectorum sarcinae atque armati, post hos ipse titus* Lat

τούτων ὁπλίτας αὐτὸς τούς τε ἄλλους ἐπιλέκτους καὶ τοὺς λογχο-
φόρους ἔχων, κατόπιν δ' αὐτῷ τοῦ τάγματος τὸ ἱππικόν· οὗτοι δὲ 48
πρὸ τῶν μηχανημάτων, κἀπ' ἐκείνοις μετ' ἐπιλέκτων χιλίαρχοι καὶ
σπειρῶν ἔπαρχοι, μετὰ δὲ τούτους περὶ τὸν αἰετὸν αἱ σημαῖαι,
καὶ ἔμπροσθεν οἱ σαλπικταὶ τῶν σημαιῶν, ἐπὶ δὲ τούτοις ἡ φά-
λαγξ τὸ στῖφος εἰς ἓξ πλατύνασα. τὸ δ' οἰκετικὸν ἑκάστου τάγ- 49
ματος ὀπίσω καὶ πρὸ τούτων τὰ σκευοφόρα, τελευταῖοι δὲ πάντων
οἱ μίσθιοι καὶ τούτων φύλακες οὐραγοί. προάγων δὲ τὴν δύναμιν 50
ἐν κόσμῳ, καθὰ Τομαίοις σύνηθες, ἐμβάλλει διὰ τῆς Σαμαρειτίδος
εἰς Γόφνα κατειλημμένην τε πρότερον ὑπὸ τοῦ πατρὸς καὶ τότε
φρουρουμένην· ἔνθα μίαν ἑσπέραν αὐλισάμενος ἐπὶ τὴν ἑω πρόεισι. 51
καὶ διανύσας ἡμέρας σταδίων στρατοπεδεύεται κατὰ τὸν ἐπὶ Ἰου-
δαίων πατρίως Ἀκανθῶν αὐλῶνα καλούμενον πρός τινι κώμῃ Γαβὲθ
Σαοὺλ λεγομένῃ, σημαίνει δὲ τοῦτο λόφον Σαούλου, διέχον ἀπὸ τῶν
Ἱεροσολύμων ὅσον ἀπὸ τριάκοντα σταδίων. ἀναλαβὼν δ' ἐντεῦθεν 52
ὅσον εἰς ἑξακοσίους τῶν ἐπιλέκτων ἱππέων ἦει τήν τε πόλιν περι-
σκεψόμενος, ὅπως ὀχυρότητος ἔχοι, καὶ τὰ φρονήματα τῶν Ἰου-
δαίων, εἰ πρὸς τὴν ὄψιν αὐτοῦ πρὶν εἰς χεῖρας ἐλθεῖν ὑποδείσαντες
ἐνδοῖεν· πέπυστο γάρ, ὅπερ ἦν ἀληθές, τοῖς στασιώδεσι καὶ λῃστρι- 53
κοῖς τὸν δῆμον ὑπολειπτικόσι λοιθεῖν μὲν εἰρήνην, ἀσθενέστερον
δὲ ὄντα τῆς ἐπαναστάσεως ἠρεμεῖν.

2. Ἕως μὲν οὖν ὄρθιον ἱππάζετο τὴν λεωφόρον κατατείνουσαν 54

PAMLVRC Lat Hegesippus V 3 p. 282. Zonaras I p. 526.

1 *καὶ* — 2 *ἱππικόν*] *et signiferos, quorum agmen equites sequebantur* Lat *τοὺς* ante *λογχοφόρους* om. M 2 *κατόπιν* C *δ'*] *τε* L, om. VR *αὐτῷ* ex *αὐτοῦ* corr. M *τὸ* om. VR 3 *καὶ ἐπ'* LVR 4 *μετὰ*] *κατὰ* P *αἰετὸν* MLR *σημαῖαι, αῖ* i. ras. A 5 *σαλπιγκταὶ* PMLVRC *σημαίων* P et ex corr. R *φάλαγξ*] *φάλ γα ξ* sic A 6 *τὸ* — 7 *ὀπίσω*] *seruile autem uulgus a tergo cuiusque agminis* Lat *δὲ* VRC *ἑκάστου τάγματος ὀπίσω*] *τάγμα ἑκάστου ὀπίσω* PAM *ὀπίσω τάγματος ἑκάστου* L 8 *οἱ οὐραγοὶ* MVRC *προσάγων* RC 9 *κόσμῳ*] *κόσμω τίτος* L 10 *γοφνὰ* P *γνοφά* A *γόφναν* M *γόφαν* L *γνοφα* V *γνόφα* R *τε*] *δὲ* L 11 *ἑσπέραν*] LC Lat *ἡμέραν* PAMVR *πρόεισι*] PAML et ex corr. C *προσήει* L *πρόσεισι* VRC[1] *inde proficiscitur* Lat 12 *σταθμὸν ἡμέρας* tr. L *τὸν*] *τῶν* PAC *ὑπὸ*] om. et i. marg. suppl. A, supplementi nunc superest *ὸ* et litt. *π* pars posterior 13 *γαβὲθ σαοὺλ, ο* ex *λ* corr. P *γαβαθὰ σαοὺλ* M *γαβαθσαούλη* LVRC 14 *λόφον*] *uallem* Lat *σαοὺλ* P *saul* Lat *διέχον*] *διέχοντα* C *τῶν* om. P 15 *ἀπὸ*] *εἰσ* LC *σταδίουσ* LC i. marg. *ζ'* C *δ'*] *δὲ* LVR 16 *περισκεψόμεροσ, εψ* ex *οψ* corr. A *κατασκεψόμενος* Zon 18 *ὑποδήσαντεσ* C 19 *πέπυστο*] ex Voss. Hudson *audierat* Lat *πέπιστο* P *πέπεισο* AMLVRC 20 *ὑπεπτικότα* ML *oppressum* Lat, unde *ὑποπεπτωκότα* Hudson 22 *ὄρθριον* A[1] *mane* Lat *ἱππάζετο, ι* i. ras. A *κατατείνουσα* A[1]

πρὸς τὸ τεῖχος οὐδεὶς προυφαίνετο τῶν πυλῶν, ἐπεὶ δ' ἐκ τῆς
ὁδοῦ πρὸς τὸν Ψῆφινον πύργον ἀποκλίνας πλάγιον ἦγε τὸ τῶν ἱππέων
στῖφος, προπηδήσαντες ἐξαίφνης ἄπειροι κατὰ τοὺς Γυναικείους
καλουμένους πύργους διὰ τῆς ἀντικρὺ τῶν Ἑλένης μνημείων πύλης
διεκπαίουσι τῆς ἵππου, καὶ τοὺς μὲν ἔτι κατὰ τὴν ὁδὸν Θέοντας 5
ἀντιμέτωποι στάντες ἐκώλυσαν συνάψαι τοῖς ἐκκλίνασι, τὸν δὲ Τί-
τον ἀποτέμνονται σὺν ὀλίγοις. τῷ δὲ πρόσω μὲν ἦν χωρεῖν ἀδύ-
νατον· ἐκτετάφρευτο γὰρ ἀπὸ τοῦ τείχους πρὸς τὰς κηπείας ἅπαντα
τοίχοις τε ἐπικαρσίοις καὶ πολλοῖς ἕρκεσι διειλημμένα· τὴν δὲ πρὸς
τοὺς σφετέρους ἀναδρομὴν πλήθει τῶν ἐν μέσῳ πολεμίων ἀμήχανον 10
ἑώρα καὶ τραπέντας τοὺς ἀνὰ τὴν λεωφόρον, ὧν οἱ πολλοὶ μηδὲ
γινώσκοντες τὸν τοῦ βασιλέως κίνδυνον, ἀλλ' οἰόμενοι συναναστρα-
φῆναι κἀκεῖνον ἀνέφευγον. ὁ δὲ κατιδὼν ὡς ἐν μόνῃ τῇ καθ' αὑτὸν
ἀλκῇ κεῖται τὸ σώζεσθαι τόν τε Τίτον ἐπιστρέφει καὶ τοῖς περὶ
αὐτὸν ἐμβοήσας ἔπεσθαι μέσοις ἐμπηδᾷ τοῖς πολεμίοις διεκπαῖσαι 15
πρὸς τοὺς σφετέρους βιαζόμενος. ἔνθα δὴ μάλιστα παρέστη
νοεῖν, ὅτι καὶ πολέμων ῥοπαὶ καὶ βασιλέων κίνδυνοι μέλονται θεῷ·
τοσούτων γὰρ ἐπὶ τὸν Τίτον ἀφιεμένων βελῶν μήτε κράνος ἔχοντα
μήτε θώρακα, προῆλθε γὰρ ὡς ἔφην οὐ πολεμιστὴς ἀλλὰ κατά-
σκοπος, οὐδὲν ἥψατο τοῦ σώματος, κενὰ δ' ὥσπερ ἐπίτηδες ἀστο- 20
χούντων παρερροίζειτο πάντα. ὁ δὲ ξίφει τοὺς κατὰ πλευρὸν ἀεὶ

PAMLVRC Lat Hegesippus V 3 p. 282. Zonaras I p. 526.

1 *προεφαίνετο* L *πυλῶν*] *πύργων* MVRC *δὲ* PVRC 2 *Ψῆφινον*] *saxeam* Lat 3 *γυναικίους* C 4 *ἀντικρυς* L *ἑλένης* PALVR 5 *τοὺς*] *τοῖσ* P 6 *ἀντιμέτωποι* ex *ἀντιμετώποισ* corr. A *ἐκλίνασι* A *ἐγκλίνασι* Bekker *τίτον, ί* ex *ό* corr. P 7 *ἦν* s. P 8 *ἐκτετραφρευτο* sic L *ἐτετάφρευτο* L. Dindorf *ἐκτετάφρευτο* — 9 *διειλημμένα*] *a muro enim cuncta fossis patebant et transuersa erant hostibus multisque macerriis impedita* Lat *τἀπὸ* Destinon *κηπίασ* PA - *κηπειασ*, eras. *σ* L 9 *τοίχοις*] *κήποισ* MLVRC *ἕρκεσι* AMVR *τὴν* — 13 *ἀνέφευγον*] *ad suos autem in aggere constitutos recursus intercedente hostili manu desperabatur, quorum plerique imperatoris periculum nesciebant, sed existimantes eum secum reuerti etiam ipsi fugiebant* Lat 10 *ἀναδρομὴν, ὴ* ex *ει* corr. A 11 *καὶ — λεωφόρον*] PAML *οἱ δὲ ἀνὰ τὴν λεωφόρον* VRC *μηδὲ*] *μήτε* PA 12 *συναναστραφῆναι, α* ante *φ* i. ras., *ῆναι* i. ras. 5 litt. L 13 *κἀκεῖνον*] *κἀκείνουσ* P *κακεῖ* et i. marg. suppletum *νοισ* A *κακείνοισ* LVR *ἑαυτὸν* AML *αὐτῶν* R 14 *τε* om. PAM *τοῖς*] *τοὺσ* PAM 15 *πολεμίοισ* ex *πολεμοισ* corr. A *διεκπέσαι* VRC et ex corr. P *διεκπηδῆσαι* A 16 *παρέστη*] *παρέστι* L *πάρεστί μοι* PA *παρέστη μοι* MVRC (*intellegi*) *potuit* Lat 17 *νοεῖν* om. VR *μέλλονται* LR² *τῷ θεῷ* LC *μέλει τῷ θεῷ* i. marg. m. 2 R 18 *τί·τον* V 19 *μήτε*] *μὴ δὲ* L 20 *δὲ* VR *ἀστοχοῦντα* PAM 21 *παρεροιζεῖτο* PAV *παρερροίζητο* L *ὁ δὲ*] *τῷ δὲ* AMLVRC et ut uid. Lat Zon *πλευρὰν* C

διασιέλλων καὶ πολλοὺς τῶν ἀντιπροσώπων ἀνατρέπων ἤλαυνεν
ἐπὶ τοὺς ἐρειπομένους τὸν ἵππον. τῶν δὲ κραυγή τε ἦν πρὸς τὸ 63
παράστημα τοῦ Καίσαρος καὶ παρακέλευσις ὁρμᾶν ἐπ' αὐτόν, φυγὴ
δὲ καὶ χωρισμὸς ἄθρους καθ' οὓς ἐπελαύνων γένοιτο. συνῆπτον 64
δὲ οἱ τοῦ κινδύνου μετέχοντες κατὰ νῶτα καὶ κατὰ πλευρὰν νισσό-
μενοι· μία γὰρ ἐλπὶς ἦν σωτηρίας ἑκάστῳ τὸ συνεξανύτειν τῷ
Τίτῳ καὶ μὴ φθάσαντα κυκλωθῆναι. δύο γοῦν τῶν ἀπωτέρω 65
τὸν μὲν σὺν τῷ ἵππῳ περισχόντες κατεκόντισαν, θάτερον δὲ κατα-
πηδήσαντα διαφθείραντες τὸν ἵππον ἀπήγαγον, μετὰ δὲ τῶν λοι-
πῶν Τίτος ἐπὶ τὸ στρατόπεδον διασώζεται. τοῖς μὲν οὖν Ἰουδαίοις 66
πλεονεκτήσασι κατὰ τὴν πρώτην ἐπίθεσιν ἐπήγειρε τὰς διανοίας
ἄσκεπτος ἐλπίς, καὶ πολὺ θάρσος αὐτοῖς εἰς τὸ μέλλον ἡ πρόσ-
καιρος ῥοπὴ προυξένει.

3. Καῖσαρ δ' ὡς αὐτῷ συνέμιξε διὰ νυκτὸς τὸ ἀπὸ τῆς Ἀμ- 67
μαοῦς τάγμα, μεθ' ἡμέραν ἐκεῖθεν ἆρας ἐπὶ τὸν Σκοπὸν καλού-
μενον πρόεισιν, ἔνθεν ἥ τε πόλις ἤδη κατεφαίνετο καὶ τὸ τοῦ ναοῦ
μέγεθος ἐκλάμπτον, καθὰ τῷ βορείῳ κλίματι τῆς πόλεως χθαμαλὸς
συνάπτων ὁ χῶρος ἐτύμως Σκοπὸς ὠνόμασται. τῆς δὲ πόλεως 68
σταδίους ἑπτὰ διέχων ἐκέλευσε περιβαλέσθαι στρατόπεδον τοῖς δύο
τάγμασιν ὁμοῦ, τὸ δὲ πέμπτον τούτων ὀπίσω τρισὶ σταδίοις· κόπῳ
γὰρ τῆς διὰ νυκτὸς πορείας τετρυμένους ἐδόκει σκέπης ἀξίους εἶναι,

---

PAMLVRC Lat Hegesippus V 4 p. 283. Zonaras I p. 526.

1 *ἀντιπρόσωπον* VRC 2 *ὑπὲρ*] *ἐπὶ* P *πρὸς* L *ἐριπομένους* LV¹R *τῶν*] *τὸν* C 3 *παρακέλευσις, ἔλευσις* i. ras. A 4 *δὲ*] *τε* L *καὶ διαχωρισμὸς* LVRC *ἄθρους* VR *συνήπτοντο* LVRC 5 *δ'* C *καὶ* om. C *πλευρὰ* VRC et ex corr. A *τὰ πλευρὰ* M 6 *τὸ* — 7 *κυκλωθῆναι*] *uiam cum tito patefacere prius quam circumuentus opprimeretur* Lat *τὸ*] *τῷ* PC *συνεξανύτειν*] *συνεξανοίγειν* PAMVRC 7 *καὶ* om. CLat fort. recte *φθάσαντα*] *φθάντα* L *φθάσαι* M *φθάσαντι* C *ἀποτέρων* PA *ἀποτέρω* M *ἀπωτέρων* V *ἀποτέρω · R ἀτονωτέρων* LLat 8 *περισχῶντες* C *κατηκόντησαν* C *θάττερον* P *καταπηδήσαντα διαφθείραντες*, litt. *α δι* ex corr. L 10 *τοῖς*] *καὶ τοῖσ* C *μὲν οὖν*] *μὲν* L *quidem* Lat 12 *ἡ* om. PAMVRC *πρόσκαιρος ῥοπὴ*] *προσροπη* P *πρὸσ ῥοπῆ* A *πρόξενοσ ῥπὴ* C 14 *δὲ* VR *ὡς αὐτῷ*] *ὡσαύτωσ* V *ὡσ αὐτῶσ* R *διὰ νυκτὸσ συνέμιξεν* tr. L i. marg. *η'* C *emmaus* (abl.) Lat *Ἀμμαοῦντος* Hudson 15 *μεθ'*] *καὶ μεθ'* LVR 16 *πρόεισιν*] Bekker *πρόσεισιν* codd. Lat *ἔνθεν, ε* ante *ν* ex corr. M *τὸ* om. L 17 *ἐκλάμπων* P *ἔκλαμπρον* VRC *clara* Lat *amplissima* Heg *χθαμαλὸσ, ὸσ* ex corr. M 18 *ὁ* om. L *ἑτοίμωσ* PAMVR 19 *διέχον* C *διέχων ἑπτὰ* tr. L *περιβαλέσθαι*] PAMZon *περιβάλλεσθαι* LVRC 20 *ὁμοῦ* om. PA *τῷ δὲ πέμπτῳ* Lat Hudson *ὀπίσω τούτων* tr. LVRC 21 *τετρυμένους*] Niese *τετριμμένουσ* (*τετρι · μένουσ* R) codd. *attritos* Lat *fessos* Heg *σκέπτησ* R

69 ὡς ἂν ἀδεέστερον τειχίσαιντο. καταρχομένων δ' ἄρτι τῆς δομήσεως
καὶ τὸ δέκατον τάγμα διὰ Ἰεριχοῦντος ἤδη παρῆν, ἔνθα καθῆστό
τις ὁπλιτικὴ μοῖρα φρουροῦσα τὴν ἐμβολὴν ὑπὸ Οὐεσπασιανοῦ
70 προκατειλημμένην. προσετέτακτο δ' αὐτοῖς ἔξ ἀπέχοντας τῶν Ἱε-
ροσολύμων σταδίους στρατοπεδεύσασθαι κατὰ τὸ Ἐλαιῶν καλού- 5
μενον ὄρος, ὃ τῇ πόλει πρὸς ἀνατολὴν ἀντίκειται μέσῃ φάραγγι
βαθείᾳ διειργόμενον, ἣ Κεδρὼν ὠνόμασται.
71 4. Τῶν δ' ἀνὰ τὸ ἄστυ συρρηγνυμένων ἀδιαλείπτως τότε
πρῶτον ἀνέπαυσεν τὴν ἐπ' ἀλλήλοις ἔριν ὁ ἔξωθεν πόλεμος ἐξαίφνης
72 πολὺς ἐπελθών· καὶ μετ' ἐκπλήξεως οἱ στασιασταὶ τοὺς Ῥωμαίους 10
ἀφορῶντες στρατοπεδευομένους τριχῇ κακῆς ὁμονοίας κατήρχοντο
73 καὶ λόγον ἀλλήλοις ἐδίδοσαν, τί μένοιεν ἢ τί παθόντες ἀνέχοιντο
τρία ταῖς ἀναπνοαῖς αὐτῶν ἐπιφρασσόμενα τείχη, καὶ τοῦ πολέμου
μετ' ἀδείας ἀντιπολίζοντος ἑαυτόν, οἱ δ' ὥσπερ θεαταὶ καλῶν καὶ
συμφόρων ἔργων καθέζοιντο τειχήρεις τῷ χεῖρε καὶ τὰς πανοπλίας 15
74 παρέντες; „καθ' αὑτῶν ἄρα γενναῖοι μόνον ἡμεῖς. ἐξεβόησαν, Ῥω-
μαῖοι δὲ ἐκ τῆς ἡμετέρας στάσεως κερδήσουσιν ἀναιμωτὶ τὴν πόλιν."
75 τούτοις ἀθροίζοντες ἀλλήλους παρεκρότουν, καὶ τὰς πανοπλίας ἁρ-
πάσαντες αἰφνιδίως ἐπεκθέουσι τῷ δεκάτῳ τάγματι καὶ διὰ τῆς
φάραγγος ἕλκοντες μετὰ κραυγῆς ἐξαισίου τειχιζομένοις προσπίπ- 20
76 τουσι τοῖς πολεμίοις. οἱ δὲ πρὸς τὸ ἔργον διῃρημένοι καὶ διὰ
τοῦτο τὰ πολλὰ τεθεικότες τῶν ὅπλων, οὔτε γὰρ θαρρήσειν τοὺς
Ἰουδαίους πρὸς ἐκδρομὴν ὑπελάμβανον καὶ προθυμουμένων περι-

PAMLVRCLatHegesippus V 4 p. 284. Zonaras I p. 526. Suidas s. *καθεῖτο ἄδεια. πολεμίζειν. ἀθροίζει. παρεκρότουν. τεθεικότες.*

1 δὲ VR *δωμήσεως* AL 2 *ἔνθα* — 3 *ἐμβολὴν* habet Suidas s. *καθεῖτο καθῆτό* L *καθεῖτό* Suid 4 *κατειλημμένην* L *προστέτακτο* MVR *δὲ* VR *ἀπέχοντες* PA¹ *ἀπέχοντα* L *σταδίους τῶν ἱεροσολύμων* tr. L 7 *βαθεῖα* PM *ἣ*] *ἣν* P *ἥ* A *ἣν* V *κεδρὼν* PAC 8 i. marg. *θ'* C *δὲ* VR 9 *πρῶτος* ut uid. L 10 *πολλὺς* C *οἱ* — 14 *ἑαυτόν* habet Suidas s. *ἄδεια* initium breuians *τοὺς* i. marg. suppl. R 11 *ὁρῶντες* Suid 12 *ἢ* om. Suid *παθόντες*] *πεπονθότες* M 13 *ἀποφρασσόμενα* P¹ *ἀναφρασσόμενα* LSuid *καὶ* — 14 *ἑαυτόν* habet Suidas s. *πολεμίζειν* *καὶ* om. M *πολεμίου* M 14 *μετὰ* L *ἀντιπολίζοντος*] *ἀντιπολεμίζοντος* L Suidas utroque loco *δὲ* VRC 15 *συμφορῶν* VC *καθίζοιντο* L 16 *ἐξεβόησαν, ησ* ex *ων* uid. corr. P *ἐξεβόησέν τισ* LLat fort. recte 17 *δ'* C *κερδήσωσιν* PAVR *ἀναμωτὶ* A 18 *τούτοις* — *παρεκρότουν* habet Suidas *τούτους* Suid *ἀθροίζοντες* VC *ἀλλήλους*] *alios et alios* Lat *ἁρπάσαντες*] *σπάσαντες* VC 19 *αἰφνιδίως* om. P *τῷ*] *τῶ δε τῶ* C 20 *φάρυγγος* M *εἵλκοντες* PAMVRC *δείξαντες* L 21 *πολεμίοις*] *ῥωμαίοις* LLat *οἱ* — 22 *ὅπλων* extant apud Suidam s. *τεθεικότες* *καὶ διὰ τοῦτο* om. Suid *τεθηκότες* L *θαρρήσειν*] L *θαρσεῖν* PAMVRC *ausuros esse* Lat

σπασθήσεσθαι τὰς ὁρμὰς τῇ στάσει, συνεταράχθησαν ἀδοκήτως, καὶ 77
τῶν ἔργων ἀφέμενοι τινὲς μὲν ἀνεχώρουν εὐθέως, πολλοὶ δ' ἐπὶ
τὰ ὅπλα θέοντες πρὶν ἐπιστραφῆναι πρὸς τοὺς ἐχθροὺς ἐφθάνοντο
παιόμενοι. προσεγίνοντο δὲ τοῖς Ἰουδαίοις ἀεὶ πλείους ἐπὶ τῷ 78
κρατεῖν τοὺς πρώτους τεθαρρηκότες, καὶ τῶν ὄντων πολλαπλασίους
ἐδόκουν σφίσι τε καὶ τοῖς πολεμίοις δεξιῷ χρώμενοι τῇ τύχῃ. μά- 79
λιστα δὲ τοὺς ἐν ἕδει συντάξεως ὄντας καὶ μετὰ κόσμου καὶ παρ-
αγγελμάτων πολεμεῖν εἰδότας ἀταξία φθάσασα θορυβεῖ. διὸ καὶ
τότε προληφθέντες οἱ Ῥωμαῖοι ταῖς ἐμβολαῖς εἶχον. καὶ ὁπότε 80
μὲν ἐπιστραφεῖεν οἱ καταλαμβανόμενοι, τοῦ τε δρόμου τοὺς Ἰου-
δαίους ἐπεῖχον καὶ διὰ τὴν ὁρμὴν ἧττον φυλαττομένους ἐτίτρωσκον.
ἀεὶ δὲ πληθυούσης τῆς ἐκδρομῆς μᾶλλον ταραττόμενοι τελευταῖον
ἀπὸ τοῦ στρατοπέδου τρέπονται. καὶ δοκεῖ τότε ἂν κινδυνεῦσαι 81
τὸ τάγμα πᾶν, εἰ μὴ Τίτος ἀγγελθὲν αὐτῷ τάχος ἐπεβοήθησε, καὶ
πολλὰ ὀνειδίσας εἰς ἀνανδρίαν ἐπιστρέφει μὲν τοὺς φεύγοντας,
αὐτὸς δὲ πλαγίοις τοῖς Ἰουδαίοις προσπεσὼν μεθ' ὧν ἦκεν ἐπι- 82
λέκτων συχνοὺς μὲν ἀναιρεῖ, τιτρώσκει δὲ πλείους, τρέπεται δὲ
πάντας καὶ συνωθεῖ κατὰ τῆς φάραγγος. οἱ δ' ἐν τῷ κατάντει 83
πολλὰ κακωθέντες ὡς διεξέπεσον, ἄντικρυς ἐπιστρέφονται καὶ μέσην
ἔχοντες τὴν χαράδραν τοῖς Ῥωμαίοις διεμάχοντο. μέχρι μὲν δὴ μέσης 84
ἡμέρας οὕτως ἐπολέμουν, ὀλίγον δ' ἀπὸ μεσημβρίας ἐκκλίνοντος
ἤδη, Τίτος τοὺς μεθ' αὑτοῦ προσβοηθήσαντας καὶ τοὺς ἀπὸ τῶν
στειρῶν τοῖς ἐκτρέχουσιν ἀντιπαρατάξας τὸ λοιπὸν τάγμα πρὸς
τὸν τειχισμὸν ἀνέπεμπεν εἰς τὴν ἀκρώρειαν.

PAMLVRC Lat Hegesippus V 4 p. 284. Zonaras I p. 526.

1 *συνεταράχθησαν, χ* i. ras. ex *φ* corr. uid. A 2 *ἀφέμενοι*] *ἐφιέμενοι* L *μὲν*] *μὲν οὖν* L *δὲ* LVR 3 *ἐφθάνοντο*] LC Lat *ἐφονεύοντο* PAMVR 6 *τε, τ* ex corr. M *τῇ τύχῃ χρώμενοι* tr. C *χρώμενοι* om. VR 8 *εἰδότας*] *εἰωθότας* Naber 9 *καὶ ὁπότε μὲν*] *si quando tamen* Lat, unde *ὁπότε μέντοι* Destinon 10 *οἱ* spurium putat Destinon 12 *τῆς* om. A *ταρασσόμενοι* P *τελευταῖον* om. VR 13 *δοκεῖ*] *ἐδόκει* LLat *ἂν* om. LVRC 14 *ἀγγελθὲν*] *ἀπαγγελθέντος* L *ἀγγελθέντος* VRC *τάχος*] *διὰ τάχους* LVRC 15 *ἀνανδρείαν* PAV¹R *ἐπι-στρέφῃ* C *μὲν* i. marg. suppl. R 16 *μεθ' — ἐπιλέκτων*] *quos circa se habebat electos* Lat *ἦκεν*] *ἦγεν* M *ἦν* L 17 *συγχνοὺς* V 18 *δὲ* VRC *κατάντει* PRC¹ *κατάντη* A 20 *μέσης ἡμέρας*] *μεσημβρίας* L 21 *ὀλίγον*] *ἡλίγον* ex *ὀλίγου* corr. A *δὲ* VRC 22 *μετ' αὐτοῦ* M *μεθ' ἑαυτοῦ* VRC *τοὺς — προσβοηθήσαντας*] *his qui secum erant in subsidio collocatis* Lat *τοὺς*] *τοῖς* LC *aliis* Lat *ἐκτρέχουσι* PA 23 *πρὸς*] *εἰς* L 24 *ἀπέπεμπεν* A *ἀκρόρειαν* C

85 5. Ἰουδαίοις δὲ τοῦτ' ἐδόκει φυγή, καὶ τοῦ σκοποῦ κατασεί-
σαντος θοιμάτιον, ὃς αὐτοῖς ἐπὶ τοῦ τείχους καθῆστο, προτιθῶσι
πλῆθος ἀκραιφνέστερον μετὰ τοσαύτης ὁρμῆς, ὡς τὸν δρόμον αὐτῶν
86 τοῖς ἀγριωτάτοις εἰκάζειν θηρίοις. ἀμέλει τῶν ἀντιπαραταχθέντων
οὐδεὶς ἔμεινεν τὴν συμβολήν, ἀλλ' ὥστερ ἐξ ὀργάνου παιόμενοι
87 διέρρηξαν τὴν τάξιν καὶ πρὸς τὸ ὄρος τραπέντες ἀνέφευγον. λείπεται
δ' ἐν μέσῳ τῷ προσάντει Τίτος μετ' ὀλίγων, καὶ πολλὰ τῶν φίλων
παραινούντων, ὅσοι δι' αἰδῶ τὴν πρὸς τὸν ἡγεμόνα τοῦ κινδύνου
88 καταφρονήσαντες ἔστησαν, εἶξαι θανατῶσιν Ἰουδαίοις καὶ μὴ προ-
κινδυνεύειν τούτων, οὓς ἐχρῆν πρὸ αὐτοῦ μένειν, λαμβάνειν δὲ ἔννοιαν
τῆς καθ' αὑτὸν τύχης καὶ μὴ στρατιώτου τάξιν ἀποπληροῦν ὄντα
καὶ τοῦ πολέμου καὶ τῆς οἰκουμένης δεσπότην, μηδ' ὀξεῖαν οὕτως
89 ὑφίστασθαι ῥοπὴν ἐν ᾧ σαλεύει τὰ πάντα, τούτων οὐδ' ἀκούειν
ἔδοξε, τοῖς δὲ καθ' αὑτὸν ἀνατρέχουσιν ἀνθίσταται καὶ κατὰ στόμα
παίων βιαζομένους ἀνῄρει κατά τε τοῦ πρανοῦς ἀθρόοις ἐμπίπτων
90 ἀνεώθει τὸ πλῆθος. οἱ δὲ πρός τε τὸ παράστημα καὶ τὴν ἰσχὺν
καταπλαγέντες οὐδ' οὕτως μὲν ἀνέφευγον εἰς τὴν πόλιν, καθ' ἕτερον
δ' ἐκκλίνοντες ἀπ' αὐτοῦ τοῖς ἀνωτέρω φεύγουσι προσέκειντο. καὶ
91 τούτοις δὲ κατὰ πλευρὰν προσβάλλων τὰς ὁρμὰς ὑπετέμνετο. κἀν
τούτῳ καὶ τοῖς ἄνω τειχίζουσι τὸ στρατόπεδον, ὡς ἐθεάσαντο τοὺς
92 κάτω φεύγοντας, πάλιν ἐμπίπτει ταραχὴ καὶ δέος, καὶ διασκίδναται

PAMLVRCLatHegesippus V 4 p. 284.

1 i. marg. *ι'* C *τοῦτο* LVR 2 *θοιμάτιον*] *θυμάτιον* P *τὸ ἱμάτιον* L 3 *ἀκραιφνέστατον* L *frequentissima* Lat 4 *ἀγριοτάτοις* P *παραταχθέντων* VRC 5 *συμβολήν*] *ἐμβολὴν* LC *συμβουλὴν* R *impetum* Lat *παιόμενοι* om. C 6 *ἔρρηξαν* P *ἔρηξαν* A 7 *δὲ* VR *τῷ*] *τῶν* PA¹M *προσάντῃ* PA *προσάντι* V¹RC¹ 8 *παραινούντων τῶν φίλων* tr. L *τὴν*] *τῇ* PA¹RC *τῇι* V 9 *θανατώσειν* C 10 *οὓς — μένειν*] *quos ante ipsum saluos esse non oporteret* Lat *πρὸ αὐτοῦ*] *πρὸσ ἑαυτοὺσ* L *λαμβάνειν* — 13 *ῥοπὴν*] *sed potius fortunam suam reputaret, quod non militis officio fungeretur uerum et belli et orbis dominus esset, ne in fugam uerti uideretur* Lat *λαμβάνει* R *λαμβάνειν δὲ*, litt. *ειν δὲ* i. ras. 3 litt. V *δ'* LC 11 *τάξι** C *ἀποπληροῦν ὄντα*] *ἀποπληροῦντα τὸν* L *ἀποπληροῦντα* VRC 12 *μηδ' ὀξεῖαν*] *μὴ δόξειεν* LLat *μηδ'*] *μηδὲ* VR, om. C *ὀξείαν, εἰ* ex *έ* corr. A *ῥοπὴν*] *τροπὴν* VRCLat 13 *τούτων*] *τούτων δ'* LLat *οὐδ'*] *οὐκ* M *οὐδὲ* VR *οὐδὲν* C 14 *κατ' αὐτὸν* AMVRC 15 *ἀθρόοις, ι* ex corr. P *κατὰ — ἐμπίπτων*] *et in galeam repente incumbens* Lat, quem *κράνους* et *ἀθρόως* habuisse putat Destinon 16 *ἰσχὺν*] *ὁρμὴν* Dindorf 17 *οὐδὲ* VR *οὕτω* VRC *ἕτερον*] *ἑκάτερον* LVRCLat 18 *δὲ* VR *προσέκειτο* P 19 *πλευρὰ* L; cf. p. 443,5 *προσβαλὼν* C 20 *καὶ*] *κἂν* VC *κἀν* R *ἐθεάσαντο, ν* s. L 21 *κάτω φεύγοντας*] *καταφεύγοντασ* C *φεύγοντασ*, litt. *φεύγον* i. ras. A *πάλιν* om. Lat *διασκίδναται, ί* i. ras. corr. M

λὰν τὸ τάγμα, δοκούντων ἀνυπόστατον μὲν εἶναι τὴν τῶν Ἰουδαίων ἐκδρομήν, τετράφθαι δ' αὐτὸν Τίτον· οὐ γὰρ ἂν ποτε τοὺς ἄλλους φεύγειν ἐκείνου μένοντος. καὶ καθάπερ πανικῷ δείματι κυκλωθέντες 93
ἄλλος ἀλλαχῇ διεφέροντο, μέχρι τινὲς κατιδόντες ἐν μέσῳ τοῦ πολέμου τὸν ἡγεμόνα στρεφόμενον καὶ μέγα δείσαντες ἀμφ' αὐτῷ διαβοῶσι τὸν κίνδυνον ὅλῳ τῷ τάγματι. τοὺς δ' αὖθις ἐπέστρεψε, 94
καὶ πλεῖόν τι φυγῆς κακίζοντες ἀλλήλους ἐπὶ τῷ καταλιπεῖν Καίσαρα πάσῃ βίᾳ κατὰ τῶν Ἰουδαίων ἐχρῶντο καὶ κλίναντες ἅπαξ ἀπὸ τοῦ κατάντους συνώθουν αὐτοὺς εἰς τὸ κοῖλον. οἱ δ' ὑπὸ 95
πόδα χωροῦντες ἐμάχοντο, καὶ πλεονεκτοῦντες οἱ Ῥωμαῖοι τῷ καθύπερθεν εἶναι συνελαύνουσι πάντας εἰς τὴν φάραγγα. προσέκειτο 96
δὲ τοῖς καθ' αὐτὸν ὁ Τίτος καὶ τὸ μὲν τάγμα πάλιν ἐπὶ τὴν τειχοποιίαν ἔπεμψεν, αὐτὸς δὲ σὺν οἷς πρότερον ἀντιστὰς εἶργε τοὺς πολεμίους· ὥστ', εἰ χρὴ μήτε θεραπείᾳ τι προστιθέντα μήθ' ὑφε- 97
λόντα φθόνῳ τἀληθὲς εἰπεῖν, αὐτὸς Καῖσαρ δὶς μὲν ἐρύσατο κινδυνεύσαν ὅλον τὸ τάγμα καὶ τοῦ περιβαλέσθαι τὸ στρατόπεδον αὐτοῖς ἄδειαν παρέσχε.

III. 1. Ἀωφήσαντος δὲ περὶ βραχὺ τοῦ Θύρσου πολέμου πάλιν 98
τὸν ἔνδον ἡ στάσις ἐπήγειρεν. καὶ τῆς τῶν ἀζύμων ἑνστάσης ἡμέρας 99
τεσσαρεσκαιδεκάτῃ Ξανθικοῦ μηνός, ἐν ᾗ δοκοῦσιν Ἰουδαῖοι τὸν πρῶτον ἀναλαγεῖναι καιρὸν Αἰγυπτίων, οἱ μὲν περὶ τὸν Ἐλεάζαρον παρανοίγοντες τὰς πύλας ἐδέχοντο ἐκ τοῦ δήμου τοὺς προσκυνεῖν ἐθέλοντας εἴσω, Ἰωάννης δὲ προκάλυμμα τῆς ἐπιβουλῆς ποιησάμενος 100

PAMLVRC Lat Hegesippus V 4 p. 285. Zonaras I p. 527.

1 *πᾶν* iterauit A^1 *ἀνύπόστατον, π* ex corr. L *μὲν* s. P 2 *δὲ* VRC *αὐτὸν* om. Lat *Τίτον* om. VR *γὰρ ἂν ποτε*] *γάρ ποτε* L 3 *φεύγειν*] *φυγεῖν* VRC *καὶ καθάπερ*] *καθάπερ γὰρ* M *καὶ — κυκλωθέντες* om. R 4 *ἀλλαχοῦ* PAM *διεφέροντο, έ* ex corr. A *τινὸς κατιδόντος* L 5 *ἀμφ'*] *ἐπ'* L *αὐτῷ ·*, eras. *ν* A 6 *δὲ* VRC 7 *τῷ*] *τὸ* L *καταλειπεῖν* PA 8 *καὶ — 9 κατάντους*] *et semel ad descensum transuersi* Lat *κλίναντας* Hudson 9 *συνεώθουν* reponendum uid. *δὲ* LVRC *ἐπὶ πόδα ὑποχωροῦντες* Herwerden 10 *τῷ*] *τὸ* PC 12 *δὲ* om. C 13 *δὲ* s. A *οἷς*] *τοῖσ* M *εἰσ* V^1 *εἶργε* AC 14 *ὥστ' εἰ*] ex corr. A *ὥστε* PA^1 *ὥστε εἰ* MLVRC *itaque si me* Lat *προσθέντα* Destinon *μήθ'*] *μήτε* LVR 15 *τὸ ἀληθὲσ* LVR *αὐτὸσ μὲν* C *κινδυνεῦον* (*ο* ex corr. V) VRC 16 *περιβαλλέσθαι* PA^1L *τὸ*] suppl. P *δὲ τὸ* VRC *αὐτοῖς* s. P 18 i. marg. *ια'* C *λοφήσαντοσ* VRC *θύρσε*] *θύραθεν* LZon fort. recte 19 *τὸν ἔνδον ἡ στάσις ἐπήγειρεν*] LLat *ἔνδον ἡ στάσισ (ἐπεγείρετο* P) *ἐπηγείρετο* PAMVRC *τοῖς ἔνδον ἡ στάσις ἠγείρετο* Zon 20 *τεσσαρισκαιδεκάτη* A *οἱ Ἰουδαῖοι* VRC

τὴν ἑορτὴν τῶν σὺν αὐτῷ κρυπτοῖς ὅπλοις ἐνσκευάσας τοὺς ἀσημοτέρους, ὧν οἱ πλείους ἦσαν ἄναγνοι, διὰ σπουδῆς παρεισπέμπει προκαταλη|ψομένους τὸ ἱερόν. οἱ δ' ὡς ἔνδον ἐγένοντο. τὰς ἐσθῆτας
101 ἀπορρίψαντες ἐφάνησαν ἐξαπίνης ὁπλῖται. ταραχὴ δὲ μεγίστη περὶ τὸν ναὸν αὐτίκα καὶ θόρυβος ἦν, τοῦ μὲν ἔξω τῆς στάσεως λαοῦ κατὰ πάντων ἄκριτον οἰομένων εἶναι τὴν ἐπίθεσιν, τῶν δὲ ξηλωτῶν
102 ἐπὶ σφίσι μόνοις. ἀλλ' οἱ μὲν ἀφέμενοι τὸ φρουρεῖν ἔτι τὰς πύλας καὶ τῶν ἐπάλξεων καταπηδήσαντες πρὶν εἰς χεῖρας ἐλθεῖν εἰς τοὺς ἐπονόμους τοῦ ἱεροῦ κατέφυγον· οἱ δ' ἀπὸ τοῦ δήμου πρὸς τῷ βωμῷ καταττήσσοντες καὶ περὶ τὸν ναὸν συνειλούμενοι κατεπα-
103 τοῦντο ξύλοις τε ἀνέδην παιόμενοι καὶ σιδήρῳ. πολλοὺς δὲ τῶν ἡσυχίων κατ' ἔχθραν καὶ μῖσος ἴδιον ὡς ἀντιστασιαστὰς ἀνῄρουν οἱ διάφοροι. καὶ πᾶς ὁ προσκρούσας τῳ τῶν ἐπιβούλων πάλαι τηνι-
104 καῦτα ἐπιγνωσθεὶς ὡς ξηλωτὴς πρὸς αἰκίαν ἀνήγετο. πολλὰ δὲ δεινὰ τοὺς ἀναιτίους διαθέντες ἐχεχειρίαν τοῖς αἰτίοις ἔδοσαν. καὶ προελθόντας ἐκ τῶν ὑπονόμων διέσαν. αὐτοὶ δὲ καὶ τὸ ἐνδότερον ἱερὸν κατασχόντες καὶ τὰς ἐν αὐτῷ παρασκευὰς πάσας κατεθάρρουν
105 ἤδη τοῦ Σίμωνος. ἡ μὲν οὖν στάσις οὕτω τριμερὴς οὖσα πρότερον εἰς δύο μοίρας περιίσταται.

106 2. Ὁ δὲ Τίτος ἔγγιον ἀπὸ τοῦ Σκοποῦ τῇ πόλει παραστρατοπεδεύσασθαι προαιρούμενος πρὸς μὲν τοὺς ἐκτρέχοντας ἔστησεν ἐπιλέξας ἱππέων τε καὶ πεζῶν ὅσους ἀρκέσειν ὑπελάμβανεν, τῇ δ' ὅλῃ δυνάμει προσέταξεν ἐξομαλίζειν τὸ μέχρι τοῦ τείχους διάστημα.

PAMLVRC Lat Hegesippus V 4 p. 285. Zonaras I p. 527.

1 *συναυτῶ* PAC *κρυπτοῖς*] *sub ueste latentibus* Lat *ἐνσκευάσας*] L *συσκευάσασ* PAMVRC 2 *ὧν* — 3 *ἱερόν*] *quorum plerique de industria ingressi erant occulte inter eos fani occupandi gratia submittit* Lat *σποδῆσ* C 3 *δὲ* VR 4 *ἀπορίψαντεσ* L 5 *ἔξωθεν* L 6 *οἰομένων*] *οἰηθέντων* L *εἶναι*] *εἶναι δὲ* L *δὲ* om. L 7 *τὸ*] *τοῦ* LC *ἔτι*] *ἐπὶ* L 8 *καὶ*] *et alii* Lat 9 *δὲ* VRC *πρὸς*] *ἐπὶ* L *τῷ*] *τὸ* R 11 *ἀναίδην* LV¹R 12 *ἀντιστασιά·|στὰσ* A 13 *τῳ*] Destinon *τῶ* PAL *τινὶ* VRC, om. M *πάλαι*] *πάλαι τινὶ* M 14 *ὡς*] MCLat, om. PALVR *ξηλωτ-σ, η* ex *ἡ* corr. L *ἀνήγετο*] *ἐνήγετο* PAM *ἀνελέγετο* VRC *ducebatur* Lat, quare *ἤγετο* fort. scribendum 15 *ἀναιτίουσ, ἀν*ε *i. marg. suppl.* R 16 *προελθόντασ* A *προσελθόντασ* VC *διήεσαν* M *τὸ*] *τῶ* A *ἐνδοτέρω* AVRC fort. recte *ἱερῶ* C 17 *κατεθάρρουν* C 18 *τριμερὶσ* PA 20 *ἔγγιον*] *ἀντίοσ* L i. marg. *ιβ'* C *παραστρατοπεδεύσασθαι τῇ πόλει* tr. L 22 *τε* om. L *δὲ* VRC 23 *ὅλῃ*] *ἄλλῃ* uertit Lat *ἐξομαλίσαι* Zon

καταβληθέντος δὲ παντὸς ἔρκους καὶ περιφράγματος, ὅσα κήπων 107
προσανεπήσαντο καὶ δένδρων οἱ οἰκήτορες. ἴλιγξ τε ἡμέρου τῆς μεταξὺ
πάσης ἐκκοπείσης ἀνεπλήσθη μὲν τὰ κοῖλα καὶ χαραδρώδη τοῦ
τόπου, τὰς δὲ περιόδους ἐξοχὰς σιδήρου κατεργαζόμενοι χθαμαλὸν 108
ἐποίουν πάντα τὸν τόπον ἀπὸ τοῦ Σκοποῦ μέχρι τῶν Ἡρώδου μνη-
μείων, ἃ προσέχει τῇ τῶν ὄφεων ἐπικαλουμένῃ κολυμβήθρᾳ.

3. Καὶ κατὰ ταύτας τὰς ἡμέρας ἐνέδραν οἱ Ἰουδαῖοι κατὰ τῶν 109
Ῥωμαίων συσκευάζονται τοιάνδε. τῶν στασιαστῶν οἱ τολμηροὶ 110
προελθόντες ἔξω τῶν Γυναικείων καλουμένων πύργων, ὡς ἐκβε-
βλημένοι δῆθεν ὑπὸ τῶν εἰρηνικὰ φρονούντων καὶ δεδοικότες τὴν
τῶν Ῥωμαίων ἔφοδον ἀνειλοῦντο καὶ παρ' ἀλλήλους ὑπέπτησσον.
οἱ δὲ διαστάντες ἐπὶ τοῦ τείχους δῆμος εἶναι δοκῶν εἰρήνην ἐβόων 111
καὶ δεξιὰν ᾔτουν καὶ τοὺς Ῥωμαίους ἐκάλουν ἀνοίξειν ὑπισχνού-
μενοι τὰς πύλας· ἅμα δὲ ταῦτα κεκραγότες καὶ τοὺς σφετέρους
ἔβαλλον λίθοις ὡς ἀπελαύνοντες τῶν πυλῶν. κἀκεῖνοι διάζεσθαι 112
τὰς εἰσόδους ὑπεκρίνοντο καὶ τοὺς ἔνδον ἐκετεύειν, συνεχῶς τε πρὸς
τοὺς Ῥωμαίους ὁρμήσαντας ἐπιστρεφόμενοι ταραττομένοις προσ-
εφέρεσαν. παρὰ μὲν οὖν τοῖς στρατιώταις τὸ πανοῦργον αὐτῶν 113
οὐκ ἐλείπετο πίστεως, ἀλλ' ὡς τοὺς μὲν ἐν χερσὶν ἔχοντες
ἑτοίμους πρὸς τιμωρίαν, τοὺς δὲ ἀνοίξειν τὴν πόλιν ἐλπίζοντες
ἐχώρουν ἐπὶ τὴν πρᾶξιν. Τίτῳ δὲ δι' ὑποψίας ἦν τὸ τῆς ἐπικλή- 114
σεως παράλογον· καὶ γὰρ πρὸ μιᾶς ἡμέρας προκαλούμενος αὐτοὺς
ἐπὶ συμβάσεις διὰ τοῦ Ἰωσήπου μέτριον οὐδὲν εὕρισκε· καὶ τότε
τοὺς στρατιώτας κατὰ χώραν μένειν ἐκέλευσεν. ἔφθασαν δέ τινες 115

PAMLVRCLatHegesippus V 6 p. 286. Zonaras I p. 527.

1 *καταβληθέντος*] *καταληφθέντοσ* Lips *περιφραγμάτων* L *διαφράγματοσ* P 2 *δενδρώνων* Destinon 3 *ἐκκοπήσησ* P *χαραδρόδη* P 4 *πετρώδησ* PA¹ 5 *ἐποίουν — τῶν*] om. R i. marg. suppl. Lips *τόπον*] *χῶρον* (ex *χρόνον* corr. V) LVCLips 6 *ἃ — κολυμβήθρᾳ*] (*monumenta*) *serpentium stagna continentia, quae colymbethra uocatur* Lat *προσέχει*] *προσεῖχε* (—*ειν* L) LVRC *τῇ·* A *καλουμένῃ* Bekker 7 *κατὰ, κα* s. A *κατὰ ταύτας*] *κατ' αὐτὰσ* VR *οἱ ἰουδαῖοι κατὰ τῶν ῥωμαίων ἐνέδραν* tr. AMLVRC 8 *οἱ*] *οἱ μὲν* AMVRC *τολμηρότατοι* L *τολμηρότεροι* VRCZon *audacissimi* Lat 9 *προσελθόντεσ* L *πύργων καλουμένων* tr. L 11 *ἀνειλοῦντο*] *ἐνειλοῦντο* LC *ibidem uersabantur* Lat *ἦσαν εἰλούμενοι* Zon *ἀλλήλοισ* RC 12 *δῆμοσ εἶναι δοκῶν*] *δῆμοσ δ' εἶναι ἐδόκει* L *populumque se esse simulantes* Lat 13 *τοὺς* om. L 16 *ὑπεκρίναντο* VR 17 *ὁρμήσαντεσ* ALLat *ταρατ·τομένοισ* (eras. *ο*) A *προσεώκεσαν* AMVRC 18 *οὖν* om. P *στρατιώται* A¹ 19 *ἐπελείπετο* L *ἐλίπετο* C *ἔχοντεσ* om. VRC 20 *δ'* C *ἐλπίζοντεσ*, *εσ* ex *ασ* corr. A 21 *δι'*] s. A om. R 23 *ηὕρισκεν* L 24 *ἐκέλευσε* P *ἔφθασαν*] *φθάνουσι* Dindorf

τῶν ἐπὶ τοῖς ἔργοις προτεταγμένων ἁρπάσαντες τὰ ὅπλα πρὸς τὰς
116 πύλας ἐκδραμεῖν. τούτοις οἱ μὲν ἐκβεβλῆσθαι δοκοῦντες τὸ πρῶτον
ὑπεχώρουν, ἐπεὶ δὲ μεταξὺ τῶν τῆς πύλης ἐγίνοντο πύργων, ἐκθέ-
117 οντες ἐκυκλοῦντό σφας καὶ προσέκειντο κατόπιν· οἱ δ' ἀπὸ τοῦ
τείχους πλῆθος χερμάδων καὶ βελῶν παντοίων ἄθρουν κατέχεαν,
118 ὡς συχνοὺς μὲν ἀνελεῖν, τρῶσαι δὲ πλείστους. ἦν γὰρ οὐ ῥᾴδιον
τοῦ τείχους διαφυγεῖν τῶν κατόπιν βιαζομένων, καὶ ἄλλως αἰδὼς
τῆς διαμαρτίας καὶ τῶν ἡγεμόνων δέος παρεκελεύετο τῷ πταίσματι
119 προσλιπαρεῖν. διὸ δὴ μέχρι πλείστου διαδορατιζόμενοι καὶ πολλὰς
ὑπὸ τῶν Ἰουδαίων λαμβάνοντες πληγάς, ἀμέλει δ' οὐκ ἐλάττους
ἀντιδιδόντες, τέλος ἀνωθοῦσι τοὺς κυκλωσαμένους· ὑποχωροῦσι δ'
αὐτοῖς οἱ Ἰουδαῖοι καὶ μέχρι τῶν Ἑλένης μνημείων εἵποντο βάλ-
λοντες.

120 4. Ἔπειθ' οἱ μὲν ἀπειροκάλως ἐξυβρίζοντες εἰς τὴν τύχην ἔσκω-
πτόν τε τοὺς Ῥωμαίους δεδεασθέντας ἀτάτῃ καὶ τοὺς θυρεοὺς
121 ἀνασείοντες ἐσκίρτων καὶ μετὰ χαρᾶς ἀνεβόων. τοὺς δὲ στρατιώ-
τας ἀπειλή τε τῶν ταξιάρχων καὶ χαλεπαίνων Καῖσαρ τούτοις ἐξε-
δέχετο, φάσκων ὡς Ἰουδαῖοι μέν, οἷς ἀτόνοια μόνη στρατηγεῖ, πάντα
μετὰ προνοίας πράττουσι καὶ σκέψεως ἐπιβουλάς τε συντάσσοντες
καὶ λόχους, ἕπεται δ' αὐτῶν ταῖς ἐνέδραις καὶ τύχη διὰ τὸ πειθή-
122 νιον καὶ τὴν πρὸς ἀλλήλους εὔνοιάν τε καὶ πίστιν· Ῥωμαῖοι δέ,
οἷς δι' εὐταξίαν καὶ τὸ πρὸς τοὺς ἡγεμόνας εὐπειθὲς ἀεὶ δουλεύει
καὶ τύχη, νῦν ὑπὸ τῶν ἐναντίων πταίουσι καὶ διὰ χειρῶν ἀκρασίαν
ἁλίσκονται, τὸ πάντων αἴσχιστον, ἀστρατήγητοι μαχόμενοι παρόντος

PAMLVRC Lat Hegesippus V 6 p. 286. Zonaras I p. 527. Suidas s. *ἀκρασία*.

1 *προτεταγμένων*] ed. pr. *προστεταγμένων* PAMVRC *προστεταγμένοι* L *adpositi* Lat 2 *τούτους* R 3 *τῶν* ex *τοῦ* corr. A *πύλης*] *πύλεως* L *portae* Lat *ἐγένοντο* MLRC Zon 4 *σφᾶς* PA *σφᾶσ* MLVRC *δὲ* VR 5 *παντοίων βελῶν* tr. C *ἄθρουν* L *ἀθροῦν* (ἁ- R) VR 6 *ὥστε* LVRC *μὲν* om. PAM *πλείους* Zon 7 *διαφυγεῖν*] *καταφυγεῖν* VRC *diffugere* Lat *διεκφυγεῖν* Niese *κατόπι* A¹ *αἰδὼς* — 8 *δέος*] *pudor quia rectores peccauerint itemque metus* Lat 8 *καὶ τῶν ἡγεμόνων*] M et ex corr. A *τῶν ἡγεμόνων καὶ* PA¹LVRCLat *τῷ* om. L 10 *δὲ* VR *ἔλαττον* P 11 *δὲ* VR 12 *καὶ* om. AMVRLat fort. recte *ἐλένησ* PALV 14 *ἔπειτα* VRC *ἀπειροκάλως ἐξυβρίζοντες*] *ἄπειροι καλῶσ ἐξύβριζον* L *insolenter* (*fortunae*) *maledicentes* Lat *ἔσκοπτον* R 15 *δεδεασθέντεσ* C *ὡς δεδεασθέντας* Destinon *θυραιοὺσ* PA 16 *τοὺς δὲ* — 18 *ὡς*] *milites autem interminatio principum et caesar iratus huiusmodi oratione corripuit* Lat 17 *ταξιαρχῶν* (ξ i. ras. C) LVRC *τούτοις*] *τούτουσ* A, om. ed. pr. 18 *φάσκων* om. L *φάσκων ὡς* om. VRC *οἷς*] *ὧν* (sic) L 20 *δὲ* PVRC *πειθήνιον* C 21 *ῥωμαίοισ* L 22 *εὐπιθὲσ* A *ἀεὶ* om. Lat 23 *νῦν*] *νῦν δ'* PA *νῦν δὲ* VR *διὰ* — 24 *ἁλίσκονται* habet Suidas

Καίσαρος. ἦ μεγάλα μὲν στενάξειν ἔφη τοὺς τῆς στρατείας νόμους, 123
μεγάλα δὲ αὐτοῦ τὸν πατέρα τήνδε τὴν πληγὴν πυθόμενον, εἴ γε 124
ὁ μὲν ἐν πολέμοις γηράσας οὐδέποτ' ἔπταισεν οὕτως, οἱ νόμοι δ'
ἀεὶ καὶ τοὺς βραχύ τι τῆς τάξεως παρακινήσαντας θανάτῳ κολά-
ζουσιν, νῦν δ' ὅλην στρατιὰν ἑωράκασι λιποτάκτην. γνώσεσθαί γε 125
μὴν αὐτίκα τοὺς ἀπαυθαδισαμένους, ὅτι καὶ τὸ νικᾶν παρὰ Ῥω-
μαίοις δίχα παραγγέλματος ἀδοξεῖται. τοιαῦτα διατεινάμενος πρὸς 126
τοὺς ἡγεμόνας δῆλος ἦν κατὰ πάντων χρήσεσθαι τῷ νόμῳ. καὶ
οἱ μὲν παρεῖσαν τὰς ψυχὰς ὡς ὅσον οὔπω τεθνηξόμενοι δικαίως.
περιχθέντα δὲ τὰ τάγματα τῷ Τίτῳ περὶ τῶν συστρατιωτῶν ἱκέ- 127
τευε καὶ τὴν ὀλίγων προπέτειαν χαρίσασθαι τῇ πάντων εὐπειθείᾳ
κατηντιβόλουν· ἀναλήψεσθαι γὰρ τὸ παρὸν πταῖσμα ταῖς εἰς τὸ
μέλλον ἀρεταῖς.

5. *Πείθεται Καῖσαρ ἅμα ταῖς τε ἱκεσίαις καὶ τῷ συμφέροντι·* 128
τὴν μὲν γὰρ καθ' ἑνὸς τιμωρίαν ὤφειλο χρῆναι μέχρις ἔργου προ-
κόπτειν, τὴν δ' ἐπὶ πλήθους μέχρι λόγου. τοῖς μὲν οὖν στρατιώταις 129
διηλλάττετο πολλὰ νουθετήσας αὖθις εἶναι φρονιμωτέρους, αὐτὸς
δ' ὅπως ἀμυνεῖται τὴν Ἰουδαίων ἐπιβουλὴν ἐσκόπει. τέσσαρσι δ' 130
ἡμέραις ἐξισωθέντος τοῦ μέχρι τῶν τειχῶν διαστήματος, βουλόμενος
μετὰ ἀσφαλείας τάς τε ἀποσκευὰς καὶ τὸ λοιπὸν πλῆθος παράγειν
τὸ καρτερώτατον τῆς δυνάμεως ἀντιπαρεξέτεινεν τῷ τείχει κατὰ τὸ

PAMLVRCLatHegesippus V 7 p. 287. Zonaras I p. 527. Suidas s. *ἀδοξεῖται.*

1 ἦ] ὡς VR ἔφη στενάξειν tr. L στενάζειν R στρατιᾶς VRC 2 δ' LC αὐτοῦ Bekker τήνδε τὴν, δ ex τ corr., τὴν s. V ποιθόμενον R 3 ἐν τοῖς πολέμοις M οὐδέποτε PLVRC δὲ VR 4 ἀεὶ] *cum* (h. e. εἰ) Lat 5 δ'] δὲ VR, om. L Lat λιποτάκτῖν ex λιποτακτεῖν corr. A λειποτάκτιν M λειποτακτεῖν LVRC *deseruisse* Lat γνώσεσθε PV 6 μὴν δ' αὐτίκα L ὑπανθαδισαμένους PAV¹ ὑπανθαδιασαμένους RV² ἀπανθαδιασαμένους C τὸ — 7 ἀδοξεῖται habet Suidas s. ἀδοξεῖται 7 δίχα] ἄνευ Suid ἀδοξεῖται γὰρ Suid 8 χρήσεσθαι] Destinon χρήσασθαι PL χρῆσθαι AMVRC (*quod*) *erat usurus* Lat 9 παρεῖσαν] παρῆσαν ML παρείθησαν (εἰ ex ε corr. C) VRC ψυχὰς ὡς ex ψυχὰς corr. M οὔπω] οὐδέπω AMVRC οὐδεπώποτε L 10 συστρατιωτῶν] στρατιωτῶν MC ἱκέτευε] ἐκέλευε VR 11 ὀλίγον L ὀλίγην VR 12 κατηντιβό·λουν, eras. *υ* A γὰρ] γὰρ αὐτοὺς AMLVRC 14 ταῖς, αῖς i. ras. A τε om. P ἱκετείαις L 15 ᾤφετο] PAMCLat ὡστὸ LVR χρῆναι] κρῖναι C 16 δὲ VRC πλῆθους, *υ* ex corr. A 17 διηλάττετο PRC φρονημωτέρους AR 18 δὲ LVRC ἀμυνεῖται] i. ras. A ἀμύνηται PL τὴν Ἰουδαίων, litt. τὴν *Io* i. ras. maiore A τέσσαρσι δ'] τέσσαρσίν τε L τέσσαρσι δὲ VR 19 ἐξισοθέντος A 20 μετ' VR παραγαγεῖν MLVRC 21 δυνάμεως] δυνάμεως ἀντιπαραγαγεῖν C κατὰ — 452,1 ἑσπέραν] *a septentrionali tractu in occiduum* Lat

βόρειον κλίμα καὶ πρὸς ἑσπέραν ἐφ' ἑπτὰ βαθύνας τὴν φάλαγγα,
131 τῶν τε πεζῶν προτεταγμένων καὶ κατόπιν τῶν ἱππέων, τριστοίχων
132 ἑκατέρων, ἕβδομοι κατὰ μέσον εἱστήκεσαν οἱ τοξόται. τοσούτῳ δὲ
στίφει πεφραγμένον Ἰουδαίοις τῶν ἐκδρομῶν τά τε ὑποζύγια τῶν
133 τριῶν ταγμάτων καὶ ἡ πληθὺς ἀδεῶς παρώδευσεν. αὐτὸς μὲν οὖν
Τίτος ἀντέχων ὅσον εἰς σταδίους δύο τοῦ τείχους κατὰ τὸ γωνιαῖον
αὐτοῦ μέρος ἀντικρὺ τοῦ καλουμένου Ψηφίνου πύργου στρατοπε-
δεύεται, πρὸς ὃν ὁ κύκλος τοῦ τείχους ἀπ' ἄρκτων καθήκων ἀνα-
134 κάμπτει πρὸς δύσιν· ἡ δ' ἑτέρα μοῖρα τῆς στρατιᾶς κατὰ τὸν Ἰπ-
πικὸν προσαγορευθέντα πύργον τειχίζεται διεστῶσα τῆς πόλεως
135 ὁμοίως δύο σταδίους. τὸ μέντοι δέκατον τάγμα κατὰ χώραν ἐπὶ
τοῦ Ἐλαιῶν ὄρους ἔμενε.

136 IV. 1. Τρισὶ δ' ὠχυρωμένη τείχεσιν ἡ πόλις καθ' ἣν μὴ ταῖς
ἀβάτοις φάραγξι κεκύκλωτο, ταύτῃ γὰρ εἷς ἦν περίβολος, αὐτὴ μὲν
ὑπὲρ δύο λόφων ἀντιπρόσωπος ἔκτιστο μέσῃ φάραγγι διῃρημένων.
137 εἰς ἣν ἐπάλληλοι κατέληγον αἱ οἰκίαι. τῶν δὲ λόφων ὁ μὲν τὴν
ἄνω πόλιν ἔχων ὑψηλότερός τε πολλῷ καὶ τὸ μῆκος ἰσθύτερος ἦν·
διὰ γοῦν τὴν ὀχυρότητα φρούριον μὲν ὑπὸ Δανίδου τοῦ βασιλέως
ἐκαλεῖτο, πατὴρ Σολομῶνος ἦν οὗτος τοῦ τὸν πρῶτον ναὸν κτί-
σαντος, ἡ ἄνω δὲ ἀγορὰ πρὸς ἡμῶν· ἄτερος δὲ ὁ καλούμενος Ἄκρα
138 καὶ τὴν κάτω πόλιν ὑφεστὼς ἀμφίκυρτος. τούτου δ' ἀντικρὺς τρίτος

PAMLVRC Lat Zonaras I p. 528.

1 ἑσπέραν] τὸ ἑσπέριον L ἐφ' ἑπτὰ βαθύνας τὴν φάλαγγα] *septenos per ordinem — altius ualle depressa* Lat τὴν φάραγγα MLat 2 τε] δὲ L τριστοιχον PA τριστοιχῶν L 3 ἕβδομοι — τοξόται] *cum singuli septenos ordines haberent semoti stabant sagittarii* Lat ἕβδομοι δὲ κατὰ M μέσονσ L εἱστήκεισαν (εἰ- AC) AVRC 4 πεφραγμένων] PAMVRCZon περιπεφραγμένων L *circumclusis* Lat 5 καὶ om. PA παρώδευσεν P 6 ὅσον εἰς] om. L ὅσον M ὅσον εἰ R *prope* Lat 7 ἄντικρυσ PAMLV ἀντικρὺσ R ψηφίνου καλουμένου tr. VRC 8 ἀπ' ἄρκτων] Destinon ἀπάρκτων P ἀπ' ἄρκτου (κτου i. ras. A) AML πρὸσ ἄρκτον VRC *ex aquilone* Lat καθῆκον P 9 δὲ LVRC 10 διεστῶτασ C 11 κατὰ χώραν u. 12 post ὄρους tr. A ἐπὶ — 12 ὄρους] *in eleonos monte* Lat 12 ὄρους] καλουμένου (καλουμένω C) ὄρουσ PAMVRC ἔμεινε C 13 i. marg. ιγ' C δὲ VRC ὀχυρωμένη· C καθ' ἣν] καθὰ LVRC 14 φάραγξι κεκύκλωτο] M et ex corr. A φάραγξιν (φάραξιν A¹) ἐκύκλωτο PA¹VRC φάραγξιν ἐκυκλοῦτο L αὐτὴ] αὕτη PAMC 15 ὑπὲρ] ὑπὸ L 17 τε] δὲ VR ἰθύντεροσ L ἦν] *est* Lat 18 Δανίδου] δᾶδ PAMLV δαβίδ R *dauid* (abl.) Lat hic et infra βασιλέως] πάλαι βασιλέωσ LLat 19 σολομῶντοσ L σολόμωνοσ C *salomonis* Lat ut adsolet τὸν πρῶτον] πρώτου τὸν AMLVRC Lat ναὸν] νεὼν VRC 20 ἡ — 21 ἀμφίκυρτος om. R i. marg. suppl. Lips δ' C πρὸς ἡμῶν] *a nobis fabricatum est* Lat ἄτερος] ἕτεροσ L 21 δὲ VR ἀντικρὺσ R ἀντικρὺ C

ἦν λόφος, ταπεινότερός τε φύσει τῆς Ἄκρας καὶ πλατείᾳ φάραγγι διειργόμενος ἄλλῃ πρότερον. αὐθίς γε μὴν καθ' οὓς οἱ Ἀσαμωναῖοι χρόνους ἐβασίλευον τήν τε φάραγγα ἔχωσαν συνάψαι βουλόμενοι τῷ ἱερῷ τὴν πόλιν καὶ τῆς Ἄκρας κατεργασάμενοι τὸ ὕψος ἐποίησαν χθαμαλώτερον, ὡς ὑπερφαίνοιτο καὶ ταύτῃ τὸ ἱερόν. ἡ δὲ τῶν τυροποιῶν προσαγορευομένη φάραγξ, ἣν ἔφαμεν τόν τε τῆς ἄνω πόλεως καὶ τὸν κάτω λόφον διαστέλλειν, καθήκει μέχρι Σιλωᾶς· οὕτω γὰρ τὴν πηγὴν γλυκεῖάν τε καὶ πολλὴν οὖσαν ἐκαλοῦμεν. ἔξωθεν δ' οἱ τῆς πόλεως δύο λόφοι βαθείαις φάραγξιν περιείχοντο, καὶ διὰ τοὺς ἑκατέρωθεν κριμνοὺς προσιτὸν οὐδαμόθεν ἦν. 139 140 141

2. Τῶν δὲ τριῶν τειχῶν τὸ μὲν ἀρχαῖον διά τε τὰς φάραγγας καὶ τὸν ὑπὲρ τούτων λόφον, ἐφ' οὗ κατεσκεύαστο, δυσάλωτον ἦν· πρὸς δὲ τῷ πλεονεκτήματι τοῦ τόπου καὶ καρτερῶς ἐδεδόμητο. Δαυίδου τε καὶ Σολομῶνος, ἔτι δὲ τῶν μεταξὺ τούτων βασιλέων φιλοτιμηθέντων περὶ τὸ ἔργον. ἀρχόμενον δὲ κατὰ βορρᾶν ἀπὸ τοῦ Ἱππικοῦ καλουμένου πύργου καὶ διατεῖνον ἐπὶ τὸν ξυστόν, ἔπειτα τῇ βουλῇ συνάπτον ἐπὶ τὴν ἑσπέριον τοῦ ἱεροῦ στοὰν ἀπειρτίζειο. κατὰ θάτερα δὲ πρὸς δύσιν, ἀπὸ ταὐτοῦ μὲν ἀρχόμενον, διὰ δὲ τοῦ Βιησοῦ καλουμένου χώρου κατατεῖνον ἐπὶ τὴν Ἐσσηνῶν πύλην, κἄπειτα πρὸς νότον ὑπὲρ τὴν Σιλωὰν ἐπιστρέφον πηγήν, ἔνθεν τε πάλιν ἐκκλῖνον πρὸς ἀνατολὴν ἐπὶ τὴν Σολομῶνος κολυμβήθραν καὶ διῆκον μέχρι χώρου τινός, ὃν καλοῦσιν Ὀφλᾶς, τῇ πρὸς 142 143 144 145

PAMLVRCLat

1 *πλατεῖα* LR¹ 2 *οἱ* om. L 3 *ἔχωσαν*] *ἔχον* L 4 *τὴν*] *τήν τε* L 5 *ἐποίησαν, οι* s. C *ταύτῃ*] *ταύτης* C fort. recte *ex ea* Lat 6 *πυροποιῶν* A 7 *κάτω, ω* ex *ου* corr. A *σιλώας* PAM *σιλωὰμ* L *siloam* (accus.) Lat 8 *οὕτως* L *καὶ πολλὴν* s. P 9 *δὲ* VR 10 *ἑκατέροθεν* R *προσητόν* MC 12 *δυσάλωτος* L 13 *ἐδεδώμητο* A *ἐνδεδόμητο* PL *ἐνδεδόμητο* VR 14 *δᾶδ* PAL *δαβίδ* VR *ὑπὸ τοῦ δᾶδ* M *david* (gen.) Lat *τε* om. M *σολωμῶν* P *σολομῶνος, λο* ex *λω* corr. A *σολομῶντος* LVR *σολόμωνος* C *τοῦ σολομῶνος* M 15 *ἀρχομένου* P *βορέαν* L 16 *διατείνων* C *ξυστὸν*] *ξυστὸν καλούμενον* M *ξύστον* (*ξυστὸν* VRC) *λεγόμενον* LVRC *quae dicitur xystos* Lat 17 *συνάπτων* PLC *ἀπηρτίζετο, η* ex *α* corr. A 18 *κατὰ*] *καὶ κατὰ* C *θάτερον* L *ταὐτοῦ*] *τούτου* L *τοῦ αὐτοῦ* MVRC (*ex*) *eodem loco* Lat *ἀρχόμενον*] *ἀρχόμενον πύργου* VR *ἀρχομενον πύργου* C *ἀρχόμενον χωρίου* ex Lat et cod. Big. Hudson 19 *Βιησοῦ*] *βηθσὼ* MVR *βηθσῶ* LC (*qui uocatur*) *betiso* Lat *χώρου*] *χωρίου* LC 20 *πύλιν* C *καὶ ἔπειτα* VR *ὑπὲρ*] *ἐπιτὴν ὑπὲρ* L *σιλώαν* A *σιλωὰμ* LR *siloam* (accus.) Lat *ἐπιστρέφων* PC 21 *τε*] om. P ex *θε* corr. A *ἐκκλίνων* PARC *σολομῶντος* L *σολώμωνος* C 22 *διῆκον*] *διήκει* L *pertinens* Lat *χώρου*, *χ* i. ras. P *ὀφλᾶς* MVRC *ὀφλὰμ* L *oflan* (accus.) Lat *Ὀφλάν* Hudson; cf. infra § 254. II 448. VI 354 *τῇ*] *σὺν τῇ* L

146 ἀνατολὴν στορ̃ τοῦ ἱεροῦ συνῆπτε. τὸ δὲ δεύτερον τὴν μὲν ἀρχὴν
ἀπὸ πύλης εἶχεν, ἣν Γενὰθ ἐκάλουν τοῦ πρώτου τείχους οὖσαν,
κυκλούμενον δὲ τὸ προσάρκτιον κλίμα μόνον ἀνήει μέχρι τῆς Ἀν-
147 τωνίας. τῷ τρίτῳ δ' ἀρχὴ ἦν ὁ Ἱππικὸς πύργος, ὅθεν μέχρι τοῦ
βορείου κλίματος κατατεῖνον ἐπὶ τὸν Ψήφινον πύργον, ἔπειτα καθ- 5
ῆκον ἀντικρὺ τῶν Ἑλένης μνημείων. Ἀδιαβηνὴ βασιλὶς ἦν αὕτη
Ἴζάτου βασιλέως θυγάτηρ, καὶ διὰ σπηλαίων βασιλικῶν μηκυνό-
μενον ἐκάμπτετο μὲν γωνιαίῳ πύργῳ κατὰ τὸ τοῦ Γναφέως προσα-
γορευόμενον μνῆμα, τῷ δ' ἀρχαίῳ περιβόλῳ συνάπτον εἰς τὴν Κε-
148 δρῶνα καλουμένην φάραγγα κατέληγεν. τοῦτο τῇ προσκτισθείσῃ 10
πόλει περιέθηκεν Ἀγρίππας, ἥπερ ἦν πᾶσα γυμνή· πλήθει γὰρ
149 ὑπερχεομένη κατὰ μικρὸν ἐξεῖρπε τῶν περιβόλων. καὶ τοῦ ἱεροῦ
τὰ προσάρκτια πρὸς τῷ λόφῳ συμπολίζοντες ἐπ' οὐκ ὀλίγον προ-
ῆλθον καὶ τέταρτον περιοικηθῆναι λόφον, ὃς καλεῖται Βεζεθά,
κείμενος μὲν ἀντικρὺ τῆς Ἀντωνίας, ἀποτεμνόμενος δὲ ὀρύγματι 15
150 βαθεῖ· διεταφρεύθη γὰρ ἐπίτηδες, ὡς μὴ τῷ λόφῳ συνάπτοντες
οἱ Θεμέλιοι τῆς Ἀντωνίας εὐπρόσιτοί τε εἶεν καὶ ἧττον ὑψηλοί·
151 διὸ δὴ καὶ πλεῖστον ὕψος τοῖς πύργοις προσεδίδου τὸ βάθος τῆς
τάφρου. ἐκλήθη δ' ἐπιχωρίως Βεζεθὰ τὸ νεόκτιστον μέρος, ὃ μεθερ-
152 μηνευόμενον Ἑλλάδι γλώσσῃ καινὴ λέγοιτ' ἂν πόλις. δεομένων οὖν 20
τῶν ταύτῃ σκέπης ὁ παῖς τοῦ νῦν βασιλέως καὶ ὁμώνυμος Ἀγρίπ-
πας ἄρχεται μὲν οὐ προείπομεν τείχους, δείσας δὲ Κλαύδιον Καί-

---

PAMLVRCLat

1 *τοῦ ἱεροῦ στοᾶ* tr. L 2 *Γενὰθ*] *γεννὰθ* AMVR *γενναθήν* L *gennethan* (acc.) Lat *τοῦ — τείχους*] *τοῦ τείχους τοῦ πρώτου* L 3 *κυκλούμενον* PA *προσάρκτιον*] *πρὸς ἀρκτικὸν* L *ἀνείη* PA *ἀνίει* VRC 4 *δὲ* VR *ἀρχὴ ἦν*] *ἦν ἀρχὴ* VRC *principium dabat* Lat; *ἦν* suspectum *ὅθεν*] *ὅθεν καὶ* P 5 *βορείου*] *βοροε* Lat *κατατείνων* C *Ψήφινον*] *sefinam* (*turrim*) Lat *ἔπειτα* C 6 *ἄντικρυς* L *ἑλένης* AC *ἀδιαβινὴ* P *αὕτη*] *αὐτὴ* C, om. L 7 *Ἴζάτου*] *ἰαζὰ τοῦ* PAM *ἀζᾶ τοῦ* L *ἴζᾶ τοῦ* V *ἰζᾶ τοῦ* R *ἰζᾶ τοῦ* C *azitae* Lat; cf. IV 567. VI 356 (6, 4) *θυγάτηρ*] *μήτηρ* Hudson; Helena et uxor et soror erat Monobazi, ex quo Izaten peperit. uidetur igitur etiam patri eius Izati nomen fuisse; cf. Antiq. Iud. XX 17sq. 8 *κναφέως* LR 9 *δὲ* AMVR *περιβόλῳ συνάπτον*] *περισυνάπτων* P *περισυνάπτον* A *cum* (*uetere autem*) *ambitu iunctus* Lat *παρασυνάπτον* Destinon *συνάπτων* LVRC 10 *κατέληγε* MVRC *προκτισθείσῃ* A 11 *ἦ·περ* (eras. *ν*) V 12 *ὑπερεχομένη* L *exuberans* Lat *ἐξῆρπε* P *ἐξῆρπτε* C 14 *καὶ — λόφον*] *quin et quartus collis incolebatur* Lat *καὶ*] *ὡς καὶ* M *ὃς*] *ὃ* L *Βεζεθὰ*] *βεζεθᾶ* V *ἀβισσαθή* L *abisathe* Lat 15 *ἄντικρυς* L *δ'* C 16 *διετραφεύθη* L *ὡς — 17 ὑψηλοί*] *ne antoniae fundamentis colli adhaerentibus et accessui facilis sit et minus editus* Lat 17 *εἶεν*] *ἦεν* C 18 *δὴ* om. M 19 *δὲ* VR *Βεζεθὰ*] *βεζεθᾶ* V *βεζεθανὰ* L *zebethana* Lat 21 *τῶν ταύτῃ*] *ταύτησ* PA *τῶν ἐν αὐτῇ* L *eius partis incolis* Lat *ταύτης τῆς* Destinon 22 *οὖ*] *ita ut* Lat *προείπαμεν* L

σαρα, μὴ τὸ μέγεθος τῆς κατασκευῆς ἐπὶ νεωτερισμῷ πραγμάτων
ὑπονοήσῃ καὶ στάσεως, παύεται θεμελίους μόνον βαλόμενος. καὶ 153
γὰρ οὐδ' ἂν ἦν ἁλώσιμος ἡ πόλις, εἰ προύκοπτε τὸ τεῖχος ὡς
ἤρξατο· λίθοις μὲν γὰρ εἰκοσαπήχεσι τὸ μῆκος καὶ τὸ εὖρος δεκα-
πήχεσι συνηρμόζετο μήθ' ὑπορυγῆναι σιδήρῳ ῥᾳδίως μήθ' ὑπ'
ὀργάνοις διασεισθῆναι δυνάμενον. δέκα δὲ πήχεις αὐτῷ καὶ τὸ τεῖχος 154
ἐπλατύνετο, καὶ τὸ ὕψος πλεῖον μὲν ἄν, ὡς εἰκός, ἔσχε μὴ διακωλυ-
θείσης τῆς τοῦ καταρξαμένου φιλοτιμίας. αὖθις δὲ καίτοι μετὰ 155
σπουδῆς ἐγειρόμενον ὑπὸ Ἰουδαίων εἰς εἴκοσι πήχεις ἀνέστη, καὶ
διπήχεις μὲν τὰς ἐπάλξεις, τριπήχεις δὲ τοὺς προμαχῶνας εἶχεν.
ὡς τὸ πᾶν ὕψος εἰς εἰκοσιπέντε πήχεις ἀνατετάσθαι.

3. Τοῦ δὲ τείχους ὑπερεῖχον οἱ πύργοι πήχεις εἴκοσι μὲν εἰς 156
εὖρος, εἴκοσι δὲ εἰς ὕψος, τετράγωνοί τε καὶ πλήρεις ὥσπερ αὐτὸ
τὸ τεῖχος ὄντες· ἥ γε μὴν ἁρμονία καὶ τὸ κάλλος τῶν λίθων οὐδὲν
ἀπέδει ναοῦ. μετὰ δὲ τὸ ναστὸν ὕψος τῶν πύργων, ὅπερ ἦν εἰκο- 157
σάπηχυ, πολυτελεῖς ἦσαν οἶκοι, καὶ καθύπερθεν ὑπερῷα, δεξαμεναί
τε πρὸς τὰς τῶν ὑετῶν ὑποδοχάς, ἕλικές τε καὶ πλατεῖαι καθ'
ἕκαστον ἄνοδοι. τοιούτους μὲν οὖν πύργους τὸ τρίτον τεῖχος εἶχεν 158
ἐνενήκοντα, τὰ μεταπύργια δὲ τούτων ἀνὰ πήχεις διακοσίους· τὸ
δ' αὖ μέσον εἰς τέσσαρας καὶ δέκα πύργους, τὸ δ' ἀρχαῖον εἰς
ἑξήκοντα μεμέριστο. τῆς πόλεως δ' ὁ πᾶς κύκλος σταδίων ἦν 159

PAMLVRCLat

2 ὑπονοήσει PARC ὑπονοήση, ση i. ras. m. 2 V στάσει Destinon βαλλόμενος LC 3 ἁλώσιμος ἦν tr. P ἁλόσιμος R προέκοπτε L 4 λίθοις — 5 συνηρμόζετο] *saxa enim uiginti cubitis longa et decem lata contexebantur* Lat γὰρ] γε VRC εἰκοσαπήχεσι, α ex ι corr. M εἴκοσι πήχεσιν sic L δέκα πήχεσιν LV 5 συνηρμόζοντο L μήθ' ὑπ' ὀργάνοις] μήτ' ὀργάνῳ L *neque machinis* Lat 6 δυναμένοις VRCLat δέκα — 7 ἐπλατύνετο] *hisque murus dilatabatur* Lat δέκα δὲ πήχεις] δέκα πήχεσιν L δέκα πήχεισ VC δεκαπήχεισ R δὲ] δ' ἐπὶ Destinon αὐτῷ καὶ] P αὐτὸ καὶ A αὐτῶ M αὐτὸ LVRC αὐτίκα Destinon 7 πλέον L 9 ὑπὸ Ἰουδαίων ἐγειρόμενον tr. L εἰς] ὡσ εἰσ (εἴσ A¹) A ὡσ L 10 ἐπάλξεισ, ξ ex ζ corr. uid. L εἶχε| P 11 εἰς om. L 13 δ' C αὐτὸ τὸ τεῖχος] αὐτοτεῖχοσ PA *ipse murus* Lat αὐτοὶ τεῖχος coniecerit aliquis 14 ἁρμονίαν V¹ 16 δεξάμεναί VRC 17 τὰ·σ V ὑετῶν C ἕλικες — 18 ἄνοδοι] *tortuosi latique singulorum ascensus* Lat ἕλικές τε καὶ πλατεῖαι] ex Lat Destinon ἑλικέσ τε πλατεῖαι καὶ PAM ἐκεῖ πλεῖσται καὶ πλατεῖαι LVRC 18 τοιούτοισ C οὖν om. ML πύργοισ C 19 ἀνὰ πήχεις] ἀναπήχεισ PAL ἀναπήχει R¹ διακοσίασ L 20 δ' αὖ] δὲ αὖ VR *uero* Lat τεσσαρεσκέδεκα V τεσσαρεσκαίδεκα RC δὲ VR 21 δ'] δὲ VR, om. L *autem* Lat

τριακοντατριῶν. θαυμασίου δ' ὄντος ὅλου τοῦ τρίτου τείχους θαυμασιώτερος ἀνεῖχε κατὰ γωνίαν βορειός τε καὶ πρὸς δύσιν ὁ Ψή-
160 φινος πύργος, καθ' ὃν ἐστρατοπεδεύσατο Τίτος. ἐπὶ γὰρ ἑβδομήκοντα πήχεις ὑψηλὸς ὢν Ἀραβίαν τε ἀνίσχοντος ἡλίου παρεῖχεν ἀφορᾶν καὶ μέχρι θαλάττης τὰ τῆς Ἑβραίων κληρουχίας ἔσχατα·
161 ὀκτάγωνος δὲ ἦν. τούτου δ' ἀντικρὺς ὁ Ἱππικὸς καὶ παρ' αὐτὸν δύο κατεσκευάσθησαν μὲν ὑφ' Ἡρώδου βασιλέως ἐν τῷ ἀρχαίῳ
162 τείχει, μέγεθος δὲ καὶ κάλλος ἦσαν καὶ ὀχυρότητα τῶν κατὰ τὴν οἰκουμένην διάφοροι· πρὸς γὰρ τῇ φύσει μεγαλοψύχῳ καὶ τῇ περὶ τὴν πόλιν φιλοτιμίᾳ τὴν ὑπεροχὴν τῶν ἔργων ὁ βασιλεὺς πάθεσιν
163 οἰκείοις ἐχαρίζετο καὶ τρισὶ τοῖς ἰδίοις προσώποις, ἀφ' ὧν ὠνόμασε τοὺς πύργους, ἀδελφῷ καὶ φίλῳ καὶ γυναικί, τὴν μνήμην ἀνέθηκε, τὴν μὲν ὡς προειρήκαμεν κτείνας δι' ἔρωτα, τοὺς δὲ ἀποβαλὼν ἐν πολέμῳ γενναίως ἀγωνισαμένους. ὁ μὲν οὖν Ἱππικὸς
164 ἀπὸ τοῦ φίλου προσαγορευθεὶς τετράγωνος μὲν ἦν, εὖρος δὲ καὶ μῆκος εἰκοσιπέντε πηχῶν ἕκαστον καὶ ὕψος τριάκοντα, οὐδαμοῦ
165 διάκενος. ὑπὲρ δὲ τὸ πλῆρες καὶ ταῖς πέτραις συνηνωμένον εἰς ἐκδοχὴν ὄμβρων εἰκοσάπηχυς λάκκος ἦν τὸ βάθος. ἐπάνω δὲ τούτου δίστεγος οἶκος ἦν εἴκοσι καὶ πέντε πηχῶν τὸ ὕψος εἰς ποικίλα τέγη διηρημένος, ὑπὲρ ὃν τύρσεις μὲν διπήχεις προμαχῶνες δὲ περιέβλητο τριπήχεις, ὡς τὸ πᾶν ὕψος εἰς ὀγδοήκοντα πήχεις
166 συναριθμεῖσθαι. ὁ δὲ δεύτερος πύργος, ὃν ὠνόμασεν ἀπὸ τἀδελφοῦ Φασάηλον, τὸ μὲν πλάτος καὶ τὸ μῆκος ἴσον εἶχεν, τεσσαράκοντα

PAMLVRCLat

1 *τριάκοντα τριῶν* R *δὲ* LVR *ὄντως* C 2 *βόρειός*] *βορείου* L *ψήφι·νος* V 3 *ἐστρατοπεδεύετο* L *ἐπεὶ* L *ἑβδομήκοντα*] *ὁ* L 5 *θαλάσσης* L *τὰ*] *καὶ τὰ* LLat *ἑβραίων* AC 6 *ὀκταγώνιος* L *δ'* LC *τούτου*] *τοιούτου* L *δὲ* VR *ὁ* om. L *παραντὸν* ex *παρατὸν* corr. A 7 *κατεσκενάσθησαν μὲν*] *κατεσκευασμένοι* L *κατεσκενάσθησαν* C *quas — aedificauerat* Lat *ὑφ'*] *ὑπ'* R 8 *δὲ*] *τε* VRC et ut uid. Lat *ὀχυρότητι* L 11 *οἰκείοις*] *οἰκείοις καὶ ἰδίοις* L *ἠδίστοις*] *ἰδίστοις* P *ὠνόμασε*] ex *ὀνομασαι* corr. uid. V *ἐπωνόμασε* L 13 *ἀνέθηκε*] *ἀνατιθεὶς* LLat *κτείνας*] *καὶ κτείνας* AL fort. recte *δ'* LC 14 *ἀποβαλὼν, ω* ex *λο* corr. A 16 *εἴκοσι καὶ πέντε* LRC *ἕκαστος* LVRC *οὐδαμοῦ*] *οὐδαμοῦ δὲ* M *καὶ οὐδαμοῦ* L 17 *πλῆρες*] *πληρέστατον* L *συνηνωμένον*] *συνηνομένον* P *συνηνωμένος* MC *συνηνωμένων, ων* in *ον* corr. uid. L *εἰς ἐκδοχὴν*] *εἰσδοχὴν* M 18 *τῶν ὄμβρων* LC *δὲ*] *δὴ* L 19 *δίστεγος*] *διάστεγος* P *ἦν*] *ἦν. οἷν* VR, om. L fort. recte 20 *τέγη*] PAMLat *τε* LVRC *προμαχῶνες* — 21 *τριπήχεις* i. marg. suppl. R 21 *πήχεις ὀγδοήκοντα* tr. L 23 *εἶχεν*] *εἶχον* A *τεσσαράκοντα* A

πηχῶν ἕκαστον, ἐπὶ τεσσαράκοντα δ' αὐτοῦ τὸ ναστὸν ἦν ὕψος. ἐπάνω δὲ αὐτοῦ περιῆει στοὰ δεκάπηχυς τὸ ὕψος θωρακίοις τε 167
καὶ προβόλοις σκεπομένη. μέσην δὲ ὑπερῳκοδόμητο τὴν στοὰν 168
πύργος ἕτερος εἴς τε οἴκους πολυτελεῖς καὶ δὴ καὶ βαλανεῖον διηρι-
μένος, ὡς μηδὲν ἐνδέοι τῷ πύργῳ βασίλειον δοκεῖν. τὰ δ' ἄκρα
τοῖς προμαχῶσι καὶ ταῖς τύρσεσιν ἡ περιαυτοῦ κεκόσμητο. πηχῶν 169
δ' ἦν τὸ πᾶν ὕψος ὡς ἑνενήκοντα. καὶ τὸ μὲν σχῆμα παρεῖχε τῷ
κατὰ τὴν Φάρον ἐκπυρσεύοντι τοῖς ἐπὶ Ἀλεξανδρείας πλέουσι, τῇ
περιοχῇ δὲ πολὺ μείζων ἦν· τηνικαῦτά γε μὴν τυραννεῖον ἀπεδείχθη
τοῦ Σίμωνος. ὁ δὲ τρίτος πύργος ἡ Μαριάμμη, τοῦτο γὰρ ἡ βα- 170
σίλισσα ἐκαλεῖτο, μέχρι μὲν εἴκοσι πηχῶν ναστὸς ἦν, εἴκοσι δὲ πήχεις 171
εἰς εὖρος διέβαινε καὶ μῆκος ἴσον, πολυτελεστέραν δὲ καὶ κοσμι-
ωτέραν τῶν ἄλλων τὴν οἴκησιν εἶχεν ἐπάνω, τοῦ βασιλέως οἰκεῖον
ὑπολαβόντος τὸν ἀπὸ γυναικὸς ὀνομασθέντα κεκοσμῆσθαι πλέον ἢ
τοὺς ἀπ' ἀνδρῶν, ὥσπερ ἐκείνοις τοῦ τῆς γυναικὸς ἰσχυροτέρους.
τούτου τὸ πᾶν ὕψος πεντήκοντα καὶ πέντε πηχῶν ἦν.

4. Τηλικοῦτοι δ' ὄντες οἱ τρεῖς τὸ μέγεθος πολὺ μείζονες ἐφαί- 172
νοντο διὰ τὸν τόπον· αὐτό τε γὰρ τὸ ἀρχαῖον τεῖχος, ἐν ᾧ ἦσαν, 173
ἐφ' ὑψηλῷ λόφῳ δεδόμητο, καὶ τοῦ λόφου καθάπερ κορυφή τις
ὑψηλοτέρα προανεῖχεν εἰς τριάκοντα πήχεις, ὑπὲρ ἣν οἱ πύργοι
κείμενοι πολὺ δή τι τοῦ μετεώρου προσελάμβανον. θαυμάσιον δὲ 174
καὶ τῶν λίθων ἦν τὸ μέγεθος· οὐ γὰρ ἐξ εἰκαίας χερμάδος οὐδὲ
φορητῶν ἀνθρώποις πετρῶν συνειστήκεσαν, λευκὴ δὲ μάρμαρος

PAMLVRC Lat

1 δ' αὐτοῦ — ὕψος] δὲ (δ' C) ἦν τὸ ναστὸν αὐτοῦ ὕψος PAMVRC *in pilae modum farta et solida eius altitudo surgebat* Lat τὸ ex τὸν corr. L 2 ἐπάνω — ὕψος] i. marg. suppl. P om. C i. ras. V ἐπάνω] ἐπάνωθεν L αὐτοῦ] τούτου L *hanc* Lat περιῄει] *erat* Lat στοὰ] ἡ στοὰ L δεκαπήχυς PR¹ δεκάπηχυς A δεκαπήχεις V δεκαπήχυς ex corr. R θωρακείοις V 3 σκεπομένη, η ex οι corr. A μέση L δ' LC τῇ στοᾶι L 4 πύργος] πῦργός τε L καὶ post δὴ om. L 5 ὡς — δοκεῖν] *ne quid regalis usus ei uideretur deesse* Lat τὰ δ' — 6 κεκόσμητο] *in summo autem propugnaculis minisque erat ornata* Lat δὲ VRC 6 τύρσεσιν ἡ περιαυτοῦ] PA τύρσεσι μᾶλλον ἥπερ ὁ πρὸ αὐτοῦ MLVRC 7 δ' ἦν] δὴ PAVRC τῷ] τὸ PAV¹R S ἐπ' LVRC 9 περιοχεῖ P μεῖζον PLC 10 μαριάμη M 11 πηχῶν μὲν εἴκοσι tr. L haud male δὲ] τε Destinon πήχεις] πήχυσ C 12 εἰς om. C 13 οἰκεῖον] *proprium seque dignum* Lat 14 ὀνομασθέντα] ὠνομασθέντα πύργον C *appellata turris* Lat κεκοσμεῖσθαι A 15 τοῦ] τοῦσ A¹ ἰσχυροτέρουσ A ὀχυρωτέρουσ LVR ὀχυροτέρουσ C 16 καὶ πέντε] ἑνέα sic L *quinque* Lat 17 δὲ LVRC 18 αὐτό] αὐτῷ P 19 ἐφ'] ὑφ' P ἐν L δεδώμητο P 20 ἦν] ἦν P ἦν ML 23 συνιστήκεσαν A

175 ἐτιμήθη· καὶ τὸ μὲν μῆκος ἑκάστης πηχῶν ἦν εἴκοσι, δέκα δὲ εὖρος
καὶ βάθος πέντε, συνήνωντο δ' ἐπ' ἀλλήλοις ὡς δοκεῖν ἕκαστον
πύργον μίαν εἶναι πέτραν ἀναπεφυκυῖαν, ἔπειτα δὲ περιεξέσθαι
χερσὶ τεχνιτῶν εἰς σχῆμα καὶ γωνίας· οὕτως οὐδαμόθεν ἡ συνάφεια
176 τῆς ἁρμονίας διεφαίνετο. κειμένοις δὲ πρὸς ἄρκτον αὐτοῖς ἔνδοθεν 5
177 ἡ τοῦ βασιλέως αὐλὴ προσέζευκτο, παντὸς λόγου κρείσσων· οὔτε
γὰρ πολυτελείας οὔτε κατασκευῆς τινος ἔλειπεν ὑπερβολήν, ἀλλὰ
τετείχιστο μὲν ἅπασα τριάκοντα πήχεις τὸ ὕψος κύκλῳ κατ' ἴσον
διάστημα, κεκοσμημένοις δὲ πύργοις διείληπτο ἀνδρῶσί τε μεγί-
178 στοις καὶ εἰς ξενῶνας ἑκατονταклίνους· ἐν οἷς ἀδιήγητος μὲν ἡ 10
ποικιλία τῶν λίθων ἦν, συνῆκτο γὰρ πολὺς ὁ πανταχοῦ σπάνιος,
θαυμασταὶ δὲ ὀροφαὶ μήκει τε δοκῶν καὶ λαμπρότητι προκοσμη-
179 μάτων, οἴκων δὲ πλῆθος καὶ διαφοραὶ σχημάτων περὶ τούτους
μυρίαι, πᾶσίν γε μὴν ἀποσκευαὶ πλήρεις, καὶ τὰ πλείω τῶν ἐν
180 ἑκάστοις κειμένων ἐξ ἀργύρου τε καὶ χρυσοῦ. περίστοα δὲ δι' ἀλ- 15
λήλων ἐν κύκλῳ πολλά, καὶ στῦλοι πρὸς ἑκάστῳ διάφοροι, τά γε
181 μὴν τούτων ὕπαιθρα πάντα χλοερά, καὶ ποικίλαι μὲν ὕλαι μακροὶ
δὲ δι' αὐτῶν περίπατοι καὶ περὶ τούτους εὔριποι βαθεῖς δεξαμεναί
τε παντοίου χαλκουργημάτων περίπλεοι, δι' ὧν τὸ ὕδωρ ἐξεχεῖτο,
182 καὶ πολλοὶ περὶ τὰ νάματα πύργοι πελειάδων ἡμέρων. ἀλλὰ γὰρ 20
οὔθ' ἑρμηνεῦσαι δυνατὸν ἀξίως τὰ βασίλεια, καὶ φέρει βάσανον
183 ἡ μνήμη τὰς τοῦ λῃστρικοῦ πυρὸς δαπάνας ἀναφέρουσα· οὐ γὰρ
ταῦτα Ῥωμαῖοι κατέφλεξαν, ἀλλ' ὑπὸ τῶν ἔνδον ἐπιβούλων, ὡς
προειρήκαμεν, ἐν ἀρχῇ τῆς ἀποστάσεως ἀπὸ μὲν τῆς Ἀντωνίας

PAMLVRC Lat

1 ἑκάστη L ἦν om. L εὖρος δὲ δέκα tr. L 2 συνήνοντο A δὲ LVR 3 εἶναι om. M ἔπειτα δὲ] ἐπὶ τὰ L περιεξέσθαι] PA¹VRC περιέξεσται ex corr. A περιεξέσται M πέριξ ἔχεσθαι L *formata* Lat 4 τεχνητῶν AV¹ 6 κρεῖσσον P¹ 7 ἔλιπεν LC ὑπερβολὴ L ἀλλὰ — 9 διείληπτο] *sed tota quidem muro per triginta cubitos edito cincta erat, aequali autem ambitu turribus ornatissimis ambiebatur* Lat 8 ἅπασα] πᾶσα L κατ' ἴσον, τ ex ι corr. M καθ' ὅσον L 9 πύργοις διείληπτο δὲ tr. L δὲ fort. melius cum Lat ante *διάστημα* ponetur 10 ξενεῶνας L ἑκατονταπεντακλίνους L *centenum lectorum* Lat 11 γα·ρ M 12 δ' C λαμπρότητα C 13 διαφοραὶ] διὰ|φοραὶ L fort. recte 14 μύριοι P μυρίοι A μυρία L fort. recte πᾶσίν] πᾶσαι L πᾶσίν — πλήρεις] *plenaque omnia suppellectilis* Lat καὶ τὰ πλείω] καταπλείω L 15 περίστωα MLV¹R 16 γε] τε L 17 ὕπαιθρα] ὕπε·|θρα, eras. uid. ν A ὕπεθρα C πάντα] πανταχοῦ LVRC *utique* (repone *ubique*) Lat 18 τούτοις LVR δεξαμεναί] καὶ δεξαμεναί VR 19 πανταχοῦ] PALLat πολλαχοῦ MVRC 20 πελιάδων PAMC ἡμερῶν P 23 Ῥωμαῖοι κατέφλεξαν] *a romanis incensa sunt* Lat ἀλλὰ L 24 ἀποστάσεως] ἀποστάσεω καὶ PAMVRLat ἀποστάσεω κατεφλέχθησαν καὶ C μὲν om. L

ἤρξατο τὸ πῦρ, μετέβη δ' ἐπὶ τὰ βασίλεια καὶ τῶν τριῶν πύργων τὰς στέγας ἐπενεμήθη.

V. 1. Τὸ δ' ἱερὸν ὕδρυτο μέν, ὥσπερ ἔφην, ἐπὶ λόφου καρ- 184
τεροῦ, καθ' ἀρχὰς δὲ πόλις ἐξήρκει τὸ ἀνωτάτω χθαμαλὸν αὐτοῦ
τῷ τε ναῷ καὶ τῷ βωμῷ· τὰ γὰρ πέριξ ἀπόκρημνος ἦν καὶ κατ-
άντης. τοῦ δὲ βασιλέως Σολομῶνος, ὃς δὴ καὶ τὸν ναὸν ἔκτισεν, 185
τὸ κατ' ἀνατολὰς μέρος ἐκτειχίσαντος, ἐπετέθη μία στοὰ τῷ χώ-
ματι· καὶ κατά γε τὰ λοιπὰ μέρη γυμνὸς ὁ ναὸς ἦν. τοῖς δ' ἔξῆς
αἰῶσιν ἀεί τι τοῦ λαοῦ προσχωννύντος ἀνισούμενος ὁ λόφος ηὐρύ-
νετο. διακόψαντες δὲ καὶ τὸ προσάρκτιον τεῖχος τοσοῦτον προσ- 186
ελάμβανον ὅσον ὕστερον ἐπεῖχεν ὁ τοῦ πανὸς ἱεροῦ περίβολος.
τειχίσαντες δ' ἐκ βίζης τριχῆ κυκλόθεν τὸν λόφον καὶ μεῖζον ἐλ- 187
πίδος ἐκπονήσαντες ἔργον, εἰς ὃ μακροὶ μὲν ἐξαναλώθησαν αἰῶνες
αὐτοῖς καὶ οἱ ἱεροὶ δὲ θησαυροὶ πάντες, οὓς ἀνεπίμπλασαν οἱ πανὰ
τῆς οἰκουμένης δασμοὶ πεμπόμενοι τῷ Θεῷ, τούς τε ἄνω περι-
βόλους καὶ τὸ κάτω ἱερὸν ἀμφεδείμαντο. τούτου τὸ ταπεινότατον 188
ἀπὸ τριακοσίων ἀνετειχίσαντο πηχῶν, κατὰ δέ τινας τόπους καὶ
πλείονος. οὐ μέντοι πᾶν τὸ βάθος ἐφαίνετο τῶν θεμελίων· ἐπὶ
πολὺ γὰρ ἔχωσαν τὰς φάραγγας ἀνισοῦν βουλόμενοι τοῖς στενοποῖς
τοῦ ἄστεος. τέτραι δὲ τεσσαρακοντάπηχεις τὸ μέγεθος ἦσαν τοῦ 189
δομήματος· ἥ τε γὰρ δαψίλεια τῶν χρημάτων καὶ τοῦ λαοῦ φι-
λοτιμία λόγου μείζονας ἐποιεῖτο τὰς ἐπιβολάς, καὶ τὸ μηδὲ ἐλπι-
σθὲν ἔξειν πέρας ἐπιμονῇ καὶ χρόνοις ἦν ἀνύσιμον.

PAMLVRCLat

1 ἤρξατο] εἵρξατο P *correpit* Lat δὲ LVR 2 ἀπενεμήθη M *μετενεμήθη* C 3 δὲ VRC ἐπὶ] ὑπὸ L 4 τὸ] τῷ PA ἀνωτάτω] ἄνω C 5 γὰρ] δὲ L 6 δὲ om. L σολόμωνος C 7 τὸ·κατ' A ἐπετέθη] εἶτ' ἐτέθη L *est imposita* Lat μία om. VRC χώματι] σχώματι ut uid. C 8 δὲ VRC 9 προσχώνύντος A προσχοννύντος C 10 προσέλαβον LC 11 ὕστερον om. VR ἐπῆχεν C ἱεροῦ] ἱερὸς L 12 τειχήσαντες P τειχίσαντες ex τοιχήσαντες corr. L δὲ LVRC ἐκ βίζης om. LVRCLat τριχῆ spurium putat Destinon κυκλώθεν P κύκλω LVR κύκλο sic C 13 μὲν s. P ἐξανηλώθησαν MVRC 14 ἐνεπίμπλασαν L ἀνεπίπλασαν C 16 τούτου τὸ ταπεινότατον] *cuius quod humillimum fuit* Lat τούτου τὸ] τοῦτο PA τοῦτο τὸ L οὗ τὸ ex Lat Destinon ταπεινότερον L 17 τόπους] τό|πους, post ὁ spatium uacuum 6—7 litt. C καὶ] L ἐκ PAMVRC *etiam* Lat 19 στενοποὺς VR 20 ἄστεως ex corr. P τεσσαράκοντα πήχεις PAL τεσσεράκοντα πήχεις VR τὸ — 21 δομήματος] τοῦ|δωμήματος ἦσαν P¹ τῶ μέγεθος|τοῦ δωμήματος ἦσαν ex corr. P 21 δωμήματος (μ ante ή i. ras. P) PALR δαψιλεία PL δαψιλία R τοῦ] ἡ τοῦ ML 22 μείζονος C ἐπιβουλάς A μὴδ' L

190 2. Ἦν δὲ ἄξια τῶν τηλικούτων θεμελίων καὶ τὰ ὑπὲρ αὐτῶν
ἔργα· διπλαῖ μὲν γὰρ αἱ στοαὶ πᾶσαι, κίονες δ' αὐταῖς εἰκοσιπέντε
πηχῶν τὸ ὕψος ἐφεστήκεσαν μονόλιθοι λευκοτάτης μαρμάρου, κε-
191 δρίνοις δὲ φατνώμασιν ὡρόφωντο. τούτων ἡ μὲν φυσικὴ πολυτέ-
λεια καὶ τὸ εὔξεστον καὶ τὸ ἁρμόνιον παρεῖχε θεωρίαν ἀξιόλογον,
οὐδενὶ δὲ ἔξωθεν οἵτε ζωγραφίας οἵτε γλυφίδος ἔργῳ προσηγλάιστο.
192 καὶ πλατεῖαι μὲν ἦσαν ἐπὶ τριάκοντα πήχεις, ὁ δὲ πᾶς κύκλος
αὐτῶν εἰς ἓξ σταδίους συνεμετρεῖτο περιλαμβανομένης καὶ τῆς Ἀντω-
νίας· τὸ δ' ὕπαιθρον ἅπαν πεποίκιλτο παντοδαπῷ λίθῳ κατε-
193 στρωμένον. διὰ τούτου προϊόντων ἐπὶ τὸ δεύτερον ἱερὸν δρύφακτος
περιβέβλητο λίθινος, τρίπηχυς μὲν ὕψος, πάνυ δὲ χαριέντως διειρ-
194 γασμένος· ἐν αὐτῷ δὲ εἱστήκεσαν ἐξ ἴσου διαστήματος στῆλαι τὸν
τῆς ἁγνείας προσιμαίνουσαι νόμον αἱ μὲν Ἑλληνικοῖς αἱ δὲ Ῥω-
μαϊκοῖς γράμμασιν μηδένα ἀλλόφυλον ἐντὸς τοῦ ἁγίου παριέναι·
195 τὸ γὰρ δεύτερον ἱερὸν ἅγιον ἐκαλεῖτο. καὶ τεσσαρεσκαίδεκα [μὲν]
βαθμοῖς ἦν ἀναβατὸν ἀπὸ τοῦ πρώτου. τετράγωνον δὲ ἄνω καὶ
196 τείχει περιπεφραγμένον ἰδίῳ. τούτου τὸ μὲν ἔξωθεν ὕψος καίπερ
τεσσαράκοντα πηχῶν ὑπάρχον ὑπὸ τῶν βαθμῶν ἐκαλύπτετο, τὸ δὲ
ἔνδον εἴκοσι καὶ πέντε πηχῶν ἦν· πρὸς γὰρ ὑψηλοτέρῳ δεδομημένου
τοῦ βαθμοῦ οὐκέτ' ἦν ἅπαν εἴσω καταφανὲς καλυπτόμενον ὑπὸ

PAMLVRC Lat

1 *τηλικούτων*] *τοιούτων* VRC *θε·μελίων*, eras. *λ* V *καὶ* om. Lat
2 *μὲν γὰρ* om. Lat *κίοναις* R *δὲ* VRC *εἰκοσιπέντε*, *ιπ* ex corr. M
3 *τὸ* om. P *ὑφεστήκεσαν* L et ut uid. Lat, in quo legitur *quas columnae sustinebant* 4 *δὲ*] *τε* L *ὡρόφοντο* (*ω* ex *ο* corr. C) PAMRC *μὲν* om. L 5 *καὶ*] *κατὰ* L *εὔξαιστον* C 6 *δὲ*] *δ'* A *τ'* L *οὔτε*] *οὕτως* P *προσιγλάιστο* R 7 *ἦσαν*] *καὶ* L *ἐπὶ*] *ἐπι* ex *αἱ* corr. P 9 *τὸ δ'*] *τὸ δὲ* VRC *καὶ τὸ* L *ὕπαιθρον*] *ὕπε·θρον*, eras. *ρ* C *παντοδαπῷ λίθῳ*] Destinon *παντοδαπῶν λίθων* codd. *omnium quidem generum lapidibus* Lat *κατεστρωμένον* P *κατεστρωμένων* V et ex corr. A 10 *προϊόντων*] *πραττόντων* L *δρυφακτὸς* L 11 *περιεβέβλητο* C *λίθινος*] *λίθοσ* M *τρίπηχυς* V *τριπήχησ* R *τρίπυχησ* C *μὲν* om. L *χαριεντῶς* P *διειργασμένως* L¹C 12 *δὲ εἱστήκεσαν*] *διεστήκεσαν* L *δ' εἱστήκεσαν* C post *στῆλαι* ras. 5 litt. C 13 *ἁγνείας* P¹AC *προσσημαίνουσαι* C *προσημαίνουσι* V¹R *νόμον* om. R 14 *γράμμασι* om. V *μηδένα*] *μὴ δεῖν* MLC *παρεῖναι* L 15 *ἱερὸν* om. C *καλεῖται* L *τεσσαρισκαίδεκα* PA *τεσσαρκαίδεκα* sic C *μὲν* om. PALat 17 *περιφραγμένον* A¹C *καίπερ*] *καὶ ὑπὲρ* (*ὑπερ* P) PA *καὶ περι* C 18 *τεσσεράκοντα* V *ὑπάρχον* — 19 *πηχῶν* om. C *ὑπάρχων* PV¹ *δ'* L 19 *δεδωμημένου* PAL *δεδομένου* C 20 *τοῦ βαθμοῦ*] *βαθμοῖσ* L *τοῖσ βαθμοῖσ* VRC *per gradus* Lat *τοῦ βάθρου* Destinon *τοῦ βάθους* Niese *οὐκέτι* VRC *εἴσω*] *τὸ εἴσω* Niese

τοῦ λόφου. μετὰ δὲ τοὺς δεκατέσσαρας βαθμοὺς τὸ μέχρι τοῦ τεί- 197
χους διάστημα πηχῶν ἦν δέκα, πᾶν ἰσόπεδον. ἔνθεν ἄλλοι πάλιν 198
πεντέβαθμοι κλίμακες ἀνῆγον ἐπὶ τὰς πύλας, αἱ ἀπὸ μὲν ἄρκτου
καὶ μεσημβρίας ὀκτώ, καθ' ἑκάτερον τέσσαρες, δύο δ' ἦσαν ἐξ
ἀνατολῆς κατ' ἀνάγκην· διατετειχισμένου γὰρ κατὰ τοῦτο τὸ κλίμα
ταῖς γυναιξὶν ἰδίου πρὸς θρησκείαν χώρου ἔδει δευτέραν εἶναι
πύλην· τέτμητο δ' αὖτη τῆς πρώτης ἄντικρυς. κἀκ τῶν ἄλλων δὲ 199
κλιμάτων μία μεσημβρινὴ πύλη καὶ μία βόρειος, δι' ἧς εἰς τὴν
γυναικωνῖτιν εἰσῆγον· κατὰ γὰρ τὰς ἄλλας οὐκ ἐξῆν παρελθεῖν
γυναιξίν, ἀλλ' οὐδὲ κατὰ τὴν σφετέραν ὑπερβῆναι τὸ διατείχισμα.
ἀνεῖτό γε μὴν ταῖς τ' ἐπιχωρίοις καὶ ταῖς ἔξωθεν ὁμοφύλοις ἐν
ἴσῳ πρὸς θρησκείαν ὁ χῶρος. τὸ δὲ πρὸς δύσιν μέρος οὐκ εἶχε 200
πύλην, ἀλλὰ διηνεκὲς ἐδεδόμητο ταύτῃ τὸ τεῖχος. αἱ στοαὶ δὲ με-
ταξὺ τῶν πυλῶν ἀπὸ τοῦ τείχους ἔνδον ἐστραμμέναι πρὸ τῶν γαζο-
φυλακίων σφόδρα μὲν καλοῖς καὶ μεγάλοις ἀνέῳκτο κίοσιν, ἦσαν
δ' ἁπλαῖ, καὶ πλὴν τοῦ μεγέθους τῶν κάτω κατ' οὐδὲν ἀπελεί-
ποντο.

3. Τῶν δὲ πυλῶν αἱ μὲν ἐννέα χρυσῷ καὶ ἀργύρῳ κεκαλυμ- 201
μέναι πανταχόθεν ἦσαν ὁμοίως τε αἵ τε παραστάδες καὶ τὰ ὑπέρ-
θυρα, μία δ' ἡ ἔξωθεν τοῦ νεὼ Κορινθίου χαλκοῦ πολὺ τῇ τιμῇ

PAMLVRC Lat

1 *δεκατέσσαρας*] *δεκατέσσαρεις* sic V¹R *ιδ'* C *τὸ — 2 ἰσόπεδον*] *spatium erat usque ad murum trecentis cubitis planum* Lat 2 *πάλιν ἄλλοι* tr. P 3 *πεντέβαθμοι*] *πεντεβαθμοὶ* V *πέντε βαθμοὶ* RC *ἔνδεκα βαθμοὶ* PA¹M *ἑνδεκάβαθμοι* ex corr. A *ἕνδεκα* L; cf. § 206 *πεντέβαθμοι κλίμακες*] *quinque gradus et scalae* Lat *αἵ*] *αἱ* PVRC, om. Lat 4 *καθ' ἑκάτερον*] *καθ' ἕτερον δὲ* (δὲ expunctum, i marg. ascriptum *καθ' ἑκάτερον* A) PAM *καθ' ἕτερον* L *utrimque uidelicet* Lat *τέσσαρες* A *δ'* C *δὲ* VR *ἦσαν*] *εἶσαν* C, om. Lat 5 *κατ' ἀνάγκην*] *δι' ἀνάγκης* L *κατὰ — κλίμα* om. Lat 7 *τέτμητο — 8 πύλη*] *contra primam uero secreta erat ex aliis regionibus una porta meridiana* Lat *δὲ* VR *δὲ* om. VRCLat 8 *βόρειος*] *βάρος* C *δι' ἧς*] *quibus* Lat 9 *γυναικωνίτην* PC *παρελθεῖν οὐκ ἐξῆν* tr. L 10 *σφετέραν*] *ἐφ' ἑτέραν* L *suam* Lat *διατειχίσματος* C¹ 11 *ταῖς τ'*] *τοῖς* M *ταῖς τε* L *τοῖς τε* VRC *καὶ τοῖς ἔξωθεν* MVRC 13 *ἐδεδώμητο* AL *ἐνδεδώμητο* P *δὲ* i. marg. suppl. A 14 *ἐστραμέναι* C *πρὸς* L *πρὸ* C *γαζοφυλακείων* LVR 15 *σφόδρα*, ρ s. C 16 *δὲ* LVRC *πλὴν τοῦ*] *ἁπλέτου* VRC *κάτω* ex *κάτου* corr. C *ἀπελίποντο* C 18 *ἀργύρῳ κεκαλυμμέναι*, litt. *ἀργύρω κε* i. ras. A 19 *τε αἵ τε*] *τε αἱ* P *αἵ τε* M *δ' αἵ τε* L *τε* VRC 20 *δ' ἡ*] *δὴ* L *δὲ ἡ* VR *τοῦ*] *τῷ* VR *κορινθίω χαλκῷ* C *χαλκοῦ*] *χαλκοῦ πύλη* M

202 τὰς καταργύρους καὶ περιχρύσους ὑπεράγουσα. καὶ δύο μὲν ἑκάστου
πυλῶνος θύραι, τριάκοντα δὲ πηχῶν τὸ ὕψος ἑκάστης καὶ τὸ πλάτος
203 ἦν πεντεκαίδεκα. μετὰ μέντοι τὰς εἰσόδους ἐνδοτέρω πλατυνόμενοι
κατ' ἑκάτερον τριακονταπήχεις ἐξέδρας εἶχον εἶδός τε καὶ μῆκος
εὐεργοειδεῖς, ὑψηλὰς δ' ὑπὲρ τεσσαράκοντα πήχεις· δύο δ' ἀνεῖχον
204 ἑκάστην κίονες δώδεκα πηχῶν τὴν περιοχὴν ἔχοντες. καὶ τῶν μὲν
ἄλλων ἴσον ἦν τὸ μέγεθος, ἡ δ' ὑπὲρ τὴν Κορινθίαν ἀπὸ τῆς γυναι-
κωνίτιδος ἐξ ἀνατολῆς ἀνοιγομένη τῆς τοῦ ναοῦ πύλης ἀντικρὺ πολὺ
205 μείζων· πεντήκοντα γὰρ πηχῶν οὖσα τὴν ἀνάστασιν τεσσαρακοντα-
πήχεις τὰς θύρας εἶχε καὶ τὸν κόσμον πολυτελέστερον ἐπὶ δαψιλὲς
πάχος ἀργύρου τε καὶ χρυσοῦ. τοῦτον δὲ ταῖς ἐννέα πύλαις ἐπέχεεν
206 ὁ Τιβερίου πατὴρ Ἀλέξανδρος. βαθμοὶ δὲ δεκαπέντε πρὸς τὴν
μείζονα πύλην ἀπὸ τοῦ τῶν γυναικῶν διατειχίσματος ἀνῆγον· τῶν
γὰρ κατὰ τὰς ἄλλας πέντε βαθμῶν ἦσαν βραχύτεροι.
207 4. Αὐτὸς δὲ ὁ ναὸς κατὰ μέσον κείμενος, τὸ ἅγιον ἱερόν, δώ-
δεκα βαθμοῖς ἦν ἀναβατός, καὶ τὸ μὲν κατὰ πρόσωπον ὕψος τε
καὶ εὖρος ἴσον ἀνὰ πήχεις ἑκατόν, κατόπιν δὲ τεσσαράκοντα πήχεσι
στενότερος· ἐμπροσθεν γὰρ ὥσπερ ὦμοι παρ' ἑκάτερον εἰκοσαπήχεις
208 διέβαινον. ἡ πρώτη δ' αὐτοῦ πύλη πηχῶν ἑβδομήκοντα τὸ ὕψος
οὖσα καὶ εὖρος εἴκοσι καὶ πέντε, θύρας οὐκ εἶχε· τοῦ γὰρ οὐρανοῦ
τὸ ἀφανὲς καὶ ἀδιάκλειστον ἐνέφαινε· κεχρύσωτο δὲ τὰ μέτωπα

PAMLVRCLat

1 ὑπεράγου|σα L 2 *τριάκοντα δὲ*] *τριακοντατριῶν* L *ἑκάστη* L 3 *ἦν* om. C *πεντεκαίδεκα*] *δώδεκα* C 4 *τριάκοντα πήχεισ* AVRC *ἐξέδρας* — 5 *πήχεις* om. C *εἶχεν* L 5 *ὑψηλὰς*] cum Lat Cocceji *ὑψηλαὶ* codd. *δὲ* VR *δὲ* LVR 7 *δὲ* VRC *κορινθείαν* C *γυναικονίτιδοσ* PAM¹ 8 *τῆς* — 9 *μείζων*] *templi porta sine dubio maior erat* Lat, quem *ἀνοιγομένη τοῦ ναοῦ πύλη ἄντικρυσ* habuisse uideri adnotat Destinon *ἄντικρυσ* L 9 *οὖσα τὴν ἀνάστασιν*] *surgens* Lat *ἀνάτασιν* i. marg. cod. T teste Cardwello 10 *τεσσαράκοντα* (*τεσσεράκοντα* VR) *πήχεισ* AMVR *ἐπὶ δαψιλὲς*] *ἐπεὶ δαψιλὲσ* A *ἐπιδαψιλὲσ* PLVC *ἐπὶ δαψιλὲς πάχος ἀργύρου*] *crassiore argento* Lat 11 *τούτων* A *τοῦτο* R *δὲ*] deleuit A om. L 12 *τιβερείου* L *πεντεκαίδεκα* Bekker 13 *πύλιν* C *γυναικῶν*, *ῶ* ex *ὸσ* corr. A 14 *πέντε βαθμῶν*] cf. p. 461, 3 *κατὰ τὰς*] *κατὰσ* C *βραχύτεραι* L 15 *δ'* ML 16 *ἀναβατός*] *ἄβατοσ* (*σ* ex *ν* corr. A) PAVR *ἄβατον* C *τε* om. C 17 *ἴσον*] *εἴσω* PA *ἴσοσ* M *ἴσοσ* VR *τεσσεράκοντα* V¹R *πήχεισ* L 18 *στενώτεροσ* V¹ *ἔμπροσθεν* — 19 *διέβαινον*] *aditus enim ueluti quibusdam umeris utrimque uicenum cubitorum producebantur* Lat *ὦμοι*] *ὁμοίω* L *εἴκοσι πήχεισ* VC 19 *δὲ* VRC 20 *οὖσα*, *οὖ* i. ras. A *εἰκοσιπέντε* A¹L *τοῦ* — 21 *ἐνέφαινε*] *caeli enim secreta quod* (*quo* cod. Vat.) *interclusa erat significabat* Lat 21 *ἀφανὲς*] *ἀχανὲς* Bekker *ἀδιάκλειστον*] *διάκλειστον* P *τὸ ἀδιάκλειστον* L *ἐνέφαινε*] *ἀνέφενε* C

πάντα, καὶ δι' αὐτῆς ὅ τε πρῶτος οἶκος ἔξωθεν πᾶς κατεφαίνετο μέγιστος ὤν, καὶ τὰ περὶ τὴν εἴσω πύλην πάντα λαμπόμενα χρυσῷ τοῖς ὁρῶσιν ὑπέπιπτεν. τοῦ δὲ ναοῦ ὄντος εἴσω διστέγου μόνος ὁ 209
πρῶτος οἶκος προύκειτο καὶ διηνεκὲς εἰς τὸ ὕψος, ἀνατεινόμενος μὲν ἐπ' ἐνενήκοντα πήχεις, μηκυνόμενος δὲ ἐπὶ πεντήκοντα καὶ διαβαίνων ἐπ' εἴκοσιν. ἡ δὲ διὰ τοῦ οἴκου πύλη κεχρύσωτο μέν, 210
ὡς ἔφην, πᾶσα καὶ ὅλος ὁ περὶ αὐτὴν τοῖχος, εἶχε δὲ καὶ τὰς χρυσᾶς ὑπὲρ αὐτῆς ἀμπέλους, ἀφ' ὧν βότρυες ἀνδρομήκεις κατεκρέμαντο. ὄντος δὲ ἤδη τοῦ ναοῦ διστέγου, ταπεινοτέρα τῆς ἔξωθεν 211
ὕψους ἡ ἔνδον ἦν καὶ θύρας εἶχε χρυσᾶς πεντηκονταπέντε πήχεων τὸ ὕψος, εὖρος δ' ἑκκαίδεκα. πρὸ δὲ τούτων ἰσόμηκες καταπέτασμα 212
πέπλος ἦν Βαβυλώνιος ποικίλως ἐξ ὑακίνθου καὶ βύσσου κόκκου τε καὶ πορφύρας. θαυμαστῶς μὲν εἰργασμένος, οὐκ ἀθεώρητον δὲ τῆς ὕλης τὴν κρᾶσιν ἔχων, ἀλλ' ὥσπερ εἰκόνα τῶν ὅλων· ἐδόκει 213
γὰρ αἰνίττεσθαι τῇ κόκκῳ μὲν τὸ πῦρ, τῇ βύσσῳ δὲ τὴν γῆν, τῇ δ' ὑακίνθῳ τὸν ἀέρα, καὶ τῇ πορφύρᾳ τὴν θάλασσαν, τῶν μὲν ἐκ τῆς χροιᾶς ὁμοιουμένων, τῆς δὲ βύσσου καὶ τῆς πορφύρας διὰ τὴν γένεσιν, ἐπειδὴ τὴν μὲν ἀναδίδωσιν ἡ γῆ, τὴν δ' ἡ θάλασσα. κατε- 214
γέγραπτο δ' ὁ πέπλος ἅπασαν τὴν οὐράνιον θεωρίαν πλὴν ζῳδίων.

5. Παριόντας δ' εἴσω τὸ ἐπίπεδον τοῦ ναοῦ μέρος ἐξεδέχετο. 215
τούτου τοίνυν τὸ μὲν ὕψος ἑξήκοντα πηχῶν καὶ τὸ μῆκος ἴσον, εἴκοσι δὲ πηχῶν τὸ πλάτος ἦν. τὸ δ' ἑξηκοντάπηχυ πάλιν διή- 216

PAMLVRCLatHegesippus V 9 p. 289.

1 *πάντα* om. L ἔξωθεν] ἔσωθεν MVRC *extrinsecus* Lat ἅπας LVRC 2 *μέγιστος ὤν* om. Lat 3 *ὑπέπτεν* ascripto i. marg. *πι* A ὑπέπτιπτε C^1 *τοῦ — 4 ὕψος*] *cum autem interior eius pars duplici tecto fulgeret, adiacens ei prima porta patebat in altitudinem perpetuam* Lat; graeca corrupta *ναοῦ δὲ* tr. L *ὄντως* C 4 *προσέκειτο* L 5 *ἐπὶ* LVRC 6 *ἐπ'*] *ἐπὶ* LC *ἐφ'* R^2 *εἴκοσι* PA^1LR^1V *εἴκοσι* R^2 *ἡ — 7 τοῖχος*] *ipsius uero aedes tota inaurata erat, ut dixi, et circa eam saxeus paries* Lat 7 *ὅλος*] *ὅλως* A *ὁ λίθινος* LLat *ὁ* om. A *τὰς — 8 χρυσᾶς*] *χρυσᾶς καὶ τὰς* Bekker 8 *ἑαυτῆς* L *αὐτῆς* Bekker *κατεκρέμοντο* PAVR *κατεκρέμμαντο* C 9 *ἤδη*] *δὴ* Destinon 10 *ὄψεως ἡ ἔνδον* om. LVRCLat *πεντηκονταπέντε*] MLVRCLat *πεντήκοντα* PA *πηχῶν* L 11 *δὲ* LVR *ἐκκέδεκα* PA *ἑκκέδεκα* C *δεκαέξ* L *πρὸ — τούτων*] *et ad haec* Lat 12 *ποικιλτόσ, κι* i. ras. minore A *ὑακύνθου* PC *κόκκου, ο* i. ras. maiore L 13 *θαυμαστὸσ* C *μὲν* om. PL^1 14 ad § 213 cf. Ant. Iud. III 183 15 *ἐνίττεσθαι* C *τὴν*] *τῇ* A 16 *δὲ* VRC *ὑακύνθω* C 17 *χροιᾶσ* M *χρόασ* LVRC, quod commendat L. Dindorf 18 *δ' ἡ*] *δὲ* L *δὲ ἡ* VRC *θάλασσαν* L^1 19 *δὲ* LVRC *πᾶσαν* LVRC *πλὴν τῶν ζῳδίων* L 20 *παριόντοσ* L *δὲ* LVR 22 *εἴκοσι*] *εἰκοσιτεσσάρων* L *δὲ* VRC *ἑξηκοντάπηχυν* L

ρητο, καὶ τὸ μὲν πρῶτον μέρος ἀποτετμημένον ἐπὶ τεσσαράκοντα πήχεις εἶχεν ἐν αὑτῷ τρία θαυμασιώτατα καὶ περιβόητα πᾶσιν
217 ἀνθρώποις ἔργα, λυχνίαν τράπεζαν θυμιατήριον. ἐνέφαινον δ' οἱ μὲν ἑπτὰ λύχνοι τοὺς πλανήτας· τοσοῦτοι γὰρ ἀπ' αὐτῆς διήρητο τῆς λυχνίας· οἱ δὲ ἐπὶ τῆς τραπέζης ἄρτοι δώδεκα τὸν ζῳδιακὸν
218 κύκλον καὶ τὸν ἐνιαυτόν. τὸ θυμιατήριον δὲ διὰ τῶν τρισκαίδεκα θυμιαμάτων, οἷς ἐκ θαλάσσης ἀνεπίμπλατο καὶ τῆς τε ἀοικήτου
219 καὶ οἰκουμένης, ἐσήμαινεν ὅτι τοῦ θεοῦ πάντα καὶ τῷ θεῷ. τὸ δ' ἐνδοτάτω μέρος εἴκοσι μὲν πηχῶν ἦν· διείργετο δὲ ὁμοίως καταπετάσματι πρὸς τὸ ἔξωθεν. ἔκειτο δὲ οὐδὲν ὅλως ἐν αὐτῷ, ἄβατον δὲ καὶ ἄχραντον καὶ ἀθέατον ἦν πᾶσιν, ἁγίου δὲ ἅγιον ἐκαλεῖτο.
220 περὶ δὲ τὰ πλευρὰ τοῦ κάτω ναοῦ δι' ἀλλήλων ἦσαν οἶκοι τρί-
221 στεγοι πολλοί, καὶ παρ' ἑκάτερον εἰς αὐτοὺς ἀπὸ τῆς πύλης εἴσοδοι. τὸ δ' ὑπερῷον μέρος τούτους μὲν οὐκέτι εἶχεν τοὺς οἴκους παρόσον ἦν καὶ στενότερον, ὑψηλὸν δ' ἐπὶ τεσσαράκοντα πήχεις καὶ λιτότερον τοῦ κάτω· συνάγεται γὰρ οὗτος πρὸς ἑξήκοντα τοῖς τοῦ ἐπιπέδου πηχῶν ἑκατὸν τὸ πᾶν ὕψος.

222 6. Τὸ δ' ἔξωθεν αὐτοῦ πρόσωπον οὐδὲν οὔτ' εἰς ψυχῆς οὔτ' εἰς ὀμμάτων ἔκπληξιν ἀπέλειπεν· πλαξὶ γὰρ χρυσοῦ στιβαραῖς κεκαλυμμένος πάντοθεν ὑπὸ τὰς πρώτας ἀνατολὰς πυρωδεστάτην ἀπέπαλλεν αὐγὴν καὶ τῶν βιαζομένων ἰδεῖν τὰς ὄψεις ὥσπερ ἡλια-
223 καῖς ἀκτῖσιν ἀπέστρεφεν. τοῖς γε μὴν ἀφικνουμένοις ξένοις πόρρωθεν ὅμοιος ὄρει χιόνος πλήρει κατεφαίνετο· καὶ γὰρ καθὰ μὴ
224 κεχρύσωτο λευκότατος ἦν. κατὰ κορυφὴν δὲ χρυσέους ὀβελοὺς ἀνεῖχεν τεθηγμένους, ὡς μή τινι προσκαθεζομένῳ πολύνοιτο τῶν ὀρνέων. τῶν δ' ἐν αὐτῷ λίθων ἔνιοι μῆκος πέντε καὶ τεσσαράκοντα πηχῶν

PAMLVRCLatHegesippus V 9 p. 290.

1 μὲν om. L τεσσεράκοντα V 2 ἑαυτῶ AL αὐτῶ PMVRC τρία] τρία τὰ L 3 δὲ VRC 4 μὲν om. M τοσοῦτο C ἀπ'] ἐπ' L 5 δ' L τον] τόν τε MLVRC 6 τρικαίδεκα R 7 ἀνεπίπλατο C καὶ τῆς τε] καὶ τῆσ LVR τῆσ τ' C καὶ γῆς τῆς τε Niese 8 τὸ] τῶ C 9 δὲ VR ἦν πηχῶν tr. LVRC δ' LC 10 δ' LC 11 ἄχραν$^{\sigma\tau o\nu}$ A ἁγίου δὲ ἅγιον] ἅγιον δὲ ἁγίων (ex ἅγιον correctum) R 12 τὰ πλευρὰ δὲ tr. L 14 δὲ LVRC οὐκέτ' C 15 παρόσον] quo minus Lat στενώτερον V^1 ὑψηλὸν] L ὑψηλότερον PAMVRCLat δὲ LR τεσσεράκοντα V^{1}R 16 λιτώτερον LVR 18 δὲ LVRC οὔτε LVRC ψυχὴν PA οὔτε LVRC 19 ὀμμάτων] σωμάτων LC εἴσπληξιν A ἀπέλιπε C στιβαρὲσ C 20 ὑπὸ] ultra (h. e. ὑπὲρ) Lat πυρωδεστάτην — 21 αὐγὴν] igneo splendore lucebat Lat 21 ἀπέπαλλεν] ἀπέλαμπεν L 22 εἰσαφικνουμένοισ LVRC 26 δὲ VRC μῆκος] μῆκός τε L τεσσεράκοντα V^{1}R πέντε] ε' C

ἦσαν, ὕψος πέντε, εὖρος δ' ἕξ. πρὸ αὐτοῦ δ' ὁ βωμὸς πεντεκαίδεκα 225
μὲν ὕψος ἦν πήχεων, εὖρος δὲ καὶ μῆκος ἐκτείνων ἴσον ἀνὰ πεντή-
κοντα πήχεις τετράγωνος ἵδρυτο, κερατοειδεῖς προανέχων γωνίας,
καὶ ἀπὸ μεσημβρίας ἐπ' αὐτὸν ἄνοδος ἠρέμα προσάντης ὑπτίαστο.
καετσκενάσθη δὲ ἄνευ σιδήρου, καὶ οὐδέποτ' ἔψαυεν αὐτοῦ σίδη-
ρος. περιέστεφε δὲ τόν τε ναὸν καὶ τὸν βωμὸν εὔλιθόν τι καὶ 226
χαρίεν γείσιον ὅσον πηχυαῖον ὕψος, ὃ διεῖργεν ἐξωτέρω τὸν δῆμον
ἀπὸ τῶν ἱερέων. γονορροίοις μὲν δὴ καὶ λεπροῖς ἡ πόλις ὅλη, τὸ 227
δ' ἱερὸν γυναικῶν ἐμμήνοις ἀπεκέκλειστο, παρελθεῖν δὲ ταύταις
οὐδὲ καθαραῖς ἐξῆν ὃν προείπαμεν ὅρον. ἀνδρῶν δ' οἱ μὴ καθάπαν
ἠγνευκότες εἴργοντο τῆς ἔνδον αὐλῆς, καὶ τῶν ἱερέων πάλιν οἱ [μὴ]
καθαρεύοντες εἴργοντο.

7. Τῶν δ' ἀπὸ γένους ἱερέων ὅσοι διὰ πήρωσιν οὐκ ἐλειτούρ- 228
γουν παρῆσάν τε ἅμα τοῖς ὁλοκλήροις ἐνδοτέρω τοῦ γείσιου καὶ
τὰς ἀπὸ τοῦ γένους ἐλάμβανον μερίδας, ταῖς γε μὴν ἐσθῆσιν ἰδιω-
τικαῖς ἐχρῶντο· τὴν γὰρ ἱερὰν ὁ λειτουργῶν ἠμφιέννυτο μόνος.
ἐπὶ δὲ τὸ θυσιαστήριον καὶ τὸν ναὸν ἀνέβαινον οἱ τῶν ἱερέων 229
ἄμωμοι, βύσσον μὲν ἀμπεχόμενοι, μάλιστα δὲ ἀπὸ ἀκράτου νή-
φοντες δέει τῆς θρησκείας, ὡς μή τι παραβαῖεν ἐν τῇ λειτουργίᾳ.
ὁ δὲ ἀρχιερεὺς ἀνῄει μὲν σὺν αὐτοῖς, ἀλλ' οὐκ ἀεί, ταῖς δ' ἑβδο- 230

PAMLVRC Lat Hegesippus V 9 p. 290.

1 δ'] δὲ VRC, om. L πρὸ] πρ̣ (h. e. πρὸσ) L δὲ AVR 2 πη-
χῶν L ἀνὰ πεντήκοντα] *quadragenis* Lat 3 ἵδρυτο] δ' ἵδρυτο ed. pr.
κερατοειδῆσ VRC¹ 4 πρόσαντισ R προσάντισ C et ex corr. V ὑπτί-
αστοσ C 5 δ' C post ἄνευ 1—2 litt. eras. A οὐδέποτε LVRC ἔψαυσεν
MC 6 περιέστ·εφε V δὲ om. P εὔλι··θόν (eras. uid. λι) P καὶ
om. L 7 γείσιον MVR γείσειον L ὅσον] ὅσον καὶ L διεῖργεν] διήγει-
ρεν V 8 τῶν ἱερῶν PA γονορροίοις — 9 παρελθεῖν] *gonorrutos hoc est
semine fluentes itemque leprosos tota ciuitas arcebat et feminis menstrua fluen-
tibus clausa erat* Lat γονορύοισ PA γονορρίοισ L γονοροίοισ (οι ex ρι
corr. V) VR ἡ] ἦν PA 9 τὸ δ' ἱερὸν] τὸ διεῖργον τὸ δ' ἱερὸν PAM τὸ
διεῖργον VR εἶχεν τὸ διεῖργον L διείργετο C; uid. praefationem et de re Ant.
Iud. III 261 γυναικῶν] γυναικῶν δὲ (δ' L) LVRC ἐμμηνίοις Dindorf ex
L. B. ἀποκέκλειστο L 10 ὃν] δι' ὃν L προείπομεν MLV²C δὲ
VR καθάπαν] κατὰ πᾶν ALVRC 11 ἠγνευκότεσ PALC ἱερέων]
ἱερῶν PA ἱερέων δὲ L μὴ om. Lat 13 i. marg. ιε' C δὲ VRC ἱε-
ρέων om. L διὰ πήρωσιν] διαπηρώσεισ L διαπείρωσιν C 14 γειτίου L
15 τὰσ om. M ἐσθήσεσιν AMVRC ἐσθήτεσιν P 17 δὲ om. M ἱερῶν P
18 δ' LC ἀπὸ ἀκράτου] ἀπακράτου L 19 δέει] ἀεὶ δέει PAM παρα-
βαῖεν ἐν] παραβαῖεν P παραβαίνειεν L 20 ἀνῄει] ἀνείη PAL ἀνίει R et
ex corr. V δὲ PLVRC

μάσι καὶ νουμηνίας καὶ εἴ τις ἑορτὴ πάτριος ἢ πανήγυρις ἦν πάν-
231 δημος ἀγομένη δι' ἔτους. ἐλειτούργει δὲ τοὺς μηροὺς μέχρις αἰδοίου διαζώματι καλύπτων λιτοῦν τε ὑποδύτην ἔνδοθεν λαμβάνων καὶ ποδήρη καθύπερθεν ὑακίνθινον, ἔνθυμα στρογγύλον θυσανωτόν· τῶν δὲ θυσάνων ἀπήρτητο κώδωνες χρύσεοι καὶ ῥοαὶ παράλληλοι, βρον-
232 τῆς μὲν οἱ κώδωνες, ἀστραπῆς δ' αἱ ῥοαὶ σημεῖον. ἡ δὲ τὸ ἔνθυμα τῷ στέρνῳ προσηλοῦσα ταινία πέντε διηνθισμένη ζώναις ποικίλτο, χρυσοῦ τε καὶ πορφύρας καὶ κόκκου πρὸς δὲ βύσσου καὶ ὑακίνθου, δι' ὧν ἔφαμεν καὶ τὰ τοῦ ναοῦ καταπετάσματα συν-
233 φάνθαι. τούτοις δὲ καὶ ἐπωμίδα κεκραμένην εἶχεν, ἐν ᾗ πλείων χρυσὸς ἦν. σχῆμα μὲν οὖν ἐνδυτοῦ θώρακος εἶχεν, δύο δ' αὐτὴν ἐνελύτρων ἀσπιδίσκαι χρυσαῖ. κατεκέκλειντο δ' ἐν ταύταις κάλλιστοί τε καὶ μέγιστοι σαρδόνυχες, τοὺς ἐπωνύμους τῶν τοῦ ἔθνους
234 φυλῶν ἐπιγεγραμμένοι. κατὰ δὲ θάτερον ἄλλοι προσήρτηντο λίθοι ὠδέκα, κατὰ τρεῖς εἰς τέσσαρα μέρη διηρημένοι. σάρδιον τόπαζος σμάραγδος, ἄνθραξ ἴασπις σάπφειρος. ἀχάτης ἀμέθυστος λιγύριον. ὄνυξ βήρυλλος χρυσόλιθος, ὧν ἑφ' ἑκάστου πάλιν εἰς τῶν ἐπω-
235 νύμων ἐγέγραπτο. τὴν δὲ κεφαλὴν βυσσίνη μὲν ἔσκεπεν τιάρα, κατέστεπτο δ' ὑακίνθῳ, περὶ ἣν χρυσοῦς ἄλλος ἦν στέφανος ἔκτυπα
236 φέρων τὰ ἱερὰ γράμματα· ταῦτα δ' ἐστὶ φωνήεντα τέσσαρα. ταύτην μὲν οὖν τὴν ἐσθῆτα οὐκ ἐφόρει χρόνιον, λιτοτέραν δ' ἀνελάμβανεν.

PAMLVRCLatHegesippus V 9 p. 290.

1 *καὶ εἴ — 2 ἔτους*] *uel si quando patria festiuitas atque annua ab omni populo agebatur* Lat *καὶ εἰ*] *κἂν ἢ* P *κἂν εἴ* A *κἂν ἦ* L *ἦν*] Destinon *ἦ* PAL, om. MVRC 2 *δι'*] *ἦν δι'* R^2 de sacerdotis uestitu cf. Ant. Iud. III 152sq. *μέχρις*] *μὲν ἄχρι* AMLVRC recte si mox *δὲ* scribetur 3 *διαζώματι*] Dindorf *διαζώσματι* codd. *τε*] *δὲ* L *ἔνδοθεν*] *ἔνθεν* C 4 *ποδήρη*] *ποδήρη καὶ* P *ποδῆρες* MVRC *θυσανωτόν*] PALLat *θυσανωτὸν ἔργον* MVRC 5 *ἀπήρτηνται* L *ῥόαι* A^1 *ῥοιαὶ* C *παράλληλαι* PA *καὶ βροντῆς* C 6 *δὲ* LVRC *ῥόαι* PA^1 *ῥοιαὶ* C *ἡ*] *ἦν* AL *εἴη* C *τὸ*] *τῷ* V^1C 7 *προσειλοῦσα* LV *ταινία* PAV^1R *διηνθισμένη, η* finale i. ras. A 9 *ὑακινθίνου* L 10 ad § 233sq. cf. Ant. Iud. III 165sq. *κρεμαμένην* L *πλείω* PAVR *πλείον* sic C 11 *οὖν* om. ALC *ἐνδυτοῦ*] *ἐπενδύτου* L fort. recte *δὲ* LVR 12 *ἐνεπόρπουν* MLVRC *κατεκέκλιντο* VR *κατεκέκληντο* C *δὲ* AMVR 13 *σαρδώνυχες* MLC 14 *φυλῶν, φ* i. ras. M *θάτερον*] *τὸν ἕτερον* L 15 *διηρημέναι, α* fort. ex *ο* corr. A *τόπαζος*] *τὸ πάζιον* L *topazion* Lat 16 *ἰάσπις* PR *ἴασπις* C *σάπφιρος* V^1R *ἀμέθυστος*] PVRCLat *ἀμέθυσος* AML; cf. Ant. Iud. III 168 17 *βηρύλλος* PA 18 *ἐγγέγραπτο* C post *κεφαλὴν* eras. *μεν* L *βυσσίνην* L^1 19 *δὲ* V Lips *χρυσοῦς* M *ἔκτυπα*] *ἐκτύπωμα* C 20 *δέ ἐστι* LVRC *φωνήεντα, φ* ex *ν* corr. A *ταύτην* — 467,1 *ἄδυτον*] *ea quidem ueste post tempus, minus autem ambitiosa utebatur si quando adyta introibat* Lat 21 *οὐκ ἐφόρει τὴν ἐσθῆτα* tr. L *οὐκ* delet Bonfrerius *χρόνιον*] *τὸν ἄλλον χρόνον* LVRC *λιτωτέραν* LVR *δ'*] *δὲ* V et m. 1 Lips *γὰρ* C

ὁπότε δ' εἰσίοι εἰς τὸ ἄδυτον· εἰσῄει δ' ἅπαξ κατ' ἐνιαυτὸν μόνος
ἐν ᾗ νηστεύειν ἔθος ἡμέρᾳ πάντας τῷ θεῷ. καὶ τὰ μὲν περὶ τῆς 237
πόλεως καὶ τοῦ ναοῦ τῶν τε περὶ τοῦτον ἐθῶν καὶ νόμων αὖθις
ἀκριβέστερον ἐροῦμεν· οὐ γὰρ ὀλίγος περὶ αὐτῶν καταλείπεται λόγος.
S. Ἡ δ' Ἀντωνία κατὰ γωνίαν μὲν δύο στοῶν ἔκειτο τοῦ πρώ- 238
του ἱεροῦ, τῆς τε πρὸς ἑσπέραν καὶ τῆς πρὸς ἄρκτον. δεδόμητο δὲ
ὑψηλῇ πέτρᾳ πεντηκονταπήχους μὲν ὕψος, περικρήμνου δὲ πάσης·
ἔργον δ' ἦν Ἡρῴδου τοῦ βασιλέως, ἐν ᾧ μάλιστα τὸ φύσει μεγαλό-
νουν ἐπεδείξατο. πρῶτον μὲν γὰρ ἐκ βίζης ἡ πέτρα πλαξὶ κεκάλυπτο 239
λείαις λίθων, εἵς τε κάλλος καὶ ὡς ἀπολισθάνοι πᾶς ὁ προσβαίνειν
ἢ κατιέναι πειρώμενος. ἔπειτα πρὸ τῆς τοῦ πύργου δομήσεως 240
τριῶν πηχῶν εἶχος ἦν. ἐνδοτέρω δὲ τοίτου τὸ πᾶν ἀνάσιμα τῆς
Ἀντωνίας ἐπὶ τεσσαράκοντα πήχεις ἠγέρετο. τὸ δ' ἔνδον βασιλεῖον 241
εἶχε χώραν καὶ διάθεσιν· μεμέριστο γὰρ εἰς πᾶσαν οἴκων ἰδέαν τε
καὶ χρῆσιν περίστοά τε καὶ βαλανεῖα καὶ στρατοπέδων αὐλαῖς
πλατείαις, ὡς τῷ μὲν πάντ' ἔχειν τὰ χρειώδη πόλις εἶναι δοκεῖν,
τῇ πολυτελείᾳ δὲ βασίλειον. πυργοειδὴς δὲ οὖσα τὸ πᾶν σχῆμα 242
κατὰ γωνίαν τέσσαρσιν ἑτέροις διείληπτο πύργοις, ὧν οἱ μὲν ἄλλοι
πεντήκοντα τὸ ὕψος, ὁ δ' ἐπὶ τῇ μεσημβρινῇ καὶ κατὰ ἀνατολὴν
γωνίᾳ κείμενος ἑβδομήκοντα πηχῶν ἦν, ὡς καθορᾶν ὅλον ἀπ' αὐτοῦ
τὸ ἱερόν. καθὰ δὲ συνῆπτε ταῖς τοῦ ἱεροῦ στοαῖς εἰς ἀμφοτέρας 243
εἶχε καταβάσεις, δι' ὧν κατῆσαν οἱ φρουροί· καθῆστο γὰρ [ἀεὶ] 244

PAMLVRC Lat Hegesippus V 10 p. 291.

1 *δ'*] *δὲ* VRC, om. Lat delent Bernard et Bonfrerius *εἰσίοι* PC *εἰσίει* (*ι* i. ras. R) LR *δὲ* MLV *μόνος κατενιαυτὸν ἅπαξ* tr. L 2 *ἡμέρᾳ ἔθος* tr. L 3 *τε περὶ*] *ἐπὶ* PM *τ' ἐπὶ* A *τε ἐπὶ* VRC *περὶ τοῦτον* om. Lat *τοῦτον*] *τούτοις* PAMVRC *καὶ* L 4 *περιλείπεται* L 5 *δὲ* VRC *ἔκειτο δύο στοῶν* tr. C 6 *δεδώμητο* PA *δ'* LC 7 *πεντηκοντα-πήχους, ους* ex *εισ* corr. L *ὕψους* AL¹C et ex corr. P *περικρήμνους* L¹ 8 *δὲ* AVR *τοῦ* om. LVRC *μεγαλώνουν* C 9 *γὰρ* om. R *κεκάλυπτο πλαξὶ* tr. V 10 *προσβῆναι* L 11 *ἢ*] PLat *καὶ* AMLVRC *πρὸ — δομήσεως*] *ante prioris turris aedificium* ut uid. Lat *δωμήσεως* PA 12 *ἀνάστημα*] *διάστημα* PAMVRC *spatium* Lat 13 *τεσσα|κοντα* P *τεσσεράκοντα* V¹R *δὲ* VRC 14 *χώρα* C *γὰρ*] L *δὲ* PAMVR *μὲν* C *εἰδέαν* P *ἰδίαν* L 15 *περίστωά* MVR *καὶ* (ante *στρατοπ.*) iterauit in confinio paginarum A *στρατοπέδων — 16 πλατείαις*] *aulas castris aptissimas* Lat *αὐλᾶσ πλατειαισ* A¹ *αὐλὰσ πλατείασ* C *αὐλαῖς πλατείας* Niese 16 *τῷ*] *τὸ* PVR *πάντα* MVRC *πόλι*$^{\sigma}$ A *πόλεισ* C *δοκεῖν*] *δοκοίη* L 18 *τέσαρσι* C *ὧν — 19 ὕψος* om. M *ὧν*] *ὡσ* L 19 *δὲ* VRC *μεσημβρινὴ* C *κατ'* MLVRC 21 *καθὰ*] *καθάπερ* L *συνῆπται* A *συνῆπτο* MLVRC 22 *κατίεσαν* P¹A *κατιόντεσ* VR *κατιῶντεσ* C *ἀεὶ* om. P

ἐπ' αὐτῆς τάγμα Ῥωμαίων, καὶ διιστάμενοι περὶ τὰς στοὰς μετὰ
τῶν ὅπλων ἐν ταῖς ἑορταῖς τὸν δῆμον, ὡς μή τι νεωτερισθείη,
245 *παρεφύλαττον· φρούριον γὰρ ἐπέκειτο τῇ πόλει μὲν τὸ ἱερόν, τῷ*
ἱερῷ δ' ἡ Ἀντωνία, κατὰ δὲ ταύτην οἱ τῶν τριῶν φύλακες ἦσαν·
καὶ τῆς ἄνω δὲ πόλεως ἴδιον φρούριον ἦν τὰ Ἡρώδου βασίλεια.
246 *ἡ Βεζαθὰ δὲ λόφος διῄρητο μέν, ὡς ἔφην, ἀπὸ τῆς Ἀντωνίας,*
κάντων δ' ὑψηλότατος ὢν μέρει τῆς καινῆς πόλεως προσῴκιστο,
247 *καὶ μόνος τὸ ἱερὸν κατ' ἄρκτον ἐπεσκόπει. περὶ μὲν δὴ τῆς πόλεως*
καὶ τῶν τειχῶν αὖθις εἰπεῖν ἀκριβέστερον ἕκαστα προτεθειμένοις
ἐπὶ τοῦ παρόντος ἀπόχρη.

248 VI. 1. *Τὸ μάχιμον δ' ἐν αὐτῇ καὶ στασιάζον πλῆθος περὶ*
Σίμωνα μὲν ἦσαν μύριοι δίχα τῶν Ἰδουμαίων, πεντήκοντα δ' ἡγε-
249 *μόνες τῶν μυρίων, ἐφ' οἷς οὗτος κύριος τῶν ὅλων. Ἰδουμαῖοι δ'*
αὐτῷ συντελοῦντες εἰς πεντακισχιλίους ἄρχοντας εἶχον δέκα· τούτων
προὔχειν ἐδόκουν ὅ τε τοῦ Σωσᾶ Ἰάκωβος καὶ Σίμων υἱὸς Καθλᾶ.
250 *Ἰωάννης δὲ τὸ ἱερὸν κατειληφὼς ἑξακισχιλίους ὁπλίτας εἶχεν ὑφ'*
ἡγεμόνας εἴκοσι. προσεγένοντο δὲ αὐτῷ τότε καὶ οἱ ζηλωταὶ παυ-
σάμενοι τοῦ διαφέρεσθαι, δισχίλιοι μὲν ὄντες καὶ τετρακόσιοι, χρώ-
μενοι δ' ἄρχοντι τῷ καὶ πρότερον Ἐλεαζάρῳ καὶ Σίμωνι τῷ τοῦ Ἀρι-
251 *νοῦ. πολεμούντων δὲ τούτων, ὡς ἔφαμεν, ἄθλον ὁ δῆμος ἦν ἑκατέ-*
ρων, καὶ τὸ μὴ συναδικοῦν τοῦ λαοῦ μέρος ὑπ' ἀμφοῖν διηρπάζετο.

PAMLVRC Lat Hegesippus V 8 p. 288.

3 *φρούρειον* C *γὰρ*] *μὲν γὰρ* C *τῷ ἱερῷ*] *τὸ ἱερὸν* R¹ 4 *δ'*] *δὲ* LVRC *κατὰ — ἦσαν*] *in hac autem porticu custodes erant* Lat *δὲ*] *δὴ* Destinon *τῶν τριῶν*] h. e. urbis et templi et Antoniae 5 *δὲ* om. VRC *ἴδιον*] *aliud* Lat *ἦν*] *ἦν γὰρ ἐπέκειτο* (*γὰρ ἐπέκειτο* deleta) V 6 *Βεζαθὰ*] *βεζεθὰ* AMVRC *βησσαθὴ* L *bessathe* aut *bassathe* Lat; cf. supra § 151 *ὡς ἔφην διῄρητο μὲν* tr. L 7 *δὲ* LVR *ὑψηλώτατος* R *μέρει*] *etiam parti* Lat *προσῴκιστο*] *προσώκειστο* ex *προσέκειτο* corr. C 8 *τὸ ἱερὸν*] PA *τῷ ἱερῷ* MLVRC *ἐπεσκόπει* LVRC *obstabat* Lat *δὴ* om. L 9 *εἰπεῖν* — 10 *ἀπόχρη*] *scribere plenius cuncta cupiens in praesentia satis dixi* Lat *προτεθειμένοις* (*τε* ex *τι* corr. C) MVRC *προτιθέμενος* L 10 *παρόντως* C *ἀπόχρη*] *ἀποχρώντως εἴρηκα* MLVRC 11 i. marg. *ις'* C *δὲ* VR 12 *μύριοι ἦσαν* tr. PAMVRC *δὲ* V 13 *μυρίων*] *κυρίων* R *οὗτος κύριος*] *ipse quasi — dominus* Lat *δὲ* VR 14 *συντελοῦντες*] *συνελθόντες* P *συντηροῦντες* L *εἶχον*, *ο* ex *α* corr. uid. A *εἶ*|*χον* C 15 *τοῦ*] i. ras. A om. M *σωσὰ* P *σώσα* L *sosiae* Lat *σίμωνος* C *υἱὸς*] *ὁ παῖς* L *καθλά* PA *κλαθᾶ* M *κατθέα* L *catiae* aut *cattae* Lat (*simon*) *iunior* Heg; cf. IV 235 17 *δ'* LC 19 *δὲ* VR *τῷ* (ante *τοῦ*)] *τὸ* P, om. VRC *Ἀρινοῦ*] *ἀριανοῦ* PAM *ἀρειανοῦ* VR *ἰασίρου* C *arini* LatHeg *Ἀρὶ* infra VI 92 (1,8); 148 (2,6) 20 *ἑκατέρων*] *ἑκατέρω* L, om. Lat

κατεῖχεν δ' ὁ μὲν Σίμων τήν τε ἄνω πόλιν καὶ τὸ μέγα τεῖχος 252
ἄχρι τοῦ Κεδρῶνος τοῦ τε ἀρχαίου τείχους ὅσον ἀπὸ τῆς Σιλωᾶς
ἀνακάμπτον εἰς ἀνατολὴν μέχρι τῆς Μονοβάζου κατέβαινεν αὐλῆς·
βασιλεὺς δ' οὗτος ἦν τῶν ὑπὲρ Εὐφράτην Ἀδιαβηνῶν· κατεῖχε δὲ 253
καὶ τὴν πηγὴν καὶ τῆς Ἄκρας, αὕτη δ' ἦν ἡ κάτω πόλις, τὰ μέχρι
τῶν Ἑλένης βασιλείων τῆς τοῦ Μονοβάζου μητρός, ὁ δ' Ἰωάννης 254
τό θ' ἱερὸν καὶ τὰ πέριξ ἐπ' οὐκ ὀλίγον τόν τε Ὀφλᾶν καὶ τὴν
Κεδρῶνα καλουμένην φάραγγα. τὸ μεταξὺ δὲ τούτων ἐμπρήσαντες
ἰῷ πρὸς ἀλλήλους πολέμῳ χώραν ἀνεῖσαν· οὐδὲ γὰρ πρὸς τοῖς 255
τείχεσιν ἐστρατοπεδευμένων Ῥωμαίων ἔνδον ἡ στάσις ἠρέμει, βραχὺ
δὲ πρὸς τὴν πρώτην ἐπονήψαντες ἐκδρομὴν ἀνενόσουν καὶ κατὰ
σφᾶς πάλιν διαστάντες ἐμάχοντο, τὰ κατ' εὐχήν τε πάντα τοῖς
πολιορκοῦσιν ἔπραττον. οὔτε γοῦν αὐτοί τι χεῖρον ὑπὸ Ῥωμαίων 256
ἔπαθον ὧν ἀλλήλους ἔδρασαν, οὔτε μετὰ τούτους ἡ πόλις ἐπειράθη
καινοτέρου πάθους, ἀλλ' ἡ μὲν χαλεπώτερόν τι πρὸ τοῦ πεσεῖν
ἰδύχησεν, οἱ δ' ἑλόντες αὐτὴν κατώρθωσάν τι μεῖζον. φημὶ γὰρ 257
ὡς τὴν μὲν πόλιν ἡ στάσις, Ῥωμαῖοι δ' εἶλον τὴν στάσιν, ἥπερ
ἦν πολὺ τῶν τειχῶν ὀχυρωτέρα· καὶ τὸ μὲν σκυθρωπὸν τοῖς οἰ-
κείοις, τὸ δίκαιον δ' ἄν τις εὐλόγως Ῥωμαίοις προσγράφοι. νοείτω
δὲ ὅπῃ τοῖς πράγμασιν ἕκαστος ἄγεται.

2. Τῶν γε μὴν ἔνδον οὕτως διακειμένων ὁ Τίτος μετ' ἐπι- 258
λέκτων ἱππέων περιιὼν ἔξωθεν ᾗ προσβάλλοι τοῖς τείχεσι κατε-

PAMLVRC Lat Hegesippus V 8 p. 288.

1 δὲ VR ἄνω] ἄν R¹ μέγα] ἄνω C 2 τοῦ τε] τοῦ̄ C ὅσον — 3 αὐλῆς] *quantum a siloa flectitur ad orientem et usque ad monabazi aulam descendit* Lat σιλωὰς P σιλώας AL 3 ἀνακάμπτων P ἀνακάπτων C μέχρι] ὃ μέχρι PAVRC 4 δ'] δὲ VR, om. L ἦν] ἐστιν LLat fort. recte τῶν] τὸν A 5 πη|πηγὴν C καὶ om. LLat τῆς Ἄκρας] AMLVRLat τὰς ἄκρας P τὴν ἄκραν C δὲ AVR τὰ] PAMLat καὶ τὰ LVRC 6 ἐλένης PA βασιλείων] καὶ βασιλείων P μνημείων βασιλείων L ὁ δ' Ἰωάννης — 9 ἀνεῖσαν] *iohannes uero templo et circum templum aliquatenus incensis omnibus itemque ofla et ualle quae cedron appellatur et aliis quae interiacebant medium bello quod inter se gerebant spatium aperuerunt* Lat δὲ PLVRC 7 θ'] om. PL τὲ MVRC ὀπλᾶν PA ὄφλαν L; cf. ad p. 236, 18 8 τὸ] τὴν L μεταξὺ, ξ ex ζ corr. L 9 χώραν] τὴν χώραν L ἀνῆσαν ML 11 ὑπονήψαντες] ὑπόνοιαν ἐκνίψαντεσ L 12 τὰ κατ' εὐχήν τε] κατά τε εὐχὴν VRC πάντα, ντ i. ras. L 14 ὧν] ὡσ L 15 κενοτέρου L 16 δὲ VRC κατόρθωσαν PC 17 δὲ VRC 18 ὀχυροτέρα C ἰσχυροτέρα L 19 δ' s. A ῥωμαίοισ εὐλόγωσ tr. L νοήτω C 20 δ' C 21 i. marg. ιζ' C οὕτω VRC 22 ἱππέων om. L ᾗ] πῶσ L προσβάλοι PAR προσβαλεῖ M προσβάλλει V

259 σκέπτετο. ἀπορουμένῳ δὲ πάντοθεν, οὔτε γὰρ κατὰ τὰς φάραγγας
ἦν προσιτὸν καὶ κατὰ θάτερα τὸ πρῶτον τεῖχος ἐφαίνετο τῶν ὀρ-
γάνων στερεώτερον, ἐδόκει κατὰ τὸ Ἰωάννου τοῦ ἀρχιερέως μνημεῖον
260 προσβαλεῖν· ταύτῃ γὰρ τό τε πρῶτον ἦν ἔρυμα χθαμαλώτερον καὶ
τὸ δεύτερον οὐ συνῆπτεν ἀμελησάντων καθὰ μὴ λίαν ἡ καινὴ 5
πόλις συνῳκίστο τειχίζειν, ἀλλ' ἐπὶ τὸ τρίτον ἦν εὐπέτεια, δι' οὗ
τὴν ἄνω πόλιν καὶ διὰ τῆς Ἀντωνίας τὸ ἱερὸν αἱρῆσειν ἐτενόει.
261 ἐν δὲ τούτῳ περιόντος αὐτοῦ τοξεύεταί τις τῶν φίλων, ὄνομα Νι-
κάνωρ, κατὰ τὸν λαιὸν ὦμον, ἔγγιον μετὰ τοῦ Ἰωσήπου προσελθὼν
καὶ πειρώμενος εἰρηνικὰ τοῖς ἐπὶ τοῦ τείχους, οὐ γὰρ ἄγνωστος 10
262 ἦν, διαλέγεσθαι. διὰ τούτου τὰς ὁρμὰς αὐτῶν ἐπιγνοὺς Καῖσαρ,
εἰ μηδὲ τῶν ἐπὶ σωτηρίᾳ προσιόντων ἀπέχοιντο, παροξύνεται πρὸς
τὴν πολιορκίαν, ἅμα τε καὶ τοῖς τάγμασι δημοῦν τὰ πρὸ τῆς πόλεως
263 ἠφίει καὶ συμφέροντας ἐκέλευσε τὴν ὕλην ἐγείρειν χώματα. τριχῇ
δὲ διατάξας τὴν στρατιὰν πρὸς τὰ ἔργα μέσους ἵστησι τῶν χω- 15
μάτων τούς τε ἀκοντιστὰς καὶ τοξότας καὶ πρὸ τούτων τοὺς ὀξυ-
βελεῖς καὶ καταπέλτας καὶ τὰς λιθοβόλους μιχανάς, ὡς τάς τε ἐκ-
δρομὰς εἴργοι τῶν πολεμίων ἐπὶ τὰ ἔργα καὶ τοὺς ἀπὸ τοῦ τείχους
264 κωλύειν πειρωμένους. κοπτομένων δὲ τῶν δένδρων τὰ προάστεια
μὲν ἐν τάχει γεγύμνωτο, συμφερομένων δ' ἐπὶ τὰ χώματα τῶν 20
ξύλων καὶ τῆς στρατιᾶς ἁπάσης ἐπὶ τὸ ἔργον ὡρμημένης οὐδὲ τὰ
265 παρὰ τῶν Ἰουδαίων ἠρέμει. τὸν μὲν οὖν δῆμον ἐν ἁρπαγαῖς ὄντα
καὶ φόνοις συνέβαινε τότε θαρρεῖν· ἀναπνεύσειν τε γὰρ περισπω-
μένων πρὸς τοὺς ἔξωθεν ἐπελάμβανον καὶ λήψεσθαι παρὰ τῶν
αἰτίων αὐτοὶ δίκας, εἰ Ῥωμαῖοι περιγένοιντο. 25
266 3. Ἰωάννης δὲ καίτοι χωρεῖν ἐπὶ τοὺς ἔξωθεν πολεμίους τῶν

PAMLVRC LatHegesippus V 10 p. 291. Zonaras I p. 528.

2 ἦν] ἦν που VRC προσητὸν M θάτερον L ὀργάνων] *instrumentis siue machinis* Lat 3 ἔδοξε Zon 4 προσβάλλειν LZon ταύτῃ γὰρ] *hic enim tantummodo* Lat 6 ἀλλ' corruptum uid. ἦν εὐπέτεια] ἠνεπέτει P ἦν εὐπέτει A ἐπέτεινε M *facilis aditus illa erat* Lat 7 τὴν] τήν τε M fort. recte 8 ἐν — αὐτοῦ] *haec eo conlustrante* Lat περιόντος L ὀνόματι VRC 10 οὐ — 11 διαλέγεσθαι] *dicendi enim peritus erat* Lat et similiter Heg, unde οὐ γὰρ ἄγνωστος ἦν γλῶσσαν Hudson 11 τοῦτο L 13 τὴν om. L ἅμα τε καὶ τοῖς] Destinon ἅμα τε σὺν τοῖς codd. ἡγεμόνα τε σὺν τάγμασιν Hudson ἅμα τε τοῖς Dindorf ἅμα τε οὖν Holwerda δηοῦν, δ ex ν corr. A 14 ἠφίει] ἐφήει L συμφύροντας P συμφοροῦντασ LZon; cf. p. 33, 6 τὴν ὕλην ἐκέλευσεν tr. M 17 καὶ ante καταπέλτας eicit L. Dindorf τ' AL 20 εγεγύμνωτο V¹ συμφυρομένων L fort. recte δὲ VR 21 ἁπάσης] πάσης L 23 ἀναπνεύσειν, litt. νεύσε i. ras. A 26 ἔξωθεν] ἔξω (s. L) MLVRC

πτερὶ αὐτὸν ὡρμημένων, δέει τοῦ Σίμωνος ἔμενεν. οὐ μὴν ὁ Σίμων 267
ὁρμεῖ, καὶ γὰρ ἦν ἐγγίων τῇ πολιορκίᾳ, τὰ δ' ἀφετήρια διίστησιν
ἐπὶ τοῦ τείχους, ὅσα Κέστιόν τε ἀφῄρηντο πρότερον καὶ τὴν ἐπὶ
τῆς Ἀντωνίας φρουρὰν ἑλόντες ἔλαβον. ἀλλὰ τούτων μὲν τοῖς 268
πολλοῖς ἀχρεῖος ἡ κτῆσις ἦν δι' ἀπειρίαν· ὀλίγοι δ' ὑπὸ τῶν αὐτο-
μόλων διδαχθέντες ἐχρῶντο κακῶς τοῖς ὀργάνοις, χερμάσι δὲ καὶ
τόξοις τοὺς χωννύντας ἔβαλλον ἀπὸ τοῦ τείχους καὶ καιὰ συντάξεις
ἐκτρέχοντες αὐτοῖς συνεπλέκοντο. τοῖς δὲ ἐργαζομένοις ἀπὸ μὲν 269
τῶν βελῶν ἦν σκέπη γέρρα τῶν χαρακωμάτων ὑπερτεταμένα, τὰ
δ' ἀφετήρια πρὸς τοὺς ἐκθέοντας· θαυμαστὰ δὲ πᾶσι μὲν κατε-
σκεύαστο τοῖς τάγμασι, διαφόρως δὲ τῷ δεκάτῳ βιαιότεροί τε ὀξυ-
βελεῖς καὶ μείζονα λιθοβόλα. δι' ὧν οὐ μόνον τὰς ἐκδρομὰς ἀλλὰ
καὶ τοὺς ἐπὶ τοῦ τείχους ἀνέτρεπον. ταλαντιαῖοι μὲν γὰρ ἦσαν αἱ 270
βαλλόμεναι πέτραι, δύο δὲ καὶ πλείονας ἧσαν σταδίους· ἡ πληγὴ
δ' οὐ τοῖς προεντυχοῦσι μόνον, ἐπὶ πολὺ δὲ καὶ τοῖς μετ' ἐκείνους
ἦν ἀνυπόστατος. οἵ γε μὴν Ἰουδαῖοι τὸ πρῶτον ἐφυλάττοντο τὴν 271
πέτραν· λευκὴ γὰρ ἦν, ὥστε μὴ τῷ ῥοίζῳ σημαίνεσθαι μόνον, ἀλλὰ
καὶ τῇ λαμπρότητι προορᾶσθαι. σκοποὶ οὖν αὐτοῖς ἐπὶ τῶν πύρ- 272
γων καθεζόμενοι προεμήνυον, ὁπότε σχασθείη τὸ ὄργανον καὶ ἡ
πέτρα φέροιτο, τῇ πατρίῳ γλώσσῃ βοῶντες „ὁ υἱὸς ἔρχεται." διί-
στατο δὲ καθ' οὓς ἦει καὶ προκατεκλίνοντο, καὶ συνέβαινε φυλατ-

---

PAMLVRC Lat Suidas s. *τάλαντον*.

1 ἔμεινεν L οὐ μὴν] *uerum* Lat σήμων C 2 ἐγγίων] ετιὼν P ἔτι ὢν A ἐγγίζων L ἐγγιὼν VRC *proximus* Lat ἔγγιον ed. pr.; aliquod uitium subesse suspicatur Destinon δὲ VRC 3 ὅσα — 4 ἔλαβον] *quae pridem romanis abstulerat, cum praesidium quod apud antoniam fuerat cepit* Lat τὸ πρότερον L 5 ὀλίγων P ὀλίγον VRC δὲ VRC αὐτομόλων] πολεμίων αὐτομόλων MVRC 7 τόξοις] τόξοισι καὶ τοῖσ ὀργάνοισ L 8 δ' LC ἀπὸ] ἦν ἀπὸ C 9 ἦν] ἡ PALVRC ad *γέρρα* i. marg. σκεπάσματα VR τῶν om. VRC χαρακωμάτων] χωμάτων L fort. recte *uallum* Lat 10 δὲ VR πᾶσι μὲν] πᾶσιν C 11 τάγμασι] ταύμασι·, post τ ras. 1 litt. conspicere uisus sum dubitans, post ι eras. ν L διαφόρως] διαφορωτέρω L τε] δὲ LLat 12 μείζω L μόνασ L μόνων C 13 καὶ iterauit A ταλαντιαῖοι] incip. Suidas ταλαντιαῖοι — 14 δύο] τὰ δύο sic C μὲν γὰρ] γε μὴν LSuid μέν γε VR οἱ βαλλόμενοι πέτροι MVRSuid 14 δύο — σταδίους] *et ultra modum stadii torquebantur* Lat πλείονας] πλεῖον MVRC πλέον LLatSuid ἦεσαν] PA ἀπέεσαν MLVRCSuid σταδίου uertit Lat 15 δὲ VRC προσεντυχοῦσι PA¹LV προστυχοῦσι Suid ἐπὶ τὸ πολὺ AM τοῖς] τοὺσ R 16 ἀνυπόστατος] finit Suid 17 ὥστε μὴ] ὡσ μήτε VRC τῷ] s. P τὸ A¹ ·ροίζω V μόνω AMVR 18 οὖν] γοῦν proposuit Destinon 19 ὁπότε] ὅπη L ὁπόταν R 20 πατρίῳ] πατρῶα L ὁ υἱὸσ] PAVRLat οὗτοσ MLC haud male ὁ ἰὸσ Hudson 21 ἦει] ἴοι Niese καὶ συνέβαινε] συνέβαινε (-νεν L) δὲ LVRC

273 τομένων ἄπρακτον διεκπίπτειν τὴν πέτραν. ἀντεπινοοῦσι δὲ Ῥω-
μαῖοι μελαίνειν αὐτήν· τότε γὰρ οὐκέθ' ὁμοίως προορωμένης εὐστό-
274 χουν καὶ πολλοὺς ἅμα βολῇ μιᾷ διέφθειρον. ἀλλ' οὐδὲ κακούμενοι
μετ' ἀδείας παρεῖχον Ῥωμαίοις ἐγείρειν τὰ χώματα, πάσῃ δ' ἐπι-
νοίᾳ καὶ τόλμῃ χρώμενοι καὶ νύκτωρ καὶ μεθ' ἡμέραν εἶργον.
275 4. Τῶν δ' ἔργων συντετελεσμένων μολιβίδι μὲν καὶ λίνῳ δια-
μετροῦσιν οἱ τέκτονες τὸ διάστημα πρὸς τὸ τεῖχος, ἀπὸ τῶν χω-
μάτων ῥίψαντες· οὐ γὰρ ἐνῆν ἄλλως ἄνωθεν βαλλομένοις· εὑρόντες
276 δ' ἐξικνεῖσθαι δυναμένας τὰς ἑλεπόλεις προσῆγον. καὶ Τίτος ἐγ-
γυτέρω τὰ ἀφετήρια διαστήσας, ὡς μὴ τοὺς κριοὺς εἴργοιεν ἀπὸ
277 τοῦ τείχους, ἐκέλευσε τύπτειν. τριχόθεν δ' ἐξαισίου κτύπου περιη-
χήσαντος αἰφνιδίως τὴν πόλιν κραυγή τε παρὰ τῶν ἔνδον ἠρθη
καὶ τοῖς στασιασταῖς ἴσον ἐμπίπτει δέος. κοινὸν δ' ἑκάτεροι τὸν
κίνδυνον ἰδόντες κοινὴν ἐπενόουν ἤδη ποιεῖσθαι καὶ τὴν ἄμυναν.
278 διαβοώντων δὲ πρὸς ἀλλήλους τῶν διαφόρων ὡς πάντα πράττοιεν
ὑπὲρ τῶν πολεμίων, δέον, εἰ καὶ μὴ διηνεκῆ δίδωσιν αὐτοῖς ὁμό-
νοιαν ὁ Θεός, ἐν γοῦν τῷ παρόντι τὴν πρὸς ἀλλήλους φιλονεικίαν
ὑπερθεμένους κατὰ Ῥωμαίων συνελθεῖν, κηρύσσει μὲν ἄδειαν ὁ
Σίμων τοῖς ἀπὸ τοῦ ἱεροῦ παρελθεῖν ἐπὶ τὸ τεῖχος, ἐπιτρέπει δὲ
279 καίπερ ἀπιστῶν ὁ Ἰωάννης. οἱ δὲ τοῦ μίσους καὶ τῶν ἰδίων δια-
φόρων λαβόντες ἀμνηστίαν ἓν σῶμα γίνονται, καὶ τὸ μὲν τεῖχος
περισχόντες ἀπ' αὐτοῦ πυρά τε παμπλήθη κατὰ τῶν μηχανημάτων
ἔσαν καὶ τοὺς ἐπιβρίθοντας τὰς ἑλεπόλεις ἀδιαλείπτως ἔβαλλον.
280 οἱ τολμηρότεροι δὲ κατὰ στίφη προπηδῶντες τὰ γέρρα τῶν μηχανη-
μάτων ἐσπάραττον καὶ τοῖς ἐπ' αὐτῶν προσπίπτοντες ἐπιστήμῃ

PAMLVRC Lat Hegesippus V 10 p. 292. Zonaras I p. 528.

1 δὲ, δ ex ν corr. A 2 μελαίνην A τότε — εὐστόχουν] *tunc enim missi non similiter incertos ictus habebant* Lat οὐκέτι LV ὁμοίως] ὁμοίωσ ὡσ L προωρομένησ C 3 μιᾷ βολῇ tr. LVRC ἀλλ' οὐδὲ] ἄλλωσ δὲ L κακύμενοι R¹ 4 μετὰ L δὲ VR 5 χρώμενοι καὶ τόλμῃ tr. L χρώ-με|μενοι C 6 i. marg. ιθ' C δὲ VRC συντετε|λεσμένων, τε in exitu uersus suppl. A μολιβδίδι Hudson edidit διεμέτρουν L 7 πρὸς] τὸ πρὸσ L 9 δὲ VR 10 διαστήσασ ex διαστασιάσασ corr. C εἵργειεν C 11 δὲ VR τριχόθεν cum τύπτειν coniungit, ἐξαισίου om. Lat 12 κραυγή] *clamor ingens* Lat τε om. LZon 13 ἴσον corruptum putat Destinon δὲ VR 14 ἰδόντεσ] εἰδότεσ PA καὶ om. Lat 18 κατὰ] κατὰ κοινὸν δ' ἑκάτεροι τὸν κίνδυνον ἰδόντεσ (cf. u. 13) L κηρύσσειν V 19 τοῖς] τουσ A 20 ἰδίων] οἰκείων L διαφορῶν MLVRC 21 ··ἀμνηστίαν, eras. αν L 22 περισχῶντεσ C πυράν LV παμπληθεῖ P 23 ἔσαν AM ἐνίεσαν LVRC *iaciebant* Lat ἐπιβριθοντας] ἐπάγοντασ L 24 τολμηρότατοι LLat στῖφοσ L προπηδόντεσ R γέρα P 25 ἐσπάρασσον M αὐτὸν C

μὲν ὀλίγα, τόλμῃ δὲ τὰ πλείω περιεγίνοντο. προσεβοήθει δὲ τοῖς 281
πονοῦσιν αὐτὸς ἀεὶ Τίτος, καὶ παρ' ἑκάτερον τῶν ὀργάνων τούς
τε ἱππέας καὶ τοὺς τοξότας διαστήσας εἶργεν μὲν τοὺς τὸ πῦρ
ἐπιφέροντας, ἀνέστελλεν δὲ τοὺς ἀπὸ τῶν πύργων βάλλοντας, ἐνερ-
γοὺς δ' ἐποίει τὰς ἐλεπόλεις. οὐ μὴν ταῖς πληγαῖς ὑπήκουε τὸ 282
τεῖχος, εἰ μὴ καθόσον ὁ τοῦ πεντεκαιδεκάτου τάγματος κριὸς γω-
νίαν διεκίνησε πύργου. τὸ δὲ τεῖχος ἀκέραιον ἦν· οὐδὲ γὰρ εὐθέως 283
συνεκινδύνευε τῷ πύργῳ προύχοντι πολὺ καὶ μὴ δυναμένῳ συν-
απορρῆξαί τι ῥᾳδίως τοῦ περιβόλου.

5. Παυσάμενοι δὲ τῶν ἐκδρομῶν πρὸς ὀλίγον καὶ τοὺς Ῥω- 284
μαίους ἐπιτηρήσαντες ἐσκεδασμένους ἐπὶ τὰ ἔργα καὶ κατὰ τὰ στρα-
τόπεδα, καμάτῳ γὰρ ἀναχωρῆσαι καὶ δέει τοὺς Ἰουδαίους ἠξίουν,
ἐκθέουσι κατὰ τὸν Ἱππικὸν πύργον διὰ πύλης ἀφανοῦς πάντες πῦρ
τε τοῖς ἔργοις ἐπιφέροντες καὶ μέχρι τῶν ἐρυμάτων ἐπὶ τοὺς Ῥω-
μαίους προελθεῖν ὡρμημένοι. πρὸς δὲ τὴν κραυγὴν αὐτῶν οἵ τε 285
πλησίον συνίσταντο ταχέως καὶ οἱ πόρρωθεν συνέθεον. ἔφθανε δ'
ἡ Ἰουδαίων τόλμα τὴν Ῥωμαίων εὐταξίαν, καὶ τοὺς προεντυγχά-
νοντας τρεψάμενοι προσέκειντο καὶ τοῖς συλλεγομένοις. δεινὴ δὲ 286
περὶ τὰς μηχανὰς συμπίπτει μάχη, τῶν μὲν ὑποπιμπράναι, τῶν
δὲ κωλύειν βιαζομένων, κραυγή τε παρ' ἀμφοτέρων ἀσύμμαντος ἦν,
καὶ πολλοὶ τῶν προαγωνιζομένων ἔπιπτον. Ἰουδαῖοι δ' ὑπερεῖχον 287
ἀπονοίᾳ, καὶ τῶν ἔργων ἥττετο τὸ πῦρ, καταφλεγῆναί τ' ἂν ἐκιν-
δύνευσε πάντα μετὰ τῶν ὀργάνων, εἰ μὴ τῶν ἀπ' Ἀλεξανδρείας
ἐπιλέκτων ἀντέστησαν οἱ πολλοὶ παρὰ τὴν σφετέραν ὑπόληψιν
ἀνδρισάμενοι· καὶ γὰρ τῶν ἐνδοξοτέρων διήνεγκαν κατὰ ταύτην τὴν
μάχην· μέχρι Καῖσαρ τοὺς τῶν ἱππέων δυνατωτάτους ἀναλαβὼν
ἐμβάλλει τοῖς πολεμίοις. καὶ δώδεκα μὲν αὐτὸς τῶν προμάχων 288

PAMLVRC Lat Hegesippus V 10 p. 292. Zonaras I p. 528.

1 post *ὀλίγα* fort. 1 litt. eras. A *περιεγένοντο* C *προσεβοήθη* C 2 *παρ'*, litt. *αρ* i. ras. A *παρ' — ὀργάνων*] *iuxta utrasque machinas* Lat 3 *ἱππεῖσ* L *τοὺς* om. L 5 *δὲ* LVRC 6 *ὁ* om. V 7 *ἀκέραιον*] *ἀκαίρεον* C 8 *τῷ·* M *συναπορῆξαι* R^1 11 *παρατηρήσαντες* Zon *ἐπὶ*] *περὶ* L *καὶ* om. L fort. recte 12 *καμάτῳ*] *καμά*| C *ἰουδαίουσ* ex *ἰδίουσ* corr. uid. M 13 *ἀφανεῖς* Cocceji *πῦρ — 14 ἐπιφέροντες* om. C 15 *προσελθεῖν* VRC *κραυγὴν*] *periculo* Lat 16 *ἔφθανε — 17εὐταξίαν*] *romanorum autem disciplina uincebat audaciam iudaeorum* Lat ut nunc est *δὲ* VR 17 *ἡ* om. L *τοὺς*] s. P *τοῖσ* VRC *προεντυχόντασ* L *προεντυγχάνουσι* VRC 18 *καὶ* om. LLat 19 *ὑποπιπρᾶναι* C *ὑποπιμπρᾶν* Zon 20 *ἀμφοτέροισ* C 21 *δὲ* LVRC 22 *ἀπονοίᾳ*] *confidentia* Lat *ἐκινδύνευσαν* L 23 *ἀπ'*] *ἐπ'* VR 24 *ἀνέστησαν* L 25 *ἀνδρισόμενοι* C *ἐνδοξωτέρων* C 26 *τοὺσ δυνατωτάτουσ τῶν ἱππέων* tr. L 27 *αὐτοῖσ* L

ἀναιρεῖ. πρὸς δὲ τὸ τούτων πάθος ἐγκλίνοντος τοῦ λοιποῦ πλήθους
ἑπόμενος συνελαύνει πάντας εἰς τὴν πόλιν κἀκ τοῦ πυρὸς διασώζει
289 τὰ ἔργα. συνέβη δ' ἐν ταύτῃ τῇ μάχῃ καὶ ζωγρηθῆναί τινα τῶν
Ἰουδαίων, ὃν ὁ Τίτος ἀνασταυρῶσαι πρὸ τοῦ τείχους ἐκέλευσεν,
290 εἴ τι πρὸς τὴν ὄψιν ἐνδοῖεν οἱ λοιποὶ καταπλαγέντες. μετὰ δὲ 5
τὴν ἀναχώρησιν καὶ Ἰωάννης ὁ τῶν Ἰδουμαίων ἡγεμὼν πρὸ τοῦ
τείχους γνωρίμῳ τινὶ στρατιώτῃ διαλεγόμενος ὑπό τινος τῶν Ἀρά-
βων κατὰ τοῦ στέρνου τοξεύεται καὶ παραχρῆμα θνήσκει, μέγιστον
τοῖς τε Ἰδουμαίοις πένθος καὶ λύπην τοῖς στασιασταῖς ἀπολιπών·
καὶ γὰρ κατά τε χεῖρα καὶ συνέσει διάσημος ἦν. 10

291 VII. 1. Τῇ δ' ἐπιούσῃ νυκτὶ ταραχὴ καὶ τοῖς Ῥωμαίοις ἐμ-
292 πίπτει παράλογος. τοῦ γὰρ Τίτου πύργους τρεῖς κατασκευάσαι
κελεύσαντος πεντηκονταπήχεις, ἵν' ἑκάστου χώματος ἐπιστήσας ἀπὸ
τούτων τοὺς ἐπὶ τοῦ τείχους τρέποιτο, συνέβη πεσεῖν αὐτομάτως
293 ἕνα μέσης νυκτός. μεγίστου δὲ ἀρθέντος ψόφου δέος ἐμπίπτει τῷ 15
στρατῷ, καὶ τοὺς πολεμίους ἐπιχειρεῖν σφίσι δόξαντες ἐπὶ τὰ ὅπλα
294 πάντες ἔθεον. ταραχὴ δὲ τῶν ταγμάτων καὶ θόρυβος ἦν, καὶ τὸ
συμβὰν οὐδενὸς εἰπεῖν ἔχοντος ἐπὶ πλεῖστον ἀποδυρόμενοι διεφέ-
295 ροντο μηδενός τε φαινομένου πολεμίου δι' ἀλλήλων ἐπτοοῦντο. καὶ
τὸ σύνθημα μετὰ σπουδῆς ἕκαστος τὸν πλησίον ἐπηρώτα καθάπερ 20
Ἰουδαίων ἐμβεβληκότων εἰς τὰ στρατόπεδα. πανικῷ τε δείματι
κυκλουμένοις παρεῴκεσαν, ἄχρι μαθὼν τὸ συμβὰν Τίτος διαγγέλλειν
ἐκέλευσε πᾶσι, καὶ μόλις ἐπαύσαντο τῆς ταραχῆς.

PAMLVRC Lat Hegesippus V 10 p. 292. Zonaras I p. 529.

1 *ἐγκλίνοντος*] *ἐκκλίνοντος* PL et ex corr. A *ἐκλίνοντος* A^1 *ἐκκλίναντος* MVRC *ἐγκλίναντος* Bekker *ἐνέκλιναν* (*συνέκλιναν* cod. A) Zon 2 *διασώ-ζεται* L 3 *δὲ* VRC 4 *τίτος* ex *τεῖχος* corr. L 5 *τι* om. Zon 6 *τὴν ἀναχώρησιν*] *eius discessum* Lat Ἰδουμαίων] ACHeg *Iouδαίων* PMLVRLat 7 *τινὶ* om. LVRLat *στρατιώτι* A^1R 9 Ἰδουμαίοις] PALHeg *Iouδαίοις* MVRCLat *ἀπολειπών* (ex *ἀπολιπὸν* corr. A) PA 10 *τε* om. L *συνέσει*] *σύνε·σιν*, eras. *ν* L *διάσημος*] *εὔσημος* (sic) L *nobilis* Lat 11 i. marg. *κ'* C *δὲ* RC *καὶ* om. Lat 12 *παράλογος*, *ρ* ex *λ* corr. A *κατασκευάσαι*, *αι* i. ras. A 13 *ἵνα* VR 14 *τρέποιντο* L *συνέβη*] PAMVCLips *συνέβη δὲ* L *συνέβη ἕνα*, litt. *βη ἕνα* ex corr. m. 2 R *πεσεῖν*] *π σὶν* (inter *π* et *σ* 2 fere litt. spatio uacuo relicto) L 15 *ἕνα*] CLat *ἀνὰ* PAMVR et m. 1 Lips *διὰ* L *ἕνα ἀνὰ* ex corr. recentissima Lips; Heg tres turres concidisse narrat, ergo *ἀνὰ* aut *διὰ* habuisse uid. *δ'* C 16 *πολεμίους* R *ἐπιχειρεῖν* om. L 18 *ἐπὶ — διεφέροντο*] *diu queruli alius aliud opinabatur* Lat *ἀπωδυρό-μενοι* R^2 *ἀπορούμενοι* ex Voss. Holwerda *διεφέροντο*] *διεφθείροντο* M 19 *τε*] *δὲ* PAM *φαι··|νομένου* V *ἐπτωοῦντο* C 20 *σύνθεμα* VR *τὸν*] *τὸ* C 21 Ἰουδαίων] *idumaei* Lat *ἐμβεβηκότων* RC *τε* s. P 22 *παρεώκεισαν* P *διαγγέλειν* AR 23 *ἐπαύσαντο, αν* ex *ον* corr. A

2. Ἰουδαίους γε μὴν πρὸς τὰ λοιπὰ καρτερῶς ἀντέχοντας ἐκά- 296
κωσαν οἱ λῃσταί· καὶ γὰρ τῶν ὀργάνων τοῖς κουφοτέροις ἀπ' αὐτῶν
ἐβάλλοντο καὶ τοῖς ἀκοντιστα῀ς καὶ τοξόταις καὶ λιθοβόλοις. οὔτε 297
δὲ τοιούτων αὐτοὶ διὰ τὸ ὕψος ἐφικνοῦντο καὶ τοὺς λῃστὰς ἦν ἀμή-
χανον ἑλεῖν, μήτ' ἀνατραπῆναι ῥᾳδίως διὰ τὸ βρῖθος μήτ' ἐμ-
πρησθῆναι διὰ τὸν σίδηρον δυναμένους, ᾧ κατεκαλύπτοντο. τρε- 298
πόμενοι δὲ ἐξωτέρω βέλους οὐκέτι ἐκώλυον τῶν κριῶν τὰς ἐμβολάς.
οἱ ἀδιαλείπτως παίοντες ἦγνυον κατ' ὀλίγον. ἤδη δὲ τῷ Νίκωνι 299
τοῦ τείχους ἐνδιδόντος, αὐτοὶ γὰρ τοῦτο Ἰουδαῖοι τὴν μεγίστην
ἐκάλεσαν Ῥωμαίων ἐλέπολιν ἀπὸ τοῦ πάντα νικᾶν. ἀτέκμαιρον μὲν
πάλαι πρός τε τὰς μάχας καὶ τὰς φυλακὰς πόρρωθεν τῆς πόλεως
διαντλητέον, ἄλλως δ' ὑπὸ ῥᾳστώνης καὶ τοῦ βουλεύεσθαι 300
πάντα κακῶς περιττὸν αὐτοῖς δόξαν τὸ τεῖχος ἑτέρων μετ' αὐτὸ
λειπομένων δύο, μαλακισθέντες ἀνεχώρουν οἱ πολλοί. καὶ τῶν 301
Ῥωμαίων ἐπιβάντων καθὸ παρέρρηξεν ὁ Νίκων, καταλιπόντες τὰς
φυλακὰς πάντες εἰς τὸ δεύτερον τεῖχος ἀναφεύγουσιν. οἱ δ' ὑπερ-
βάντες τὰς πύλας ἀνοίξαντες πᾶσαν εἰσδέχονται τὴν στρατιάν. καὶ 302
Ῥωμαῖοι μὲν οὕτω τοῦ πρώτου τείχους πεντεκαιδεκάτῃ κρατήσαντες
ἡμέρᾳ, ἑβδόμῃ δὲ ἦν Ἀρτεμισίου μηνός, αὐτοῦ τε πολὺ κατασκά-
πτουσι καὶ τὰ προσάρκτια τῆς πόλεως, ἃ καὶ πρότερον Κέστιος.
3. Μεταστρατοπεδεύεται δὲ Τίτος εἴσω κατὰ τὴν Ἀσσυρίων 303
παρεμβολὴν καλουμένην, ἐπισχὼν πᾶν τὸ μεταξὺ μέχρι τοῦ Κε-

PAMLVRC Lat Hegesippus V 11 p. 293. Zonaras I p. 529.

1 *Ἰουδέους* C 3 *λιθοβόλοις, β* i. ras. A 4 *ἀφικνοῦντο* L 5 *μήτε* LVRC *βρίθος* LVRC *βάρος* PAM *μήτε* VR 6 *κατεκαλύπτοντο, ε* ex *αι* aut *α* corr. A 7 *δ'* LC *ἐξωτέρου* M *οὐκέτ'* C 8 *ἀδιαλίπτως* V^1R *νίκονι* P *niconam* (*niconta* cod. Vat.) Lat *excisorem urbium* Heg 10 *πάντα*] *τὰ πάντα* P 11 *τὰς* (ante *φυλακὰς*) om. L 12 *ἄλλως*] *ἄλλω* A^1 *ἑάλλω* ex corr. A *δὲ* VR *ῥστώνης* A *τοῦ*] *τὸ* C *βουλεύεσθαι*] *βούλεσθαι* A *βουλεύσασθαι* L 13 *περιττὸν*] *καὶ περισσὸν* L *τὸ τεῖχος*] *φυλάττειν τὸ τεῖχος* C *μετ' αὐτό*] *μετ' αὐτὸν* L^1 *μετὰ τὸ* R 15 *καθὸ παρέρρηξεν*] *καθόπερ ἔρρηξεν* PAML *καθάπερ ἔρρηξεν* V *καθὸ παρέρρηξεν* RC *qua — perruperat* Lat *ὁ Νίκων*] om. L *niconas* Lat *καταλειπόντες* PA^1 16 *δεύτερον*] *ἐνδότερον* P *δὲ* VRC 17 *πᾶσαν* om. Lat *στρατείαν* PA 18 *πεντεκαιδεκάτῃ κρατήσαντες ἡμέρᾳ*] *κρατοῦσιν ἡμέρα πεντεκαιδεκάτη* L 19 *ἦν δ' ἑβδόμη* tr. L *ἑβδόμη — Ἀρτεμισίου*] *nonas mai* Lat *δ'* LRC *ἀρτεμησίου* PAL Artemisii 7. dies est 25. Mai (VIII k. Iun.) anni Iuliani (70 p. Chr.) *πολὺ*] *πο·λ··* (eras. *λ* et *οὶ*) L 21 i. marg. *κα'* C *δὲ* om. PR *ἔσω* Dindorf *ἀσυρίων* AC 22 *καλουμένην, καλου* i. ras. pressius scriptum A *ἐπισχὼν — 476,2 ἐποιεῖτο*] *occupato enim omni quod inter cedrona fuerat spatio et ultra sagittae iactum a secundo muro separatus expugnationem statim aggressus est* Lat haud male

δρῶνος, ἀπὸ δὲ τοῦ δευτέρου τείχους ὅσον ἐξωτέρω βέλους εἶναι·
304 προσβολὰς δ' εὐθέως ἐποιεῖτο. ἐμμερισθέντες δὲ οἱ Ἰουδαῖοι καρτερῶς ἀπημύναντο τοῦ τείχους, οἱ μὲν περὶ τὸν Ἰωάννην ἀπό τε τῆς Ἀντωνίας καὶ τῆς προσαρκτίου στοᾶς τοῦ ἱεροῦ καὶ πρὸ τῶν Ἀλεξάνδρου τοῦ βασιλέως αὐτῶν μνημείων μαχόμενοι, τὸ δὲ τοῦ Σίμωνος τάγμα τὴν παρὰ τὸ Ἰωάννου τοῦ ἀρχιερέως μνημεῖον ἐμβολὴν διαλαβόντες ἐφράξαντο μέχρι πύλης καθ' ἣν τὸ ὕδωρ ἐπὶ
305 τὸν Ἱππικὸν πύργον εἰσῆκτο. προπηδῶντές τε πολλάκις ἐκ τῶν πυλῶν συστάδην ἐπολέμουν καὶ συνδιωχθέντες ἀπὸ τοῦ τείχους κατὰ μὲν τὰς συμπλοκὰς ἡττῶντο τῆς Ῥωμαίων ἐπιστήμης ὄντες
306 ἄπειροι, περιῆσαν δ' ἐν ταῖς τειχομαχίαις. καὶ τοὺς μὲν μετ' ἰσχύος ἐμπειρία παρεκρότει, Ἰουδαίους δὲ τόλμα δέει τρεφομένη καὶ τὸ φύσει καρτερικὸν ἐν συμφοραῖς· προσῆν δ' ἐλπὶς ἔτι σω-
307 τηρίας ἡ καὶ Ῥωμαίοις τοῦ ταχέως κρατήσειν. οὐδετέρων δὲ ἥπτετο κόπος, ἀλλὰ προσβολαὶ καὶ τειχομαχίαι καὶ κατὰ λόχους ἐκδρομαὶ συνεχεῖς δι' ὅλης ἡμέρας ἦσαν, οὐδ' ἔστιν ἥτις ἰδέα μάχης ἀπελει-
308 πετο. νὺξ δὲ ἀνέπαυε μόλις ἕωθεν ἀρχομένους· ἦν δ' ἄντικρυς ἀμφοτέροις καὶ χαλεπωτέρα τῆς ἡμέρας, δέει τῶν μὲν ὅσον οὔπω καταληφθήσεσθαι τὸ τεῖχος, τῶν δ' ἐπιθήσεσθαι Ἰουδαίους τοῖς στρατοπέδοις, ἔν τε τοῖς ὅπλοις ἑκάτεροι διαντλεροῦντες ὑπὸ
309 τὰς πρώτας αὐγὰς ἕτοιμοι πρὸς μάχην ἦσαν. καὶ παρὰ μὲν Ἰουδαίοις ἔρις ἦν ὅστις προκινδυνεύσας χαρίσαιτο τοῖς ἡγεμόσιν, μά-

---

PAMLVRCLatHegesippus V 12 p. 294.

2 *δ'*] δὲ VR *τ'* Destinon, om. Dindorf ex L. B. *ἐποεῖτο* A^1 *ἐμμερισθέντες*] *καὶ μερισθέντεσ* L *μερισθέντεσ* VRC *δ'* C *οἱ* om. L 3 *ἀπό τε*] *ἀπὸ* L 4 *καὶ πρὸ*] *ad* Lat *πρὸ* om. VRC 5 *τοῦ βασιλέως αυτῶν* om. Lat probante Destinone *αὐτῶν* om. L *μνημείου* PA *monumentum* Lat 6 *τὸ*] *τοῦ* A^1VRC *τοῦ ἀρχιερέως* om. LLat *μνημεῖ|μεῖον* C *ἐμβολὴν* om. VR 7 *διαλαβόντες* om. ut uid. Lat *ἐφρίξαντο* R *ἔφραξαν τὸ* Hudson 8 *προπηδήσαντεσ* M *τε*] s. P *δὴ* ML *τὲ δὴ* VRC *autem* Lat *δὲ* Hudson 9 *συστάδην, συ* s. L *ἀπὸ*] *ἐπὶ* Hudson 10 *κατὰ*] *καὶ κατὰ* Destinon *ὄντες* om. LVR 11 *ἄπειρον* L *δ' ἐν*] *δὲ* LVRC *καὶ τοὺς μὲν*] *eos enim* Lat *μετ' ἰσχύος ἐμπειρία*] *ἰσχὺσ μετ' ἐμπειρίασ* LVRC *fortitudo ac scientia* Lat 12 *τόλμα*] *etiam audacia* Lat 13 *καρτερικὸν* C *ἐν*] *ἐπὶ* P *ἐν ταῖσ* M *προσῆν* — 14 *κρατήσειν*] *ad haec autem et illis suberat spes salutis et romanis citae uictoriae* Lat; graeca uix sana sunt post *προσῆν* eras. *ἦν* A *δ' ἐλπὶς ἔτι*] *ἐλπίδι* L *δὲ* VR 14 *ἡ*] *ἢ* PA *ἢ* MRC *ἢ* L *ὡς* Naber *ῥωμαίουσ* LC *οὐδ' ἑτέρων* A *οὐθετέρων* VR *οὔθ' ἑτέρων* C *δ'* L 15 *ἐκδρομαὶ*] *ἐνδρομαὶ* VR^1 16 *οὐδέ ἐστιν* VRC *εἴτισ* P *εἰδέα* PA 17 *δὲ*] *δ'* LC *ἦν δ'* om. Lat *δὲ* VRC 18 *ἀμφοτέροις*] PALat *ἀμφοτέροισ ἡ νὺξ* MVRC 19 *τὸ τεῖχος*] *τὸ τάχοσ* PAL *τοῦ τείχουσ* C *δὲ* VRC 20 *ὑπὸ*] *κατὰ* PAM 22 *ἔρις* om. R

λιστα δὲ τοῦ Σίμωνος αὐδὼς ἦν καὶ δέος, οὕτως τε προσεῖχεν ἕκαστος αὐτῷ τῶν ὑποτεταγμένων, ὡς καὶ πρὸς αὐτοχειρίαν ἑτοιμότατος εἶναι κελεύσαντος· Ῥωμαίοις δὲ ἐπ' ἀνδρείαν ἦν προτροπὴ τοῦ τε 310
κρατεῖν ἔθος καὶ ἥττης ἄῤῥητα συνεχῆς τε στρατεία καὶ διηνεκεῖς
μελέται καὶ μέγεθος ἡγεμονίας, πρὸ δὲ πάντων Τίτος ἀεὶ πᾶσιν
πανταχοῦ παραπυγχάνων. τό τε γὰρ μαλακισθῆναι παρόντος καὶ 311
συναγωνιζομένου Καίσαρος δεινὸν ἐδόκει, καὶ τῷ καλῶς ἀγωνισαμένῳ μάρτυς αὐτὸς ὁ καὶ τιμήσων παρῆν· κέρδος δ' ἦν ἴδιοι καὶ τὸ γνωσθῆναι Καίσαρι γενναῖον ὄντα. διὰ τοῦτο πολλοὶ τῆς κατὰ
σφᾶς ἰσχύος ἀμείνους τῇ προθυμίᾳ διεφάνησαν. παραταξαμένων 312
γοῦν κατὰ ταύτας τὰς ἡμέρας τῶν Ἰουδαίων πρὸ τοῦ τείχους καρτερῷ στίφει καὶ διακοντιζομένων ἔτι πόρρωθεν τῶν ταγμάτων ἑκατέρων Λογγῖνός τις τῶν ἱππέων ἐξαλλόμενος τῆς Ῥωμαϊκῆς τάξεως ἐμπιδᾷ μέσῃ τῇ τῶν Ἰουδαίων φάλαγγι, καὶ διασκεδασθέντων 313
πρὸς τὴν ἐμβολὴν δύο τοὺς γενναιοτάτους ἀναιρεῖ, τὸν μὲν κατὰ στόμα πλήξας ὑπαντιάσαντα, τὸν δ' ἀνασπάσας ἐκ τοῦ προτέρου τὸ δόρυ κατὰ πλευρὰν διαπείρει τραπόμενον, ἐκ μέσων τε τῶν πολεμίων ἄτρωτος εἰς τοὺς σφετέρους ἔδραμεν. ὁ μὲν οὖν δι' ἀρε- 314
τὴν ἐπίσημος ἦν. ζηλωταὶ δὲ τῆς ἀνδρείας ἐγίνοντο πολλοί. καὶ 315
Ἰουδαῖοι μὲν ἀμελοῦντες τοῦ παθεῖν τὸ διαθεῖναι μόνον ἐσκόπουν, ὅ τε θάνατος αὐτοῖς ἐδόκει κουφότατος εἰ μετὰ τοῦ κτεῖναί τινα τῶν πολεμίων προσπέσοι· Τίτος δὲ τῆς τῶν στρατιωτῶν ἀσφαλείας 316
οὐχ ἧττον τοῦ κρατεῖν προυνόει, καὶ τὴν μὲν ἀπερίσκεπτον ὁρμὴν ἀπόνοιαν λέγων, μόνην δ' ἀρετὴν τὴν μετὰ προνοίας καὶ τοῦ μηδὲν
τὸν δρῶντα παθεῖν, ἐν ἀκινδύνῳ τῷ κατὰ σφᾶς ἐκέλευσεν ἀνδρίζεσθαι.

PAMLVRC LatHegesippus V 12 p. 294 sq.

1 οὕτω VR *οὕτω, litt. τω s.* C *τε] γε* (i. ras. A) PA *προσεῖχον* L 2 *ἑτοιμότατον* VRC 3 *δ'* L *ἀνδρίαν* V²C *τοῦ τε] τό τε τοῦ* L 4 *ἥττης] ἡ τῆς ἥττης* Bekker *συνεχεῖσ* PLVLat *στρατιὰ* PVRC *στρατείαι* L¹ *militiae* Lat 6 *παρατυγχάνω* * L 7 *τῷ] τὸ* P *τῶν* RC *ἀγωνιζομένω* L *ἀγωνισαμένων* (*νων* ex *νον* corr. C) RC 8 *κέρδος] καρπὸσ* VR *γρ καρὸσ* i. marg. m. 2 V *δὲ* VR 9 *καίσαρι* ex *καίσαρα* corr. uid. L 13 *τῆσ τάξεωσ τῆσ ῥωμαϊκῆσ* L 14 *τῶν* om. L 15 *πρὸς τὴν ἐμβολὴν] τῶν ἐμβολῶν* PA *hoc impetu* Lat *τῶν ἐν βολῇ* Destinon 16 *δὲ* VR 17 *τρεπόμενον* L *μέσου* L *μέσον* C *τε] δὲ* L 18 *ἄτρωτος] ἔ* Holwerda *πρῶτοσ* codd. Lat *uictor* Heg *εἰς] πρὸσ* L 19 *ἀνδρείασ* (s. m. 2) V *ἀνδραγαθίασ* L 20 *διαθῆναι* R¹C 21 *ὅ τε] ὅτι* L *κτῆναι* C *τινα* om. C 22 *Τίτος] Καῖσαρ* Dindorf ex Rost. et L. B. *τῆς* om. L 23 *τοῦ] τὸ* L *ἀπερίσκεπον* C 24 *δὲ* VR *καὶ* spurium putat Destinon *τοῦ] τὸ* L 25 *τῷ] τὸ* C

317 4. Προσάγει δ' αὐτὸς τοῦ βορείου τείχους τῷ μέσῳ πύργῳ
τὴν ἑλέπολιν, ἐν ᾗ τῶν Ἰουδαίων τις ἀνὴρ γόης ὄνομα Κάστωρ
ἑλόχα μεθ' ὁμοίων δέκα, τῶν λοιπῶν φυγόντων διὰ τοὺς τοξότας.
318 οἵτοι μέχρι μέν τινος ὑπεστιχότες τοῖς Θωρακίοις ἠρέμουν, λυ-
μένου δὲ τοῦ πύργου διανίστανται, καὶ προτείνας ὁ Κάστωρ τὰς 5
χεῖρας ὡς ἱκετεύων δεῦρο ἐκάλει τὸν Καίσαρα καὶ τῇ φωνῇ κατοικτι-
319 ζόμενος ἐλεῆσαι σφᾶς παρεκάλει. πιστεύσας δ' ἐξ ἁπλότητος ὁ
Τίτος καὶ μετανοεῖν ἤδη τοὺς Ἰουδαίους ἐλπίσας, ἐπέχει μὲν τοῦ
κριοῦ τὴν ἐμβολὴν κωλύει τε τοξεύειν τοὺς ἱκέτας, λέγειν δ' ἐκέ-
320 λευσεν ὅ τι βούλεται τῷ Κάστορι. τοῦ δ' εἰπόντος ἐπὶ δεξιᾷ κατα- 10
βῆναι θέλειν, ὁ Τίτος συνήδεσθαι μὲν αὐτῷ τῆς εὐβουλίας ἔφη,
συνήδεσθαι δὲ εἰ πάντες ταῦτα ἤδη φρονοῦσι καὶ τῇ πόλει δι-
321 δόναι τε πίστιν ἑτοίμως. τῶν δέκα δὲ οἱ πέντε μὲν αὐτῷ συνυπε-
κρίνοντο τὴν ἱκετηρίαν, οἱ λοιποὶ δ' οὐκ ἄν ποτε δουλεύσειν Ῥω-
322 μαίοις ἐβόων μᾶλλον ἐλευθέρους ἀποθανεῖν. καὶ μέχρι πολλοῦ 15
διαφερομένων ἐτρίβετο μὲν ἡ προσβολή, πέμπων δ' ὁ Κάστωρ πρὸς
τὸν Σίμωνα σχολῇ βουλεύεσθαι περὶ τῶν ἐπειγόντων ἔλεγεν, ὡς
οὐκ ἐπ' ὀλίγον αὐτὸς διαναίζοι τὴν Ῥωμαίων ἀρχήν. ἅμα δὲ ταῦτα
πέμπων καταφανὴς ἦν καὶ τοὺς ἀπειθοῦντας ἐπὶ τὴν δεξιὰν παρα-
323 καλῶν. οἱ δὲ ὥσπερ ἀγανακτοῦντες ὑπὲρ τὰ Θωράκια διῄρουν τε 20
τὰ ξίφη γυμνὰ καὶ τοὺς θώρακας αὐτῶν πλήξαντες ὡς ἀτεσφαγ-

PAMLVRCLatHegesippus V 12 p. 295. Zonaras I p. 529. Suidas s. *θωρακείοις* et *ὑποπεπτηχότες*.

1 i. marg. *κγ'* C δὲ VR *δ' αὐτὸς*] *itaque* Lat 2 *ἑλέπολιν*, litt. *ιν* i. ras. 4 litt., quarum secunda fuit *μ* P 3 *ἑλόχα*, *ε* ut uid. ex corr. M 4 *οὗτοι δὲ* L *μέχρι — ἠρέμουν* extant apud Suidam *ὑποπεπτηχότες* PSuid *ὑποπεπτηχότας* C *θωρακείοις* Dindorf *λυομένου*] *σαλευομένου* L fort. recte *concussa* Lat 6 *ἱκετεύων* P 7 *δ'*] *δὲ* VR *δ' ὡς* L *ἐξ ἁπλότητος*] *ἐξαπλότητος* PA 9 *κολύει* A *κωλύειν* C *τε*] *δὲ* L *δὲ* VR *ἐκέλευεν* MLVRC 10 *κάστωρι* C *δὲ* VRC *ἐπιδεξιᾷ* PA 11 *συνήδεσθαι — εὐβουλίας* om. Lat *αὐτὸ* C *εὐβουλίασ, ου* ex *ο* corr. A *εὐβουλείασ* V¹R 12 *ὑπερήδεσθαι* Holwerda *δὲ*] s. A *δ'* LC *πάντες*] *πᾶσι* C *ταῦτα ἤδη*] *ταὐτὰ ἤδη* M *ἤδη τὰ αὐτὰ* L *eadem* Lat *φρονῶσι* VR *καὶ* — 13 *ἑτοίμως*] *paratoque animo fidem pacis etiam ciuitati daturum* Lat *διδόναι τε*] *διδόναι γε* VRC *γε διδόναι* PAM *καὶ διδόναι* Destinon 13 *τῶν δέκα δὲ*] *τῶν δὲ δέκα δὲ* A *τῶν δὲ δέκα* PM *αὐτῶν* L 14 *δὲ* VR *δουλεύσειν*] PAMVRCLatZon *δουλεύειν* L 15 *ἐβόων, όων* ex corr. C 16 *δὲ* VR 17 *ὡς* — 18 *ἀρχήν*] *paulisper enim se illudere imperatori romano* Lat *αὐτὸς*] *αὐτῷ* V¹ *διαπέζοι* PAM *διαπαίζει* L *ἐμπαίζοντος (αὐτοῦ)* Zon *ἀρχήν*] *ὁρμήν* L 20 *ὑπὲρ* — 21 *πλήξαντες*] *in thoracas nudos strinxere gladios hisque percussis* Lat *δ'* LC *θωρακία* VR *θωρακεῖα* Dindorf *διῄρουν τε*] *διῆραν τε* Dindorf ex L. B. *διάραντες* Destinon 21 *αὐτῶν* PAMVRC *ἑαυτῶν* L

μένοι κατέπεσον. θάμβος δὲ τὸν Τίτον καὶ τοὺς περὶ αὐτὸν εἰσῆει 324
τοῦ τῶν ἀνδρῶν παραστήματος, καὶ μὴ δυνάμενοι κάτωθεν ἀκριβῶς
τὸ γεγενημένον ἰδεῖν ἐθαύμαζόν τε τῆς εὐτολμίας αὐτοὺς καὶ τοῦ
πάθους ἠλέουν. τοξεύει δέ τις ἐν τούτῳ παρὰ τὴν ῥῖνα τὸν Κά- 325
στορα, κἀκεῖνος εὐθέως ἀνασπάσας τὸ βέλος ἐπεδείκνυ τῷ Τίτῳ
καὶ ὡς οὐ δίκαια πάσχων κατεμέμφετο. πρὸς δὲ τὸν βαλόντα
σχετλιάσας Καῖσαρ ἔπεμπε παρεστῶτα τὸν Ἰώσηπον δοῦναι τῷ
Κάστορι δεξιάν. ἀλλ' ὁ μὲν οὔτ' αὐτὸς ἔφη προσελεύσεσθαι. φρο- 326
νεῖν γὰρ οὐδὲν ὑγιὲς τοὺς δεομένους, καὶ τοὺς ὡρμημένους τῶν
φίλων κατέσχεν· Αἰνείας δέ τις τῶν αὐτομόλων αὐτὸς ἔφη προσε-
λεύσεσθαι. καὶ τοῦ Κάστορος καλοῦντος, ὅπως δέξαιτό τις καὶ τὸ 327
ἀργύριον ὃ φέροι μεθ' αὑτοῦ. σπουδαιότερον ὁ Αἰνείας διαπτάσας
τὸν κάλιον προσέδραμεν. ἁράμενος δὲ ὁ Κάστωρ πέτραν ἐπαφίησιν 328
αὐτῷ, καὶ τούτου μὲν διήμαρτε φυλαξαμένου, τιτρώσκει δὲ στρα-
τιώτην ἕτερον προσελθόντα. συννοήσας δὲ Καῖσαρ τὴν ἀπάτην 329
πρὸς βλάβης μὲν ἔγνω τὸν ἐν πολέμοις ἕλεον, τὸ γὰρ ἀπηνέστερον
ἧττον ὑποπίπτειν τῷ πανούργῳ, τὰς δ' ἐμβολὰς τῆς ἑλεπόλεως
ὀρθὰς τῆς χλεύης ἐποιεῖτο δυνατωτέρας. ἐκδιδόντα δὲ τὸν πύργον 330
ἐμπιπρᾶσιν οἱ περὶ τὸν Κάστορα, καὶ διὰ τῆς φλογὸς εἰς τὴν
ἐπ' αὐτῷ κρατῆρα ἀλλόμενοι πάλιν δόξαν ἀνδρείας Ῥωμαίοις παρ-
έσχον ὡς ῥίψαντες σφᾶς αὐτοὺς εἰς τὸ πῦρ.

VIII. 1. Αἴρει δὲ Καῖσαρ ταύτῃ τὸ τεῖχος ἡμέρᾳ πέμπτῃ μετὰ 331
τὸ πρῶτον, καὶ τῶν Ἰουδαίων φυγόντων ἀπ' αὐτοῦ παρέρχεται
μετὰ χιλίων ἔνδον ὁπλιτῶν καὶ τῶν περὶ αὐτὸν ἐπιλέκτων, καθὸ

PAMLVRC Lat Hegesippus V 13 p. 295. Zonaras I p. 530.
4 ῥίνα PLR ῥῆνα C κάστωρα C 5 ἀνασπάσας] ἀναπαύσας R
ἐμέμφετο L 6 βαλλόντα A^1 · 7 ἔπεπεν C 8 κάστωρι C ὁ μὲν om. L
οὔτε LVR αὐτὸς] ὁ αὐτὸς L προελεύσεσθαι P 9 ὑγιὲς] ὑγιαῖς C
10 αὐτο|μόλων, το suppl. m. 2 C προελεύσεσθαι P 11 καλοῦντος] προσκαλοῦντος L 12 φέροι, οι i. ras. A φέρει C μεθ' ἑαυτοῦ ML μετ' αὐτοῦ VRC σπουδαιότερον, αι i. ras. A 13 δ' C 14 φυλαξομένου C ἕτερον στρατιώτην tr. L 15 συνοήσας P 17 ὑποπίμπτει A
δ' ἐμβολὰς] δὲ ἐμβολὰς L ἐμβολὰς VR ἐμβολὰς δὲ C 18 χλεύης, litt. η i. ras. A, litt. λεύ ex corr. L ἐποιεῖτο A δὲ] τε VRC 19 ἐμπιπρᾶσιν PMLV κάστωρα C 20 ὑπ'] ἐπ' PAMVRC ἀλλόμενοι (ἀ i. ras. A) ALC ἁλάμενοι Dindorf ἀνδρίας V^2C Ῥωμαίοις s. P παρέσχον] ἔπασχον VR
22 i. marg. κδ' C αἴρει PAVR αἱρεῖ MC εἶλε L 23 παρέρχεται — 24 ἐπιλέκτων] *intro cum lectis mille transit quos circa se habebat armatis* Lat
24 ὁπλιτῶν ex πολιτῶν corr. A ὁπλιτῶν ἔνδον tr. L ἐπιλέκτων] ὁπλιτῶν ἐπιλέκτων PA

καὶ τῆς καινῆς πόλεως ἐριοπώλιά τε ἦν καὶ χαλκεῖα καὶ ἱματίων
332 ἀγορά, πρός τε τὸ τεῖχος πλάγιοι κατέτεινον οἱ στενωποί. εἰ μὲν
οὖν ἢ τοῦ τείχους εὐθέως πλέον διέλυσεν ἢ πολέμου νόμῳ παρελθὼν
333 ἐπόρθει τὸ ληφθέν, οὐκ ἂν οἶμαί τις ἐμίγη βλάβῃ τῷ κράτει. νῦν
δὲ Ἰουδαίους μὲν ἐλπίσας δυσωπήσειν ἐξὸν κακοῦν τῷ μὴ θέλειν, 5
πρὸς δ' ἀναχώρησιν εὐμαρῆ τὴν εἰσβολὴν οὐκ ἐπλάτυνεν· οὐ γὰρ
334 ἐπιβουλεύσειν οὓς εὐεργετεῖν ὑπελάμβανεν. παρελθὼν γοῦν οὔτε
κτείνειν τινὰ τῶν καταλαμβανομένων ἐπέτρεψεν οὔτε ὑποπιμπράναι
τὰς οἰκίας, ἀλλὰ τοῖς μὲν στασιασταῖς εἰ βούλοιντο μάχεσθαι δίχα
τῆς τοῦ δήμου βλάβης ἄδειαν ἐξόδου, τῷ δήμῳ δὲ τὰς κτήσεις ὑπισ- 10
χνεῖτο δώσειν· περὶ πλείστου γὰρ ἐποιεῖτο σῶσαι τὴν μὲν πόλιν
335 αὐτῷ, τὸν δὲ ναὸν τῇ πόλει. τὸν μὲν οὖν λαὸν ἕτοιμον εἶχεν εἰς
ἃ προύτρεπεν καὶ πάλαι, τοῖς μαχίμοις δ' ἐδόκει τὸ φιλάνθρωπον
ἀσθένεια, καὶ τὸν Τίτον ἀδυναμίᾳ τοῦ τὴν ἄλλην πόλιν ἑλεῖν ταῦτα
336 προτείνειν ὑπελάμβανον. διαπειλοῦντες δὲ τοῖς δημόταις θάνατον, 15
εἴ περὶ παραδόσεως μνησθείη τις αὐτῶν, καὶ τοὺς παραφθεγγο-
μένους εἰρήνην ἀποσφάττοντες, ἐπιτίθενται καὶ τοῖς εἰσελθοῦσι
Ῥωμαίων, οἱ μὲν κατὰ τοὺς στενωποὺς ὑπαντιάσαντες, οἱ δ' ἀπὸ
τῶν οἰκιῶν, ἄλλοι δ' ἔξω τοῦ τείχους κατὰ τὰς ἄνω προπηδήσαντες
337 πύλας. πρὸς οὓς παραχθέντες οἱ φρουροὶ τοῦ τείχους καθαλλόμενοι 20
338 τῶν πύργων ἀνεχώρουν εἰς τὰ στρατόπεδα. κραυγὴ δ' ἦν τῶν μὲν

PAMLVRC Lat Hegesippus V 14 p. 296. Zonaras I p. 530. Suidas s. *δυσωπῶ* et *ἐξόν*.

1 *ἐριοπωλεία* P¹A *ἐριοπώλεια* VR *ἦν* om. R 2 *πρός τε*] Destinon *et ad* Lat *πρὸς* PA *πρὸς δὲ* MLVRC *στενοποὶ* R 3 *ἢ*] *ἢ* L *ἢ* C *πλέον εὐθέως* tr. AMLVRC *ἢ*] *ἢ* C *νόμου* C¹ 4 *ἐπόρθη* VR *λειφθὲν* L *νῦν — 6 ἐπλάτυνεν*] *nunc autem iudaeos male tractando exoratum iri sperans cum liceret capere facilem discessioni aditum non dilatauit* Lat *νῦν — 5 θέλειν* habet Suid 5 *ἐξὸν — θέλειν*] *ἐν τῷ κακοῦν ἐξὸν μὴ θέλειν* Suid (utroque loco) *τῷ*] *τὸ* C, om. L 6 ante *πρὸς* aliquid excidisse uid. *δ'*] *δὲ* LVR, om. C 8 *οὔθ'* C *ὑποπιπράναι* R *ὑποπρᾶναι* C *ὑποπιμπρᾶν* Zon 9 *ἀλλὰ τοῖς μὲν*] *ἀλλ' ἅμα τοῖσ μὲν* L et ut uid. Lat *ἅμα τοῖσ μὲν* VR *ἅμα μὲν τοῖσ* C 10 *ἄδειαν ἐξόδου*] *copiam dabat* Lat *ἐξόδου*] MVR *ἔξειν* P *ἔξειν* A *ἐδίδου* LLat *ἐξόδου ἐδίδου* C *ἐξιέναι* Destinon; cf. VI 95 11 *δώσειν*] *redditurum esse* Lat *σώσειν* Destinon *πλείστου*] *πολλοστοῦ* L *πλείονος* Zon 12 *αὐτῷ* AVRC *ἑαυτῷ* LZon *εἶχε* A¹ 13 *δὲ* VRC 14 *ἄλλην*] *ὅλην* Dindorf ex Voss. Rost. 15 *προυτείνειν* LC *διαπειλοῦσι* VRC 16 *μνησθείη*] *μνησθῇ* L *τοὺς* s. M 17 *ἀποσφάττοντες*] *ἀποσφάττεται* C *ἐπελθοῦσι* LZon 18 *στενοποὺς* V¹R *ὑπαντιάσαντας* C *δὲ ἀπὸ* LVRC 19 *δὲ ἔξω* VRC 20 *πρὸς*] *προὺς* sic C *παραχθέντες, τεσ* s. P 21 *εἰσστὰ* A *δὲ* VR *μὲν* om. L

εἴσω πάντοθεν πολεμίοις κεκυκλωμένων, τῶν δ' ἔξωθεν περὶ τοῖς ἀπολειφθεῖσι δεδοικότων. πληθύνοντες δ' ἀεὶ Ἰουδαῖοι καὶ πολλὰ πλεονεκτοῦντες κατ' ἐμπειρίαν τῶν στενωπῶν ἐτίτρωσκόν τε πολλοὺς καὶ προσπίπτοντες ἐξώθουν. οἱ δὲ κατ' ἀνάγκην τὸ πλέον 339
ἀντεῖχον, οὐ γὰρ ἦν ἀθρόους διαφυγεῖν διὰ στενοῦ τοῦ τείχους. δοκοῦσί τε ἂν κατακοπῆναι πάντες οἱ παρελθόντες μὴ προσαμύναντος τοῦ Τίτου. διαστήσας γὰρ ἐπ' ἄκροις τοῖς στενωποῖς τοὺς 340
τοξότας καὶ κατὰ τὸν μάλιστα πλησίοντα σταθεὶς αὐτός, ἀνέστελλε τοῖς βέλεσι τοὺς πολεμίους. καὶ σὺν αὐτῷ Δομέτιος Σαβῖνος, ἀνὴρ
ἀγαθὸς καὶ κατὰ ταύτην φανεὶς τὴν μάχην. παρέμεινε δὲ συνεχῶς 341
τοξεύων Καῖσαρ καὶ τοὺς Ἰουδαίους κωλύων παρελθεῖν, μέχρι πάντες ἀνεχώρησαν οἱ στρατιῶται.

2. Ῥωμαῖοι μὲν οὕτως κρατήσαντες τοῦ δευτέρου τείχους ἐξεώσθησαν, τῶν δ' ἀνὰ τὸ ἄστυ μαχίμων ἐπήρθη τὰ φρονήματα, καὶ 342
μετέωροι πρὸς τὴν εὐπραγίαν ἦσαν, οὔτ' ἂν Ῥωμαίους εἰς τὴν πόλιν τολμήσειν ἔτι παρελθεῖν οὔτ' αὐτοὶ παρελθόντων ἕτι θήσεσθαι δοκοῦντες. ἐπεσκότει γὰρ αὐτῶν ταῖς γνώμαις διὰ τὰς πα- 343
ρανομίας ὁ θεός, καὶ οὔτε τὴν Ῥωμαίων ἰσχὺν ὅσῳ πλείων κατελείπετο τῆς ἐξελαθείσης ἔβλεπον οὔτε τὸν ὑφέροντα λιμὸν αὐτοῖς· ἔτι γὰρ παρῆν ἐσθίειν ἐκ τῶν δημοσίων κακῶν καὶ τὸ τῆς πόλεως 344
αἷμα πίνειν· ἔνδεια δὲ τοὺς ἀγαθοὺς ἐπεῖχε πάλαι, καὶ σπάνει τῶν ἐντιθείων διελύοντο πολλοί. τὴν δὲ τοῦ λαοῦ ᾗ θοράν ἑαυτῶν 345
οἱ στασιασταὶ κουφισμὸν ἐτελάμβανον· μόνους γὰρ ἐξίουν σώζε-

PAMLVRC Lat Hegesippus V 14 p. 296. Zonaras I p. 530. Suidas s. *ἐφίπποντα*.

1 *πάντωθεν* C *πολέμοις* A *κεκυκλωμένων*] *κεκλωμένων* A^1C *δὲ* MVRC 2 *ἀπολιφθεῖσι* A *ὑπολειφθεῖσι* M *clausis* Lat *ἀποληφθεῖσι* Destinon *πληθύοντες* Dindorf *δὲ* LVR *ἀεὶ* om. L *οἱ Ἰουδαῖοι* MVRC 3 *στενοπῶν* V^1R *ἐτίτρωσκόν τε*] *ἐτίτρωσκόνται* L *ἔτι τιτρώσκοντες* V 4 *πλεῖον* C 5 *ἀντέσχον* L *διαφυγεῖν*] *φυγεῖν* L 6 *τε*] *τ'* VRC 7 *στενοποῖσ* V^1R 8 *πληθύνοντα* VR *αὐτὸς* om. Lat 9 *δομίτιοσ* LVRC 13 *οὕτω* VRC *ἐξεώσθησαν*] Dindorf *ἐξεώθησαν* PAMVRC *ἐξώσθησαν* LZon *ad extremum pulsi sunt* Lat 14 *δὲ* VR *μαχίμων* om. A *ἐπῆρτο* Zon 15 *οὔτ'*] *ὅτ'* C *τὴν* om. C *ἔτι παρελθεῖν εἰσ τὴν πόλιν τολμήσειν* tr. L 16 *οὔτ'* — *ἠττηθήσεσθαι*] *neque se uinci posse si ad proelium processissent* Lat *οὔτ'*] *οὔτ' ἂν* PAMVR *ὅτ' ἂν* C *αὐτοὶ*] *αὐτῶν* PAM *παρελθόντεσ* LVRC *ἠττήσεσθαι* L 17 § 343 habet Suidas breuiatam *ἐπεσκότει*, *τ* ex *π* corr. L 18 *πλείω* PLC 19 *ἐξελασθείσησ* PALVR *οὔτε*] *οὐδὲ* L *λιμὸν* C *αὐτοῖς* om. Lat 21 *ἔνδεια* — *κατεῖχε πάλαι*] *propter bonos autem continebatur exitium* Lat 22 *διελύοντο*] *ἤδη διελύοντο* (*ύ* ex *ο* corr. L) L et ut uid. Zon *iam* — *defecerant* Lat 23 *γὰρ* s. P

σθαι τοὺς μὴ ζητοῦντας εἰρήνην καὶ κατὰ Ῥωμαίων ζῆν προῃρημένους. τὸ δ' ἐναντίον πλῆθος ὥσπερ βάρβαρον ἥδοντο δαπανώ-
346 μενον. τοιοῦτοι μὲν δὴ πρὸς τοὺς ἔνδον ἦσαν· Ῥωμαίους δὲ πάλιν τῆς εἰσόδου πειρωμένους ἐκώλυον φραξάμενοι καὶ τὸ καταρριφθὲν ἀντιτειχίσαντες τοῖς σώμασι τρισὶ μὲν ἀντέσχον ἡμέραις καρτερῶς ἀμυνόμενοι, τῇ τετάρτῃ δὲ προσβαλόντα γενναίως Τίτον οὐκ ἤνεγκαν,
347 ἀλλὰ βιασθέντες ᾗ καὶ πρότερον ἀναφεύγουσιν. ὁ δὲ πάλιν τοῦ τείχους κρατήσας τὸ προσάρκτιον μὲν εὐθέως κατέρριψε πᾶν, ἐπὶ δὲ τοῦ κατὰ μεσημβρίαν φρουρὰς τοῖς πύργοις ἐγκαταστήσας τῷ τρίτῳ προσβάλλειν ἐπενόει.

348 IX. 1. Δόξαν δ' ἐπανεῖναι πρὸς ὀλίγον τὴν πολιορκίαν καὶ διωρίαν βουλῆς τοῖς στασιασταῖς παρέχειν, εἴ τι πρὸς τὴν καθαίρεσιν ἐνδοῖεν τοῦ δευτέρου τείχους ἢ καὶ τὸν λιμὸν ὑποδείσαντες. οὐ γὰρ
349 εἰς πολὺ τὰς ἁρπαγὰς αὐτοῖς ἐξαρκέσειν, εἰς δέον κατεχρῆτο τὴν ἄνεσιν· ἐνστάσης γὰρ τῆς προθεσμίας, καθ' ἣν ἔδει διαδοῦναι τοῖς στρατιώταις τροφάς, ἐν ἀπόπτῳ τοῖς πολεμίοις ἐκέλευσε τοὺς ἡγεμόνας ἐκτάξαντας τὴν δύναμιν ἀναριθμεῖν ἑκάστῳ ταρχύριον.
350 οἱ δέ, ὥσπερ ἔθος, ἀποκαλύψαντες τὰ ὅπλα θήκαις ἐσκεπασμένα τέως κατάφρακτοι προῆσαν καὶ τοὺς ἵππους ἄγοντες οἱ ἱππεῖς
351 κεκοσμημένους. ἐπὶ πλεῖστον δὲ τὰ πρὸ τῆς πόλεως ἀργύρῳ καὶ χρυσῷ περιελάμπετο, καὶ τῆς ὄψεως ἐκείνης οὐδὲν οὔτε τοῖς σφετέροις ἐπιτερπέστερον οὔτε τοῖς πολεμίοις παρέστη φοβερώτερον.

PAMLVRCLatHegesippus V, 14 p. 297. Zonaras I p. 530. Suidas. s. *διωρία*.

1 ζητοῦντας] ζηλοῦντας L *probarent* Lat *θέλοντας* Zon *κατὰ τῶν ῥωμαίων* L 2 *τοῦ δ' ἐναντίου πλήθους ὥσπερ ὑπερβάλλοντος βάρους ἥδοντο δαπανωμένων* Voss. apud Hauerkampum δὲ MLVR *βάρβαρον*] PL *βαρβάρων* AM *βαρβάρων βάρος* C *ὑπὸ βαρβάρων βάρος* VR *onus quoddam* Lat unde *βάρος ὄν* Cardwell *βάρος ἀργὸν* Destinon *δαπανώμενον*] PLC *δαπανωμένων* AMVR 3 *ῥωμαίους*, *υ* ex *ι* corr. A 4 *καταρριφὲν* V *ῥιφὲν* L *κατερειφθὲν* mauult L. Dindorf 5 *τρισὶ μὲν*] *τρισὶν* L *ἐπὶ τρισὶν* Zon *ἡμέραισ ἀντέσχον* tr. LZon 7 *ᾗ*] *ἢ* PAC 8 *κατέρριψε*] *κατήρειψε* mauult L. Dindorf 9 *φρουρὰς*] *τοὺσ φρουροὺσ* (*φρου* i. ras. maiore) L *φρουρὰν* Zon *ἐγκαταστήσασ* A 11 *Δόξαν* — 12 *παρέχειν* exhibet Suidas *Δόξαν* — *πολιορκίαν*] *uidebatur autem breuissimi temporis eius obsidio* Lat *δ' ἐπανεῖναι*] ACSuid *δὲ πᾶν εἶναι* P *δὲ ἐπανεῖναι* MVR *δ' ἐπανιέναι* L *διορίαν* P 12 *παρέχειν*] *παρασχεῖν* MLVRCSuid 13 *λιμὸν*] *δῆμον* VRC, *γρ καὶ τὸν δῆμον* i. marg. M 14 *πολὺ· V ἀρκέσειν* L *δέον*] *οὐ δέον* R² 15 *ἔνστασισ* R¹C *στρατιώταισ*, litt. *στρ* solito pressius scriptae M *τοῖσ στρατιώταισ ἔδει διαδοῦναι* tr. L *διαδοῦναι*] L *δοῦναι* PAMVRC *distribui* Lat 17 *τὸ ἀργύριον* P 18 *δ'* C *ἔθος*] *ἔθνοσ* R *θῆκεσ* C 19 *προῆσαν*] ex Lat *προσήεσαν* codd. *procedunt* Lat

κατεπλήσθη γὰρ ἀφορώντων τό τε ἀρχαῖον τεῖχος ἅπαν καὶ τοῦ 352
ἱεροῦ τὸ βόρειον κλίμα, τάς τε οἰκίας μεστὰς ἦν προκυπτόντων
ἰδεῖν, καὶ τῆς πόλεως οὐδὲν ὃ μὴ κεκάλυπτο πλήθει διεφαίνετο.
κατάπληξις δὲ δεινὴ καὶ τοὺς τολμηροτάτους ἐνέπεσε τήν τε δύναμιν 353
ἅμα καὶ τὸ πᾶσαν ὁρῶσι καὶ τὸ κάλλος τῶν ὅπλων καὶ τὴν εὐταξίαν
τῶν ἀνδρῶν· δοκοῦσί τε ἄν μοι πρὸς ἐκείνην οἱ στασιασταὶ μετα- 354
βαλέσθαι τὴν ὄψιν, εἰ μὴ δι' ὑπερβολὴν ὧν τὸν δῆμον ἔδρασαν
κακῶν συγγνώμην παρὰ Ῥωμαίοις ἀπήλπιζον. ἀποκειμένου δὲ τοῖ 355
μετὰ κολάσεως, εἰ παύσαιντο, πολὺ κρείττονα τὸν ἐν πολέμῳ θά-
νατον ἡγοῦντο. καὶ τὸ χρεὼν δ' ἐκράτει τούς τε ἀναιτίους τοῖς
αἰτίοις συναπολέσθαι καὶ τῇ στάσει τὴν πόλιν.

2. Τέσσαρσιν μὲν οὖν ἡμέραις οἱ Ῥωμαῖοι καθ' ἕκαστον τάγμα 356
διετέλεσαν τὰς τροφὰς κομιζόμενοι, τῇ πέμπτῃ δ' ὡς οὐδὲν ἀπήντα
παρὰ τῶν Ἰουδαίων εἰρηνικόν, διχῇ διελὼν τὰ τάγματα Τίτος ἦρ-
χετο τῶν χωμάτων κατά τε τὴν Ἀντωνίαν καὶ τὸ τοῦ Ἰωάννου μνη-
μεῖον, ταύτῃ μὲν τὴν ἄνω πόλιν αἱρήσειν ἐπινοῶν, τὸ δ' ἱερὸν
κατὰ τὴν Ἀντωνίαν· τούτου γὰρ μὴ ληφθέντος οὐδὲ τὸ ἄστυ κα- 357
τέχειν ἀκίνδυνον ἦν· χερὸς ἑκατέρῳ δὲ μέρει δύο χώματα ἠγείρετο
καθ' ἓν ἑκάστου τάγματος. καὶ τοὺς μὲν παρὰ τὸ μνημεῖον ἐργα- 358
ζομένους οἵ τε Ἰδουμαῖοι καὶ τὸ μετὰ τοῦ Σίμωνος ὁπλιτικὸν
εἶργον ἐτεκθέοντες, τοὺς δὲ πρὸ τῆς Ἀντωνίας οἱ περὶ τὸν Ἰωάν-
νην καὶ τὸ τῶν ζηλωτῶν πλῆθος. ἐπλεονέκτουν δὲ οὐ κατὰ χεῖρα 359
μόνον ἀφ' ὑψηλοτέρων μαχόμενοι, καὶ τοῖς ὀργάνοις δὲ πρὸς χρῆ-
σθαι μεμαθηκότες· ἡ γὰρ καθ' ἡμέραν τριβὴ κατὰ μικρὸν ἔθρεψε
τὴν ἐμπειρίαν. εἶχον δ' ὀξυβελεῖς μὲν τριακοσίους, τεσσαράκοντα
δὲ τῶν λιθοβόλων, δι' ὧν τὰ χώματα τοῖς Ῥωμαίοις ἐποίουν

PAMLVRCLatHegesippus V 14 p. 297. Zonaras I p. 531.

1 κατεπλήχθη L τεῖχον M τοῦ ἱεροῦ om. Lat 2 ἦν] εἶναι L προκυπτόντων] *intuentibus* Lat 3 ἰδεῖν] κατιδεῖν M ὑπεριδεῖν ALVRC *cerneres* Lat 5 πᾶσαν] πᾶσιν PAL 6 τε] τε γὰρ L τ' VRC μεταβάλλεσθαι L 7 δι' ex δ' corr. A ἔδρασεν L 8 συγνώμην VR 9 εἰ] εἰ μὴ L κρείττω V κρείττων R πολέμοις A 10 δὲ VR 12 οἱ Ῥωμαῖοι om. Lat 13 διετέλεσαν, ελεσ i. ras. A τὰς suppletum in fine uersus P δὲ VR 15 τῶν om. LVRC τε om. PA τὸ] τὸ· A, om. L 16 δὲ VR 17 ἀκίνδυνον ἦν κατέχειν tr. L 18 δὲ] δὴ LVRC *autem* Lat ἠγείρετο χώματα tr. LVRC fort. recte 19 καθ' — τάγματος] *a singulis agminibus singuli* Lat 20 Ἰδουμαῖοι] *iudaeis* Lat ὁπλιτικὸν V 21 ἐπεκθέοντες, κ i. ras. ex χ corr. A Ἰωάνην P 22 τὸ s. A ἐπλεονέκτουν — 23 μαχόμενοι] *non solum quod de loco superiore pugnabant* Lat δὲ] δ' C δὲ οὐ κατὰ χεῖρα om. L 23 ἀφ'] ἀπὸ L δ' C χρήσασθαι C 25 δὲ PLVR τεσσεράκοντα VR 26 ἐποίει P

360 δυσέργαστα. Τίτος δὲ σώζεσθαί τε τὴν πόλιν καὶ ἀπόλλυσθαι εἰδὼς
ἑαυτῷ. ἅμα καὶ τῇ πολιορκίᾳ προσέκειτο καὶ τοῦ παραινεῖν Ἰου-
361 δαίοις μετάνοιαν οὐκ ἠμέλει. τοῖς δ' ἔργοις ἀνέμισγε συμβουλίαν,
καὶ πολλάκις γινώσκων ἀντικώτερον ὅπλων τὸν λόγον αὐτός τε
σώζεσθαι παρεκάλει παραδόντας τὴν πόλιν ἤδη παρειλημμένην καὶ
τὸν Ἰώσηπον καθίει τῇ πατρίῳ γλώσσῃ διαλέγεσθαι, τάχ' ἂν ἐν-
δοῦναι πρὸς ὁμόφυλον δοκῶν αὐτούς.

362 3. Οὗτος περιὼν τὸ τεῖχος καὶ περιρώμενος ἔξω τε βέλους εἶναι
καὶ ἐν ἐπηκόῳ. πολλὰ κατηγτιβόλει φείσασθαι μὲν αὐτῶν καὶ τοῦ
δήμου, φείσασθαι δὲ τῆς πατρίδος καὶ τοῦ ἱεροῦ μηδὲ γενέσθαι
363 πρὸς ταῦτα τῶν ἀλλοφύλων ἀπαθεστέρους. Ῥωμαίους μέν γε τοὺς
μὴ μετέχοντας ἐντρέπεσθαι τὰ τῶν πολεμίων ἅμα καὶ μέχρι νῦν
τὰς χεῖρας ἐπέχειν, τοὺς δ' ἐντραφέντας αὐτοῖς κἂν περισωθῇ μό-
364 νους ἕξοντας ὡρμῆσθαι πρὸς ἀπώλειαν αὐτῶν. ἢ μὴν τά καρτε-
ρώτερα μὲν αὐτῶν ὁρᾶν τείχη πεπτωκότα, λειπόμενον δὲ τὸ τῶν
ἑαλωκότων ἀσθενέστερον· γινώσκειν δὲ τὴν Ῥωμαίων ἰσχὺν ἀνυπό-
365 στατον καὶ τὸ δουλεύειν τούτοις οὐκ ἀπείρατον αὐτοῖς. εἰ γὰρ
δὴ καὶ πολεμεῖν ὑπὲρ ἐλευθερίας καλόν, χρῆναι τὸ πρῶτον· τὸ δ'
ἅπαξ ὑποπεσόντας καὶ μακροῖς εἴξαντας χρόνοις ἔπειτα ἀποσείε-
366 σθαι τὸν ζυγὸν δυσθανατούντων, οὐ φιλελευθέρων εἶναι. δεῖν

Tes[illegible]PAMLVRCLat Hegesippus V 14 p. 298.

1 *δυσέργ[illegible]αστα*] *δυσεργότερα* LVRC *δυσεργέστερα* Destinon *Τίτος*] *Καῖσαρ* L. B. et Rost. apud [illegible] Hauerkampum et inde Dindorf *καὶ ἀπόλλυσθαι τὴν πόλιν* tr. L 3 *οὐκ — συμβουλ[illegible]ίαν* i. ras. V *δ'*] *δὲ* VRC *que* Lat *τ'* Destinon 4 *πολλάκι* R¹ *γινωσκομένων* L *ἀντικώτερον* C *ἀντικώτερον* Dindorf *αὐτός*] Destinon *αὐτούς* PAMCLat *αὐτοῖς* LVR [illegible]*παραδιδόντας* L *παρειλημμένην*] *παρ' ὀλίγον παρειλημμένην* uel simile ex § 369 [illegible]des inon 6 *καθίη* A *τάχ' ἄν*] Destinon *τάχα* codd. 7 *αὐτοῖς* L 8 *οὗτος*] *atque iosippus* Lat *περιὼν*] *περιηὼν* P *ἔξω τε*] Niese ex Lat *ἔξω* PAM *ἐξωτέρω* LVRC *simulque extra* (*teli iactum stans et unde exaudiri facilius posset*) Lat 9 *ὑπηκόω* AM *πολλὰ*, litt. *πολ* ex *στὰσ* corr. P *αὐτῶν*] *αὐτῶν* PLV *αυτῶν* R *ἑαυτὸν* C 10 *δὲ*] *δὲ καὶ* C 11 *ἀπαθεστέρους*] *ἀναισθητοτέρους* L *duriores* Lat *ἀπηνεστέρους* Naber *γε*] *γὰρ* L 12 *μετασχόντας* PA 13 *ἐπέχειν*] *ἀντέχοντας ἀπειλεῖν* (*ει* ex *η* corr.) L *δὲ* VR *κἂν* — 14 *αὐτῶν*] *cum seruare possent sponte ad eorum interitum ruere* Lat, quem *καίπερ σωθησομένους* et *ἐκόντας* habuisse putat Destinon *κἂν*] *καὶ* L *περισωθῇ μόνους*] *περισωθησομένους* L 14 *ἕξοντας* LC *ὡρμεῖσθαι* L *αὐτῶν*] *αὐτοῦ* PA *ἢ μὴν* — 15 *ὁρᾶν*] *quin potius — uiderent* Lat *ἢ* PAMVR *καρτερώτατα* C 15 *αὐτῶν* om. Lat 16 *ἑαλοκότων* P *ἑαλωκότων*, *α* ex *λ* corr. A *γιγνώσκειν* C fere idem dixit Agrippa II 355 sq. 17 *τούτους* L *ἀπείραστον* PAVRC 18 *δὴ*] *δεῖ* LV *δὲ* VR 19 post *χρόνοις* ras. 3—4 litt. R 20 *δυσθανατώντων* AMLVRC *δεῖν*] ALat *δεῖ* PMLVRC

μέντοι καὶ δεσπότας ἀδοξεῖν ταπεινοτέροις, οὐχ οἷς ἐνοχείρια τὰ πάντα. τί γὰρ Ῥωμαίους διαπεφευγέναι, πλὴν εἰ μή τι διὰ θάλπος ἢ χρύος ἄχρηστον; μεταβῆναι γὰρ πρὸς αὐτοὺς πάντοθεν τὴν τύχην, 367
καὶ κατὰ ἔθνος τὸν θεὸν ἐμπεριάγοντα τὴν ἀρχὴν νῦν ἐπὶ τῆς Ἰταλίας εἶναι. νόμον γε μὴν ὡρίσθαι καὶ παρὰ θηρσὶν ἰσχυρότατον καὶ παρὰ ἀνθρώποις, ἔχειν τοῖς δυνατοτέροις καὶ τὸ κρατεῖν παρ' οἷς ἀκμὴ τῶν ὅπλων εἶναι. διὰ τοῦτο καὶ τοὺς προγόνους 368
αὐτῶν καὶ ταῖς ψυχαῖς καὶ τοῖς σώμασιν ἔτι δὲ καὶ ταῖς ἄλλαις ἀφορμαῖς ἀμείνους ὄντας εἶξαι Ῥωμαίοις, οὐκ ἂν εἰ μὴ τὸν θεὸν ἥδεσαν σὺν αὐτοῖς τοῦθ' ὑπομείναντας. αὐτοὺς δὲ τίνι καὶ πεποι- 369
θότας ἀντέχειν, ἑαλωκυίας μὲν ἐκ πλείστου τῆς πόλεως μέρους, τῶν δ' ἔνδον, εἰ καὶ τὰ τείχη παρέμενεν, ἁλώσεως χεῖρον διακειμένων; οὐ γὰρ λανθάνειν Ῥωμαίους τὸν ἐν τῇ πόλει λιμόν, ᾧ νῦν 370
μὲν τὸν δῆμον, μετ' οὐ πολὺ δὲ διαφθαρήσεσθαι καὶ τοὺς μαχί- 371
μους. εἰ γὰρ δὴ καὶ παύσαιντο Ῥωμαῖοι τῆς πολιορκίας μηδ' ἐπιπίπτοιεν τῇ πόλει ξιφήρεις, αὐτοῖς γε τὸν ἄμαχον πόλεμον ἔνδον παρακαθῆσθαι καθ' ἑκάστην ὥραν τρεφόμενον, εἰ μὴ καὶ πρὸς τὸν λιμὸν ἆραι τὰ ὅπλα καὶ μάχεσθαι δύνανται μόνοι τε καὶ παθῶν ἐπικρατεῖν. προσετίθει δὲ ὡς καλὸν πρὸ ἀνηκέστου συμ- 372
φορᾶς μεταβάλλεσθαι καὶ πρὸς τὸ σωτήριον ἕως ἔξεστι βέψαι· καὶ γὰρ οὐδὲ μνησικακήσειν αὐτοῖς Ῥωμαίους τῶν γεγενημένων, εἰ μὴ μέχρι τέλους ἀνανθαδίσαιντο· φύσει τε γὰρ ἐν τῷ κρατεῖν ἡμέρους εἶναι καὶ πρὸ τῶν θυμῶν θήσεσθαι τὸ συμφέρον. τοῦτο δ' εἶναι 373
μήτε τὴν πόλιν ἀνδρῶν κενὴν μήτε τὴν χώραν ἔρημον ἔχειν. διὸ

PAMLVRCLatHegesipus V 15 p. 299 sq.

1 καὶ om. Lat ἀδοξεῖν] ἀποδείξειν L *dedignari* Lat ὑποχείρια] ὑπὸ χεῖρα L τὰ om. VRC 2 θάλπους C 3 κρύους C γὰρ] δὲ LR *immo uero* Lat πάντωθεν C πάντοθε R 4 περιάγοντα L ἐπὶ τῆς Ἰταλίας εἶναι] ἐπὶ τὴν ἰταλίαν θεῖναι C 5 εἶναι] στῆναι Naber cl. § 412 μὴν] μὴν ἰσχυρώτατον L θηρσὶ L ἰσχυρότατον om. L 6 παρ' A καὶ τὸ — 7 εἶναι] *quique armis uigent is oboedire uictoriam* Lat 8 αὐτῶν] αὐτῶν πολὺ LLat τοῖς i. ras. A 9 ὄντας ἀμείνους tr. L 10 ἥδεσαν L τοῦτο VR ὑπομείναντα C πεποιθότας, θ ex τ corr. A 11 μέρους suppl. i. fine uersus A 12 τῶν — χεῖρον suppl. i. marg. A δὲ VR παρέμενον A ἁλώσεως — διακειμένων] *excidio pariter affecti sint* Lat 13 ᾧ·, eras. ν A 14 δὲ suppl. in exitu uersus A 15 μηδὲ LVRC 16 ἐπιπίπτοιεν] ἐπίπτοιεν P^1A^1 ἐπεισπίπτοιεν LV αὐτοῖς] *iudaeis* Lat γε] δὲ L πολέμιον C 17 τρεφόμενον paene euan. P 18 τὸν] τὴν C ἆραι] ἆρα C ἄρα R καὶ om. R δύναιντο LVRC τε om. AMC 19 πρὸ] πρὸς L^1 20 μεταβάλλεσθαι L 22 ἀπανθαδιάσαντο M ἀπανθαδιάσαιντο VR ἀπαθαιδιάσαιντο C 23 καὶ — εἶναι om. L τούτου C δὲ VR 24 μήτ' ἔρημον τὴν χώραν tr. L haud male

καὶ νῦν Καίσαρα βούλεσθαι δεξιὰν αὐτοῖς παρασχεῖν· οὐ γὰρ ἂν
σῶσαί τινα βίᾳ λαβόντα τὴν πόλιν, καὶ μάλιστα μηδ' ἐν ἐσχάταις
374 συμφοραῖς ὑπακουσάντων παρακαλοῦντι. τοῦ γε μὴν ταχέως τὸ
τρίτον τεῖχος ἁλώσεσθαι τὰ προεαλωκότα πίστιν εἶναι· κἂν ἅρ-
πικτον δὲ ᾖ τὸ ἕρυμα, τὸν λιμὸν ὑπὲρ Ῥωμαίων αὐτοῖς μαχεῖσθαι. 5
375 4. Ταῦτα τὸν Ἰώσηπον παραινοῦντα πολλοὶ μὲν ἔσκωπτον
ἀπὸ τοῦ τείχους, πολλοὶ δ' ἐβλασφήμουν, ἔνιοι δ' ἔβαλλον. ὁ δ'
ὡς ταῖς φανεραῖς οὐκ ἔπειθε συμβουλίαις, ἐπὶ τὰς ὁμοφύλους μετέ-
376 βαινεν ἱστορίας „ἆ δειλοί, βοῶν, καὶ τῶν ἰδίων ἀμνήμονες συμ-
μάχων, ὅπλοις καὶ χερσὶ πολεμεῖτε Ῥωμαίοις; τίνα γὰρ ἄλλον οὕτως 10
377 ἐνικήσαμεν; πότε δ' οὐ θεὸς ὁ κτίσας ἂν ἀδικῶνται Ἰουδαίων ἔκ-
δικος; οὐκ ἐπιστραφέντες ὄψεσθε πόθεν ὁρμώμενοι μάχεσθε καὶ
πηλίκον ἐμιάνατε σύμμαχον; οὐκ ἀναμνήσεσθε πατέρων ἔργα δαι-
μόνια, καὶ τὸν ἅγιον τόνδε χῶρον ἑλίκους ἡμῖν πάλαι πολέμους
378 καθεῖλεν; ἐγὼ μὲν φρίττω τὰ ἔργα τοῦ θεοῦ λέγων εἰς ἀναξίους 15
ἀκοάς· ἀκούετε δ' ὅμως, ἵνα γνῶτε μὴ μόνον Ῥωμαίοις πολεμοῦντες
379 ἀλλὰ καὶ τῷ θεῷ. βασιλεὺς ὁ τότε Νεχαὼς Αἰγυπτίων, ὁ δ' αὐτὸς
ἐκαλεῖτο καὶ Φαραώ, μυρίᾳ χειρὶ καταβὰς ἥρπασε Σάρραν βασιλίδα,
380 τὴν μητέρα τοῦ γένους ἡμῶν. τί οὖν ὁ ταύτης ἀνὴρ Ἀβραάμ, προ-
στάτωρ δὲ ἡμέτερος; ἆρα τὸν ὑβριστὴν ἠμύνατο τοῖς ὅπλοις, καίτοι 20
ὀκτωκαίδεκα μὲν καὶ τριακοσίους ὑπάρχους ἔχων, δύναμιν δὲ ἐφ'
ἑκάστῳ τούτων ἄπειρον; ἢ αὐτοὺς μὲν ἐρημίαν ἡγήσατο μὴ συ-
ναρόντος θεοῦ, καθαρὰς δ' ἀνατείνας τὰς χεῖρας εἰς ὃν νῦν ἐμιά-
381 νατε χῶρον ὑμεῖς τὸν ἀνίκητον αὐτῷ βοηθὸν ἐστρατολόγησεν; οὐ

PAMLVRC Lat Hegesippus V 15 p. 302.

1 *βούλεσθε* C 2 *λαβόντα*] *λαβὼν* LVRC *μηδὲ* VR *ἐσχάτοις* P

4 *προαλωκότα* A 5 *αὐτοῖς* om. Lat *μαχεῖσθαι*] Niese *pugnaturam* Lat *μάχεσθαι* codd. 7 *δὲ* VR *δὲ ἔβαλλον* VR *δὲ ὡς* LVRC 8 *οὐκ ἔπειθε*] *οὐ μετέπειθε* L *ἐπὶ τὰς*] om. VR¹ *εἰσ* R² 9 *ἆ*] *ἄ* P *ἄ* ex corr. A *ἆ* LC *ὦ* R *o* Lat *δειλοί*] *δείλαιοι* MLVRC *miseri* Lat *συμμάχων*] *συμμάχων συμφορῶν* L 10 *πολεμεῖται* PAL *πολεμεῖτε* V 11 *δὲ* MVRC *ἂν*] *κἂν* P *κὰν* (corr. ex *κἂν*) A 12 *ὄψεσθαι* A *ὡρμώμενοι* PRV¹ *ὡρμημένοι* L *ὑρμώμενοι* ex corr. V *μάχεσθαι* A 13 *πηλίκον*] *τηλικοῦτον* L *quantum* Lat *ἐμιάνετε* M *ἀναμνησθήσεσθαι* L *ἀναμνήσεσθε* V *ἀναμνήσασθε* C *recordamini* LatHeg *δαιμόνια* — 15 *ἔργα* om. C 14 *ὑμῖν* AMV 15 *λέγειν* L 16 *ἀκούεται* A *δὲ* VR *ῥωμαίοις, οισ* ex *ουσ* corr. L 17 i. marg. *α'* L *νεχαὼ* C *nechias* Lat *δὲ* VR 18 *φαραῶ* A¹C *μυρίᾳ*] *βαρεῖα* C *saram* Lat 19 *τὴν μητέρα* om. C *ἡμῶν, ν* i. ras. M *οὖν*] *δ' οὖν* L *ἀβράαμος* L *ἀβρά·|αμος* C *abraham* Lat 20 *δ'* C *ἠμύνετο* L 21 *μὲν*] *γε μὴν* L *δ'* LC *ἐφ'*] *ὑφ'* PMVC 22 *ἑκάστου* PAMVR *αὐτοὺς*] *αὐτὸς* LLat *ἐρημίαν*] *ἠρεμῆσαι* L *ἠρεμίαν* C¹ *quiescere* Lat 23 *δὲ* LVR 24 *αὐτῷ* Dindorf

μετὰ μίαν ἑσπέραν ἄχαριτος μὲν ἡ βασίλισσα ἀνεπέμφθη πρὸς τὸν ἄνδρα, προσκυνῶν δὲ τὸν ὑφ' ἡμῶν αἱμαχθέντα χῶρον ὁμοφύλῳ φόνῳ καὶ τρέμων ἀπὸ τῶν ἐν νυκτὶ φαντασμάτων ἔφευγεν ὁ Αἰγύπτιος, ἀργύρῳ δὲ καὶ χρυσῷ τοὺς θεοφιλεῖς Ἑβραίους ἐδωρεῖτο; εἶπω τὴν εἰς Αἴγυπτον μετοικίαν τῶν πατέρων; οὐ τυραννούμενοι καὶ βασιλεῦσιν ἀλλοφύλοις ὑποπεπτωκότες τετρακοσίοις ἔτεσι κρείττοσιν ὅπλοις ἀμύνεσθαι καὶ χερσὶ σφᾶς αὐτοὺς ἐπέτρεψαν τῷ θεῷ; τίς οὐκ οἶδεν τὴν παντὸς θηρίου καταπλησθεῖσαν Αἴγυπτον καὶ πάσῃ φθαρεῖσαν νόσῳ, τὴν ἄκαρπον [γῆν], τὸν ἐπιλείποντα Νεῖλον, τὰς ἐναλλὰξ δέκα πληγάς, τοὺς διὰ ταῦτα μετὰ φρουρᾶς προπεμπομένους πατέρας ἡμῶν ἀναμάκτους ἀκινδύνους, οὓς ὁ θεὸς αὐτῷ νεωκόρους ἦγεν; ἀλλὰ τὴν ἐπὸ Σύρων ἁρπαγεῖσαν ἁγίαν ἡμῖν λάρνακα οὐκ ἐστέναξε μὲν ἡ Παλαιστίνη καὶ Δαγὼν τὸ ξόανον, ἐστέναξε δὲ πᾶν τὸ τῶν ἁρπασαμένων ἔθνος, σηπόμενοι δὲ τὰ κρυπτὰ τοῦ σώματος καὶ δι' αὐτῶν τὰ σπλάγχνα μετὰ τῶν σιτίων καταφέροντες, χερσὶ ταῖς λῃσαμέναις ἀνεκόμισαν κυμβάλων καὶ τυμπάνων ἦχῳ καὶ πᾶσι μειλικτηρίοις ἱλασκόμενοι τὸ ἅγιον; Θεὸς ἦν ὁ ταῦτα πατράσιν ἡμετέροις στρατηγῶν, ὅτι τὰς χεῖρας καὶ τὰ ὅπλα παρέντες αὐτῷ κρῖναι τὸ ἔργον ἐπέτρεψαν. βασιλεὺς Ἀσσυρίων Σενναχηρεὶμ ὅτε πᾶσαν τὴν Ἰσίαν ἐπισυρόμενος τήνδε περιεστρατοπεδεύσατο τὴν πόλιν, ἆρα χερσὶν ἀνθρωπίναις ἔπεσεν; οὐχ αἱ μὲν ἀπὸ τῶν ὅπλων ἠρεμοῦσαι ἐν προσευχαῖς ἦσαν, ἄγγελος δὲ τοῦ θεοῦ μιᾷ νυκτὶ τὴν ἄπειρον στρατιὰν ἐλυμήνατο, καὶ μεθ' ἡμέραν ἀναστὰς ὁ Ἀσσύριος ὀκτωκαίδεκα μυριάδας ἐπὶ πεντακισ-

PAMLVRC Lat Hegesippus V 16 p. 303.

1 *μὲν*] *μὲν αὐτῷ* PAML *βασίσ|λισσα* A *βασίλεισσα* C *πρὸσ τὸν ἄνδρα* s. P 2 *τὸν, το* i. ras. A 3 *φόνῳ* ex *χῶρῳ* corr. C *φαντασμάτων*] *φασμάτων* ML 4 *Θεοφελεῖσ* V *Ἑβραίους* om. L *ἐδωρήσατο* cod. L. B. et Rost. apud Hauerkampum 5 i. marg. *β'* L *εἶπω*] *σιγῶ ἢ εἶπω* VRC *οὐ*] *οἳ* PLVRCLat 7 *ἀμύνασθαι* VRC *χερσὶ*] *χερσὶ τὴν ὠμότητα* L *αὐτοὺσ* M 8 *παντὸσ*] *ἐκ παντὸσ* L 9 *τὴν ἄκαρπον*] *τίνα καρπὸν* PA¹ *γῆν* om. PA *ἐπιλιπόντα* L 11 *οὓσ*] *οἵουσ* VRC *αὐτῷ* PAL *ἑαυτῶν* M *ἑαυτῷ* (*ἑ* ex *ν* corr. C) VRC 12 *νεοκόρουσ* P i. marg. *γ'* L *ὑπὸ Σύρων*] *ὑπ' ἀσσυρίων* MCLat *ὑπὸ σύρων καὶ ἀζωτίων* L *ἡμῖν*] *ἡμῶν* P *ἡμῖν ἁγίαν* tr. LC 13 *ξώανον* C 14 *δὲ* om. A 16 *δηησαμέναισ* P *δησαμέναισ* A *λῃσαμέναισ* MLVRC *κυμβάλων, κ* i. ras. A *τυμπάνων καὶ κυμβάλων* tr. L 17 *ἦχων* V¹ *ἱλασσόμενοι* L *θεὸσ* ex corr. R 19 *βασιλεὺς*] *βασιλεὺσ δ'* ML i. marg. *δ'* L 20 *Σενναχηρεὶμ*] PA¹M *σενναχειρεὶμ* ex corr. A *σεναχηρεὶμ* (*εἰ* ex *ι* corr. m. recentissima L) LV *σεναχηρεῖμ* R *σενναχήρειμοσ* C *sennacherib* Lat *sennacherim* Heg 21 *τὴν* om. M *ἆρα* PL *χερσὶν, ρ* s. A 24 *ὀκτὼ καὶ δέκα* A¹L *πεντακισχιλίουσ* PA¹LVRC

χιλίοις νεκρῶν εἶρε, μετὰ δὲ τῶν καταλειπομένων ἀνόπλους καὶ
389 μὴ διώκοντας Ἑβραίους ἔφυγεν; ἵστε καὶ τὴν ἐν Βαβυλῶνι δουλείαν,
ἔνθα μετανάστις ὁ λαὸς ὢν ἔτεσιν ἑβδομήκοντα οὐ πρότερον εἰς
ἐλευθερίαν ἀνεκαίτισεν ἢ Κῦρον τοῦτο χαρίσασθαι τῷ θεῷ· προ-
πέμφθησαν γοῦν ὑπ' αὐτοῦ, καὶ πάλιν τὸν αὐτῶν σύμμαχον ἐνεω-
390 κόρουν. καθόλου δ' εἰπεῖν, οὐκ ἔστιν ὅ τι κατώρθωσαν οἱ πατέρες
ἡμῶν τοῖς ὅπλοις ἢ δίχα τούτων διήμαρτον ἐπιτρέψαντες τῷ θεῷ·
μένοντες μέν γε κατὰ χώραν ἐνίκων ὡς ἐδόκει τῷ κριτῇ, μαχόμενοι
391 δὲ ἔπταισαν ἀεί. τοῦτο μέν, ἡνίκα βασιλεὺς Βαβυλωνίων ἐπολιόρκει
ταύτην τὴν πόλιν, συμβαλὼν Σεδεκίας ὁ ἡμέτερος βασιλεὺς παρὰ
τὰς Ἱερεμίου προφητείας αὐτός τε ἑάλω καὶ τὸ ἄστυ μετὰ τοῦ
ναοῦ κατασκαπτόμενον εἶδε· καίτοι πόσῳ μετριώτερος ὁ μὲν βα-
σιλεὺς ἐκεῖνος τῶν ὑμετέρων ἡγεμόνων ἦν, ὁ δ' ὑπ' αὐτῷ λαὸς
392 ὑμῶν. βοῶντα γοῦν τὸν Ἱερεμίαν, ὡς ἀπέχθοιντο μὲν τῷ θεῷ διὰ
τὰς εἰς αὐτὸν πλημμελείας, ἁλώσοιντο δ' εἰ μὴ παραδοῖεν τὴν πόλιν,
393 οὔθ' ὁ βασιλεὺς οὔθ' ὁ δῆμος ἀνεῖλεν. ἀλλ' ἡμεῖς, ἵν' ἐάσω τἄνδον,
οἱ γὰρ ἂν ἐρμηνεῦσαι δυναίμην τὰς παρανομίας ὑμῶν ἀξίως, ἐμὲ τὸν
παρακαλοῦντα πρὸς σωτηρίαν ἡμᾶς βλασφημεῖτε καὶ βάλλετε, παρο-
ξυνόμενοι πρὸς τὰς ὑπομνήσεις τῶν ἁμαρτημάτων καὶ μηδὲ τοὺς
394 λόγους φέροντες ὧν τἄργα δρᾶτε καθ' ἡμέραν. τοῦτο δ', ἡνίκα
Ἀντιόχου τοῦ κληθέντος Ἐπιφανοῦς προσκαθεζομένου τῇ πόλει
πολλὰ πρὸς τὸ θεῖον ἐξυβρικότος, οἱ πρόγονοι μετὰ τῶν ὅπλων
προῆλθον, αὐτοὶ μὲν ἀπεσφάγησαν ἐν τῇ μάχῃ, διηρπάγη δὲ τὸ
ἄστυ τοῖς πολεμίοις, ἠρημώθη δ' ἔτη τρία καὶ μῆνας ἓξ τὸ ἅγιον.

PAMLVRC Lat Hegesippus V 16 p. 304 sq.

1 *νεκροὺς* L *καὶ*] *τε καὶ* L 2 *τοὺς Ἑβραίους* Destinon *ἵστε*] *ἵστε* AL *ἵστε δὲ* C i. marg. *ε'* L 3 *ὢν ὁ λαὸς* tr. L *ἔτεσιν ἑβδομήκοντα*] *ὡς ἑβδομήκοντα ἔτεσιν* L *οὐ — 4 θεῷ*] *non ante libertatem respexit, quam dominus eam donaret* Lat 4 *προυπέμφθεισαν* P *προεπέμφθησαν* L 5 *τὸν*] ex *τῶν* corr. A *τῷ* P *αὐτῶν*] *αὐτῶν* PAV *ἑαυτῶν* M *ἐναυτῷ* L *αὐτὸν* C *συμμάχω* P *ἐνεοκόρουν* L 6 *δ' εἰπεῖν, οὐκ ἔστιν*] *δὲ εἰπεῖν οὐκ ἔστιν εἰπεῖν* VR *δ' οὐκ ἔστιν εἰπεῖν* C *κατόρθωσαν* C 9 *δ'* L *ἔπτεσαν* R *αἰεί* L i. marg. *ς'* L 10 *ταύτην* om. C 11 *ἱερεμίου* V *τε*] *θ'* L 12 *ἴδε* PAR *μετριότεροσ* P *ὁ μὲν — 13 ἐκεῖνος* om. M 13 *ὑμετέρων*, *ὑ* ex *ἡ* corr. A *δὲ* VRC *ὑπ' αὐτὸν* (*ὸν* i. ras. R) VR 14 *ἠρεμίαν* C *ἀπεχθάνοιντο* C 15 *ἁλώσοιντο* C *δὲ* VR 16 *οὔτε ὁ* LVR *βασιλεὺσ οὔτε* VR *ἵνα* LVRC *τὰ ἔνδον* LR 17 *ἂν*] Destinon, om. codd. 18 *βάλλεται* L 20 *τὰ ἔργα* ML *τοῦτο δ'*] *idem tunc fuit* Lat i. marg. *ζ'* L *δὲ* VRC 21 *ἐπικληθέντοσ* L 22 *πολλὰ — ἐξυβρικότος*] *multis modis offensa diuinitate* Lat *ἐξυβρικότεσ* L 23 *διηρπάγει* P 24 *δ' ἔτη*] *δὲ ἐπὶ ἔτη* L *δὲ ἔτη* VR *δ' ἔτι* C

καὶ τί δεῖ τἄλλα λέγειν; ἀλλὰ Ῥωμαίους τίς ἐστρατολόγησε κατὰ 395
τοῦ ἔθνους; οὐχ ἡ τῶν ἐπιχωρίων ἀσέβεια; πόθεν δ' ἠρξάμεθα
δουλείας; ἆρ' οὐχὶ ἐκ στάσεως τῶν προγόνων, ὅτε ἡ Ἀριστοβούλου 396
καὶ Ὑρκανοῦ μανία καὶ πρὸς ἀλλήλους ἔρις Πομπήιον ἐπήγαγεν
τῇ πόλει καὶ Ῥωμαίοις ὑπέταξεν ὁ θεὸς τοὺς οὐκ ἀξίους ἐλευθερίας;
τρισὶ γοῦν μησὶ πολιορκηθέντες ἑαυτοὺς παρέδοσαν, οὔθ' ἁμαρ- 397
τόντες εἰς τὰ ἅγια καὶ τοὺς νόμους ἡλίκα ὑμεῖς καὶ πολὺ μείζοσιν
ἀφορμαῖς πρὸς τὸν πόλεμον χρώμενοι. τὸ δ' Ἀντιγόνου τέλος τοῦ 398
Ἀριστοβούλου παιδὸς οὐκ ἴσμεν, οὗ βασιλεύοντος ὁ θεὸς ἁλώσει
πάλιν τὸν λαὸν ἥλωνε πλημμελοῦντα, καὶ Ἡρώδης μὲν ὁ Ἀντιπά-
τρου Σόσσιον, Σόσσιος δὲ Ῥωμαίων στρατιὰν ἦγαγεν, περιεχεθέντες
δ' ἐπὶ μῆνας ἓξ ἐπολιορκοῦντο, μέχρι δίκας τῶν ἁμαρτιῶν δόντες
ἑάλωσαν καὶ διηρπάγη τοῖς πολεμίοις ἡ πόλις; οὕτως οὐδέποτε 399
τῷ ἔθνει τὰ ὅπλα δέδοται, τῷ δὲ πολεμεῖσθαι καὶ τὸ ἁλώσεσθαι
πάντως πρόσεστι. δεῖ γάρ, οἶμαι, τοὺς χωρίον ἅγιον νεμομένους 400
ἐπιτρέπειν πάντα τῷ θεῷ δικάζειν καὶ καταφρονεῖν τότε χειρὸς
ἀνθρωπίνης, ὅταν αὐτοὶ πείθωσι τὸν ἄνω δικαστήν. ὑμῖν δὲ τί 401
τῶν εὐλογηθέντων ὑπὸ τοῦ νομοθέτου πέπρακται; τί δὲ τῶν ὑπ'
ἐκείνου κατηραμένων παραλέλειπται; πόσῳ δ' ἐστὲ τῶν τάχιον
ἁλόντων ἀσεβέστεροι; οὐ τὰ κρυπτὰ μὲν τῶν ἁμαρτημάτων ἠδο- 402
ξήκατε, κλοπὰς λέγω καὶ ἐνέδρας καὶ μοιχείας, ἁρπαγαῖς δ' ἐρίζετε
καὶ φόνοις καὶ ξένας καινοτομεῖτε κακίας ὁδούς, ἐκδοχεῖον δὲ πάν-
των τὸ ἱερὸν γέγονεν καὶ χερσὶν ἐμφυλίοις ὁ θεῖος μεμίανται χῶρος.

PAMLVRC Lat Hegesippus V 16 p. 307.

1 *τὰ ἄλλα* AML *ταῦτα* C i. marg. *γ'* V 2 *οὐχ ἡ*] *οὐχὶ* C *δ'*] *δὲ* VR, om. LLat 3 *ἆρα* C *οὐχὶ*] *οὐκ* L *ἐκ στάσεως*] *ἀπεκστάσεως* P *ἐκτάσεως* R 4 *πρὸς*] *ἡ πρὸς* PL 5 *τῇ πόλει*] *τὴν πόλιν* C *ὑπέταξεν*] *ὑπέταξε τὴν πόλιν* L *οὐκ ἀξίους*] *ἀναξίους* L 6 *γοῦν*] *γὰρ* L *οὔθ'*] *οὐχὶ* L *οὔτε* VRC *ἁμαρτῶντες* PAL 8 i. marg. *η'* L *δ'* V *δὲ* LVRC 9 *ἁλώσειν* L 10 *πλημμελοῦντα*] *πολεμοῦντα*, i. marg. *πλημμελοῦντα* L *πλημμελοῦντα τὸν λαὸν* (*τὸν λαὸν* deletum) C 11 *σσόσιον* (sic) C *Σόσσιον — στρατιὰν*] *sosium et romanum — exercitum* Lat *στρατιὰν*] *στρατηγίαν* L 12 *δ'*] *δὲ* LV, om. MR · *δόντες*] *δ···]δόντες* V 13 *διηρπάγει* P 14 *τῷ δὲ*] *τὸ δὲ* PVR *τὸ*] *τῷ* L 15 *προσέστη* Niese *χῶρον* L *ἅγιον*] *ἱερὸν* L *νεμωμένους* P 17 *ὅταν — δικαστήν*] *cum a superno ipsi iudice non recedunt* Lat *ὅταν*] *ὅτε* PAMVRC *πείθωσι*] *πείθουσι* MVR *περιθέωσι* C *περιέπτωσι* Destinon 18 *τοῦ νομοθέτου*, litt. *τοῦ νο* ex corr. M 19 *ὑπολέλειπται* L *πόσα* L *δὲ* VRC 20 *ἁλόντων*] *ἁλόν* L *ἁλώντων* V¹C *ἀσεβέστερον* R 21 *δὲ* VR *ἐρίζεται* P 22 *κενοτομεῖτε* V¹C 23 *ἱερὸν*] *ἅγιον ἱερὸν* L *sanctum templum* Lat *ἐμφυλίοις*] *ὁμοφύλοις* L *indigenarum* (*manibus*) Lat *μεμίασται* M

ὃν καὶ Ῥωμαῖοι πόρρωθεν προσεκύνουν, πολλὰ τῶν ἰδίων ἐθῶν εἰς
403 τὸν ὑμέτερον παραλύοντες νόμον. εἶτ' ἐπὶ τούτοις τὸν ἀσεβηθέντα
σύμμαχον προσδοκᾶτε; πάνυ γοῦν ἐστὲ δίκαιοι ἱκέται καὶ χερσὶ
404 καθαραῖς τὸν βοηθὸν ὑμῶν παρακαλεῖτε. τοιαύταις ὁ βασιλεὺς
ὑμῶν ἱκέτευσεν ἐπὶ τὸν Ἀσσύριον, ὅτε τὸν μέγαν ἐκεῖνον στρατὸν
μιᾷ νυκτὶ κατέστρωσεν ὁ θεός; ὅμοια δὲ τῷ Ἀσσυρίῳ Ῥωμαῖοι
405 δρῶσιν, ἵνα καὶ ἄμυναν ὑμεῖς ὁμοίαν ἐλπίσητε; οὐχ ὁ μὲν χρήματα
παρὰ τοῦ βασιλέως ἡμῶν λαβὼν ἐφ' ᾧ μὴ πορθήσει τὴν πόλιν
κατέβη παρὰ τοὺς ὅρκους ἐμπρῆσαι τὸν ναόν, Ῥωμαῖοι δὲ τὸν συν-
ήθη δασμὸν αἰτοῦσιν, ὃν οἱ πατέρες ἡμῶν τοῖς ἐκείνων πατράσι
406 παρέσχον; καὶ τούτου τυχόντες οὔτε πορθοῦσι τὴν πόλιν οὔτε
ψαύουσι τῶν ἁγίων, διδόασι δὲ ὑμῖν τὰ ἄλλα, γενεάς τ' ἐλευθέρας
καὶ κτήσεις τὰς ἑαυτῶν νέμεσθαι καὶ τοὺς ἱεροὺς νόμους σώζουσι.
407 μανία δὴ τὸν θεὸν προσδοκᾶν ἐπὶ δικαίοις οἷος ἐπ' ἀδίκοις ἐφάνη.
καὶ παραχρῆμα δὲ ἀμύνειν οἶδεν ὅταν δέῃ· τοὺς γοῦν Ἀσσυρίους
408 κατὰ νύκτα τὴν πρώτην παραστρατοπεδευσαμένους ἔκλασεν· ὥστ'
εἰ καὶ τὴν ὑμετέραν γενεὰν ἐλευθερίας ἢ Ῥωμαίους κολάσεως ἀξίους
ἔκρινε, κἂν παραχρῆμα καθάπερ τοῖς Ἀσσυρίοις ἐνέσκηψεν, ὅτε
τοῦ ἔθνους ἥττατο Πομπήιος, ὅτε μετ' αὐτὸν ἀνῄρει Σόσσιος, ὅτε
Οὐεσπασιανὸς ἐπόρθει τὴν Γαλιλαίαν, τὰ τελευταῖα νῦν, ὅτε ἤγγιζε
409 Τίτος τῇ πόλει. καίτοι Μάγνος μὲν καὶ Σόσσιος πρὸς τῷ μηδὲν
παθεῖν καὶ ἀνὰ κράτος ἔλαβον τὴν πόλιν, Οὐεσπασιανὸς δ' ἐκ τοῦ
πρὸς ἡμᾶς πολέμου καὶ βασιλείας ἤρξατο· Τίτῳ μὲν γὰρ καὶ πηγαὶ
410 πλουσιώτεραι ῥέουσιν αἱ ξηρανθεῖσαι πρότερον ὑμῖν· πρὸ γοῦν τῆς
αὐτοῦ παρουσίας τήν τε Σιλωὰν ἐπιλείπουσαν ἴστε καὶ τὰς πρὸ
τοῦ ἄστεως ἁπάσας, ὥστε πρὸς ἀμφορέας ὠνεῖσθαι τὸ ὕδωρ· τὸ

PAMLVRC Lat Hegesippus V 16 p. 308 sq.

1 *πόρροθεν* C *προσκυνοῦσι* M *πολλὰ — 2 νόμον*] *multa per legem nostram de suis moribus derogantes* Lat *εἰς τὸν ὑμέτερον παραλύοντες νόμον*] L *παραλύοντεσ εἰσ τὸν ἡμέτερον νόμον* C *παραλύοντεσ καὶ νόμων* PAMVR 2 *εἶτα* VRC 3 *γοῦν*] *οὖν* L *ἱκέται δίκαιοι* tr. L 5 *ὑμῶν* AMLVRLat 8 *ἡμῶν* ex *ὑμῶν* corr. P *πορθήσῃ* ALVR *πορθήσειν* M 9 *δὲ* om. C 10 *ἡμῶν*] *uestri* Lat cod. Vat 12 *δ'* LC *ὑμῖν*] *nobis* Lat *τὰ ἄλλα*] *τἄλλα* LVRC, om. Lat *τε* LVRC 14 *δὴ* ex *δὲ* corr. V 15 *δ'* LC 16 *καταστρατοπεδευσαμένουσ* L *ἔκλασεν*] *ἐκόλασεν* VR *ἐκώλασεν* C *ὥστε* VRC 19 *ἀνῄρει*] *ἀνείη* P *sosius* hic et infra Lat 20 *ἐπόρθη* V¹R 21 *τῷ*] *τὸ* AV¹RC 22 *ἀνὰ*] *κατὰ* L *δὲ* VR 23 *μὲν γὰρ*] *μέντοι* aut *γε μὴν* Niese 25 *παρουσίαν* C *σιλουὰν* PA *σιλωαν* C *σιλωὰμ* L *siloam* acc. Lat *siloa* (nom.) Heg *ἐπιλιποῦσαν* MVRC *πρὸ*] *ἔξω* L *extra* LatHeg 26 *ἄστεοσ, ο* ex *ω* corr. P *ὥστε — ὕδωρ*] *ut aqua nostro deesset usui nisi pretio quaesita* Heg *ἀμφορέας*] *ἀμφορεῖσ* VRC *ἀμφοτέραισ* L (*ad*) *utrumque* Lat *ὠνεῖσθε* Naber *τὸ δὲ*] *τῶ δὲ* L

δὲ νῦν οὕτως τηλικοῦτοι τοῖς πολεμίοις ὑμῶν, ὡς μὴ μόνον αὐτοῖς
καὶ κτήνεσιν, ἀλλὰ καὶ κήτοις διαρκεῖν. τό γε μὴν τέρας τοῦτο 411
πεπείραται καὶ πρότερον ἐφ' ἁλώσει τῆς πόλεως γεγενημένον,
ὅτε ὁ προειρημένος Βαβυλώνιος ἐπεσιράτευσεν, ὃς τήν τε πόλιν
ἑλὼν ἐνέπρησε καὶ τὸν ναόν, οὐδὲν οἶμαι τῶν τότε ἠσεβηκότων
τηλικοῦτον ἡλίκα ὑμεῖς· ὥστε ἐγὼ πεφευγέναι μὲν ἐκ τῶν ἁγίων 412
οἶμαι τὸ θεῖον, ἑστάναι δὲ παρ' οἷς πολεμεῖτε νῦν. ἀλλ' ἀνὴρ 413
μὲν ἀγαθὸς οἰκίαν ἀσειγῆ φεύξεται καὶ τοὺς ἐν αὐτῇ στιγήσει,
τὸν δὲ θεὸν ἔτι πείθεσθε τοῖς οἰκείοις κακοῖς παραμένειν, ὃς τά
τε κρυπτὰ πάντα ἐφορᾷ καὶ τῶν σιγωμένων ἀκούει; τί δὲ σιγᾶται 414
παρ' ὑμῖν ἢ τί κρύπτεται; τί δ' οὐχὶ καὶ τοῖς ἐχθροῖς φανερὸν
γέγονε; τομπεύετε γὰρ παρανομοῦντες καὶ καθ' ἡμέραν ἐρίζετε,
τίς χείρων γένηται, τῆς ἀδικίας ὥσπερ ἀρετῆς ἐπίδειξιν ποιούμενοι.
καταλείπεται δὲ ὅμως ἔτι σωτηρίας ὁδός, ἐὰν θέλητε, καὶ τὸ θεῖον 415
εὐδιάλλακτον ἐξομολογουμένοις καὶ μετανοοῦσιν. ὦ σιδήρειοι, ῥί- 416
ψατε τὰς παροπλίας, λάβετε ἤδη κατερειπομένης αἰδῶ πατρίδος,
ἐπιστράφητε καὶ θεάσασθε τὸ κάλλος ἧς προδίδοτε, οἷον ἄστυ,
οἷον ἱερόν, ὅσων ἐθνῶν δῶρα. ἐπὶ ταῦτά τις ὀδυρεῖ φλόγα; ταῦτά 417
τις μηκέτ' εἶναι θέλει; καὶ τί σώζεσθαι τούτων ἀξιώτερον, ἄτεγκτοι
καὶ λίθων ἀπαθέστεροι. καὶ εἰ μὴ ταῦτα γνησίοις ὄμμασιν βλέ- 418
πετε, γενεὰς γοῦν ὑμετέρας οἰκτείρατε, καὶ πρὸ ὀφθαλμῶν ἑκάστῳ
γενέσθω τέκνα καὶ γυνὴ καὶ γονεῖς, οὓς ἀναλώσει μετὰ μικρὸν ἢ
λιμὸς ἢ πόλεμος. οἶδ' ὅτι μοι συγκινδυνεύει μήτηρ καὶ γυνὴ καὶ 419
γένος οὐκ ἄσημον καὶ πάλαι λαμπρὸς οἶκος, καὶ τάχα δοκῶ διὰ

PAMLVRCLatHegesippus V 16. p. 309.

1 οὕτω LVRC 3 πεπείραται] Niese πεπείρασται PAMVR πεπείρασθε L πεπείρασθαι C 4 ὅθ' C προηρημένος A τε om. C 5 ἑλὼν om. P τότε] τε C 6 τηλικοῦτον] s. P τηλικούτων R ἡλίκα] οἷα M ὥστ' L ἔγωγε V²RC 7 τὸ θεῖον] τὸν θεὸν L πολεμεῖται PA 8 οἰκίαν] καὶ οἰκίαν L 9 τὸν δὲ θεὸν] τὸν θεὸν δ' L θεὸν om. R πείθεσθαι P¹AVRC οἰκείοις] οἰκόοισ (ό fort. in εί corr.) A οἰκείοισ ὑμῶν M ὑμετέροις LVRC uestris Lat 10 τε om. M ἐφορᾷ πάντα tr. L σιγομένων PAVRC 11 τί om. C κρύπτετε P δὲ VR 13 χείρω PALVR χεῖρον C 14 δ' L ὅμως ἔτι] ἔτι ὁμοίωσ L ὁδός] ἐλπὶσ L ἂν M θέλητε C 15 εὐδιάλακτον L μετανοοῦσι L σιδήρεοι L σιδηροῖ L. Dindorf 16 κατερειπωμένησ PC κατεριπωμένησ VR τῆσ πατρίδοσ L 17 θεάσασθε] ἴδετε (sic) L θεάσασθαι V προδίδοται P 18 οἷον] καὶ οἷον L ταῦτά τις] Bekker cum Heg ταῦτα τίσ codd. Lat, item mox φλόγασ LVRCLat 19 μηκέτι VR ἄτεγκτοί γε καὶ L 20 καὶ (ante εἰ) om. Lat 21 ἑκάστῳ γενέσθω] ἑκάστων (ἑκάστω ex corr. R) ἔστω VR 22 καὶ γονεῖσ καὶ γυνὴ tr. C 23 οἶδα (οἶδα C) VRC μοι, οι i. ras. A συνκινδυνεύει PAM συγκινδυνεύει μοι tr. C

ταῦτα συμβουλεύειν. ἀποκτείνατε αὐτούς, λάβετε μισθὸν τῆς ἑαυτῶν σωτηρίας τὸ ἐμὸν αἷμα· κἀγὼ θνήσκειν ἕτοιμος, εἰ μετ' ἐμὲ σωφρονεῖν μέλλετε."

420 X. 1. *Τοιαῦτα τοῦ Ἰωσήπου μετὰ δακρύων ἐμβοῶντος οἱ στασιασταὶ μὲν οὔτε ἐνέδοσαν οὔτ' ἀσφαλῆ τὴν μεταβολὴν ἔκριναν, ὁ* 5
421 *δὲ δῆμος ἐκινήθη πρὸς αὐτομολίαν. καὶ οἱ μὲν τὰς κτήσεις ἐλαχίστου πωλοῦντες, οἱ δὲ τὰ πολυτελέστερα τῶν κειμηλίων, τοὺς μὲν χρυσοῦς, ὡς μὴ φωραθεῖεν ὑπὸ τῶν λῃστῶν, κατέπινον, ἔπειτα πρὸς τοὺς Ῥωμαίους διαδιδράσκοντες, ὁπότε κατενέγκαιεν εὑτόρουν πρὸς*
422 *ἃ δέοιντο. διηφίει γὰρ τοὺς πολλοὺς ὁ Τίτος εἰς τὴν χώραν ὅποι* 10
βούλοιτο ἕκαστος, καὶ τοῦτ' αὐτὸ μᾶλλον πρὸς αὐτομολίαν παρεκάλει τῶν μὲν ἔσω κακῶν στερισομένους, μὴ δουλεύσοντας δὲ Ῥω-
423 *μαίοις. οἱ δὲ περὶ τὸν Ἰωάννην καὶ τὸν Σίμωνα περιεφύλαττον τὰς τούτων ἐξόδους πλέον ἢ τὰς Ῥωμαίων εἰσόδους, καὶ σκιάν τις* 15
ὑπονοίας παρασχὼν μόνον εὐθέως ἀπεσφάττετο.

424 2. *Τοῖς γε μὴν εὐπόροις καὶ τὸ μένειν πρὸς ἀπώλειαν ἴσον ἦν· προφάσει γὰρ αὐτομολίας ἀνῃρεῖτό τις διὰ τὴν οὐσίαν. τῷ λιμῷ δ' ἡ ἀπόνοια τῶν στασιαστῶν συνέκμαζε, καὶ καθ' ἡμέραν*
425 *ἀμφότερα προσεξεκαίετο τὰ δεινά. φανερὸς μὲν γὰρ οὐδαμοῦ σῖτος* 20
ἦν, ἐπεισιτιδιῶντες δὲ διηρεύνων τὰς οἰκίας, ἔπειθ' εὑρόντες μὲν
426 *ὡς ἀρνησαμένους ἐμίζοντο, μὴ εὑρόντες δ' ὡς ἐτιμελέστερον κρύψαντας ἐβασάνιζον. τεκμήριον δὲ τοῦ τ' ἔχειν καὶ μὴ τὰ σώματα τῶν ἀθλίων, ὧν οἱ μὲν ἔτι συνεστῶτες εὐπορεῖν τροφῆς ἐδόκουν,*

PAMLVRCLatHegesippus V 16 p. 310. Zonaras I p. 531. Eusebius hist. eccles. III 6.

2 *τοὐμὸν* LVRC *μέλλετε*] *μέλλοντες* C 5 *οὔτε*] *οὔτ'* L *οὔτ'*] *οὔτε* VRC *ἔκρινον* VRC 7 *πολοῦντες* A 8 *χρυσοὺς* ALRC 9 *εὐποροῦν* P 10 *διηφίει, ι* s. A *γὰρ*] *autem* Lat *ὅποι*] *ὅπου* A^1LC 11 *βούλοιντο* L *τοῦτο* VRC *αὐτὸ*] *eos* Lat *αὐτοὺς* Hudson *πρὸς αὐτομολίαν*] *προσαυτομολεῖν* PA *πρὸσ αὐτομολεῖν* VR *πρὸσ τὸ αὐτομολεῖν* L *ad perfugium* Lat 12 *δουλεύοντασ* L 13 *περιεφύλαττων* P *obstruebant* Lat *παρεφύλαττον* Niese 14 *ἢ*] *ἤ* C *σκιάν*] *ὁ σκιάν* L *πρὸσ* 15 *μόνην* Zon 16 i. marg. *κζ'* C *τοῖς*] incip. Euseb *πρὸς*] *καὶ* (*καὶ* deletum) A *ἀπωλείας* Euseb 17 *προφάσει γὰρ*] MLVRCLatEuseb *καὶ προφάσει* P et ex corr. A *προφάσει* A^1 *καὶ γὰρ προφάσει* Destinon *ἀνῃρητό* PAML 18 *δὲ* PMVRCEuseb *ἢ* om. AVRC 19 *μὲν γὰρ*] *μέν γε* LEuseb fort. recte *προσεξεκάετο* Euseb 20 *ἐπισπηδῶντεσ* A *διηρεύνων, εύ* i. ras. m. 2 R *διεραύνων* V^1 *ἔπειτα* VR 21 *ὡς ἀρνησαμένους*] *eos qui negauerant* Lat *ἀρνησομένουσ* P *δὲ* AMLVRCEuseb *κρύψαντας* i. marg. suppl. A 22 *ἐβασάνιζον, ο* ex *α* corr. A *τεκμήριοι* R *τοῦ — μὴ*] *habendi* Lat *τοῦ ἔχειν ἢ μὴ* Zon *τε* MVRC 23 *ἀθλίων*] *ἀθλίων ἦν* Eusebii codd. quidam *ὧν οἱ μὲν*] *οἱ μὲν γὰρ* L *τροφῆσ, ἢ* i. ras. m. 2 V

οἱ τιχόμενοι δὲ ἤδη παροδεύοντο, καὶ κτείνειν ἄλογον ἐδόκει τοὺς
ὑπ' ἐνδείας τεθνηξομένους αὐτίκα. πολλοὶ δὲ λάθρα τὰς κτήσεις 127
ἑνὸς ἀντηλλάξαντο μέτρου πυρῶν μὲν εἰ πλουσιώτεροι τυγχάνοιεν
ὄντες, οἱ δὲ πενέστεροι κριθῆς, ἔπειτα κατακλείοντες αὐτοὺς εἰς
τὰ μυχαίτατα τῶν οἰκιῶν τινὲς μὲν ὑπ' ἄκρας ἐνδείας ἀνέργαστον
τὸν σῖτον ἤσθιον, οἱ δ' ἔπεσσον ὡς ἥ τε ἀνάγκη καὶ τὸ δέος παρ- 128
ήνει. καὶ τράπεζα μὲν οὐδαμοῦ παρετίθετο, τοῦ δὲ πυρὸς ὑφέλ-
κοντες ἔτ' ὠμὰ τὰ σιτία διήρπαζον.

3. Ἐλεεινὴ δὲ ἦν ἡ τροφὴ καὶ δακρύων ἄξιος ἡ θέα, τῶν μὲν 129
δυνατωτέρων πλεονεκτούντων, τῶν δ' ἀσθενῶν ὀδυρομένων. πάντων
μὲν δὴ παθῶν ὑπερίσταται λιμός, οὐδὲν δ' οὕτως ἀπόλλυσιν ὡς
αἰδῶ· τὸ γὰρ ἄλλως ἐντροπῆς ἄξιον ἐν τούτῳ καταφρονεῖται. γυ- 130
ναῖκες γοῦν ἀνδρῶν καὶ παῖδες πατέρων, καὶ τὸ οἰκτρότατον, μη-
τέρες νηπίων ἐξήρπαζον ἐξ αὐτῶν τῶν στομάτων τὰς τροφάς, καὶ
τῶν φιλτάτων ἐν χερσὶ παραινομένων οὐκ ἦν φειδὼ τοὺς τοῦ ζῆν 131
ἀφελέσθαι σταλαγμούς. τοιαῦτα δ' ἐσθίοντες ὅμως οὐ διελάνθανον.
ταντιαχοῦ δ' ἐφίσταντο οἱ στασιασταὶ καὶ τούτων ταῖς ἁρπαγαῖς.
ὁπότε γὰρ κατίδοιεν ἀποκεκλεισμένην οἰκίαν, σημεῖον ἦν τοῦτο τοῖς 132
ἔνδον προσφέρεσθαι τροφῆς· εὐθέως δ' ἐξαράξαντες τὰς θύρας
εἰσεπήδων, καὶ μόνον οὐκ ἐκ τῶν φαρύγγων ἀναθλίβοντες τὰς ἀκό-
λους ἀνέφερον. ἐτύπτοντο δὲ γέροντες ἀντεχόμενοι τῶν σιτίων, 133

PAMLVRCLatHegesippus V 18 p. 311 sq. Zonaras I p. 531. Eusebius hist. eccl. III 6, 2.

1 *παροδεύοντο* A *τοὺς*] *τοῖσ* PVR 2 *τεθνηξομένοισ* VR 3 *ἀντιλ-λάξαντο* P *ἀντικατηλλάξαντο* L et Eusebii codd. plurimi *πυρῶν*] *πυρὸν* P *πλουσιότεροι* A *τυγχάνοιεν ὄντες*] *ἐτύγχανον ὄντεσ* L *τυγχάνοντεσ* C 4 *αὐτοὺσ* A *αὐτοὺσ* L *ἑαυτοὺσ* VRCEuseb 5 *μὲν*] *δὲ* L 6 *δὲ* VRCEuseb 7 *ἐφέλκοντεσ* L *ἐφέλκοντοσ* VRC *subtrahentes* Lat *ἀφέλκοντεσ* aut *ὑφέλκοντεσ* aut *ἐφέλκοντεσ* codd. Eusebii 8 *ἔτ' ὠμὰ*, *ὠ* ex *ι* corr. P *ἔτι ὠμὰ* LVR 9 *δ'* LCEuseb 10 *δὲ* AMVRC *ὀδυρομένων*] *ὀδυνωμένων* Eusebii codd. quidam *iniuriam deplorarent* Lat 11 *δ'*] *δὲ* VR *enim* Lat 12 *αἰδῶ*] VRHeg *αἰδὼσ* PAMLCLatEuseb *γὰρ*] *γοῦν* C *ἄλλως*] *ἄλλοσε* (*ο* ex *ω* corr.) VR, om. Lat *τούτῳ*] *τοῦτο* P 13 *γοῦν*] *γὰρ* C 14 *ἀφήρ-παζον* Zon 16 *δὲ* VR *οὐ διελάνθανον*, *δι* i. ras. M *οὐδὲ ἐλάνθανον* R 17 *δ'*] *δὲ* VR *δ' οὖν* Eusebii codd. quidam *ἐφίσταντο — ἁρπαγαῖς*] *aderant qui ista diriperent* Lat *οἱ στασιασταὶ*] C Euseb Zon et ut uid. Heg (in quo est *ministri seditionum*), om. PAMLVRLat *ταῖς*] *τινὲς ταῖς* (omisso *οἱ στασιασταὶ*) Destinon 18 *γὰρ*] *δὲ* e Zonara Hudson *τοὺς*] *τοῦ τοὺς* Zon *ἔνδων* R 19 *προφέρεσθαι* RC[1] *τροφὴν* ALCEuseb *δὲ* LVR *ἐξαράξαντεσ*] *ῥήξαν-τεσ* L *εἰσαράξαντεσ* Eusebii codd. quidam *ῥήσσοντεσ* Zon 20 *φαρύγων* (*ύ* i. ras. V) LV *τὰσ*] *τοὺσ* Eusebii codd. nonnulli *ἀκώλουσ* MVR 21 *ἐτύπ-τοντο* ex *ἔτυπτον* corr. A *ἐτύποντο* R

καὶ κόμης ἐσπαράττοντο γυναῖκες συγκαλύπτουσαι τὰ ἐν χερσίν. οὐδέ τις ἦν οἶκτος πολιᾶς ἢ νηπίων, ἀλλὰ συνεπαίροντες τὰ παιδία
434 τῶν ψωμῶν ἐκκρεμάμενα κατέσειον εἰς ἔδαφος. τοῖς δὲ φθάσασι τὴν εἴσδρομὴν αὐτῶν καὶ προκατασιοῦσι τὶ ἁρπαγησόμενον ὡς
435 ἀδικηθέντες ἦσαν ὠμότεροι. δεινὰς δὲ βασάνων ὁδοὺς ἐτεκτήναντο πρὸς ἔρευναν τροφῆς, ὀρύσσοις μὲν ἐμφράττοντες τοῖς ἀθλίοις τοὺς τῶν αἰδοίων πόρους, ῥάβδοις δ' ὀξείαις ἀναστείροντες τὰς ἕδρας, τὰ φρικτὰ δὲ καὶ ἀκοαῖς ἔτλασχέ τις εἰς ἐξομολόγησιν ἑνὸς ἄρτου
436 καὶ ἵνα μιγνύσῃ δράκα μίαν κεκρυμμένην ἀλφίτων. οἱ βασανισταὶ δ' οὐκ ἐτείνων, καὶ γὰρ ἧττον ἂν ὠμὸν ἦν τὸ μετ' ἀνάγκης, γυμ- 10
437 νάζοντες δὲ τὴν ἀπόνοιαν καὶ προπαρασκευάζοντες αὐτοῖς εἰς τὰς ἑξῆς ἡμέρας ἐφόδια. τοῖς δ' ἐπὶ τὴν Ῥωμαίων φρουρὰν νύκτωρ ἐξερτύσασιν ἐπὶ λαχάνων συλλογὴν ἀγρίων καὶ πόας ἐντυχόντες, ὅτ' ἤδη διαπεφευγέναι τοὺς πολεμίους ἐδόκουν, ἁφίρπαζον τὰ κο-
438 μισθέντα, καὶ πολλάκις ἐκτετενόντων καὶ τὸ φρικτὸν ἐπικαλουμένων ὄνομα τοῦ Θεοῦ μεταδοῦναί τι μέρος αὐτοῖς ὧν κινδυνεύσαντες ἤνεγκαν, οὐδ' ὁτιοῦν μετέδοσαν· ἀγαστὸν δ' ἦν τὸ μὴ καὶ προσαπολέσθαι σεσυλημένον.

439 4. Οἱ μὲν δὴ ταπεινότεροι τοιαῦτα πρὸς τῶν δορυφόρων ἔπασχον, οἱ δ' ἐν ἀξιώματι καὶ πλούτῳ πρὸς τοὺς τυράννους ἀνήγοντο. τούτων οἱ μὲν ἐπιβουλὰς ψευδεῖς ἐπικαλούμενοι διεφθείροντο, οἱ δὲ ὡς προδιδοῖεν Ῥωμαίοις τὴν πόλιν, τὸ δ' ἑτοιμότατον ἦν μη-
440 νυτὴς ὑπόβλητος ὡς αὐτομολεῖν διεγνωκότων. ὁ δ' ὑπὸ Σίμωνος γυμνωθεὶς πρὸς Ἰωάννην ἀνεπέμπετο. καὶ τὸν ὑπὸ Ἰωάννου σεσυ-

---

PAMLVRC Lat Hegesippus V 18 p. 312. Zonaras I p. 532. Eusebius hist. eccl. III 6, 4.

1 *κόμης*] *κόμας* MC et ex corr. A *κομίσαι* V *κομίσην* R^1 *κομίσειν* R^2, om. Lat *ἐσπαράσσοντο* LEuseb 2 *πολιᾶς*] *ἢ πολιᾶσ* LZon *παιδία*] *νήπια* Eusebii codd. nonnulli 3 *ἐκρεμμάμενα* L *ἐκκρεμμαμένα* C *ἔδαφος*] *γῆν* C 4 *ἐκδρομὴν* L 5 *δεινῶν* L 6 *ερεύναν* (sic) P *ἐρεύναν, ευ* i. ras. A *μὲν* om. L *τοὺς* om. Eusebii codd. nonnulli 7 *δὲ* LVREuseb 8 *ἔπασχε, ασ* (ut uid.) i. ras. m. 2 R *ἔπεσχε* Lips 9 *μία* C *κεκρυμμένην*] LLat Eusebii codd. optimi *κεκρυμμένων* PAMVR, om. CZon 10 *δὲ* VR *ἐπίνον* P *ἂν ἧττον* tr. Eusebii codd. nonnulli *μετ' ἀνάγκης*, litt. *μετ' ἀν* i. ras. A 11 *προσπαρασκευάζοντες* L *αὐτοῖσ* PVRC *ἑαυτοῖσ* AMLEuseb 12 *ἑξῆς*] *ἑξ* LLat *δ' ἐπὶ*] *δὲ* PAM *δὲ ἐπὶ* LVR 13 *ἐξέρπυσαν* C *καὶ πόας* om. P 14 *ὅτε* AVRC 15 *πολλάκις*] *multum* Lat *πολλὰ* Destinon *φρικτότατον* Euseb 17 *δὲ* VR *τὸ καὶ μὴ* tr. L *προαπολέσθαι* V 18 *σεσυλημένον*] finit Eusebius 19 *ἔπασχον, ο* ex *ε* corr. A 20 *δὲ* VRC 21 *ἐγκαλούμενοι* AL *οἱ δὲ* suspectum Destinoni 22 *προδίδοιεν* PA *δὲ* VRC *μηνυτὴς*] PALLat *μηνυτήσ τισ* MVRC 23 *ὑποβλητὸσ* MVRC *ὡς* suppl. uid. M *δὲ* VRC 24 *ἐπέμπετο* L *τῶν* PVR *σεσυλημένων* PVR

λιμένον ὁ Σίμων μετελάμβανεν· ἀντιπροέτιον δὲ ἀλλήλοις τὸ αἷμα
τῶν δημοτῶν καὶ τὰ πτώματα τῶν ἀθλίων διεμερίζοντο. καὶ τοῦ 441
μὲν κρατεῖν στάσις ἦν ἐν ἀμφοτέροις, τῶν δ' ἀσεβημάτων ὁμόνοια·
καὶ γὰρ ὁ μὴ μεταδοὺς ἐκ τῶν ἀλλοτρίων κακῶν θατέρῳ μονοτρό-
πως ἐδόκει πονηρός, καὶ ὁ μὴ μεταλαβὼν ὡς ἀγαθοῦ τινος ἤλγει
τὸν νοσφισμὸν τῆς ὠμότητος.

5. Καθ' ἕκαστον μὲν οὖν ἐπεξιέναι τὴν παρανομίαν αὐτῶν 442
ἀδύνατον, συνελόντα δὲ εἰπεῖν, μήτε πόλιν ἄλλην τοιαῦτα πεπον-
θέναι μήτε γενεὰν ἐξ αἰῶνος γεγονέναι κακίας γονιμωτέραν. οἵ γε 443
τελευταῖον καὶ τὸ γένος ἐφαύλιζον τῶν Ἑβραίων, ὡς ἧττον ἀσεβεῖς
δοκοῖεν πρὸς ἀλλοτρίους. ἐξωμολογήσαντο δ' ὅτερ ἦσαν εἶναι δοῦλοι
καὶ σύγκλυδες καὶ νόθα τοῦ ἔθνους φθάρματα. τὴν μέν γε πόλιν 444
ἀνέτρεψαν αὐτοί. Ῥωμαίους δ' ἄκοντας ἠνάγκασαν ἐπιγραφῆναι
σκυθρωπῷ κατορθώματι καὶ μόνον οὐχ εἵλκυσαν ἐπὶ τὸν ναὸν βρα-
δῦνον τὸ πῦρ. ἀμέλει καιόμενον ἐκ τῆς ἄνω πόλεως ἀφορῶντες 445
οὔτ' ἤλγησαν οὔτ' ἐδάκρυσαν, ἀλλὰ ταῦτα τὰ πάθη παρὰ Ῥω-
μαίοις εὑρέθη. καὶ ταῦτα μὲν κατὰ χώραν ὕστερον μετ' ἀποδείξεως
τῶν πραγμάτων ἐροῦμεν.

XI. 1. Τίτῳ δὲ τὰ μὲν χώματα προύκοπτεν καίτοι πολλὰ κακου- 446
μένων ἀπὸ τοῦ τείχους τῶν στρατιωτῶν, πέμψας δ' αὐτὸς μοῖραν
τῶν ἱππέων ἐκέλευσεν τοὺς κατὰ τὰς φάραγγας ἐπὶ συγκομιδῇ
τροφῆς ἐξιόντας ἐνεδρεύειν. ἦσαν δέ τινες καὶ τῶν μαχίμων οὐκ- 447
έτι διαρκούμενοι ταῖς ἁρπαγαῖς, τὸ δὲ πλέον ἐκ τοῦ δήμου πένητες,
οὓς αὐτομολεῖν ἀπέτρεπε τὸ περὶ τῶν οἰκείων δέος· οὔτε γὰρ λή- 448
σεσθαι τοὺς στασιαστὰς ἤλπιζον μετὰ γυναικῶν καὶ παιδίων δια-
διδράσκοντες καὶ καταλιπεῖν τοῖς λῃσταῖς ταῦτα οὐχ ὑπέμενον ὑπὲρ

PAMLVRC Lat Hegesippus V 18 p. 313. Zonaras I p. 532.

1 ἀντιπροΰπινον C δὲ] δ' C 2 δημοτῶν] ζηλωτῶν C πτώματα] κτήματα L 3 δὲ LVRC 4 ἐκ damnat Herwerden μονοτροπος (sic) L 8 συνελόντι Niese δ' LCZon πεπονθέναι] *perpessam esse puto* Lat 9 γονιμωτέραν A 11 ἐξομολογήσαντο PAC δὲ LVR εἶναι suppl. A 12 καὶ om. Hudson καὶ νόθα] καινοτομοῦσι κατὰ L καινοτομοῦσι θανάτους VR μέν γε] γε μὴν Hudson 13 ἀνέστρεψαν L αὐτοὶ] οἱ πολλοί, i. marg. αὐτοὶ L δὲ LVRC 14 οὐκείλκυσαν PA οὐχὶ εἵλκυσαν L βραδύνων C βραδῦνον ἐπὶ τὸν ναὸν tr. L 15 καιομένον P καιόμενον — πόλεως] *ardere superiorem ciuitatem* Lat 16 οὔτε LVRC ρωμαίους C 17 ηὑρέθη L ἐπράχθη C μετὰ VRC 19 i. marg. κη' C 20 δὲ LVR 21 συγκομιδὴν L 22 τινες] τινες μὲν RC 23 διαρκούμενοι] ἀρκούμενοι L δ' ἀρκούμενοι C 24 ἀπέτρεπε τὸ] ἀπετρέπετο R^1 25 ἤλπιζον τοὺς στασιαστὰς λήσεσθαι tr. L παίδων ML 26 διαδράντες M διαδράσκοντες V καταλειπεῖν PA^1 τοῖς λῃσταῖς ταῦτα] πάντα τοῖσ λησταῖσ L ταῦτα τοῖσ λησταῖσ VRC

449 αὐτῶν σφαγησόμενα· τολμηροὺς δὲ πρὸς τὰς ἐξόδους ὁ λιμὸς ἐποίει. καὶ κατελείπετο λανθάνοντας τοὺς πολεμίους * ἁλίσκεσθαι. λαμβανόμενοι δὲ κατ' ἀνάγκην ἠμύνοντο. καὶ μετὰ μάχην ἱκετεύειν ἄωρον ἐδόκει. μαστιγούμενοι δὴ καὶ προβασανιζόμενοι τοῦ θανάτου
450 πᾶσαν αἰκίαν ἀνεσταυροῦντο τοῦ τείχους ἀντικρύ. Τίτῳ μὲν οὖν οἰκτρὸν τὸ πάθος κατεφαίνετο πεντακοσίων ἑκάστης ἡμέρας ἔστι δὲ ὅτε καὶ πλειόνων ἁλισκομένων, οὔτε δὲ τοὺς βίᾳ ληφθέντας ἀφεῖναι ἀσφαλὲς καὶ φυλάττειν τοσούτους φρουρὰν τῶν φυλαξόντων ἐώρα· τό γε μὴν πλέον οὐκ ἐκώλυεν τάχ' ἂν ἐνδοῦναι πρὸς τὴν
451 ὄψιν ἐλπίσας αὐτούς, εἰ μὴ παραδοῖεν, ὁμοια πεισομένους. προσήλουν δὲ οἱ στρατιῶται δι' ὀργὴν καὶ μῖσος τοὺς ἁλόντας ἄλλον ἄλλῳ σχήματι πρὸς χλεύην, καὶ διὰ τὸ πλῆθος χώρα τε ἐνέλειπε τοῖς σταυροῖς καὶ σταυροὶ τοῖς σώμασιν.

452 2. Οἱ στασιασταὶ δὲ τοσοῦτον ἀπεδέησαν τοῦ μεταβαλέσθαι πρὸς τὸ πάθος, ὥστε καὶ τοὐναντίον αὐτοὶ σοφίσασθαι πρὸς τὸ
453 λοιπὸν πλῆθος. σύροντες γὰρ τοὺς τῶν αὐτομόλων οἰκείους ἐπὶ τὸ τεῖχος καὶ τῶν δημοτῶν τοὺς ἐπὶ πίστιν ὡρμημένους, οἷα πάσχουσιν οἱ Ῥωμαίοις προσφεύγοντες ἐπεδείκνυσαν καὶ τοὺς κεκρα-
454 τημένους ἱκέτας ἔλεγον, οὐκ αἰχμαλώτους. τοῦτο πολλοὺς τῶν αὐτομολεῖν ὡρμημένων μέχρι τάλιθὲς ἐγνώσθη, κατέσχεν· εἰσὶ δ' οἳ καὶ παραχρῆμα διέδρασαν ὡς ἐπὶ βέβαιον τιμωρίαν. ἀνάτασιν
455 ἡγούμενοι τὸν ἐκ τῶν πολεμίων θάνατον ἐν λιμοῦ συγκρίσει. πολλοὺς δὲ καὶ χειροκοπῆσαι κελεύσας Τίτος τῶν ἁλωκότων, ὡς μὴ

PAMLVRCLat Hegesippus V 18 p. 313. Zonaras I p. 532.

1 *τολμηροὺς*] *audaciores* Lat 2 *λανθάνοντας — ἁλίσκεσθαι*] *restabatque iam latitantes egredi et ab hostibus capi* Lat *μὴ λανθάνοντας — ἁλίσκεσθαι* Bekker ex cod. L. B. *λανθάνοντας — μὴ ἁλίσκεσθαι* uel simile Destinon *τοὺς*] *εἰσ τοὺσ* MLVRC 3 *ἠμύνοντο*] *ἠμύνοντο δέει τῆσ κολάσεωσ* LLat 4 *μαστιγούμενοι* A *δὴ*] *δὲ* M *τε* L *itaque* Lat 5 *ἄντικρυσ* L *μὲν οὖν*] *μέντοι* Zon 6 *πεντακοσίων*] *φ̄* L 7 *δ'* MC *καὶ ὅτε* tr. L 8 *ἀσφαλὲσ ἀφεῖναι* tr. L *ἀφιέναι* Zon *φυλαξάντων* PA¹LVRC 9 *γε*] *τε* L *ἐκόλυε* R¹ *τάχ' ἂν*] *τάχα* P *τάχα δὲ* M *ταχείαν* L *τάχα δ' ἂν* VRC 10 *εἰ*] *ὡς εἰ* Destinon cum Lat, in quo est *tamquam similia passuros* *παροιδοῖεν* R *πησομένουσ* R et ut uid. V¹ 11 *δ'* LC *ἄλλον* om. L et fort. Lat 12 *τ'* L *ἐνέλιπε* M *ἐνελείπετο* VRC 13 *καὶ σταυροὶ* om. R 14 *τοσούτων* R *ἐπεδέησαν* L *μεταβάλλεσθαι* A 15 *ὥστε* — 16 *πλῆθοσ*] *quod etiam in contrarium eis cessit ad deterrendam reliquam multitudinem* Lat *αὐτοῖσ* RC *αὐτοὶσ* V et Lowthius 16 *σύροντεσ* A *αὐτομόλων*] *αἰχμαλώτων* Destinon cl. § 447 17 *δημοτῶν* C *πίστην* P *pacem* Lat 18 *κεκρατημένουσ*] *κρεμαμένουσ* Destinon 19 *ἔλεγων* A 20 *εἰσὶ δ' οἳ*] PAMLLat *εἴσω, ἔνιοι δὲ* VRC 21 *βεβαίαν* L *τιμορίαν* ex corr. A

δοκοῖεν αἰτόμολοι καὶ πιστεύοιντο διὰ τὴν συμφοράν, εἰσέπεμψε πρὸς τὸν Σίμωνα καὶ τὸν Ἰωάννην, νῦν γε ἤδη παίσασθαι παραινῶν 456
καὶ μὴ πρὸς ἀναίρεσιν τῆς πόλεως αὐτὸν βιάζεσθαι, κερδῆσαι δ' ἐκ τῆς ἐν ὑστάτοις μεταμελείας τάς τε αὐτῶν ψυχὰς καὶ τηλικαύτην πατρίδα καὶ ναὸν ἀκοινώνητον ἄλλοις. περιιὼν δὲ τὰ χώματα τοὺς 457
ἐργαζομένους ἅμα κατήπειγεν ὡς οὐκ εἰς μακρὰν ἀκολουθήσων ἔργοις τῷ λόγῳ. πρὸς ταῦτα αὐτόν τε ἐβλασφήμουν ἀπὸ τοῦ τείχους 458
Καίσαρα καὶ τὸν πατέρα αὐτοῦ, καὶ τοῦ μὲν θανάτου καταφρονεῖν ἐβόων, ἡρῆσθαι γὰρ αὐτὸν πρὸ δουλείας καλῶς, ἐργάσεσθαι δὲ ὅσα ἂν δύνωνται κακὰ Ῥωμαίους ἕως ἐμπνέωσι, πατρίδος δὲ οὐ μέλειν τῆς ὡς αὐτός φησιν ἀπολουμένης, καὶ ναοῦ [ἀπολομένου] ἀμείνω τούτου τῷ Θεῷ τὸν κόσμον εἶναι. σωθήσεσθαί γε μὴν καὶ τοῦτον 459
ὑπὸ τοῦ κατοικοῦντος, ὃν καὶ αὐτοὶ σύμμαχον ἔχοντες πᾶσαν χλευάσειν ἀπειλὴν ὑστεροῦσαν ἔργων· τὸ γὰρ τέλος εἶναι τοῦ Θεοῦ. τοιαῦτα ταῖς λοιδορίαις ἀναμίσγοντες ἐκεκράγεσαν.

3. Ἐν δὲ τούτῳ καὶ ὁ Ἐπιφανὴς Ἀντίοχος παρῆν ἄλλους τε 460
ὁπλίτας συχνοὺς ἔχων καὶ περὶ αὐτὸν στῖφος Μακεδόνων καλούμενον, ἥλικας πάντας, ὑψηλούς, ὀλίγον ὑπὲρ ἀντίπαιδας, τὸν Μακεδονικὸν τρόπον ὡπλισμένους τε καὶ πεπαιδευμένους, ὅθεν καὶ τὴν ἐπίκλησιν εἶχον ὑστεροῦντες οἱ πολλοὶ τοῦ γένους. εὐδαιμονῆσαι 461
γὰρ δὴ μάλιστα τῶν ὑπὸ Ῥωμαίοις βασιλέων τὸν Κομμαγηνὸν συνέβη πρὶν γεύσασθαι μεταβολῆς· ἀπέφηνε δὲ κἀκεῖνος ἐπὶ γήρως,

---

PAMLVRC Lat Hegesippus V 19 p. 315. Suidas s. ἥλικες.

1 καὶ] *nec* Lat 2 ἰωάννην καὶ τὸν σίμωνα tr. LLat 3 δ'] δὲ VR, om. L 4 ἑαυτῶν MV αὐτῶν R 5 ἀκοινώνητος C ἄλλοις ex ἄλλος corr. C post ἄλλοις alia Titi uerba excidisse ex insequentibus conicit Destinon δὲ] δὲ τίτος P 6 ὡς — 7 λόγῳ] *ueluti factis uerba non multo post secuturus* Lat οὐκ] οὐκέτι L ἀκολουθήσειν PAMVR 7 τῷ λόγῳ] τὸν λόγον M τ' A τοῦ iterauit P 8 καισαραν C τὸν καίσαρα L 9 ἠρῆσθαι] εἰρῆσθαι P ἠρεῖσθαι L ἐργάσασθαι PALVRC *facere* Lat δ' C

10 ἕως ἂν L. Dindorf ἐμπνέωσι C δ' C μέλλειν VR 11 τῆς] τοῖς A^1MLVRCLat ὡς] εἰς P ἀπολουμένοις MVRLat ἀποκαλουμένοις L ἀπολουμένοις C καὶ ναοῦ — 12 εἶναι] *mundumque deo templum hoc melius esse* Lat ναοῦ] τοῦ ναοῦ M ναὸν Bekker cum Lat ἀπολομένου] ἀπολουμένου AMVC πυρπολουμένου L, om. Lat et ed. pr. 13 πᾶσιν C χλευάζειν LVRC *illusuros* Lat 15 ἐκεκράγεισαν L 16 § 460 excerpsit Suidas ἄλλος C 17 αυτὸν PR^1 αὐτὸν AMLVR^2C μακεδώνων C 18 ἥλικας] ἡλικία C ὑψηλοὺς πάντας tr. LSuid ὑψηλοὺς — ἀντίπαιδας] *et paulo magis proceri adulescentuli* Lat ὀλίγων V 19 παιδευομένους A ὅθεν] ὅθεν δὴ V 21 γὰρ δὴ] δὲ L γὰρ VRC *enim* Lat ῥωμαίους L κομαγηνὸν PA κουμμαγηνὸν C 22 ἀπέφηναι RC

462 ὡς οὐδένα χρὴ λέγειν πρὸ θανάτου μακάριον. ἀλλ' ὅ γε παῖς ἀκμάζοντος αὐτοῦ τηνικαῦτα παρὼν θαυμάζειν ἔφασκε, τί δήποτε Ῥωμαῖοι κατοκνοῖεν προσιέναι τῷ τείχει· πολεμιστὴς δέ τις αὐτὸς ἦν καὶ φύσει παράβολος κατά τε ἀλκὴν τοσοῦτος, ὡς ὀλίγῳ τὰ τῆς
463 τόλμης διαμαρτάνειν. μειδιάσαντος δὲ τοῦ Τίτου καὶ „κοινὸς ὁ πόνος" εἰπόντος, ὡς εἶχεν ὥρμησεν ὁ Ἀντίοχος μετὰ τῶν Μακε-
464 δόνων πρὸς τὸ τεῖχος. αὐτὸς μὲν οὖν διά τε ἰσχὺν καὶ κατ' ἐμπειρίαν ἐφυλάττετο τὰ τῶν Ἰουδαίων βέλη τοξεύων εἰς αὐτούς, τὰ μειράκια δὲ αὐτῷ συνετρίβη πάντα πλὴν ὀλίγων· διὰ γὰρ αἰδῶ
465 τῆς ὑποσχέσεως προσεφιλονείκει μαχόμενα· καὶ τέλος ἀνεχώρουν τραυματίαι πολλοί, συννοοῦντες ὅτι καὶ τοῖς ἀληθῶς Μακεδόσιν, εἰ μέλλοιεν κρατεῖν, δεῖ τῆς Ἀλεξάνδρου τύχης.

466 4. Τοῖς δὲ Ῥωμαίοις ἀρξαμένοις δωδεκάτῃ μηνὸς Ἀρτεμισίου συνετελέσθη τὰ χώματα μόλις ἑνάτῃ καὶ εἰκάδι ταῖς δεχεπτὰ συν-
467 εχῶς πονουμένων ἡμέραις· μέγιστα γὰρ ἐχώσθη τὰ τέσσαρα, καὶ θάτερον μὲν τὸ ἐπὶ τὴν Ἀντωνίαν ὑπὸ τοῦ πέμπτου τάγματος ἐβλήθη κατὰ μέσον τῆς Στρουθίου καλουμένης κολυμβήθρας, τὸ δ'
468 ἕτερον ὑπὸ τοῦ δωδεκάτου διεστῶτος ὅσον εἰς πήχεις εἴκοσι. τῷ δεκάτῳ δὲ τάγματι διέχοντι πολὺ τούτων κατὰ τὸ βόρειον κλίμα τὸ ἔργον ἦν καὶ κολυμβήθραν Ἀμύγδαλον προσαγορευομένην· τούτου δὲ τὸ πεντεκαιδέκατον ἀπὸ τριάκοντα πηχῶν ἔχου κατὰ τὸ τοῦ ἀρ-

PAMLVRCLat Hegesippus V 19 p. 315.

1 αὐτοῦ ἀκμάζοντος tr. A 3 προσεῖναι L 4 τε] γε C ἀλκὴν] τὴν ἀλκὴν (ἄλλην C) ALVRC ὀλίγῳ τὰ τῆς τόλμης] ὀλιγοτάτης τόλμης P ὀλιγωτάτης τόλμας L ὀλίγω τὴν τόλμαν VRC (*ut*) *non multum* (*peccaret*) *audacia* Lat ὀλίγων τὴν τόλμαν Bekker ὀλίγα uel ὀλίγον τῆς τόλμης Destinon 5 διαμαρτάνειν] διαλανθάνειν L μηδιάσαντος A ὁ ἀντίοχος ὥρμησεν tr. L 7 καὶ om. M 8 ἰουδέων C τοξευόντων Destinon 9 δ' LC αὐτῶν L 12 δεῖ] διὰ VRC 13 i. marg. λ' C δωδεκάτῃ] δωδεκάτη ἡμέρα L ἀρτεμησίου PLR¹ ἀρτεμησίου μηνὸς tr. L post Ἀρτεμισίου circiter 5 litt. erasae R 14 μόλις s. P Artemisii 12. dies est 30. Mai (III k. Iun.), Artemisii 29. est 16. Iunii (XVI k. Iul.) anni Iuliani (70 p. Chr.)

δεχεπτὰ] δέ γε ἑπτὰ P δ' ἑπτὰ A 15 τὰς et ἡμέρας Herwerden τέσσερα (s. m. 2) V 16 τὸ] τῶν Destinon cl. § 356 17 κατὰ τὸ μέσον L Στρουθίου] τοῦ θείου PAMVR τοῦ στρουθίου L *struthiu* Lat *strutiam* Heg κολυμβήθρας, η ex ρ corr. L δὲ VRC 18 ὑπὸ] ἀπὸ A διεστῶς Destinon εἰς] ἐπι L 19 δεκάτῳ] δωδεκάτω PA διέχοντι] *quae — praestabat* Lat τὸ om. LVRC 21 πέμπτον καὶ δέκατον L ἀπὸ — ἔχου] *triginta crescentem* (*descendentem* codd. alii) *cubitis aggerem fecit* Lat et similiter Heg ἔχου] ἔχουσα PA ἔχουσιν (- σι R) LR ἔχου τὰ Destinon κατὰ τὸ, litt. τὰ τὸ i. marg. suppl. A τὸ s. C

χιερέως μνημεῖον. προσαγομένων δὲ ἤδη αὐτῶν ὁ μὲν Ἰωάννης 469
ἔνδοθεν ὑπορύξας τὸ κατὰ τὴν Ἀντωνίαν μέχρι τῶν χωμάτων καὶ
διαλαβὼν σταυροῖς τοὺς ὑπονόμους ἀνακρήμνησιν τὰ ἔργα, πίσσῃ
δὲ καὶ ἀσφάλτῳ διακεχρισμένην τὴν ὕλην εἰσκομίσας ἐνίησι πῦρ.
καὶ τῶν σταυρῶν ὑποκαέντων ἥ τε διώρυξ ἐνέδωκεν ἀθρόα, καὶ 470
μετὰ μεγίστου ψόφου κατεσείσθη τὰ χώματα εἰς αὐτήν. τὸ μὲν 471
οὖν πρῶτον μετὰ τοῦ κονιορτοῦ καπνὸς ἠγείρετο βαθὺς πνιγομένου
τῷ πταίσματι τοῦ πυρός, τῆς δὲ θλιβούσης ὕλης διαβιβρωσκομένης
ἤδη φανερὰ φλὸξ ἐρρήγνυτο. καὶ τοῖς Ῥωμαίοις ἔκπληξις μὲν πρὸς 472
τὸ αἰφνίδιον, ἀθυμία δὲ πρὸς τὴν ἐπίνοιαν ἐμπίπτει, καὶ κρατήσειν
οἰομένοις ἤδη τὸ συμβὰν καὶ πρὸς τὸ μέλλον ἔψυξε τὴν ἐλπίδα·
τὸ δὲ ἀμύνειν ἀχρεῖον ἐδόκει πρὸς τὸ πῦρ, καὶ εἰ σβεσθείη, τῶν
χωμάτων καταποθέντων.

5. Μετὰ δ' ἡμέρας δύο καὶ τοῖς ἄλλοις ἐπιτίθενται χώμασιν 473
οἱ περὶ τὸν Σίμωνα· καὶ γὰρ δὴ προσαγαγόντες ταύτῃ τὰς ἑλε-
πόλεις οἱ Ῥωμαῖοι διέσειον τὸ τεῖχος. Τεφθέος δέ τις ἀπὸ Γάρις 474
πόλεως τῆς Γαλιλαίας, καὶ Μαγάσσαρος τῶν βασιλικῶν Μαριάμμης
θεράπων, μεθ' ὧν Ἀδιαβηνός τις υἱὸς Ναβαταίου, τοὔνομα κληθεὶς
ἀπὸ τῆς τύχης καὶ ἀγίρας, ὅπερ σημαίνει χωλός, ἁρπάσαντες λαμ-
πάδας προεπήδησαν ἐπὶ τὰς μηχανάς. τούτων τῶν ἀνδρῶν οὔτε 475
τολμιρότεροι κατὰ τόνδε τὸν πόλεμον ἐκ τῆς πόλεως ἐφάνησαν
οὔτε φοβερώτεροι· καθάπερ γὰρ εἰς φίλους ἐντρέχοντες οὐ πολε- 476
μίων στῖφος οὔτ' ἐμέλλησαν οὔτ' ἀπέστησαν, ἀλλὰ διὰ μέσων

PAMLVRC Lat Hegesippus V 20 p. 317. Zonaras I p. 533.

1 *προσαγομένων — αὐτῶν*] *iam uero admotis aggeribus* Lat δ' LC αὐτῶν] τῶν ὀργάνων MLVRCZon μὲν om. M 2 ὑπορύξας — τὴν] ὑποτὸκα ρύξασ τὴν P χωμάτων] χωμάτων διάστημα e Zonara Hudson 3 ὑπονόμοις C ἀνακρίμνησι LV¹R ἀνακρήμνησει sic C 4 τὴν om. MLVRC τὸ πῦρ M 5 ἀθρόα VR ἀθρόον Zon 8 τῷ πτώματι LC *ruina* Lat 9 ἐρρήγνυτο] ἀρρήγνυτο M ἐγίνετο L ἠγειρετο C *apparebat* Lat *erupit* Heg ἐξερρήγνυτο Destinon 12 δὲ, ὲ i. ras. C 13 χωμάτων] καμάτων R καταπωθέντων ML 14 δὲ LVR 16 τὸ] ἤδη τὸ MLVRC et ut uid. Lat τεφθαῖος MLVRC *testeus* (h. e. ut uid. *tepteus*) Lat *teptaeus* aut *tepteus* Heg; Γεφθέος infra VI 92, Γεφθαῖος VI 148 Γάρις] γαρὶς L γαρασῆσ M γαρσὶσ VR¹C γαρσὶ,σ R² *garsi* (abl.) Lat, om. Heg 17 μασσάγαροσ P μεγάσσαροσ RC *megasarus* Lat *magassarus* Heg μαριάμησ M καὶ Μαριάμμης Bekker 18 *nabatae* Lat 19 καὶ ἀγίρας] καὶ ἀγήρασ (ἀγείρασ MC ἐγείρασ R) AMLRC καιαγειρασ V *ceagiras* ut uid. Lat *agiras* (*adiras* cod. A) Heg Χαγείρας Hudson χολὸσ R 20 προσεπήδησαν LVRC *inuolarunt* Lat 21 τόνδε] τοῦτον P *illo* Lat 22 οὔτε] οὐδὲ PAMVRC φοβερότεροι PA 23 οὔτ' ἐμέλλησαν] PALatHeg οὔτ' (οὔτε MVRC) ἔδεισαν (ἔδησαν C) οὔτ' (οὔτε VRC) ἐμέλλησαν MLVRC οὔτ' ἀπέστησαν om. L οὔτε VRC

477 ἐνθορόντες τῶν ἐχθρῶν ὑφῆψαν τὰς μηχανάς. βαλλόμενοι δὲ καὶ
τοῖς ξίφεσιν ἀνωθούμενοι πάντοθεν οὐ πρότερον ἐκ τοῦ κινδύνου
478 μετεκινήθησαν ἢ δράξασθαι τῶν ὀργάνων τὸ πῦρ. αἰρομένης δὲ
ἤδη τῆς φλογὸς Ῥωμαῖοι μὲν ἀπὸ τῶν στρατοπέδων συνθέοντες
ἐβοήθουν, Ἰουδαῖοι δ' ἐκ τοῦ τείχους ἐκώλυον καὶ τοῖς σβεννύειν 5
πειρωμένοις συνεπλέκοντο κατὰ μηδὲν τῶν ἰδίων φειδόμενοι σω-
479 μάτων. καὶ οἱ μὲν εἶλκον ἐκ τοῦ πυρὸς τὰς ἑλεπόλεις τῶν ὑπὲρ
αὐτὰς γέρρων φλεγομένων, οἱ δ' Ἰουδαῖοι καὶ διὰ τῆς φλογὸς ἀντε-
λαμβάνοντο καὶ τοῦ σιδήρου ζέοντος δρασσόμενοι τοὺς κριοὺς οὐ
μεθίεσαν· διέβαινε δ' ἀπὸ τούτων ἐπὶ τὰ χώματα τὸ πῦρ καὶ 10
480 τοὺς ἀμύνοντας προελάμβανεν. ἐν τούτῳ δ' οἱ μὲν Ῥωμαῖοι κυκλού-
μενοι τῇ φλογὶ καὶ τὴν σωτηρίαν τῶν ἔργων ἀπογνόντες ἀνεχώρουν
481 ἐπὶ τὰ στρατόπεδα, Ἰουδαῖοι δὲ προσέκειντο πλείους ἀεὶ γινόμενοι
τῶν ἔνδοθεν προσβοηθούντων καὶ τῷ κρατεῖν τεθαρρηκότες ἀτα-
μιεύτοις ἐχρῶντο ταῖς ὀργαῖς, προελθόντες δὲ μέχρι τῶν ἐρυμάτων 15
482 ἤδη συνεπλέκοντο τοῖς φρουροῖς. τάξις ἐστὶν ἐκ διαδοχῆς ἱσταμένη
πρὸ τοῦ στρατοπέδου, καὶ δεινὸς ἐπ' αὐτῇ Ῥωμαίων νόμος τὸν
483 ὑποχωρήσαντα καθ' ἣν δήποτ' οὖν αἰτίαν θνήσκειν. οὗτοι τοῦ
μετὰ κολάσεως τὸν μετ' ἀρετῆς θάνατον προκρίναντες ἵστανται,
καὶ πρὸς τὴν τούτων ἀνάγκην πολλοὶ τῶν τραπέντων ἐπεστράφησαν 20
484 αἰδούμενοι. διαθέντες δὲ καὶ τοὺς ὀξυβελεῖς ἐπὶ τοῦ τείχους εἶργον
τὸ προσγινόμενον πλῆθος ἐκ τῆς πόλεως οὐδὲν εἰς ἀσφάλειαν ἧττον
φυλακὴν τῶν σωμάτων προνοουμένους· συνεπλέκοντο γὰρ Ἰουδαῖοι
τοῖς προστιχοῦσι καὶ ταῖς αἰχμαῖς ἀφυλάκτως ἐμπίπτοντες αὐτοῖς

PAMLVRC Lat Hegesippus V 20 p. 317. Suidas s. *φρουροί*.

1 *ἐνθορῶντες* VRC *καὶ* om. PAM 2 *ἀνωθούμενοι*] *καὶ ἀνωθούμενοι* PM *ἀνωθούμενοί τε* A 3 *δ'* LC 5 *δὲ* VRC *σβεννύειν, σβ* ex corr. A 7 *ἐκ τοῦ πυρὸς* om. VRC 8 *γερρῶν* PAMR *γερῶν* C *φλεγομένων*] *ἐκ τοῦ πυρὸς φλεγομένων* PAMVRC *δὲ* MVRC 10 *δὲ* MVR 11 *προελάμβανεν*] *προσελάμβανεν* AML *praeueniebat* Lat *ἐν τούτῳ*] *itaque* Lat *δὲ* VR *μὲν* om. P 13 *αἰεὶ* L 14 *τῷ*] *τὸ* A^1LC^1 15 *ὀργαῖς*] *ὁρμαῖσ* MLVRC *impetus* Lat *προελθόντες*] Niese *προσελθόντεσ* codd. *progressi* Lat 16 *τάξις* — 19 *ἵστανται* habet Suidas *τάξις* — 17 *στρατοπέδου*] *est ergo quaedam pro castris per uices stantium armatorum* Lat *τάξις*] *τάξισ δ'* C 17 *στρατοπέδου*] *στρατοπέδου μετὰ τῶν ὅπλων* LC Lat Suid *ἐπ' αὐτὴν* PSuid *in eos* Lat *Ῥωμαίων* suspectum Destinoni 18 *θνήσκειν* M *οὗτοι*] *οἱ δὲ* Suid *τοῦ*] *τὸν* C *τοῦ μετὰ κολάσεως*] *τοῦ μετὰ κολάσεωσ τὸν μετὰ‖κολάσεωσ* V^1 19 *ἵστανται*] *steterunt fortiter* Lat 20 *ἐστράφησαν* A *ἀπεστράφησαν* L 22 *πλῆθοσ, πλῆθ* i. ras. 3 litt., quarum tertia fuisse uid. *λ* P 23 *προνοούμενοι* PAM *προνοούμενον* Destinon *γὰρ*] *γὰρ οἱ* AMLVC *δὲ οἱ* R 24 *προτυχοῦσι* A^1 *αἰχμαῖς*] *ἀκμαῖσ* PAMVRC *spicula* Lat

τοῖς σώμασι τοὺς ἐχθροὺς ἔπαιον. οὔτε δὲ ἔργοις αὐτοὶ πλέον ἢ 485
τῷ θαρρεῖν περιῆσαν καὶ Ῥωμαῖοι τῇ τόλμῃ πλέον εἶκον ἢ τῷ
κακοῦσθαι.

6. Παρῆν δ' ἤδη Τίτος ἀπὸ τῆς Ἀντωνίας, ὅπου κεχώριστο 486
κατασκεπτόμενος τόπον ἄλλοις χώμασι, καὶ πολλὰ τοὺς στρατιώτας
φαυλίσας, εἰ κρατοῦντες τῶν πολεμίων τειχῶν κινδυνεύουσι τοῖς
ἰδίοις καὶ πολιορκουμένων ὑπομένουσιν αὐτοὶ τύχην ὥσπερ ἐκ δεσ-
μωτηρίου καθ' αὑτῶν Ἰουδαίους ἀνέντες, περιῆει μετὰ τῶν ἐπι-
λέκτων κατὰ πλευρὰ τοὺς πολεμίους αὐτός. οἱ δὲ κατὰ στόμα 487
παιόμενοι καὶ πρὸς τοῦτον ἐπιστραφέντες ἐκαρτέρουν. μιγείσης
δὲ τῆς παρατάξεως ὁ μὲν κονιορτὸς τῶν ὀμμάτων, ἡ κραυγὴ δὲ τῶν
ἀκοῶν ἐτεκμήρατο, καὶ οὐδετέρῳ παρῆν ἔτι τεκμήρασθαι τὸ ἐχθρὸν
ἢ τὸ φίλιον. Ἰουδαίων δὲ οὐ τοσοῦτον ἔτι κατ' ἀλκὴν ὅσον ἀπο- 488
γνώσει σωτηρίας παραμενόντων καὶ Ῥωμαίους ἐτόνωσεν αἰδὼς δόξης
τε καὶ τῶν ὅπλων καὶ προκινδυνεύοντος Καίσαρος· ὥστε μοι δο- 489
κοῦσι τὰ τελευταῖα δι' ὑπερβολὴν θυμῶν κἂν ἁρπάσαι τὸ τῶν Ἰου-
δαίων πλῆθος, εἰ μὴ τὴν ῥοπὴν τῆς παρατάξεως φθάσαντες ἀνε-
χώρησαν εἰς τὴν πόλιν. διεφθαρμένων δὲ τῶν χωμάτων Ῥωμαῖοι 490
μὲν ἦσαν ἐν ἀθυμίαις τὸν μακρὸν κάματον ἐπὶ μιᾶς ὥρας ἀπο-
λέσαντες· καὶ πολλοὶ μὲν ταῖς συνήθεσι μιχαναῖς ἀπήλπιζον ἁλῶ-
σεσθαι τὴν πόλιν.

XII. 1. Τίτος δὲ μετὰ τῶν ἡγεμόνων ἐβουλεύετο, καὶ τοῖς μὲν 491
θερμοτέροις πᾶσαν ἐδόκει προσφέρειν τὴν δύναμιν ἀποπειρᾶσθαί
τε τοῦ τείχους βίᾳ· μέχρι μὲν γὰρ νῦν κατὰ σπάσμα Ἰουδαίοις 492

PAMLVRC Lat Hegesippus V 20 p. 319. Zonaras I p. 533.

1 τοῖς om. PAMVRC τοῖσ ἐχθροῖσ C δ' L 2 περίησαν PA¹ εἶκον] εἶχον A τῷ] τοῦ PAM 4 δὲ LVR Τίτος] ὁ Καῖσαρ ex cod. L. B. et Rost. Dindorf ὅπου] quo (h. e. ὅποι) Lat 6 κινδυνεύσουσι C 7 ἰδίοις] ἰουδαίοισ PA 8 ἑαυτῶν L αὑτῶν V 9 πλευρὰν A¹C τοῖσ πολεμίοισ C 10 ἐπιστρέφοντεσ PA 12 ἐπεκρότει M τὸν ἐχθρὸν L 13 τὸ φίλιον] τὸν φίλον L τὸ φίλον VRC δὲ] μὲν ex δὲ corr. A ἀπόγνωσισ L 14 καὶ Ῥωμαίους] ῥωμαίουσ δὲ A 15 τε om. L τῶν om. M 16 κἂν] καὶ PVR ἁρπάσαι] ὅλον ἁρπάσαι MLVRC Lat ἅπαν ἁρπάσαι Destinon ἀναρπάσαι Niese; cf. II 550 17 ἀνεχώρουν L 19 κάματον] κατὰ τὸν C ἀπωλέσαντεσ C 20 ταῖς] ταῖσ τε L i. marg. λα' C 23 ἐδόκει πᾶσαν tr. L προσφέρειν τὴν δύναμιν ἀποπειρᾶσθαί τε] προσαγαγόντα τὴν δύναμιν ἀποπειρᾶσθαι LC omni admoto milite ui muros experiri Lat προσάγειν τὴν δύναμιν καὶ ἀποπειρᾶσθαι Zon 24 βίᾳ] βίωι C μὲν om. A κατὰ σπάσμα — 502,1 συμπεπλέχθαι] iudaeos cum exercitus parte dimicasse Lat κατὰ σπάσμα] κατάσπασμα MLVR κατασπάσματι C ἀπόσπασμα Naber Ἰουδαίοις] ἰουδαίουσ P ἰουδαίοισ τῆσ στρατιᾶσ ML ἰουδαίουσ τῆσ στρατιᾶσ VRC Lat

συμπεπλέχθαι. προσιόντων δ' ἀθρόων οὐδὲ τὴν ἔφοδον οἴσειν·
493 καταχωσθήσεσθαι γὰρ ὑπὸ τῶν βελῶν. τῶν δ' ἀσφαλεστέρων οἱ
μὲν καὶ τὰ χώματα ποιεῖν πάλιν, οἱ δὲ καὶ δίχα τούτων προσκαθ-
έζεσθαι μόνον παραφυλάττοντας τάς τε ἐξόδους αὐτῶν καὶ τὰς
εἰσκομιδὰς τῶν ἐπιτηδείων παρήνουν καὶ τῷ λιμῷ καταλείπειν τὴν 5
494 πόλιν, μηδὲ συμπλέκεσθαι κατὰ χεῖρα τοῖς πολεμίοις· ἄμαχον γὰρ
εἶναι τὴν ἀπόγνωσιν οἷς εἰχὴ μὲν τὸ σιδήρῳ πεσεῖν, ἀπόκειται δὲ
495 καὶ δίχα τούτου πάθος χαλεπώτερον. αὐτῷ δὲ τὸ μὲν ἀργεῖν κα-
θόλου μετὰ τοσαύτης δυνάμεως οὐκ ἐδόκει πρέπειν καὶ τὸ μάχε-
496 σθαι περιττὸν πρὸς ἀλλήλων φθαρησομένοις, βάλλεσθαι δὲ χώματα 10
δύσεργον ἀπέφαινεν ὕλης ἀπορίᾳ καὶ τὸ παραφυλάττειν τὰς ἐξόδους
δυσεργότερον· κυκλώσασθαί τε γὰρ τῇ στρατιᾷ τὴν πόλιν διὰ μέ-
γεθος καὶ δυσχωρίαν οὐκ εὐμαρὲς εἶναι καὶ σφαλερὸν ἄλλως πρὸς
497 τὰς ἐπιθέσεις. τῶν δὲ φανερῶν φυλαττομένων ἀφανεῖς ἐπινοεῖσθαι
Ἰουδαίοις ὁδοὺς κατά τε ἀνάγκην καὶ δι' ἐμπειρίαν· εἰ δέ τι λάθρα 15
498 παρεισκομισθήσοιτο, τριβὴν ἔσεσθαι πλείονα τῇ πολιορκίᾳ. δε-
διέναι τε μὴ τὴν δόξαν τοῦ κατορθώματος αὐτῷ τὸ μῆκος ἐλαττώσῃ
τοῦ χρόνου· τούτῳ μὲν γὰρ εἶναι πᾶν ἀνύσιμον, πρὸς δὲ τῆς εὐ-
499 κλείας τὸ τάχος. δεῖν γε μήν, εἰ καὶ τῷ τάχει μετ' ἀσφαλείας
βούλοιτο χρήσασθαι, περιτειχίζειν ὅλην τὴν πόλιν· μόνως γὰρ 20
οὕτως ἂν πάσας ἀποφράξαι τὰς ἐξόδους, καὶ Ἰουδαίους ἢ πρὸς
ἅπαντα ἀπογνόντας τὴν σωτηρίαν παραδώσειν τὴν πόλιν ἢ λιμώτ-

PAMLVRC Lat Hegesippus V 21 p. 319. Zonaras I p 533.

1 *συμπεπλέχθαι, χθ* i. ras. M, *λ* i. ras. V *δὲ* VRC *ἀθρόον* PM *αθρόων* V 2 *καταχωσθείσαισ* P *δὲ* AMLVRC *ἀσφα·λεστέρων* A 3 *προσκαθέζεσθαι*] LCZou *παρακαθέζεσθαι* PAMVR 5 *τῷ* om. L *καταλείπειν*] *ἐκλείπειν* P *καταλείψειν* A *κατασχεῖν* M *καταλαβεῖν* L *καταλιπεῖν* VR *καταλειπεῖν* C *relinquere* Lat 7 *ἀπόγνωσιν*] *confidentiam* Lat *τὸ*] *τῷ* PAMVRC *ἀπόκειται — 8 χαλεπώτερον*] *uel etiam sine hoc interficere quae saeuior est cupiditas* Lat ut nunc est 8 *πάθος*] *τὸ πάθοσ* L *αὐτῷ*] *αὐτὸ* A¹ *τὸ*] *τῷ* P *καθόλου δὲ μετὰ* VR 10 *περισσὸν* L *φθαρησομένοις*] CLat *φθαρησομένουσ* PAMLVR 11 *ἀπέφαινον* L 12 *κυκλώσεσθαι* PA et ex corr. M *τε* om. ML *τῇ στρατιᾷ* ex *τὴν στρατιὰν* corr. A *διὰ τὸ μέγεθοσ* L 14 *ἐπινοεῖσθαι*] *excogitaturos* (h. e. *ἐπινοήσεσθαι*) Lat fort. recte 15 *δι'*] *κατ'* L 16 *παρεισκομισθήσοιντο* P *παρεισκομισθήει* A *παρεισκομισθείη* M *παρεισκομισθείη τὸ* L *παρεισκομίζοιτο* Dindorf ex cod. L. B. *τριβὴν ἔσεσθαι*] *τριβήσεσθαι δέοι* L *diutius* (*obsidionem*) *trahendam* Lat *πλείω* AMLVRC *τὴν πολιορκίαν* C 17 *τε μὴ*] *γε μὴν* L *τὴν*] *καὶ τὴν* (*καὶ* i. ras. 2—3 litt.) A *αὐτῷ*] *αὐτὸ* P, om. Lat *ἐλαττώσει* LC 18 *τοῦτο* PAC *τούτων* L *πρὸς*] *ante* Lat 19 *γε μὴν*] *μέν γε* VRC 20 *βούλοιντο* L *περιτείχειν* R *μόνως* om. Lat 21 *ἂν οὕτωσ* tr. LV *ἀποφράξασθαι* L 22 *ἅπαντασ, π* i. ras. ut uid. L *λιμόττωντασ* A

ὀντας χειρωθήσεσθαι ῥᾳδίως· οὐδὲ γὰρ ἑρεμήσειν αὐτὸς ἄλλως, 500
ἀλλὰ καὶ τῶν χωμάτων ἐπιμελήσεσθαι πάλιν χρώμενος τοῖς κω-
λύουσιν ἀτονωτέροις. εἰ δέ τῳ μέγα δοκεῖ καὶ δυσήνυτον τὸ ἔργον, 501
χρῆναι σκοπεῖν, ὡς οὔτε Ῥωμαίοις τι μικρὸν ἐνεργεῖν πρέπει, καὶ
δίχα πόνου κατορθοῦν τι τῶν μεγάλων οὐδενὶ ῥᾴδιον.

2. Τούτοις πείσας τοὺς ἡγεμόνας διανέμειν ἐκέλευσε τὰς δυ- 502
νάμεις ἐπὶ τὸ ἔργον. ὁρμὴ δέ τις ἐμπίπτει δαιμόνιος τοῖς στρα-
τιώταις, καὶ μερισαμένων τὸν περίβολον οὐ μόνον τῶν ταγμάτων
ἦν ἔρις, ἀλλὰ καὶ τῶν ἐν αὐτοῖς τάξεων πρὸς ἀλλήλας, καὶ στρα- 503
τιώτης μὲν δεκαδάρχην, δεκαδάρχης δ' ἑκατοντάρχην, οὗτος δ' ἐσπού-
δαζεν ἀρέσασθαι χιλίαρχον, τῶν δὲ χιλιάρχων ἐπὶ τοὺς ἡγεμόνας
ἔτεινεν ἡ φιλοτιμία καὶ τῶν ἡγεμόνων τὴν Ἄμιλλαν ἐβράβευε Καῖσαρ·
περιὼν γὰρ αὐτὸς ἑκάστης ἡμέρας πολλάκις ἐπεσκόπει τὸ ἔργον.
ἀρξάμενος δὲ ἀπὸ τῆς Ἀσσυρίων παρεμβολῆς, καθ' ἣν αὐτὸς ἐστρα- 504
τοπεδεύσατο, ἐπὶ τὴν κατωτέρω Καινόπολιν ἦγε τὸ τεῖχος, ἔνθεν
διὰ τοῦ Κεδρῶνος ἐπὶ τὸ Ἐλαιῶν ὄρος· εἶτ' ἀνακάμπτων κατὰ 505
μεσημβρίαν περιλαμβάνει τὸ ὄρος ἄχρι τῆς Περιστερεῶνος καλου-
μένης πέτρας τόν τε ἐξῆς λόφον, ὃς ἐπίκειται τῇ κατὰ τὴν Σιλωὰμ
φάραγγι, κἀκεῖθεν ἐκκλίνας πρὸς δύσιν εἰς τὴν τῆς πηγῆς κατῄει
φάραγγα. μεθ' ἣν ἀναβαίνων κατὰ τὸ Ἀνάνου τοῦ ἀρχιερέως μνη- 506
μεῖον καὶ διαλαβὼν τὸ ὄρος, ἔνθα Ἰωμτήιος ἐστρατοπεδεύσατο,
πρὸς κλίμα βόρειον ἐπέστρεφε, καὶ προελθὼν μέχρι κώμης τινός, 507
Ἐρεβίνθων οἶκος καλεῖται, καὶ μετ' ἐκείνην τὸ Ἡρώδου μνημεῖον
περισχὼν κατὰ ἀνατολὴν τῷ ἰδίῳ στρατοπέδῳ συνῆπτεν, ὅθεν ἤρ-

PAMLVRC Lat Hegesippus V 21 p. 320. Zonaras I p. 533.

1 οὐδὲ — ἄλλως] *aliter enim se non posse quiescere* Lat αὐτὸς] Destinon αὐτοὺς PAMVRC αὐτὸν L 2 τῶν, ν i. ras. L χρώμενον VR χρώμενοι C 3 δοκεῖν L 5 πόνων L οὐδενὶ] οὐδὲ θεῷ LLat ῥᾴδιον] ῥᾴδιον ἀλλ' ἢ θεῷ μόνῳ MVRC 6 διαμένειν R τὰσ δυνάμεισ ἐκέλευσεν tr. L 7 ἐπίπτει R τοῖσ στασιασταῖσ R 8 οὐ μόνον — 9 ἔρις] *non solum rectores inter se — certabant* Lat τῶν ταγμάτων] προστάγματοσ LVRC, unde πρὸς τάγμα τάγματος Holwerda 9 αὐτοῖς] αὐταῖσ P ἑαυτοῖσ L ἀλλήλων C 10 δεκαδάρχη ML et ex corr. A *decadarcho* Lat *decadarchus* Lat δὲ VRC ἑκατοντάρχη ML et ex corr. A *hecatontarcho* Lat δὲ VRC 11 χιλιάρχω PAML 13 ἐσκόπει L 14 δ' C καθ' ἣν αὐτὸς i. marg. suppl. P ἐστρατοπεδεύετο L fort. recte 15 κατωτέραν L ἔνθε A 16 Ἐλαιῶν] *eleona* Lat εἶτ' — 17 ὄρος] om. M u. 18 post πέτρας tr. A εἶτ'] εἶτα LVRC, om. Lat κατὰ] περι L 17 μεσημβρίαν, σ ex σσ corr. L ἄχρι] μέχρι L ἄχρι τῆσ, litt. χρι τ i. ras. V 18 τε] τ' PA ὃς — Σιλωὰμ] *qui super uallem inminet siloam* Lat τῇ κατὰ τὴν om. PA 19 ἔκλινασ A κα[κατήει C 22 βόρειον] κόρειον R¹ προσελθὼν VRC 24 κατ' LVRC ὅθεν] ὅθενπερ C

508 ξατο. τὸ μὲν οὖν τεῖχος ἑνὸς δέοντος τεσσαράκοντα σταδίων ἦν,
ἔξωθεν δ' αὐτῷ προσῳκοδομήθη τρισκαίδεκα φρούρια, καὶ τούτων
509 οἱ κύκλοι δέκα συνηριθμοῦντο σταδίων. τρισὶ δ' ᾠκοδομήθη τὸ
πᾶν ἡμέραις, ὡς τὸ μὲν ἔργον μηνῶν [εἶναι] ἄξιον, τὸ τάχος δ'
510 ἡττᾶσθαι πίστεως. περικλείσας δὲ τῷ τείχει τὴν πόλιν καὶ δύναμιν 5
τοῖς φρουρίοις ἐγκαταστήσας τὴν μὲν πρώτην φυλακὴν τῆς νυκτὸς
περιιὼν αὐτὸς ἐπεσκέπτετο, τὴν δευτέραν δ' ἐπέτρεψεν Ἀλεξάνδρῳ,
511 τὴν τρίτην δ' ἔλαχον οἱ τῶν ταγμάτων ἡγεμόνες. διεκληροῦντο δ'
οἱ φύλακες τοὺς ὕπνους, καὶ δι' ὅλης νυκτὸς περιῆσαν κατὰ δια-
στήματα τῶν φρουρίων. 10

512 3. Ἰουδαίοις δὲ μετὰ τῶν ἐξόδων ἀπεκόπη πᾶσα σωτηρίας
ἐλπίς, καὶ βαθύνας αὐτὸν ὁ λιμὸς κατ' οἴκους καὶ γενεὰς τὸν δῆμον
513 ἐπεβόσκετο. καὶ τὰ μὲν τέγη πεπλήρωτο γυναικῶν καὶ βρεφῶν
λελυμένων, οἱ στενωποὶ δὲ γερόντων νεκρῶν, παῖδες δὲ καὶ νεανίαι
διοιδοῦντες ὥσπερ εἴδωλα κατὰ τὰς ἀγορὰς ἀνειλοῦντο καὶ κατέ- 15
514 πιπτον ὅπῃ τινὰ τὸ πάθος καταλαμβάνοι. θάπτειν δὲ τοὺς προσ-
ήκοντας οὔτε ἴσχυον οἱ κάμνοντες καὶ τὸ διεντονοῦν οἶκτει διά τε
πλῆθος τῶν νεκρῶν καὶ διὰ τὸ κατὰ σφᾶς ἄδηλον· πολλοὶ γοῦν
τοῖς ὑπ' αὐτῶν θαπτομένοις ἐπαπέθνησκον, πολλοὶ δὲ ἐπὶ τὰς
515 θήκας πρὶν ἐπιστῆναι τὸ χρεὼν προῆλθον. οὔτε δὲ θρῆνος ἐν ταῖς 20
συμφοραῖς οὔτ' ὀλοφυρμὸς ἦν, ἀλλ' ὁ λιμὸς ἤλεγχε τὰ πάθη, ξη-
ροῖς δὲ τοῖς ὄμμασι καὶ σεσηρόσι τοῖς στόμασιν οἱ δυσθανατοῦντες
ἐφεώρων τοὺς φθάσαντας ἀναπαύσασθαι, βαθεῖα δὲ περιεῖχεν

PAMLVRC Lat Hegesippus V 21 p. 320. Eusebius hist. eccl. III 6, 6. Zonaras I p. 534.

1 *τεσσεράκοντα* V¹R 2 *δὲ* VRC *αὐτοῦ* L 3 *δὲ* VR 4 *ὡς*] *ὥστε* L *μὲν*] *πᾶν μὲν* L *εἶναι*] om. PA *uideretur* Lat *τάχος δ'*] *τάχος δὲ* VR *δὲ τάχος* C 5 *ἡττῆσθαι* LVRC *τεῖχει*] *τάχει* VR 6 *φρουρίοις*, *ἰο* ex corr. M 7 *ἀπεσκέπτετο* R *δὲ* VRC 8 *δὲ* VRC i. marg. *λβ'* C *δὲ* VR 9 *διαστήματα*] *τὰ διαστήματα* M *διάστημα* LR (*per castellorum*) *spatia* Lat 11 *Ἰουδαίοις*] incip. Eusebius *ἀπεκόπει* C 12 *αὐτὸν*] *αὐτῶν* PA *ἑαυτὸν* LC Euseb *αὐτὸν* VR *κατὰ* L 13 *ἐβόσκετο* Zon *ἐπεπλήρωτο* L 14 *ἐκλελυμένων* Zon *στενοποὶ* R 16 *δὲ*] *τε* VRC 17 *οὔτ'* L *διεὐτόνουν* A *διά τε*] L et Eusebii cod. E *διὰ τὸ* PAMVRC *διά τε τὸ* Eusebii codd. reliqui *et propter* Lat 18 *καὶ διὰ*] L et ut uid. Lat *καὶ* PAMVRCEuseb *γοῦν*] *οὖν* L 19 *ὑφ' αὐτῶν* (sic) L *δ'* LCEuseb *πολλοὶ* — 20 *προῆλθον* obscurius dicta *χρεὼν* R *προῆλθον*] *et uiui properabant* Lat *προυπτήδων* Herwerden *δὲ* om. V 21 *οὔτ'*] *ὅτ'* A *οὔτε* VREuseb *ἤλεγχε*] *superabantur* Lat *clauserat* Heg 22 *καὶ* — *στόμασιν* om. Euseb *σεσηπόσι* LVR *corruptis* Lat *στόμασι* P *δυσθανατῶντες* M *δυσθανῶντες* L 23 *ἐφεώρουν* PA¹ *ἐπαιώρουν* L *ἐθεώρων* C et Eusebii codd. quidam *intuebantur* Lat *ἀναπαύσεσθαι* PA 23 *τὴν πόλιν σιγὴ περιεῖχεν* tr. L *τὴν πόλιν περιεῖχε σιγὴ* tr. VRCEuseb

τὴν πόλιν σιγὴ καὶ νὺξ θανάτου γέμουσα καὶ τούτων οἱ λῃσταὶ χαλε-
πώτεροι. συμβωρυχοῦντες γοῦν τὰς οἰκίας ἐσύλων τοὺς νεκροὺς καὶ 516
τὰ καλύμματα τῶν σωμάτων περισπῶντες μετὰ γέλωτος ἐξῄεσαν,
τάς τε ἀκμὰς τῶν ξιφῶν ἐδοκίμαζον ἐν τοῖς πτώμασιν, καί τινας
τῶν ἐρριμμένων ἔτι ζῶντας διήλαυνον ἐπὶ πεῖρα τοῦ σιδήρου· τοὺς 517
δ' ἱκετεύοντας χρῆσαι σφίσι δεξιᾶν καὶ ξίφος τῷ λιμῷ κατέλειπον
ὑπερφρονοῦντες, καὶ τῶν ἐκπνεόντων ἕκαστος ἀτενίσας εἰς τὸν ναὸν
ἀφεώρα τοὺς στασιαστὰς ζῶντας ἀπολιπών. οἱ δὲ τὸ μὲν πρῶτον 518
ἐκ τοῦ δημοσίου θησαυροῦ τοὺς νεκροὺς θάπτειν ἐκέλευον τὴν ὀσ-
μὴν οὐ φέροντες, ἔπειθ' ὡς οὐ διήρκουν ἀπὸ τῶν τειχῶν ἔρριπτον
εἰς τὰς φάραγγας.

4. Περιὼν δὲ ταύτας ὁ Τίτος ὡς ἐθεάσατο πεπλησμένας τῶν 519
νεκρῶν καὶ βαθὺν ἰχῶρα μυδώντων ὑπορρέοντα τῶν σωμάτων, ἐστέ-
ναξέ τε καὶ τὰς χεῖρας ἀνατείνας κατεμαρτύρατο τὸν θεόν, ὡς οὐκ
εἴη τὸ ἔργον αὐτοῦ. τὰ μὲν δὴ κατὰ τὴν πόλιν εἶχεν οὕτως, Ῥω- 520
μαῖοι δὲ μηδενὸς ἔτι τῶν στασιαστῶν ἐκτρέχοντος, ἤδη γὰρ καὶ
τούτων ἀθυμία καὶ λιμὸς ἐφήπτετο, ἐπ' εὐθυμίαις ἦσαν σίτου τε
ἀφθονίαν καὶ τῶν ἄλλων ἐπιτηδείων ἐκ τῆς Συρίας καὶ τῶν πλη-
σίον ἐπαρχιῶν ἔχοντες· ἱστάμενοι δὲ πολλοὶ τοῦ τείχους πλησίον 521
καὶ πολὺ πλῆθος τῶν ἐδωδίμων ἐπιδεικνύμενοι τῷ κατὰ σφᾶς
κόρῳ τὸν λιμὸν τῶν πολεμίων ἐξέκαιον. πρὸς δὲ τὸ πάθος τῶν 522
στασιαστῶν μηδὲν ἐνδιδόντων Τίτος οἰκτείρων τὰ λείψανα τοῦ δή-
μου καὶ σπουδάζων τὸ γοῦν περιὸν ἐξαρπάσαι, πάλιν ἤρχετο χω-
μάτων χαλεπῶς αὐτῷ τῆς ὕλης ποριζομένης· ἡ μὲν γὰρ περὶ τὴν 523

PAMLVRC Lat Hegesippus V 21 p. 321. Zonaras I p. 534. Eusebius hist. eccl. III 6, 7.

2 *συμβορυχοῦντες* RC *γοῦν*] *γὰρ* ed. pr. *ἐσύλων* P 3 *καλύμματα*] *καλύματα* A *κα···μματα* (inter *α* et *μ* ras. 2—3 litt.) L *κατακαλύμματα* VR et ex corr. C *καταλύματα* Berol. *τῶν σωμά|τῶν σωμάτων* A¹ 4 *ἀκμὰς*] LEuseb *αἰχμὰς* PAMVRC *mucrones* Lat *aciem* Heg 5 *ἐρριμένων* PLV *ἐριμμένων* C *σιδή******* *δ' ἱκετεύοντας* P *τοὺς ἱκετεύοντας δὲ* tr. L 6 *δὲ* VRCEuseb *ἑκαιτεύοντας* A *κατέλιπον* ACEuseb 7 *ἀτενίσας*] *ἀτενὲς* Euseb 8 *ἐφεώρα* Eusebii codd. plerique *ἀπολειπών* A 10 *οὐ*] *μὴ* L *ἔπειτα* VR *ἐρρίπτουν* VRC Euseb Zon 11 *τὰς*] AMLEusZon, om. PVRC 12 *πεπλησμένας*] *πεπληρωμένας* LZon 13 *ἰχῶρα* P *μυδόντων* P *ὑπορρέοντα*] Bekker *ἐκρέοντα* Zon *τὸν ὑπορρέοντα* (*ὑπορέοντα* PAR) codd. Euseb *ἐστέναξε*] *στενάξας* VRC 14 *κατεμαρτύρατο* (*τυρ* s. m. 2 C) LRC *ἐμαρτύρετο* Zon 15 *αὐτοῦ*] finit Euseb *οὕτως εἶχεν* tr. L *οὕτω* VRC 17 *ἐπ' εὐθυμίαις*] *ἀεὶ δὲ οἱ ῥωμαῖοι προσευθυμίαις* L *ἐπευθείαις* C; aut *πρὸς εὐθυμίας* cum Bekkero aut *ἐν εὐθυμίαις* scribendum uid. 18 *ἀφθονία* L *πλησίων* AC *ἄλλων* L 19 *ἐπαρχιῶν — πλησίον* om. R 23 *τὸ* suppl. P *περιὼν* AC *ἤρχετο*] *ἥπτετο* Zon 24 *πορίζομένης*] *κομιζομένης* P

πόλιν πᾶσα τοῖς προτέροις ἔργοις ἐκέκοπτο, συνεφόρουν δὲ ἄλλην
ἀπ' ἐνενήκοντα σταδίων οἱ στρατιῶται. καὶ πρὸς μόνης ὕψουν
τῆς Ἀντωνίας κατὰ μέρη τέσσαρα πολὺ μείζονα τῶν προτέρων
524 κώμματα. περιιὼν δὲ ὁ Καῖσαρ τὰ τάγματα καὶ κατεπείγων τὸ
525 ἔργον ἐπεδείκνυ τοῖς λῃσταῖς, ὡς ἐν χερσὶν εἴησαν αὐτοῦ. μόνοις
δὲ ἐκείνοις ἄρα κακῶν ἀπολώλει μεταμέλεια, καὶ τὰς ψυχὰς χωρί-
526 σαντες ἀπὸ τῶν σωμάτων ἀμφοτέροις ὡς ἀλλοτρίοις ἐχρῶντο. οὔτε
γὰρ πάθος αὐτῶν ἡμέρου τὴν ψυχὴν οὔτ' ἀλγηδὼν ἥπτετο τοῦ
σώματος, οἵ γε καὶ νεκρὸν τὸν δῆμον ὥσπερ κύνες ἐσπάραττον καὶ
τὰ δεσμωτήρια τῶν ἀρρώστων ἐνεπίμπλασαν.
527 XIII. 1. Σίμων γοῦν οὐδὲ Ματθίαν, ὃν κατέσχε τὴν πόλιν,
ἀβασάνιστον ἀνεῖλε· βοηθοῦ γὰρ ἦν οὗτος ἐκ τῶν ἀρχιερέων ἐν
528 τοῖς μάλιστα τῷ δήμῳ πιστὸς καὶ τίμιος· ὃς ὑπὸ τοῖς ζηλωταῖς
κακουμένου τοῦ πλήθους, οἷς ἤδη καὶ Ἰωάννης προσῆν, πείθει τὸν
δῆμον εἰσαφεῖναι τὸν Σίμωνα βοηθόν, οὐδὲν οὔτε προσυνθέμενος
529 οὔτε προσδοκήσας φαῦλον ἐξ αὐτοῦ. παρελθὼν δ' ἐκεῖνος ὡς ἐκρά-
τησε τῆς πόλεως, ἐχθρὸν ἐν ἴσῳ τοῖς ἄλλοις ἦγεῖτο καὶ τὸν ὑπὲρ
530 αὐτοῦ σύμβουλον ὡς ἂν ἐξ ἀπλότητος γεγενημένον. ἀχθέντα δὲ
τηνικαῦτα καὶ κατηγορούμενον τὰ τῶν Ῥωμαίων φρονεῖν κατακρίνει
μὲν θανάτῳ μηδ' ἀπολογίας ἀξιώσας σὺν τρισὶν υἱοῖς· ὁ γὰρ τέ- 20
ταρτος ἔφθη διαδρὰς πρὸς Τίτον· ἱκετεύοντα δὲ ἀναιρεθῆναι πρὸ
τῶν τέκνων καὶ ταύτην αἰτούμενον τὴν χάριν ἀνθ' ὧν ἀνοίξειεν
531 αὐτῷ τὴν πόλιν, τελευταῖον ἀνελεῖν ἐκέλευσεν. ὁ μὲν οὖν ἐν ὄψει
φρονευθεῖσιν ἐπεσφάγη τοῖς παισὶν ἄντικρυς Ῥωμαίων προαχθείς·

PAMLVRCLatHegesippus V 21 p. 322. Zonaras I p. 534. Suidas s. *ἐπειρωνευόμενος*.

1 *ἐκκέκοπτο* Dindorf ex cod. L. B. *δ'* LC 2 *ἀπὸ* P *πρὸ* Zon *ἐννενήκοντα* ex *ἐνενηκότα* corr. A *ὑψοῦν* PA¹ 3 *πολὺ*] *πολλῷ* L, om. Lat *μείζονα* C 4 *χώματα*, *μα* ex *μά* corr., *α* finale i. ras. maiore A *δ'* C 5 *ἐπεδείκνυτο* L 6 *δ'* C *ἐκείνησ* C *ἀπωλώλει* MV² *ἀπώλει* R S *ἡμέρου τὴν ψυχὴν*] *ἥμερον τῆσ ψυχῆσ* LVRCLat *οὔτε* AMLVRC 9 *οἵ γε*] PAMCLat *οἱ δὲ* LVR 10 *ἀρώστων* A *ἐνεμπίπλασαν* M *ἐπίμπλασαν* R *ἐνεπίπλασαν* C 13 *τῷ δήμῳ* s. P *τίμιος*] *τίμιοσ* R¹ *ὅς*] *οὗτοσ* L 14 *καὶ ὁ Ἰωάννησ* P 15 *εἰσαφῆναι* A¹V *προσσυνθέμενοσ* C 16 *προδοκήσασ* L *δὲ* VR 17 *ἐχθρὸν*] *ἐν ἐχθρὸν* P 18 *ἂν* om. PA 19 *τῶν* om. LVRC *κατακρίνει*] *κατα*‖ sic L *κατακρίνειν* R 20 *μηδὲ* VRC 21 *δ'* C 22 *ἀνθ' ὧν*] *ἀθῶν* C 23 *ἀνελεῖν*] *ἀνελεῖν αὐτὸν* C *ὁ μὲν* — 507,3 *εἵλετο* excerpsit Suidas *ἐν* — 24 *παισὶν*] *super caesos in conspectu suo filios iugulatur* Lat *ἐν* om L 24 *φονευθεῖσιν*] Hudson ex Big. Voss. et Lat *φονευθεῖσι* codd. *ἀπεσφάγη* M *ἐναπεσφάγη* VRC *παισὶν*] *πασιν* (sic) L *ἀντικρὺ* ex *ἄντικρυσ* corr. m. 3 V

οὕτω γὰρ ὁ Σίμων Ἀνάνῳ τῷ Βαγαδάτου προσέταξεν, ὃς ἦν ὠμότατος αὐτῷ τῶν δορυφόρων, ἐπειρωνευόμενος, εἴ τι βοηθήσουσιν αὐτῷ πρὸς οὓς ἐξελθεῖν εἵλετο· θάπτειν τ' ἀπεῖπε τὰ σώματα. μετὰ τούτους ἱερεύς τις Ἀνανίας υἱὸς Μασβάλου τῶν ἐπισήμων 532
καὶ ὁ γραμματεὺς τῆς βουλῆς Ἀριστεύς, γένος ἐξ Ἰμμαοῦς, καὶ σὺν τούτοις πεντεκαίδεκα τῶν ἀπὸ τοῦ δήμου λαμπρῶν ἀναιροῦνται. τὸν δὲ τοῦ Ἰωσήπου πατέρα συγκλείσαντες ἐφύλαττον, κηρύτ- 533
τουσι δὲ μηδένα τῶν κατὰ τὴν πόλιν μήτε συνομιλεῖν μήτε ἐπὶ ταὐτὸ συναθροίζεσθαι δέει προδοσίας, καὶ τοὺς συνολοφυρομένους πρὸ ἐξετάσεως ἀνήρουν.

2. Ταῦτα ὁρῶν Ἰούδης τις υἱὸς Ἰούδου, τῶν ὑπάρχων τοῦ Σί- 534
μωνος εἷς ὢν καὶ πεπιστευμένος ὑπ' αὐτοῦ πύργον φυλάττειν, τάχα μέν τι καὶ οἴκτῳ τῶν ὡμῶς ἀπολλυμένων, τὸ δὲ πλέον αὐτοῦ προνοίᾳ, συγκαλέσας τοὺς πιστοτάτους τῶν ὑπ' αὐτὸν δέκα, „μέχρι 535
τίνος ἀνθέξομεν, ἔφη, τοῖς κακοῖς; ἢ τίνα σωτηρίας ἔχομεν ἐλπίδα πιστοὶ πονηρῷ μένοντες; οὐχ ὁ μὲν λιμὸς ἤδη καθ' ἡμῶν, Ῥωμαῖοι 536
δὲ παρὰ μικρὸν ἔνδον, Σίμων δὲ καὶ πρὸς εὐεργέτας ἄπιστος, καὶ δέος μὲν ἤδη παρ' αὐτοῦ κολάσεως, ἡ δὲ παρὰ Ῥωμαίοις δεξιὰ βέ- βαιος; φέρε, παραδόντες τὸ τεῖχος σώσωμεν ἑαυτοὺς καὶ τὴν πόλιν. 537
πείσεται δὲ οὐδὲν δεινὸν Σίμων, ἐὰν ἀπεγνωκὼς ἑαυτὸν τάχιον δῷ δίκην." τούτοις τῶν δέκα πεισθέντων ὑπὸ τὴν ἕω τοὺς λοιποὺς 538
τῶν ὑποτεταγμένων ἄλλον ἀλλαχόσε διέπεμπεν, ὡς μὴ φωραθείη τι τῶν βουλευμένων, αὐτὸς δὲ περὶ τρίτην ὥραν ἀπὸ τοῦ πύργου

PAMLVRC LatHegesippus V 22 p. 322 sq. Suidas s. ἐπειρωνευόμενος.
1 οὕτωσ L ὁ Σίμων om. C *Βαγαδάτου*] PAM *γαμαδάτου* L *βαμάδα* VR *βαμάδου* C et i. marg. M *magadi* Lat; cf. VI 229 (4,2) 3 *εἵλετο*] MLSuid *εἵλατο* P *εἰλατο* A^1V^1R *εἶλετο* C et ex corr. AV *τ'*] *δ'* L *τε* VRC *uero* Lat 4 *Μασβάλου*] *μασαμβάλου* L *masambali* Lat *μασβάλου τῶν ἐ πισήμων*, litt. *σβάλου τῶν ἐ* suppl., *πισήμων* i. ras. 3 litt. P 5 *ἀρισταῖος* C *uir fortis* Lat *γένος*] *γεγονὼς* M *ex ammau* Lat 6 *πεντεκέδεκα* A *δεκαπέντε* L 8 *μήτ'* L 9 *ταὐτὸ*] *τοῦτω* P *τὸ αὐτὸ* MLVRC *συνολοφυρουμένους* P 11 i. marg. *λδ'* C *υἱὸς Ἰούδου*] *υἱὸς*|*ούδου* M *iouδαῖος* C *filius dudi* (h. e. *tudi*) Lat *ὑπάρχων τοῦ*] *ὑπαρχόντων* A^1 *ὑπαρχόντων τοῦ* M 12 *πεπειστευμένος* C 13 *μέν τι*] *μέντοι* PA^1 *ἀπολυμένων* A^1 *πλεῖον* VR *αὐτοῦ* PAVR *ἑαυτοῦ* LC 14 *πιστωτάτους* C *αὐτὸν*] *αὐτοῦ* PVRC *αὐτῷ* L 15 *τίνα*] *τίνας* VRC *ἔχομεν* AV *ἐλπίδας* VRC 16 *πονηρῶν* VR 18 *ἤδη*] *ἤδη καὶ* L *αὐτοῦ*] *αὐτὸν* PA *αὐτῶ* LVRC *ἢ δὲ*] *εἰ δὲ καὶ* L 19 *τὸ*] *τότε* PA 20 *πήσεται* LV^1R *δ'* C *οὐδὲν* iterat M^1 *ὁ σίμων* L *ἑαυτοῦ* MVRC *τάχιον δῷ*] LVCLips *δῶ* PAM *δῶ ταχὶ* R^1 *δῶ ταχὺ* R^2 21 *πισθέντων* R 22 *ἄλλων* C *ἀλαχόσε* R *διέπεμψεν* Dindorf ex cod. Voss. 23 *δὲ* om. R

539 τοὺς Ῥωμαίους ἐκάλει. τῶν δὲ οἱ μὲν ὑπερηφάνουν, οἱ δὲ ἠπίστουν,
οἱ πολλοὶ δὲ ὤκνουν ὡς μετὰ μικρὸν ἀκινδύνως ληψόμενοι τὴν
540 πόλιν. ἐν ὅσῳ δὲ Τίτος μεθ' ὁπλιτῶν παρῆλθε πρὸς τὸ τεῖχος,
ἔφθη γνοὺς ὁ Σίμων, καὶ μετὰ τάχους τόν τε πύργον προκατα-
λαμβάνει καὶ τοὺς ἄνδρας συλλαβὼν ἐν ὄψει τῶν Ῥωμαίων ἀναιρεῖ 5
καὶ πρὸ τοῦ τείχους λωβησάμενος ἔρριψε τὰ σώματα.

541 3. Κἀν τούτῳ περιιὼν Ἰώσηπος, οὐ γὰρ ἀνίει παρακαλῶν, βάλ-
λεται τὴν κεφαλὴν λίθῳ καὶ παραχρῆμα πίπτει καρωθείς. ἐκδρομὴ
δὲ ἐπὶ τὸ πτῶμα τῶν Ἰουδαίων γίνεται, κἂν ἔφθη συρεὶς εἰς τὴν
542 πόλιν, εἰ μὴ ταχέως Καῖσαρ ἔπεμψε τοὺς ὑπερασπίζοντας. μαχο- 10
μένων δὲ τούτων ὁ Ἰώσηπος μὲν αἴρεται βραχύ τι τῶν πραττομένων
ἐπαΐων, οἱ στασιασταὶ δ' ὡς ἀνελόντες ὃν ἐπεθύμουν μάλιστα μετὰ
543 χαρᾶς ἀνεβόων. διαγγέλλεταί τε εἰς τὴν πόλιν, καὶ τὸ καταλει-
πόμενον πλῆθος ἐπέσχεν ἀθυμία πεπεισμένους οἴχεσθαι τῷ ὄντι
544 δι' ὃν αὐτομολεῖν ἐθάρρουν. ἀκούσασα δὲ ἡ τοῦ Ἰωσήπου μήτηρ 15
ἐν τῷ δεσμωτηρίῳ τεθνάναι τὸν υἱόν, πρὸς μὲν τοὺς φύλακας ἀπὸ
Ἰωταπάτων τοῦτο ἔφη πεπεῖσθαι· καὶ γὰρ οὐδὲ ζῶντος ἀπολαύειν·
545 ἰδίᾳ δὲ ὀλοφυρομένη πρὸς τὰς θεραπαινίδας τοῦτον εἰληφέναι τῆς
εὐτεκνίας ἔλεγε καρπὸν τὸ μηδὲ θάψαι τὸν υἱόν, ὑφ' οὗ ταφήσε-
546 σθαι προσεδόκησεν. ἀλλὰ γὰρ οὔτε ταύτην ἐπὶ πλέον ὠδύνα τὸ 20
ψεῦδος οὔτε τοὺς λῃστὰς ἔθαλπε· ταχέως γὰρ ἐκ τῆς πληγῆς ἀνή-
νεγκεν ὁ Ἰώσηπος, καὶ προελθὼν τοὺς μὲν οὐκ εἰς μακρὰν ἐβόα
δίκας αὐτῷ δώσειν τοῦ τραύματος, τὸν δὲ δῆμον ἐπὶ πίστιν πάλιν
547 προυκαλεῖτο. Θάρσος δὲ τῷ λαῷ καὶ τοῖς στασιασταῖς ἔκπληξις
ἐμπίπτει πρὸς τὴν ὄψιν αὐτοῦ. 25

548 4. Τῶν δ' αὐτομόλων οἱ μὲν ὑπ' ἀνάγκης ἀπὸ τοῦ τείχους

PAMLVRC Lat Hegesippus V 23 p. 329. Zonaras I p. 534.

1 δ' οἱ L δ' ἠπίστουν RC δὲ διηπίστουν L 2 δ' ὤκνουν C ὡς] ὥστε R 3 μετὰ τῶν ὁπλιτῶν ex cod. Voss. Dindorf 4 τάχους, ου ex ο corr. L συλλαμβάνων PA 7 i. marg. λε' C Ἰώσηπος] ὁ ιώσηποσ (sic) L ἀνείη PR ἀνίη A ἀνήει LV καὶ παρακαλῶν L 9 δ' LC τῷ πτώματι MVRC fort. rectius κἂν] καὶ C 10 ἔπεμψε καῖσαρ tr. M ὑπερασπίσοντας Herwerden 11 τούτων om. L τι om. MLVRC 12 δὲ VR ἀνελόντα VR μετὰ, α ex ε corr. uid. A 13 τε] δ' LC autem Lat εἰς] προσ P καταλιπόμενον PA καταλειπόμενον δὲ L 15 δ' C 17 τοῦτ' C ἀπολαύει C 18 δ' LC θεραπενίδασ C τοῦτο L 19 ἔλεγε om. L 20 προσεδόκεισεν L οὔτε] οὐδὲ PALat ὠδύνα τὸ P ὠδύνατο C ὠδυνατο τὸ R 21 ἀνήνεγκεν] ἀνενεγκὼν M 22 προσελθὼν ML 23 πίστιν, ιν ex η corr. uid. P πάλιν] om. RC, post δῆμον tr. L 26 δὲ VRC ἐπήδων ἀπὸ τοῦ τείχουσ tr. C

ἐπήδων ταχέως. οἱ δὲ προϊόντες ὡς ἐπὶ μάχῃ μετὰ χερμάδων ἔπειτα πρὸς τοὺς Ῥωμαίους ἔφευγον. συνείπετο δὲ τούτοις τύχῃ τῶν εἴσω χαλεπωτέρα, καὶ τοῦ παρὰ σφίσι λιμοῦ συντονώτερον εὕρισκον πρὸς ὄλεθρον τὸν παρὰ Ῥωμαίοις κόρον. παρεγίνοντο μὲν γὰρ ἀπὸ τῆς 549
ἐνδείας πεφυσιμένοι καὶ ὥσπερ ὑδρωπιῶντες, ἔπειτα ἀθρόως κενοῖς ὑπερεμπιπλάμενοι τοῖς σώμασιν ἐρρήγνυντο πλὴν τῶν δι' ἐμπειρίαν ταμιευσαμένων τὰς ὀρέξεις καὶ κατ' ὀλίγον προσθέντων τροφὴν ἀπειθισμένῳ τῷ σώματι φέρειν. καὶ τοὺς οὕτω δὲ σωζομένους 550
ἕτερα πληγὴ μετελάμβανε· τῶν γὰρ παρὰ τοῖς Σύροις τις αὐτομόλων φωρᾶται τῶν τῆς γαστρὸς λυμάτων χρυσοῦς ἐκλέγων· καταπίνοντες δέ, ὡς ἔφαμεν, αὐτοὺς προήεσαν, ἐπειδὴ διηρεύνων πάντας οἱ στασιασταί, καὶ πολὺ πλῆθος ἦν ἐν τῇ πόλει χρυσοῦ· δώδεκα γοῦν Ἀττικῶν ὠνοῦντο πρότερον ἰσχύοντας πέντε καὶ εἴκοσιν. ἀλλά τοι 551
τῆς ἐπινοίας ἐλεγχθείσης δι' ἑνὸς ἀναπίμπλαται μὲν φήμης τὰ στρατόπεδα, ὡς μεστοὶ χρυσίου παρεῖεν οἱ αὐτόμολοι, τὸ δὲ τῶν Ἀράβων πλῆθος καὶ οἱ Σύροι τοὺς ἱκέτας ἀνατέμνοντες ἠρεύνων τὰς γαστέρας. καὶ τούτου τοῦ πάθους οὐδὲν ἔμοιγε δοκεῖ συμβῆναι 552
Ἰουδαίοις χαλεπώτερον· μιᾷ γοῦν ἀνεσχίσθησαν νυκτὶ πρὸς δισχιλίους.

5. Καὶ γνοὺς τὴν παρανομίαν Τίτος ὀλίγου μὲν ἐδέησε τὸ ἐπ- 553

PAMLVRC Lat Hegesippus V 24 p. 330. Zonaras I p. 534. Exc Peiresc.

1 *ἐπήδουν* P *ἐπίδουν* A^1 *ταχέως*] *εὐθέως* L *ἔπειταχέως* (*ἔπει* deleuit m. 2) V *statim* Lat; aut spurium aut corruptum uid. *προιώντες* C *μάχην* LZon 2 *τοὺς* om. L *κατέφευγον* Zon *συνείπετο*] *εἵπετο* M *δὲ*] *δ' ἐν* L 3 *σφίσι*] *φίσι* C^1 *συντομώτερον* L *uelociorem* Lat *ηὕρισκον* (sic) L *πρὸς ὄλεθρον*] *τὸ πρὸσ ὄλεθρον ὀλίγον* L 4 *γὰρ* s. A 5 *ὑδροπιῶντες* PC *ἀθρόως* om. Lat *κενοῖς*] *καινῶσ* L 6 *ὑπεμπιπλάμενοι* P *ὑπερεμπιμπλάμενοι* V *replentes* Lat *σώμασι* R *ἐμπειρίασ* L 8 *ἀπειθισμένων* PA^1 *ἀπηθισμένω* LR 9 *Σύροις*] *πύροισ* R *αὐτομόλων τίσ* tr. L 10 *καταπιόντες* Herwerden 11 *δὲ*] *γὰρ* M *δ'* L *αὐτοὺσ ὡσ ἔφαμεν* tr. C *ἐπειδὴ διηρεύνων*] Niese praeeunte Destinone *ἐπειδὴ ἀνηρεύνων* PAMC *ἐπεὶ δ'* (*δὲ* VR) *ἀνηρεύνων* LVR *quia — scrutabantur* Lat *quia — perscrutabantur* Heg *ἐπεὶ διηρεύνων* Destinon *πάντας*] *omnia* Heg 13 *ἀττικὰ* MVR *πρότερον ἰσχύοντας πέντε καὶ εἴκοσιν*] *πρότερον ἰσχύοντα πέντε* (*πέντα* M) *καὶ εἴκοσιν* MVR *τὰ πρότερων* (sic) *ἰσχύοντα πέντε καὶ εἴκοσιν* C *quod antea uiginti quinque ualebat* Lat; cf. VI 317 (6,1) 14 *ἐλεχθείσησ* A *ἀναπίπλαται* A^1C *ἀναπίμπλησι* L *ἀναπίμπλαται — 15 στρατόπεδα*] *totis castris fama percrebuit* Lat *φήμης γεγονυίας εἰς τὸ στρατόπεδον* Zon *φήμης*] Holwerda *φήμη εἰσ* codd. 15 *οἱ*] LZon, om. PAMVRC 16 *οἱ Σύροι*] incipiunt Exc *ἱκέτας*] *οἰκέτασ* LCExc *ἠραύνων* V^1 *ἠρεύνων, ευ* i. ras. m. 2 R 17 *οὐδὲν*] s. A om. L *δοκεῖν* VRC 18 *ἀνέσχησαν* Exc *πρὸς δισχιλίους*] *ὑπὲρ τρισχιλίους* Zon 20 *Τίτος*] *Καῖσαρ* Dindorf ex cod. L. B. *τὸ*] *τὸν* L

πικὸν περιστήσας κατακοντίσαι τοὺς αἰτίους, εἰ μὴ πολὺ πλῆθος
ἐνείχετο καὶ τῶν ἀνηρημένων πολλαπλασίους ἦσαν οἱ κολασθησό-
551 μενοι. συγκαλέσας δὲ τοὺς τῶν συμμάχων ἡγεμόνας καὶ τοὺς τῶν
ταγμάτων, συνδιεβάλλοντο γὰρ καὶ τῶν στρατιωτῶν τινές, πρὸς
555 ἑκατέρους ἀγανακτεῖν ἔλεγεν, εἰ τῶν μὲν σὺν αὐτῷ στρατευομένων 5
τινὲς τοιαῦτα δρῶσιν κέρδους ἕνεκεν ἀδήλου, μηδὲ τὰ ὅπλα σφῶν
556 αὐτῶν αἰδούμενοι πεποιημένα ἀργύρου τε καὶ χρυσοῦ, τοῖς δὲ Ἄραψι
καὶ [τοῖς] Σύροις, εἰ πρῶτον μὲν ἐν ἀλλοτρίῳ πολέμῳ τοῖς πάθεσιν
αὐτεξουσίως χρῶνται, ἔπειτα τῇ περὶ φόνους ὠμότητι καὶ τῷ πρὸς
Ἰουδαίους μίσει Ῥωμαίους ἐπιγράφουσι· καὶ γὰρ νῦν ἑνίους αὐτῷ 10
557 τῶν στρατιωτῶν συναπολαύειν τῆς κακοδοξίας. τούτοις μὲν οὖν
διηπείλησε θάνατον, εἴ τις εὑρεθείη πάλιν τὸ αὐτὸ τολμῶν, τοῖς
δὲ ἀπὸ τῶν ταγμάτων ἐπέστελλεν ἐρευνήσαντας τοὺς ὑπόπτους ἀνά-
558 γειν ἐπ' αὐτόν. κατεφρόνει δ', ὡς ἔοικε, φιλοχρηματία πάσης
κολάσεως, καὶ δεινὸς ἐμπέφυκεν ἀνθρώποις τοῦ κερδαίνειν ἔρως, 15
559 οὐδέν τε οὕτως πάθος πλεονεξία παραβάλλεται. ἣ ταῦτα μὲν ἄλλως
καὶ μέτρον ἔχει καὶ φόβοις ὑποτάσσεται, θεὸς δὲ ἦν ὁ τοῦ λαοῦ
παντὸς κατακρίνας καὶ πᾶσαν αὐτοῖς σωτηρίας ὁδὸν εἰς ἀπώλειαν
560 ἀποστρέφων. ὁ γοῦν μετ' ἀπειλῆς ἀπεῖπεν ὁ Καῖσαρ λάθρα κατὰ
τῶν αὐτομόλων ἐτολμᾶτο, καὶ τοὺς διαδιδράσκοντας πρὶν πᾶσιν 20
ὀφθῆναι προαπαντῶντες ἔσφαττον οἱ βάρβαροι, περισκοποῦμενοι
δὲ μή τις ἐπίδοι Ῥωμαίων, ἀνέσχιζον κἀκ τῶν σπλάγχνων τὸ μιαρὸν

PAMLVRCLatHegesippus V 24 p. 332 sq. Zonaras I p. 535. Exc Peiresc.

2 *ἐνῆχετο* L *πολλαπλασίους*] *πολὺ πλείους* Exc 3 *τοὺς*] *τούς τε* L Exc 5 *ἀγανακτεῖν*] Bekker *ἀγανακτῶν* codd. Lat Exc *σὺν* om. LVRCExc 7 *πεποιημένα*] *πεποιημένα ἐξ* MVRC *ἀργυρίου* LExc *χρυσίου* LExc *arabi autem ac syri* Lat *δ'* C 8 *τοῖς* om. P *εἰ* om. Lat *μὲν* om. C *ἐν* om. PA 9 *τῷ*] *τὸ* P 10 *αὐτῷ*] *αὐτῶν* PAMLExc 12 *διηπείλησε θάνατον*] *θάνατον ἠπείλησε* Exc *τὸ* om. Exc *τολμῶν*] *μολῶν* L *τοῖς*] *τοὺς* PA 13 *δ'* LExc *ἐρευνήσονταϲ* PAMVRCExc *ἀνάγειν*, *ἀν* ex *ἀγ* corr. A *ἀναγαγεῖν* L 14 *κατεφρόνει*] *contemnit* Lat *καταφρονεῖ* Destinon *δὲ* LVRC *ὡς ἔοικε* om. Lat 15 *ἀνθρώποις* om. Exc 16 *οὐδέν — παραβάλλεται*] *nullaque omnino calamitas plus habendi cupidini comparatur* Lat, unde *οὐδέν τε ὅλως πάθος πλεονεξίᾳ π.* Destinon *οὐδέν τε οὕτως πάθος ὡς πλ. π.* uir doctus apud Hudsonum; *πλεονεξία* cicit Niese; *παραβάλλεται* „audet" esse uid., non „comparatur" *τε*] *δὲ* MVR *δ'* C *οὕτω* VRC *προβάλλεται* Exc *ἣ*] *ἧ* L *immo uero* Lat *ἄλλοις* Exc 17 *δ'* LExc 18 *παντὸς λαοῦ* tr. C *σωτηρίας, ασ* ex *αν* corr. A *εἰς ἀπώλειαν* om. C 19 *μετὰ πειλῆσ* A *μετὰ ἀπειλῆσ* VRC 20 *πρὶν* — 21 *βάρβαροι* om. Lat *διαδράσκοντασ* C 21 *προσάπαντῶντεσ* C *ἀπέσφαττον* A fort. recte *περισκοπούμενοι, οπ* ex *επ* corr. A 22 *ἐπίδῃ* PAM *ἐπείδοι* VR *καὶ ἐκ* VR

κέρδος εἶκον. ὀλίγοις δ' ἐνεῤῥίσκετο, καὶ τοὺς πολλοὺς παρανή- 561
λισκεν ἐλπὶς μόνη. τοῦτο μὲν δὴ τὸ πάθος πολλοὺς τῶν αὐτομό-
λων ἐπανήγαγεν.

6. Ἰωάννης δ' ὡς ἐτέλειστον αἱ ἁρπαγαὶ παρὰ τοῦ δήμου, πρὸς 562
ἱεροσυλίαν ἐτρέπετο, καὶ πολλὰ μὲν ἐκ τῶν ἀναθημάτων κατεχώνευε
τοῦ ναοῦ, πολλὰ δὲ τῶν πρὸς τὰς λειτουργίας ἀναγκαίων σκεύη,
κρατῆρας καὶ τίνακας καὶ τραπέζας· ἀπέσχετο δ' οὐδὲ τῶν ὑπὸ
τοῦ Σεβαστοῦ καὶ τῆς γυναικὸς αὐτοῦ πεμφθέντων ἀκρατοφόρων.
οἱ μέν γε Ῥωμαίων βασιλεῖς ἐτίμησάν τε καὶ προσεκόσμησαν τὸ 563
ἱερὸν ἀεί, τότε δὲ ὁ Ἰουδαῖος καὶ τὰ τῶν ἀλλοφύλων κατέσπα.
πρὸς δὲ τοὺς συνόντας ἔλεγεν, ὡς δεῖ μετ' ἀδείας καταχρήσασθαι 564
τοῖς θείοις ὑπὲρ τοῦ θείου καὶ τοὺς τῷ ναῷ στρατευομένους ἐξ
αὐτοῦ τρέφεσθαι. διὰ τοῦτο καὶ τὸν ἱερὸν οἶνον καὶ τὸ ἔλαιον, 565
ὃ τοῖς ὁλοκαυτώμασιν οἱ ἱερεῖς ἐφύλαττον [ἐπιχεῖν], ἐκκενώσας, ἦν
δ' ἐν τῷ ἔνδον ἱερῷ, διένεμε τῷ πλήθει, κἀκεῖνοι δίχα φρίκης
ἠλείφοντο καὶ ἔπινον [ἐξ αὐτῶν]. οὐκ ἂν ὑποστειλαίμην εἰπεῖν ἃ 566
μοι κελεύει τὸ πάθος· οἶμαι Ῥωμαίων βραδυνόντων ἐπὶ τοὺς ἀλιτη-
ρίους ἢ καταποθῆναι ἂν ὑπὸ χάσματος ἢ κατακλυσθῆναι τὴν πόλιν
ἢ τοὺς τῆς Σοδομηνῆς μεταλαβεῖν κεραυνούς· πολὺ γὰρ τῶν ταῦτα
παθόντων ἤνεγκε γενεὰν ἀθεωτέραν· τῇ γοῦν τούτων ἀτονοίᾳ πᾶς
ὁ λαὸς συναπώλετο.

PAMLVRCLat Exc Peiresc. Zonaras I p. 535. Eusebius hist. eccl. III 6,9.

1 δὲ VR ἐνηυρίσκετο L ηὑρισκον sic Exc παρανάλισκεν Exc
3 ἐπανήγαγεν] ἐ********** P ἐπανῆγεν Exc 4 i. marg. λζ' C *ωάν-
νησ P δὲ ALVRC ἐπέλιπον LC 5 ἐτράπετο R² καὶ expunxit A
μὲν om. L ἐκ om. ML κατεχώνευε] MC κατέχων ἐκ PAR κατεχώννεν ἐκ
LV κατεχόννεν ἐκ Exc (*donaria templi*) *retinens* Lat 7 κρατῆρας] PAMExc
κρατῆρασ τε LVRC δ'] δὲ PVRExc, om. Lat οὐδὲ] ου Exc 9 οἱ] οἷσ
Exc μέν γε] μὲν γὰρ C ἐτίμησαν, ἐ corr. ex 2 litt. R προσεκόμισαν
PMC προσεκόμησαν A *ornauerunt* Lat 10 αἰεὶ Exc δ' C τότε δὲ]
ταῦτα Exc καὶ τὰ] κατὰ LExc 11 δεῖ ex δὴ corr. A μετὰ VRCExc
13 διὰ τοῦτο — 16 αὐτῶν] *propterea sacrum uinum et oleum, quod sacerdotes
sacrificiis reseruabant, effudit totum* (sic Niese *effudisse tutum* codd.), *erat namque
in templo, et multitudini distribuit* (*distribuisse* codd.), *et illi sine horrore unge-
bantur et potabant* Lat καὶ iterauit in confinio paginarum M 14 ἐπιχεῖν]
ἐπεῖχεν PA ἐπεισχεῖν M ἐπέχεεν Exc, om. Lat 15 δὲ LVRExc ἐν τῷ i.
marg. suppl. m. 2 V ἔνδον] PAMExc ἐνδοτέρω LVR ἐνδωτέρω C ἱερῷ ex
ἱερὸν corr. A διένεμε] διένεμεν οὖν PA διένειμεν οὖν LVR διένειμε CExc
φρίκης] PAExcLat φρίκησ πλέον τοῦ ἽΝ (ἽΝ ML) MLVRC 16 ἐξ αὐτῶν om.
Lat fort. recte οὐκ ἂν] incipit Eusebius ὑπεστειλαίμην PA¹ ὑπεστειλάμην
Exc 17 κελεύοι C βραδυνάντων Euseb 18 ἂν om. PMExc 19 τοὺς]
τοῦ Exc κεραυνοῦ Exc haud male 20 παθόντων] παθόν C ἤνεγκαν Exc
21 συναπώλετο] finit Eusebius

567 7. *Καὶ τί δεῖ κατὰ μέρος ἐκδιηγεῖσθαι τὰς συμφοράς; ἀλλὰ*
πρὸς Τίτον ἐν ταύταις ταῖς ἡμέραις Μαννέος ὁ Λαζάρου φυγὼν
διὰ μιᾶς ἔλεγεν ἐκκεκομίσθαι πύλης, ἣν αὐτὸς ἐπεπίστευτο, μυριάδας
ἕνδεκα νεκρῶν ἐπὶ πεντακισχιλίοις ὀκτακοσίοις ὀγδοήκοντα, ἀφ' ἧς
αὐτοῖς ἡμέρας παρεστρατοπεδεύσατο τεσσαρεσκαιδεκάτῃ Ξανθικοῦ 5
568 *μηνὸς ἄχρι Πανέμου νουμηνίας. τοῦτο δ' ἦν πλῆθος ἀπόρων·*
καὶ οὐδὲ αὐτὸς ἐφεστώς, ἀλλὰ δημοσίᾳ μισθὸν διδοὺς ἐξ ἀνάγκης
ἠρίθμει. τοὺς δὲ λοιποὺς οἱ προσήκοντες ἔθαπτον· ταφὴ δ' ἦν
569 *τὸ προκομίσαντας ἐκ τοῦ ἄστεος ῥῖψαι. μετὰ δὲ τοῦτον διαδράντες*
πολλοὶ τῶν ἐπισήμων τὰς πάσας τῶν ἀπόρων νεκρῶν ἀπήγγελλον 10
μυριάδας ἑξήκοντα διὰ τῶν πυλῶν ἐκριφῆναι, τῶν δ' ἄλλων ἀνεξ-
570 *ερεύνητον εἶναι τὸν ἀριθμόν. μικέτι δ' εὐτονούντων τοὺς πτωχοὺς*
ἐκφέρειν [ἔλεγον] συσσωρεύοντας εἰς τοὺς μεγίστους οἴκους τὰ πτώ-
571 *ματα ἀποκλείειν. καὶ τοῦ μὲν σίτου τὸ μέτρον προαθῆναι ταλάντου.*
μετὰ ταῦτα δ' ὡς οὐδὲ ποιλογεῖν ἔθ' οἷόν τ' ἦν περιτειχισθείσης 15
τῆς πόλεως, προελθεῖν τινας εἰς τοσοῦτον ἀνάγκης, ὥστε τὰς ἀμάρας
ἐρευνῶντας καὶ παλαιὸν ὄνθον βοῶν προσφέρεσθαι τὰ ἐκ τούτων
σκύβαλα, καὶ τὸ μηδ' ὄψει φορητὸν πάλαι τότε γενέσθαι τροφήν.
572 *ταῦτα Ῥωμαῖοι μὲν ἀκούοντες ἠλέησαν, οἱ στασιασταὶ δὲ καὶ βλέ-*
ποντες οὐ μετενόουν, ἀλλ' ἠνείχοντο μέχρις αὐτῶν προελθεῖν· πε- 20
πήρωντο γὰρ ὑπὸ τοῦ χρεών, ὃ τῇ τε πόλει καὶ αὐτοῖς ἤδη παρῆν.

PAMLVRCLatHegesippus V 25 p. 334. Zonaras I p. 535. Exc. Peiresc.

1 *καὶ* — 18 *τροφήν* om. Exc i. marg. *λη'* C 2 *ταύταις*] *αὐταῖς* PAM *μανναῖος* MLVRC *mannius* ut uid. Lat *mannus* aut *manneus* Heg *Λαζάρου*] *eleazari* Lat 3 *ἐκκεκομίσθαι*] *ἐκκομίσθαι* L 4 *καὶ ὀκτακοσίοις* MV *ἀφ'* i. ras. 3 litt. A 5 *αὐτῆς* C *παρεστρατοπεδεύσατο*] *παρεστρατοπεδεύσατο τῖτος* M *τεσσαρισκαιδεκάτη* C *τεσσαρεσκαιδεκάτης* Destinon Xanthici 14. dies est 1. Mai, Panemi numenia dies est 20. Iulii (XIII k. Aug.) anni Iuliani (70 p. Chr.) *νεομηνίας* PAMLVR *δὲ* VR *ἦν*] *est* Lat *ἀπόρων*] *immensa* Lat, unde *ἄπειρον* Hudson *ἄπορον* Holwerda 8 *δ'*] *δὲ* LVR *enim* Lat 9 *προσκομίσαντας* C *ἄστεως* PC *τοῦτο* L *διαδρά**** πολλοὶ* P 10 *τὰς* om. PA *ἀπήγγελον* LC 11 *πυλῶν* L *ἀνεξερεύνητον*] PAMZon *ἀνεξέρευτον* LVRC 12 *δὲ* VR *μηκέτι* — 13 *ἐκφέρειν*] *cum autem pauperes ferendis non sufficerent* Lat 13 *ἐκφέρειν*] PAMLVCLips ··*φέρειν* R *ἔλεγον* om. PLat *συσσωρεύοντες* A *συνσωρεύοντας* VR 14 *ἀποκλείειν*] *κλείειν* L *conclusa* Lat *μέτρον*] *μέδιμνον* Zon 15 *δὲ* VRC *ὡς οὐδὲ*] om. R *ὡσ δὲ* C¹ *ἔθ'*] *ἔτι* VR *οὐχ'* C *τε* MVRC 16 *προσελθεῖν* VR 17 *ἐραννῶντας* V¹R¹ 18 *σκύβαλλα* VR *σκυβα λα* C *μηδὲ* VRC *τότε* om. Lat 20 *προσελθεῖν* VR *πεπείρωντο* RC¹

Subscriptiones: desunt PALC *λόγος ε̄* M *φλαυΐου ἰωσήπου περὶ ἁλώσεως λόγος ε̄* V *τέλος φλαυίου ἰωσήπου περὶ αλώσεως λόγος ε̄* R *τέλος τοῦ ε' λογου ἁλώσεως ἰωσηπου* Exc *fl. iosippi liber sextus explicit* Lat

VI.

Φλαυίου Ἰωσήπου ἱστορία Ἰουδαϊκοῦ πολέμου πρὸς Ῥωμαίους βιβλίον ς'.

I. 1. *Τὰ μὲν οὖν τῶν Ἱεροσολύμων πάθη προύκοπτεν καθ'* 1
ἡμέραν ἐπὶ τὸ χεῖρον τῶν τε στασιαστῶν μᾶλλον παροξυνομένων
ἐν ταῖς συμφοραῖς καὶ τοῦ λιμοῦ μετὰ τὸν δῆμον ἤδη κἀκείνους
νεμομένου. τό γε μὴν πλῆθος τῶν σεσωρευμένων ἀνὰ τὴν πόλιν 2
πτωμάτων ὄψει τε φρικῶδες ἦν καὶ λοιμώδη προσέβαλλεν ὀσμὴν
πρός τε τὰς ἐκδρομὰς ἐμπόδιον τοῖς μαχομένοις· ὥσπερ γὰρ διὰ
παρατάξεως φόνῳ μυρίῳ γεγυμνασμένης χωροῦντας ἔδει τὰ σώματα
πατεῖν. οἱ δ' ἐπιβαίνοντες οὔτ' ἔφριττον οὔτ' ἠλέουν οὔτε κλη- 3
δόνα κακὴν σφῶν αὐτῶν ὑπελάμβανον τὴν εἰς τοὺς κατοιχομένους
ὕβριν. πεφυρμένοι δ' ὁμοφύλῳ φόνῳ τὰς δεξιὰς ἐπὶ τὸν πρὸς τοὺς 4
ἀλλοφύλους πόλεμον ἐξέθεον, ὀνειδίζοντες, ἔμοιγε δοκεῖν, τὸ θεῖον
εἰς βραδυτῆτα τῆς ἐπ' αὐτῶν κολάσεως· οὐ γὰρ ἐλπίδι νίκης ὁ
πόλεμος, ἤδη δὲ ἀπογνώσει σωτηρίας ἐθρασύνετο. Ῥωμαῖοι δὲ 5

PAMLVRCLatSyrExcPeiresc. Hegesippus V 25 p. 334.

Tituli: *φλαυίου ἰωσήπου περὶ ἁλώσεως ἰουδαϊκῆς ἱστορίας λόγος ξ* P *φλαυίου ἰωσήπου ἰουδαϊκῆς ἱστορίας περὶ ἁλώσεως βιβλίον ξ* A *φλαυίου ἰωσήπου ἑβραίου ἰουδαϊκῆς ἱστορίας περὶ ἁλώσεως λόγος ἕκτος* M *τοῦ αὐτοῦ βιβλίον ς'* L *ἰωσήπου περὶ ἁλωσεως λόγος ξ (ἕκτος* R) VR *κεφάλαια τῆς ξ ἰουδαϊκῆς ἱστωρίας* et post argumenta *φλαουίου ἰωσήπου περὶ ἁλώσεως λόγος ξ* C *incipit liber VII* Lat Liber sextus extat Syriace, cuius partem priorem (§ 1—176) contuli, reliqua passim inspexi *τὰ* incip. Exc *οὖν* om. A *τῶν Ἱεροσολυμιτῶν* Syr 2 *τε*] LLatExc et ut uid. Syr, om. PAMVRC 3 *ἐν* om. LLatExc *ἐν ταῖς συμφοραῖς*] *ἐπὶ τὸ χεῖρον* C 4 *νεμομένους* C 5 *λοιμώδει* L *προσέβαλεν* L *emittebat* Lat 6 *τε*] *δὲ* LExc 7 *γεγυμνασμένης*] MVR et ut uid. Lat *γεγυμνασμένους* PALC 8 *δὲ* VRC *ἐπιβάντες* LExc *οὔτε* VRC *οὔτε* VRC 9 *κατοιχομένους* C 10 *πεφυρμένω* LC *δὲ* VR *τοὺς* om. P 11 *δοκεῖ* MVRC 12 *βραδύτητα* R *ἐπ' αὐτῶν*] *sui* Lat *αὐτῶν*] *αὐτοῖς* MVRC *αὐτοὺς* LExc *ἐλπίδι* — 13 *ἀπογνώσει*] PAMLVCLipsLatExcSyr, om. R *ὁ πόλεμος*] *maior pars eorum* Lat 13 *ἤδη δὲ*] *ἦν ἀλλ'* M *ἤδη δ'* LExc *ἀπόγνωσις* LExc *ἐθρασύνετο*] finiunt Exc

καίτοι πολλὰ περὶ τὴν τῆς ὕλης συγκομιδὴν ταλαιπωρούμενοι τὰ
χώματα διήγειραν μιᾷ καὶ εἴκοσιν ἡμέραις, κείραντες, ὡς προείρηται,
τὴν περὶ τὸ ἄστυ χώραν ἐπ᾽ ἐνενήκοντα σταδίους ἐν κύκλῳ πᾶσαν.
6 ἦν δ᾽ ἐλεεινὴ καὶ τῆς γῆς ἡ θέα· τὰ γὰρ πάλαι δένδρεσι καὶ παρα-
δείσοις κεκοσμημένα τότε πανταχόθεν ἠρήμωτο καὶ περικέκοπτο τὴν
7 ὕλην, οὐδείς τε τὴν πάλαι Ἰουδαίαν καὶ τὰ περικαλλῆ προάστεια
τῆς πόλεως ἑωρακὼς ἀλλόφυλος, ἔπειτα τὴν τότε βλέπων ἐρημίαν
οὐκ ὠλοφύρατο καὶ κατεστέναξεν τὴν μεταβολὴν παρ᾽ ὅσον γένοιτο·
8 πάντα γὰρ ἐλυμήνατο τὰ σημεῖα τοῦ κάλλους ὁ πόλεμος, καὶ οὐκ
ἄν τις ἐξαπίνης ἐπιστὰς τῶν προεγνωκότων ἐγνώρισε τὸν τόπον,
ἀλλὰ παρὼν ἐζήτει τὴν πόλιν.

9 2. Ῥωμαίοις δὲ καὶ Ἰουδαίοις τὸ τέλος τῶν χωμάτων ἴσην ἐνε-
10 ποίει δέους ἀρχήν· οἱ μὲν γάρ, εἰ μὴ καὶ ταῦτα καύσειαν, ἀλώσε-
σθαι τὴν πόλιν προσεδόκων, Ῥωμαῖοι δ᾽ οὐκ [ἂν] ἔθ᾽ αἱρήσειν κά-
11 κείνων διαφθαρέντων. ὕλης τε γὰρ ἦν ἀπορία, καὶ τῶν μὲν πόνων
ἤδη τὸ σῶμα, τῶν δὲ ἐπαλλήλων πταισμάτων αἱ ψυχαὶ τοῖς στρα-
12 τιώταις ἐλείποντο. τάς γε μὴν κατὰ τὴν πόλιν συμφορὰς Ῥω-
μαίοις πλέον εἶναι συνέβαινε πρὸς ἀθυμίας ἢ τοῖς ἐν αὐτῇ· παρὰ
γὰρ τὰ τηλικαῦτα πάθη τοῖς μαχομένοις οὐδὲν ἐχρῶντο μαλακω-
13 τέροις, ἀλλ᾽ ἐθραύοντο πάντοτε τὰς ἐλπίδας, τῶν μὲν χωμάτων
ταῖς ἐπιβουλαῖς, τῶν δ᾽ ὀργάνων στερρότητι τοῦ τείχους, τῆς δὲ
κατὰ χεῖρα μάχης ταῖς τῶν συμπλεκομένων τόλμαις πλεονεκτούμενοι,
τὸ δὲ μέγιστον, στάσεώς τε καὶ λιμοῦ καὶ πολέμου καὶ τοσούτων
κακῶν εἱρίσκοντες ἐπάνω τὸ παράστημα τῆς ψυχῆς Ἰουδαίους ἔχον-
14 τας. ὑπελάμβανόν τε τῶν ἀνδρῶν ἀμάχους μὲν τὰς ὁρμάς, ἀνάλωτον

PAMLVRC Lat Syr Hegesippus V 25 p. 334.

2 *μιᾷ καὶ εἴκοσιν*] *εικοσιμίαν* L *ἡμέραν* L 3 *ἐπι* L *ἐν* om. L fort. recte 4 *δ᾽*] *δὲ* A *δὲ πᾶσα* VRC *καὶ* om. Lat *ἡ*] *πᾶσα ἡ* M *δένδρασι* M 5 *περικέκοπτω* A *περιεκέκοπτο* LC 6 *ὕλιν* C 7 *ἔπειτα τὴν τότε βλέπων ἐρημίαν ἀλλόφυλος* tr. L 8 *ὠλοφύρετο* L *ὀλοφύρατο* R^1C^1 10 *ἐπιστὰς*] *ἐπιτὰσ* R^1 *προεγνωκότων*] *εῦ προεγνωκότων* L *ἐγνώρισε* C 11 *ἐξήτει* R 12 i. marg. *β᾽* C *ἴσην* om. VR *ἐνεποίει*] *μὲν ἐποίει* L 13 *ἀλώσεσθαι*, *λ* i. ras. A 14 *δὲ* LVRC *οὐκ — αἱρήσειν*] *nec uoluntatem sibi fore* Lat *ἂν* eicit Herwerden *ἔτι* VR 15 *τῶν*] *ὑπὸ τῶν* Herwerden 16 *τὸ σῶμα*] *τὰ σώματα* M *corpora* Lat *δ᾽* AL *πταισμάτων* om. L 17 *γε*] *τε* L 18 *πλεῖον* L 20 *πάντοτε* om. Lat *μὲν* om. L 21 *ἐπιβολαῖσ* L *δὲ* AMLVRC *στερρότητι*, *ι* i. ras. ex *α* corr. uid. V 22 *χείραν* P 23 *καὶ πολέμου* om. VR *τοσοῦτον* C 24 *τῆσ* * * *ῆσ* * * * * * *ουσ ἔχοντασ* P 25 *τε* om. Lat et Syr *μὲν* om. L

δὲ τὴν ἐπὶ συμφοραῖς εὐθυμίαν εἶναι· τί γὰρ ἂν μὴ ὑποστῆναι δεξιᾷ τύχῃ χρωμένους τοὺς ὑπὸ κακῶν πρὸς ἀλκὴν τρεπομένους; οἱ μὲν οὖν ἐρρωμενεστέρας διὰ ταῦτα τῶν χωμάτων ἐποιοῦντο τὰς φυλακάς.

3. Οἱ δὲ περὶ τὸν Ἰωάννην κατὰ τὴν Ἀντωνίαν ἅμα καὶ πρὸς τὸ μέλλον, εἰ καταρριφθείη τὸ τεῖχος, ἠσφαλίζοντο καὶ πρὶν ἐπιστῆναι τοὺς κριοὺς ἐτέθεντο τοῖς ἔργοις. οὐ μὴν ἐκράτησάν γε τῆς ἐπιχειρήσεως, ἀλλὰ προελθόντες μετὰ λαμπάδων πρὶν ἐγγίσαι τοῖς χώμασι ψυχρότεροι τῆς ἐλπίδος ὑπέστρεψαν. πρῶτον μὲν γὰρ οὐδ' ὁμονοεῖν ἡ σκέψις αὐτῶν ἐᾷκει κατὰ μέρος ἐκπηδώντων κἀκ διαλειμμάτων καὶ μεμελλημένως μετὰ δέους καθόλου τε ἐλπεῖν οὐκ Ἰουδαϊκῶς· τὰ γὰρ ἴδια τοῦ ἔθνους ὑστέρητο ἅμα ἡ τόλμα καὶ ὁρμὴ καὶ δρόμος ὁμοῦ πάντων καὶ τὸ μηδὲ πταίοντας ἀναστρέφειν. ἀτονώτεροι δ' ἑαυτῶν προελθόντες καὶ τοὺς Ῥωμαίους εὗρον ἐρρωμενέστερον τοῦ συνήθους παρατεταγμένους· τοῖς μέν γε σώμασι καὶ ταῖς πανοπλίαις οὕτως ἐφράξαντο τὰ χώματα πάντοθεν ὡς τῷ πυρὶ μηδαμόθεν καταλιπεῖν παράδυσιν, τὴν δὲ ψυχὴν ἐτόνωσαν ἕκαστος μὴ μετακινηθῆναι τῆς τάξεως πρὸ θανάτου. πρὸς γὰρ τῷ πάσας αὐτῶν ὑποκόπτεσθαι τὰς ἐλπίδας, εἰ κἀκεῖνα καταφλεγείη τὰ ἔργα, δεινὴ τοὺς στρατιώτας εἶχεν αἰδώς, εἰ πάντα κρατήσειαν πανουργίᾳ μὲν ἀρετῆς, ἀτόνοια δ' ὅπλων, πλῆθος δ' ἐμπειρίας, Ἰουδαῖοι δὲ Ῥωμαίων. ἅμα δὲ ταφετήρια συνήργει τῶν προπηδώντων ἐφικνού-

---

PAMLVRC Lat Syr Hegesippus V 26 p. 335. Suidas s. *ψυχρὸς ἄνθρωπος*.

1 *τί*] *τῇ* P *τί — 2 χρωμένους*] *nam quis eos in rebus secundis sustineat* Lat *δεξιᾷ* C¹ *ἀλκὴν*] *ἀλλήλους* C 2 *οὖν*] *οὖν πρὸς* L *ἐποιοῦντο τὰς φυλακὰς τῶν χωμάτων* tr. L 4 *ἅμα* om. P *καταριφθείη* C¹ *κατερειφθείη* L. Dindorf 7 *ἀλλὰ*] *ἀλλὰ καὶ* L *προελθόντες*] cd. pr. *προσελθόντες* codd. *aggressi* Lat *processere* Heg 8 *ψυχρότεροι — ὑπέστρεψαν* habet Suidas *πρῶτον*] *πρότερον* C 9 *οὐδὲ* LVRC *ἐᾷκει*] *ἐδόκει* VCLips *ἐκει* R¹ *ἐκεὶ* R² *ἐκπηδόντων* PA¹ *καὶ ἐκ* VR 10 *διαλιμμάτων* P *διαλημμάτων* A *διαλειμάτων* L *μεμελλημένως*] *διαμεμελημένων* L *τ'* C *οὐκ*] *οὐχ* PA *οὐχὶ* M, om. Syr 11 *τὰ* ex *τὸ* corr. P *ὑστέρητο*] *ὑστέρει τὸ* PA *ὑστερεῖτο* L *ὑστέρει* Destinon *ἅμα* damnat Destinon *ἡ* om. Richter *τόλμη* L *καὶ ἡ ὁρμὴ* PL 12 *δρόμος*] *δρόσος* L *μηδὲ πταίοντας*] *sine offensione* Lat et similiter Syr *παίοντας* L 13 *ἀνώτεροι* L *δ' ἑαυτῶν*] *δὲ* A *δὲ αὐτῶν* P *δ' αὐτῶν* L *δὲ ἑαυτῶν* MVRC 15 *χώματα*] *σώματα* PL *πάντοθεν*] *πανταχόθεν* P *καὶ πάντοθεν* R *τῷ*] *τὸ* A 16 *καταλειπεῖν* ex corr. P *παρείσδυσιν* L fort. recte *ἐτόνωσεν* ML 17 *τῆσ παρατάξεως* ML *πρὸ* · V 18 *ὑποκόπτεσθαι*] *κόπτεσθαι* L *εἰ καὶ κακεῖνα* (*καὶ* expunctum uid.) L *καταφλέγειν* L 19 *κρατήσειν* L 20 *ἀπονοία* PLV *δὲ* VRC *δὲ* VRC 21 *ἅμα δὲ*] *ἅμα δὲ καὶ* L *ἅμα δὲ ἔτι καὶ* MVR *ἅμα δέ τι καὶ* C fort. recte *simul autem* Lat *τὰ ἀφετήρια* MLVRC *συνείργει* L *ἐνήργει* C *προπηδόντων* PA

μενα, καὶ πεσών τις τῷ μεθ' αὑτὸν ἐμπόδιον ἦν, ὅ τε κίνδυνος
22 τοῦ πρόσω χωρεῖν ἑτοίει μαλακωτέρους. τῶν δ' ἐνδοτέρω βέλους
ὑποδραμόντων οἱ μὲν πρὶν εἰς χεῖρας ἐλθεῖν τὴν εὐταξίαν καὶ τὸ
πύκνωμα τῶν πολεμίων καταπλαγέντες, οἱ δὲ νυττόμενοι τοῖς ξυ-
στοῖς ἐταλινδρόμουν· καὶ τέλος ἀλλήλους κακίζοντες εἰς δειλίαν
ἀνεχώρουν ἄπρακτοι. νουμηνία Πανέμου μηνὸς ἡ ἐπιχείρησις ἦν.
23 ἀναχωρησάντων δὲ τῶν Ἰουδαίων προσῆγον οἱ Ῥωμαῖοι τὰς ἑλε-
πόλεις, βαλλόμενοι πέτραις τε ἀπὸ τῆς Ἀντωνίας καὶ πυρὶ καὶ
σιδήρῳ καὶ παντὶ τῷ χορηγουμένῳ Ἰουδαίοις ὑπὸ τῆς ἀνάγκης βέλει·
24 καίπερ γὰρ πολὺ τῷ τείχει πεποιθότες καὶ τῶν ὀργάνων κατα-
25 φρονοῦντες ὅμως ἐκώλυον τοὺς Ῥωμαίους προσάγειν. οἱ δὲ τὴν
σπουδὴν τῶν Ἰουδαίων τοῦ μὴ πληγῆναι τὴν Ἀντωνίαν ὑπολαμ-
βάνοντες γίνεσθαι δι' ἀσθένειαν τοῦ τείχους καὶ σαθροὺς ἐλπί-
26 σαντες εἶναι τοὺς θεμελίους ἀντεφιλονείκουν. οὐ μὴν ὑπήκουε τὸ
τυπτόμενον, ἀλλ' οἱ μὲν συνεχῶς βαλλόμενοι καὶ πρὸς μηδὲν τῶν
καθύπερθεν κινδύνων ἐνδιδόντες ἐνεργοὺς παρεῖχον τὰς ἑλεπόλεις·
27 ὡς δ' ἦσαν ἐλάττους καὶ περιεθραύοντο ταῖς πέτραις, ἕτεροι τοὺς
θυρεοὺς ὀροφώσαντες ὑπὲρ τῶν σωμάτων χερσὶ καὶ μοχλοῖς ὑπώ-
ρυττον τοὺς θεμελίους, καὶ τέσσαράς γε λίθους προσκαρτερήσαντες
28 ἐξέσεισαν. ἀνέπαυσε δὲ νὺξ ἑκατέρους, κἂν ταύτῃ τὸ τεῖχος ὑπὸ
τῶν κριῶν σεσαλευμένον, καὶ καθ' ὃ τοῖς προτέροις ἐπιβουλεύων
χώμασιν ὁ Ἰωάννης ὑπώρυξεν ἐνδούσης τῆς διώρυχος, ἐξαπίνης
κατερείπεται.
29 4. Τούτου συμβάντος παραδόξως ἑκατέροις διετέθη τὰ φρονή-

PAMLVRC LatSyr Hegesippus V 26 p. 335. Zonaras I p. 536.

1 μεθ' ἑαυτὸν MVRC ὅ τε — μαλακωτέρους] *et periculum antecedendi molliores eos efficiebat* Lat ut uid. 2 τοῦ] τοῦ μὴ MVRC πρόσω] προτέρω C πρόσω χωρεῖν] προσχωρεῖν L χωρεῖν — ἐνδοτέρω om. C δὲ VR 3 χεῖρας — 4 πύκνωμα om. C ἐλ ******** ταξίαν P 5 ἀλλήλους, ους ex ον corr. uid. A κακίζοντες] κατακίζοντες L 6 Πανέμου] *Tamus* Syr numenia Panemi dies est 20. Iulii (XIII k. Aug.) i. marg. γ' C 7 τῶν om. L 8 πέτραι V¹ 9 καὶ παντὶ] καταπαντὶ L Ἰουδαίοις om. M 10 τῷ ὀργάνῳ R¹ ὀργάνων καταφρονοῦντες] *insidias contemnentes* uertit Syr 11 οἱ δὲ] οἱ δὲ τῶν ῥωμαίων πρὸσ PA 16 καθύπερθε ALVR¹ 17 δὲ VR 18 ὀροφώσαντες (ρο ex corr. L) AL ὑπόρυττον P 19 τέσσαρες P τέσσαρές (ασ) A 20 ἀνέπαυσε] ἔπαυσε Zon καὶ ἐν VRC 21 καὶ om. Lat ὃ·, eras. uid. σ L 22 τῆς] δὲ τῆσ P διόρυχος P διώρυγος L 23 κατερείπεται] LZon καταρίπτεται P καταρρίπτεται M κατερίπεται A κατέρριπται VRC 24 διετέθη] διηγέρθη MVRC τὰ φρονήματα] τὸ φρόνημα L

ματα· Ἰουδαίους μὲν γάρ, οὓς ἀθυμεῖν εἰκὸς ἦν, τῷ μὴ παρ' ἐλπίδα 30
γενέσθαι τὸ πτῶμα καὶ προησφαλίσθαι πρὸς αὐτὸ θαρρεῖν ὡς
μενούσης συνέβαινε τῆς Ἀντωνίας· Ῥωμαίων δέ γε τὴν παρ' ἐλπίδα 31
χαρὰν ἐπὶ τῷ καταρριφθέντι ταχέως ἔσβεσεν ὄψις ἑτέρου τείχους,
ὅπερ ἔνδοθεν οἱ περὶ τὸν Ἰωάννην ἀντῳκοδομήκεσαν. εὐμαρεστέρα 32
γε μὴν τῆς πρότερον ἡ προσβολὴ κατεφαίνετο· τό τε γὰρ ἀναβῆναι
διὰ τῶν καταρριφθέντων ῥᾷον ἐδόκει, καὶ τὸ τεῖχος ἀσθενέστερόν
τε πολλῷ τῆς Ἀντωνίας καὶ ταχέως τῷ πρόσκαιρον εἶναι λύειν
ὑπελάμβανον. οὐ μὴν ἑτοίμα τις ἀναβῆναι· προὔπτος γὰρ τοῖς
ἀρξαμένοις ἦν ἀπώλεια.

5. Νομίζων δὲ ὁ Τίτος ἐγείρεσθαι μάλιστα τὰς τῶν πολε- 33
μούντων προθυμίας ἐλπίδι καὶ λόγῳ, τάς τε προτροπὰς καὶ τὰς
ὑποσχέσεις πολλάκις μὲν λήθην ἐνεργάζεσθαι τῶν κινδύνων, ἔστι
δ' ὅτε καὶ θανάτου καταφρόνησιν, συναγαγὼν ἐπὶ ταὐτὸ τοὺς ἀλ-
κίμους ἐπειρᾶτο τῶν ἀνδρῶν, „ὦ συστρατιῶται, λέγων, τὸ μὲν 34
παρακελεύειν ἐπὶ τὰ μὴ φέροντα κίνδυνον αὐτόθεν τοῖς παρακε-
λευομένοις ἀκλεές, ἀμέλει δὲ καὶ τῷ παρακελεύοντι φέρει κατάγνωσιν
ἀνανδρίας. δεῖ δέ, οἶμαι, προτροπῆς εἰς μόνα τὰ σφαλερὰ τῶν 35
πραγμάτων, ὡς ἐκεῖνά γε καθ' αὑτοὺς πράττειν ἄξιον. ὥστ' ἔγωγε 36
τὸ μὲν ὑπάρχειν χαλεπὴν τὴν ἐπὶ τὸ τεῖχος ἄνοδον αὐτὸς ὑμῖν προ-

---

PAMLVRC Lat Syr Hegesippus V 26 p. 336. Zonaras I p. 536.

1 Ἰουδαίους — 3 Ἀντωνίας] *nam iudaei quidem, quibus idem memoria* (*memori* cod. Berol.) *esse oportebat, quia ruina praeter spem non acciderat et aduersus eam praecautum fuerat, tamquam mansura esset antonia confidebant* Lat ut nunc est οὓς ἀθυμεῖν] ἀθυμεῖν μὲν L τῷ] τὸ PMC μὴ om. MVRC 2 καὶ] καὶ μὴ PAMVRC θαρεῖν C 3 δέ γε] δὲ L 4 τῷ s. A *κατερειφθέντι* mauult L. Dindorf 5 ἀντωκοδό ** σαν P ἀντωκοδόμησαν L ἀνοικοδομεῖν Zon εὐμαρέστερα C 6 γε μὴν] μέν γε VRC *uerum tamen* Lat τῆς πρότερον] *prior* Lat τῆς] τ * * P τό τε] Bekker τότε uulgo *tunc* Lat γὰρ] γὰρ ἂν L ἀναβῆναι — 9 ὑπελάμβανον] *et ascensum per ruinas promptiorem et antoniam satis esse infirmiorem. murus quoque quia recens erat cito destrui posse arbitrabatur* ut uid. Lat 7 κατερειφθέντων mauult L. Dindorf ῥᾷον] ῥάδιον L 8 τῷ] τὸ PA¹ λύειν] λύσιν L λύσειν Bekker; expectatur adiectiuum aut participium aliquod 11 δ' C 13 πολλάκι VR¹C ἐνεργάζεσθαι] ἐργάζεσθαι RC 14 δὲ LVR καταφρονήσειν C τὸ αὐτὸ PL 16 παρακαλεῖν L *hortari* Lat τα μὴ φέροντα] ταμφέροντα R¹ τὰ συμφέροντα R² παρακαλουμένοις L *qui rogantur* Lat 17 ἀκλεές] ἀκλεεῖ V ἀκλεεῖ R ἀκλεῆ C τῷ] τὸ P παρακαλοῦντι L *qui — rogat* Lat 18 ἀνανδρείασ PAV¹R δ' L 19 ὡς] εἰσ V ἑαυτοὺσ L αὐτοὺσ RC ἄξιον ὄν Destinon ὥστε LVRC 20 το] καὶ τὸ L αὐτὸς] αὐτοῖς Bekker

τίθημι· τὸ δ' ὅτι μάλιστα προσήκει μάχεσθαι τοῖς δυσκόλοις τοὺς
ἀρετῆς ἐφιεμένους καὶ ὅτι καλὸν ἐν εὐκλείᾳ τελευτὴ καὶ ὡς οὐκ
37 ἄκαρπον ἔσται τοῖς καταρξαμένοις τὸ γενναῖον, διέξειμι. πρῶτον
μὲν οὖν ὑμῶν γενέσθω προτροπὴ τό τινας ἴσως ἀποτρέπον, ἡ Ἰου-
38 δαίων μακροθυμία καὶ τὸ καρτερικὸν ἐν οἷς κακοπαθοῦσιν· αἰσχρὸν
γὰρ Ῥωμαίους τε ὄντας καὶ στρατιώτας ἐμούς, καὶ διδακτὸν μὲν ἐν
εἰρήνῃ τὸ πολεμεῖν, ἔθιμον δὲ ἐν πολέμῳ τὸ κρατεῖν ἔχοντας, ἡττᾶ-
σθαι κατὰ χεῖρα Ἰουδαίων ἢ κατὰ ψυχήν, καὶ ταῦτα πρὸς τῷ τέλει
39 τῆς νίκης καὶ συνεργουμένους ὑπὸ τοῦ θεοῦ. τὰ γὰρ ἡμέτερα πται-
σματα τῆς Ἰουδαίων ἐστὶν ἀπονοίας, τὰ δ' ἐκείνων πάθη ταῖς τε
40 ὑμετέραις ἀρεταῖς καὶ ταῖς τοῦ θεοῦ συνεργίαις αὔξεται· στάσις
γὰρ καὶ λιμὸς καὶ πολιορκία καὶ δίχα μηχανημάτων πίπτοντα τείχη
41 τί ἂν ἄλλ' ἢ θεοῦ μὲν εἴη μῆνις ἐκείνοις, βοήθεια δὲ ἡμετέρα; τὸ
τοίνυν μὴ μόνον ἐλαττοῦσθαι χειρόνων, ἀλλὰ καὶ τὴν θείαν συμ-
42 μαχίαν προδιδόναι πρὸς ἡμῶν οὐκ ἂν εἴη. πῶς δ' οὐκ αἰσχρὸν
Ἰουδαίους μέν, οἷς οὐ πολλὴν αἰσχύνην φέρει τὸ λείπεσθαι μαθοῦσι
δουλεύειν, ὑπὲρ τοῦ μηκέτι τοῦτο πάσχειν θανάτου καταφρονεῖν
καὶ πολλάκις εἰς μέσους ἡμᾶς ἐκτρέχειν, οὐκ ἐλπίδι τοῦ κρατήσειν
43 ἀλλὰ διὰ ψιλὴν ἐπίδειξιν ἀνδρείας· ὑμᾶς δὲ τοὺς γῆς ὀλίγου δεῖν
ἁπάσης καὶ θαλάσσης κρατοῦντας, οἷς καὶ τὸ μὴ νικᾶν ὄνειδος,
44 μηδ' ἅπαξ εἰς τοὺς πολεμίους παραβάλλεσθαι, περιμένειν δὲ τὸν
λιμὸν κατ' αὐτῶν καὶ τὴν τύχην ἀργοὺς καθεζομένους μετὰ τοιούτων
ὅπλων, καὶ ταῦτα δι' ὀλίγου τοῦ παραβόλου τὸ πᾶν κατορθῶσαι
45 δυναμένους; ἀναβάντες γοῦν ἐπὶ τὴν Ἀντωνίαν ἔχομεν τὴν πόλιν·
καὶ γὰρ ἂν γίνηταί τις ἔτι πρὸς τοὺς ἔνδον, ὅπερ οὐκ οἶμαι, μάχη.

PAMLVRC Lat Syr Hegesippus V 27 p. 336 sq.

1 δὲ VR *δυσκόλοις, οισ* i. ras. minore A 2 ἐν] ἐπ' Destinon *οὐκ ἄκαρπον*] *κἄκαρπον* M 4 μὲν οὖν] om. L *quidem* Lat *ὑμῶν*] *ὑμᾶσ* VR *ὑμῖν* primus ut uid. Hudson *ἀποτρέπων* P ἡ] οἱ R 6 γὰρ] μὲν οὖν M 7 δ' LC τὸ] τῷ A 8 τῷ om. LVRC 9 γὰρ] μὲν γὰρ L fort. recte 10 *ἰουδαίων, ν* i. ras. A δὲ AMVRC *ἐκείνων* ***** *αῖσ* P *τῆς ὑμετέρας ἀρετῆς* Destinon *τε* om. P probante Destinone 11 *συνεργείαισ* V¹R 12 *καὶ* (ante *δίχα*) om. L 13 ἀλλ' ἢ] ἀλλὴ PA ἀλλ' ᾗ (ἡ R) RC *μὲν εἴη μῆνις*] *μένει ἡ μῆνισ* V¹R *μὲν ἡ μῆνισ* ex corr. m. 3 V *μηνισ μένει* C δ' LC 15 *οὐκ ἂν* ex *κἂν* corr. A δὲ LVR 16 *ἰουδαίοισ* PAMVRC *Ἰουδαίοις μὲν εἰς πολλὴν αἰσχύνην φέρειν* Destinon *οὐ*] om. PA, ante *φέρει* tr. MVRC 17 *ὑπέρ τε τοῦ* Destinon 18 *ἐλπίδι*] *ἐπελπίδι* A *ἐπ' ἐλπίδι* M 19 *διὰ ψιλὴν*] *δαψιλὴν* L *ἀνδρίασ* V² *ἡμᾶσ* M *γῆν* C 20 *πάσησ* L *θαλάττησ* L 21 *μηδὲ* VRC *παραβαλέσθαι* P *τὸ περιμένειν* L 22 *κατ' αὐτῶν*] *καυτῶν* R 24 *ἔχομεν*] *habebimus* Lat 25 *οἶομαι* LVR *μάχη*] *διαμάχη* L

τό γε κατὰ κορυφὴν εἶναι καὶ ταῖς ἀναπνοαῖς ἐπικαθῆσθαι τῶν πολεμίων ταχέως τὴν ὁλοσχερῆ νίκην ἐγγυᾶται. καὶ ἔγωγε τὸ μὲν 46
ὑμνεῖν ἄρτι τὴν ἐν πολέμῳ τελευτὴν καὶ τὴν ἐπὶ τοῖς ἀρειμανίοις πεσοῦσιν ἀθανασίαν παραλιπὼν ἐπαρασαίμην ἂν τοῖς ἄλλως ἔχουσι τὸν κατ' εἰρήνην ἐκ νόσου θάνατον, οἷς μετὰ τοῦ σώματος καὶ ἡ ψυχὴ τάφῳ κατακρίνεται. τίς γὰρ οὐκ οἶδε τῶν ἀγαθῶν ἀνδρῶν 47
ὅτι τὰς μὲν ἐν παρατάξει ψυχὰς σιδήρῳ τῶν σαρκῶν ἀπολυθείσας τὸ καθαρώτατον στοιχεῖον αἰθὴρ ξενοδοχῶν ἄστροις ἐγκαθιδρύει, δαίμονες δ' ἀγαθοὶ καὶ ἥρωες εὐμενεῖς ἰδίοις ἐγγόνοις ἐμφανίζονται, τὰς δὲ ἐν νοσοῦσι τοῖς σώμασι συντακείσας, κἂν τὰ μάλιστα κηλίδων 48
ἢ μιασμάτων ὧσι καθαραί, νὺξ ὑπόγειος ἀφανίζει καὶ λήθη βαθεῖα δέχεται, λαμβανούσας ἅμα τοῦ τε βίου καὶ τῶν σωμάτων ἔτι δὲ τῆς μνήμης περιγραφήν; εἰ δὲ κέκλωσται μὲν ἀνθρώποις ἀναγκαία 49
τελευτή, κουφότερον δὲ εἰς αὐτὴν νόσου πάσης σίδηρος ὑπηρέτης, πῶς οὐκ ἀγεννὲς μὴ διδόναι ταῖς χρείαις ὃ τῷ χρεὼν ἀποδώσομεν; καὶ ταῦτα μὲν ὡς οὐ δυναμένων σωθῆναι τῶν ἐπιχειρησόντων διεξ- 50
ῆλθον· ἔνεστι δὲ σώζεσθαι τοῖς ἀνδριζομένοις κἀκ τῶν σφαλερωτάτων. πρῶτον μὲν γὰρ τὸ καταρριφθὲν εὐεπίβατον, ἔπειτα πᾶν 51
τὸ οἰκοδομηθὲν εὐδιάλυτον, ὑμεῖς τε πλείοις θαρσήσαντες ἐπὶ τὴν πρᾶξιν ἀλλήλοις προτροπὴ καὶ βοήθεια γίνεσθε, καὶ τοῖς πολεμίοις τὸ ὑμέτερον παράστημα ταχέως κλάσει τὰ φρονήματα. καὶ τάχα 52
ἂν ὑμῖν ἀναίμακτον τὸ κατόρθωμα γένοιτο μόνον καταρξαμένοις· ἀναβαίνοντας μὲν γὰρ κωλύειν πειράσονται κατὰ τὸ εἰκός, λαθόντας δὲ καὶ βιασαμένους ἅπαξ οὐκ ἂν ὑποσταῖεν ἔτι, κἂν ὀλίγοι φθά- 53
σητε. τὸν δὲ καταρξάμενον αἰσχυνοίμην ἂν εἰ μὴ ποιήσαιμι ζη-

PAMLVRCLatSyrHegesippus V 27 p. 336.

1 γε] τε L ἀναπνοαῖσ, ἀνα ex ἄνω corr. uid. A 3 ἐν τῶι πολέμω L ἀριμανίοισ A 4 πεσοῦσι R παραλειπὼν ἐπαρασαίμην A παραλείπω ἐπαρασαίμην LVR¹ παραλείπω ἐπαρασαίμην δ' R²C 8 καθαρότατον P αἰθ·ὴρ A 9 δὲ LVR ἐκγόνοισ VRC 10 δ' L ἐν om. C νοσοῦσι C¹ τοῖ******σι συντακείσασ P 11 μιασμά]ωσι C ὑπόγειος] ὑπόπιοσ L 12 λαμβανούσας] MCLat λαμβάνουσά τε PAVR λαμβάνουσα δ' L 13 εἰ δὲ] ἤδη L 14 κουφότεροσ L δ' LC 15 ἀγενὲσ C χρείαις] ἀξίαισ L usui Lat ὃ τῷ] ὃ τὸ P ὦ τὸ LVR χρεὼν VR 16 ἐπιχειρησάντων AL 17 καὶ ἐκ VRC 18 πρῶτον — 21 φρονήματα u. 22 post καταρξαμένοις ponit Destinon 19 ἀντοικοδομηθὲν Destinon θαρρήσαντεσ L 20 γίνεσθαι AC¹ 21 ταχέως] AMLVRCLatSyr, om. P κλάσει L τάχ' A 22 ἂν om. L ὑμῖν] ἡμῖν AMLVRLat κατώρθωμα PA¹ καταρξομένοισ V 23 μὲν] LCLat, om. PAMVR λαθόντας] παρελθόντας Holwerda 24 καὶ] om. A *uel etiam* Lat, unde ἢ uel ἢ καὶ Destinon 25 ἂν om. PA ποιησαίμην L

λωτὸν ἐν ταῖς ἐπικαιρίαις, καὶ ὁ μὲν ζῶν ἄρξει τῶν νῦν ὁμοίων, μακαριστὰ δ' ἀκολουθήσει καὶ τοῖς πεσοῦσι τὰ ἀριστεῖα."

54 6. Τοιαῦτα τοῦ Τίτου διεξιόντος τὸ μὲν ἄλλο πλῆθος ἔδεισε τοῦ κινδύνου τὸ μέγεθος, τῶν δ' ἐν ταῖς σπείραις στρατευομένων Σαβῖνος τοὔνομα, γένος ἀπὸ Συρίας, ἀνὴρ καὶ κατὰ χεῖρα καὶ κατὰ
55 ψυχὴν ἄριστος ἐφάνη. καίτοι προϊδὼν ἄν τις αὐτὸν ἀπό γε τῆς σωματικῆς ἕξεως οὐδ' εἰκαῖον εἶναι στρατιώτην ἔδοξε· μέλας μὲν γὰρ ἦν τὴν χροιάν, ἰσχνός, τὴν σάρκα πεπιλημένος, ἀλλ' ἐνῴκει τις ἡρωικὴ ψυχὴ λεπτῷ σώματι καὶ πολὺ τῆς ἰδίας ἀλκῆς στενοτέρῳ.
56 πρῶτος γοῦν ἀναστὰς „ἐπιδίδωμί σοι, Καῖσαρ, ἔφη, προθύμως
57 ἐμαυτόν. πρῶτος ἀναβαίνω τὸ τεῖχος. καὶ εὔχομαι μέν μου τῇ τε ἰσχύι καὶ τῇ γνώμῃ τὴν σὴν ἀκολουθῆσαι τύχην, εἰ δὲ νεμεσηθείην τῆς ἐπιβολῆς, ἴσθι μή με πταίσαντα παρ' ἐλπίδας, ἀλλ' ὑπὲρ σοῦ
58 κρίσει τὸν θάνατον ἡρημένον." ταῦτα εἰπὼν καὶ τῇ μὲν ἀριστερᾷ χειρὶ τὸν θυρεὸν ὑπὲρ τῆς κεφαλῆς ἀνατείνας, τῇ δεξιᾷ δὲ τὸ ξίφος
59 σπασάμενος ἐχώρει πρὸς τὸ τεῖχος περὶ ὥραν μάλιστα τῆς ἡμέρας ἕκτην. εἵποντο δ' αὐτῷ καὶ τῶν ἄλλων ἕνδεκα μόνοι ζηλωταὶ τῆς
60 ἀνδρείας γενόμενοι· προῆγε δὲ πολὺ πάντων ὁ ἀνὴρ ὁρμῇ τινι δαιμονίῳ χρώμενος. οἱ φρουροὶ δὲ ἀπὸ τοῦ τείχους κατικόντιζόν τε αὐτοὺς καὶ βέλεσι πάντοθεν ἀτείροις ἔβαλλον καὶ πέτρας ἐξαισίους
61 κατεκύλιον, αἳ ἐκ τῶν μὲν ἕνδεκα παρέσυραν ἑνίους, ὁ δὲ Σαβῖνος ἁπάντων τοῖς ἀφιεμένοις καὶ καταχωννύμενος ὑπὸ τῶν βελῶν οὐ πρότερον ἐπέσχε τὴν ὁρμὴν ἢ γενέσθαι τε ἐπ' ἄκρῳ καὶ τρέψασθαι

PAMLVRC Lat Syr Hegesippus V 28 p. 340. Zonaras I p. 536. Suidas s. *πεπιλημένη*.

1 *ἐν* spurium uid. 2 *μακαριστὰ*] *μακάρια* VRC *δὲ* VR *ἀρίστια* VR 3 i. marg. *ε'* C *διεξελθόντος* L *ἔδησε* C 4 *δὲ* VR *σπείραις*] *σπείραισ τισ* LLat et ut uid. Zon 5 *καὶ* post *ἀνὴρ* om. PA 6 *τισ* ex *τι* corr. A *ἀπό* — 7 *ἔδοξε*] *quantum ex habitu corporis ne specie quidem militem esse credidisset* Lat *γε*] *τε* L, om. VR 7 *οὐδ' εἰκαῖον*] *οὐδὲ εἰκαῖον* L *οὐ δίκαιον* PAMVRC *despicabilem* Heg; *εἰκαῖον* etiam Syr legisse uid. *μέλας, τὸ σῶμα ἰσχνὸς* incip. Suidas *μὲν*] *γὲν* L 8 *χροίαν, οι* ex *ει* corr. uid. P *χροιὰν* M *χρόαν* LVRC et ex corr. A *ἐνῴκει*] *ἐν ὄκει* C 9 *σώματι* finit Suidas *στενοτέρῳ*] *γενναιοτέρω* PAML *γενναιοτέρα* VR *angustiore* Lat 10 *πρῶτος, σ* ex *ν* corr. A 11 *τὸ τεῖχος*] *τοῦ τείχους* L 12 *ἰσχύι* C *τύχην*] ex *ψυχὴν* corr. C *ψυχήν* VR *νεμεσσηθείην* L 13 *ἐπιβολῆς*] *ἐπιβουλῆσ* AR *γρ τοῦ ἐγχειρήματοσ* i. marg. L *ἴσθη* P *μή με*] *με μὴ* LC *πταίοντα* VR 14 *ταῦτ'* L 15 *προανατείνασ* LVRC *ἐπανατεινάμενος* Zon 16 *μάλιστα περὶ ὥραν* tr. PAMVRC 17 *δὲ* VR 18 *ἀνδρείας*] *ἀνδρίασ* V^2CZon *πολὺ* i. marg. suppl. L *πάντων*] *πάντασ* AMLVRC 19 *δ'* C 20 *ἐξεσίουσ* A 21 *ἐκ* om. Zon et Bekker *παρεσύρησαν* (*η* ex *ι* corr.) A

τοὺς πολεμίους· καταπλαγέντες γὰρ αὐτοῦ τήν τε δύναμιν οἱ Ἰου- 62
δαῖοι καὶ τὸ παράσημα τῆς ψυχῆς, ἅμα δὲ καὶ πλείους ἀναβεβη-
κέναι δόξαντες ἐτράπησαν. ἔνθα δὴ καταμέμψαιτ' ἄν τις ὡς φθο- 63
νερὰν ἐπὶ ταῖς ἀρεταῖς τὴν τύχην καὶ κωλύουσαν ἀεὶ τὰ παράδοξα
τῶν κατορθωμάτων. ὁ γοῦν ἀνὴρ οὗτος ὅτ' ἐκράτησε τῆς ἐπιβολῆς, 64
ἐσφάλη καὶ πταίσας πρός τινι πέτρᾳ πρηνὴς ἐπ' αὐτὴν μετὰ με-
γίστου ψόφου κατέπεσεν· ἐπισιραφέντες δὲ οἱ Ἰουδαῖοι καὶ κατι-
δόντες μόνον τε αὐτὸν καὶ πεπτωκότα, πάντοθεν ἔβαλλον. ὁ δ' 65
ἐς γόνυ διανασιὰς καὶ προκαλυψάμενος τὸν θυρεὸν τὸ μὲν πρῶτον
ἠμύνετο καὶ πολλοὺς τῶν πλησιασάντων ἔτρωσεν· αὖθις δ' ὑπὸ 66
πλήθους τραυμάτων παρῆκε τὴν δεξιὰν καὶ τέλος πρὶν ἀποδοῦναι
τὴν ψυχὴν κατεχώσθη τοῖς βέλεσιν, ἀνὴρ ἄξιος μὲν ἀμείνονι χρῆ-
σθαι δι' ἀνδρείαν καὶ τύχῃ, πεσὼν δὲ τῆς ἐπιβολῆς ἀνάλογος. τῶν 67
δὲ ἄλλων τρεῖς μὲν τοὺς ἤδη πρὸς τοῖς ἄκροις ὄντας συντρίψαντες
ἀπέκτειναν τοῖς λίθοις, οἱ δὲ ὀκτὼ τραυματίαι κατασυρέντες ἀνεκο-
μίσθησαν εἰς τὸ στρατόπεδον. ταῦτα μὲν οὖν τρίτῃ μηνὸς Πανέμου
ἐπράχθη.

7. Μετὰ δ' ἡμέρας δύο τῶν προκοιτούντων τινὲς ἐπὶ τοῖς χώ- 68
μασι φυλάκων εἴκοσι συνελθόντες προσποιοῦνται μὲν τὸν τοῦ πέμ-
πτου τάγματος σημιαφόρον καὶ δύο τινὰς τῶν ἐν ταῖς ἴλαις ἱππέων
καὶ σαλπικτὴν ἕνα, κατὰ δὲ ὥραν τῆς νυκτὸς ἑνάτην προσβαίνουσι
μὲν ἡσυχῇ διὰ τῶν ἐρειπίων ἐπὶ τὴν Ἀντωνίαν, ἀποσφάξαντες δὲ
τοὺς πρώτους τῶν φρουρῶν κοιμωμένους κρατοῦσι τοῦ τείχους καὶ

PAMLVRC LatSyr Hegesippus IV 28 p. 340. Zonaras I p. 536.

1 *τοὺς, οὓς* i. ras. m. 2 R *οἱ Ἰουδαῖοι* om. Lat 3 *καταμέμψαιτ', μεμψ* i. ras. A 4 *κολούουσαν* Destinon 5 *ὅτε ἐκράτησε* PVRC *ὅτε κράτησε* A *ὅτ'* — 6 *ἐσφάλη*] *neque ab incepto errauit* Lat *ἐπιβουλῆσ* PAVR 6 *πρόσ τινα πέτραν* VRC *ἔν τινι πέτρα* M *πρηνὴς ἐπ' αὐτὴν* om. A *πρινὴσ* P *ἐπ' αὐτὴν*] *ἐν αὐτῇ* Zon *ἐπ' αὐτῆς* ed. pr. 7 *δ'* L 8 *μόνον τε αὐτὸν* L *αὐτὸν μόνον τε* M *μόνον αὐτὸν* CSyr *καὶ* om. Syr *πανταχόθεν* M *δὲ* AMVR 9 *εἰσ* AMLVRC *τὸ γόνυ* L 10 *ἠμύνατο* MVRC *ἔτρωσεν*] *interfecit* Syr *δὲ* VR *ἀπὸ* VRC 11 *παρῆκε*] *παρείθη* Zon 12 *χρῆσασθαι* L 13 *ἀνδρείαν*] PAMLLips *ἀν* R¹ *ἀνδρίαν* R²C *ἀνδρεΐαν* V *καὶ τύχῃ*] *καὶ τύχην* PL *τύχῃ* VRC *τῇ τύχῃ* Destinon *ἐπιβουλῆσ* A 14 *δ'* LRC *ἤδη* om. C 15 *δ'* LC *ἀνεκο· μίσθησαν* V 16 i. marg. *ϛ'* C *οὖν*] *τῇ* A *Πανέμου*] *ἀπανέμου* R *Tamus* Syr Panemi 3. dies est 22. Iulii (XI k. Aug.) anni Iuliani (70 p. Chr.) 18 *δὲ* LVRC *προσκοιτούντων* L 19 *προσποιοῦνται*] PASyr *προσκαλοῦνται* MLVRCLatHeg *πέμπτου*] *ε̄* L 20 *σημαιοφόρον* R et ex corr. A *εἴλαισ* L et ut uid. V¹ *εἰλαῖσ* R 21 *σαλπιγκτὴν* PAMVRC *ἕνα*] *ἓν* R¹ *δ'* C *ἑνάτην*] *quintam* Heg *προσβαίνουσι μὲν*] *προσβαίνουσιν* M *procedunt* Lat 22 *ἐριπίων* V¹R 23 *τοῦ τείχους*] *τῶν τειχῶν* PAM

69 τῷ σαλπικτῇ σημαίνειν ἐκέλευσαν. πρὸς ὃ τῶν μὲν ἄλλων φυλάκων
ἐξανάστασις αἰφνίδιος ἦν καὶ φυγὴ πρίν τινα τὸ πλῆθος ἐπιδεῖν
τῶν ἐπιβεβηκότων· ὅ τε γὰρ φόβος καὶ ἡ σάλπιγξ φαντασίαν αὐτοῖς
70 τοῦ πλήθους ἀναβεβηκέναι πολεμίων παρεῖχε. Καῖσαρ δὲ τοῦ σημείου κατακούσας ἐξοπλίζει τήν τε δύναμιν διὰ τάχους καὶ μετὰ 5
71 τῶν ἡγεμόνων πρῶτος ἀναβαίνει τοὺς ἐπιλέκτους ἔχων. καταπεφευγότων δὲ Ἰουδαίων εἰς τὸ ἱερὸν καὶ αὐτοὶ διὰ τῆς διώρυγος εἰσέπιπτον, ἣν ὁ Ἰωάννης ἐπὶ τὰ χώματα τῶν Ῥωμαίων ὑπώρυξε.
72 καὶ διαστάντες ἀπ' ἀμφοτέρων οἱ στασιασταὶ τῶν ταγμάτων, τοῦ τε Ἰωάννου καὶ τοῦ Σίμωνος, εἶργον αὐτοὺς οὐδεμίαν οὔτε ἰσχύος 10
73 οὔτε προθυμίας ἐλλείποντες ὑπερβολήν· πέρας γὰρ ἀλώσεως ὑπελάμβανον τὸ Ῥωμαίους παρελθεῖν εἰς τὸ ἅγιον, ὃ δὴ κἀκεῖνοι τοῦ
74 κρατεῖν ἀρχήν. συρρήγνυται δὲ περὶ τὰς εἰσόδους μάχη καρτερά, τῶν μὲν καταλαβέσθαι καὶ τὸ ἱερὸν εἰσβιαζομένων, τῶν δὲ Ἰουδαίων
75 ἐξωθούντων αὐτοὺς ἐπὶ τὴν Ἀντωνίαν. καὶ τὰ βέλη μὲν ἦν ἀμφο- 15
τέροις ἄχρηστα καὶ τὰ δόρατα, σπασάμενοι δὲ τὰ ξίφη συνεπλέκοντο, καὶ περὶ τὴν συμβολὴν ἄκριτον ἦν ὁποτέρωθεν ἕκαστοι μάχοιντο, πεφυρμένων μὲν τῶν ἀνδρῶν καὶ περὶ τὴν στενοχωρίαν διηλλαγμένων, τῆς δὲ βοῆς ἀσημάντου προσπιπτούσης διὰ τὸ μέ-
76 γεθος. φόνος τε ἦν ἑκατέρωθεν πολύς, καὶ τῶν πεσόντων τά τε 20
77 σώματα καὶ τὰς πανοπλίας πατοῦντες ἔθρανον οἱ μαχόμενοι. ἀεὶ δ' ἐφ' ὁπότερον βρίσειεν ῥέων ὁ πόλεμος, παρακέλευσις μὲν ἦν τῶν πλεονεκτούντων, οἰμωγαὶ δὲ τῶν τρεπομένων. οὔτε δὲ αἱ φυγαὶ

PAMLVRCLatSyrHegesippus V 29 p. 341. Zonaras I p. 537.

1 *σαλπιγκτῇ* PAMVRC *ἄλλων*] *ἄλλο* L 2 *ἐξανάστασίς τε* L *ἐπιδεῖν*] *ἰδεῖν* L 3 *ἐπιβεβηκότων*, *β* ante *η* ex corr. A 4 *πλήθους* PA¹LRC 5 *διὰ τάχους*] *κατὰ τάχος* L 6 *τοὺς ἐπιλέκτους ἔχων*] L et ex corr. C *ἔχων ἐπιλέκτους* PAMVR *τοὺς ἐπιλεκτοὺς ἐπιλέκτους ἔχων* C¹ *καταπεφευγότων*] PAMLLatZon *καταφευγόντων* VRC 7 *δὲ*] *δὲ τῶν* AM *δ'* C *τὸ ἱερὸν*] *templum interius* Lat *διώρυγος*] *ὤρυγος* A *διώρυχος* VRC 8 *ὁ* om. AL 9 *καὶ — ταγμάτων*] *dispositique amborum agminum seditiosi* Lat *διαναστάντες* L *ἀπ'*] ed. pr. et teste Hauerkampo cod. Rost. *ἐπ'* PAMVRC et ut uid. Syr *ὑπ'* L *οἱ στασιασταὶ ἐπ' ἀμφοτέρων* tr. C *πραγμάτων* C¹ *τοῦ τε*] *τῶν τε* C 10 *οὔτε ἰσχύος*] *ἀντ' ἰσχύος* C 14 *καὶ* om. Lat *ἐκβιαζομένων* L *δ'* AC 15 *ἀμφοτέρων* P *(ἀμφο)‖τέροις — p. 524, 15 πολεμίοις* uno folio exciso om. A 16 *ἄχριστα* R *δόρατα* C 17 *ὁποτέρωθεν* C 18 *πεφυρμένων — ἀνδρῶν*] *omnibus terrore et formidine repletis* Syr *τῶν* om. P probante Destinone *ἀνδρῶν*] *ἀθρόων* Destinon 19 *διηλλαγμένων*] om. L *διηλαγμένων* PC *βοῆς*] *βίας* VR *ἀσημάντου*] *ἐνηλλαγμένης καὶ ἀσημάντου* L *προσπεσούσης* M 20 *τε*] om. P *δὲ* L *ἑκατέρωθεν* R 21 *συμπατοῦντες* L 22 *δὲ* MLVR *ῥέων*] *ῥέον* P *fluens* Lat *ῥέπων* Bosius 23 *δ'* LC

τόπον εἶχον οὔτε αἱ διώξεις, ἀλλ' ἀγχώμαλοι ῥοπαὶ καὶ μετακλίσεις μεμιγμένης ἐγίνοντο τῆς παρατάξεως. τοῖς δ' ἔμπροσθεν γινομένοις 78
ἢ τοῦ θνήσκειν ἢ τοῦ κτείνειν ἀνάγκη παρῆν οὐκ οὔσης ἀναφυγῆς· οἱ γὰρ κατὰ νότου πρόσω βιαζόμενοι τοὺς σφετέρους παρ' ἀμφοῖν
οὐδὲ τῇ μάχῃ μεταίχμιον κατέλειπον. πλεονεκτούντων δὲ τῶν Ἰου- 79
δαίων τοῖς θυμοῖς τὴν Ῥωμαίων ἐμπειρίαν καὶ κλινομένης καθάπαν ἤδη τῆς παρατάξεως, ἀπὸ γὰρ ἑνάτης ὥρας τῆς νυκτὸς εἰς ἑβδόμην τῆς ἡμέρας ἐπολέμουν, οἱ μὲν ἀθρόοι καὶ τὸν τῆς ἀλύσεως κίνδυνον 80
ἔχοντες ἀνδρείας ἐφόδιον Ῥωμαῖοι δὲ μέρει τῆς δυνάμεως, οὕτω γὰρ ἐναναβεβήκει τὰ τάγματα, κἀκείνοις ἐνανεῖχον οἱ μαχόμενοι τότε, κρατεῖν τῆς Ἀντωνίας ἀποχρῆν ἐπὶ τοῦ παρόντος ἐδόκει.

5. Ἰουλιανὸς δέ τις ἑκατοντάρχης τῶν ἀπὸ τῆς Βιθυνίας, οὐκ 81
ἄσημος ὢν ἀνήρ, ὃν ἐγὼ κατ' ἐκεῖνον ἱστόρησα τὸν πόλεμον ὅπλων τε ἐμπειρίᾳ καὶ ἀλκῇ σώματος καὶ ψυχῆς παραστήματι πάντων
ἄριστος, ὁρῶν τοὺς Ῥωμαίους ἐνδιδόντας ἤδη καὶ κακῶς ἀμυνομένους, 82
παρειστήκει δὲ Τίτῳ κατὰ τὴν Ἀντωνίαν, προπηδᾷ καὶ νικῶντας ἤδη τοὺς Ἰουδαίους τρέπεται μόνος μέχρι τῆς τοῦ ἐνδοτέρω ἱεροῦ γωνίας. ἔφευγε δὲ τὸ πλῆθος ἄθρουν, οὔτε τὴν ἰσχὺν οὔτε τὴν
τόλμαν ἀνθρωπίνην ὑπολαμβάνοντες. ὁ δὲ διὰ μέσων τῶν σκε- 83
δαννυμένων ἄλλοτε ἄλλῃ διάττων ἐφόνευε τοὺς καταλαμβανομένους, καὶ τῆς ὄψεως ἐκείνης οὐδὲν οὔτε τῷ Καίσαρι θαυμασιώτερον οὔτε τοῖς ἄλλοις παρέστη φρικωδέστερον. ἐδιώκετο δὲ ἄρα καὶ αὐτὸς 84
ὑπὸ τῆς εἱμαρμένης, ἵν' ἀμήχανον διαφυγεῖν θνητὸν ὄντα. τὰ γὰρ 85
ὑποδήματα πεπαρμένα πυκνοῖς καὶ ὀξέσιν ἥλοις ἔχων, ὥσπερ τῶν
ἄλλων στρατιωτῶν ἕκαστος, καὶ κατὰ λιθοστρώτου τρέχων ὑπολισθάνει, πεσὼν δὲ ὕπτιος μετὰ μεγίστου τῆς πανοπλίας ἤχου τοὺς

PMLVRCLatSyrHegesippus V 29 p. 342.

1 οὔτ' αἱ L οὔθ' αἱ C ἀλλὰ VRC ἀγχόμαλοι P ἀνώμαλοι VRC *propinquae* Lat 2 δὲ VR 3 ἢ τοῦ κτείνειν ἢ τοῦ θνήσκειν tr. LLat 5 οὐδὲ] οὐδὲν R^2 fort. recte μεσαίχμιον LVRC 6 καθάπαν] PMVR¹C et ut uid. Syr καθάπαξ LR^2 *omnino tota (acies)* Lat 7 ὥρας τῆς νυκτὸς] νυκτὸς ὥρας LVRC 8 ἀθρόοι R καὶ om. Lat 9 ἀνδρίας V^2C μέρη L 10 ἀναβεβήκει L 11 τό, τε sic L ἀποχρεῖν C ἀποχρῆναι Cocceji 12 i. marg. ζ' C 13 ὧν] ὄν PMLVR LatSyr 14 τ' L 15 ἄριστον habuisse uid. Lat et Syr 16 δὲ Τίτῳ] δέ τι τῷ V 17 μέχρι — 18 γωνίας] *ad interiorem usque templi angulum* Lat ἐνδοτέρου M; hiatum adnota 18 ἀθροῦν V ἀθροῦν R 19 ὑπολαμβάνον L ὁ δὲ — 20 καταλαμβανομένους] *at ille per medios ruens, quos alium alio disiecerat, per ipsos quem occupasset interficiebat* Lat 20 ἄλλῃ] ἄλλο L διάττων] δι' αὐτῶν LVR διάττων δι' αὐτῶν ut uid. Lat 21 τῷ om. L 22 ἄλλοις] *Iudaeis* Syr δ' LC 24 πεπαρμένα] om. L post ἔχων tr. C σεσωρευμένα P *fixa* Lat *confixa* Heg et similiter Syr 25 ὑπολισθαίνει PMC κατολισθαίνει Zon 26 δ' LC

86 φεύγοντας ἐπιστρέφει. καὶ τῶν μὲν ἀπὸ τῆς Ἀντωνίας Ῥωμαίων
ἤρθη βοὴ περὶ τἀνδρὶ δεισάντων, οἱ δὲ Ἰουδαῖοι περιστάντες αὐτὸν
87 ἀθρόοι τοῖς τε ξυστοῖς καὶ ταῖς ῥομφαίαις πάντοθεν ἔπαιον. ὁ
δὲ πολὺν μὲν τῷ θυρεῷ σίδηρον ἐξεδέχετο, πολλάκις δὲ ἀναστῆναι
πειράσας ὑπὸ τοῦ πλήθους τῶν τυπτόντων ἀνετράπη, καὶ κείμενος
88 δ' ὅμως ἔνυττε τῷ ξίφει πολλούς· οὐδὲ γὰρ ἀμμέθη ταχέως τῷ τε
κράνει καὶ τῷ θώρακι πεφραγμένος πάντα τὰ καίρια πρὸς σφαγὴν
καὶ τὸν αὐχένα συνέλκων· μέχρι κοπτομένων αὐτῷ τῶν ἄλλων μελῶν
89 καὶ μηδενὸς προσαμῦναι τολμῶντος ἐνέδωκε. δεινὸν δὲ πάθος εἰσῄει
Καίσαρα ἀνδρὸς οὕτως ἐναρέτου καὶ ἐν ὄψει τοσούτων φονευομένου·
καὶ αὐτὸν μὲν ὁ τόπος διέκλεισε βοηθεῖν θέλοντα, τοὺς δυναμένους
90 δὲ κατάπληξις. Ἰουλιανὸς μὲν οὖν πολλὰ δυσθανατήσας καὶ τῶν
κτεινόντων ὀλίγους ἀπλῆγας καταλιπὼν μόλις ἀπεσφάττεται, μέ-
γιστον οὐ παρὰ Ῥωμαίοις καὶ Καίσαρι μόνον ἀλλὰ καὶ παρὰ τοῖς
91 πολεμίοις κλέος καταλιπών· Ἰουδαῖοι δὲ καὶ τὸν νεκρὸν ἁρπασάμενοι
πάλιν τοὺς Ῥωμαίους τρέπονται καὶ κατακλείουσιν εἰς τὴν Ἀντω-
92 νίαν. ἠγωνίσαντο δὲ ἐξ αὐτῶν ἐπισήμως κατὰ ταύτην τὴν μάχην
Ἀλεξᾶς μέν τις καὶ Γυφθέος τοῦ Ἰωάννου τάγματος, ἐκ δὲ τῶν
περὶ Σίμωνα Μαλαχίας τε καὶ ὁ τοῦ Μέρτωνος Ἰούδας, καὶ Σωσᾶ
υἱὸς Ἰάκωβος τῶν Ἰδουμαίων ἡγεμόνων, τῶν δὲ ζηλωτῶν ἀδελφοὶ
δύο, παῖδες Ἀρί, Σίμων τε καὶ Ἰούδης.

PAMLVRC LatSyrHegesippus V 30 p. 343. Zonaras I p. 537.

2 τἀνδρὶ] τοῦ ἀνδρὸς L αὐτὸν] αὐτῷ L 3 ἀθρόοι R τε om. PM ῥομφαίαις] ῥομφαίαισ αὐτῶν C 4 πολλὺν C τὸν πολὺν ML μὲν om. L πολλάκι VR¹C δ' LR 5 ὑπὸ — ἀνετράπη liberius uertit Syr καὶ κείμενος] LCLatSyrZon κακεῖνοσ PMVR 6 δὲ VR τῷ] τὸ C 7 περιπεφραγμένοσ L πάντα τὰ καίρια] τὰ καίρια πάντα L πάντα καίρια C προσφαγὴν L 8 αὐτῷ] αὐτῶν C¹ 10 καίσαρι L καὶ om. Lat φονευομένου] φαινομένων C 11 βοηθεῖν] τοῦ βοηθεῖν LVRC ἐθέλοντα C 13 κτεινάντων MVRC ἄπληγασ PMVR καταλειπὼν C et ex corr. P μόλισ — 15 καταλιπών om. C μόγισ L μέγιστον om. P 15 κλέος] redit A καταλειπὼν P 17 ἠγωνίσαν*****ἐξ P δ' LRC ταύτην om. C 18 ἀλέξασ L μέν τισ] μέντοι AVR καὶ s. C γνφθαῖοσ MLVRC *zephthaeus* Syr *gypteus* Lat *gypteo* Heg; cf. p. 499,16 τοῦ] ὄντοσ τοῦ L ἰωάνου C τῶν] τὸν P 19 Σίμωνα Μαλαχίας] PRCSyr *σίμωνα μαλχίασ* AMV *σήμων ἀμαλαχίασ* L Μαλαχίας] *malchius* Lat *melchio* (abl.) Heg ὁ — Ἰούδας om. Heg Μέρτωνος] PAMVRC *μελίτωνοσ* LLat *metronis* Syr Σωσᾶ] *σωσῶ* R *iosae* Lat, om. Heg 20 Ἰάκωβος] MLCHeg *ἰακώβου* PAVRLatSyr; cf. IV 235. infra 148 Ἰδουμαίων] *ἰουδαίων* A ἡγεμόνων L *duces* Lat 21 Ἀρί, Σίμων] *ἀρισίμων* PAMV *ἀρί|σιμων* L *ἀρισίμω* R *ἰαείρου σίμων* C *arsimon* LatSyr *arisimone* (abl.) Heg

II. 1. *Τίτος δὲ τοῖς μὲν σὺν αὐτῷ στρατιώταις κατασκάπτειν* 93
προσέταξε τοὺς θεμελίους τῆς Ἀντωνίας καὶ τῇ δυνάμει πάσῃ ῥᾳ-
διαν τὴν ἄνοδον εἰσηγεῖτο, αὐτὸς δὲ τὸν Ἰώσηπον παρασησά- 94
μενος· ἐπέστυτο γὰρ ἐπ' ἐκείνης τῆς ἡμέρας. Πανέμου δ' ἦν ἐπ-
τακαιδεκάτη, τὸν ἐνδελεχισμὸν καλούμενον ἀνδρῶν ἀπορίᾳ διαλε-
λοιπέναι τῷ θεῷ καὶ τὸν δῆμον ἐπὶ τούτῳ δεινῶς ἀθυμεῖν· λέγειν 95
τῷ Ἰωάννῃ πάλιν ἐκέλευσεν ἃ καὶ πρότερον, ὡς εἰ καί τις αὐτὸν
ἔρως κακὸς ἔχοι τοῦ μάχεσθαι, προελθόντι μεθ' ὅσων βούλεται
πολεμεῖν ἐξεῖναι δίχα τοῦ συναπολέσθαι τήν τε πόλιν καὶ τὸν ναὸν
αὐτῷ, μηκέτι μέντοι μιαίνειν τὸ ἅγιον μηδὲ εἰς τὸν θεὸν πλημ-
μελεῖν, παρεῖναι δ' αὐτῷ τὰς ἐπιλελοιπυίας θυσίας ἐκτελεῖν ὑπ'
ὧν ἂν ἐπιλέξηται Ἰουδαίων. καὶ ὁ Ἰώσηπος, ὡς ἂν εἴη μὴ τῷ 96
Ἰωάννῃ μόνον ἀλλὰ καὶ τοῖς πολλοῖς ἐν ἐπηκόῳ, τά τε τοῦ Καί-
σαρος διήγγελλεν ἑβραΐζων, καὶ πολλὰ προσιντιβόλει φείσασθαι 97
τῆς πατρίδος καὶ διασκεδάσαι τοῦ ναοῦ γενόμενον ἤδη τὸ πῦρ, τούς
τ' ἐναγισμοὺς ἀποδοῦναι τῷ θεῷ. πρὸς ταῦτα τοῦ δήμου μὲν ἦν 98
κατήφεια καὶ σιγή, πολλὰ δ' ὁ τύραννος λοιδορηθεὶς τε τῷ Ἰω-
σήπῳ καὶ καταρασάμενος τὸ τελευταῖον προσέθηκεν, ὡς οὐκ ἄν ποτε
δείσειεν ἅλωσιν· θεοῦ γὰρ ὑπάρχειν τὴν πόλιν. καὶ ὁ Ἰώσηπος 99
πρὸς ταῦτα ἀνέκραγεν „πάνυ γοῦν καθαρὰν τῷ θεῷ τετήρηκας
αὐτήν, ἀμίαντον δὲ μένει τὸ ἅγιον, εἰς ὃν τ' ἐλπίζεις σύμμαχον
οὐδὲν ἠσέβησας, τὰς δ' ἐθίμους θυσίας ἀπολαμβάνει. κἂν μὲν σοῖ 100
τις ἀφέλῃ τὴν καθ' ἡμέραν τροφήν, ἀσεβέστατε, τοῦτον ἥγησαι

PAMLVRC Lat Syr Hegesippus V 31 p. 343.

1 *Τίτος*] *Καῖσαρ* Dindorf ex codd. L. B. et Rost. 2 *προσέταξεν κατασκάπτειν* tr. L *τῆς ἀντωνίας τοὺς θεμελίους* tr. L *πᾶσαν* L 3 *παραστησάμενος, σά* s A 4 *πέπυστο* L *γὰρ*] *δὲ* VR *δὲ* VR XVII. Panemi qui fuerit dies anni Iuliani, certo definiri non potest; cf. Hermes XXVIII 204 5 *τὸν* — 6 *θεῷ* om. Syr *ἐνδελεχησμὸν* MVC 6 *τούτου* PA *δεινὸς* P *λέγειν*] *λέγειν δὲ* PVRC 7 *ἐκέλευσιν* L *εἰ κέ τις* R 8 *κακῶς* AM *προσελθόντι* L 9 *ἐξείη*] R et ex corr. C *ἐξίει* V *ἐξίει* C¹ *ἐξῇν* PAML *liceret* Lat *ἐξεῖναι* Destinon *τε* om. PAM 10 *αὐτῷ* M *ἑαυτῷ* L 11 *δὲ* VR *ἐπιλελοιπυίας, νίας* i. ras. R *ἐκτελεῖν*] *ἐπιτελεῖν* C 12 *ὡς* — 14 *ἑβραΐζων*] *ne soli iohanni sed etiam pluribus haec intimarentur, unde exaudiri poterat constitit et mandata caesaris hebraico sermone disseruit* Lat *εἰ*] *εἰ* L 13 *πολλοῖς*] *λοιποῖς* M *ἐπηκόῳ τά τε*] P *ἐπηκόωσ τάσ τε* A¹ *ἐπηκόω στὰσ τὰ* ex corr. A *ἐπηκόω* (*ἐπηκώω* C) *στὰσ τά τε* MLVRC 14 *διήγγειλεν* R *ἑβραΐζων* C 15 *γενομένου* P 16 *τε* LVRC *ἀποδιδόναι* VRC 17 *δὲ* VR 18 *καὶ καρασάμενος* C 20 *ταῦτ'* ML 21 *ὃν τ'*] *ὃν δ'* PM *ὃν* A *ὃν δὲ* VRC *ἐλπίζει* V 22 *δὲ* VRC 23 *ἀφέλῃ*] *ἀφέληται* C *ἀσεβέστατε*] *impium* Lat *ἥγησαι*] *ἡγήσῃ* VR *ἡγησει* C *putabis* Lat

πολέμιον. αὐτὸν δ' ὃν τῆς αἰωνίου θρησκείας ἐστέρησας θεὸν ἐλ-
101 πίζεις σύμμαχον ἔχειν ἐν τῷ πολέμῳ; καὶ Ῥωμαίοις τὰς ἁμαρτίας
ἀνατίθης, οἳ μέχρι νῦν κήδονται τῶν ἡμετέρων νόμων καὶ τὰς ὑπὸ
102 σοῦ διακοπείσας θυσίας ἀποδίδοσθαι τῷ θεῷ βιάζονται; τίς οὐκ ἂν
στενάξειε καὶ κατολοφύραιτο τῆς παραδόξου μεταβολῆς τὴν πόλιν,
εἴ γε ἀλλόφυλοι μὲν καὶ πολέμιοι τὴν σὴν ἀσέβειαν ἐπανορθοῦνται,
σὺ δ' ὁ Ἰουδαῖος, ὁ τοῖς νόμοις ἐντραφείς, κἀκείνων πρὸς αὐτοὺς
103 γίνῃ χαλεπώτερος; ἀλλά τοι, Ἰωάννη, καὶ μετανοῆσαι μὲν ἐκ κακῶν
οὐκ αἰσχρὸν ἐν ἐσχάτοις καὶ καλὸν ὑπόδειγμα βουλομένῳ σώζειν
104 τὴν πατρίδα σοι πρόκειται βασιλεὺς Ἰουδαίων Ἰεχονίας, ὃς ποτε
στρατεύσαντι τῷ Βαβυλωνίῳ δι' αὐτὸν ἑκὼν ἐξέστη πρὶν ἁλῶναι
τῆς πόλεως καὶ μετὰ γενεᾶς αἰχμαλωσίαν ὑπέμεινεν ἐθελούσιον ὑπὲρ
τοῦ μὴ παραδοῦναι ταῦτα πολεμίοις τὰ ἅγια καὶ τὸν οἶκον τοῦ
105 θεοῦ περιιδεῖν φλεγόμενον. διὰ τοῦτο λόγος τε αὐτὸν πρὸς ἁπάντων
Ἰουδαίων ἱερὸς ὑμνεῖ καὶ μνήμη ῥέουσα δι' αἰῶνος ἀεὶ νέα τοῖς
106 ἐπιγινομένοις παραδίδωσιν ἀθάνατον. καλόν, ὦ Ἰωάννη, ὑπόδειγμα,
κἂν προσῇ κίνδυνος· ἐγὼ δέ σοι καὶ τὴν ἀπὸ Ῥωμαίων συγγνώμην
107 ἐγγυῶμαι. μέμνησο δ' ὡς ὁμόφυλος ὢν παραινῶ καὶ Ἰουδαῖος ὢν
ἐπαγγέλλομαι, καὶ χρὴ σκοπεῖν τίς ὁ συμβουλεύων καὶ πόθεν.
μὴ γὰρ ἔγωγέ ποτε γενοίμην ζῶν οὕτως αἰχμάλωτος, ἵνα παύ-
108 σωμαι τοῦ γένους ἢ τῶν πατρίων ἐπιλάθωμαι. πάλιν ἀγανακτεῖς
καὶ κέκραγάς μοι λοιδορούμενος, ἀξίῳ γε καὶ χαλεπωτέρων, ὃς ἀν-
τικρὺς εἱμαρμένης τι παραινῶ καὶ τοὺς ὑπὸ τοῦ θεοῦ βιάζομαι
109 κατακρίτους σώζειν. τίς οὐκ οἶδεν τὰς τῶν παλαιῶν προφητῶν
ἀναγραφὰς καὶ τὸν ἐπιρρέποντα τῇ τλήμονι πόλει χρησμὸν ἤδη
ἐνεστῶτα; τότε γὰρ ἅλωσιν αὐτῆς προεῖπον, ὅταν ὁμοφύλοι τις

PAMLVRCLatSyrHegesippus V 31 p. 344.

1 δὲ PLVRC ἀπεστέρησας L 2 ἀνατίθης] CLatSyr et ex corr. A ἀνατιθεὶσ PA¹MLVR 3 ὑμετέρων L 4 διακοπήσας PC¹ ἀποδίδωσθαι C οὐκ ἂν ex κἂν corr. A 5 στενάξῃ PMV² στενάξει AV¹R κατολοφύρετο PAV¹ κατωλοφύραιτο R²C 6 εἴ ex οἵ corr. A 7 δὲ LVR 8 ἀλλά τοι] ἀλλ' ὦ Dindorf cum Voss. et Bod. τοι] τῶ VR 10 Ἰουδαίων iterauit P ἰεχωνίασ V ὃς] ὡσ PA¹ 11 αὐτὸν] αὐτῶ C 15 Ἰουδαίων iterauit C¹ ἱερὸς om. P ὑμνεῖ] ἀνυμνεῖ L 17 συγνώμην R 18 μέμνησω C δὲ PVRC 19 καὶ πόθεν] nec unde ueniat Syr 20 οὕτοσ PA¹M αἰχμάλωτος] καὶ αἰχμάλωτοσ L παύσωμαι] om. Lat, corruptum putat Destinon 22 λοιδωρούμενοσ C ἀξιῶ PA¹LVR ἄξιοσ C mereor Lat et similiter Syr χαλεπώτερον C ὃς] ὡσ AC ἀντικρυσ codd. ἀντικρουούσης Holwerda 23 τῆς εἱμαρμένης τε παραινῶ Holwerda 25 ἐπιρέποντα R ἐπιλείποντα L χρισμὸν P ἄρξῃ τισ tr. M

ἀρξῃ φόνου. τῶν ὑμετέρων δὲ πτωμάτων οὐχ ἡ πόλις καὶ τὸ ἱερὸν 110
δὲ πᾶν πεπλήρωται; θεὸς ἄρα, θεὸς αὐτὸς ἐπάγει μετὰ Ῥωμαίων
κάθαρσιν αὐτῷ πῦρ καὶ τὴν τοσούτων μιασμάτων γέμουσαν πόλιν
ἀναρπάζει."

2. Ταῦτα λέγων ὁ Ἰώσηπος μετ' ὀδυρμοῦ καὶ δακρύων λυγμῷ 111
τὴν φωνὴν ἐνέκοπτε. καὶ Ῥωμαῖοι μὲν ᾠκτειράν τε τοῦ πάθους καὶ 112
τῆς προαιρέσεως αὐτὸν ἐθαύμασαν, οἱ δὲ περὶ τὸν Ἰωάννην παρω-
ξύνοντο μᾶλλον ἐπὶ τοὺς Ῥωμαίους ἐπιθυμοῦντες ἐγκρατεῖς γενέ-
σθαι κἀκείνου. τῶν γε μὴν εὐγενῶν πολλοὺς ἐκίνησεν ὁ λόγος, καὶ 113
τινὲς μὲν ὀρρωδοῦντες τὰς φυλακὰς τῶν στασιαστῶν κατὰ χώραν
ἔμενον, ἀπώλειαν μέντοι σφῶν τε αὐτῶν καὶ τῆς πόλεως κατεγνώ-
κεσαν, εἰσὶ δὲ οἳ καιροφυλακήσαντες ἄδειαν ἀναχωρήσεως πρὸς τοὺς
Ῥωμαίους κατέφυγον. ὧν ἦσαν ἀρχιερεῖς μὲν Ἰώσηπός τε καὶ Ἰη- 114
σοῦς, υἱοὶ δὲ ἀρχιερέων τρεῖς μὲν Ἰσμαήλου τοῦ καρατομηθέντος
ἐν Κυρήνῃ, καὶ τέσσαρες Ματθίου καὶ εἷς ἑτέρου Ματθίου, διαδρὰς
μετὰ τὴν τοῦ πατρὸς ἀπώλειαν, ὃν ὁ τοῦ Γιώρα Σίμων ἀπέκτεινεν
σὺν τρισὶν υἱοῖς, ὡς προείρηται. πολλοὶ δὲ καὶ τῶν ἄλλων εὐγενῶν
τοῖς ἀρχιερεῦσι συμμετεβάλοντο. Καῖσαρ δὲ αὐτοὺς τά τε ἄλλα 115
φιλοφρόνως ἐδέξατο καὶ γινώσκων ἀλλοφύλοις ἤθεσιν ἀιδῆ τὴν
διατριβὴν ἔξειν ἀπέπεμψεν αὐτοὺς εἰς Γόφναν, τέως ἐκεῖ παραινῶν
μένειν· ἀποδώσειν γὰρ ἑκάστῳ τὰς κτήσεις κατὰ σχολὴν ἀπὸ τοῦ
πολέμου γενόμενος. οἱ μὲν οὖν εἰς τὸ δοθὲν πολίχνιον μετὰ πάσης 116
ἀσφαλείας ἀνεχώρουν ἄσμενοι· μὴ φαινομένων δὲ αὐτῶν διεφήμισαν
οἱ στασιασταὶ πάλιν ὡς ἀποσφαγεῖεν ὑπὸ Ῥωμαίων οἱ αὐτόμολοι.
δηλονότι τοὺς λοιποὺς ἀποτρέποντες τῷ φόβῳ διαδιδράσκειν. ἤνυστο 117

PAMLVRCLatSyr Hegesippus V 31 p. 346.

1 ὑμετέρων δὲ] δ' ὑμετέρων L 2 ἐπάγη C 3 κάθαρσιν] καθάρσιον C (*ignem*) *lustrationis* Lat τὸ πῦρ Destinon i. marg. ϑ' C 4 ἀναρπάζει] ἁρπάζει L ὀδυρμοῦ] ὀδυρμῶν (sic) τε L καὶ i. ras. minore A 6 ἐνέκοπη] ἀνέκοπη ed. pr. 7 τῆς προαιρέσεως αὐτὸν om. Lat 8 ἐγκρατεῖς, ρ s. C 9 κἀκείνου γενέσθαι tr. L 10 ὀρροδοῦντες P ὀρρωδοῦντες A 11 τε] i. marg. suppl. A om. L 12 δ' LC 14 δ' LC Ἰσμαήλου τοῦ] *ismaelitou* L 15 κυρίνῃ P καὶ τέσσαρες — ἑτέρου Ματθίου] *aliusque filius alius Matthiae* Syr τέσσαρεισ P τέσσαρισ A τέταρτοσ VRC ματθαίου L Ματθίου — ἑτέρου om. VRC Ματθίου (ante διαδρὰς)] ματθαίου L ματθίου παῖσ VRC 16 Γιώρα] γηρα L 17 προείρηται] uide V 527 ἄλλων om. CLat 18 τοῖς ἀρχιερεῦσι suppl. P συνμετεβάλοντο PA¹ συμμετεβάλλοντο LVRC 19 δ' C ἀειδῆ L 20 γουφνὰν P γουφνᾶν, ο ex ν aut ρ corr. A γνόφναν L¹ *gnopham* Lat 23 μὴ φαινομένων] *in ciuitate non uisis* Lat δ' C διεφήμησαν PALV¹R 25 ἀποτρέποντες] ἀπέτρεπον VR διαδράσκειν C ἤνυστο] ἤννσεν L *ualuit* Lat

δ' ὡς καὶ πρότερον αὐτοῖς τὸ πανοῦργον πρὸς καιρόν· ἐπεσχέθησαν γὰρ ὑπὸ τοῦ δέους αὐτομολεῖν.

118 3. *Λύθις δέ, ὡς ἀνακαλέσας τοὺς ἄνδρας ἀπὸ τῆς Γοφνὰ Τίτος ἐκέλευσε μετὰ τοῦ Ἰωσήπου περιελθόντας τὸ τεῖχος ὀφθῆναι τῷ*
119 *δήμῳ, πλεῖστοι πρὸς τοὺς Ῥωμαίους ἔφευγον. γενόμενοι δὲ ἀθρόοι* 5
καὶ πρὸ τῶν Ῥωμαίων ἱστάμενοι μετ' οἰμωγῆς καὶ δακρύων ἱκέτευον τοὺς στασιαστὰς τὸ μὲν πρῶτον ὅλῃ τοὺς Ῥωμαίους δέξασθαι τῇ
120 *πόλει καὶ τὴν πατρίδα σῶσαι πάλιν, εἰ δὲ μή, τοῦ γε ἱεροῦ πάντως ὑπεξελθεῖν καὶ ῥύσασθαι τὸν ναὸν αὐτοῖς· οὐ γὰρ ἂν τολμῆσαι*
121 *Ῥωμαίους μὴ μετὰ μεγίστης ἀνάγκης καταφλέξαι τὰ ἅγια. τούτοις* 10
μᾶλλον ἀντεφιλονείκουν, καὶ πολλὰ βλάσφημα τοῖς αὐτομόλοις ἀντικεκραγότες ἐπὶ τῶν ἱερῶν πυλῶν τούς τε ὀξυβελεῖς καὶ καταπέλτας καὶ λιθοβόλους μηχανὰς διέστησαν, ὡς τὸ κύκλῳ μὲν ἱερὸν ὑπὸ πλήθους νεκρῶν προσοικέναι πολυανδρίῳ, τὸν δὲ ναὸν αὐτὸν φρου-
122 *ρίῳ. τοῖς δὲ ἁγίοις καὶ ἀβάτοις μετὰ τῶν ὅπλων εἰσεπήδων θερμὰς* 15
ἔτι τὰς χεῖρας ἐξ ὁμοφύλων ἔχοντες φόνων, καὶ προύκοψαν εἰς τοσοῦτον παρανομίας, ὥσθ' ἧν ἂν εἰκὸς ἀγανάκτησιν γενέσθαι Ἰουδαίων, εἰ Ῥωμαῖοι ταῦτ' ἐξύβριζον εἰς αὐτούς, ταύτην εἶναι παρὰ
123 *Ῥωμαίων τότε πρὸς Ἰουδαίους ἀσεβοῦντας εἰς τὰ ἴδια. τῶν μέν* 20
γε στρατιωτῶν οὐκ ἔστιν ὅστις οὐ μετὰ φρίκης εἰς τὸν ναὸν ἀφεώρα καὶ προσεκύνει τούς τε λῃστὰς ἡΐχετο πρὶν ἀνηκέστου πάθους μετανοῆσαι.

124 4. *Τίτος δὲ ὑπερπαθήσας πάλιν ἐξωνείδιζε τοὺς περὶ τὸν*

PAMLVRCLatSyrHegesippus V 33 p. 347. Zonaras I p. 537.

1 *δ' αὐτοῖσ ὡσ καὶ πρότερον τὸ* tr. L *δ'*] *δὲ* VR *πανοῦργον*] *πανούργημα* LC *πρὸς καιρόν*] *πρόσκαιρον* V *ἐπεσχέθησαν* ex *ἐπεχέσθησαν* corr. L 2 *γὰρ*] *autem* Lat 3 i. marg. *ι'* C *δ'* C *τοὺσ ἀπὸ τῆσ γόφνησ τίτοσ ἄνδρασ* tr. L *γόφνησ* L *γόφνα* VRC *gnofa* (abl.) Lat 5 *τοὺς* om. P *προσέφευγον* P *γινόμενοι* AMLVRC *δ'* C *ἀθρόοι* VR 6 *πρὸ*] *πρ**| P *πρὸσ* R 7 *ὅλῃ τοὺς*] *paucos* (h. e. *ὀλίγους*) Lat ··*δέξασθαι* A 8 *πάλιν* om. Lat, nec placet; fort. ad *πρῶτον* respicit cum insequentibus coniungendum *εἰ — 9 ὑπεξελθεῖν*] *sin hoc displiceret, saltem de fano certe exirent* Lat *γε*] Destinon ex Lat *τε* codd. 9 *αὐτοῖσ τὸν ναὸν* tr. L *ἂν τολμῆσαι*] *αὐτομολῆσαι* P 10 *μεγίστης*] *μεγάλησ*, i. marg. *μεγίστησ* A 11 *τοῖσ αὐτομολοῦσιν* P 12 *καὶ* eicit L. Dindorf 13 *καὶ τὰσ λιθοβόλουσ* L *τὸ*] *τῷ* PC *ὑπὸ*] Niese *ἀπὸ* codd. 15 *δ'* C 16 *ὁμοφύλων ἔχοντες φόνων*] *ὁμοφύλου φέροντεσ φόνου* L *προέκοψαν* L 17 *ὥστε* MVRC *ὥσθ' ἧν ἂν*] *ὥσθ' ἧν* A *ὥστινα* L *εἰκὸς*] *εἰκὸσ ἦν* MVRC 18 *ταῦτα* MVRC *ἐξυβρίζοιεν* (*ἐ*|·*ξυβρίζοιεν* A) AMLVR *ἐξυβρίζειεν* C *committerent* Lat 21 *ἡΰχετο — πάθουσ*] *πρὶν ἀνηκέστου* (ex *ἀνήκεστον* corr.) *πάθουσ ἡΰ*·*χετο* L 23 *Τίτοσ*] *Καῖσαρ* Dindorf ex cod. L. B. *δ'* C *ἐξονείδιζε* AC¹ *ἐξωνειδίζετο* VR

Ἰωάννην, λέγων „ἆρ' οὐχ ὑμεῖς, ὦ μιαρώτατοι, τὸν δρύφακτον
τοῦτον προεβάλεσθε τῶν ἁγίων; οὐχ ὑμεῖς δὲ τὰς ἐν αὐτῷ στήλας 125
διεσήσατε, γράμμασιν Ἑλληνικοῖς καὶ ὑμετέροις κεχαραγμένας, μη-
δένα τὸ γείσιον ὑπερβαίνειν παραγγέλλειν; οὐχ ὑμεῖς δὲ τοὺς ὑπερ- 126
βάντας ὑμῖν ἀναιρεῖν ἐπετρέψαμεν, κἂν Ῥωμαίους τις ᾖ; τί οὖν νῦν,
ἀλιτήριοι, καὶ νεκροὺς ἐν αὐτῷ καταλατεῖτε; τί δὲ τὸν ναὸν αἵματι
ξένῳ καὶ ἐγχωρίῳ φύρετε; μαρτύρομαι θεοὺς ἐγὼ πατρίους καὶ εἴ 127
τις ἐφεώρα ποτὲ τόνδε τὸν χῶρον, νῦν μὲν γὰρ οὐκ οἶδα, μαρτύ-
ρομαι δὲ καὶ στρατιὰν τὴν ἐμὴν καὶ τοὺς παρ' ἐμοὶ Ἰουδαίους καὶ
ὑμᾶς αὐτούς, ὡς οὐκ ἐγὼ ταῦθ' ὑμᾶς ἀναγκάζω μιαίνειν. κἂν ἀλ- 128
λάξητε τῆς παρατάξεως τὸν τόπον, οὔτε προσελεύσεταί τις Ῥω-
μαίων τοῖς ἁγίοις οὔτε ἐνυβρίσει, τηρήσω δὲ τὸν ναὸν ὑμῖν καὶ μὴ
θέλουσι."

5. Ταῦτα τοῦ Ἰωσήπου διαγγέλλοντος ἐκ τοῦ Καίσαρος, οἱ 129
λῃσταὶ καὶ ὁ τύραννος οὐκ ἀπ' εὐνοίας ἀλλὰ κατὰ δειλίαν γίνεσθαι
τὰς παρακλήσεις δοκοῦντες ὑπερηφάνουν. Τίτος δὲ ὡς οὔτε οἶκτον 130
ἑαυτῶν τοὺς ἄνδρας οὔτε φειδὼ τοῦ ναοῦ ποιουμένους ἑώρα, πάλιν
πρὸς πολεμον ἄκων ἐχώρει. πᾶσαν μὲν οὖν τὴν δύναμιν ἐπάγειν 131
αὐτοῖς οὐχ οἷόν τε ἦν μὴ χωρουμένην τῷ τόπῳ, τριάκοντα δ' ἐπι-
λέξας ἀφ' ἑκάστης ἑκατονταρχίας τοὺς ἀρίστους καὶ τοῖς χιλιάρχοις
ἀνὰ χιλίους παραδούς, τούτων δ' ἐπιτάξας ἡγεμόνα Κερεάλιον,
ἐπιθέσθαι προσέταξε ταῖς φυλακαῖς περὶ ὥραν τῆς νυκτὸς ἑνάτην.
ὄντα δὲ καὶ αὐτὸν ἐν τοῖς ὅπλοις καὶ συγκαταβαίνειν παρεσκευ- 132
ασμένον οἵ τε φίλοι διὰ τὸ μέγεθος τοῦ κινδύνου κατέσχον καὶ τὰ
παρὰ τῶν ἡγεμόνων λεγόμενα· πλεῖον γὰρ αὐτὸν ἀνύσειν ἔφασαν 133
ἐπὶ τῆς Ἀντωνίας καθεζόμενον καὶ τὴν μάχην ἀγωνοθετοῦντα τοῖς

PAMLVRC Lat Syr Hegesippus V 34 p. 348. Zonaras I p. 537.

1 *δρύφακτον*] *δρυφακτὸν* LR *turbas* Syr tota sententia immutata 2 *προεβάλεσθε* L *προυβάλεσθε* C *στήλας*] *armorum altitudinem* Syr 3 *γράμμασιν*] *ἐν γράμμασιν* L *ἡμετέροις, οι* ex corr. M *ὑμετέροις* ex corr. V *μηδένα* — 4 *παραγγέλλειν*] *quibus ne septa cuiquam transgredi liceret edicitur* Lat *μηδένα*] *ἃ μηδένα* M et ex corr. V *πρῶτον μηδένα* L *ἃσ μηδένα* V¹RC 4 *γείσειον* L *γεισίον* VR *παραγγέλλει* MVRC *ἀλλογενῆ παραγγέλλειν* Destinon ex V 194 *ὑμεῖσ* LC ⁝ *μεῖσ*, eras. *υ* V 5 *Ῥωμαίων* Dindorf ex Voss. *ᾖ*] *εἶ* PL *νῦν* om. A 7 *ἐγὼ θεοὺσ* tr. C *εἴ*] *ᾗ* L 8 *μὲν* om. C *οἶμαι* MC 9 *τὴν* om. PAMVRC *ἐμοὶ*] *ἐμοῦ* L 10 *ταῦτα* VR 12 *οὔτ'* A *προσυβρίσει* L *καὶ*] *κἀν* L 13 *θέλουσιν* A¹ 15 *ἀπ' εὐνοίας*] *ἀτευνοίασ* L 16 *δὲ*] *τε* L 17 *ἑαυτὸν* P *φειδὼ*] *φειδώ τινα* LVRC *ἄκων*] *καὶ ἄκων* Zon 18 i. marg. *ια'* C 19 *δὲ* VR 20 *τοῖσ* ex *τοὺσ* corr. L 21 *παραδοὺσ ἀνὰ χιλίουσ* tr. L *δὲ* VR *Κερεάλιον*] *Keranos* Syr 22 *ἑνάτην τῆσ νυκτὸσ* tr. L 23 *συνκαταβαίνειν* A 24 *κατέσχον*] *ηντέσχον* L 25 *πλέον* MLVRC

στρατιώταις ἢ εἰ καταβὰς προκινδυνεύοι· πάντας γὰρ ὁρῶντος Καί-
134 σαρος ἀγαθοὺς πολεμιστὰς ἔσεσθαι. τούτοις πεισθεὶς Καῖσαρ καὶ
δι' ἓν τοῦτο τοῖς στρατιώταις ὑπομένειν εἰπών, ἵνα κρίνῃ τὰς ἀρετὰς
αὐτῶν καὶ μήτε τῶν ἀγαθῶν τις ἀγέραστος μήτε τῶν ἐναντίων
ἀτιμώρητος διαλάθῃ, γένηται δὲ αὐτόπτης καὶ μάρτυς ἁπάντων ὁ
135 καὶ τοῦ κολάζειν καὶ τοῦ τιμᾶν κύριος, τοὺς μὲν ἐπὶ τὴν πρᾶξιν
ἔπεμπε καθ' ἣν ὥραν προείρηται, προελθὼν δὲ αὐτὸς εἰς τὸ εὐκάτ-
οπτον ἀπὸ τῆς Ἀντωνίας ἐκαραδόκει τὸ μέλλον.

136 6. Οἱ μὴν οἵ γε πεμφθέντες τοὺς φύλακας εὗρον κοιμωμένους,
ὡς ἤλπισαν, ἀλλ' ἀναπηδήσασι μετὰ κραυγῆς εὐθέως συνεπλέκοντο·
πρὸς δὲ τὴν βοὴν τῶν ἐκκοιτούντων ἔνδοθεν οἱ λοιποὶ κατὰ στῖφος
137 ἐξέθεον. τῶν μὲν δὴ πρώτων τὰς ὁρμὰς ἐξεδέχοντο Ῥωμαῖοι· περιέ-
πιπτον δ' οἱ μετ' ἐκείνους τῷ σφετέρῳ τάγματι, καὶ πολλοὶ τοῖς
138 οἰκείοις ὡς πολεμίοις ἐχρῶντο. τὴν μὲν γὰρ διὰ βοῆς ἐπίγνωσιν ἡ
κραυγὴ συγχυθεῖσα παρ' ἀμφοῖν, τὴν δὲ δι' ὀμμάτων ἡ νὺξ ἕκαστον
ἀφείλετο, καὶ τυφλώττειν ἄλλως οἷς μὲν οἱ θυμοὶ παρεσκεύαζον
οὓς δ' οἱ φόβοι· διὰ τοῦτο τὸν προστυχόντα πλήττειν ἦν ἄκριτον.
139 Ῥωμαίους μὲν οὖν συνησπικότας καὶ κατὰ συντάξεις προπηδῶντας
ἧττον ἔβλαπτεν ἡ ἄγνοια· καὶ γὰρ ἦν παρ' ἑκάστῳ μνήμη τοῦ συν-
140 θήματος· Ἰουδαῖοι δ' ἀεὶ σκεδαννύμενοι καὶ τάς τε προσβολὰς καὶ
τὰς ὑποχωρήσεις ἀνέδην ποιούμενοι πολλάκις φαντασίαν παρεῖχον
ἀλλήλοις πολεμίων· τὸν ὑποστρέφοντα γὰρ ἕκαστος οἰκεῖον διὰ

PAMLVRC Lat Syr Hegesippus V 35 p. 349. Zonaras I p. 538.

1 *προκινδυνεύοι, οι* i. ras. A *πάντα* R 2 *τούτοις — 3 εἰπών*] *his dictis paruit. deinde ob hoc solum se manere locutus ad milites* Lat *Καῖσαρ*] *ὁ καῖσαρ* VRC, om. L *καὶ δι' ἓν*] *καὶ δια* L *διὰ* VR 3 litt. *ὑπο-*
μένειν εἰ i. ras. R 4 *ἐναντίων* ex *ἀναιτίων* corr. A 5 *γίνηται* M
γίνεται VR *δ'* C *αὐτόπτης*] *ἀπτότης* V *ἀπτόπτης* C 7 *ὥραν*
καὶ προείρηται VRC *δ'* C *εὐκάθοπτον* PA[1] *κάτοπτον* LVRC *speculam*
Lat 8 *ἀπὸ*] *ἐπὶ* C 9 i. marg. *ιβ'* C *εὗρον κοιμωμένους*] *κοιμωμένους*
ηὗρον L 10 *ἀλλ'* — 12 *ἐξέθεον*] *sed excitatis (excitati* alii) *cum clamore con-*
festim manus conseruerunt, excubitorum autem intus mane ceteri caterua tim
excurrere ut uid. Lat *ἀλλὰ* VR *ἀναπηδήσαντες* MVR 11 *τὴν τῶν ἐκκοι-*
τούντων (*προκοιτούντων* M) *βοὴν* tr. MLVRC 12 *μὲν δὴ*] *δὲ ἤδη* L *πρῶ-*
τον A[1]L 13 *δὲ* PLVR *μετ ἐκείνους* A 14 *ἐχρῶντο, ρῶ* i. ras. M
τὴν μὲν γὰρ] *καὶ την μὲν* L 15 *συγχυθεῖσα* C 16 *ἀφείλατο* PA[1]V[1]R
οὓς μὲν οἱ θυμοὶ] *quosdam furor — alios iracundia* Lat 17 *δὲ* LVR *προσ-*
τοιχόντα C *ἄκριτον ἦν* tr. L 18 *οὖν*] om. P *οὖν, ο* ex *ὀ* corr. A *οὐ* L
19 *ἡ* om. LVRC *συνθήματος, θή* i. ras. 4 litt. V 20 *δὲ* LVR *ἀεὶ*] *αἰεὶ* L,
om. Lat *σκεδαννύμενοι* ex *ἐσκεδασμένοι* corr. P *καὶ* eras. L 21 *ἀποχω-*
ρήσεις PA *ἀνέδην, ην* i. ras. A *ἀναίδην* LV[1]R *πολλάκι* VR[1]

σκότους ὡς ἐπιόντα Ῥωμαῖον ἐξεδέχετο. πλείους γοῦν ὑπὸ τῶν 141
ἰδίων ἢ τῶν πολεμίων ἐτρώθησαν, ἕως ἡμέρας γενομένης ὄψει τὸ
λοιπὸν ἡ μάχη διεκρίνετο, καὶ κατὰ φάλαγγα διαστάντες τοῖς τε
βέλεσιν εὐτάκτοις ἐχρῶντο καὶ ταῖς ἀμύναις. οὐδέτεροι δὲ οὔτ' 142
εἶχον οὔτ' ἐκποίων, ἀλλ' οἱ μὲν ὡς ἐφορῶντος Καίσαρος καὶ' ἄνδρα
καὶ κατὰ συντάξεις ἤριζον ἀλλήλοις, καὶ προκοπῆς ἕκαστος ἐκείνην
αὐτῷ τὴν ἡμέραν ἄρξειν ὑπελάμβανεν, εἰ γενναίως ἀγωνίσαιτο·
Ἰουδαίοις δ' ἐβράβευε τὰς τόλμας ὅ τε περὶ σφῶν αὐτῶν καὶ τοῦ 143
ἱεροῦ φόβος καὶ ὁ τύραννος ἐφεστὼς καὶ τοὺς μὲν παρακαλῶν, τοὺς
δὲ μαστιγῶν καὶ διεγείρων ἀπειλαῖς. συνέβαινε δὲ τὸ μὲν πλεῖστον 144
σταδιαίαν εἶναι τὴν μάχην, ἐν ὀλίγῳ δὲ καὶ ταχέως ἀντιστρέφεσθαι
τὰς ῥοπάς· οὐδέτεροι γὰρ οὔτε φυγῆς οὔτε διώξεως μῆκος εἶχον.
ἀεὶ δὲ πρὸς τὸ συμβαῖνον οἰκεῖος ἀπὸ τῆς Ἀντωνίας ὁ θόρυβος 145
ἦν, θαρρεῖν δὲ καὶ κρατοῦσι τοῖς σφετέροις ἐπεβόων καὶ μένειν
τρεπομένοις. ἦν δὲ ὥσπερ τι πολέμου θέατρον· οὐδὲν γὰρ οὔτε 146
Τίτον οὔτε τοὺς περὶ αὐτὸν ἐλάνθανε τῶν κατὰ τὴν μάχην. τὸ 147
δὲ πέρας ἀρξάμενοι τῆς νυκτὸς ἑνάτης ὥρας ὑπὲρ πέμπτην τῆς
ἡμέρας διελύθησαν ἀφ' οὗπερ ἤρξαντο τόπου τῆς συμβολῆς, μηδέ-
τεροι βεβαίως κλίναντες τοὺς ἑτέρους, ἀλλὰ τὴν νίκην μέσην ἐν ἀγ-
χωμάλῳ καταλιπόντες. καὶ Ῥωμαίων μὲν ἐπισήμως ἠγωνίσαντο 148
πολλοί, Ἰουδαίων δ' ἐκ μὲν τῶν περὶ Σίμωνα Ἰούδης ὁ τοῦ Μα-
ρεώτου καὶ Σίμων ὁ τοῦ Ὀσαΐα, τῶν δὲ Ἰδουμαίων Ἰάκωβος καὶ

PAMLVRC Lat Syr Hegesippus IV 35 p. 349. Zonaras I p. 538.

1 *ῥωμαίων* PA *πλείστους* L 3 *τε* om. L 4 *εὐτάκτως* L *ordine* Lat *ταῖς ἀμύναις*] *τοῖς ἀμυνομένοις* L *ultionibus* Lat *δὲ* om. L *οὔτε* MVR 5 *εἶχον* (sic) L *οὔτε* VR *Καίσαρος*] *τίτου* AMLVRC Syr *imperatoris* Lat 6 *ἐκείνην* om. L 7 *ἄρξαι* L 8 *δὲ* VR 10 litt. *συνέβαινε δὲ τὸ μὲν πλεῖ* i. ras. A 12 *μῆκος*] *μῆκος τόπου* P 13 *ἀεὶ* — 15 *τρεπομένοις*] *pro suorum autem euentu ex antonia tumultus erat, et confidere superantibus et stare si fugerent acclamantium* Lat *δὲ* om. A *οἰκεῖος*] *οἰκείοις* PAVR *τοῖς οἰκείοις* M, om. L; de Syr non liquet *ἦν ὁ θόρυβος* tr. L 14 *δὲ*] *τε* Destinon *καὶ* spurium putat Destinon *ἐπεβόων*] *ἐπιβοώντων* LLat 15 *προτρεπομένοις* PM *δὲ*] *δ'* LC *τε* Niese 17 *ὑπὲρ*] *περὶ* Niese *πέμπτης* L 19 *ἀγχομάλῳ* PR 20 *καταλιπόντες*] *καταλειπόντες* P *τῇ παρατάξει καταλιπόντες* (*καταλειπόντες* A) AMLVRC (*in*) *ancipite proelio* Lat *καὶ* om. Lat *ῥωμαῖοι* L *ἐπίσημοι* VR *ἠγωνίσαντο πολλοί*] *ἠγωνίσαντο, πολλοὶ δὲ καὶ* L 21 *δ' ἐκ*] suppl. A *ἐκ* L *δὲ ἐκ* VR *τῶν*] *τὸν* LR patrum nomina om. Syr *ἰούδας* C *iudas* aut *iudeus* Lat *μαραιώτου* L *μέρτωνος* C *martheoti* Lat; cf. § 92 22 *Ὀσαΐα*] *ὀσαΐα* M *ἡσαΐα* A *ἰωσία* L *οσαια* (sic) V *ὁσαΐα* R *ιωσίου* C *osaiae* cod. Vat. *iosiae* cod. Berol. Lat *ἰδουμαίων*, inter *ἰ* et *δ* ras. 1—2 litt. V

Σίμων, Ἀκατελᾶ μὲν οὗτος παῖς, Σωσᾶ δὲ ὁ Ἰάκωβος, τῶν δὲ μετὰ
Ἰωάννου Γεφθέος καὶ Ἀλεξᾶς, τῶν δὲ ζηλωτῶν Σίμων υἱὸς Ἀρί.
149 7. *Ἐν τούτῳ δ' ἡ λοιπὴ τῶν Ῥωμαίων δύναμις ἡμέραις ἑπτὰ*
καταστρεψαμένη τοὺς τῆς Ἀντωνίας θεμελίους μέχρι τοῦ ἱεροῦ πλα-
150 *τεῖαν ὁδὸν εὐτρεπίσαντο. πλησιάσαντα δὲ τῷ πρώτῳ περιβόλῳ* 5
τὰ τάγματα κατήρχετο χωμάτων, τὸ μὲν ἀντικρὺς τῆς τοῦ ἐσω
ἱεροῦ γωνίας, ἥτις ἦν κατ' ἄρκτον καὶ δύσιν, τὸ δὲ κατὰ τὴν βό-
151 *ρειον ἐξέδραν, ἣ μεταξὺ τῶν δύο πυλῶν ἦν· τῶν δὲ λοιπῶν δύο*
θάτερον μὲν κατὰ τὴν ἑσπέριον στοὰν τοῦ ἔξωθεν ἱεροῦ, τὸ δ'
ἕτερον ἔξω κατὰ τὴν βόρειον. προύκοπτεν μέντοι μετὰ πολλοῦ 10
καμάτου καὶ ταλαιπωρίας αὐτοῖς τὰ ἔργα [καὶ] τὴν ὕλην ἀφ' ἑκατὸν
152 *σταδίων συγκομίζουσιν, ἐκακοῦντο δ' ἔσθ' ὅπη καὶ κατ' ἐπιβουλάς,*
αὐτοὶ διὰ περιουσίαν τοῦ κρατεῖν ὄντες ἀδεέστεροι καὶ δι' ἀπό-
153 *γνωσιν ἤδη σωτηρίας χρώμενοι τολμηροτέροις τοῖς Ἰουδαίοις. τῶν*
γὰρ ἱππέων τινὲς ὁπότε προέλθοιεν ἐπὶ ξυλείαν ἢ χόρτου συλλογήν, 15
τὸν τῆς συγκομιδῆς χρόνον ἀνίεσαν βόσκεσθαι τοὺς ἵππους ἀπο-
154 *καλινοῦντες, οὓς οἱ Ἰουδαῖοι κατὰ στῖφος ἐκπηδῶντες ἥρπαζον. καὶ*
τούτου συνεχῶς γινομένου νομίσας Καῖσαρ, ὅπερ ἦν, ἀμελείᾳ τῶν
σφετέρων πλέον ἢ τῇ Ἰουδαίων ἀνδρείᾳ γίνεσθαι τὰς ἁρπαγάς,
ἔγνω σκυθρωπότερον τοὺς λοιποὺς πρὸς φυλακὴν τῶν ἵππων ἐπι- 20
155 *στρέψαι. καὶ κελεύσας ἀπαχθῆναι τὴν ἐπὶ θανάτῳ τῶν ἀπολε-*
σάντων στρατιωτῶν ἕνα, φόβῳ τοῖς ἄλλοις ἐτήρησε τοὺς ἵππους·

PAMLVRCLatSyrHegesippus V 36 p. 350. Zonaras I p. 538.

1 *ἀκατελὰ* PA *νακατέλα* MV *νακάτελα* R *κατθαία* L *καθλᾶ* C *mathiae* aut *cathiae* Lat; cf. p. 468, 15 *παῖς*] *παῖσ ἦν* M *σωσὰ* P *ὁ* om. P *ἰάκοβοσ* R 2 *γεφθαῖοσ* MLVRSyr *γνφθαῖοσ* C *gestheus* aut *testheus* (h. e. *geptheus*) Lat; cf. p. 499,16 *ἀλεξασ* (sic) P *ἀλεξάσ* A *ἀλέξασ* L *alexander* Lat *Σίμων υἱὸς*] *υἱὸσ σίμων* R¹ *Ἀρί*] *ἀρεῖ* MR *ἀρει* V *ἀρεῖ καὶ ἀλέξασ* L *ἰαείρου* C *tariginae* Lat 3 *δὲ* VR 5 *ὁδὸν*] *ἄνοδον* ALVRCSyrZon *uiam* LatHeg *εὐτρεπίσαντεσ* A *ηὐτρεπίσαντο* LZon *πλησιάσαντα* — 10 *βόρειον* male intellexit Syr *τῷ πρώτῳ περιβόλῳ*] *muro* Lat 6 *κατήρχετο*] *κατῆρχε τῶν* L *ἄντικρυσ* PMLVRC et ex corr. A *εἴσω*] *ἔσω* L, om. C 7 *κατὰ* L 8 *δύο* (post *λοιπῶν*) om. L 9 *μὲν* — 10 *ἕτερον* om. L *δὲ* VRC 10 *ἔξω*] *ἐξοῦ* L, om. Lat *προέκοπτεν* P 11 *τα* ex *τε* corr. A *καὶ* om. CLat *ἀπὸ* L 12 *δὲ* MVR 13 *αὐτοὶ*] *αὐτοὶ δὲ* L *ἀδεέστεροι*] *ἀηδέστεροι* M 14 *ἤδη* om. L *ἤδη* — *τολμηροτέροις* om. C 15 *προσέλθοιεν* R *ξυλίαν* PAR 16 *τὸν* — *χρόνον*] *per breue tempus* Syr *συγκομιδῆς*] *κομιδῆσ* MLVRC 17 *οἱ* om. ML *Ἰουδαῖοι*] *ἰδαῖοι* C *idumaei* Syr 18 *συνεχῶς* om. Syr *γινομένου*, *ι* ex *ε* corr. A *γενομένου* ut uid. Syr 19 *τῇ*] *τὴ τῶν* P *ἀνδρία* VRC 20 *ἔγνω* om. L *ἵππων*] ALat *ἱππέων* PMLVRC 21 *ἀπαχθῆναι* s. P *τὴν* om. C *θανάτῳ*] LCLatSyr *θανάτῳ τινὰσ* PAMVR 22 *στρατιωτῶν*] *τῶν στρατιωτῶν* P *ἕνα φόβῳ*] CLatSyr *ἐν ἀφόβω* PAMLVR

οὐκέτι γὰρ εἴων νέμεσθαι, καθάπερ δὲ συμπεφυκότες αὐτοῖς ἐπὶ τὰς χρείας ἐξῆεσαν. οἱ μὲν οὖν προσεπολέμουν τῷ ἱερῷ καὶ τὰ 156
χώματα διήγειρον.

8. Μετὰ δὲ μίαν ἡμέραν αὐτῶν τῆς ἀνόδου πολλοὶ τῶν στα- 157
σιαστῶν, οἷς ἁρπαγαί τε ἐπέλειπον ἤδη καὶ ὁ λιμὸς ἤπειγε, συνελθόντες ταῖς κατὰ τὸ Ἐλαιῶν ὄρος Ῥωμαίων φυλακαῖς ἐπιτίθενται περὶ ὥραν ἐνδεκάτην τῆς ἡμέρας, οἰόμενοι πρῶτον μὲν ἀδοκήτων, ἔπειτα πρὸς θεραπείαις ἤδη τοῦ σώματος ὄντων ῥᾳδίως διεκπαίσειν. προαισθόμενοι δὲ τὴν ἔφοδον αὐτῶν οἱ Ῥωμαῖοι καὶ ταχέως 158
ἐκ τῶν πλησίον φρουρίων συνδραμόντες εἶργον ὑπερπηδᾶν καὶ διακόπτειν τὸ περιτείχισμα βιαζομένους. γενομένης δὲ καρτερᾶς τῆς 159
συμβολῆς ἄλλα τε πολλὰ παρ' ἑκατέρων γενναίως ἐπράχθη, Ῥωμαίων μὲν μετὰ τῆς ἰσχύος ἐμπειρίᾳ τοῦ πολεμεῖν χρωμένων, Ἰουδαίων δὲ ἀφειδέσι ταῖς ὁρμαῖς καὶ τοῖς θυμοῖς ἀκατασχέτοις· ἐστρα- 160
τήγει δὲ τῶν μὲν αἰδώς, τῶν δὲ ἀνάγκη· τό τε γὰρ ἐξαφεῖναι Ἰουδαίους ὥσπερ ἄρκυσιν ἐνειλημμένους Ῥωμαίοις αἴσχιστον ἐδόκει, κἀκεῖνοι μίαν ἐλπίδα σωτηρίας εἶχον, εἰ βιασάμενοι ῥῆξειαν τὸ τεῖχος· καὶ τῶν ἀπὸ σπείρας τις ἱππέων, Πεδάνιος τοὔνομα, τρε- 161
πομένων ἤδη τῶν Ἰουδαίων καὶ κατὰ τῆς φάραγγος συνωθουμένων ῥᾴθιον ἐκ πλαγίου παρελαύνων τὸν ἵππον ἁρπάζει τινὰ φεύγοντα τῶν πολεμίων, νεανίαν στιβαρόν τε ἄλλως τὸ σῶμα καὶ καθωπλισμένον, δραξάμενος ἐκ τοῦ σφυροῦ· τοσοῦτον μὲν ἑαυτὸν ἐκ τρέχοντος 162

PAMLVRCLatSyrHegesippus V 36 p. 350. Suidas s. *Τίτος*, *ῥόθιον*, *στιβαρόν*.

1 *εἴω* L *δὲ*] *δὴ* L *ἐπὶ τὰς χρείας*] *τὰσ χεῖρασ* L 2 *τὸ ἱερὸν* A 3 *διήγειραν* PAMVRC 4 i. marg. *ιε'* C 5 *οἷς*] *οὗσ* L *οἷσ αἱ* PM *ἐπέλιπον* C *ἤπειγε, ει* ex *η* corr. A *ἐπείγε* P *ἤπεγε* C *συνελθόντες*] *σανελθόντεσ* sic A 6 *ἐλεῶν* R *eleonam* Lat *φύλακεσ* R *φυλακαῖσ ῥωμαίων* tr. L *ἐπὶ τίθένται* L *ἐντίθενται* C 8 *ἔπειτα*] *ἐπὶ τὰ* L *θεραπείαις*] Niese *θεραπείασ* codd. *θεραπείᾳ* Bekker *διεκπαίσειν*] Destinon *διεκπαίειν* PAMLVR *διεκπεσεῖν* C *decipi posse* (—*sperabant*) Lat 10 *πλησίων* LC *propriis* Lat *εἶργον, ειρ* ex corr. M *διανακόπτειν* L 11 *τὸ περιτείχισμα*] *τὸ ὑπὲρ τὸ τείχισμα* L 13 *χρωμένουσ* L 14 *δ'* C *τοῖσ·θυμοῖσ* L 15 *δ'* C *τό τε*] *tunc* Syr *Ἰουδαίους*] *τοῦ δέουσ* L 16 *ἐνειλημένους* Destinon *inretitos* Lat 18 *καὶ* — 534,5 *κελεύσας* habet Suidas s. *Τίτος* omissis quibusdam aut immutatis *τις* om. C *παιδάνιοσ* L 19 *συνωθουμένω* M 20 *ῥόθιον* — 21 *πολεμίων* habet Suidas s. *ῥόθιον* *ῥόθιον* — *ἵππον*] *equo in aduersum montem a latere incitato praeteruectus* Lat *ῥόθιον*] *ὄρθιον* ex corr. A *παρελαύνων* — 21 *νεανίαν* excerpsit Suid s. *στιβαρόν* *ἁρπά·ζει* (eras. uid. *γ*) A *ἁρπάζειν* V *φεύγοντα τῶν πολεμίων*] *ex hostibus fugam petentibus* Lat 21 *τε* — *σῶμα*] *κατὰ τὸ σῶμα* Suid s. *Τίτος* *ἄλλωσ, ω* ex *ου* corr. A *καθοπλισμένον* C *ὡπλισμένον* Suid 22 *ἐκ τρέχοντος*] *ἐκτρέχοντοσ* legebatur ante Hudsonum *currente* Lat; *ex equo se inclinauerat* Syr

ἐπέκλινε τοῦ ἵππου, τοσοῦτον δὲ ἐπεδείξατο τῆς δεξιᾶς τὸν τόνον
163 καὶ τοῦ λοιποῦ σώματος ἔτι δ' ἐμπειρίας ἱππικῆς. ὁ μὲν οὖν
ὥσπερ τι κειμήλιον ἁρπασάμενος ἦκε φέρων Καίσαρι τὸν αἰχμά-
λωτον· Τίτος δὲ τὸν μὲν λαβόντα τῆς δυνάμεως θαυμάσας, τὸν δὲ
ληφθέντα τῆς περὶ τὸ τεῖχος ἐπιχειρήσεως κολάσαι κελεύσας, αὐτὸς 5
ἐν ταῖς περὶ τὸ ἱερὸν διαμάχαις ἦν καὶ τὰ χώματα κατήπειγεν.
164 9. Ἐν ᾧ Ἰουδαῖοι κακούμενοι ταῖς συμβολαῖς ἀεὶ κατ' ὀλίγον
κορυφουμένου τοῦ πολέμου καὶ τῷ ναῷ προσέρποντος, καθάπερ
σηπομένου σώματος ἀπέκοπτον τὰ προειλημμένα μέλη φθάνοντες
165 τὴν εἰς τὸ πρόσω νομήν. τῆς γὰρ βορείου καὶ κατὰ δύσιν στοᾶς 10
τὸ συνεχὲς πρὸς τὴν Ἀντωνίαν ἐμπρήσαντες ἔπειτα ἀπέρρηξαν ὅσον
166 πήχεις εἴκοσι, ταῖς ἰδίαις χερσὶν ἀρξάμενοι καίειν τὰ ἅγια. μετὰ
δ' ἡμέρας δύο, τετράδι καὶ εἰκάδι τοῦ προειρημένου μηνός, τὴν
πλησίον στοὰν ὑποπιμπρᾶσι Ῥωμαῖοι, καὶ μέχρι πεντεκαίδεκα πη-
χῶν προκόψαντος τοῦ πυρὸς ἀποκόπτουσιν ὁμοίως Ἰουδαῖοι τὴν 15
ὀροφήν, μήτε καθάπαξ ἐξιστάμενοι τῶν ἔργων καὶ τὸ πρὸς τὴν
167 Ἀντωνίαν συναφὲς αὐτῶν διαιροῦντες· διὸ καὶ παρὸν κωλύειν ὑπο-
πιμπράντας, οἱ δὲ πρὸς τὴν ἐμβολὴν τοῦ πυρὸς ἠρεμήσαντες τὴν
168 νομὴν ἐμέτρησαν αὐτῷ σφίσι χρησίμως. περὶ μὲν δὴ τὸ ἱερὸν οὐ
διέλειπτον αἱ συμβολαί, συνεχὴς δ' ἦν κατὰ μέρος ἐκθεόντων ἐπ' 20
ἀλλήλους ὁ πόλεμος.
169 10. Τῶν Ἰουδαίων δέ τις κατὰ ταύτας τὰς ἡμέρας ἀνὴρ τό τε

PAMLVRC Lat Syr Hegesippus V 36 p. 350. Zonaras I p. 538. Suidas s. *Τίτος*.

1 δ' LC *ἐπεδείξατο, ξα* suppl. A *τῆς*] *τῆσ τε* AVRC *τὸν* om. Suid 2 *δὲ* VR *ἔτι — ἱππικῆς*] *καὶ τῆς ἱππικῆς τέχνης τὴν ἀρετήν* Suid *ἐμπειρίαν* habuisse uid. Syr et Suid fort. recte 3 *φέρων — 4 λαβόντα* i. marg. suppl. A *τῷ Καίσαρι* Suid 4 *ὁ δὲ Τίτος* Suid *θαυμάσας*] *ἐθαύμασεν* L *ὑπερθαυμάσας* Suid *τὸν δὲ — 5 κελεύσας*] *δώροις αὐτὸν ἀμείψας τὸν ληφθέντα ἀπέκτεινε* Suid 6 *ἐν — ἦν*] *ad solitas pugnas rediit* Syr *διαμαχίαισ* L 7 i. marg. *ις'* C *Ἰουδαῖοι*] *ἰουδαῖοι μὲν* L *κακούμεστνοι* sic A 9 *μέλη*] *μέρη* L 10 *πρόσω··* V 13 *δὲ* VR *μετὰ δ' ἡμέρας δύο*] *biduo autem post idus* Lat *τετράδι*] *τετάρτη* C Panemi 24. dies est 12. Augusti (prid. id. Aug.) anni Iuliani (70 p. Chr.) 14 *πλησίον*] *πλησίαν* Zon, om. Lat *ὑποπιμπρῶσι* MVR *ὑποπιπρῶσι* C 16 *καθάπαξ*] *καθάπαν* LVRC *omnino* Lat *καὶ τὸ — 19 χρησίμως*] *et antoniae continentia dirimentes, cum liceret eis ac deberent incendium prohibere; itaque immisso igne cursum eius otiosi pro sua utilitate metiebantur* Lat *τὸ* om. M 17 *συναφὲς αὐτῶν*] *σὺν αφ' ἑαυτῶν* (*σὺν* eras.) L *διὸ* om. MVRC *ὑποπιμπράντεσ* MLVR 19 *ἐμέτρησαν*] *ἐνέμησαν* VRC *ἐμέτρησαν τῷ σφίσι χρησίμῳ* Niese *τοῦ ἱεροῦ* M 20 *δὲ* VR 21 *ἀλλήλοισ* L 22 i. marg. *ιζ'* C *τὰς*] suppl. A om. L

σῶμα βραχὺς καὶ τὴν ὄψιν εὐκαταφρόνητος γένους θ' ἕνεκα καὶ τῶν
ἄλλων ἄσημος, Ἰωνάθης ἐκαλεῖτο, προελθὼν κατὰ τὸ τοῦ ἀρχιερέως
Ἰωάννου μνημεῖον ἄλλα τε πολλὰ πρὸς τοὺς Ῥωμαίους ὑπερηφάνως 170
ἐφθέγγετο καὶ τὸν ἄριστον αὐτῶν εἰς μονομαχίαν προυκαλεῖτο. τῶν
δὲ ταύτῃ παρατεταγμένων οἱ πολλοὶ μὲν ὑπερηφάνουν, ἦσαν δ' οἳ
κατὰ τὸ εἰκὸς ἐδεδοίκεσαν, ἥπτετό γε μὴν τινῶν καὶ λογισμὸς οὐκ
ἀσύνετος θανατῶντι μὴ συμπλέκεσθαι· τοὺς γὰρ ἀπεγνωκότας τὴν 171
σωτηρίαν ἅμα καὶ τὰς ὁρμὰς ἀταμιεύτους ἔχειν καὶ τὸ θεῖον εὐ-
δυσώπητον, τό τε παραβάλλεσθαι πρὸς οἷς καὶ τὸ νικᾶν οὐ μέγα
καὶ μετ' αἰσχύνης τὸ λειφθῆναι σφαλερόν, οὐκ ἀνδρείας ἀλλὰ θρα-
σύτητος εἶναι. μηδενὸς δ' ἐπὶ πολὺ προϊόντος καὶ τοῦ Ἰουδαίου 172
πολλὰ κατακερτομοῦντος αὐτοὺς εἰς δειλίαν, ἀλαζὼν γάρ τις ἦν
αὐτῷ σφόδρα καὶ ὑπερήφανος, τῶν Ῥωμαίων τις Πούδης ὄνομα
τῶν ἐξ ἴλης ἱππέων βδελυξάμενος αὐτοῦ τά τε ῥήματα καὶ τὸ αὐ-
θάδες, εἰκὸς δὲ καὶ πρὸς τὴν βραχύτητα τοῦ σώματος αὐτὸν ἀσκέπ- 173
τως ἐπαρθῆναι, προπηδᾷ, καὶ τὰ μὲν ἄλλα περιῆν συμβαλών, προε-
δόθη δὲ ὑπὸ τῆς τύχης· πεσόντα γὰρ αὐτὸν ὁ Ἰωνάθης ἀποσφάττει
προσδραμών. ἔπειτα ἐπιβὰς τῷ νεκρῷ τό τε ξίφος ἡμαγμένον ἀνέ- 174
σειε καὶ τῇ λαιᾷ τὸν θυρεὸν ἐπηλάλαξέ τε τῇ στρατιᾷ πολλὰ καὶ
πρὸς τὸν πεσόντα κομπάζων καὶ τοὺς ὁρῶντας Ῥωμαίους ἐπισκώπ-
των, ἕως αὐτὸν ἀνασκιρτῶντα καὶ ματαΐζοντα Πρῖσκός τις ἑκατον- 175
τάρχης τοξεύσας διήλασε βέλει· πρὸς ὃ τῶν τε Ἰουδαίων καὶ τῶν
Ῥωμαίων κραυγὴ συνεξήρθη διάφορος. ὁ δὲ δινηθεὶς ἐκ τῶν ἀλ- 176

PAMLVRCLatSyrHegesippus V 37 p. 351.

1 θ'] τ' A τε MVRC, om. PL εἵνεκα L 2 τὸ om. C τοῦ om. VR 3 ἰωάνου, ἰω i. ras. 3 litt. A 4 προεκαλεῖτο L 5 δὲ VR 6 ἐδεδοίκεσαν (eras. ει) L 7 μὴ συμπλέκεσθαι A 8 ἅμα — εὐδυσώπητον] *neque cautos impetus deumque habere placabilem* Lat ἅμα] Destinon ἀλλὰ PAL τά τε ἄλλα MVR ταῦτ' ἄλλα C 9 ἀδυσώπητον VC πρὸς] καὶ πρὸς L 10 ληφθῆναι L σφαλερόν] βλαβερόν C ἀνδρίας V²C 11 μηδενὸς δ'] καὶ μηδενὸς L μηδενὸς δὲ VR προσιόντος L 12 κερτομοῦντος L ἀλαζὼν — 14 ἱππέων] *erat enim (autem* cod. Vat) *arrogantissimus quidam superbus e romanis nomine pudens ex ala equitum* Lat 13 αὐτῷ σφόδρα] αὐτῶ σφόδρα M σφόδρα ἑαυτοῦ L αὐτὸς σφόδρα C ὑπερήφανος, τῶν Ῥωμαίων τις Πούδης] CLatHeg τῶν ῥωμαίων ὑπερήφανος πούδης τις PAMLVRSyr Πούδης] *udos* Syr ὄνομα] τούνομα L 14 εἵλης V¹ εἴλης (sic) L εἰλῆς R βδελλυξάμενος C τε om. L 15 εἰκὸς] εἰκάσας Naber ἀπερισκέπτως C 16 προσπηδᾷ L συμβάλλων L 17 δὲ] δ' LC, om. R ὁ om. M 18 ἐπιστὰς L 19 τῇ λαι|ῶι A ἀπηλάλαξέ M ἐπιλάλαξε R 20 ἐπισκόπτων PA 21 ἀνασκηρτῶντα A μεταΐζοντα L 23 δεινηθεὶς A¹V¹R ἐκ] ὑπὸ L

γηδόνων ἐπὶ τὸ σῶμα τοῦ πολεμίου κατέπεσεν, ὠκυτάτην ἀποφήνας
ἐν πολέμῳ τὴν ἐπὶ τῷ ἀλόγως εὐτυχοῦντι νέμεσιν.
177 III. 1. Οἱ δὲ ἀνὰ τὸ ἱερὸν στασιασταὶ φανερῶς τε οὐκ ἀνίεσαν
τοὺς ἐπὶ τῶν χωμάτων στρατιώτας ἀμυνόμενοι καθ' ἑκάστην ἡμέραν,
καὶ τοῦ προειρημένου μηνὸς ἑβδόμῃ καὶ εἰκάδι δόλον ἐνσκευάζονται
178 τοιόνδε. τῆς ἑσπερίου στοᾶς τὸ μεταξὺ τῶν δοκῶν καὶ τῆς ὑπ'
αὐτῆς ὀροφῆς ὕλης ἀναπιμπλᾶσιν αὖης, πρὸς δὲ ἀσφάλτου τε καὶ
179 πίσσης· ἔπειθ' ὡς καταπονούμενοι δῆθεν ὑπεχώρουν. πρὸς ὃ τῶν
μὲν ἀσκέπτων πολλοὶ ταῖς ὁρμαῖς φερόμενοι προσέκειντο τοῖς ὑπο-
χωροῦσιν ἐπί τε τὴν στοὰν ἀνεπήδων προσθέμενοι κλίμακας, οἱ δὲ
συνετώτεροι τὴν ἄλογον τροπὴν τῶν Ἰουδαίων ὑπονοήσαντες ἔμενον.
180 κατεπλήσθη μέντοι τῶν ἀναπηδησάντων ἡ στοά, κἀν τούτῳ Ἰουδαῖοι
πᾶσαν ὑποπιμπρᾶσιν αὐτήν. αἰρομένης δ' αἰφνιδίως πάντοθεν τῆς
φλογὸς τούς τε ἔξω τοῦ κινδύνου Ῥωμαίους ἔκπληξις ἐπέσχε δεινὴ
181 καὶ τοὺς περισχεθέντας ἀμηχανία. κυκλούμενοι δὲ ὑπὸ τῆς φλογὸς
οἱ μὲν εἰς τὴν πόλιν ὀπίσω κατεκρήμνιζον ἑαυτούς, οἱ δ' εἰς τοὺς
πολεμίους, πολλοὶ δ' ἐλπίδι σωτηρίας εἰς τοὺς σφετέρους κατα-
πηδῶντες ἐκλῶντο τὰ μέλη, πλείστων δ' ἔφθανε τὰς ὁρμὰς τὸ πῦρ
182 καί τινες τὴν φλόγα σιδήρῳ. περιεῖχε δ' εὐθέως καὶ τοὺς ἄλλως
φθειρομένους τὸ πῦρ ἐπὶ πλεῖστον ἐκφερόμενον. Καίσαρα δὲ καίπερ
χαλεπαίνοντα τοῖς ἀπολλυμένοις, ἐπειδὴ δίχα παραγγέλματος ἀνα-
183 βεβήκεσαν, ὅμως οἶκτος εἰσῄει τῶν ἀνδρῶν· καὶ μηδενὸς προσα-
μύνειν δυναμένου, τοῦτο γοῦν παραμύθιον ἦν τοῖς φθειρομένοις τὸ
βλέπειν ὑπὲρ οὗ τις ἠφίει τὴν ψυχὴν ὀδυνώμενον· βοῶν τε γὰρ
αὐτοῖς καὶ προπηδῶν καὶ τοῖς περὶ αὐτὸν ἐκ τῶν ἐνόντων ἐπα-

PAMLVRC Lat Syr Hegesippus V 37 p. 352. Zonaras I p. 538.

1 *πολέμου* VR 2 *τῷ*] *τὸ* A *τοῖσ* MLVRC *εὐτυχοῦσι* MLVRC *νέμεσιν*, *νε* i. ras. A *νέμειν* R^1 3 i. marg. *ηι'* (sic) C *δ'* LCZon *ἀνὰ*] *κατὰ* M 5 *ἑβδόμῃ καὶ εἰκάδι*] *εἰκάδι ἑβδόμῃ* L Panemi 27. dies est 15. Augusti (XVIII kal. Sept.) anni Iuliani 70 p. Chr. 6 *σπερίου* C *τὸ* — 7 *ὀροφῆς*] *spatium quod inter culmina ac trabes erat uacuum* Lat *ὑπ' αὐτῆς*] *ἀπ' αὐτῆσ* MVRC *ὑπ' αὐταῖς* ed. pr. *ἐπ' αὐτῆς* cod. L. B. apud Hauerkampum *ἀναπίμπλασιν* L *ἀναπιμπλᾶσιν*, *λ* ex *ρ* corr. V *ἀναπιπλᾶσιν* C *αὖης*] *στύπης* L 8 *ἔπειθ'*] *ἐπεὶ δ'* L *ἔπειτα* VRC 10 *ἐπήδων* VRC 12 *τοῦτο* PA *οἱ Ἰουδαῖοι* AMVRC 13 *ὑποπιμπρῶσιν* VR *ὑποπιπρῶσιν* C *δὲ* VR *τε* om. L 15 *περισχεθέντασ*, *θ* i. ras. M *δ'* LC 16 *ὀπίσω* om. CLat *κατακρημνίζοντεσ* Destinon *αὐτοὺσ* AV *αὑτοὺσ* MR *δὲ* VR 17 *δὲ* VR *εἰς τοὺς σφετέρους*] *in puteos* Lat 18 *δὲ* VR 19 *δὲ* VR *ἄλλουσ* MLatSyr 20 *φθειρομένους*] *fugientes* Lat *καῖσαρ* C *καίπερ* om. L 21 *ἀναβεβήκασιν* L 22 *προσαμύνειν*] *προσεπαμύνειν* M *κἀν προσαμύνειν* L *prohibere* — *incendium* Lat 24 *τισ* om. C *τὴν ψυχὴν ἠφίει* tr. C 25 *τοῖς*] *τοὺσ* C

μένειν παρακαλῶν δῆλος ἦν. τὰς δὲ φωνὰς ἕκαστος καὶ τὴν διά- 184
θεσιν ὥσπερ τι λαμπρὸν ἀποφέρων ἐντάφιον εὐθυμος ἀπέθνησκεν.
ἔνιοί γε μὴν ἐπὶ τὸν τοῖχον τῆς στοᾶς ὄντα πλατὺν ἀναχωρήσαντες 185
ἐκ μὲν τοῦ πυρὸς διεσώθησαν, ὑπὸ δὲ τῶν Ἰουδαίων περισχεθέντες
ἐπὶ πολὺ μὲν ἀντέσχον διατιτρωσκόμενοι, τέλος δὲ πάντες ἔπεσον.
2. καὶ τελευταῖός τις αὐτῶν νεανίας, ὀνόματι Λόγγος, ὅλον ἐπι- 186
κοσμήσας τὸ πάθος καὶ κατ' ἄνδρα μνήμης ἀξίων ὄντων πάντων
τῶν ἀπολωλότων ἄριστος φανείς. ὃν οἱ μὲν Ἰουδαῖοι τῆς τε ἀλκῆς 187
ἀγάμενοι καὶ ἄλλως ἀνελεῖν ἀσθενοῦντες καταβῆναι πρὸς αὐτοὺς
ἐπὶ δεξιᾷ παρεκάλουν, ὁ δὲ ἀδελφὸς Κορνήλιος ἐκ θατέρου μὴ
καταισχῦναι τὸ σφέτερον κλέος καὶ τὴν Ῥωμαίων στρατιάν. τούτῳ
πεισθεὶς καὶ διαράμενος φανερὸν ἑκατέροις τοῖς τάγμασι τὸ ξίφος
αὐτὸν ἀναιρεῖ. τῶν δὲ τῷ πυρὶ περισχεθέντων Ἀρτώριός τις πα- 188
νουργίᾳ διασώζεται· προσκαλεσάμενος γάρ τινα τῶν στρατιωτῶν
Λούκιον, ᾧ συνεσκήνει, μεγάλῃ τῇ φωνῇ „κληρονόμον, ἔφη, κατα-
λείπω σε τῶν ἐμαυτοῦ κτημάτων, εἰ προσελθών με δέξαιο.“ τοῦ 189
δὲ ἑτοίμως προσδραμόντος ὁ μὲν ἐπ' αὐτὸν κατενεχθεὶς ἔζησεν, ὁ
δὲ δεξάμενος ὑπὸ τοῦ βάρους τῷ λιθοστρώτῳ προσαραχθεὶς παρα-
χρῆμα θνήσκει. τοῦτο τὸ πάθος πρὸς καιρὸν μὲν Ῥωμαίοις ἐνε- 190
ποίησεν ἀθυμίαν, πρὸς δὲ τὸ μέλλον ὅμως ἀπαρακλήτους κατε-
σκεύασεν φυλακτικωτέρους τε πρὸς τὰς Ἰουδαίων ἀπάτας ὠφέλησεν,
ἐν αἷς τὰ πολλὰ δι' ἄγνοιαν τῶν τόπων καὶ τὸ ἦθος τῶν ἀνδρῶν
ἐβλάπτοντο. κατεκάη δ' ἡ στοὰ μέχρι τοῦ Ἰωάννου πύργου, ὃν 191
ἐκεῖνος ἐν τῷ πρὸς Σίμωνα πολέμῳ κατεσκεύασεν ὑπὲρ τὰς ἐξα-
γούσας ὑπὲρ τὸν ξυστὸν πύλας· τὸ δὲ λοιπὸν ἐπὶ διεφθαρμένοις

PAMLVRCLatHegesippus V 38 p. 353.

1 δὲ euan. P 2 ἀποφέρων] ἀποφαίνων C εὐθύμως L 5 τέλος, τ i. ras. A ἔπεσον, ο ex α corr. A 6 τελευταῖον MVRC αὐτῶν τίς tr. L fort. recte Λόγγος] *longinus* HegSyr ἐπισκομήσας C¹ 7 ἄξιον PAM ὄντων om. PAM πάντων om. L 8 τε om. P 9 ἀσθενοῦντες] θέλοντες LLat γρ ἀσθενοῦντες i. marg. L 10 ἐπιδεξιὰ P ἀδελφὸς δὲ tr. L 11 καταισχύνων L στρατείαν A τούτῳ ex τω corr. C 12 πισθεὶς A φανερὸν om. C 13 αὐτὸν AV ἑαυτὸν LC τῷ] τὸ A περισχεθέντων, των s. V Ἀρτώριός] σερτώριός C *argorius* Lat *artorius* Heg 14 τῶν συστρατιωτῶν ML *commilitone* Lat 15 σε καταλείπω tr. L 16 προσελθὸν R 18 δὲ δεξάμενος] δεξάμενος δ' L τῷ] τὸ C προσραχθεὶς L 19 ῥωμαίους L 20 τὸ] τῶ LV ἀπαρακλήτους om. MVRCLat κατεσκεύασεν] προκατεσκεύασεν L κατασκευάσαν Destinon 21 φυλακτοτέρους C τε] καὶ MLVRCLat πρὸς] εἰσ L 22 αἷς] οἷσ L ἄγνοιαν] ἀπόνοιαν L τοῦ ἤθους uertit Lat 23 δὲ LVRC 24 ὑπὲρ τὰς — 25 πύλας] *supra portas quae in xystum ducerent* Lat 25 ὑπὲρ] ὑπὸ, ὸ i. ras. m. 2 R ἐπιδιεφθαρμένοις PALRC

192 ἤδη Ἰουδαῖοι τοῖς ἀναβᾶσιν ἀπέκοψαν. τῇ δ' ὑστεραίᾳ καὶ Ῥωμαῖοι τὴν βόρειον στοὰν ἐνέπρησαν μέχρι τῆς ἀνατολικῆς ὅλην, ὧν ἡ συνάπτουσα γωνία τῆς Κεδρῶνος καλουμένης φάραγγος ὑπερδεδόμητο, παρ' ὃ καὶ φοβερὸν ἦν τὸ βάθος. καὶ τὰ μὲν περὶ τὸ ἱερὸν ἐν τούτοις ἦν.

193 3. Τῶν δὲ ὑπὸ τοῦ λιμοῦ φθειρομένων κατὰ τὴν πόλιν ἄπειρον
194 μὲν ἔπιπτε τὸ πλῆθος, ἀδιήγητα δὲ συνέβαινε τὰ πάθη. καθ' ἑκάστην γὰρ οἰκίαν, εἴ που τροφῆς παραφανείη σκιά, πόλεμος ἦν, καὶ διὰ χειρῶν ἐχώρουν οἱ φίλτατοι πρὸς ἀλλήλους ἐξαρπάζοντες
195 τὰ ταλαίπωρα τῆς ψυχῆς ἐφόδια. πίστις δ' ἀπορίας οὐδὲ τοῖς θνήσκουσιν ἦν, ἀλλὰ καὶ τοὺς ἐκπνέοντας οἱ λῃσταὶ διηρεύνων, μή
196 τις ὑπὸ κόλπον ἔχων τροφὴν σκήπτοιτο τὸν θάνατον αὐτῷ. οἱ δ' ὑπ' ἐνδείας κεχηνότες ὥσπερ λυσσῶντες κύνες ἐσφάλλοντο, καὶ παρεφέροντο ταῖς τε θύραις ἐνσειόμενοι μεθυόντων τρόπον καὶ ὑπ' ἀμηχανίας εἰς τοὺς αὐτοὺς οἴκους εἰσπιδῶντες δὶς ἢ τρὶς ὥρᾳ
197 μιᾷ. πάντα δὲ ὑπ' ὀδόντας ἦγεν ἡ ἀνάγκη, καὶ τὰ μηδὲ τοῖς ῥυπαρωτάτοις τῶν ἀλόγων ζῴων πρόσφορα συλλέγοντες ἐσθίειν ὑπέφερον· ζωστήρων γοῦν καὶ ὑποδημάτων τὸ τελευταῖον οὐκ ἀπέ-
198 σχοντο καὶ τὰ δέρματα τῶν θυρεῶν ἀποδέροντες ἐμασῶντο. τροφὴ δ' ἦν καὶ χόρτου τισὶ παλαιοῦ στάραγμα· τὰς γὰρ ἴνας ἔνιοι συλ-
199 λέγοντες ἐλάχιστον σταθμὸν ἐπώλουν Ἀττικῶν τεσσάρων. καὶ τί

PAMLVRCLatHegesippus V 39 p. 353. Zonaras I p. 538. Eusebius hist. eccl. III 6, 10. Ioh. Chrysostomus uol. I p. 51.

1 Ἰουδαῖοι] Hudson cum LatHeg et cod. Gall. *Ἰουδαίοις* codd. *τοῖσ ἀναβαίνουσιν* PA δὲ VR 2 ὧν — 4 *βάθος*] *(porticum) continentem angulos eius, quae appellatur cedronos, supra uallem aedificata: unde etiam profunda erat et horribilis eius altitudo* Lat ὧν] ὧν γὰρ C 3 *γωνία*] γῆμία A ὑπερδεδώμητο PA 4 τὰ μὲν incip. Chrysostomus τὰ, α ex corr. P 6 i. marg. κ' C τῶν] incip. Eusebius δ' LC Euseb Chrys 7 τὸ om. L καθ' — 8 οἰκίαν] *in dies namque singulos* Lat 8 παραφανείη] παρεφάνη L 10 ταλαίπωρα] πάλαι παρὰ C δὲ VR 11 ἐμπνέοντασ AEuseb 12 ὑπὸ τὸν κόλπον Chrys σκήπτοιτο — 13 ἐσφάλλοντο] *moreretur; ipsos autem spes egestate uictus hiantes uelut canes rabidos decipiebat* Lat, unde αὐτοὶ δ' pro αὐτῷ, οἱ δ' Destinon αὐτῷ PALVC ἑαυτῷ MChrys αὐτοῦ Euseb δὲ VR 13 καὶ — 16 μιᾷ] *et impingentes in ostia tamquam ebrii ferebantur easdemque domos bis ac ter eodem momento desperatione inquietabant* Lat παρεφέροντο, α i. ras. V παρεφαίνοντο L 14 καὶ om. Chrys ὑπὸ EusebChrys 15 εἰς] om. L et Eusebii cod. E δὲ εἰς Chrys εἰσπηδῶντες] εἰσεπίδων LVRCLat Euseb Chrys et fort. Syr 16 δ' C ὑπὸ δόντασ A τὰ μηδὲ] κατὰ μηδενὸσ L 18 ζωστήρω R ἀπείχοντο Niese 19 ἀποδέροντεσ, ἔρον i. ras. M ἐμασσῶντο LCChrys 20 δὲ VRC Euseb Chrys τισὶ] τι L, om. Lat σπαράγματα LCEuseb *laceramenta* Lat τὰς γὰρ — 21 σταθμὸν] *cuius (foeni) nonnulli exiguum pondus* Lat 21 i. marg. κα' C

δεῖ τὴν ἐπ' ἀψύχοις ἀναίδειαν τοῦ λιμοῦ λέγειν; εἶμι γὰρ αὐτοῦ δηλώσων ἔργον οἷον μήτε παρ' Ἕλλησιν μήτε παρὰ βαρβάροις ἱστόρηται, φρικτὸν μὲν εἰπεῖν, ἄπιστον δὲ ἀκοῦσαι. καὶ ἔγωγε 200
μὴ δόξαιμι τερατεύεσθαι τοῖς αὖθις ἀνθρώποις, κἂν παρέλιπον τὴν συμφορὰν ἡδέως, εἰ μὴ τῶν κατ' ἐμαυτὸν εἶχον ἀπείρους μάρτυρας. ἄλλως τε καὶ ψυχρὰν ἂν καταθείμην τῇ πατρίδι χάριν καθυφέμενος τὸν λόγον ὧν πέπονθεν τὰ ἔργα.

4. Γυνή τις τῶν ὑπὲρ τὸν Ἰορδάνην κατοικούντων, Μαρία τοὔ- 201
νομα, πατρὸς Ἐλεαζάρου, κώμης Βηθεζουβᾶ, σημαίνει δὲ τοῦτο οἶκος ὑσσώπου, διὰ γένος καὶ πλοῦτον ἐπίσημος, μετὰ τοῦ λοιποῦ πλήθους εἰς τὰ Ἱεροσόλυμα καταφυγοῦσα συνεπολιορκεῖτο. ταύτης τὴν μὲν 202
ἄλλην κτῆσιν οἱ τύραννοι διήρπασαν, ὅσην ἐκ τῆς Περαίας ἀνασκευασαμένη μετήνεγκεν εἰς τὴν πόλιν, τὰ δὲ λείψανα τῶν κειμηλίων καὶ εἴ τι τροφῆς ἐπινοηθείη καθ' ἡμέραν εἰσπηδῶντες ἥρπαζον οἱ
δορυφόροι. δεινὴ δὲ τὸ γύναιον ἀγανάκτησις εἰσῄει, καὶ πολλάκις 203
λοιδοροῦσα καὶ καταρωμένη τοὺς ἅρπαγας ἐφ' αὑτὴν ἠρέθιζεν. ὡς 204
δ' οὔτε παροξυνόμενός τις οὔτ' ἐλεῶν αὐτὴν ἀνῄρει, καὶ τὸ μὲν εὑρεῖν τι σιτίον ἄλλοις ἐκοπία, πανταχόθεν δὲ ἄπορον ἦν ἤδη καὶ τὸ εὑρεῖν, ὁ λιμὸς δὲ διὰ σπλάγχνων καὶ μυελῶν ἐχώρει καὶ τοῦ
λιμοῦ μᾶλλον ἐξέκαιον οἱ θυμοί, σύμβουλον λαβοῦσα τὴν ὀργὴν μετὰ τῆς ἀνάγκης ἐπὶ τὴν φύσιν ἐχώρει, καὶ τὸ τέκνον, ἦν δὲ αὐτῇ 205

PAMLVRCLat Hegesippus V 40 p. 354. Zonaras I p. 538. Eusebius hist. eccl. III 6, 12. Ioh. Chrysostomus uol. I p. 51.

1 εἰμι, ι ex η corr. C αὐτοῦ] αὐτὸν A 2 ὁποῖον Euseb παρὰ ante βαρβάροις om. L 3 δ' LCEuseb ἔγωγε] ἐγὼ δὲ VRCChrys 4 δόξαιμι A κἂν] καὶ C παρέλιπον MRCEusebChrys παρ··έλειπον V *intermitterem* Lat 5 τῶν κατ' ἐμαυτὸν om. Lat 6 ψυχρὰν] *aliquam* Lat ἂν om. RCChrys κατεθέμην L et Eusebii cod. E χάριν] χώραν C 7 καθυφέμενος — ἔργα om. P καθυφειμένοσ A ὧν] οὗ VRCChrys πέπονθα R^2 8 τις om. VREuseb τὸν] τῶν VC μάρια C 9 Βηθεζουβᾶ] L βαθεχὼρ PAVRC βεθεζὼρ M γρ βαθεζὼρ|αλλβαθαχὼρ (sic) i. marg. L *uatezoba* aut *uatezobra* Lat Βαθεζὼρ Euseb Βηθεζὼ Chrys *Beth'r'ub* Syr Βηθεζὼβ Hudson 10 ὑσσόπου R ἐπίσημον VRC 14 καὶ] κἂν VRCEusebChrys καθ' ἡμέρας Chrys 15 δὲ] om. M δὴ Hudson πολλάκι AVR¹ 16 ἐφ' ἑαυτὴν MLCEusebChrys ἐπαυτὴν P 17 δ' οὔτε] δὲ οὔτε VR δ' οὐδ' ὁ L οὔτε PLVR καὶ τὸ — 18 ἐκοπία] *sed uictum quidem patrando aliis laborabat* Lat, qui fort. τῷ pro τὸ habuit 18 σιτίον Spanheim ἄλλως Chrys πάντοθεν L fort. recte δ' LCEusebChrys 19 ὁ λιμὸς] καὶ ὁ λιμὸς Eusebii codd. quidam τοῦ om. VRC 20 ἐξεκαίοντο Eusebii codd. quidam 21 ἐπὶ τὴν φύσιν ἐχώρει] LVRCEusebChrys ἐχώρει ἐπὶ τὴν φύσιν PAM δ' MLC EusebChrys

παῖς ὑπομάστιος. ἁρπασαμένη „βρέφος, εἶπεν, ἄθλιον, ἐν πολέμῳ
206 καὶ λιμῷ καὶ στάσει τίνι σε τηρήσω; τὰ μὲν παρὰ Ῥωμαίοις δου-
λεία, κἂν ζήσωμεν ἐπ' αὐτούς, φθάνει δὲ καὶ δουλείαν ὁ λιμός,
207 οἱ στασιασταὶ δὲ ἀμφοτέρων χαλεπώτεροι. ἴθι, γενοῦ μοι τροφὴ
καὶ τοῖς στασιασταῖς ἐρινὺς καὶ τῷ βίῳ μῦθος ὁ μόνος ἐλλείπων
208 ταῖς Ἰουδαίων συμφοραῖς.“ καὶ ταῦθ' ἅμα λέγουσα κτείνει τὸν
υἱόν, ἔπειτ' ὀπτήσασα τὸ μὲν ἥμισυ κατεσθίει, τὸ δὲ λοιπὸν κατα-
209 καλύψασα ἐφύλαττεν. εὐθέως δ' οἱ στασιασταὶ παρῆσαν, καὶ τῆς
ἀθεμίτου κνίσης στάσαντες ἠπείλουν, εἰ μὴ δείξειεν τὸ παρα-
σκευασθέν, ἀποσφάξειν αὐτὴν εὐθέως. ἡ δὲ καὶ μοῖραν αὐτοῖς εἰ-
210 ποῦσα καλὴν τετηρηκέναι τὰ λείψανα τοῦ τέκνου διεκάλυψεν. τοὺς
δ' εὐθέως φρίκη καὶ παρέκστασις ἥρει καὶ παρὰ τὴν ὄψιν ἐπε-
πήγεσαν. ἡ δ' „ἐμόν, ἔφη, τοῦτο τέκνον γνήσιον καὶ τὸ ἔργον ἐμόν.
211 φάγετε, καὶ γὰρ ἐγὼ βέβρωκα. μὴ γένησθε μήτε μαλακώτεροι γυ-
ναικὸς μήτε συμπαθέστεροι μητρός. εἰ δ' ὑμεῖς εὐσεβεῖς καὶ τὴν
ἐμὴν ἀποστρέφεσθε θυσίαν, ἐγὼ μὲν ὑμῖν βέβρωκα, καὶ τὸ λοιπὸν
212 δὲ ἐμοὶ μεινάτω.“ μετὰ ταῦθ' οἱ μὲν τρέμοντες ἐξῆσαν, πρὸς ἓν
τοῦτο δειλοὶ καὶ μόλις ταύτης τῆς τροφῆς τῇ μητρὶ παραχωρήσαντες,
ἀνεπλήσθη δ' εὐθέως ὅλη τοῦ μύσους ἡ πόλις, καὶ πρὸ ὀμμάτων
213 ἕκαστος τὸ πάθος λαμβάνων ὥσπερ αὐτῷ τολμηθὲν ἔφριττε. σπουδὴ

PAMLVRC Lat Hegesippus V 40 p. 355. Zonaras I p. 539. Eusebius hist. eccl. III 6, 14. Ioh. Chrysostomus I p. 51.

1 ὑπομάζιος MLZonChrys ὑπομάστιος V ἁρπασαμένη] MLCLatEuseb ChrysSyr et ex corr. A ὃν ἁρπασαμένη PA¹VR ἀναρπασαμένη Holwerda 2 τηρήσω] τηρῶ LEuseb fort. recte τὰ μὲν — 3 αὐτούς] *apud romanos quidem etiamsi uixeris seruiturus es* Lat δουλείαν A¹ 3 ἐπ'] ὑπ' ex corr. A ἐπ' αὐτοῖς Hudson ex Eusebio Valesii 4 δ' CChrys 5 ἐριννύς (prius *v* i. ras. A) PAChrys 6 ταῦτα VR 7 ἔπειτα MLVR καλύψασα L 8 δὲ VRChrys 9 ἀθεμήτου C κνίσσης MChrys κνήσης C ἠπείλουν, ἡ i. ras. m. 2 R 10 καλὴν εἰποῦσα tr. L 11 ἀπεκάλυψεν PM διανεκάλυψε Eusebii codd. quidam ἀνεκάλυψε Zon 12 δὲ VRChrys παρέκστασις] παρέκτασις P φρενῶν ἔκστασις MLVRC Euseb ChrysSyr παρὰ] πρὸς Chrysostomi codd. quidam ad ἐπεπήγεσαν i. marg. ἐξεπλάγησαν L 13 δὲ LVRC Euseb Chrys τοῦτο τὸ τέκνον AMLVRC Euseb Chrys 14 μὴ] καὶ μὴ P 15 δὲ LVR 16 ἐγὼ — 17 μεινάτω] *ego consummabo sacrificium meum, manducabo quod reliquum est* cod. AHeg ὑμῖν] om. LLat ἥμισυ Chrys; cf. u. 7 καὶ om. Lat 17 δὲ] om. L δ' C Euseb Chrys ταῦτα LVRC Chrys 18 δηλοὶ C τῆς] τέως τῆς Zon 19 δὲ MVR Chrys 20 ἀναλαμβάνων Eusebii codd. plerique ὥσπερ — τολμηθὲν] *tamquam ipse hoc admisisset* Lat ὥσπερ] ὡσπαρ' PAMVRC Euseb αὐτῷ R αὐτοῦ Eusebii codd. nonnulli τολμηθὲν] PML Lat Euseb Chrys τὸ μὴ τολθὲν A καινοτομηθὲν VRC ἔφριττεν LC

δὲ τῶν λιμωττόντων ἐπὶ τὸν θάνατον ἦν. καὶ μακαρισμὸς τῶν φθασάντων πρὶν ἀκοῦσαι καὶ θεάσασθαι κακὰ τηλικαῦτα.

5. Ταχέως δὲ καὶ Ῥωμαίοις διηγγέλθη τὸ πάθος. τῶν δ' οἱ 214
μὲν ἠπίστουν, οἱ δὲ ᾤκτειρον, τοὺς δὲ πολλοὺς εἰς μῖσος τοῦ ἔθνους
σφοδρότερον συνέβη προελθεῖν. Καῖσαρ δὲ ἀπελογεῖτο καὶ περὶ 215
τούτου τῷ θεῷ, φάσκων παρὰ μὲν αὐτοῦ Ἰουδαίοις εἰρήνην καὶ
αὐτονομίαν προτείνεσθαι καὶ πάντων ἀμνηστίαν τῶν τετολμημένων,
τοὺς δὲ ἀντὶ μὲν ὁμονοίας στάσιν, ἀντὶ δὲ εἰρήνης πόλεμον, πρὸ 216
κόρου δὲ καὶ εὐθηνίας λιμὸν αἱρουμένους, ἰδίαις δὲ χερσὶν ἀρξα-
μένους καίειν τὸ συντηρούμενον ὑφ' ἡμῶν ἱερὸν αὐτοῖς, εἶναι καὶ
τοιαύτης τροφῆς ἀξίους. καλύψειν μέντοι τὸ τῆς τεκνοφαγίας μύσος 217
αὐτῷ τῷ τῆς πατρίδος πτώματι καὶ οὐ καταλείψειν ἐπὶ τῆς οἰκου-
μένης ἥλιῳ καθορᾶν πόλιν, ἐν ᾗ μητέρες οὕτω τρέφονται. προσ- 218
ήκειν μέντοι πρὸ μητέρων πατράσιν τὴν τοιαύτην τροφήν, οἳ καὶ
μετὰ τηλικαῦτα πάθη μένουσιν ἐν τοῖς ὅπλοις. ταῦθ' ἅμα διεξιὼν 219
ἐνενόει καὶ τὴν ἀπόγνωσιν τῶν ἀνδρῶν· οὐ γὰρ ἂν ἔτι σωφρονῆσαι
τοὺς πάντα προπεπονθότας ἐφ' οἷς εἰκὸς ἦν μεταβαλέσθαι μὴ
παθοῦσιν.

IV. 1. Ἤδη δὲ τῶν δύο ταγμάτων συντετελεκότων τὰ χώματα 220
Λώου μηνὸς ὀγδόῃ προσάγειν ἐκέλευσε τοὺς κριοὺς κατὰ τὴν ἑσπέ-
ριον ἐξέδραν τοῦ ἔξωθεν ἱεροῦ. πρὸ δὲ τούτων ἓξ ἡμέρας ἀδια- 221
λείπτως ἡ στερροτάτη πασῶν ἐλέπολις τύπτουσα τὸν τοῖχον οὐδὲν
ἤνυσεν, ἀλλὰ καὶ ταύτης καὶ τῶν ἄλλων τὸ μέγεθος καὶ ἡ ἁρμονία

PAMLVRCLat Hegesippus V 41 p. 356. Zonaras I p. 539. Eusebius hist. eccl. III 6, 16. Ioh. Chrysostomus I p. 52.

1 *λιμωττόντων* PA 2 *τηλικαῦτα κακὰ* tr. Chrys *τηλικαῦτα*] finit Eusebius 3 *διηγγέλλθη* A¹ *δὲ* VRC Chrys 4 *ὤκτειραν* LVRC *ὤκτειραν τοὺσ δὲ*, litt. *ραν τοὺσ δ* i. ras. L *πολλοὺς*] *λοιποὺσ* L *σφοδρότερον τοῦ ἔθνουσ* tr. L 5 *προελθεῖν*] fin. Chrys *δ'* C *καὶ* om. Lat 6 *αὐτοῦ*] *αὐτοὺσ* VR *Ἰουδαίουσ* L 7 *προὐτείνεσθαι* C *ἀμνηστείαν* C 8 *δ'* L *ὁμοιονίασ* A¹ *δ'* L 9 *δὲ καὶ*] *δέ τοι καὶ* L *δὲ* iterauit C 10 *ὑμῶν* L *αὐτοῖς*] PALLat *αὐτοὺσ* MVRC 11 *μέντοι*] *μέν* P 12 *αὐτῷ*] *αὐτὸν* ex corr. A, om. Lat 13 *τῶι ἡλίωι* L *μητέραισ* A *προσήκει* L 16 *σωφρονίσαι* PL 17 *προπεπονθό·τασ*, eras. *ν* V *ἐφ' οἷς* — 18 *παθοῦσιν*] *quibus antequam ea paterentur mutare sententiam sperabantur* Lat *μετὰβαλλέσθαι* A *μεταβάλλεσθαι* L *μὴ παθοῦσιν*] *πεπονθότασ* C *μὴ πάθωσιν* Naber 19 i. marg. *κβ'* C 20 *ὀγδόῃ*] *η̄* L Loi S. dies est 27. Augusti (VI k. Sept.) anni Iuliani (70 p. Chr.) *προσαγαγεῖν* L *κατὰ*] *καὶ κατὰ* P 21 *ἔξωθεν*] *ἔωθεν* PA¹ *ἔσωθεν* MLVRC et ex corr. A *exterioris* Lat; cf. § 151. 245. 250 *πρὸ*] *προὸ* C *ἡμέραισ* AMVRC 22 *στερρωτάτη* C *τύχον* P¹R et ut uid. V¹ 23 *τοῦ μεγέθουσ* legisse uid. Lat

222 τῶν λίθων ἦν ἀμείνων. τῆς δὲ βορείου πύλης ὑπώρυττον ἕτεροι
τοὺς θεμελίους καὶ πολλὰ ταλαιπωρήσαντες τοὺς ἔμπροσθεν λίθους
ἐξεκύλισαν. ἀνείχοντο δ' ὑπὸ τῶν ἐνδοτέρω καὶ διέμεινεν ἡ πύλη,
μέχρι τὰς δι' ὀργάνων καὶ τῶν μοχλῶν ἐπιχειρήσεις ἀπογνόντες
223 κλίμακας ταῖς στοαῖς προσέφερον. οἱ δὲ Ἰουδαῖοι κωλῦσαι μὲν οὐκ
ἔφθασαν, ἀναβᾶσι δὲ συμπεσόντες ἐμάχοντο, καὶ τοὺς μὲν ἀνω-
θοῦντες εἰς τοὐπίσω κατεκρήμνιζον, τοὺς δ' ὑπαντιάζοντας ἀνή-
224 ρουν· πολλοὺς δὲ τῶν κλιμάκων ἀποβαίνοντας πρὶν φράξασθαι τοῖς
θυρεοῖς παίοντες ταῖς ῥομφαίαις ἔφθανον, ἐνίας δὲ γεμούσας ὁπλι-
225 τῶν κλίμακας παραklίνοντες ἄνωθεν κατέσειον· ἦν δ' οὐκ ὀλίγος
καὶ αὐτῶν φόνος. οἱ δὲ ἀνενεγκόντες τὰς σημαίας περὶ αὐτῶν
ἐπολέμουν, δεινὴν ἡγούμενοι καὶ πρὸς αἰσχύνης τούτων τὴν ἁρπαγήν.
226 τέλος δὲ καὶ τῶν σημαιῶν οἱ Ἰουδαῖοι κρατοῦσιν καὶ τοὺς ἀναβάντας
διαφθείρουσιν· οἱ δὲ λοιποὶ πρὸς τὸ τῶν ἀπολωλότων πάθος ὀρ-
227 ρωδοῦντες ἀνεχώρουν. τῶν μὲν οὖν Ῥωμαίων ἄπρακτος οὐδεὶς ἀπέ-
θανεν, τῶν δὲ στασιαστῶν οἱ κατὰ τὰς προτέρας μάχας ἠγωνίσαντο
γενναίως καὶ τότε καὶ Ἐλεάζαρος ἀδελφιδοῦς τοῦ τυράννου Σίμωνος.
228 ὁ δὲ Τίτος ὡς ἑώρα τὴν ἐπὶ τοῖς ἀλλοτρίοις ἱεροῖς φειδὼ πρὸς
βλάβης τοῖς στρατιώταις γινομένην καὶ φόνου, τὰς πύλας προσέ-
ταξεν ὑφάπτειν.
229 2. Ἐν δὲ τούτῳ πρὸς αὐτὸν αὐτομολοῦσιν Ἄνανός τε ὁ ἀφαμ-
μαούς, τῶν Σίμωνος δορυφόρων ἐ φονικώτατος, καὶ Ἀρχέλαος υἱὸς
Μαγαδδάτου, συγγνώμην ἐλπίσαντες ἐπειδὴ κρατούντων Ἰουδαίων

PAMLVRC Lat Hegesippus V 42 p. 359. Zonaras I p. 539.

1 *ἀμείνον* P *ἀμεινω* L *ὑπόρυττον* PA¹ 2 *ἔμπροσθεν*] *ἔξωθεν* LLat 3 *ἐξεκύλησαν* L¹C *ἀνείχετο* MLVRC *δὲ* VR *ἐνδοτέρων* L *διέμενεν* VRC *manserunt* Lat *ἡ πύλη*] *portae* Lat 4 *διὰ τῶν ὀργάνων* ALVRC 5 *κλίμακα* V 6 *ἀναβάσι* PAM *ἀναβάσει* L *τοὺς*] *οὓς* L

7 *δὲ* MVR *ὑπαντιάζοντες* L 8 *ἀποβαίνοντες* L *τοὺς θυρεοὺς* P 9 *παίοντες, ε* ex *α* corr. A 10 *τὰς κλίμακας* P *παρακλίναντες* L *δὲ* VR 11 *αὐτῶν*] *romanorum* Lat *ἀνενέγκαντες* LVRC (*signis*) *ablatis* Lat 12 *πρὸς*] *πρὸ* P 13 *σημαίων* PA¹R *τοὺς ἀναβάντας*] *eos qui una cum his ascenderant* Lat 14 *ὀρωδοῦντες* C 15 *ἀνεχώρουν*,

ἀ ex *ἐ* corr. A *οὖν* om. M 16 *προτέρας*] *πρώτας* M 17 *γενναίως* V *ἀδελφιδοῦς* P *δὲ ἀδελφιδοῦς* M *ὁ ἀδελφιδοῦς* L *τυρ·ἀννου* A 19 *βλάβην* PZon *φόνου* P 21 i. marg. *κγ'* C *Ἀνανίας* uertit Syr *ὁ ἀφαμμαούς*] PA *ὁ ἀφ' ἀμμαοῦς* MR *ὁ ἀφ' αμμαοῦς* V *καὶ σαπαμμαοῦς* L *ὁ ἀπ' ἀμμαους* C *ex amau* Lat; nomen patris latere putat Destinon 22 *τῶν*] *τοῦ* V *υἱοὶ* Niese; cf. V 531 23 *magadati* Lat *ἐλπίσαντες*] *αἰτούμενοι* L *sperantes* Lat *κρατούντων* (*ν* finale suppl.) *τῶν ἰουδαίων* A

ἀνεχώρουν. Τίτος δὲ καὶ τοῦτο τὸ πανούργημα προβάλλεται τῶν 230
ἀνδρῶν, καὶ τὴν ἄλλην περὶ τοὺς ἰδίους ὠμότητα πεπυσμένος ὥρ-
μητο κτείνειν ἕκατέρους, ὑπ' ἀνάγκης ἦχθαι λέγων αὐτούς, οὐκ ἐκ
προαιρέσεως παρεῖναι, καὶ σωτηρίας οὐκ ἀξίους εἶναι τοὺς φλεγο-
μένης ἤδη δι' αὐτοὺς τῆς πατρίδος ἐξαλλομένους. ἐκράτει δ' ὅμως 231
τοῦ θυμοῦ ἡ πίστις, καὶ ἀφίησι τοὺς ἄνδρας, οὐ μὴν ἐν ἴσῃ μοίρᾳ
κατέστασε τοῖς ἄλλοις. ἤδη δὲ ταῖς πύλαις οἱ στρατιῶται προσ- 232
ῆγον τὸ πῦρ, καὶ περιτηκόμενος ὁ ἄργυρος διεδίδου ταχέως εἰς
τὴν ξυλείαν τὴν φλόγα, ἔνθεν ἀθρόως ἐκφερομένη τῶν στοῶν ἐπε-
λαμβάνετο. τοῖς δὲ Ἰουδαίοις δρῶσι τὸ πῦρ ἐν κύκλῳ μετὰ τῶν 233
σωμάτων παρείθησαν αἱ ψυχαί, καὶ διὰ τὴν κατάπληξιν ἀμύνειν
μὲν ἢ σβεννύειν ὥρμησεν οὐδείς, αὐτοὶ δ' ἑστῶτες ἀφεώρων. οὐ 234
μὴν πρὸς τὸ δαπανώμενον ἀθυμοῦντες εἰς γοῦν τὸ λοιπὸν ἐσω-
φρόνουν, ἀλλ' ὡς ἤδη καὶ τοῦ ναοῦ καιομένου τοὺς θυμοὺς ἐπὶ
Ῥωμαίους ἔθηγον. ἐκείνην μὲν οὖν τὴν ἡμέραν καὶ τὴν ἐπιοῖσαν 235
νύκτα τὸ πῦρ ἐπεκράτει· κατὰ μέρος γάρ, οὐχ ὁμοῦ πάντοθεν ἴσχυ-
σαν ὑφάψαι τὰς στοάς.

3. Τῇ δ' ἐπιούσῃ Τίτος μέρει τῆς δυνάμεως σβεννύειν τε καὶ 236
τὰ παρὰ τὰς πύλας ὁδοποιεῖν εἰς εὐμαρεστέραν τῶν ταγμάτων
ἄνοδον κελεύσας αὐτὸς συνῆγε τοὺς ἡγεμόνας. καὶ συνελθόντων 237
ἐξ τῶν κορυφαιοτάτων, Τιβερίου τε Ἀλεξάνδρου τοῦ πάντων τῶν

PAMLVRCLatHegesippus V 42 p. 360. Zonaras I p. 539. Suidas s. *ἐξαλλόμενος*.

1 *ὑπεχώρουν* PAM *ἀνεχώρουν* L *reliquerant* Lat *Τίτος* — 2 *πεπυσμένος*] *titus autem, ut hanc eorum in iudaeos crudelitatem audiuit* Lat *τὸ* om. PAMVRC *προυβάλλετο* MVRC *προυβάλετο* L 2 *ἰδίους*] *ἰουδαίους* LCLat 3 *ὑπ'*] *ἀπ'* V *ἦχθαι* om. Lat 4 *σωτηρίας* — 5 *ἐξαλλομένους* habet Suid *οὐκ ἀξίους εἶναι σωτηρίας* tr. Suid *φλεγομένους* L 5 *ἤδη* om. Suid *δὲ* VR 6 *τὸν θυμὸν* L *καὶ ἀφίησι*] *ἀφίησι γοῦν* L haud male 7 *κατέστασε*] *κατέστησε* L *οἱ στρατιῶται προσῆγον*] *προσήγαγον οἱ στρατιῶται* L 9 *ξυλίαν* PALVR *τὰσ φλόγασ* LVR *ἐκφερόμεναι* LVRC *ἐπελαμβάνοντο* LVRC 10 *δ'* C *ἰουδαίοις, οι* ex *ου* corr. V 11 *ψυχαί*, litt. *ψυ* i. marg. suppl. A *καὶ διὰ* — 12 *ἀφεώρων*] *et stupore attoniti adiuuare quidem uel extinguere nemo conatus est, stantes uero aspiciebant* Lat *κατάπληξιν*] *κατὰ ψυχὴν ἔκπληξιν* L 12 *αὐτοί*] *αὐτοὶ* L *αὐτόθι* VR *δὲ* VR *ἀφεώρων*] *ἀπεώρουν* PA[1] *ἐφ' ἑώρων* V 14 *ἀλλ'* — 15 *ἔθηγον* om. Lat 15 *οὖν* om. L 16 *κατὰ* — *γὰρ*] *παρὰ μέρος δὲ* Zon *ἴσχυσεν* Holwerda 17 *τὰς* s. C 18 i. marg. *κδ'* C *δὲ* V *μέρη* P *σβεννύειν*] *ὧι σβεννύειν* L *τὰ* om. PAMVRC 20 *αὐτὸς*] *αὐτοὺσ* L, om. Lat *συνελθόν|ων* P *προσελθόντων* L 21 *ἐξ* spurium censet L. Renier, Mém. de l' Inst. de France XXVI, 1 p. 295 *τιβερείου* L *τιβερίουσ* R *τε*] *τε καὶ* LLat

στρατευμάτων ἐπάρχοντος, καὶ Σέξτου Κερεαλίου τοῦ τὸ πέμπτον
ἄγοντος τάγμα, καὶ Λαρκίου Λεπίδου τὸ δέκατον, καὶ Τίτου Φρυ-
238 γίου τὸ πεντεκαιδέκατον, πρὸς οἷς Φρόντων ἦν Ἑτέριος στρατοπε-
δάρχης τῶν ἀπὸ Ἀλεξανδρείας δίο ταγμάτων, καὶ Μᾶρκος Ἀντώνιος
Ἰουλιανὸς ὁ τῆς Ἰουδαίας ἐπίτροπος, καὶ μετὰ τούτους ἐπιτρόπων
καὶ χιλιάρχων ἀθροισθέντων, βουλὴν περὶ τοῦ ναοῦ προυτίθει.
239 τοῖς μὲν οὖν ἐδόκει χρῆσθαι τῷ τοῦ πολέμου νόμῳ· μὴ γὰρ ἄν ποτε
Ἰουδαίους παύσασθαι νεωτερίζοντας τοῦ ναοῦ μένοντος, ἐφ' ὃν οἱ
240 πανταχόθεν συλλέγονται. τινὲς δὲ παρήνουν, εἰ μὲν καταλίποιεν
αὐτὸν Ἰουδαῖοι καὶ μηδεὶς ἐπ' αὐτοῦ τὰ ὅπλα θείη, σώζειν, εἰ δὲ
πολεμοῖεν ἐπιβάντες, καταφλέγειν· φρούριον γάρ, οὐκέτι ναὸν εἶναι,
καὶ τὸ λοιπὸν ἔσεσθαι τῶν ἀναγκασάντων τὴν ἀσέβειαν, οὐκ αὐτῶν.
241 ὁ δὲ Τίτος οὐδ' ἂν ἐπιβάντες ἐπ' αὐτοῦ πολεμῶσιν Ἰουδαῖοι φήσας
ἀντὶ τῶν ἀνδρῶν ἀμυνεῖσθαι τὰ ἄψυχα οὐδὲ καταφλέξειν ποτὲ
τηλικοῦτον ἔργον· Ῥωμαίων γὰρ ἔσεσθαι τὴν βλάβην, ὥσπερ καὶ
242 κόσμον τῆς ἡγεμονίας αὐτοῦ μένοντος· θαρροῦντες δὲ ἤδη προσετί-
243 θεντο τῇ γνώμῃ Φρόντων τε καὶ Ἀλέξανδρος καὶ Κερεάλιος. τότε
μὲν οὖν διαλύει τὸ συνέδριον καὶ τὰς ἄλλας δυνάμεις διαναπαῦσαι
κελεύσας τοῖς ἡγεμόσιν, ὅπως ἐρρωμενεστέροις ἐν τῇ παρατάξει

PAMLVRCLatHegesippus V 42 p. 360. Zonaras I p. 540.

1 *σέξτου* (*κ* deletum) C *κερεαλί·ου* V; de Ceriali cf. supra III 310 et Mommsen ephem. epigr. IV p. 499 *τοῦ* om. PALVRC 2 *Λαρκίου*] *largio* Lat *καὶ Τίτου* — 3 *πεντεκαιδέκατον* u. 4 post *ταγμάτων* tr. P *Τίτου*] *Τιττίου* Renier l. l. p. 314 *Φρυγίου*] *φρουγίου* L *frigie* Lat 3 *σφρόντων* R *Ἑτέριος*] *ἑτέρνιος* M *ἐτέρνιος* L *ετέρνιος* VR *λιτέρνιος* C *aeternius* Lat *Ἀτέριος* Renier l. l. p. 320 4 *ἀπ'* VRC *μάρκος* codd. 5 *ἰουλανὸς* A *ἰουλιανός* *θ'* C *ὁ* om. L *chiliarchis et procuratoribus* tr. Lat 6 *χιλιαρχῶν* PAMC *ἀθροισθέντων* RC *βουλὴ* VRC *προετίθει* L *προυτέθη* VR *προὐτέθει* C 7 *χρήσασθαι* L *κεχρῆσθαι* Zon *τῷ*] *τὸ* PA¹ *ἄν* om. L 8 *παύσεσθαι* ex corr. A *παύσασθαι ἰουδαίους* tr. L 9 *καταλείποιεν* PALV¹R 10 *οἱ ἰουδαῖοι* AMVRC *αὐτοῦ*] *αὐτὸν* A *αὐτῶ* L *εἰ* — 11 *ἐπιβάντες*] *si uero id pugna obtinuissent* Lat 11 *πολεμῶεν* codd. Zon, corr. Dindorf *ἐπιβάντας* PAMVRC *ἐπιβαίνοντας* Destinon 12 *ἀναγκαζόντων* L *τὴν* om. PAMVRC 13 *ὁ δὲ* — 14 *ἄψυχα*] *tito autem nec si stantes dimicarent iudaei pro hominibus anima carentia ulciscenda esse dicente* Lat *ἐπιβάντες*] *εἰ ἐπιβαίνοντας* Destinon *ἐπ'*] *ἀπ'* Destinon *πολεμῶσιν*] LZon *πολεμῶεν* PAMVRC *πολεμοῖεν* (et 14 *ἀμύνασθαι*) Destinon *φήσας ἀντὶ*] *φήσαντι* L *φείσασ ἀντὶ* R *ἔφη ἀντὶ* C Berol. et fort. Syr. *ἔφησεν ἀντὶ* Zon 14 *ἀμυνεῖσθαι*] Niese *ἀμύνεσθαι* PAMVRC *ἀμύνασθαι* L 15 *γὰρ* om. A 16 *μένοντα* ALV *δὲ*] *δ'* C, om. Lat, in quo hinc apodosis incipit 17 *φρώντων* C *κεραιάλιος* C 18 *οὖν* om. M 19 *κελεύσας*] *τε κελεύσασ* L *τοῖς*] *τοῖσ τε* LLat *ὅπως* — p. 545,1 *χρήσαιτο*] *ut his in procinctu ualidioribus uteretur* Lat *ἐρρωμενεστέροις*] ex Lat Destinon *ἐρρωμένοις* L *ἐρρωμενέστερον* PAMVRC

χρήσαιτο. τοῖς ἀπὸ τῶν σπειρῶν ἐπιλέκτοις ὁδοποιεῖν διὰ τῶν ἐριπίων προσέταξε καὶ τὸ πῦρ σβεννύειν.

4. Κατ' ἐκείνην μὲν δὴ τὴν ἡμέραν τῶν Ἰουδαίων κάματός τε 244
καὶ κατάπληξις ἐκράτησε τὰς ὁρμάς· τῇ δ' ἐπιούσῃ συλλεξάμενοί
τε τὴν ἰσχὺν καὶ ἀναθαρσήσαντες ἐπεκθέουσι διὰ τῆς ἀνατολικῆς
πύλης τοῖς φύλαξι τοῦ ἔξωθεν ἱεροῦ περὶ δευτέραν ὥραν. οἱ δὲ 245
καρτερῶς μὲν ἐδέξαντο αὐτῶν τὴν ἐμβολὴν καὶ φραξάμενοι τοῖς
θυρεοῖς κατὰ μέτωπον ὥσπερ τεῖχος ἐπύκνωσαν τὴν φάλαγγα, δῆλοι
δ' ἦσαν οὐκ ἐπὶ πολὺ συμμενοῦντες πλήθει τε τῶν ἐκτρεχόντων
καὶ θυμοῖς ἡττώμενοι. φθάσας δὲ τῆς παρατάξεως τὴν ῥοπὴν 246
Καῖσαρ, καθεώρα γὰρ ἀπὸ τῆς Ἀντωνίας, ἐπήμυνε μετὰ τῶν ἐπι-
λέκτων ἱππέων. Ἰουδαῖοι δὲ τὴν ἔφοδον οὐχ ὑπέμειναν, ἀλλὰ τῶν 247
πρώτων πεσόντων ἐτράπησαν οἱ πολλοί· καὶ ὑποχωροῦσι μὲν τοῖς 248
Ῥωμαίοις ἐπιστρεφόμενοι προσέκειντο, μεταβαλλομένων δὲ ἀνέφευ-
γον πάλιν, ἕως περὶ πέμπτην τῆς ἡμέρας ὥραν οἱ μὲν βιασθέντες
εἰς τὸ ἔνδον συνεκλείσθησαν ἱερόν,

5. Τίτος δὲ ἀνεχώρησεν εἰς τὴν Ἀντωνίαν διεγνωκὼς τῆς ἐπι- 249
ούσης ἡμέρας ὑπὸ τὴν ἕω μετὰ πάσης ἐμβαλεῖν τῆς δυνάμεως καὶ
τὸν ναὸν περικατασχεῖν. τοῦ δ' ἄρα κατεψήφιστο μὲν τὸ πῦρ ὁ 250
Θεὸς πάλαι, παρῆν δ' ἡ εἱμαρμένη χρόνων περιόδοις ἡμέρα δεκάτη
Λώου μηνός, καθ' ἣν καὶ πρότερον ὑπὸ τοῦ τῶν Βαβυλωνίων βα-
σιλέως ἐνεπρήσθη. λαμβάνουσι δ' αἱ φλόγες ἐκ τῶν οἰκείων τὴν 251
ἀρχὴν καὶ τὴν αἰτίαν· ὑποχωρήσαντος γὰρ τοῦ Τίτου πρὸς ὀλίγον
λωφήσαντες οἱ στασιασταὶ πάλιν τοῖς Ῥωμαίοις ἐπιτίθενται, καὶ

PAMLVRCLatHegesippus V 42 p. 360. Zonaras I p. 540.

1 *χρήσαιντο* AMVRC *σπειρῶν*] *σπειρῶν δὲ* R² *ἐριπίων* V¹R *προσέταξε διὰ τῶν ἐρειπίων* tr. P 2 *τὸ* om. R 3 *μὲν δὴ*] *δὲ* L *quidem* Lat *τῶν* om. AL *τῶν Ἰουδαίων* om. VRC 4 *δὲ* MVR *ἐπιοῦσι* C 5 *τε τὴν*] *τήν τε* A *τὴν ἰσχὺν*] *τὸν λαὸν* et i. marg. *τὴν ἰσχὺν* L *ἀναθαρ-ρήσαντεσ* C *ἐπεκθέουσι*] *διέκθέουσι* L 6 *τοῖσ φυλάξασι* M *τοῦ*] *τοῖσ* VR *ὥραν δευτέραν* tr. P 8 *θυραιοῖσ* C *ἐπύκνωσαν*] *ἐκύκλωσαν* L *φά-ραγγα* L *δειλοὶ* L 9 *δ'*] *τε* VRC *συμμενοῦντες*] Bekker *συμμένοντεσ* codd. *duraturos* Lat 10 *ἡττόμενοι* PA 11 *γὰρ*] *δὲ* L *nam* Lat *ἐπαμύνει* L haud male 12 *ἰουδαῖοι*, litt. *δαῖοι* suppl. i. marg. C 14 *δ'* LC 15 *πέμπτην*, *ν* ex *σ* corr. A 17 *δ'* C *εἰς*] *ἐπὶ* L *τῇ ἐπιούσῃ ἡμέρᾳ* MVRC 18 *ἐμβάλλειν* A 19 *δὲ* MVRC *ὁ θεὸσ πάλαι τὸ πῦρ* tr. P *ὁ θεὸσ τὸ πῦρ πάλαι* tr. L *ὁ*] *ὡσ* C *τὸ πῦρ*] fort. spurium *φθορὰν* Zon

20 *δὲ* LVR *ἡ*] *καὶ* L *χρόνῳ* A *περίοδοσ* Hudson cum Scaligero *παρ-ῆν* — 21 *μηνόσ*] *evolutisque temporibus aderat fatalis dies, qui erat decimus mensis augusti* Lat Loi 10. dies est 29. Augusti (IV k. Sept.) anni Iuliani 70 p. Chr. *καὶ τὸ πρότερον* VRC *τῶν* om. L 22 *δὲ* LVR *οἰκείων*] *οἰκιῶν* ALat 23 *τοῦ* om. L 24 *λοφήσαντεσ* RC

τῶν τοῦ ναοῦ φρουρῶν γίνεται συμβολὴ πρὸς τοὺς σβεννύντας τὸ πῦρ τοῦ ἔνδοθεν ἱεροῦ, οἳ τρεψάμενοι τοὺς Ἰουδαίους μέχρι τοῦ
252 ναοῦ παρηκολούθουν. ἔνθα δή τῶν στρατιωτῶν τις οὔτε παράγγελμα περιμείνας οὔτ' ἐπὶ τηλικούτῳ δείσας ἐγχειρήματι, δαιμονίῳ ὁρμῇ τινι χρώμενος ἁρπάζει μὲν ἐκ τῆς φλεγομένης † φλογός, ἀνακουφισθεὶς δὲ ὑπὸ συστρατιώτου τὸ πῦρ ἐνίησι θυρίδι χρυσῇ, καθ' ἣν εἰς τοὺς περὶ τὸν ναὸν οἴκους εἰσιτὸν ἦν ἐκ τοῦ βορείου κλι-
253 ματος. αἰρομένης δὲ τῆς φλογὸς Ἰουδαίων μὲν ἐγείρεται κραυγὴ τοῦ πάθους ἀξία, καὶ πρὸς τὴν ἄμυναν συνέθεον, οὔτε τοῦ ζῆν ἔτι φειδὼ λαμβάνοντες οὔτε ταμιευόμενοι τὴν ἰσχύν, δι' ὃ φυλακτικοὶ πρότερον ἦσαν οἰκομένου.

254 6. Δραμὼν δέ τις ἀγγέλλει Τίτῳ· κἀκεῖνος, ἔτυχεν δὲ κατὰ σκηνὴν ἀναπαυόμενος ἐκ τῆς μάχης, ὡς εἶχεν ἀναστὰς ἔθει πρὸς
255 τὸν ναὸν εἴρξων τὸ πῦρ. κατόπιν δὲ οἵ τε ἡγεμόνες εἵποντο πάντες, καὶ πτοηθέντα τούτοις ἠκολούθει τὰ τάγματα· βοὴ δὲ ἦν καὶ θό-
256 ρυβος ἅτε τηλικαύτης δυνάμεως ἀτάκτως κεκινημένης. ὁ μὲν οὖν Καῖσαρ τῇ τε φωνῇ καὶ τῇ δεξιᾷ διεσήμαινε τοῖς μαχομένοις τὸ πῦρ σβεννύειν, οὔτε δὲ βοῶντος ἤκουον μείζονι κραυγῇ τὰς ἀκοὰς προκατειλημμένοι καὶ τοῖς νεύμασι τῆς χειρὸς οὐ προσεῖχον, οἱ μὲν
257 τῷ πολεμεῖν, οἱ δὲ ὀργῇ περισπώμενοι. τῶν δὲ ταγμάτων εἰσθεόντων οὔτε παραίνεσις οὔτ' ἀπειλὴ κατεῖχεν τὰς ὁρμάς, ἀλλ' ὁ θυμὸς ἁπάντων ἐστρατήγει· καὶ περὶ τὰς εἰσόδους συνωθούμενοι πολλοὶ μὲν ὑπ' ἀλλήλων κατεπατοῦντο, πολλοὶ δὲ θερμοῖς ἔτι καὶ τυφομένοις τοῖς ἐρειπίοις τῶν στοῶν ἐμπίπτοντες ἡττωμένων συμ-

---

PAMLVRC Lat Hegesippus V 42 p. 360. Zonaras I p. 541.

2 τοῦ ἔνδοθεν ἱεροῦ om. Syr fort. recte ἔνδοθεν] ἔνδον L *interioris* Lat ἔξωθεν Hudson 3 ναοῦ] ἔνδοθεν ναοῦ ASyr παρηκολούθουν] παρη et spatium uacuum 20 fere litt. P παρῆλθον MLVRC *transierunt* Lat 4 οὔτε AVR δείσας ex δείσαν corr. A ὁρμῇ] δ' ὁρμῇ Destinon 5 ἁρπάζει — 6 θυρίδι] *a contubernali suo sustollitur et ex ardente materia raptum ignem in fenestram inserit* Lat *semiustam nanctus materiam, quae de fastigio decciderat, adulto igne portae admouit* Heg φλογός] PA et ut uid. Syr στοᾶς i. marg. A ὕλης MLVRC ὕλης μέρος Zon 6 δὲ] δ' LC συστρατιώτου] cum Lat Bekker στρατιώτου codd. Zon θυρίδη R χρυσῇ θυρίδι tr. L 7 εἰσιτὸν, ιτ ex corr. m. 2 R 8 αἰρομένης, ρο s. A 10 δι' ὃ] δι' οὗ PAL δι' ὃ καὶ MVRC *cuius gratia* Lat δι' ὃν Destinon; cf. infra 322; III 196; V 543 12 δὲ (ante κατὰ) om. V κατὰ τὴν σκηνὴν M 13 ἀναπηδήσας] ἀναπηδήσασ δὲ VR ἔθεε VR ἔθε C 14 εἶρξον PC¹ εἶρξων (sic) A εἴρξω R¹ κατόπι A δ' C 15 πτωηθέντα PL¹C ἠκολούθη ARC δ' LC 17 φωνῇ] L βοῇ PAMVRC *uoce* Lat διεσήμανε C 18 μείζωνι C 19 τοῖς νεύμασι] PAMLZon τῷ νεύματι VRC *nutum* Lat 20 δ' ML σπώμενοι L εἰσθ**όντων P 21 οὔτε PLVRC ἀλλ' ὁ] ἀλλὰ VRC 24 ἐριπίοισ V¹R ἐκπίπτοντεσ P ἡττομένων P καιομένων Destinon

φοραῖς ἐχρῶντο. πλησίον δὲ τοῦ ναοῦ γινόμενοι τῶν μὲν τοῦ Καί- 258
σαρος παραγγελμάτων προσεποιοῦντο μηδὲ κατακούειν, τοῖς πρὸ αὐ-
τῶν δὲ τὸ πῦρ ἐνιέναι παρεκελεύοντο. τῶν δὲ στασιαστῶν ἀμηχανία 259
μὲν ἦν ἴδοι τοῦ βοηθεῖν, φόνος δὲ πανταχοῦ καὶ τροπή. τὸ δὲ πλέον
ἀπὸ τοῦ δήμου λαὸς ἀσθενὴς καὶ ἄνοπλος ὅπου καταληφθείη τις
ἀπεσφάττετο, καὶ περὶ μὲν τὸν βωμὸν πλῆθος ἐσωρεύετο νεκρῶν,
κατὰ δὲ τῶν τοῦ ναοῦ βάθρων αἷμά τ' ἔρρει πολὺ καὶ τὰ τῶν ἄνω
φονευομένων σώματα κατωλίσθανε.

7. Καῖσαρ δ' ὡς οὔτε τὰς ὁρμὰς ἐνθουσιώντων τῶν στρατιω- 260
τῶν κατασχεῖν οἷός τε ἦν καὶ τὸ πῦρ ἐπεκράτει, παρελθὼν μετὰ
τῶν ἡγεμόνων ἔνδον ἐθεάσατο τοῦ ναοῦ τὸ ἅγιον καὶ τὰ ἐν αὐτῷ,
πολὺ μὲν τῆς παρὰ τοῖς ἀλλοφύλοις φήμης ἀμείνω, τοῦ δὲ κόμπου
καὶ τῆς παρὰ τοῖς οἰκείοις δόξης οὐκ ἐλάττω. τῆς φλογὸς δὲ οὐ- 261
δέπω διικνουμένης οὐδαμόθεν εἴσω, τοὺς δὲ περὶ τὸν ναὸν οἴκους
νεμομένης, νομίσας, ὅπερ ἦν, ἔτι σώζεσθαι τὸ ἔργον δύνασθαι προ-
ηδῆ, καὶ αὐτός τε παρακαλεῖ τοὺς στρατιώτας ἐπειρᾶτο τὸ πῦρ 262
σβεννύειν καὶ Λιβεράλιον ἑκατοντάρχην τῶν περὶ αὐτὸν λογχοφόρων
ξύλοις παίοντα τοὺς ἀπειθοῦντας ἐκέλευσεν εἴργειν. τῶν δὲ καὶ 263
τὴν πρὸς τὸν Καίσαρα αἰδῶ καὶ τὸν ἀπὸ τοῦ κωλύοντος φόβον
ἐνίκων οἱ θυμοὶ καὶ τὸ πρὸς Ἰουδαίους μῖσος, καὶ πολεμικὴ τις
ὁρμὴ λαβροτέρα· τοὺς δὲ πολλοὺς ἐνῆγεν ἁρπαγῆς ἐλπίς, δόξαν 264
τε ἔχοντας ὡς τὰ ἔνδον ἅπαντα χρημάτων μεστὰ εἴη, καὶ τὰ πέριξ
ὁρῶντας χρυσοῦ πεποιημένα. φθάνει δέ τις καὶ τῶν εἴσω παρελη- 265
λυθότων ἐκπηδήσαντος τοῦ Καίσαρος πρὸς ἐποχὴν τῶν στρατιωτῶν

PAMLVRC Lat Hegesippus V 43 p. 361. Zonaras I p. 541.

2 *προσεποιοῦτο* R¹ *τοῖσ δὲ πρὸ αὐτῶν* tr. M *πρὸ*] PAMLZonLat *παρ'* VRC 3 *τὸ* om. Zon 4 *ἦν*] om. LC i. marg. suppl. A *τοῦ προσβοη-θεῖν* L *πανταχόθεν* A 5 *ἀπὸ*] *ὁ ἀπὸ* M fort. recte *καταλειφθείη* PAL 6 *μὲν*] LCLat, om. PAMVR *ἐσωρεύετο, ύ* i. ras. A 7 *ναοῦ*] *βωμοῦ* VRC *βάθρων*] *βαθμῶν* LSyr *gradus* Lat *τε* MLVRC *καὶ τὰ*] *κατὰ* R¹ 8 *σώματα* ex *σωμάτω* corr. L *κατολίσθανε* C *κατωλίσθαινε* R² 9 *δὲ* VRC *οὐδὲ* L *ἐνθουσιόντων* P 11 *ἔνδον* om. LZon *ναοῦ*] *θεοῦ* Zon 12 *ἀλλοφίλοισ* A 13 *τῆς*] *τοῖσ* AC¹ *παρὰ τοῖς* om. A *ἔλαττον* P *ἔλαττων* A *δὲ φλογὸσ* tr. LZon *δ'* C *οὐδαμόθεν* om. AZon 14 *δὲ*] *nec* Lat 15 *νεμωμένησ* C *ἔτι* om. P 17 *Λιβεράλιον*] Hudson *liberalem* Lat *λιβεράριον* codd. *liberos* Syr *ecatontarchum* Lat 19 *πρὸς τὸν*] *πρὸσ τὸ*|P *πρὸσ* LVRC 20 *τισ*] *τησ* P 21 *λαμπροτέρα* R *ἐνῆγεν*] *παρέθηγεν* Zon *δόξαν* — 23 *πεποιημένα*] *suspicantes intus omnia pecuniae referta esse, quoniam fores auro factas conspicerent* Lat 22 *τε* om. PLat fort. recte *τάνδον* C *μεστὰ*] ex *μετὰ* corr. A *μέγιστα* V 23 *ὁρῶντεσ* L *παρελθόντων* C 24 *ἐποχὴ** P

266 πῦρ εἰς τοὺς στροφέας ἐμβαλὼν τῆς πύλης † ἐν σκότῳ· τότε γὰρ
ἐξαπίνης ἔνδοθεν ἐκφανείσης φλογὸς οἵ τε ἡγεμόνες μετὰ τοῦ Καί-
σαρος ἀνεχώρουν, καὶ τοὺς ἔξωθεν οὐδεὶς ὑφάπτειν ἐκώλυεν. ὁ μὲν
οὖν ναὸς οὕτως ἄκοντος Καίσαρος ἐμπίπραται.

267 8. Πολλὰ δ' ἄν τις ἐπολοφυράμενος ἔργῳ πάντων ὧν ὄψει καὶ ἀκοῇ παρειλήφαμεν θαυμασιωτάτῳ κατασκευῆς τε ἕνεκα καὶ μεγέθους ἔτι τε τῆς καθ' ἕκαστον πολυτελείας καὶ τῆς περὶ τὰ ἅγια δόξης, μεγίστην λάβοι παραμυθίαν τὴν εἱμαρμένην ἄφυκτον
268 οὖσαν ὥσπερ ἐμψύχοις οὕτω καὶ ἔργοις καὶ τόποις. θαυμάσαι δ' ἄν τις ἐν αὐτῇ τῆς περιόδου τὴν ἀκρίβειαν· καὶ μῆνα γοῦν, ὡς ἔφην, καὶ ἡμέραν ἐτήρησεν τὴν αὐτήν, ἐν ᾗ πρότερον ὑπὸ Βαβυ-
269 λωνίων ὁ ναὸς ἐνεπρήσθη. καὶ ἀπὸ μὲν τῆς πρώτης αὐτοῦ κτίσεως, ἣν κατεβάλετο Σολομὼν ὁ βασιλεύς, μέχρι τῆς νῦν ἀναιρέσεως, ἣ γέγονεν ἔτει δευτέρῳ τῆς Οὐεσπασιανοῦ ἡγεμονίας, ἔτη συνάγεται χίλια ἑκατὸν τριάκοντα, πρὸς δὲ μῆνες ἑπτὰ καὶ πεντεκαίδεκα ἡμέ-
270 ραι· ἀπὸ δὲ τῆς ὕστερον, ἣν ἔτει δευτέρῳ Κύρου βασιλεύοντος ἐτοιήσατο Ἀγγαῖος, ἔτη μέχρι τῆς ὑπὸ Οὐεσπασιανοῦ ἁλώσεως τριακονταεννέα πρὸς ἑξακοσίοις καὶ ἡμέραι τεσσαρακονταπέντε.

271 V. 1. Καιομένου δὲ τοῦ ναοῦ τῶν μὲν προσπιπτόντων ἦν ἁρπαγή, φόνος δὲ τῶν καταλαμβανομένων μυρίος καὶ οὔτε ἡλικίας ἦν ἔλεος οὔτ' ἐντροπὴ σεμνότητος, ἀλλὰ καὶ παιδία καὶ γέροντες καὶ βέβηλοι καὶ ἱερεῖς ὁμοίως ἀνῃροῦντο, καὶ πᾶν γένος ἐπεξῆει περισχὼν ὁ πόλεμος, ὁμοῦ τούς τε ἱκετεύοντας καὶ τοὺς ἀμυνομένους.

PAMLVRC Lat Zonaras I p. 542.

1 *τροφέας* V *ἐμβαλὼν*] *ἐμβάλλων* A *subieverat* Lat *ἐν σκότῳ*] codd. Syr, om. LatZon *γρ καὶ ἐν κοντῷ* i. marg. M *τότε γὰρ ἐξαπίνης*] *ἐξαπίνης τ'* (*τε* M) MVRC et ut uid. Zon *tumque subito* Lat 2 *τοῦ*] *τοῦσ* V¹ 3 *ὑφάπτων* L *ἐφάπτειν* PAC 4 *οὖν* om. M *ἐμπιμπρᾶται* V *ἐμπιπρᾶται* RC 5 i. marg. *κζ'* C *δὲ* VR *ἐπολοφυρόμενος* L *ἐπωλοφυράμενος* C *ἔργων* LVR *ὧν* om. M 6 *θαυμασιώτατα* L *κατα·σκευῆς*, eras. *σ* A *ἕνε·κα* A 7 *καθ' ἕκαστον*] *περὶ καθέκαστον* L 9 *οὖσαν, οὖ* i. ras. C *οὕτωσ* L *θαυμάσειε* LZon 11 *ἐπετήρησε* VRC 12 *ἐνεπρίσθη* A *κατεφλέγη* L 13 *ἣν*] *ἣν* A *κατεβάλλετο* A¹ *σολομῶν* PAV *σολόμων* C *salomon* Lat 14 *ἔτει — ἡγεμονίας*] *secundo anno principis uespasiani* Lat *ἐν ἔτει* AL *ἡγεμονίας*, litt. *ηγεμονί* i. ras. 6 litt. A *βασιλείας* L 15 *δὲ*] *δὲ καὶ* L *μῆνεσ* ex *μῆνασ* corr. M *δεκαπέντε* L 16 *δὲ* suppl. V *τῆς*] *τῆσ εἰσ* P *ἣν*] *ἣν* A *ἔτι* L 17 *Ἀγγαῖος*] *ἀγμαῖοσ* R 18 *τριακονταεννέα* L *ἡμέραισ* PAL *τεσσερακονταπέντε* (s. m. 2) V 19 i. marg. *κη'* C 20 *μυρίοσ* ex *μυρίουσ* corr. L *καὶ οὔτε*] *οὔτε* A *οὔτε γὰρ* M *οὔτε δὲ* (*δ'* C) LVRC *nec aut* Lat *ἦν ἡλικίασ* tr. L 21 *οὔτε* VR 22 *περιέχων* VR 23 *τοὺς* om. VRC

συνήχει δὲ ἡ φλὸξ ἐπὶ πλεῖστον ἐκφερομένη τοῖς τῶν πιπτόντων 272
στεναγμοῖς, καὶ διὰ μὲν τὸ ὕψος τοῦ λόφου καὶ τὸ τοῦ φλεγομένου
μέγεθος ἔργου πᾶσαν ἂν τις ἔδοξε καίεσθαι τὴν πόλιν, τῆς δὲ βοῆς
ἐκείνης οὐδὲν ἐπινοηθῆναι δύναιτ' ἂν ἢ μεῖζον ἢ φοβερώτερον. τῶν 273
τε γὰρ Ῥωμαϊκῶν ταγμάτων ἀλαλαγμὸς ἦν συμφερομένων, καὶ τῶν
στασιαστῶν πυρὶ καὶ σιδήρῳ κεκυκλωμένων κραυγή, τοῦ τε ἀπολι-
φθέντος ἄνω λαοῦ τροπή τε μετ' ἐκπλήξεως εἰς τοὺς πολεμίους
καὶ πρὸς τὸ πάθος οἰμωγαί. συνεβόα δὲ τοῖς ἐπὶ τοῦ λόφου τὸ 274
κατὰ τὴν πόλιν πλῆθος· ἤδη δὲ πολλοὶ τῷ λιμῷ μαραινόμενοι καὶ
μεμυκότες ὡς εἶδον τὸ τοῦ ναοῦ πῦρ, εἰς ὀδυρμοὺς πάλιν καὶ κραυγὴν
εἰτόνησαν· συνήχει δὲ ἥ τε Περαία καὶ τὰ πέριξ ὄρη βαρυτέραν
ποιοῦντα τὴν βοήν. ἦν δὲ τοῦ θορύβου τὰ πάθη φοβερώτερα· τὸν 275
μέν γε τοῦ ἱεροῦ λόφον ἐκ ῥιζῶν ἄν τις ἔδοξε βράττεσθαι πάν-
τοθεν τοῦ πυρὸς καταγέμοντα, δαψιλέστερον δὲ τὸ αἷμα τοῦ πυρὸς
εἶναι καὶ τῶν φονευόντων πλείους τοὺς φονευομένους· οὐδαμοῦ γὰρ 276
ἡ γῆ διεφαίνετο τῶν νεκρῶν, ἀλλὰ σωροῖς ἐπιβαίνοντες οἱ στρα-
τιῶται σωμάτων ἐπὶ τοὺς διαφεύγοντας ἔθεον. τὸ μὲν οὖν λῃ- 277
στρικὸν πλῆθος ὡσάμενοι τοὺς Ῥωμαίους μόλις εἰς τὸ ἔξω διεκπί-
πτουσιν ἱερὸν κἀκεῖθεν εἰς τὴν πόλιν, τοῦ δημοτικοῦ δὲ τὸ λειφθὲν
ἐπὶ τὴν ἔξω στοὰν κατέφυγε. τῶν δὲ ἱερέων τινὲς τὸ μὲν πρῶτον 278
ἀπὸ τοῦ ναοῦ τούς τε ὀβελοὺς καὶ τὰς ἕδρας αὐτῶν μολίβου πε-
ποιημένας ἀνασπῶντες εἰς τοὺς Ῥωμαίους ἠφίεσαν, αὖθις δὲ ὡς 279
οὔτε ἤνυόν τι καὶ τὸ πῦρ ἐπ' αὐτοὺς ἀνερρίγνυτο, ἐπὶ τὸν τοῖχον
ἀναχωρήσαντες ὄντα ὀκτάπηχυν τὸ εὖρος ἔμενον. δύο γε μὴν τῶν 280
ἐπισήμων, παρὸν σωθῆναι πρὸς Ῥωμαίους μεταστᾶσιν ἢ διακαρ-
τερεῖν πρὸς τὴν μετὰ τῶν ἄλλων τύχην, ἑαυτοὺς ἔρριψαν εἰς τὸ

PAMLVRC Lat Zonaras I p. 542.

1 δ' LC εἰσφερομένη VR 2 μὲν ********* τοῦ λόφου P 3 ἄν om. L 4 ἐκείνης, ης ex η corr. M 5 ἀλαλαγμὸς, ἀλα ex ἀλλ corr. P συμφερομένων om. Lat 6 κεκυκλωμένων ex κεκλυμένων corr. C *clausorum* Lat ἀπολειφθέντος ML *deprehensi* Lat 7 τε om. L 8 συνεβόων L 9 μαραινόμενοι, μ initiale i. ras. A 10 ὀδυρμοὺσ|οὺσ C 11 ηυτόνησαν L δ' LC Περαία corruptum putat Destinon 12 βοήν] PAMSyr ὁρμὴν LVRCLat γρ καὶ ὁρμὴν i. marg. M 13 βράττεσθαι] διάττεσθαι VRC¹ et i. marg. M διάγεσθαι ex corr. C *euelli* Lat 16 τῶν] ἐκ τῶν LZon ἀλλὰ] LCZon ἀλλὰ καὶ PAMVR ἐπεμβαίνοντες MLVRCZon 17 τῶν σωμάτων P τοὺς φεύγοντας Zon 19 ληφθὲν PA περιλειφθὲν Zon 20 i. marg. κθ' C δ' LZon μὲν om. L 21 μολίβῳ L μολίβδου Hudson 22 δ' C 23 οὔτ' C αὐτοῖσ L ἐνερρήγνυτο M ἀνερρήγνυντο R 25 παρ' ὃν LV παρῶν C ἢ σωθῆναι Niese 26 ἔρριψαν] ῥίψαντες L

πῦρ καὶ τῷ ναῷ συγκατεφλέγησαν, Μηΐρός τε υἱὸς Βελγᾶ καὶ Ἰώσηπος Δαλαίου.

281 2. Ῥωμαῖοι δὲ μάταιον τὴν ἐπὶ τοῖς πέριξ φειδὼ κρίναντες τοῦ ναοῦ φλεγομένου πάντα συνεπίμπρασαν, τά τε λείψανα τῶν στοῶν καὶ τὰς πύλας πλὴν δύο, τῆς μὲν ἐκ τῶν ἀνατολικῶν τῆς
282 δὲ μεσημβρινῆς· καὶ ταύτας ὕστερον κατέσκαψαν. ἔκαιον δὲ καὶ τὰ γαζοφυλάκια, ἐν οἷς ἄπειρον μὲν χρημάτων πλῆθος ἄπειροι δ' ἐσθῆτες καὶ ἄλλα κειμήλια, συνελόντι δ' εἰπεῖν, πᾶς ὁ Ἰουδαίων σεσώρευτο πλοῦτος, ἀνεσκευασμένων ἐκεῖ τοὺς οἴκους τῶν εὐπόρων.
283 ἦκον δὲ καὶ ἐπὶ τὴν λοιπὴν στοὰν τοῦ ἔξωθεν ἱεροῦ· καταφεύγει δ' ἐπ' αὐτὴν ἀπὸ τοῦ δήμου γύναια καὶ παιδία καὶ σύμμικτος ὄχλος
284 εἰς ἑξακισχιλίους. πρὶν δὲ Καίσαρα κρῖναί τι περὶ αὐτῶν ἢ κελεῦσαι τοὺς ἡγεμόνας, φερόμενοι τοῖς θυμοῖς οἱ στρατιῶται τὴν στοὰν ὑφάπτουσι, καὶ συνέβη τοὺς μὲν ῥιπτοῦντας αὐτοὺς ἐκ τῆς φλογὸς διαφθαρῆναι, τοὺς δὲ ἐν αὐτῇ· περιεσώθη δὲ ἐκ τοσούτων
285 οὐδείς. τούτοις αἴτιος τῆς ἀπωλείας ψευδοπροφήτης τις κατέστη κατ' ἐκείνην κηρύξας τὴν ἡμέραν τοῖς ἐπὶ τῆς πόλεως, ὡς ὁ θεὸς ἐπὶ τὸ ἱερὸν ἀναβῆναι κελεύει δεξομένους τὰ σημεῖα τῆς σωτηρίας.
286 πολλοὶ δ' ἦσαν ἐγκάθετοι παρὰ τῶν τυράννων τότε πρὸς τὸν δῆμον προφῆται προσμένειν τὴν ἀπὸ τοῦ θεοῦ βοήθειαν καταγγέλλοντες.
ὡς ἧττον αὐτομολοῖεν καὶ τοὺς ἐπάνω δέους καὶ φυλακῆς γενομένους
287 ἐλπὶς παρακροτοίη. πείθεται δὲ ταχέως ἄνθρωπος ἐν συμφοραῖς. ὅταν δ' ἤδη καὶ τῶν κατεχόντων δεινῶν ἀπαλλαγὴν ὁ ἐξαπατῶν ὑπογράφῃ, τόθ' ὁ πάσχων ὅλος γίνεται τῆς ἐλπίδος.

PAMLVRC Lat Hegesippus V 43 p. 362. Zonaras I p. 543.

1 *μῃϊρός* L *μῃϊρόσ* VRC *υἱὸσ β*****αὶ* P *βελγὰ* AV *βελγα* LR *iosippus dareae* Lat 3 *ματαίαν* Zon *ἐπὶ τοῖς* euan. P 4 *συνεμπίμπρασαν* V *συνεπίπρασαν* C *συνενεπίμπρασαν* L. Dindorf 5 *πύλας*] *πύλασ αὐτῶν* L 6 *δὲ μεσημβρινῆς*] *δ' ἐκ μεσημβριασ* L *ταύτας*] *ταύτας δ'* Destinon 7 *γαζοφυλακεῖα* VR *γαζοφυλάκεια* C *δὲ* VR 8 *δὲ* VR 9 *ἀνασκευασαμένων* L *τοὺς οἴκους*] *τῶν οἴκων* MVRC 10 *καταπεφεύγει* Bekker ex cod. L. B. *confugerant* Lat 11 *δὲ* VR *ὄχλος*] *ὄχλοσ πλῆθοσ* L *ὄχλοσ πλεῖστοσ* C 12 *δὲ*] *οὖν* M *Καίσαρα*] *καίσα*] C *κελεύσειν* L 14 *καὶ συνέβη*] *συνέβη δὲ* L *αὐτοὺσ* PAMVC *ἑαυτοὺσ* L 15 i. marg. *λ'* C *δ' ἐν* LC *δ' ἐκ* LC 16 *οὐδὲ εἷσ* L *κατέστη* ex *καθέστη* corr. A 17 *τὴν ἡμέραν κηρύξασ* tr. L *τῆς*] *τοῖσ* C 19 *δὲ* VR 21 *καὶ φυλακῆς*] *κατα φυλακῆσ* C *γινομένουσ* AMLVRC 22 *ἐπὶσ* A *παρακροτοίη*] *παρακρατῶν* L *παρακρατοίη* VR *retineret* Lat *δὲ ταχέως*] *δ' εὐθέωσ* L 23 *δ' ἤδη*] *δὲ δὴ* PAMVC *δὲ ἤδη* L *δὲ* R, om. Lips 24 *τόθ'*] *τότε* LVR *ὅλωσ* A¹C

3. *Τὸν γοῦν ἄθλιον δῆμον οἱ μὲν ἀπατεῶνες καὶ καταψευδό-* 288
μενοι τοῦ θεοῦ τηνικαῦτα παρέτειθον, τοῖς δ' ἐναργέσι καὶ προ-
σημαίνουσι τὴν μέλλουσαν ἐρημίαν τέρασιν οὔτε προσεῖχον οὔτ'
ἐπίστευον, ἀλλ' ὡς ἐμβεβροντημένοι καὶ μήτε ὄμματα μήτε ψυχὴν
ἔχοντες τῶν τοῦ θεοῦ κηρυγμάτων παρήκουσαν, τοῦτο μὲν ὅτε ὑπὲρ 289
τὴν πόλιν ἄστρον ἕστη ῥομφαίᾳ παραπλήσιον καὶ παρατείνας ἐπ'
ἐνιαυτὸν κομήτης, τοῦτο δ' ἡνίκα πρὸ τῆς ἀποστάσεως καὶ τοῦ 290
πρὸς τὸν πόλεμον κινήματος ἀθροιζομένου τοῦ λαοῦ πρὸς τὴν τῶν
ἀζύμων ἑορτήν, ὀγδόῃ δ' ἣν Ξανθικοῦ μηνός, κατὰ νυκτὸς ἐνάτην
ὥραν τοσοῦτο φῶς περιέλαμψε τὸν βωμὸν καὶ τὸν ναόν, ὡς δοκεῖν
ἡμέραν εἶναι λαμπράν, καὶ τοῦτο παρέτεινεν ἐφ' ἡμίσειαν ὥραν·
ὃ τοῖς μὲν ἀπείροις ἀγαθὸν ἐδόκει, τοῖς δὲ ἱερογραμματεῦσι πρὸς 291
τῶν ἀποβεβηκότων εὐθέως ἐκρίθη. καὶ κατὰ τὴν αὐτὴν ἑορτὴν 292
βοῦς μὲν ἀχθεῖσα ὑπό του πρὸς τὴν θυσίαν ἔτεκεν ἄρνα ἐν τῷ
ἱερῷ μέσῳ, ἡ δ' ἀνατολικὴ πύλη τοῦ ἐνδοτέρω ναοῦ χαλκῆ μὲν 293
οὖσα καὶ στιβαρωτάτη, κλειομένη δὲ περὶ δείλην μόλις ὑπ' ἀν-
θρώπων εἴκοσι, καὶ μοχλοῖς μὲν ἐπερειδομένη σιδηροδέτοις, κατά-
πηγας δὲ ἔχουσα βαθυτάτους εἰς τὸν οὐδὸν ὄντα διηνεκοῦς λίθου
καθιεμένους, ὤφθη κατὰ νυκτὸς ὥραν ἕκτην αὐτομάτως ἠνοιγμένη.
δραμόντες δὲ οἱ τοῦ ἱεροῦ φύλακες ἤγγειλαν τῷ στρατηγῷ, κἀκεῖ- 294
νος ἀναβὰς μόλις αὐτὴν ἴσχυσεν κλεῖσαι. πάλιν τοῦτο τοῖς μὲν 295

PAMLVRC Lat Hegesippus V 44 p. 362. Zonaras I p. 543. Euseb. hist. eccl. III 8.

1 incip. Euseb *ἀπαταιῶνες* PA 2 ante *τοῦ* ras. 8 litt. V *δὲ* VRC *προσσημαίνουσι* C 3 *μέλλουσαν*] *μέλλουσαν ἔσεσθαι* Eusebii codd. plerique *οὔτ'*] *οὔτε* MVRCEuseb 4 *ἐμβροντιμένοι* A¹ *ἐνβεβροντημένοι* V *καὶ μήτε* euan. P *μήτ'* C litt. *τε ψυχὴν ἔχον* euan. P 5 *κηρυγμάτων* euan. P *παρήκουον* Euseb *ὅτε*] *οὖν* L 6 *παρατείνας*] *παρά τινας* V *ἐπὶ* L 7 *κομήτης* PR *δὲ* PMVRC *ἀποστάσεως ὡς καὶ* M 9 *ὀγδόῃ δ' ἦν*] *ὀγδόῃ* Euseb *ὀγδόῃ*] *ἡ* L *δὲ* LVR Xanthici 8. dies est 25. Aprilis (VII k. Mai.) anni Iuliani, si solitam Iosephi rationem sequimur; sed hic antiquiore Iudaeorum computo usus esse uid. *ὥραν ἐνάτην* tr. L 10 *τοσοῦτον* LVRC et Eusebii codd. quidam *τὸν ναὸν καὶ τὸν βωμὸν* tr. L 11 *ἐπὶ* LZon 12 *ἐδόκει*] *ἐδόκει εἶναι* Euseb *δ'* LC *πρὸς*] *πρὸ* PAMLLat et Eusebii codd. plerique 14 *ἀναχθεῖσα* L *ὑπό του*] om. Lat *ὑπὸ τοῦ* A¹LR *ὑπὸ τοῦ ἀρχιερέως* Eusebii codd. quidam et inde Hudson 15 *ἡ*] *ἣν* L *δὲ* LVRCZon *ἐνδοτέρω*] LEuseb *ἐνδοτέρου* PAMVRCZon *ἐξωτέρου* Grotius *ναοῦ*] PAMLLatZon, om. VRCEuseb 16 *δείλης* VRC *ὑπ' ἀνθρώπων*] *ὑπὸ* (*ὑπ'* C) *ἀνδρῶν* LCZon 17 *καταπῆγας* VRCEuseb 18 *δ'* LCEuseb *εἰς* — 19 *καθιεμένους* om. Euseb *λίθους* PA¹ 19 *ἠνοιγμένη*] PAEuseb *ἠνεωγμένη* MLVRCZon *ἀνεῳγμένη* L. Dindorf 20 *δραμόντες* — 552, 4 *σημεῖον* om. Euseb *δὲ οἱ*] *δ' ἡ* C *ἀνήγγειλαν* M

ἰδιώταις κάλλιστον ἐδόκει τέρας· ἀνοῖξαι γὰρ τὸν θεὸν αὐτοῖς τὴν
τῶν ἀγαθῶν πύλην· οἱ λόγιοι δὲ λυομένην αὐτομάτως τοῦ ναοῦ
τὴν ἀσφάλειαν ἐνενόουν, καὶ πολεμίοις δῶρον ἀνοίγεσθαι τὴν πύλην,
296 δι᾽ λωτικόν τε ἐριμμίας ἀπέφαινον ἐν αὐτοῖς τὸ σημεῖον. μετὰ δὲ
τὴν ἑορτὴν οὐ πολλαῖς ἡμέραις ὕστερον, μιᾷ καὶ εἰκάδι Ἀρτεμι- 5
297 σίου μηνός, φάσμα τι δαιμόνιον ὤφθη μεῖζον πίστεως· τερατεία
δὲ ἂν ἔδοξεν οἶμαι τὸ ῥηθησόμενον, εἰ μὴ καὶ παρὰ τοῖς θεασα-
μένοις ἱστόρητο καὶ τὰ ἐπακολουθήσαντα πάθη τῶν σημείων ἦν
298 ἄξια· πρὸ γὰρ ἡλίου δύσεως ὤφθη μετέωρα περὶ πᾶσαν τὴν χώραν
ἅρματα καὶ φάλαγγες ἐνοπλοι διάττουσαι τῶν νεφῶν καὶ κυκλού- 10
299 μεναι τὰς πόλεις. κατὰ δὲ τὴν ἑορτήν, ἣ πεντηκοστὴ καλεῖται, νύ-
κτωρ οἱ ἱερεῖς παρελθόντες εἰς τὸ ἔνδον ἱερόν, ὥσπερ αὐτοῖς ἔθος
πρὸς τὰς λειτουργίας, πρῶτον μὲν κινήσεως ἔφασαν ἀντιλαβέσθαι
καὶ κτύπου, μετὰ δὲ ταῦτα φωνῆς ἀθρόας „μεταβαίνομεν ἐντεῦ-
300 θεν.“ τὸ δὲ τούτων φοβερώτερον, Ἰησοῦς γάρ τις υἱὸς Ἀνανίου 15
τῶν ἰδιωτῶν ἄγροικος πρὸ τεσσάρων ἐτῶν τοῦ πολέμου τὰ μά-
λιστα τῆς πόλεως εἰρηνευομένης καὶ εὐθηνούσης, ἐλθὼν εἰς τὴν
ἑορτήν, ἐν ᾗ σκηνοποιεῖσθαι πάντας ἔθος τῷ θεῷ, κατὰ τὸ ἱερὸν

PAMLVRC Lat Hegesippus V 44 p. 364. Zonaras I p. 544. Euseb. hist. eccl. III 8, 2. dem. euang. VIII 2, 112.

1 *ἰδιώταις* C *ἀνοῖξαι*] *ἀνοι* (sic) C *τὸν θεὸν*] *ὁ θεὸς* C 2 *λόγιοι*] *λοιποὶ* L *λόγ·ιοι* V *τὴν τοῦ ναοῦ* tr. L 3 *πύλιν* C 4 *δηλοτικὸν* C *τ᾽* C *uero* Lat *ἐν αὐτοῖς*] *ἐν αυτοῖσ* PA *ἑαυτοῖς* L *ἐν ἑαυτοῖς* MVRC *inter se* Lat *μετὰ* — 11 *πόλεις* om. i. marg. suppl. A, sed acciso margine litterae aliquot interierunt *μετὰ* — 11 *ὕστερον*] *post dies autem festos in diebus paucis* Lat 5 *οὐ* — *ὕστερον*] *ἡμέραισ οὐ πολλαῖσ ὕστερον* LVRCEuseb *post multos dies* Heg *μιᾷ καὶ εἰκάδι*] *πρώτῃι καὶ εἰκοστῇι* L *ἀρτεμησίου* PAV¹R Artemisii 21. dies est 8. Iunii (VI id. Iun.) anni Iuliani, si quidem Iosephus solitam sequitur rationem 6 *τερατείαν* L *τέρασ* Euseb *τερατεία* — 8 *ἱστόρητο*] *monstrum autem, quod dicturus sum, fortasse etiam his est cognitum qui uiderunt* Lat 7 *δ᾽* LVRCEuseb *ἂν ἔδοξεν*] *ἔδο* * * * *ἂν* A *οἶμαι*] *εἶναι* Euseb 8 *ἱστόρειτο* PA *ἱστορεῖτο* LVR 9 litt. *ύσεως ὤφθ* euan. P *περὶ*] euan. P *κατὰ* L 10 litt. *οπλοι διάττου* euan. P *κυκλούμενοι* L 11 *κατὰ* — 14 *ἐντεῦθεν* habet Eusebius demonstr. *κατὰ, κα* i. ras. A 12 *ἔνδον* om. Euseb hist. et dem. *ὥσπερ* — *ἔθος*] *more suo* Lat *ἔθος*] *ἔθοσ ἦν* AMLVRCEuseb hist. et dem. 13 *πρὸς*] *εἰσ* L *ἀντιλαμβάνεσθαι* Euseb hist. et dem. 14 *φωνῆς*] *καὶ φωνῆσ* MC et fort. Heg *ἀθρόας*] *ἀθρόας λεγούσης* Euseb dem. *μεταβαίνομεν*] codd. Heg et Euseb hist. *μεταβαίνωμεν* LatZonEuseb dem.; cf. Tacit. hist. V 13 15 *Ἰησοῦς*] *ἠϊσοῦσ* A *Ἀνανίου*] PAHegEuseb *ἀνάνου* MLVRCLat 16 *ἀγροῖκοσ* LVRCZon 17 *εἰρηνευούσησ* PL *εἰς*] *ἐπὶ* Euseb fort. recte 18 *ἐν ᾗ*] *ἐπεὶ* PMVRC et Eusebii codicum pars *ἐφ᾽ ᾗ* (*φ* ex *π* corr., *ᾗ* i. ras.) A *ἔθος*] *ἔθος ἦν* Euseb *κατὰ*] *εἰσ* L

ἐξαπίνης ἀναβοᾶν ἤρξατο „φωνὴ ἀπὸ ἀνατολῆς, φωνὴ ἀπὸ δύσεως, 301
φωνὴ ἀπὸ τῶν τεσσάρων ἀνέμων, φωνὴ ἐπὶ Ἱεροσόλυμα καὶ τὸν
ναόν, φωνὴ ἐπὶ νυμφίους καὶ νύμφας, φωνὴ ἐπὶ τὸν λαὸν πάντα.“
τοῦτο μεθ' ἡμέραν καὶ νύκτωρ κατὰ πάντας τοὺς στενωποὺς πε-
ριῄει κεκραγώς. τῶν δὲ ἐπισήμων τινὲς δημοτῶν ἀγανακτήσαντες 302
πρὸς τὸ κακόφημον συλλαμβάνουσι τὸν ἄνθρωπον καὶ πολλαῖς
αἰκίζονται πληγαῖς. ὁ δὲ οὔθ' ὑπὲρ αὑτοῦ φθεγξάμενος οὔτε ἰδίᾳ
πρὸς τοὺς παίοντας, ἃς καὶ πρότερον φωνὰς βοῶν διετέλει. νομί- 303
σαντες δὲ οἱ ἄρχοντες, ὅπερ ἦν, δαιμονιώτερον τὸ κίνημα τἀνδρὸς
ἀνάγουσιν αὐτὸν ἐπὶ τὸν παρὰ Ῥωμαίοις ἔπαρχον. ἔνθα μάστιξι 304
μέχρι ὀστέων ξαινόμενος οὔθ' ἱκέτευσεν οὔτ' ἐδάκρυσεν, ἀλλ' ὡς
ἐνῆν μάλιστα τὴν φωνὴν ὀλοφυρτικῶς παρεγκλίνων πρὸς ἑκάστην
ἀπεκρίνατο πληγήν „αἰαὶ Ἱεροσολύμοις.“ τοῦ δ' Ἀλβίνου διερω- 305
τῶντος, οὗτος γὰρ ἔπαρχος ἦν, τίς εἴη καὶ πόθεν, καὶ διὰ τί ταῦτα
φθέγγοιτο, πρὸς ταῦτα μὲν οὐδ' ὁτιοῦν ἀπεκρίνατο, τὸν δὲ ἐπὶ
τῇ πόλει θρῆνον εἴρων οὐ διέλειπεν, μέχρι καταγνοὺς μανίαν ὁ
Ἀλβῖνος ἀπέλυσεν αὐτόν. ὁ δὲ τὸν μέχρι τοῦ πολέμου χρόνον οὔτε 306
προσῄει τινὶ τῶν πολιτῶν οὔτε ὤφθη λαλῶν, ἀλλὰ καθ' ἡμέραν
ὥσπερ εὐχὴν μεμελετηκὼς „αἰαὶ Ἱεροσολύμοις“ ἐθρήνει. οὔτε δέ 307
τινι τῶν τυπτόντων αὐτὸν ὀσημέραι κατηρᾶτο οὔτε τοῖς τροφῆς
μεταδιδόντας εὐλόγει, μία δὲ πρὸς πάντας ἦν ἡ σκυθρωπὴ κληδὼν
ἀπόκρισις. μάλιστα δ' ἐν ταῖς ἑορταῖς ἐκεκράγει· καὶ τοῦτ' ἐφ' 308
ἑπτὰ ἔτη καὶ μῆνας πέντε εἴρων οὔτ' ἠμβλυνεν τὴν φωνὴν οὔτ'

PAMLVRCLat Hegesippus V 44 p. 364. Zonaras I p. 544. Eusebius hist. eccl. III 8, 3.

1 *φωνὴ ἀπὸ ἀνατολῆς* om. P *ἀπ'* VRCEuseb 3 *πάντα τὸν λαὸν* tr. LEuseb 4 *στενοποὺς* R 5 *δ'* LRCEuseb *δημωτῶν* C 6 *συμλλαμβάνουσι, μ* post *υ* deletum C 7 *δ'* C *οὔτε* VR *αὐτοῦ* PAML *ἑαυτοῦ* VRCEuseb *οὔτ'* LC 8 *παίοντας*] *παρόντας* Euseb *διετέλει*] *ἐτέλει*, i. marg. suppl. *δι* A 9 *δ'* LC *δαιμονιώτερον*] *δαιμονιώτερον εἶναι* LVRCEuseb *τὸ* om. Euseb *τοῦ ἀνδρὸς* LVRC 10 *ἐνάγουσιν* V *ἄγουσιν* Eusebii codd. plerique *ῥωμαίων* VR et ut uid. Heg fort. recte 11 *μέχρις* MLVRCEuseb *ξενόμενος* P *ξεόμενος* L *οὔτε* VR *οὔτ'*] *οὐδὲ* A *οὔτε* VR 12 *παρακλίνων* PA *παρεκκλίνων* LZon 13 *ἀπεκρίνετο* L *αἰαὶ* PA *αἲ αἲ* (ex *αἰ αἰ* corr. M) MLVRC *Ἱεροσολύμοις*] finit Euseb *δὲ* VRC 14 *ἦν ἔπαρχος* tr. L *τίς*] *τίς τε* L fort. recte 15 *οὐδὲ* VR *δ'* LC 16 ad *εἴρων* i. marg. *λέγων* VR *διέλιπε* C *καταγνοὺς*] *καταγνοὺς αὐτοῦ* M *ὁ* s. A 18 *προσῄει* ex *προσῄκειν* corr. V *οὔτ' ὤφθη* C *οὔτε ὤφθη λαλῶν*] *nec quemquam uidit* Lat 19 *μεμελετικῶς* C *αἰ αἰ* A *αἰ αἰ* (sic) PL *αἲ αἲ* A *αἰ αἰ* (ex *αἲ αἲ* corr. M) MVRC; fere item infra p. 554,2 et 4 20 *ὁσημέραι* om. PHeg 21 *ηὐλόγει* ML 22 *δὲ* VR *τοῦτο* VR *ἐφ'* om. L 23 *πέντε μῆνας* tr. L *οὔτε* LVR *ἠμβλύνθη* LVC *ἠμβλύθη* R *οὔτε* LVR

ἔκαμεν, μέχρις οὗ κατὰ τὴν πολιορκίαν ἔργα τῆς κληδόνος ἰδὼν
309 ἀνεπαύσατο. περιιὼν γὰρ ἀπὸ τοῦ τείχους „αἰαὶ πάλιν τῇ πόλει καὶ τῷ λαῷ καὶ τῷ ναῷ“ διαπρύσιον ἐβόα, ὡς δὲ τελευταῖον προσέθηκεν „αἰαὶ δὲ κἀμοί“, λίθος ἐκ τοῦ πετροβόλου σχασθεὶς καὶ πλήξας αὐτὸν παραχρῆμα κτείνει, φθεγγομένην δ' ἔτι τὰς κληδόνας ἐκείνας τὴν ψυχὴν ἀφῆκε.

310 4. Ταῦτά τις ἐννοῶν εὑρήσει τὸν μὲν θεὸν ἀνθρώπων κηδόμενον καὶ παντοίως προσημαίνοντα τῷ σφετέρῳ γένει τὰ σωτήρια,
311 τοὺς δ' ὑπ' ἀνοίας καὶ κακῶν αὐθαιρέτων ἀπολλυμένους, ὅπου γε Ἰουδαῖοι καὶ τὸ ἱερὸν μετὰ τὴν καθαίρεσιν τῆς Ἀντωνίας τε-
312 τράγωνον ἐποίησαν, ἀναγεγραμμένον ἐν τοῖς λογίοις ἔχοντες ἁλώσεσθαι τὴν πόλιν καὶ τὸν ναόν, ἐπειδὰν τὸ ἱερὸν γένηται τετρά-
313 γωνον. τὸ δ' ἐπᾶραν αὐτοὺς μάλιστα πρὸς τὸν πόλεμον ἦν χρησμὸς ἀμφίβολος ὁμοίως ἐν τοῖς ἱεροῖς εὑρημένος γράμμασιν, ὡς κατὰ τὸν
314 καιρὸν ἐκεῖνον ἀπὸ τῆς χώρας αὐτῶν τις ἄρξει τῆς οἰκουμένης. τοῦθ' οἱ μὲν ὡς οἰκεῖον ἐξέλαβον καὶ πολλοὶ τῶν σοφῶν ἐπλανήθησαν περὶ τὴν κρίσιν, ἐδήλου δ' ἄρα τὴν Οὐεσπασιανοῦ τὸ λόγιον ἡγε-
315 μονίαν ἀποδειχθέντος ἐπὶ Ἰουδαίας αὐτοκράτορος. ἀλλὰ γὰρ οὐ δυνατὸν ἀνθρώποις τὸ χρεὼν διαφυγεῖν οὐδὲ προορωμένοις. οἱ δὲ καὶ τῶν σημείων ἃ μὲν ἔκριναν πρὸς ἡδονὴν ἃ δὲ ἐξουθένησαν, μέχρις οὗ τῇ τε ἁλώσει τῆς πατρίδος καὶ τῷ σφῶν αὐτῶν ὀλέθρῳ διηλέγχθησαν τὴν ἄνοιαν.

PAMLVRC Lat Hegesippus V 44 p. 365. Zonaras I p. 545. Eusebius hist. eccl. III 8, 10.

1 *μέχρις οὗ*] *μέχρι* L. Dindorf *ἔργα*] *ἔργον* L *ἔργῳ* RC *τῆς κληδόνος*] *τὰς κληδόνας* LVR *τὰς κληδῶνας* C 2 *ἀπὸ*] *ἐπὶ* MLVRCZon *supra* Lat 3 *καὶ τῷ ναῷ καὶ τῷ λαῷ* tr. LLatZon *διὰ πρυσίωσ* L 4 *δὲ* om. MZon *ἔκ του* Herwerden *σχαθεὶσ* C *καὶ πλήξας* om. Lat 5 *φθεγγόμενοσ* L *lugentem* Lat *δὲ* VR *ἔτι*] *ἐπὶ* PAL *κληδῶνασ* C 6 *ἐκείνας* om. P 8 *προσσημαίνοντα* C 9 *δ'*] *δὲ* (suppl. A) AVR *τοὺς*] *ipsos* Lat *ὑπ' — αὐθαιρέτων*] *ob dementiam suam malis uoluntariis*, unde *ὑπ' ἀνοίας κακῷ αὐθαιρέτῳ* Destinon *ἀνοί·ασ* R *καὶ* om. C 10 *καθαίρεσιν*, *αι* i. ras. 2—3 litt. ex *ε· ·* corr. A 11 *λογίοις*] *λογίοισ οἷσ* PA[1] *ἔχοντες* damnat Herwerden 12 *ναόν*] *λαὸν* C 13 *δὲ* PVR *χρησμὸσ ἦν* tr. M 14 *ηὑρημένοσ* sic L *ὡς — 15 οἰκουμένης* laudat Eusebius *αὐτῶν τις*] *αὐτῶν* A *τισ αὐτῶν* MLVRC et Eusebii codd. plurimi *τοῦθ' οἱ*] *τοῦτο* L *τοῦτο οἱ* VRC *id enim illi* Lat 16 *σοφῶν*] *σφῶν* P 17 *ἐδήλου — ἡγεμονίαν*] *hoc autem plane responso uespasiani designabatur imperium* Lat *δὲ* MLVR *ἄρα*] *ἅμα* C *τὴν*] *τὴν περὶ* PAMVRC *οὐεσπασιανὸν* C *τὸ λόγιον* om. P 19 *χρεὸν* R 20 *μὲν* om. C *δ'* C *ἐξουδένωσαν* L 21 *οὗ τῇ τε*] *ὅτε* VRC *τῷ*] om. L *τῶν* VC *σφῶν*, *σ* ex *ν* corr. A 22 *δι· ·*|*λέγχθησαν* (eras. *λε*) A

VI. 1. Ῥωμαῖοι δὲ τῶν μὲν στασιαστῶν καταπεφευγότων εἰς 316
τὴν πόλιν, καιομένου δὲ αὐτοῦ τε τοῦ ναοῦ καὶ τῶν πέριξ ἁπάντων, κομίσαντες τὰς σημαίας εἰς τὸ ἱερὸν καὶ θέμενοι τῆς ἀνατολικῆς πύλης ἄντικρυς ἔθυσάν τε αὐταῖς αὐτόθι καὶ τὸν Τίτον μετὰ
5 μεγίστων εὐφημιῶν ἀπέφηναν αὐτοκράτορα. ταῖς δὲ ἁρπαγαῖς 317
οὕτως ἐνεπλήσθησαν οἱ στρατιῶται πάντες, ὥστε κατὰ τὴν Συρίαν πρὸς ἥμισυ τῆς πάλαι τιμῆς τὸν σταθμὸν τοῦ χρυσίου πιπράσκεσθαι. τῶν δ' ἀνὰ τὸν τοῖχον τοῦ ναοῦ ἱερέων διακαρτερούντων παῖς 318
διψήσας ἱκέτευε τοὺς φύλακας τῶν Ῥωμαίων δοῦναι δεξιὰν αὐτῷ
10 καὶ τὸ δίψος ἐξωμολογεῖτο. τῶν δὲ τῆς ἡλικίας καὶ τῆς ἀνάγκης 319
οἴκτον λαβόντων καὶ δόντων δεξιὰς καταβὰς αὐτός τε πίνει καὶ ὃ φέρων ἦκεν ἀγγεῖον πλήσας ὕδατος ᾤχετο φεύγων ἄνω πρὸς τοὺς σφετέρους. τῶν δὲ φυλάκων καταλαβεῖν μὲν οὐδεὶς ἴσχυσε, 320
πρὸς δὲ τὴν ἀπιστίαν ἐβλασφήμουν. κἀκεῖνος οὐδὲν ἔφη παρα-
15 βεβηκέναι τῶν συνθηκῶν· λαβεῖν γὰρ δεξιὰν οὐ τοῦ μένειν παρ' αὐτοῖς ἀλλὰ τοῦ καταβῆναι μόνον καὶ λαβεῖν ὕδωρ, ἅπερ ἀμφότερα πεποιηκὼς πιστὸς ἔδοξεν εἶναι. τὸ μὲν δὴ πανούργημα διὰ τὴν ἡλι- 321
κίαν μάλιστα τοῦ παιδὸς ἀτεθαύμαζον οἱ πλανηθέντες· πέμπτῃ δ' ἡμέρᾳ λιμώττοντες οἱ ἱερεῖς καταβαίνουσι καὶ πρὸς Τίτον ἀναχ-
20 θέντες ὑπὸ τῶν φυλάκων ἱκέτευον τυχεῖν σωτηρίας. ὁ δὲ τὸν μὲν 322
τῆς συγγνώμης καιρὸν αὐτοῖς παρῳχηκέναι φήσας, οἴχεσθαι δὲ δι' ὃν εὐλόγως ἂν αὐτοὺς ἔσωζε, πρέπειν δὲ τοῖς ἱερεῦσι τῷ ναῷ συναπολέσθαι, κελεύει κολάσαι τοὺς ἄνδρας.

2. Οἱ δὲ περὶ τοὺς τυράννους ὡς τῷ τε πολέμῳ πάντοθεν 323
25 ἐκρατοῦντο καὶ περιτετειχισμένοις διαφυγεῖν οὐδαμόθεν ἦν, προκαλοῦνται τὸν Τίτον εἰς λόγους. ὁ δὲ καὶ διὰ τὸ φιλάνθρωπον φύσει 324
τὸ γοῦν ἄστυ περισῶσαι προαιρούμενος καὶ τῶν φίλων ἐναγόντων,

---

PAMLVRC Lat Hegesippus V 45 p. 366. Zonaras I p. 545.

1 i. marg. λβ′ C δὲ] μὲν A et ut uid. Lat 2 τε om. LZon 4 ἀντικρὺ PAM ἔθυσάν τε] θύσαντες L *sacrificio celebrato* Lat αὐταῖς] ἐν ταῖς V 7 ἥμυσι C χρυσοῦ M 8 δὲ LVR τὸν] τῶν A i. marg. λγ′ C προσκαρτερούντων, ω i. ras. A διακαρτερούντων ἱερέων tr. C, quo uitatur hiatus; sed ἱερέων fort. spurium 10 ἐξομολογεῖτο PA¹M 11 δεξιὰν L 12 ἦκεν] ἦγεν PAM πλήσας] πληρώσας P πρὸς τοὺς σφετέρους ἄνω tr. L 15 μένην C 16 λαβεῖν] τοῦ λαβεῖν L 17 ἔδοξεν om. LLat μὲν om. VR 19 δὲ PMVR λιμόττωντες P 20 ἱκέτευον A 21 συγγνώμης] γνώμης C δὲ om. P 22 ὃν] ὧν C 24 τῷ τε] τότε P τῷ L τῷ τότε VR πανταχόθεν PC πανταχθεν L 25 προκαλοῦνται] Naber *prouocant* Lat προσκαλοῦνται codd. Zon

ἤδη γὰρ μετριάζειν τοὺς λῃστὰς ὑπελάμβανεν, ἵσταται κατὰ τὸ
325 πρὸς δύσιν μέρος τοῦ ἔξωθεν ἱεροῦ· ταύτῃ γὰρ ὑπὲρ τὸν ξυστὸν
ἦσαν πύλαι, καὶ γέφυρα συνάπτουσα τῷ ἱερῷ τὴν ἄνω πόλιν·
326 αὕτη τότε μέση τῶν τυράννων ἦν καὶ τοῦ Καίσαρος. τὸ δὲ πλῆθος
ἑκατέροις βύζην ἐφεστήκει, Ἰουδαῖοι μὲν περὶ Σίμωνα καὶ Ἰωάννην 5
μετέωροι συγγνώμης ἐλπίδι, Ῥωμαῖοι δὲ Καίσαρι καραδοκοῦντες
327 αὐτῶν τὴν ἀξίωσιν. παραγγείλας δὲ τοῖς στρατιώταις Τίτος θυμοῦ
τε καὶ βελῶν μένειν ἐγκρατεῖς, καὶ τὸν ἑρμηνέα παραστησάμενος,
328 ὅπερ ἦν τεκμήριον τοῦ κρατεῖν, πρῶτος ἤρξατο λέγειν· „ἆρά γε
ἤδη κεκόρεσθε τῶν τῆς πατρίδος κακῶν, ὦ ἄνδρες, οἱ μήτε τῆς 10
ἡμετέρας δυνάμεως μήτε τῆς ἑαυτῶν ἀσθενείας ἔννοιαν λαβόντες,
ὁρμῇ δὲ ἀσκέπτῳ καὶ μανίᾳ τόν τε δῆμον καὶ τὴν πόλιν καὶ τὸν
329 ναὸν ἀπολωλεκότες, ἀπολούμενοι δὲ καὶ αὐτοὶ δικαίως, οἳ πρῶτον
μὲν ἀφ' οὗ Πομπήιος εἶλεν ἡμᾶς κατὰ κράτος οὐκ ἐπαύσασθε
νεωτεροποιίας, ἔπειτα καὶ φανερὸν ἐξηνέγκατε πρὸς Ῥωμαίους 15
330 πόλεμον; ἆρά γε πλήθει πεποιθότες; καὶ μὴν ἐλάχιστον ὑμῖν
μέρος ἀντήρκεσεν τοῦ Ῥωμαίων στρατιωτικοῦ. πίστει τοιγαροῦν
συμμάχων; καὶ τί τῶν ἔξω τῆς ἡμετέρας ἡγεμονίας ἐθνῶν ἤμελλεν
331 αἱρήσεσθαι Ἰουδαίους πρὸ Ῥωμαίων; ἀλλ' ἀλκῇ σωμάτων; καὶ μὴν
ἴστε Γερμανοὺς δουλεύοντας ἡμῖν. ὀχυρότητι δὲ τειχῶν; καὶ τί 20
μεῖζον ὠκεανοῦ τεῖχος κώλυμα, ὃν περιβεβλημένοι Βρεττανοὶ τὰ
332 Ῥωμαίων ὅπλα προσκυνοῦσιν; καρτερίᾳ ψυχῆς καὶ πανουργίᾳ στρα-
333 τιγῶν; ἀλλὰ μὴν ἤδειτε καὶ Καρχηδονίους ἁλόντας. τοιγαροῦν
ὑμᾶς ἐπήγειρε κατὰ Ῥωμαίων ἡ Ῥωμαίων φιλανθρωπία, οἳ πρῶ-
τον μὲν ὑμῖν τὴν τε χώραν ἔδομεν νέμεσθαι καὶ βασιλεῖς ὁμοφυ- 25
334 λους ἐπεστήσαμεν, ἔπειτα τοὺς πατρίους νόμους ἐτηρήσαμεν, καὶ
ξῆν οὐ μόνον καθ' ἑαυτοὺς ἀλλὰ καὶ πρὸς τοὺς ἄλλους ἐπετρέψαμεν

PAMLVRC Lat Hegesippus V 46 p. 367. Zonaras I p. 545.

1 litt. ἀρ μετριά euan. P ὑπελάμβανεν] *arbitrabantur* Lat ὑπελάμβανον Hudson κατὰ μέρος τὸ πρὸς δύσιν tr. L 2 τὸν] τὸ P 3 τῷ ἱερῷ] τὸ ἱερὸν C 4 αὕτη] αὐτὴ sic L 5 βύζην] βύσδην PAVRC βύζειν M ἐφεστήκει C περὶ] τοῖς περὶ Niese ἰωάνην C 7 αὐτῶν] αὐτῷ L αὐτῶν τὴν ἀξίωσιν] *qualiter eos reciperet* Lat 9 ἄρα LR 10 κεκόρεσθαι L ὦ] PLat, om. AMLVRC οἳ A 11 αὐτῶν AV αὑτῶν MR 12 τε om. L 13 ναὸν, ν initiale i. ras. A 15 φανερὸν] φαναιρωσ C 17 ἀντήρκεσαν V 18 τι] τῇι L ἔξωθεν A 19 ἀλλ'] ἀλ' PA ἀλλὰ RC 20 δὲ] δὴ L 21 τεῖχος κώλυμα] *murus atque obstaculum* Lat τείχουσ ALVRC ὃν ex ὁ corr. C βρεγτανοὶ V 23 ἤδητε L ἤδη τε V χαρκηδονίουσ V 25 μὲν om. PC 26 litt. νόμουσ ἐτηρή euan. P 27 litt. οὐ μόνον καθ' euan. P αὐτοὺσ L πρὸς] om. PAMVRC *cum* Lat litt. ψαμεν ὡς euan. P

ὡς ἐβούλεσθε· τὸ δὲ μέγιστον, δασμολογεῖν τε ὑμῖν ἐπὶ τῷ θεῷ 335
καὶ ἀναθήματα συλλέγειν ἐπετρέψαμεν, καὶ τοὺς ταῦτα φέροντας
οὔτε ἐνουθετήσαμεν οὔτε ἐκωλύσαμεν, ἵν' ὑμῖν γένησθε πλουσιώ-
τεροι καὶ παρασκευάσησθε τοῖς ἡμετέροις χρήμασιν καθ' ἡμῶν.
ἔπειτα τηλικούτων ἀγαθῶν ἀπολαύοντες ἐπὶ τοὺς παρασχόντας 336
ἠνέγκατε τὸν κόρον καὶ δίκην τῶν ἀτιθασεύτων ἑρπετῶν τοῖς
σαίνουσι τὸν ἰὸν ἐναφήκατε. ἔστω γοῦν, κατεφρονήσατε τῆς Νέρωνος 337
ῥᾳθυμίας, καὶ καθάπερ ῥήγματα ἢ στάσματα τὸν ἄλλον χρόνον κα-
κοήθως ἠρεμοῦντες ἐν τῇ μείζονι νόσῳ διεφάνητε καὶ πρὸς ἐλπίδας
ἀναιδεῖς ἀμέτρους ἐξετείνατε τὰς ἐπιθυμίας. ἦκεν δ πατὴρ οἰμὸς εἰς 338
τὴν χώραν, οὐ τιμωρησόμενος ὑμᾶς τῶν κατὰ Κέστιον, ἀλλὰ νουθε-
τήσων· δέον γοῦν, εἴπερ ἐπ' ἀναστάσει τοῦ ἔθνους παρῆν, ἐπὶ τὴν 339
ῥίζαν ὑμῶν δραμεῖν καὶ ταύτην ἐκπορθεῖν τὴν πόλιν εὐθέως, ὁ δὲ
Γαλιλαίαν ἐδῄου καὶ τὰ πέριξ ἐπιδιδοὺς ὑμῖν χρόνον εἰς μεταμέ-
λειαν. ἀλλ' ὑμῖν ἀσθένεια τὸ φιλάνθρωπον ἐδόκει κἀκ τῆς ὑμε- 340
τέρας πραότητος τὴν τόλμαν ἐπεθρέψατε. Νέρωνος οἰχομένου τοῦθ' 341
ὅπερ ἐχρῆν τοὺς πονηροτάτους ἐποιήσατε, ταῖς ἐμφυλίοις ὑμῶν
ταραχαῖς ἐπεθαρρήσατε καὶ χωρισθέντων εἰς τὴν Αἴγυπτον ἐμοῦ
τε καὶ τοῦ πατρὸς εἰς παρασκευὰς τοῦ πολέμου κατεχρήσασθε τοῖς
καιροῖς, καὶ οὐκ ᾐδέσθητε παράσσειν αὐτοκράτορας γεγενημένους
οὓς καὶ στρατηγοὺς φιλανθρώπους ἐπειράσατε. προσφυγούσης γοῦν 342
ὑμῖν τῆς ἡγεμονίας, καὶ τῶν μὲν κατὰ ταύτην ἠρεμούντων πάντων,
πρεσβευομένων δὲ καὶ συνηδομένων τῶν ἔξωθεν ἐθνῶν, πάλιν οἱ
Ἰουδαῖοι πολέμιοι, καὶ πρεσβεῖαι μὲν ὑμῶν πρὸς τοὺς ὑπὲρ Εὐ- 343
φράτην ἐπὶ νεωτερισμῷ, περίβολοι δὲ τειχῶν ἀνοικοδομούμενοι
καινοί, στάσεις δὲ καὶ τυράννων φιλονεικίαι καὶ πόλεμος ἐμφύλιος,

---

PAMLVRC Lat Hegesippus V 46 p. 369.

1 *βούλεσθε* M *ἠβούλεσθε* L 3 *οὔτ'* L *οὔτε ἐκωλύσαμεν*] i. marg. suppl. P om. L *οὔτε τε ἐκωλύσαμεν* C *ἵν' — πλουσιώτεροι*] *ut hostes nobis efficeremini ditiores* Lat *ὑμῖν*] *ὑμῶν* L *πλουσιώτεροι*] *πλουσιώτεροι πολέμιοι* LLat 4 *παρεσκευάσασθε* P 6 *ἀτιθασευτῶν* P *ἀντιθασεύτων* A^1 *ἀτιθάσσων* L *ἀτηθασεύτων* C *ἀτιθασσεύτων* V 7 *σένουσι* P *γοῦν*] *οὖν* L 9 *πρὸς* — 10 *ἐπιθυμίας*] *et ad spes improbas etiam cupiditates immodicas explicastis* Lat 10 *ἀναιδεῖς*] *ἀναιδείασ* P *ἀναιδεῖσ καὶ* MLC *οὐμὸσ* codd. 11 *τῶν*] *τὸν* C 12 *ἐπ'*] *ἐπὶ* AMLVRC *ἀναστάσει*] *ἐπαναστάσει* AMVRC 13 *ἐκπορθεῖν*] *πορθεῖν* L *ὁ*] *οὐ* P 14 *ἡμῖν* C 15 *ὑμῖν* om. Lat *ἐ|δόκει, ἐ* i. ras. A 16 *τοῦτο* L 17 *πονηρωτάτουσ* R *ταῖς*] *καὶ ταῖσ* M haud male *ὑμῶν* AMLCLat 18 *ἐπεθαρρήσαντε* A^1 *ἐπεθαρσήσατε* L 19 *κατεχρήσασθαι* C 22 *κατὰ ταύτην*] *κατ' αὐτὴν* L *πάντων*] om. P ante *ἠρεμούντων* tr. L 23 *συνηδομένων δὲ καὶ πρεσβευομένων* tr. A *οἱ* om. L 24 *μὲν* om. P *πρὸς*] *εἰσ* M 26 *τυράν* * * * *φ* * *ονεικίαι* P *καὶ τυράννων*] *τυράννων καὶ* L * * *φύλιοσ* P

344 μόνα τοῖς οὕτω πονηροῖς πρέποντα. ἦκον ἐπὶ τὴν πόλιν ἐγὼ παρὰ
τοῦ πατρὸς ἄκοντος λαβὼν σκυθρωπὰ παραγγέλματα. τὸν δῆμον
345 ἀκούσας εἰρηνικὰ φρονεῖν ἤσθην. ὑμᾶς παύσασθαι πρὸ πολέμου
παρεκάλουν, μέχρι πολλοῦ πολεμούντων ἐφειδόμην, δεξιὰς αὐτο-
μόλοις ἔδωκα, καταφυγοῦσι πίστεις ἐτήρησα, πολλοὺς αἰχμαλώτους 5
ἠλέησα, τοὺς ἐπείγοντας βασανίσας ἐκόλασα, τείχεσιν ὑμετέροις
μηχανὰς ἄκων προσήγαγον, ἀεὶ φονῶντας τοὺς στρατιώτας ἐφ' ὑμῖν
κατέσχον, καθ' ἑκάστην νίκην ὡς ἡττώμενος ὑμᾶς εἰς εἰρήνην πρου-
346 καλεσάμην. τοῦ ἱεροῦ πλησίον γενόμενος πάλιν ἑκὼν ἐξελαθόμην
τῶν τοῦ πολέμου νόμων, φείσασθαι δὲ παρεκάλουν τῶν ἰδίων ὑμᾶς 10
ἁγίων καὶ σῶσαι τὸν ναὸν ἑαυτοῖς, διδοὺς ἄδειάν τε ἐξόδου καὶ
πίστιν σωτηρίας, εἰ δ' ἐβούλεσθε, καὶ μάχης καιρὸν ἐν ἄλλῳ τόπῳ·
347 πάντων ὑπερείδετε καὶ τὸν ναὸν ἰδίαις χερσὶν ἐνεπρήσατε. ἔπειτα,
μιαρώτατοι, προκαλεῖσθέ με πρὸς λόγους νῦν; ἵνα τί σώσητε τοιοῦ-
τον οἷον ἀπόλωλεν; ποίας ὑμᾶς αὐτοὺς ἀξιοῦτε μετὰ τὸν ναὸν σω- 15
348 τηρίας; ἀλλὰ καὶ νῦν μετὰ τῶν ὅπλων ἑστήκατε καὶ οὐδ' ἐν ἐσχά-
349 τοις ὑποκρίνεσθε γοῦν ἱκέτας, ὦ ταλαίπωροι, τίνι πεποιθότες; οὐ
νεκρὸς μὲν ὑμῶν ὁ δῆμος, οἴχεται δ' ὁ ναός, ὑπ' ἐμοὶ δὲ ἡ πό-
λις, ἐν χερσὶ δὲ ταῖς ἐμαῖς ἔχετε τὰς ψυχάς; εἶτα ὑπολαμβάνετε
350 δόξαν ἀνδρείας τὸ δυσθανατῶν; οὐ μὴν ἐγὼ φιλονεικήσω πρὸς 20
τὴν ἀπόνοιαν ὑμῶν, ῥίψασι δὲ τὰ ὅπλα καὶ παραδοῦσι τὰ σώματα

PAMLVRC Lat Hegesippus V 46 p. 370. Zonaras I p. 545.

1 *μόνα*] *μόνα τὰ* L *τρέποντα* C *ἦκον* — 2 *παραγγέλματα*] *iussus ego ab inuito patre cum mandatis tristibus ad ciuitatem uenire* Lat *ἦκον*] *ἐπὶ ἦκον* P *ἐγὼ ἐπὶ τὴν πόλιν* tr. L 2 *ἄκοντος* om. VR 3 *ἤσθην* PALVC *παύσασθε* PC *πρὸ* om. P 4 *αὐτομόλοις*] *sponte ad me uenientibus* Lat *αὐτομολοῦσιν* Destinon *δέδωκα* PMVRC *δέδοκα* A *καταφεύγουσι* M *πίστιν* RC 5 *τοὺς* — *ἐκόλασα*] *uerberibus urgentes bellum coërcui* Lat *βασανίσας*] satis mirum *βασανίσαι* Destinon *ἐκόλασα*] *ἐκώλυσα* L 7 *προσῆγον* P 8 *καθ'*] *μεθ'* Destinon *προεκαλούμην* L 10 *φείσασθε* PL *δὲ* om. LLat *τῶν ἰδίων ὑμᾶς ἁγίων*] *τῶν ἁγίων ὑμᾶσ τῶν ἰδίων* L 12 *εἰ* — *τόπῳ*] *uel etiam pugnae alio tempore si uelletis in alio loco facultates praebui* Lat *δ' ἐβούλεσθε*] *δὲ βούλεσθε* (*θε* ex *θαι* corr. A) PAMLVR *τόπῳ*] *τε τόπω* L 13 *ὑπερίδετε* PAR *ἐνεμπρήσατε* A *ἔπειτ' ὦ* Niese 14 *μιαρώτατοι* i. marg. suppl. A *προκαλεῖσθε* — *νῦν* om. C *προκαλεῖσθε*] ed. pr. *προσκαλεῖσθε* (*προσκα · λεῖσθε* L) codd. *prouocatis* Lat *με* om. P *πρὸς*] *εἰσ* L 15 *ποίας*] Bekker *οἵασ* codd. *qua* Lat *τὸν*] *τῶν* C 16 *ἐστήκατε* (inter *η* et *κ* spatium uacuum 2—3 litt. P) PA *οὐδὲ* AVR 17 *ἱκέτας* om. P 18 *μὲν* om. P *δὲ* VRC *ἐμοὶ*] *ἐμὲ* L *δ'* L 19 *τὰσ ἐμὰσ* C *εἶθ'* C *ὑπελαμβάνετε* AL 20 *ἀνδρίασ* V²C *το θανατᾶν* LVRC 21 *παραδώσασι* L

χαρίζομαι τὸ ζῆν, ὥστερ ἐν οἰκίᾳ πρᾶος δεσπότης τὰ μὲν ἀνήκεστα κολάσας, τὰ δὲ λοιπὰ σώζων ἐμαυτῷ."

3. Πρὸς ταῦτα ἀποκρίνονται δεξιὰν μὲν μὴ δύνασθαι παρ' 351
αὐτοῦ λαβεῖν, ὁμωμοκέναι γὰρ μήποτε τοῦτο ποιήσειν, ἔξοδον δ'
ἠτοῦντο διὰ τοῦ περιτειχίσματος μετὰ γυναικῶν καὶ τέκνων· ἀπε-
λεύσεσθαι γὰρ εἰς τὴν ἔρημον καὶ καταλείψειν αὐτῷ τὴν πόλιν.
πρὸς ταῦτα ἀγανακτήσας Τίτος, εἰ τύχην ἐαλωκότων ἔχοντες αἱρέ- 352
σεις αὐτῷ προτείνουσι νενικηκότων, κηρῦξαι μὲν ἐκέλευσεν εἰς αὐ-
τοὺς μήτε αὐτομολεῖν ἔτι μήτε δεξιὰν ἐλπίζειν, φείσεσθαι γὰρ οὐ-
δενός, ἀλλὰ πάσῃ δυνάμει μάχεσθαι καὶ σώζειν ἑαυτοὺς ὅπως ἂν 353
δύνωνται· πάντα γὰρ αὐτὸς ἤδη πράξειν πολέμου νόμῳ· τοῖς δὲ
στρατιώταις ἐμπιπράναι καὶ διαρπάζειν ἐπέτρεψεν τὴν πόλιν. οἱ 354
δὲ ἐκείνην μὲν ἐπέσχον τὴν ἡμέραν, τῇ δὲ ὑστεραίᾳ τό τε ἀρχεῖον
καὶ τὴν ἄκραν καὶ τὸ βουλευτήριον καὶ τὸν Ὀφλᾶν καλούμενον
ὑφῆψαν· καὶ προύκοψε τὸ πῦρ μέχρι τῶν Ἑλένης βασιλείων, ἃ δὴ 355
κατὰ μέσην τὴν ἄκραν ἦν, ἐκαίοντο δὲ οἱ στενωποὶ καὶ αἱ οἰκίαι
νεκρῶν ὑπὸ τοῦ λιμοῦ διεφθαρμένων πλήρεις.

4. Κατὰ ταύτην τὴν ἡμέραν οἵ τε Ἰζάτου βασιλέως υἱοὶ καὶ 356
ἀδελφοί, πρὸς οἷς πολλοὶ τῶν ἐπισήμων δημοτῶν ἐκεῖ συνελθόντες,
ἱκέτευσαν Καίσαρα δοῦναι δεξιὰν αὐτοῖς. ὁ δὲ καίτοι πρὸς πάντας
τοὺς ὑπολοίπους διωργισμένος οὐκ ἤλλαξε τὸ ἦθος, δέχεται δὲ τοὺς
ἄνδρας. καὶ τότε μὲν ἐν φρουρᾷ πάντας εἶχε, τοὺς δὲ τοῦ βασιλέως 357
παῖδας καὶ συγγενεῖς δήσας ὕστερον εἰς Ῥώμην ἀνήγαγεν πίστιν
ὁμήρων παρέξοντας.

VII. 1. Οἱ στασιασταὶ δὲ ἐπὶ τὴν βασιλικὴν ὁρμήσαντες αὐλήν, 358

PAMLVRC Lat Hegesippus V 46 p. 371. Zonaras I p. 545.

1 ζῆν ὥσπερ, litt. ἦν ὥσ i. ras. 2—3 litt. M 3 i. marg. λε' C πρὸς] πρὸσ δὲ L ὑποκρίνονται M δύνασθε P 4 μηδέποτε LCZon δὲ AMLVRZon 5 ἀπελεύσεσθε P 6 τὴν om. M 7 ταῦτ' M 8 νενικηκότων προτείνουσι tr. L νε · νικηκότων V 9 δεξιὰσ L φείσασθαι PLZon γὰρ] γοῦν A 10 ἁπάσῃ VRC ἂν om. Zon 11 δύναιντο LZon 12 ἐμπιπρᾶν MZon ἐμπιμπράναι V ἐπέτρεψεν] ἐπέτρεπε C ἐκέλευσε LZon *permisit* Lat 13 δ' LC δ' ὑστεραία ALC 14 καὶ τὸ] τό, τε L Ὀφλᾶν] ὀλφᾶν R *eflam* Lat 15 ἐφῆψαν PA προέκοψεν L ἑλένησ PALVC 16 δ' C οἱ] οἵ τε VRC 18 i. marg. λς' C ταύτην] *eodem* Lat οἵ — υἱοὶ] *geiaza regis filii* Lat *iaza* (*zara* in aliis) *regis filii* Heg *regis izat* (*azat*) *filii* Syr Ἰζάτου βασιλέως υἱοὶ] ex corr. Lips ἰζᾶ (ἰεζὰ P ἰαζὰ A) τοῦ βασιλέωσ υἱοὶ PAMVRC et m. 1 Lips υἱοὶ τοῦ βασιλέωσ ἰεζὰν L; cf. V 147 19 πολλοὶ om. L δημωτῶν C ἐκεῖ] om. Lat *ἐκείνοις* Destinon συνεξελθόντες Destinon 20 ἱκέτευον L 21 διοργισμένοσ C ἤλλεγξε C 23 εἰσ ῥώμην ὕστερον tr. L 25 βασιλικὴν ὁρμήσαντες αὐλήν] βασιλικὴν οἰκίαν ὁρμήσαντεσ LLatZon

εἰς ἣν δι᾽ ὀχυρότητα πολλοὶ τὰς κτήσεις ἀπέθεντο, τοὺς τε Ῥωμαίους ἀπ᾽ αὐτῆς τρέπονται καὶ τὸ συνηθροισμένον αὐτόθι τοῦ δήμου πᾶν φονεύσαντες, ὄντας εἰς ὀκτακισχιλίους καὶ τετρακοσίους,
359 τὰ χρήματα διήρπασαν. ἐζώγρησαν δὲ καὶ Ῥωμαίων δύο, τὸν μὲν ἱππέα τὸν δὲ πεζόν, καὶ τὸν μὲν πεζὸν ἀποσφάξαντες εὐθέως ἔσυραν περὶ τὴν πόλιν, ὥσπερ ἐνὶ σώματι πάντας Ῥωμαίους ἀμυ-
360 νόμενοι, ὁ δὲ ἱππεὺς ὠφέλιμόν τι αὐτοῖς πρὸς σωτηρίαν ὑποθήσεσθαι λέγων ἀνάγεται πρὸς Σίμωνα· παρ᾽ ᾧ μηδὲν εἰπεῖν ἔχων
361 Ἀρδάλᾳ τινὶ τῶν ἡγεμόνων παραδίδοται κολασθησόμενος. ὁ δὲ αὐτοῦ ὀπίσω τὼ χεῖρε δήσας καὶ ταινίᾳ τοὺς ὀφθαλμοὺς ἀντικρὺ τῶν Ῥωμαίων προήγαγεν ὡς κατατμήσων· φθάνει δ᾽ ἐκεῖνος εἰς τοὺς Ῥωμαίους διαφυγὼν ἐν ὅσῳ τὸ ξίφος ἐσπάσατο ὁ Ἰουδαῖος.
362 τοῦτον διαφυγόντα ἐκ τῶν πολεμίων ἀνελεῖν μὲν οὐχ ὑπέμεινεν Τίτος, ἀνάξιον δὲ Ῥωμαίων εἶναι στρατιώτην κρίνας, ὅτι ζῶν ἐλήφθη, τά τε ὅπλα ἀφείλετο καὶ τοῦ τάγματος ἐξέβαλεν, ἄτερ ἦν αἰσχυνομένῳ θανάτου χαλεπώτερα.

363 2. Τῇ δ᾽ ἑξῆς Ῥωμαῖοι τρεψάμενοι τοὺς λῃστὰς ἐκ τῆς κάτω πόλεως τὰ μέχρι τοῦ Σιλωᾶ [πάντα] ἐνέπρησαν, καὶ τοῖ μὲν ἄστεος ἥδοντο δαπανωμένου, τῶν δ᾽ ἁρπαγῶν διημάρτανον, ἐπειδὴ πάνθ᾽
364 οἱ στασιασταὶ προκενοῦντες ἀνεχώρουν εἰς τὴν ἄνω πόλιν. ἦν γὰρ αὐτοῖς μετάνοια μὲν οὐδεμία τῶν κακῶν, ἀλαζονεία δὲ ὡς ἐπ᾽ ἀγαθοῖς· καιομένην γοῦν ἀφορῶντες τὴν πόλιν ἱλαροῖς τοῖς προσώποις εὔθυμοι προσδέχεσθαι τὴν τελευτὴν ἔλεγον, πεφονευμένου μὲν
365 τοῦ δήμου, κεκαυμένου δὲ τοῦ ναοῦ, φλεγομένου δὲ τοῦ ἄστεος μηδὲν καταλιπόντες τοῖς πολεμίοις. οὐ μὴν ὅ γε Ἰώσηπος ἐν ἐσχάτοις ἱκετεύων αὐτοὺς ὑπὲρ τῶν λειψάνων τῆς πόλεως ἔκαμνεν,

---

PAMLVRCLatHegesippus V 46 p. 371. Zonaras I p. 546. Suidas s. *ἀλαζονεία*, *ἱλαροῖς*.

5 *εὐθέως ἀποσφάξαντες* tr. L ἔσυρον L 6 *περὶ*] *ἐπὶ* PAM *πόλιν*] *πόλιν ὅλην* (sic) L (*per*) *omnem — ciuitatem* Lat ἑνὶ] *ἐν ἑνὶ* L 7 δ᾽ LC *ὀφέλιμον* C *ὑποθέσθαι* ML *suadere* Lat 9 *παραδίδοται*] om. L *παραδίδωται* C ὁ — 10 *ὀφθαλμοὺς*] *is autem reuinctis eum posterga manibus et ceruice atque oculis* Lat δ᾽ LC 10 *αὐτὸν* Niese *τὼ χεῖρας* L *ταινίᾳ* PAC ἄντικρυς L 11 *φθάνει* C δὲ VR 12 *τοὺς* om. L ὁ Ἰουδαῖος] *Ἰουδαίοις* C 13 *διαφυγόντα*] *διαφυγόντα μὲν* LC *τῶν* om. L *μὲν* om. LC 14 *εἶναι* om. P 15 *ἀφείλατο* PA¹V¹R 17 δὲ VR *τρεψάμενοι ῥωμαῖοι* tr. C 18 *σιλωὰμ* LZon *siloam* (accus.) Lat *πάντα* om. PAM 19 δὲ AMLVRC *πάντα* L 20 *ἦν*] *ἦν* V *ἦν — 22 πόλιν*] iterat C, habet Suidas s. *ἀλαζονεία* breuiata 21 *ἀλαζονία* C δ᾽ LC 22 *ἀφορῶντες — 23 ἔλεγον* extant apud Suidam s. *ἱλαροῖς* *ἱλαροὶ* VR *τοῖς* i. marg. suppl. A 23 *τὴν τελευτὴν προσδέχεσθαι* tr. LZonSuid *μὲν*] δὲ L 24 *ἄστεως* A 25 *καταλειπόντες* PA

ἀλλὰ πολλὰ μὲν πρὸς τὴν ὠμότητα καὶ τὴν ἀσέβειαν εἰπών, πολλὰ δὲ συμβουλεύσας πρὸς σωτηρίαν οὐδὲν τοῦ χλευασθῆναι πλέον ἀπηνέγκατο. ἐπεὶ δὲ οὔτε παραδοῦναι διὰ τὸν ὅρκον ἑαυτοὺς ὑπέμενον 366
οὔτε πολεμεῖν ἐξ ἴσου Ῥωμαίοις ἔθ' οἷοί τε ἦσαν ὥσπερ εἰρκτῇ περιειλημμένοι, τό τε τοῦ φονεύειν ἔθος ἐκίνει τὰς δεξιάς, σκιδνάμενοι κατὰ τὰ ἔμπροσθεν τῆς πόλεως τοῖς ἐρειπίοις ὑπελόχων τοὺς αὐτομολεῖν ὁρμημένους. ἠλίσκοντο δὲ πολλοί, καὶ πάντας ἀπο- 367
σφάττοντες, ὑπὸ γὰρ ἐνδείας οὐδὲ φεύγειν ἴσχυον, ἐρρίπτουν αὐτῶν κυσὶ τοὺς νεκρούς. ἐδόκει δὲ πᾶς τρόπος ἀπωλείας τοῦ λιμοῦ 368
κουφότερος, ὥστε καὶ Ῥωμαίοις ἀπηλπικότες ἤδη τὸν ἔλεον ὅμως προσέφευγον καὶ φονεύουσι τοῖς στασιασταῖς ἑκόντες ἐνέπιπτον. τόπος τ' ἐπὶ τῆς πόλεως οὐδεὶς γυμνὸς ἦν, ἀλλὰ πᾶς λιμοῦ νεκρὸν 369
εἶχεν ἢ στάσεως [καὶ πεπλήρωτο νεκρῶν ἢ διὰ στάσιν ἢ διὰ λιμὸν ἀπολωλότων].

3. Ἔθαλπε δὲ τούς τε τυράννους καὶ τὸ σὺν αὐτοῖς λῃστρικὸν 370
ἐλπὶς ἐσχάτη περὶ τῶν ὑπονόμων, εἰς οὓς καταφεύγοντες οὐ προσεδόκων ἐρευνηθήσεσθαι, μετὰ δὲ τὴν παντελῆ τῆς πόλεως ἅλωσιν ἀναξευξάντων Ῥωμαίων προελθόντες ἀποδράσεσθαι ἐπεχείρουν. τὸ 371
δὲ ἦν ἄρα ὄνειρος αὐτοῖς· οὔτε γὰρ τὸν θεὸν οὔτε Ῥωμαίους λήσειν ἔμελλον. τηνικαῦτά γε μὴν τοῖς ὑπογείοις πεποιθότες αὐτοὶ πλείονα 372
τῶν Ῥωμαίων ἐνεπίμπρασαν, καὶ τοὺς ἐκ τῶν καιομένων καταφεύγοντας εἰς τὰς διώρυχας ἔκτεινόν τε ἀνέδην καὶ ἐσύλων καὶ εἴ τινος εὕροιεν τροφὴν ἁρπάζοντες αἵματι πεφυρμένην κατέπινον. ἦν 373
δὲ καὶ πρὸς ἀλλήλους ἐν ταῖς ἁρπαγαῖς ἤδη πόλεμος αὐτοῖς, δο-

---

PAMLVRC Lat Zonaras I p. 546. Suidas s. *γυμνοπαιδεία*.

3 δὲ] δ' C, om. Lat ἑαυτοὺς | πέμενον P 4 ἔτι LVR οἳ * * τε V εἰρκτῇ] ἐν εἰρκτῇ M 5 τε] δὲ L σκιδνάμενοι, ϊ i. ras. 2 litt. M σκιδνάμενοι δὲ LLat 6 κατὰ — πόλεως] *per ciuitatem* Lat ἐρειπίοις V¹R τοὺς] καὶ τοὺς M 7 ὁρμημένους C καὶ om. M πάντες L 8 οὐδὲ] οὐδὲν A οὔτε L *non* Lat φυγεῖν VRC ἐρρίπτουν] ἐρρίπτουν δὲ LLat 10 ἔλεον] πό | ἔλεμον, πό deletum. ἔ suppl. C 11 φονεύουσι] φωλεύουσι Destinon φονῶσι Herwerden 12 τόπος — 13 στάσεως habet Suidas τ'] τε AMVRC δ' Suid ἀλλὰ πᾶς] PALSuid ἀλλ' ἅπας MZon ἀλλὰ ἅπας VRC λιμοῦ] ἢ λιμοῦ L^{a?}^{?}on νεκρὸν λιμοῦ tr. V 13 καὶ — 14 ἀπολωλότων seclusit Cardw(15 i. marg. λθ' C τε om. M τυράννους C 16 ἐσχάτη] ἐσχάτη ἡ L περὶ om. Zon καταφυγόντες Herwerden 18 ἀναξευξάντων ex ἀ. ξευξάστων corr. L τῶν ῥωμαίων LZon προσελθόντες VRC ἀποδράσασθαι AC 19 δ' C ἆρα AC αὐτοῖς om. Zon 21 ὑπεπίμπρασαν L ἐνεπίπρασαν C 22 διωρυχὰς PA διώρυγας L τε s. P ἀναίδην L ἀναίδην V καὶ εἴ] κἄν εἴ PAMLC

κοῦσί τε ἄν μοι μὴ φθασθέντες ὑπὸ τῆς ἁλώσεως δι' ὑπερβολὴν
ὠμότητος γεύσασθαι καὶ τῶν νεκρῶν.

374 VIII. 1. Καῖσαρ δέ, ὡς ἀμήχανον ἦν ἐξελεῖν δίχα χωμάτων τὴν
ἄνω πόλιν περίκρημνον οὖσαν, διανέμει τοῖς ἔργοις τὴν δύναμιν
375 Λώου μηνὸς εἰκάδι. χαλεπὴ δὲ ἦν τῆς ὕλης ἡ κομιδὴ πάντων, ὡς 5
ἔφην, τῶν περὶ τὴν πόλιν ἐφ' ἑκατὸν σταδίους ἐψιλωμένων εἰς τὰ
376 πρότερον χώματα. τῶν μὲν οὖν τεσσάρων ταγμάτων ἠγείρετο τὰ
ἔργα κατὰ τὸ πρὸς δύσιν κλίμα τῆς πόλεως ἀντικρὺ τῆς βασιλικῆς
377 αὐλῆς, τὸ δὲ συμμαχικὸν πλῆθος καὶ ὁ λοιπὸς ὄχλος κατὰ τὸν ξυ-
στὸν ἔχον καὶ τὴν γέφυραν καὶ τὸν Σίμωνος πύργον, ὃν ᾠκοδόμησε 10
πρὸς Ἰωάννην πολεμῶν ἑαυτῷ φρούριον.

378 2. Κατὰ ταύτας τὰς ἡμέρας οἱ τῶν Ἰδουμαίων ἡγεμόνες κρύφα
συνελθόντες ἐβουλεύσαντο περὶ παραδόσεως σφῶν αὐτῶν, καὶ πέμ-
ψαντες ἄνδρας πέντε πρὸς Τίτον ἱκέτευον δοῦναι δεξιὰν αὐτοῖς.
379 ὁ δὲ καὶ τοὺς τυράννους ἐνδώσειν ἐλπίσας ἀποστασθέντων τῶν 15
Ἰδουμαίων, οἳ πολὺ τοῦ πολέμου μέρος ἦσαν, βραδέως μέν, ἀλλ'
οὖν κατανεύει τε τὴν σωτηρίαν αὐτοῖς καὶ τοὺς ἄνδρας ἀνέπεμψε.
380 παρασκευαζομένων δὲ ἀποχωρεῖν αἰσθάνεται Σίμων, καὶ πέντε μὲν
τοὺς ἀπελθόντας πρὸς Τίτον εὐθέως ἀναιρεῖ, τοὺς δὲ ἡγεμόνας,
381 ὧν ἐπισημότατος ἦν ὁ τοῦ Σωσᾶ Ἰάκωβος, συλλαβὼν εἴργνυσι· τὸ 20
δὲ πλῆθος τῶν Ἰδουμαίων ἀμήχανον διὰ τὴν ἀφαίρεσιν τῶν ἡγε-
μόνων οὐκ ἀφύλακτον εἶχε καὶ τὸ τεῖχος φρουραῖς ἐπιμελεστέραις
382 διελάμβανεν. οὐ μὴν ἀντέχειν οἱ φρουροὶ πρὸς τὰς αὐτομολίας
ἴσχυον, ἀλλὰ καίτοι πλείστων φρενουμένων πολὺ πλείους οἱ δια-
383 φεύγοντες ἦσαν. ἐδέχοντο δὲ Ῥωμαῖοι πάντας, τοῦ τε Τίτου διὰ 25

PAMLVRC Lat Hegesippus V 47 p. 372. Zonaras I p 547.

1 τε] δ' VRC φθασθέντες] Berol. et Syr (*nisi*) *praeuenti essent* Lat φθαρθέντες PAMVR φθαρέντες LC ὑπὸ ex ἀπὸ corr. A 3 δ' C ἑλεῖν Zon 5 Λώου] *augusti* Lat Loi 20. dies est 8. Septembris (VI id. Sept.) anni Iuliani (70 p. Chr.) δ' LC 7 χωματων C τεσάρων A ἠγείρετο] *erigitur* Lat 8 τῆσ πόλεωσ κλίμα tr. L ἄντικρυσ LVC ἄντικρυ R 9 τὸ ξυστὸν PA 10 ἔχον] Destinon ἐξον P ἐξοῦ AL ἐξ οὗ MVR, om. CLat ὃν ᾠκοδόμησε] ἀνωκοδόμησε PAM ὃν ἀνῳκοδόμησε Destinon 12 ταύτας οὖν τὰς Zon Ἰδουμαίων] *Iouδαίων* R 13 παραδώσεωσ L 14 ἄνδρεσ C ἱκέτευον sic P ἱκετεύων C 15 τῶν] LZon, om. PAMVRC 16 ἰδουμαίων (ἰ suppl.) L οἳ] ὃ P *quoniam* Lat πολλοὶ C ἀλλ'] ἦκον ἀλλ' P εἶκων ἀλλ' Destinon 17 τε] om. A γε Destinon τὴν om. Dindorf ex cod. L. B. 18 δ' LC 19 δ' LC 20 ἐπισιμώτατοσ C ὁ om. C 21 Ἰδουμαίων] *Iouδαίων* C ἀμηχάνουν C 23 τὰς αὐτομολίας] τοὺσ αὐτομολητὰσ L *profugientibus* Lat 24 πολλὺ C 25 δὲ] δ' οἱ L πάντεσ L

πραότητα τῶν προτέρων ἀμελήσαντος παραγγελμάτων, καὶ αὐτοὶ
κόρῳ τοῦ κτείνειν ἀπεχόμενοι καὶ κέρδους ἐλπίδι· τοὺς γὰρ δημο- 384
τικοὺς καταλιπόντες μόνους τὸν ἄλλον ὄχλον ἐνώλιον σὺν γυναιξὶ
καὶ τέκνοις, ἐλαχίστης τιμῆς ἕκαστον πλήθει τε τῶν πιπρασκομένων
καὶ ὀλιγότητι τῶν ὠνουμένων. καίτερ δὲ προκηρύξας μηδένα μόνον 385
αὐτομολεῖν, ὅπως καὶ τὰς γενεὰς ἐξαγάγοιεν, ὅμως καὶ τούτοις
ἐδέχετο· ἐπέστησε μέντοι τοὺς διακρινοῦντας αὐτ' αὐτῶν, εἴ τις εἴη
κολάσεως ἄξιος. καὶ τῶν μὲν ἀπεμποληθέντων ἄπειρον ἦν τὸ πλῆ- 386
θος, οἱ δημοτικοὶ δὲ διεσώθησαν ὑπὲρ τετρακισμυρίους, οὓς δι-
αφῆκεν Καῖσαρ ἧ φίλον ἦν ἑκάστῳ.

3. Ἐν δὲ ταῖς αὐταῖς ἡμέραις καὶ τῶν ἱερέων τις Θεβουθεῖ 387
λαῖς, Ἰησοῦς ὄνομα, λαβὼν περὶ σωτηρίας ὅρκους παρὰ Καίσαρος
ἐφ' ᾧ παραδώσει τινὰ τῶν ἱερῶν κειμηλίων, ἔξεισι καὶ παραδί- 388
δωσιν ἀπὸ τοῦ τοίχου τοῦ ναοῦ λυχνίας δύο τῶν κατὰ τὸν ναὸν
κειμένων παραπλησίας τραπέζας τε καὶ κρατῆρας καὶ φιάλας,
πάντα ὁλόχρυσα καὶ στιβαρώτατα, παραδίδωσι δὲ καὶ τὰ καταπε- 389
τάσματα καὶ τὰ ἐνδύματα τῶν ἀρχιερέων σὺν τοῖς λίθοις καὶ πολλὰ
τῶν πρὸς τὰς ἱερουργίας σκευῶν ἄλλα. συλληφθεὶς δὲ καὶ ὁ γαζο- 390
φύλαξ τοῦ ἱεροῦ Φινέας ὄνομα τούς τε χιτῶνας καὶ τὰς ζώνας
ὑπέδειξε τῶν ἱερέων πορφύραν τε πολλὴν καὶ κόκκον, ἃ πρὸς τὰς
χρείας ἀπέκειτο τοῦ καταπετάσματος, σὺν οἷς κιννάμωμόν τε πολὺ
καὶ κασσίαν καὶ πλῆθος ἑτέρων ἀρωμάτων, ἃ συμμίσγοντες ἐθυ-
μίων ὀσιμέραι τῷ Θεῷ. παρεδόθη δὲ ἐπ' αὐτοῖ πολλὰ καὶ τῶν 391
ἄλλων κειμηλίων κόσμος τε ἱερὸς οὐκ ὀλίγος, ἅπερ αὐτῷ βίᾳ λη-
φθέντι τὴν τῶν αὐτομόλων συγγνώμην ἔδωκε.

4. Συντετελεσμένων δ' ἤδη καὶ τῶν χωμάτων ἐν ὀκτωκαίδεκα 392

PAMLVRC Lat Hegesippus V 47 p. 372. Zonaras I p. 547.

1 *αὐτοί*] *αὐτῶν* C 2 *κόρον* L *ἀπεχομένων* C 3 *καταλειπόντες* A *μ ν*
νόμους L *τῶν ἄλλων* C *ἐπόλουν* A 4 *ἐλαχίστην* C 6 *τὰς* om. VRC
ἐξάγοιεν R 7 *διακρίνοντας* L *τις* ex *τι* corr. A *εἴη*] *εἶ* R 8 *ἄξιος*, *σ* ex *ν* corr. C *ἀπεμπωληθέντων* P *ἀμπεπωληθέντων* C *ἄπειρον τὸ* (*ἄπειρόν τι* CZon) *πλῆθος ἦν* tr. LVRCZon 11 i. marg. *μα'* C *Θεβουθεὶ* M *Θεβουθὶ* L *Θεβουτεὶ* VR *Θεβουτὶ* C *nebuthi* Lat *thebuti* Heg 12 *ὄνομα Ἰησοῦς* tr. L *ὅρκους* — VII p. 577, 15 *πλῆθος* interciderunt 6 foliis amissis in P 13 *παραδίδουσιν* C 14 *τῶν*] *ταῖς* C 15 *κειμέναις* C; tradita uix sana sunt *τραπέζας τε* ALC *τραπέζαν τε* Zon 16 *πάνθ'* C *στιβαρώτατα* — p. 565, 2 *τύχῃ* om. uno folio exciso L 17 *τὰ* om. C 19 *finees* Lat Heg *Φινεὲς* Zon 20 *ἐπέδειξε* MLVRC 21 *κινάμωμόν* RC 23 *πολλὰ* i. marg. suppl. A 24 *τε*] *θ'* C *αὐτῶ* · V 25 *συγνώμην* R *ἔδοκε* R 26 *συντελεσμένων* A *δὲ* MLVR *ἑβδόμῃ γορπιαίου μηνὸς ἐν ὀκτωκαίδεκα ἡμέραις* tr. MVRC

ἡμέραις ἑβδόμῃ Γορπιαίου μηνὸς Ῥωμαῖοι μὲν προσῆγον τὰς μη-
χανάς, τῶν δὲ στασιαστῶν οἱ μὲν ἀπεγνωκότες ἤδη τὴν πόλιν ἀνε-
χώρουν τοῦ τείχους εἰς τὴν ἄκραν, οἱ δὲ ἐγκατεδύοντο τοῖς ὑπονο-
393 μοις· πολλοὶ δὲ διαστάντες ἠμύνοντο τοὺς προσάγοντας τὰς ἕλε-
πόλεις. ἐκράτουν δὲ καὶ τούτων Ῥωμαῖοι πλήθει τε καὶ βίᾳ καὶ
394 τὸ μέγιστον, εὐθυμοῦντες ἀθύμων ἤδη καὶ παρειμένων. ὡς δὲ
παρερράγη μέρος τι τοῦ τείχους, καί τινες τῶν πύργων τυπτόμενοι
τοῖς κριοῖς ἐνέδοσαν, φυγὴ μὲν ἦν εὐθέως τῶν ἀμυνομένων, δέος
395 δὲ καὶ τοῖς τυράννοις ἐμπίπτει σφοδρότερον τῆς ἀνάγκης· πρὶν
γὰρ ὑπερβῆναι τοὺς πολεμίους ἐνάρκων τε καὶ μετέωροι πρὸς
φυγὴν ἦσαν, ἦν δὲ ἰδεῖν τοὺς πάλαι σοβαροὺς καὶ τοῖς ἀσεβήμασιν
ἀλαζόνας τότε ταπεινοὺς καὶ τρέμοντας, ὡς ἐλεεινὴν εἶναι καίπερ
396 ἐν πονηροτάτοις τὴν μεταβολήν. ὥρμησαν μὲν οὖν ἐπὶ τὸ περιτεί-
χισμα δραμόντες ὤσασθαί τε τοὺς φρουροὺς καὶ διακόψαντες ἐξελ-
397 θεῖν· ὡς δὲ τοὺς μὲν πάλαι πιστοὺς ἑώρων οὐδαμοῦ, διέφυγον
γὰρ ὅπῃ τινὶ συνεβούλευεν ἡ ἀνάγκη, προσθέοντες δὲ οἱ μὲν ὅλον
ἀνατετράφθαι τὸ πρὸς δύσιν τεῖχος ἤγγελλον, οἱ δ' ἐμβεβληκέναι
398 τοὺς Ῥωμαίους ἤδη τε πλησίον εἶναι ζητοῦντας αὐτούς, ἕτεροι δὲ
καὶ ἀφορᾶν ἀπὸ τῶν πύργων πολεμίους ἔλεγον πλάζοντος τὰς ὄψεις
τοῦ δέους, ἐπὶ στόμα πεσόντες ἀνῴμωζον τὴν ἑαυτῶν φρενοβλά-
βειαν καὶ καθάπερ ὑποκεκομμένοι τὰ νεῦρα τῆς φυγῆς ἠτόρουν.
399 ἔνθα δὴ μάλιστ' ἄν τις καταμάθοι τήν τε τοῦ θεοῦ δύναμιν ἐπὶ
τοῖς ἀνοσίοις καὶ τὴν Ῥωμαίων τύχην· οἱ μέν γε τύραννοι τῆς
ἀσφαλείας ἐγύμνωσαν αὐτοὺς κἀκ τῶν πύργων κατέβησαν ἑκόντες,
400 ἐφ' ὧν βίᾳ μὲν οὐδέποθ' ἁλῶναι, μόνῳ δ' ἐδύναντο λιμῷ. Ῥωμαῖοι

AMVRC Lat Hegesippus V 49 p. 373. Zonaras I p. 548.

1 Gorpiaei 7. dies est 25. Septembris (VII kal. Oct.) anni Iuliani (70 p. Chr.)
3 δ' CZon ἐγκατεδύοντο A 7 παρερράγη] Herwerden περιερράγη codd. Zon μέροσ τι om. C τι om. Zon 8 ἦν ex νν· corr. A 11 δ' C
12 καίπερ ἐμπονηροτάτοισ R 14 δαμόντεσ, μόν i. ras. A τε om. AC
16 συνεβούλευσεν ed. pr. προθέοντεσ C δὲ] δὲ καὶ R 17 οἱ δ' — 18 αὐτούς] *alii subisse romanos ac iam propinquare se quaerentes* Lat ἤγγελον R δὲ VR 18 ἤδη τε] Destinon ex Lat οἱ δ' (δὲ MVR) ἤδη τε codd. οἱ δ' ἤδη Bekker πλησίον] πλησίον ἦσαν (ἦσαν deletum) C εἶναι] εἶναι τῶν πύργων πολεμίουσ (τῶν πύργων πολεμίουσ deletum) C δὲ καὶ] δὲ R δ' C 19 ἀπὸ] Herwerden ἐπὶ codd. *in* Lat *de* Heg τῶν] τὸν A πύργων, ω ex ο corr. A 20 στόματοσ V ἀνοίμωζον AVR ὀνόμαζον C ἀνῴμωξαν Zon 21 ὑποκεκομμένοι, ὑ ex corr. M τῆς ψυχῆς Herwerden 23 μέν γε] μὲν γὰρ MVRC *quidem* Lat 24 ἑαυτοὺσ VRC καὶ ἐκ VR 25 ἐφ'] ὑφ' AM ἀφ' Zon οὐδέπωθ' A οὐδέποτε VRZon μόνον C δὲ MVR

δὲ τοσαῦτα περὶ τοῖς ἀσθενεστέροις τείχεσι καμόντες παρέλαβον τύχη τὰ μὴ δυνατὰ τοῖς ὀργάνοις· πάντως γὰρ ἰσχυρότεροι μηχανήματος ἦσαν οἱ τρεῖς πύργοι, περὶ ὧν ἀνωτέρω διεληλύκαμεν.

5. Καταλιπόντες δὴ τούτους, μᾶλλον δὲ ὑπὸ τοῦ θεοῦ κατα- 401
βληθέντες ἀπ' αὐτῶν, παραχρῆμα μὲν εἰς τὴν ὑπὸ τῇ Σιλωᾶ φάραγγα καταφεύγουσιν, αὖθις δὲ ὀλίγον ἀνακύψαντες ἐκ τοῦ δέους ὥρμησαν ἐπὶ τὸ τῇδε περιτείχισμα. χρησάμενοι δὲ ταῖς τόλμαις 402
ἀγενεστέραις τῆς ἀνάγκης, κατεάγησαν γὰρ ἤδη τὴν ἰσχὺν ἅμα τῷ δέει καὶ ταῖς συμφοραῖς, ὑπὸ τῶν φρουρῶν ἀνωθοῦνται καὶ σκεδασθέντες ὑπ' ἀλλήλων κατέδυσαν εἰς τοὺς ὑπονόμους. Ῥωμαῖοι δὲ 403
τῶν τειχῶν κρατήσαντες τάς τε σιμαίας ἔστησαν ἐπὶ τῶν πύργων καὶ μετὰ κρότου καὶ χαρᾶς ἐναιάνιζον ἐπὶ τῇ νίκῃ, πολὺ τῆς ἀρχῆς κουφότερον τοῦ πολέμου τὸ τέλος εὑρηκότες· ἀναιμωτὶ γοῦν τοῦ τελευταίου τείχους ἐπιβάντες ἱστίουν, καὶ μηδένα βλέποντες ἀντίταλον ἀληθῶς ἐπόρθουν. εἰσχυθέντες δὲ τοῖς στενωποῖς ξιφήρεις 404
τούς τε καταλαμβανομένους ἐφόνευον ἀνέδην καὶ τῶν συμφευγόντων τὰς οἰκίας αὐτάνδρους ἐπεπίμπρασαν. πολλὰς δὲ κεραΐζοντες 405
ὁπόσ' ἔνδον παρέλθοιεν ἐφ' ἁρπαγήν, γενεὰς ὅλας νεκρῶν κατελάμβανον καὶ τὰ δωμάτια πλήρη τῶν τοῦ λιμοῦ πτωμάτων, ἔπειτα πρὸς τὴν ὄψιν πεφρικότες κεναῖς χερσὶν ἐξῆσαν. οὐ μὴν οἰκτεί- 406
ροντες τοὺς οὕτως ἀπολωλότας ταὐτὸ καὶ πρὸς τοὺς ζῶντας ἔπασχον, ἀλλὰ τὸν ἐντυγχάνοντα διελαίνοντες ἀπέφραξαν μὲν τοὺς στενωποὺς νεκροῖς, αἵματι δὲ ὅλην τὴν πόλιν κατέκλυσαν, ὡς πολλὰ καὶ τῶν φλεγομένων σβεσθῆναι τῷ φόνῳ. καὶ οἱ μὲν κτείνοντες 407

AMLVRCLatHegesippus V 49 p. 373. Zonaras I p. 548.

1 *τοῖς* om. A *τείχεσι* om. VR *καμόντες*] *καμῶντεσ* A *καμόντεσ ἐφ' ὧν βία μὲν* (*ἐφ' — μὲν* deletum) C 2 *τὰ*] redit L *δυνατὰ*] *δυνάμενα* L *ἰσχυροὶ* L 3 *ἀνωτέρω*] *ἀμφοτέρων* AM 4 *καταλειπόντεσ* A *δὴ*] *δὲ* L *δὲ*] *δ'* C *καταβληθέντες ἀπ' αὐτῶν*] *in his deprehensi* Lat 5 *ἀπ'*] *ὑπ'* L *τῇ*] *τῆσ* L, om. VRC *σιλωὰμ* L et fort. Zon *siloam* (accus.) Lat 6 *δ'* C 8 *ἀγεννεστέραισ* MLVR *κατεάγησαν* — 9 *συμφοραῖς*] *iam enim uires eorum labor metus et calamitas fregerant* Lat, quem *καμάτῳ* (pro *ἅμα τῷ*) legisse adnotat Destinon *κατεάγεισαν* Bekker *τὴν ἰσχὺν ἤδη* tr. L 10 *ἀπ' ἀλλήλων* cod. L. B. apud Hauerkampum *per diuersa* Lat 13 *κουφότερον — τέλος*] *τὸ τέλοσ κουφότερον* L *εὑρηκότες*] *εὑρικότεσ κεναῖσ χερσὶν ἐξῆσαν* (*κεναῖσ — ἐξῆσαν* deletum; cf. infra u. 20) C *ἀναίμοτι* AVR 15 *ἀληθῶς*] *ἀήθωσ* LRC *ἀηθῶσ* V *pro certo* Lat *στενοποῖσ* R 16 *ἀναίδην* LRC *ἀναίδην* V *συμφευγότων* V 17 *αὐτάνδρουσ, ά* ex *ό* corr. M *ὑπεμπίπρασαν* L *ὑπεμπίμπρασαν* V *ὑπεπίπρασαν* C *πολλὰς*] AMLLat *πολλὰ* VRC 18 *ὁπότε* VR 19 *δωμάτια* C 21 *οὕτως*] *ὄντωσ* C *ζόντασ* C 22 *ἀλλὰ* R *ἐντυχόντα* LVRC *ἀπέφραξαν μὲν* ex *ἀπεφράξαμεν* corr. A *στενοποὺσ* R 23 *νεκρῶν* LC *δ'* C 24 *καὶ* om. MLVRCLat

ἐπαίσαντο τοὺς ἑσπέραν, ἐν δὲ τῇ νυκτὶ τὸ πῦρ ἐπεκράτει. φλεγομένοις δ' ἐπανέτειλεν Ἱεροσολύμοις ἡμέρα Γορπιαίου μηνὸς
408 ὀγδόη, πόλει τοσαύταις χρησαμένῃ συμφοραῖς κατὰ τὴν πολιορκίαν, ὅσοις ἀπὸ κτίσεως ἀγαθοῖς κεχρημένη πάντως ἂν ἐπίφθονος ἔδοξεν, οὐ μὴν ἀξίᾳ κατ' ἄλλο τι τῶν τηλικούτων ἀτυχημάτων ἢ τὸ γενεὰν τοιαύτην ἐνεγκεῖν, ὑφ' ἧς ἀνετράπη.

409 IX. 1. Παρελθὼν δὲ Τίτος εἴσω τά τε ἄλλα τῆς ὀχυρότητος τὴν πόλιν καὶ τῶν πύργων ἀπεθαύμασεν, οὓς οἱ τύραννοι κατὰ
410 φρενοβλάβειαν ἀπέλιπον. κατιδὼν γοῦν τό τε ναστὸν αὐτῶν ὕψος καὶ τὸ μέγεθος ἑκάστης πέτρας τήν τε ἀκρίβειαν τῆς ἁρμονίας,
411 καὶ ὅσοι μὲν εὖρος ἦλίκοι δὲ ἦσαν τὴν ἀνάστασιν, „σὺν θεῷ γε ἐπολεμήσαμεν, ἔφη, καὶ θεὸς ἦν ὁ τῶνδε τῶν ἐρυμάτων Ἰουδαίους καθελών. ἐπεὶ χεῖρες ἀνθρώπων ἢ μιχαναὶ τί πρὸς τούτους τοὺς
412 πύργους δύνανται;" τότε μὲν οὖν πολλὰ τοιαῦτα διελέχθη πρὸς τοὺς φίλους, τοὺς δὲ τῶν τυράννων δεσμώτας, ὅσοι κατελήφθησαν ἐν
413 τοῖς φρουρίοις, ἀνῆκεν. αὖθις δὲ τὴν ἄλλην ἀφανίζων πόλιν καὶ τὰ τείχη κατασκάπτων τούτους τοὺς πύργους κατέλιπε μνημεῖον εἶναι τῆς αὐτοῦ τύχης, ᾗ συστρατιώτιδι χρησάμενος ἐκράτησε τῶν ἁλῶναι μὴ δυναμένων.

414 2. Ἐπεὶ δ' οἱ στρατιῶται μὲν ἔκαμνον ἤδη φονεύοντες, πολὺ δέ τι πλῆθος τῶν περιόντων ἀνεφαίνετο, κελεύει Καῖσαρ μόνους μὲν τοὺς ἐνόπλους καὶ χεῖρας ἀντίσχοντας κτείνειν, τὸ δὲ λοιπὸν
415 πλῆθος ζωγρεῖν. οἱ δὲ μετὰ τῶν παρηγγελμένων τό τε γηραιὸν καὶ τοὺς ἀσθενεῖς ἀνῄρουν, τὸ δ' ἀκμάζον καὶ χρήσιμον εἰς τὸ ἱερὸν συνελάσαντες ἐγκατέκλεισαν τῷ τῶν γυναικῶν περιτειχίσματι.
416 καὶ φρουρὸν μὲν ἐπέστησε Καῖσαρ ἕνα τῶν ἀπελευθέρων, Φρόν-
417 τωνα δὲ τῶν φίλων ἐπικρινοῦντα τὴν ἀξίαν ἑκάστῳ τύχην. ὁ δὲ τοὺς μὲν στασιώδεις καὶ λῃστρικοὺς πάντας ὑπ' ἀλλήλων ἐνδεικνυ-

---

AMLVRCLatZonaras I p. 548. Eusebius hist. eccl. III 7, 2.

1 τὸ om. C 2 δὲ VR 3 ὀγδόη] ζ' L τοσαύτη ML συμφοραῖσ, αῖσ ex ᾶσ corr. A 4 ἀπὸ] ἀπὸ τῆσ MLVRC ἂν om. L ἔδοξεν, ο ex ει corr. uid. A 5 ἄξια L τηλικούτων om. C τὸ] τῷ Niese 7 δὲ] δ' ὁ M 9 φρενοβλαβίαν L ἀπέλειπον AVR αὐτῶν τό τε ναστὸν tr. C 11 ἀνάτασιν MRC γ' C, om. Zon 13 χεῖρες] χεῖρεσ τ' L χεῖρέσ τε VRC χεῖρέσ γ' Niese τοὺς πύργους om. Lat 14 πολλὰ om. L 15 δὲ] τε Destinon ὅσοι] οἳ LVRC 17 κατέλειπε AVR i. marg. μό' C 20 δὲ VR *ergo* Lat ἔκαμνον μὲν tr. M ἔκαμ·ον R 21 δέ τι] δ' ἔτι LLat ἐφαίνετο L 22 ἀντισχόντασ LVRC 23 ζωγρῶν C 24 δὲ VR 25 τῷ — περιτειχίσματι] *in destinatum mulieribus ambitum* Lat τῷ] το C γυναικίων A γυναικείων MLVR περιτείχισμα C 26 φρουρὰν A φρουρῶν C *custodes* Lat § 417 et 418 habet Eusebius 28 πάντας om. L

μένους ἀπέκτεινε. τῶν δὲ νέων τοὺς ὑψηλοτάτους καὶ καλοὺς ἐπι-
λέξας ἐτήρει τῷ θριάμβῳ. τοῦ δὲ λοιποῦ πλήθους τοὺς ὑπὲρ ἑπτα- 418
καίδεκα ἔτη δήσας ἔπεμψεν εἰς τὰ κατ' Αἴγυπτον ἔργα. πλείστους
δ' εἰς τὰς ἐπαρχίας διεδωρήσατο Τίτος φθαρησομένους ἐν τοῖς
θεάτροις σιδήρῳ καὶ θηρίοις· οἱ δ' ἐντὸς ἑπτακαίδεκα ἐτῶν ἐπρά-
θησαν. ἐφθάρησαν δὲ αὐτῶν ἐν αἷς διέκρινεν ὁ Φρόντων ἡμέραις 419
ὑπ' ἐνδείας χίλιοι πρὸς τοῖς μυρίοις, οἱ μὲν ὑπὸ μίσους τῶν φυ-
λάκων μὴ μεταλαμβάνοντες τροφῆς, οἱ δ' οὐ προσιέμενοι διδομένην·
πρὸς δὲ τὸ πλῆθος ἦν ἔνδεια καὶ σίτου.

3. Τῶν μὲν οὖν αἰχμαλώτων πάντων, ὅσα καθ' ὅλον ἐλήφθη 420
τὸν πόλεμον, ἀριθμὸς ἐννέα μυριάδες καὶ ἑπτακισχίλιοι συνήχθη,
τῶν δὲ ἀπολομένων κατὰ πᾶσαν τὴν πολιορκίαν μυριάδες ἑκατὸν
καὶ δέκα. τούτων τὸ πλέον ὁμόφυλον μὲν ἀλλ' οὐκ ἐπιχώριον· 421
ἀπὸ γὰρ τῆς χώρας ὅλης ἐπὶ τὴν τῶν ἀζύμων ἑορτὴν συνεληλυθότες
ἐξαπίνης τῷ πολέμῳ περιεσχέθησαν, ὥστε τὸ μὲν πρῶτον αὐτοῖς
τὴν στενοχωρίαν γενέσθαι λοιμώδη φθοράν, αὖθις δὲ καὶ λιμὸν
ὠκύτερον. ὅτι δ' ἐχώρει τοσούτους ἡ πόλις, δῆλον ἐκ τῶν ἐπὶ 422
Κεστίου συναριθμηθέντων, ὃς τὴν ἀκμὴν τῆς πόλεως διαδηλῶσαι
Νέρωνι βουλόμενος καταφρονοῦντι τοῦ ἔθνους παρεκάλεσεν τοὺς
ἀρχιερεῖς, εἴ πως δυνατὸν εἴη τὴν πληθὺν ἐξαριθμήσασθαι· οἱ δ' 423
ἐνστάσης ἑορτῆς, πάσχα καλεῖται, καθ' ἣν θύουσιν μὲν ἀπὸ ἑνάτης
ὥρας μέχρις ἑνδεκάτης, ὥσπερ δὲ φατρία περὶ ἑκάστην γίνεται θυ-
σίαν οὐκ ἐλάσσων ἀνδρῶν δέκα, μόνον γὰρ οὐκ ἔξεστιν δαίνυσθαι,
πολλοὶ δὲ καὶ συνείκοσιν ἀθροίζονται, τῶν μὲν θυμάτων εἰκοσιπέντε 424

AMLVRC Lat Hegesippus V 49 p. 374. Zonaras I 548. Eusebius hist. eccl. III 7, 2.

1 *τοὺς — καλοὺς*] *qui procero atque formoso essent corpore* Lat *καλοὺς*] *κάλλει σώματος διαφέροντας* Euseb *καλλίστους* Herwerden 2 *τῷ* om. Euseb 3 *πλείους* Euseb 4 *δὲ* MVR 5 *δὲ* MVR *ἐντὸς — ἐτῶν*] *ἐν ταῖς ἑπτακαιδεκαετῶν* C *ἐπράθησαν*] *ἐπράχθησαν* L 6 *δ'* C 7 *χίλιοι — μυρίοις*] *duodecim milia* Lat *τῶν* om. A 8 *μὴ*] *μήτε* L *δὲ* VR *δεδομένην* LC 9 *ἐνδεία* AR *καὶ* om. CLat 10 i. marg. *με'* C 12 *δ'* C *ἀπολομένων* AVC *ἀπολλυμένων* LZon *hostium* Lat 15 *περιεσχίσθησαν* C 16 *τὴν στενοχωρίαν*] *ex loci angustia* Lat *τῇ στενοχωρίᾳ* Destinon *λιμὸν*] *λιμῶν* L 17 *δὲ χωρεῖ* L *δὲ ἐχώρει* VR 18 *Κεστίου*] *σκετίου* C 20 *δὲ* LVR 21 *τῆς ἑορτῆς* Dindorf ex cod. L. B. *πάσχα*] *ᾗ πάσχα* L *ἀπὸ*] *ἀπὸ τῆς* Dindorf ex cod. L. B. *ἐννάτης* A 22 *μέχρι* L *φρατρία* Hudson *θυσίαν*] A^1LC^1 *θυσία* MVR et ex corr. AC 23 *ἔλαττον* L *ἔλασσον* MV *ἐλάσσων* R *δαίννυσθαι* C *δύνασθαι* L 24 *σὺν εἴκοσιν* (*εἴκοσι* L) MLC *uiceni* Lat *μὲν*] *μὲν οὖν* L *εἰκοσιπέντε*] *εἴκοσι πάντως* Hudson

425 μυριάδας ἠρίθμησαν, πρὸς δὲ πεντακισχίλια ἑξακόσια. γίνονται
ἀνδρῶν, ὧν ἕκάστου δέκα δαιτυμόνας θῶμεν, μυριάδες ἑβδομήκοντα
426 καὶ διακόσιαι καθαρῶν ἁπάντων καὶ ἁγίων· οὔτε γὰρ λεπροῖς οὔτε
γονορροϊκοῖς οὔτε γυναιξὶν ἐπεμμήνοις οὔτε τοῖς ἄλλως μεμιασμέ-
427 νοις ἐξὸν ἦν τῇσδε τῆς θυσίας μεταλαμβάνειν, ἀλλ' οὐδὲ τοῖς ἀλ- 5
λοφύλοις, ὅσοι κατὰ θρησκείαν παρῆσαν, 4. πολὺ δὲ τούτων πλῆ-
428 θος ἔξωθεν συλλέγεται. τότε γε μὴν ὥσπερ εἰς εἱρκτὴν ὑπὸ τῆς
εἱμαρμένης πᾶν συνεκλείσθη τὸ ἔθνος, καὶ ναστὴν ὁ πόλεμος τὴν
429 πόλιν ἀνδρῶν ἐκύκλωσατο. πᾶσαν γοῦν ἀνθρωπίνην καὶ δαιμονίαν
φθορὰν ὑπερβάλλει τὸ πλῆθος τῶν ἀπολωλότων· ἐπεὶ γοῦν τῶν 10
φανερῶν οὓς μὲν ἀνεῖλον οὓς δ' ᾐχμαλωτίσαντο Ῥωμαῖοι, τοὺς ἐν
τοῖς ὑπονόμοις ἀνιρεύνων καὶ τοὔδαφος ἀναῤῥηγνύντες ὅσοις μὲν
430 ἐνεύγχανον ἔκτεινον, εὑρέθησαν δὲ κἀκεῖ νεκροὶ πλείους δισχιλίων,
οἱ μὲν ὑπὸ σφῶν αὐτῶν οἱ δὲ ὑπ' ἀλλήλων, τὸ πλέον δ' ὑπὸ τοῦ
431 λιμοῦ διεφθαρμένοι. δεινὴ δ' ὑπήντα τοῖς ἐπεισπίπτουσιν ὀδμὴ 15
τῶν σωμάτων, ὡς πολλοῖς μὲν ἀναχωρεῖν εὐθέως, τοὺς δὲ ὑπὸ
432 πλεονεξίας εἰσδύεσθαι νεκροὺς σεσωρευμένους ἐμπατοῦντας· πολλὰ
γὰρ τῶν κειμηλίων ἐν ταῖς διώρυξιν εὑρίσκετο, καὶ πᾶσαν θεμιτὴν
ὁδὸν ἐποίει τὸ κέρδος· ἀνήγοντο δὲ καὶ δεσμῶται πολλοὶ τῶν τυ-
433 ράννων· οὐδὲ γὰρ ἐν ἐσχάτοις ἐταίσαντο τῆς ὠμότητος. ἀπετί- 20

AMLVRCLatZonaras I 549. Eusebius hist. eccl. III 7, 2. Suidas s. θεμιτή.

1 μυριάδεσ A ἠριθμήθησαν AL πεντακισχίλιαι V πεντακισχίλια ἑξακόσια] AMVRCSyr ἑξακισχίλια (α finale ex οι corr. L) καὶ πεντακόσια LLat fort. recte γίνονται] γίνονται δ' (δὲ M) MLCLat 2 ἀνδρῶν] om. Lat ἀνθρώπων Destinon δέκα om. L δαιτυμόνασ δέκα tr. C 3 post ἁπάντων eras. 6—7 litt. in fine uersus L οὔτε γονορροϊκοῖς om. L 4 γονορρϊκοῖσ A γονορροίοισ VRC ἐπ' ἐμμήνοισ M ἐμμήνοις L. Dindorf ἄλλοισ LLat μεμιαμμένοισ VRC 5 ἐξὸν ἦν] ἐξῆν LVRC θυσίας] θείασ C ἀλλοτρίοις L 6 ὅσοι] ὅσον A οἳ L *nisi qui* Lat, cum quo μὴ ὅσοι Spanheim τούτων] τοῦτο AMVRCLat 7 εἰς om. R εἰσκτὴν (εἰρ- A 9 ἀνδρῶν] *hominibus* Lat γοῦν] οὖν L δαιμόνιον LVRC 10 τὸ πλῆθος — 13 ἔκτεινον] *numerus peremptorum, quos partim palam occiderunt partim ceperunt romani; rimantes enim cloacas et sepulchra eruentes quos offendissent occidebant* Lat ἐπεὶ] AMLZon ἐπὶ VRC 11 φαναιρῶν C δὲ LVR ᾐχμαλωτεύσαντο M τοὺς] MLZon οὕσ δ' (δὲ VR) AVRC 12 καὶ om. VR τὸ ἔδαφοσ VRZon τοὺς τάφους uertit Lat 13 ἔκτειναν L ηὑρέθησαν L δισχίλιοι L 14 δ' LC πλέον δ'] πλέον δὲ VR πλέον, οἱ δ' LLat 15 διεφθαρμένων AC διεφθαρμένον Destinon δ'] δὲ LVRZon ἐπεισπίπτουσιν, ιν i. ras. A ὑποσκήπτουσιν L *introeuntibus* Lat ἐπικύπτουσιν Zon ἐπεισκύπτουσιν Destinon 16 πολοὺσ ex πολὺσ corr. C μὲν om. L δ' LC 17 σεσωρευμένουσ νεκροὺσ tr. L πολλὰ — 19 κέρδος habet Suidas 18 ηὑρίσκετο LSuid καὶ — 19 κέρδος] *nefasque omnem uiam lucri faciebat* Lat πᾶσαν, σ ex ν corr. A θεμιτὴν, ιτὴν i. ras. A 19 πολλοὶ δεσμῶται tr. L

σατό γε μὴν ὁ θεὸς ἀμφοτέρους ἀξίως, καὶ Ἰωάννης μὲν λιμώττων μετὰ τῶν ἀδελφῶν ἐν τοῖς ὑπονόμοις ἦν πολλάκις ὑπερηφάνησε παρὰ Ῥωμαίων δεξιὰν λαβεῖν ἱκέτευσε, Σίμων δὲ πολλὰ διαμαχήσας πρὸς τὴν ἀνάγκην, ὡς διὰ τῶν ἑξῆς δηλώσομεν, αὐτὸν παραδίδωσιν.
ἐφυλάχθη δὲ ὁ μὲν τῷ θριάμβῳ σφάγιον, ὁ δ' Ἰωάννης δεσμοῖς 434
αἰωνίοις. Ῥωμαῖοι δὲ τάς τ' εὐχαιρίας τοῦ ἄστεως ἐνέρρησαν καὶ τὰ τείχη κατέσκαψαν.

X. 1. Ἑάλω μὲν οὕτως Ἱεροσόλυμα ἔτει δευτέρῳ τῆς Οὐεσ- 435
πασιανοῦ ἡγεμονίας Ὀρτεσίου μηνὸς ὀγδόῃ, ἁλοῦσα δὲ καὶ πρό- 436
τερον πεντάκις τοῦτο δεύτερον ἠρημώθη. Ἀσωχαῖος μὲν γὰρ ὁ τῶν Αἰγυπτίων βασιλεὺς καὶ μετ' αὐτὸν Ἀντίοχος, ἔπειτα Πομπήϊος καὶ ἐπὶ τούτοις σὺν Ἡρῴδῃ Σόσσιος ἑλόντες ἐτήρησαν τὴν πόλιν.
πρὸ δὲ τούτων ὁ τῶν Βαβυλωνίων βασιλεὺς κρατήσας ἠρήμωσεν 437
αὐτὴν μετὰ ἔτη τῆς κτίσεως χίλια τετρακόσια ἑξηκονταοκτὼ μῆνας
ἕξ. ὁ δὲ πρῶτος κτίσας ἦν Χαναναίων δυνάστης ὁ τῇ πατρίῳ 438
γλώσσῃ κληθεὶς βασιλεὺς δίκαιος· ἦν γὰρ δὴ τοιοῦτος. διὰ τοῦτο ἱεράσατό τε τῷ θεῷ πρῶτος καὶ τὸ ἱερὸν πρῶτος δειμάμενος Ἱεροσόλυμα τὴν πόλιν προσηγόρευσεν Σόλυμα καλουμένην πρότερον.
τὸν μὲν δὴ τῶν Χαναναίων λαὸν ἐκβαλὼν ὁ τῶν Ἰουδαίων βασι- 439
λεὺς Δαυίδης κατοικίζει τὸν ἴδιον, καὶ μετὰ τοῦτον ἔτεσι τετρακοσίοις ἑβδομήκοντα καὶ ἑπτὰ μησὶν ἓξ ὑπὸ Βαβυλωνίων κατασκάπτεται. ἀπὸ δὲ Δαυίδου τοῦ βασιλέως, ὃς πρῶτος αὐτῆς ἐβασίλευσεν 440
Ἰουδαίοις, μέχρι τῆς ὑπὸ Τίτου γενομένης κατασκαφῆς ἔτη χίλια καὶ ἑκατὸν ἑβδομήκοντα καὶ ἐννέα. ἀπὸ δὲ τῆς πρώτης κτίσεως ἔτη 441
μέχρι τῆς ἐσχάτης ἁλώσεως δισχίλια ἑκατὸν ἑβδομήκοντα καὶ ἑπτά.

AMLVRC Lat Hegesippus V 49 p. 373.

2 ἦν] MLat ἦν ALVR ἦν καὶ C ὑπερηφάνησε] MLat ὑπερηφανίσασ A ὑπερηφανησ sic L ὑπερηφανήσασ VRC 3 ῥωμαίοισ M δεξιὰν παρὰ ῥωμαίων tr. L δεξιάσ A διαμαχήσασ πολλὰ tr. L 4 δηλώσομεν V ἑαυτὸν LVRC 5 δ' C δὲ MLVR δεσμοῖσ, ῖσ i. ras. A 6 τ'] om. L τε MVRC 8 i. marg. μζ' C τὰ ἱεροσόλυμα L 9 ὀγδόῃ] cf. supra § 408 10 τοῦτο - R μὲν γὰρ] LC γὰρ AMVR *quidem* Lat 11 ὁ πομπήϊοσ VR 13 πρὸσ R¹ ἠρμωσεν L 14 χίλια — 15 ἕξ] *mille trecentos sexaginta et menses octo et dies sex* Lat ἑξήκοντα om. C μῆνασ] καὶ μῆνασ L 15 ὁ τῇ] ὃσ τῇ Niese 16 γλώττῃ L δὴ om. L διὰ τοῦτο] *ideoque* Lat 17 πρῶτος (post ἱερὸν) om. VRC 18 πόλην A 20 Δαυίδης] δᾶδ (h. e. *δαυίδ*) AMLVR *leobius* Lat μετὰ τοῦτον] μετ' αὐτὸν L 21 καὶ om. L ἑπτὰ] ras. 4 fere litt. R ἓξ] ἑξοῦ A 22 Δαυίδου] δᾶδ AMLVR *leobio* Lat 23 γεγενημένησ L 24 καὶ om. L καὶ om. LVRC ἐννέα] ἐνναία C *duo* Lat 25 ἐσχάτης om. Lat διστχίλια] *mille* Lat. καὶ om. L

442 *ἀλλὰ γὰρ οὔθ' ἡ ἀρχαιότης οὔθ' ὁ πλοῦτος ὁ βαθὺς οὔτε τὸ διαπεφοιτηκὸς ὅλης τῆς οἰκουμένης ἔθνος οὔθ' ἡ μεγάλη δόξα τῆς θρησκείας ἤρκεσέ τι πρὸς ἀπώλειαν αὐτῇ. τοιοῦτο μὲν δὴ τὸ τέλος τῆς Ἱεροσολύμων πολιορκίας.*

AMLVRCLat

1 *οὔτε ἡ* LVR *οὔτε ὁ* LVR *ὁ πλοῦτος ὁ βαθὺς*] *ὁ βαθὺς πλοῦτος* LC *διὰπεφοιτικὸς* A *διαπεφοιτικὼς* C 2 *οὔτε* LVR 3 *τι* om. VRC *ἀπώλιαν* C *τοιοῦτον* MVRC

Subscriptiones: *περὶ αλώσεως λόγος ϛ* A *τοῦ αὐτοῦ περιαλώσεως λόγος ϛ̄* L *φλαουΐου ἰωσηπου περὶ ἁλώσεως λόγος ϛ̄* V *τέλος φλαουΐου ἰωσηπου περὶ ἁλώσεως λόγος ϛ̄* R *τελος τοῦ ϛ̄ λόγου τῆς ἰωσήπου ἁλώσεως* C

VII.

Φλαυίου Ἰωσήπου ἱστορία Ἰουδαϊκοῦ πολέμου πρὸς Ῥωμαίους βιβλίον ζ'.

I. 1. *Ἐπεὶ δ' οὔτε φονεύειν οὔτε διαρπάζειν εἶχεν ἡ στρατιὰ* 1
πάντων τοῖς θυμοῖς ἐπιλειπόντων, οὐ γὰρ δή γε φειδοῖ τινος
ἔμελλον ἀφέξεσθαι δρᾶν ἔχοντες, κελεύει Καῖσαρ ἤδη τήν τε πόλιν
ἅπασαν καὶ τὸν νεὼν κατασκάπτειν, πύργους μὲν ὅσοι τῶν ἄλλων
ὑπερανειστήκεσαν καταλιπόντας, Φασάηλον Ἱππικὸν Μαριάμμην,
τεῖχος δ' ὅσον ἦν ἐξ ἑσπέρας τὴν πόλιν περιέχον, τοῦτο μέν, ὅπως 2
εἴη τοῖς ὑπολειφθησομένοις φρουροῖς στρατόπεδον, τοὺς πύργους
δέ, ἵνα τοῖς ἔτειτα σημαίνωσιν οἵας πόλεως καὶ τίνα τρόπον ὀχυ-
ρᾶς οὕτως ἐκράτησεν ἡ Ῥωμαίων ἀνδραγαθία. τὸν δ' ἄλλον ἅπαν- 3
τα τῆς πόλεως περίβολον οὕτως ἐξωμάλισαν οἱ κατασκάπτοντες,
ὡς μηδεπώποτ' οἰκηθῆναι πίστιν ἂν ἔτι παρασχεῖν τοῖς προσελ-
θοῦσι. τοῦτο μὲν οὖν τὸ τέλος ἐκ τῆς τῶν νεωτερισάντων ἀνοίας 4
Ἱεροσολύμοις ἐγένετο, λαμπρᾶ τε πόλει καὶ παρὰ πᾶσιν ἀνθρώ-
ποις διαβοηθείσῃ.

AMLVRCLat

Titulos praemittunt: *λογος ζ̄ φλαυίου ἰωσηπου περι ἀλώσεως ἰουδαϊκῆς ἱστορίας* A *ἰωσήπου περὶ ἁλωσεως ἰουδαϊκῆς ἱστορίας λόγος ζ̄* M *τοῦ αὐτοῦ περι ἁλώσεως λόγος ζ'* L *φλαουίου* (om. VR) *ἰωσήπου περὶ ἀλώσεως λόγος ζ̄* VRC; de Lat uide libri sexti initium 1 i. marg. *α'* C *δὲ* MLVRC *ἁρπάζειν* R *στρατ · ιᾶ* A 2 *ἐπιλιπόντων* MVRC *τινὸς*] *τονὸσ* L 3 *ἤμελλον* L *ἀφέξεσθ · ·* C *ἤδη* om. A *τε* om. R 5 *ὑπερανεστήκεσαν* LC *προανειστήκεσαν* M *καταλειπόντας* A *καταλιπόντεσ* LC *καταλιπόντασ, ασ* ex corr. V *μαριάμην* M 6 *τείχουσ* LLat *δὲ* VR 7 *φρουροῖς*] *φρουρεῖν* L et ut uid. Lat 8 *τοῖς ἔπειτα*] *τοὺσ μετέπειτα* L *καὶ τίνα — 9 οὕτως*] *quamue munitissimam* Lat *ἐχυρᾶσ* VR 9 *οὕτως*] om. L *ὅμως* Destinon et Niese *δὲ* MVR 11 *μηδεπώποθ'* ex *μηδέπω πόθ'* corr. A *μηδεπώποτε* MVR *προελθοῦσι* VRC 12 *τὸ* om. LVRC

2. Καῖσαρ δὲ φυλακὴν μὲν αὐτόθι καταλιπεῖν ἔγνω τῶν τα-
γμάτων τὸ δέκατον καὶ τινας ἴλας ἱππέων καὶ λόχους πεζῶν, πάντα
δ' ἤδη τὰ τοῦ πολέμου διῳκηκὼς ἐπαινέσαι τε σύμπασαν ἐπόθει
τὴν στρατιὰν ἐπὶ τοῖς κατορθώμασιν καὶ τὰ προσήκοντα γέρα τοῖς
6 ἀριστεύσασιν ἀποδοῦναι. ποιηθέντος οὖν αὐτῷ μεγάλου κατὰ μέ- 5
σην τὴν πρότερον παρεμβολὴν βήματος, καταστὰς ἐπὶ τοῦτο μετὰ
τῶν ἡγεμόνων εἰς ἐπήκοον ἁπάσῃ τῇ στρατιᾷ ἔλεγε χάριν μὲν
πολλὴν ἔχειν αὐτοῖς τῆς πρὸς αὐτὸν εὐνοίας, ἣν χρώμενοι διατε-
7 λοῦσιν· ἐπῄνει δὲ τῆς ἐν παντὶ πολέμῳ πειθαρχίας, ἣν ἐν πολλοῖς
καὶ μεγάλοις κινδύνοις ἅμα τῇ κατὰ σφᾶς ἀνδρείᾳ παρέσχον, τῇ 10
μὲν πατρίδι καὶ δι' αὐτῶν τὸ κράτος αὔξοντες, φανερὸν δὲ πᾶ-
σιν ἀνθρώποις καθιστάντες, ὅτι μήτε πλῆθος πολεμίων μήτε χω-
ρίων ὀχυρότητες ἢ μεγέθη πόλεων ἢ τῶν ἀντιτεταγμένων ἀλόγιστοι
τόλμαι καὶ θηριώδεις ἀγριότητες δύναιντ' ἄν ποτε τὴν Ῥωμαίων
ἀρετὴν διαφυγεῖν, κἂν εἰς πολλά τινες τὴν τύχην εὕρωνται συνα- 15
8 γωνιζομένην. καλὸν μὲν οὖν ἔφη καὶ τῷ πολέμῳ τέλος αὐτοὺς
ἐπιθεῖναι πολλῷ χρόνῳ γενομένῳ· μηδὲ γὰρ εὔξασθαί τι τούτων
9 ἄμεινον, ὅτ' εἰς αὐτὸν καθίσταντο· τούτου δὲ κάλλιον αὐτοῖς καὶ
λαμπρότερον ὑπάρχειν, ὅτι τοὺς ἡγησομένους καὶ τῆς Ῥωμαίων
ἀρχῆς ἐπιτροπεύσοντας αὐτῶν χειροτονησάντων εἴς τε τὴν πατρίδα 20
προπεμψάντων ἅσμενοι πάντες προσίενται καὶ τοῖς ὑπ' αὐτῶν
10 ἐγνωσμένοις ἐμμένουσι, χάριν ἔχοντες τοῖς ἑλομένοις. θαυμάζειν
μὲν οἷν ἔφη πάντας καὶ ἀγαπᾶν, εἰδὼς ὅτι τοῦ δυνατοῦ τὴν προ-
11 θυμίαν οὐδεὶς ἔσχε βραδυτέραν· τοῖς μέντοι διαπρεπέστερον ἀγω-
νισαμένοις ὑπὸ ῥώμης πλείονος καὶ τὸν μὲν αὐτῶν βίον ἀριστείαις 25

AMLVRC Lat

1 καταλειπεῖν A τῶν iterauit R 2 ἴλας AMC εἰλας (sic) L εἴλας V¹ εἰλὰς R 3 δὲ VRC i. marg. β' C 4 κατορθωμένοις LR¹C κατωρθωμένοις V et ex corr. R γέρα, γε i. ras. 3 litt. A γέρρα LC 5 μέσον L 6 πρότερον, ον ex αν corr. A τούτω VRC τούτου Niese 7 ἡγεμόνων] ἡγεμονικωτάτων LLat στρατιᾶ, ι ex ει corr. A μὲν] μὲν ἔφη L 9 παντὶ τῷ πολέμῳ Herwerden ἣν — 10 παρέσχον] quodque proeliando fortitudinem in multis magnisque periculis demonstrassent Lat 10 κατὰ σφᾶς] κατὰ τὰσ μάχασ L ἀνδρεία, εἰ ex corr. A ἀνδρία V²C 11 δι' ex δ' corr. A 14 τόλμαι] L ὁρμαὶ AMVRC audacia Lat δύναιντ' ἄν] ex δύναιταν corr. man. recens L δύναιτ' ἄν V 15 διαφεύγειν A κἂν ex καὶ corr. man. recens L εἰς om. L εὕρηνται L συναγωνισαμένην L 16 post ἔφη una litt. deleta L τῷ] τὸ τῷ Destinon 17 ἐπιθῆναι R¹C πολλῷ] πολλῶ γε L πολλῷ χρόνῳ] πολυχρονίῳ Bekker τοῦτον C 18 ὅτε MVR 19 τοὺς] του, υ adrasum C τὴν ῥωμαίων ἀρχὴν L fort. recte 20 ἐπιτροπεύσαντασ AVR αὐτῶν] αὐτὸν M 21 προίενται MR 25 αὐτῶν ALVR ἑαυτῶν C

κεκοσμηκόσι, τὴν δ' αὐτοῦ στρατείαν ἐπιφανεστέραν διὰ τῶν κατορθωμάτων πεποιηκόσιν ἔφη τὰ γέρα καὶ τὰς τιμὰς εὐθὺς ἀποδώσειν, καὶ μηδένα τῶν πλέον τοῦ πονεῖν ἑτέρου θελησάντων τῆς δικαίας ἀμοιβῆς ἁμαρτήσεσθαι. πλείστην γὰρ αὐτῷ τούτου γενήσεσθαι 12
τὴν ἐπιμέλειαν, ἐπεὶ καὶ μᾶλλον ἐθέλειν τὰς ἀρετὰς τιμᾶν τῶν συστρατευομένων ἢ κολάζειν τοὺς ἁμαρτάνοντας.

3. Εὐθέως οὖν ἐκέλευσεν ἀναγινώσκειν τοῖς ἐπὶ τοῦτο τεταγ- 13
μένοις ὅσοι τι λαμπρὸν ἦσαν ἐν τῷ πολέμῳ κατωρθωκότες. καὶ 14
κατ' ὄνομα καλῶν ἐπῄνει τε παριόντας ὡς ἂν ὑπερευφραινόμενός
τις ἐπ' οἰκείοις κατορθώμασι καὶ στεφάνους ἐπετίθει χρυσοῦς, περιαυχένιά τε χρυσᾶ καὶ δόρατα μικρὰ χρυσᾶ καὶ σημαίας ἐδίδου πεποιημένας ἐξ ἀργύρου, καὶ τὴν ἑκάστου τάξιν ἤλλαττεν εἰς τὸ 15
κρεῖττον, οὐ μὴν ἀλλὰ κἀκ τῶν λαφύρων ἄργυρον καὶ χρυσὸν ἐσθῆτάς τε καὶ τῆς ἄλλης αὐτοῖς λείας δαψιλῶς ἀπένειμε. πάντων δὲ 16
τετιμημένων ὅπως αὐτὸς ἕκαστον ἠξίωσε, τῇ συμπάσῃ στρατιᾷ ποιησάμενος εὐχὰς ἐπὶ πολλῇ κατέβαινεν εὐφημίᾳ τρέπεταί τε πρὸς θυσίας ἐπινικίους, καὶ πολλοῦ βοῶν πλήθους τοῖς βωμοῖς παρεστηκότος καταθύσας πάντας τῇ στρατιᾷ διαδίδωσιν εἰς εὐωχίαν. αὐτὸς δὲ τοῖς ἐν τέλει τρεῖς ἡμέρας συνεορτάσας τὴν μὲν ἄλλην 17
στρατιὰν διαφίησιν ᾗ καλῶς εἶχεν ἑκάστους ἀπιέναι, τῷ δεκάτῳ δὲ τάγματι τὴν τῶν Ἱεροσολύμων ἐπέτρεψε φυλακὴν οὐκέτι αὐτοὺς ἐπὶ τὸν Εὐφράτην ἀποστείλας, ἔνθα πρότερον ἦσαν. μεμνημένος 18
δέ τοῦ δωδεκάτου τάγματος, ὅτι Κεστίου στρατηγοῦντος ἐνέδωκαν τοῖς Ἰουδαίοις, τῆς μὲν Συρίας αὐτὸ παντάπασιν ἐξῄλασεν, ἣν γὰρ

AMLVRC Lat

1 δὲ VR στρατιὰν MLVRC *militiam* Lat 2 πεποιηκόσι C γέρρα (alterum ρ deleuit man. recens L) LC 3 ἑτέρου, έ ex αί corr. man. recens L πονεῖν] ποιεῖν C 4 ἁμαρτήσασθαι C γενέσθαι L 5 τῶν συστρατευομένων] ALVRLat et ex corr. M τῶν στρατευομένων M¹C 7 i. marg. γ′ C εὐθὺς L ἐκέλευεν VR τοῦτο] AL¹ τούτω MVRC et ex corr. recenti L S post λαμπρὸν expunctum ἦσοι τί λαμπρὸν M τῷ om. AMVRC κατορθωκότες AC et ex corr. R 9 παριόντας] *praesentes* Lat 10 περιέτιθει L 11 χρυσᾶ om. Lat μακρὰ MLVRCLat χρυσᾶ] καὶ χρυσᾶ L, om. Lat 12 ἐνήλλαττεν M ἤλαττεν C 13 καὶ ἐκ VRC 14 δαψιλες C 15 ὅπως — ἠξίωσε] *ut quisque se meritum praebuerat* Lat ὅπως] L. Dindorf ὅπωσ ἄν codd. Destinon αὐτὸς ἕκαστον] ἕκαστοσ αὐτῶν L αὐτὸς ἕκαστος (retento ἄν) 16 ἐπὶ, έ i. ras. A πολλὴν L εὐφημίαν L τε] s. man. recens L δὲ AM 17 πολλοῦ] πολὺ L πλῆθοσ L παρεστηκότος] περιεστηκότων L 18 ἅπαντας MLVRC δίδωσιν LC *dedit* Lat εἰς εὐωχίαν] εἰσωχίαν C 20 εἶχεν] ἔχειν LC ἑκάστου L ἀπεῖναι L i. marg. δ′ C 21 τῶν om. V οὐκέτ' C αὐτοὺς] τούτουσ L 22 ἐπὶ] ὑπὸ VRC 23 δὲ om. Lat 24 ἰουδαιοισ L αὐτὸ, ὸ i. ras. A αὐτῶ VR

τὸ παλαιὸν ἐν Ῥαφανέαις, εἰς δὲ τὴν Μελιτηνὴν καλουμένην ἀπέστειλε· παρὰ τὸν Εὐφράτην ἐν μεθορίοις τῆς Ἀρμενίας ἐστὶ καὶ
19 Καππαδοκίας. δύο δὲ ἠξίωσεν αὐτῷ μέχρι τῆς εἰς Αἴγυπτον ἀφί-
20 ξεως, τὸ πέμπτον καὶ τὸ πεντεκαιδέκατον, παραμένειν. καὶ καταβὰς ἅμα τῷ στρατῷ πρὸς τὴν ἐπὶ τῇ Θαλάττῃ Καισάρειαν εἰς ταύτην τό τε πλῆθος τῶν λαφύρων ἀπέθετο καὶ τοὺς αἰχμαλώτους προσέταξεν ἐν αὐτῇ φυλάττεσθαι· τὸν γὰρ εἰς τὴν Ἰταλίαν πλοῦν ὁ χειμὼν ἐκώλυε.

21 II. 1. Καθ' ὃ δὲ καιροῦ Τίτος Καῖσαρ τοῖς Ἱεροσολύμοις πολιορκῶν προσίδρυεν, ἐν τούτῳ νεὼς φορτίδος Οὐεσπασιανὸς �επι-
22 βὰς ἀπὸ τῆς Ἀλεξανδρείας εἰς Ῥόδον διέβαινεν. ἐντεῦθεν δὲ πλέων ἐπὶ τριήρων καὶ πάσας τὰς ἐν τῷ παράπλῳ πόλεις ἐπελθὼν εὐκταίους αὐτὸν δεχομένας, ἀπὸ τῆς Ἰωνίας εἰς τὴν Ἑλλάδα περαιοῦται κἀκεῖθεν ἀπὸ Κερκύρας ἐπ' ἄκραν Ἰαπυγίαν, ὅθεν ἤδη κατὰ γῆν
23 ἐποιεῖτο τὴν πορείαν. Τίτος δὲ ἀπὸ τῆς ἐπὶ Θαλάττῃ Καισαρείας ἀναζεύξας εἰς τὴν Φιλίππου καλουμένην Καισάρειαν ἦκε συχνόν
24 τ' ἐν αὐτῇ χρόνον ἐπέμεινεν παντοίας θεωρίας ἐπιτελῶν· καὶ πολλοὶ τῶν αἰχμαλώτων ἐνταῦθα διεφθάρησαν, οἱ μὲν θηρίοις παραβληθέντες, οἱ δὲ κατὰ πληθὺν ἀλλήλοις ἀναγκαζόμενοι χρήσασθαι πο-
25 λεμίοις. ἐνταῦθα καὶ τὴν Σίμωνος τοῦ Γιώρα σύλληψιν ἐπίθετο τοῦτον γενομένην τὸν τρόπον.

26 2. Σίμων οὗτος Ἱεροσολύμων πολιορκουμένων ἐπὶ τῆς ἄνω πόλεως ὤν, ἐπεὶ τῶν τειχῶν ἐντὸς ἦ Ῥωμαίων στρατιὰ γενομένη, πᾶσαν ἐπόρθει τὴν πόλιν, τότε τῶν φίλων τοὺς πιστοτάτους πα-

---

AMLVRC Lat Hegesippus V 49 p. 374. Zonaras I p. 549.

1 ραφανεαῖσ A ῥαφαναίαισ MLVRC *Μελιτηνὴν*] ed. Geneu. *μελιτινην* C *μελίτην* AMLVRLat 2 ἀρμενίασ A ἐστὶ] ἔτι RC 3 δ' L *αὐτῷ* ex *αὐτοὺσ* corr. C *μέχρι*, *μ* ex *ν* corr. A 4 *πεντεκαιδέκατον*] *decimam* Lat *παραμένειν*, *ει* i. ras. L 5 *θαλάττῃ*, *η* i. ras. m. 2 V *θαλάσσῃ* M *καισάρει* V¹ 8 *ἐκώλυσεν* L 9 *καθ' ὃ*] *καθ' ὃν* L *καθ' οὗ* Casaubonus *καιρὸν* L *τοῖς* om. VR 10 *ἐν τούτῳ*] *ἐπὶ* L *φ · ορτίδοσ* M *φρ̊ · · τίδοσ* (s. m. 2) V 11 *εἰσ τὴν ῥόδον* L *διέβαινεν*] *διέβαλεν* L fort. recte 12 *τριηρῶν* AMC i. marg. *ϛ'* C *εὐκτέωσ* A 13 *εἰς*] *ἐπὶ* L 14 *κἀκεῖθεν — Ἰαπυγίαν*] *egressus deinde cercyra in apuliam* (*apygiam* cod. Berol.) *delatus est* Lat *κερκύρασ*, *ρ* ante *κ* i. ras. 2 litt. V *ἐπ'*] *ἀπῆρεν ἐπ'* L *ἰαπηγνῖαν* A 15 *πορίαν* A *δ'* C *θαλάττῃ*] *τῇ θαλάσσῃ* M *θαλάττησ* L 16 *ἀναζεύξασ*, *ἀνα* i. ras. 4 litt. L *ἦκει* VRC *συχνόν τ'*] *καὶ συχνὸν* L *συχνόν τε* VR 17 *ἐπέμενε* C 18 *διεφάρησαν* R¹ 19 *οἱ* i. ras. A *ἀλλήλουσ* V¹RC 20 *Σίμωνος τοῦ Γιώρα*] *simonem* (*minorem* cod. Vat. *simonem minorem* cod. Berol.) *gorgiae filium* Lat *γηώρα* C 21 *γινομένην* L 22 *τῶν ἱεροσολύμων* L 24 *ἐπόρθη* R *πιστωτάτουσ* C

ραλαβὼν καὶ σὺν αὐτοῖς λιθοτόμοις τε καὶ τὸν πρὸς τὴν ἐργασίαν ἐπιτήδειον τούτοις σίδηρον τροφήν τε διαρκεῖν εἰς πολλὰς ἡμέρας δυναμένην, σὺν ἐκείνοις ἅπασι καθίησιν αὐτὸν εἴς τινα τῶν ἀφανῶν ὑπονόμων. καὶ μέχρι μὲν ἦν τὸ παλαιὸν ὄρυγμα, προιχώρουν 27
διʼ αὐτοῦ, τῆς στερεᾶς δὲ γῆς ὑπαντώσης ταύτην ὑπενόμευον, ἐλπίδι τοῦ ῥᾳδίου δυνήσεσθαι προελθόντες ἐν ἀσφαλεῖ ποιησάμενοι τὴν ἀνάδυσιν ἀπόσωζεσθαι. ψευδὴς δὲ τὴν ἐλπίδα διήλεγχεν 28
ἡ πεῖρα τῶν ἔργων· ὀλίγον τε γὰρ μόλις προύβαινον οἱ μεταλλεύοντες, ἥ τε τροφὴ καίτοι ταμιευομένοις ἔμελλεν ἐπιλείψειν.
τότε δὴ τοίνυν ὡς διʼ ἐκπλήξεως ἀπατῆσαι τοὺς Ῥωμαίους δυνη- 29
σόμενος λευκοὺς ἐνδιδύσκει χιτωνίσκους καὶ πορφυρᾶν ἀμπερονησάμενος χλανίδα κατʼ αὐτὸν ἐκεῖνον τὸν τόπον, ἐν ᾧ τὸ ἱερὸν ἦν πρόσθεν, ἐκ τῆς γῆς ἀνεφάνη. τὸ μὲν οὖν πρῶτον τοῖς ἰδοῦσι 30
θάμβος προσέπεσε καὶ κατὰ χώραν ἔμενον, ἔπειτα δʼ ἐγγυτέρω προσ-
ελθόντες ὅστις ἐστὶν ἤροντο. καὶ τοῦτο μὲν οὐκ ἐδήλου Σίμων 31
αὐτοῖς, καλεῖν δὲ τὸν ἡγεμόνα προσέταττεν. καὶ ταχέως πρὸς αὐτὸν δραμόντων ἦκεν Τερέντιος Ῥοῦφος· οὗτος γὰρ ἄρχων τῆς στρατιᾶς κατελέλειπτο· πυθόμενός τε παρʼ αὐτοῦ πᾶσαν τὴν ἀλήθειαν τὸν μὲν ἐφύλαττε δεδεμένον, Καίσαρι δʼ ὅπως εἴη συνειλημμένος ἐδήλου.
Σίμωνα μὲν οὖν εἰς δίκην τῆς κατὰ τῶν πολιτῶν ὠμότητος, ὧν 32
πικρῶς αὐτὸς ἐτυράννησεν, ὑπὸ τοῖς μάλιστα μισοῦσι πολεμίοις ἐποίησεν ὁ Θεός, οὐ βίᾳ γενόμενον αὐτοῖς ὑποχείριον, ἀλλʼ αὐτὸν 33
ἑκουσίως εἰς τὴν τιμωρίαν παραβαλόντα, διʼ ὃ πολλοὺς αὐτὸς ὠμῶς ἀπέκτεινε ψευδεῖς αἰτίας ἐπιφέρων τῆς πρὸς Ῥωμαίους μεταβολῆς.
οὐδὲ γὰρ διαφεύγει πονηρία Θεοῦ χόλον, οὐδὲ ἀσθενὴς ἡ δίκη, χρόνῳ δὲ 34

AMLVRC Lat Hegesippus V 49 p. 374. Zonaras I p. 549.

1 τε om. Zon τὸν, ὸ ex ῶ corr. C 2 διαρκεῖν] διαρκῆ L 3 δυναμένην] ἔτι δυναμένην L ἑαυτὸν (ο ex ω corr. V) LVRCZon ἀφανῶν om. LZon προυχώρουν, πρου ex προ corr. A προχωροῦν L 5 ὑπενόμευεν L 6 ἀσφαλῆ AC ἀσφαλεία L ποιησόμενοι ex corr. R 8 μόλις om. L 9 ἀπολείψειν AMLVR 10 δυνησόμενο·σ, eras. υ L 11 ἐνδιδύσκει] ἐνδὺσ M ἐνδιδύσκει·, eras. ν V ἐνδιδύσκειται R ἐνδιδύσκει·· (eras. uid. ται) i. marg. ascriptum ειται Lips ἐνδύεται Zon ἐμπερωνησάμενος C 12 χλανίδα] χλαμύδα LZon *chlamide* Lat 13 τῆς om. M ἰδοῦσι] εἰδῶσι A 14 δὲ VR 15 ὅστις ἐστὶν] ὅστίς τε L 17 οὕτως C 18 καταλέλειπτο LCZon τε] δὲ L *uero* Lat 19 Καίσαρι δʼ ὅπως] καίσαρί τε ὅπως τε L καίσαρι δὲ ὅπως τε VR 20 κατατὰ A 21 πικρῶς L¹ αὐτὸς, ὸσ ex ῶν corr. A ὑπὸ] ἐπὶ C probante Nabero 22 αὐτὸν LVR ἑαυτὸν C 23 τιμωρί** C περιβαλόντα RC διʼ ὅ] ed. pr. διʼ ὧν AC διʼ ὃν MLVR *propterea quod* Lat αὐτὸ·σ, eras. υ C 24 αἰτίας ἐπιφέρων] ἀπεφερεν (εν ex ων corr.) αἰτίασ C 25 οὐδὲ] οὐ LVRC οὐδὲ] οὐκ L ἀσθενὴς ἡ] ἀσθενήσει VR *inualida res* Lat

μέτεισι τοὺς εἰς αὐτὴν παρανομήσαντας καὶ χείρω τὴν τιμωρίαν
ἐπιφέρει τοῖς πονηροῖς, ὅτι καὶ προσεδόκησαν αὐτῆς ἀπηλλάχθαι
μὴ παραυτίκα κολασθέντες. ἔγνω τοῦτο καὶ Σίμων εἰς τὰς Ῥω-
35 μαίων ὀργὰς ἐμπεσών. ἡ δ' ἐκείνου γῆθεν ἄνοδος πολὺ καὶ τῶν
ἄλλων στασιαστῶν πλῆθος ὑπ' ἐκείνας τὰς ἡμέρας ἐν τοῖς ὑπονό- 5
36 μοις φωραθῆναι παρεσκεύασε. Καίσαρι δὲ εἰς τὴν παράλιον ἐπαν-
ελθόντι Καισάρειαν Σίμων προσήχθη δεδεμένος· κἀκεῖνον μὲν εἰς
ὃν ἐπιτελεῖν ἐν Ῥώμῃ παρεσκευάζετο θρίαμβον προσέταξε φυλάττειν.
37 III. 1. Διατρίβων δ' αὐτόθι τὴν τἀδελφοῦ γενέθλιον ἡμέ-
ραν ἐπιφανῶς ἑώρταζε, πολὺ καὶ τῆς τῶν Ἰουδαίων κολάσεως εἰς 10
38 τὴν ἐκείνου τιμὴν ἀνατιθείς. ὁ γὰρ ἀριθμὸς τῶν ἔν τε ταῖς πρὸς
τὰ θηρία μάχαις καὶ τῶν καταπιμπραμένων ἔν τε ταῖς ἀλληλο-
κτονίαις ἀναιρουμένων πεντακοσίους ἐπὶ τοῖς δισχιλίοις ὑπερέβαλε.
πάντα μέντοι Ῥωμαίοις ἐδόκει ταῦτα μυρίοις αὐτῶν ἀπολλυμένων
39 τρόποις ἐλάττων κόλασις εἶναι. μετὰ τοῦτο Καῖσαρ εἰς Βηρυτὸν 15
ἦκεν· ἡ δ' ἐστὶν ἐν τῇ Φοινίκῃ πόλις Ῥωμαίων ἄποικος· κἀν-
ταῦθα χρονιωτέραν ἐποιήσατο τὴν ἐπιδημίαν πλείονι χρώμενος
τῇ λαμπρότητι περὶ τὴν τοῦ πατρὸς ἡμέραν γενέθλιον ἔν τε ταῖς
τῶν θεωριῶν πολυτελείαις καὶ κατὰ τὴν ἄλλην ἐπίνοιαν τῶν ἄλλων
40 ἀναλωμάτων. τὸ δὲ τῶν αἰχμαλώτων πλῆθος τὸν αὐτὸν τρόπον 20
ὡς πρόσθεν ἀπώλλυτο.
41 2. Γενέσθαι δὲ συνέβη περὶ τὸν καιρὸν τοῦτον καὶ τοῖς ἐν
Ἀντιοχείᾳ τῶν Ἰουδαίων ὑπολειπομένοις ἐγκλήματα καὶ κίνδυνον
ὀλέθρου τῆς πόλεως ἐπ' αὐτοὺς τῶν Ἀντιοχέων ἐκταραχθείσης

AMLVRC Lat Zonaras I p. 550.

2 ἐπιφέρεισ C¹ ὅτι καὶ] *cum iam* Lat, unde ὅτε καὶ Niese 4 ὀργὰς] ἀρχὰς C δὲ VRC ἄνοδος] ἀνάδυσις Zon 5 ἐν τοῖς ὑπονόμοις om. M 6 δ' LC (ἐπα)‖νελθόντι — § 49 νομίζον‖(τες) folio uno exciso suppleta sunt manu saeculi XVI aut XVII in A ἐπανελθόντι] ἐπανήκοντι A παρελθόντι LC *reuerso* Lat 8 προσέταξε] ἔταξε L i. marg. η' C 9 δὲ ALVR τοῦ ἀδελφοῦ ALVR Domitiani dies natalis erat VIIII k. Nouembr. 10 ἐπιφανῶν C κολάσεωσ, ωσ ex ων corr. C 11 τῶν — 12 μάχαις] *eorum qui cum bestiis depugnarunt* Lat ταῖς] suppl. m. 2 L τῆσ MVRC 12 μάχησ MVRC καὶ τῶν καταπιμπραμένων uix tolerari possunt et fort. u. 13 post ἀναιρουμένων collocanda sunt καταπιπραμένων C ταῖς] τῆσ C 13 ὑπερέβαλλε AC 14 ῥωμαίων L 15 ἐλάττω L¹ ἐλάττον C κολάσεισ R καίσαρ εἰσ ex καισαρεῖσ corr. m. 2 L 16 δὲ VRC ἐποιήσατο, ἡ s. C 17 πλείον R 18 Vespasiani natalis erat XV. k. Decembr. κατὰ] ταῖσ κατὰ, ταῖσ deletum A κατὰ — 20 ἀναλωμάτων] *sumptibus aliis excogitatis* Lat, qui ἄλλην non habuisse uid.; sed potius ἄλλων spurium est 22 i. marg. θ' C 23 ἐγκλήματα — 577, 1 ὀλέθρου] *acerba et exitiosa pericula* Lat

διά τε τὰς ἐν τῷ παρόντι διαβολὰς αὐτοῖς ἐπενεχθείσας καὶ διὰ τὰ ὑπηργμένα χρόνῳ πρόσθεν οὐ πολλῷ, περὶ ὧν ἀναγκαῖόν ἐστι 42
διὰ συντόμων προειπεῖν, ἵνα καὶ τῶν μετὰ ταῦτα πραχθέντων εὐπαρακολούθητον ποιήσωμαι τὴν διήγησιν.

3. Τὸ γὰρ Ἰουδαίων γένος πολὺ μὲν κατὰ πᾶσαν τὴν οἰκου- 43
μένην παρέσπαρται τοῖς ἐπιχωρίοις, πλεῖστον δὲ τῇ Συρίᾳ κατὰ τὴν γειτνίασιν ἀναμεμιγμένον ἐξαιρέτως ἐπὶ τῆς Ἀντιοχείας ἦν πολὺ διὰ τὸ τῆς πόλεως μέγεθος· μάλιστα δ' αὐτοῖς ἀδεᾶ τὴν ἐκεῖ κατοίκησιν οἱ μετ' Ἀντίοχον βασιλεῖς παρέσχον· Ἀντίοχος μὲν γὰρ 44
ὁ κληθεὶς Ἐπιφανὴς Ἱεροσόλυμα πορθήσας τὸν νεὼν ἐσύλησεν, οἱ δὲ μετ' αὐτὸν τὴν βασιλείαν παραλαβόντες τῶν ἀναθημάτων ὅσα χαλκᾶ πεποίητο πάντα τοῖς ἐπ' Ἀντιοχείας Ἰουδαίοις ἀπέδοσαν εἰς τὴν συναγωγὴν αὐτῶν ἀναθέντες, καὶ συνεχώρησαν αὐτοῖς ἐξ ἴσου τῆς πόλεως τοῖς Ἕλλησι μετέχειν. τὸν αὐτὸν δὲ τρόπον καὶ 45
τῶν μετὰ ταῦτα βασιλέων αὐτοῖς προσφερομένων εἴς τε πλῆθος ἐπέδωκαν καὶ τῇ κατασκευῇ καὶ τῇ πολυτελείᾳ τῶν ἀναθημάτων τὸ ἱερὸν ἐξελάμπρυναν, ἀεί τε προσαγόμενοι ταῖς θρησκείαις πολὺ πλῆθος Ἑλλήνων, κἀκείνους τρόπῳ τινὶ μοῖραν αὐτῶν πεποίηντο. καθ' ὃν δὲ καιρὸν ὁ πόλεμος ἀνακεκήρυκτο, νεωστὶ δ' εἰς τὴν 46
Συρίαν Οὐεσπασιανὸς καταπεπλεύκει, τὸ δὲ κατὰ τῶν Ἰουδαίων παρὰ πᾶσιν ἵκμαζε μῖσος, τότε δή τις Ἀντίοχος εἷς ἐξ αὐτῶν τὰ 47
μάλιστα διὰ τὸν πατέρα τιμώμενος, ἦν γὰρ ἄρχων τῶν ἐπ' Ἀντιοχείας Ἰουδαίων, τοῦ δήμου τῶν Ἀντιοχέων ἐκκλησιάζοντος εἰς τὸ θέατρον παρελθὼν τόν τε πατέρα τὸν αὐτοῦ καὶ τοὺς ἄλλους ἐνεδείκνυτο κατηγορῶν, ὅτι νυκτὶ μιᾷ καταπρῆσαι τὴν πόλιν ἅπασαν διεγνώκεισαν, καὶ παρεδίδου ξένους Ἰουδαίους τινὰς ὡς κεκοινωνηκότας τῶν βεβουλευμένων. ταῦτα ἀκούων ὁ δῆμος 48
τὴν ὀργὴν οὐ κατεῖχεν, ἀλλ' ἐπὶ μὲν τοὺς παραδοθέντας πῦρ εὐθὺς ἐκέλευον κομίζειν, καὶ παραχρῆμα πάντες ἐπὶ

PAMLVRCLatHegesippus V 51 p. 376. Zonaras I p. 551.

2 τὰ προϋπηργμένα LC 5 μὲν om. A 6 τοῖς ἐπιχωρίοις om. A ἐγχωρίοις M 7 ἐξαιρέτως] ἐξαιρέτως δὲ (δ' C) AVRC 8 δὲ AVR 10 κληθεὶς om. M νεὼν] ναὸν ALZon ἐσύλωσεν L¹ 12 χαλκᾶ L¹R χαλκοῦ L² πεποίηντο C πάντας M ἐπέδοσαν M ἀπέγνωσαν et i. marg. ἀπέδοσαν L 13 ἀναθέντες] ἀναχθέντες L 15 τε τὸ πλῆθος AVRC 16 ἐπέδωκαν] redit P; uide supra p. 563,12 18 αὐτῶν Bekker 19 δὲ] τοίνυν A ἀνεκεκήρυκτο LV ἀνεκήρυκτο C δὲ AVR 20 ἀναπεπλεύκει A τὸ δὲ] τό τε ex corr. R 23 ἐκκλησιαζόντων P ἐκκλησιασθέντων L 24 αὐτοῦ M 27 κεκοινονηκότας L¹ ταῦτα] ταῦτα δὲ (δ' LC) ALVRCLat 29 εὐθὺς om. Lat

49 τοῦ θεάτρου κατεφλέγησαν, ἐπὶ δὲ τὸ πλῆθος ὥρμητο τῶν Ἰουδαίων ἐν τῷ τάχιον ἐκείνους τιμωρίᾳ περιβαλεῖν τὴν αὐτῶν πα-
50 τρίδα σώζειν νομίζοντες. Ἀντίοχος δὲ προσεπέτεινε τὴν ὀργήν, περὶ μὲν τῆς αὐτοῦ μεταβολῆς καὶ τοῦ μεμισηκέναι τὰ τῶν Ἰουδαίων ἔθη τεκμήριον ἐμπαρέχειν οἰόμενος τὸ ἐπιθύειν ὥσπερ νόμος
51 ἐστὶ τοῖς Ἕλλησιν· ἐκέλευε δὲ καὶ τοὺς ἄλλους τὸ αὐτὸ ποιεῖν ἀναγκάζειν· φανεροὺς γὰρ γενήσεσθαι τῷ μὴ θέλειν τοὺς ἐπιβε-
52 βουλευκότας. χρωμένων δὲ τῇ πείρᾳ τῶν Ἀντιοχέων ὀλίγοι μὲν ὑπέμειναν, οἱ δὲ μὴ βουληθέντες ἀνῃρέθησαν. Ἀντίοχος δὲ στρατιώτας παρὰ τοῦ Ῥωμαίων ἡγεμόνος λαβὼν χαλεπὸς ἐφειστήκει
53 τοῖς αὐτοῦ πολίταις, ἀργεῖν τὴν ἑβδόμην οὐκ ἐπιτρέπων, ἀλλὰ βιαζόμενος πάντα πράττειν ὅσα δὴ καὶ ταῖς ἄλλαις ἡμέραις. οὕτως τε τὴν ἀνάγκην ἰσχυρὰν ἐποίησεν, ὡς μὴ μόνον ἐπ' Ἀντιοχείας καταλυθῆναι τὴν ἑβδομάδα ἀργὴν ἡμέραν, ἀλλ' ἐκεῖθεν ἀρξαμένου
54 τοῦ πράγματος κἀν ταῖς ἄλλαις πόλεσιν ὁμοίως βραχύ τινα χρόνον.
4. Τοιούτων δὴ τοῖς ἐπ' Ἀντιοχείας Ἰουδαίοις τῶν κατ' ἐκεῖνον τὸν καιρὸν κακῶν γεγενημένων δευτέρα πάλιν συμφορὰ προσ-
55 έπεσε, περὶ ἧς ἐπιχειρήσαντες ἀφηγεῖσθαι καὶ ταῦτα διεξέλθομεν. ἐπεὶ γὰρ συνέβη καταπρησθῆναι τὴν τετράγωνον ἀγορὰν ἀρχεῖά τε καὶ γραμματοφυλάκιον καὶ τὰς βασιλικάς, μόλις τε τὸ πῦρ ἐκωλύθη μετὰ πολλῆς βίας ἐπὶ πᾶσαν τὴν πόλιν περιφερόμενον, ταύτην
56 Ἀντίοχος τὴν πρᾶξιν Ἰουδαίων κατηγόρει. καὶ τοὺς Ἀντιοχεῖς, εἰ καὶ μὴ πρότερον εἶχον πρὸς αὐτοὺς ἀπεχθῶς, τάχιστα τῇ διαβολῇ παρὰ τὴν ἐκ τοῦ συμβεβηκότος ταραχὴν ὑπαχθέντας πολὺ

PAMLVRC LatSyr Hegesippus V 51 p. 376. Zonaras I p. 551.

1 ἐπὶ] ἐπεὶ ex corr. C ὥρμητο AL 2 τιμωρίᾳ] τε τιμωρία C παραβαλεῖν M αὐτῶν] ἑαυτῶν A δ' αὐτῶν C αὐτῶν Bekker 3 (νομίζον)‖τες] redit manus antiqua A δὲ om. C προσεπέτεινε, σ ex δι corr. uid. R προσεπέτειναν C 4 μὲν] μὲν οὖν A¹M αὐτοῦ Bekker 5 ἐμπαρέχειν] μὲν παρέχειν PA παρέχειν ML 6 ἐκέλευσε C δὲ om. VR et teste Herwerdeno M ταὐτὸ C 7 γενήσεσθαι] γεγενῆσθαι L 10 χαλεπῶς A¹C ἐφεστήκει L ἐφιστήκει C 11 αὐτοῦ Bekker πολίταις] πολεμίοις C ἀργεῖν τὴν] MLVRC LatZon ἀργὴν PA οὐκ ἐπιτρέπων] οὐκέτι πρέπων C 12 οὕτω VRC 14 καταλυθῆναι — ἡμέραν] (*ut*)-*septimi diei feriae soluerentur* Lat ἀργὴν] ἀργεῖν LC 15 κἀν] καὶ PAMLVR βραχύ PA¹MR 16 τοιοῦτον AL ἐπ'] ἐπὶ τῆς (τοῖς ex corr. C) MLVRC 18 ἐπιχειρήσαντας L διεξέλθομεν P διεξήλθομεν, ή i. ras. A 19 καταπρησθῆναι, ησ ex οσ corr. m. 2 L ἀρχία C 20 γραμματοφυλάκιον] τὸ γραμματοφυλάκιον M χαρτοφυλάκιον LZon γραμματοφυλακεῖον VR βασιλικάς] φυλακὰς C τε om. P 23 ἀπεχθῶς πρὸς αὐτοὺς tr. P τάχιστα] τάχισταν P τάχιστὰν A τάχιστα ἂν L 24 τὴν ἐκ om. C

μᾶλλον ἐκ τῶν προϋπηργμένων τοῖς ὑπ' αὐτοῦ λεγομένοις πιστεύειν παρεσκεύασεν, ὡς μόνον οὐκ αὐτοὺς τὸ πῦρ ἐνιέμενον ὑπὸ τῶν Ἰουδαίων ἑωρακότας. καὶ καθάπερ ἐμπαντεῖς γεγενημένοι μετὰ πολ- 57
λοῦ τινος οἴστρου πάντες ἐπὶ τοὺς διαβεβλημένους ὥρμηντο. μόλις 58
δ' αὐτῶν ἐδυνήθη τὰς ὁρμὰς ἐπισχεῖν Ναῖος Κολλήγας τις πρεσβευτής, ἀξιῶν ἐπιτρέψαι Καίσαρι διιλωθῆναι περὶ τῶν γεγονότων· τὸν γὰρ ἡγεμονεύοντα τῆς Συρίας Καισέννιον Παῖτον ἤδη μὲν Οὐε- 59
σπασιανὸς ἐξαπεστάλκει, συνέβαινε δὲ παρεῖναι μηδέπω. τοιού- 60
μενος δὲ ἐπιμελῆ τὴν ἀναζήτησιν ὁ Κολλήγας ἐξεῦρε τὴν ἀλήθειαν. καὶ τῶν μὲν τὴν αἰτίαν ὑπ' Ἀντιόχου λαβόντων Ἰουδαίων οὐδεὶς οὐδ' ἐκοινώνησεν. ἅπαν δὲ τοὔργον ἔπραξαν ἄνθρωποί τινες ἀλι- 61
τήριοι διὰ χρεῶν ἀνάγκας νομίζοντες, εἰ τὴν ἀγορὰν καὶ τὰ δημόσια καταπρήσειαν γράμματα, τῆς ἀπαιτήσεως ἀπαλλαγὴν ἕξειν. Ἰουδαῖοι μὲν οὖν ἐπὶ μετεώροις ταῖς αἰτίαις τὸ μέλλον ἔτι καραδο- 62
κοῦντες ἐν φόβοις χαλεποῖς ἀπεσάλευον.

IV. 1. Τίτος δὲ Καῖσαρ τῆς περὶ τοῦ πατρὸς ἀγγελίας αὐτῷ 63
κομισθείσης, ὅτι πάσαις μὲν ποθεινὸς ταῖς κατὰ τὴν Ἰταλίαν πόλεσιν ἐπῆλθεν, μάλιστα δ' ἡ Ῥώμη μετὰ πολλῆς αὐτὸν ἐδέξατο προθυμίας καὶ λαμπρότητος, εἰς πολλὴν χαρὰν καὶ θυμηδίαν ἐτράπετο, τῶν περὶ αὐτοῦ φροντίδων ὡς ἥδιστον ἦν ἀπηλλαγμένος. Οὐεσπασιανὸν γὰρ ἔτι μὲν καὶ μακρὰν ἀπόντα πάντες οἱ κατὰ τὴν 64
Ἰταλίαν ἄνθρωποι ταῖς γνώμαις περιεῖπον ὡς ἥκοντα, τὴν προσδοκίαν ἐκ τοῦ πάνυ θέλειν ἄφιξιν αὐτοῦ νομίζοντες καὶ πάσης

PAMLVRCLat Zonaras I p. 552.

1 *προϋπηργμένων, ηργ* ex *ηγ* corr. m. 2 L 2 *αὐτοὺς*] PAMLat *ἐπ' αὐτοὺς* LVRC *ἐνιέμενον, έ* i. ras. 2 litt. A 3 *γεγενημένοι*] ex *γενόμενοι* corr. A *γεγεννημένοι* P *μετὰ, με* i. ras. (ε ex *α* corr.) A 4 *τινος*] *τινὲς* L 5 *δὲ* VR *ηδυνήθη* L *ἠδυνήθη* ex *εἰδυνήθη* aut *ἐδυνήθη* corr. R *Ναῖος — πρεσβευτὴς*] *collega adhuc iuuenis legatus* Lat *Ναῖος*] Niese *νέος ὢν* PA *νέος* MLVC *νεὸς* R *Κνέος* Hudson *Γναῖος* Bekker; *Ναῖος* extat etiam Ant. Iud. XIX 166 *κολληγὰς* A *πρεσβύτης* L *δηλωθῆναι* damnat Herwerden 7 *ἡγεμονεύοντα* Herwerden *καισσένιον* PA *κεσσένιον* ML *κεσέννιον* VR *κεσένιον* C *cesennium* Lat *Παῖτον*] Hudson *πέτον* PAMLR *πέ·τον* V *πέττον* C *priscum* Lat 9 *δ'* LC *ἀναζήτησιν*] *ζήτησιν* AMLVRCZon 10 *καὶ*] *ὡς* Destinon *λαβόντων ἰουδαίων ὑπ' ἀντιόχου* tr. L 11 *οὐδ'*] *οὐδὲ* VR *ἀλιτήριοι* V¹C 12 *εἰ*] *εἰσ* A¹M¹L¹R¹C 13 *γράμματα*] *γραμματεῖα* Zon *ἀπαλλαγὴν*] *τὴν ἀλλαγὴν* C 14 *οὖν* i. marg. suppl. A *μετ ε ώροις* A 15 *ἐν* euan. P 16 *τῆς*] *τῆσ τε* L 17 *κατὰ*] *περὶ* L 18 *ἐπανῆλθε* Herwerden *δὲ* VR *Ῥώμη*] *ῥωμαίων* M haud male *αὐτὸν, ὸν* ex *ῶν* corr. m. 2 ut uid. L 19 *θυμηδείαν* V¹R *ἐτρεπετο* A *αὐτοῦ*] *αὐτὸν* L 20 *ἦν* om. LVR 21 i. marg. *ι'* C *οὐεσπασιανὸν, ν* ex *σ* corr. uid. P

65 ἀνάγκης ἐλευθέραν τὴν πρὸς αὐτὸν ἔχοντες εὔνοιαν. τῇ τε γὰρ
βουλῇ κατὰ μνήμην τῶν γεγενημένων ἐν ταῖς τῶν ἡγεμόνων μετα-
βολαῖς συμφορῶν εὐκταῖον ἦν ἀπολαβεῖν ἡγεμόνα γήρως σεμνότητι
καὶ πράξεων ἀκμῇ πολεμικῶν κεκοσμημένον, ᾧ τὴν ὑπεροχὴν πρὸς
66 μόνην ἠτίσαντο τὴν τῶν ἀρχομένων σωτηρίαν ἐσομένην. καὶ μὴν 5
ὁ δῆμος ὑπὸ τῶν ἐμφυλίων κακῶν τετρυχωμένος ἔτι μᾶλλον ἐλθεῖν
αὐτὸν ἔσπευδε, τότε δὴ βεβαίως μὲν ἀπαλλαγήσεσθαι τῶν συμφο-
ρῶν ὑπολαμβάνων, ἀπολήψεσθαι δὲ τὴν ἄδειαν μετὰ τῆς εὐετηρίας
67 πεπιστευκώς. ἐξαιρέτως δὲ τὸ στρατιωτικὸν εἰς αὐτὸν ἀφεώρα·
μάλιστα γὰρ οὗτοι τῶν κατορθωμένων αὐτῷ πολέμων ἐγίνωσκον 10
τὸ μέγεθος, τῆς ἀπειρίας δὲ τῶν ἄλλων ἡγεμόνων καὶ τῆς ἀναν-
δρίας πεπειραμένοι πολλῆς μὲν αἰσχύνης αὐτοὺς ἐπεθύμουν ἀπηλ-
λάχθαι, τὸν μόνον δὲ καὶ σώζειν αὐτοὺς καὶ κοσμεῖν δυνάμενον
68 ἀπολαβεῖν ηὔχοντο. τοιαύτης δὲ εὐνοίας ἐξ ἁπάντων ὑπαρχούσης
τοῖς μὲν κατὰ τὰς ἀξιώσεις προύχουσι τῶν ἀνδρῶν οὐκέτ' ἀνεκτὸν 15
ἦν ἀναμένειν, ἀλλὰ πορρωτάτω τῆς Ῥώμης αὐτῷ προεντυχεῖν ἔσπευ-
69 δον. οὐ μὴν οὐδὲ τῶν ἄλλων τις ἠνείχετο τῆς ἐντεύξεως τὴν ἀνα-
βολήν, ἀλλ' οὕτως ἐξεχέοντο πάντες ἀθρόοι καὶ πᾶσιν εὐπορώτερον
καὶ ῥᾷον ἐδόκει τοῦ μένειν τὸ ἀπιέναι, ὡς καὶ τὴν πόλιν αὐτὴν
τότε πρῶτον ἐν ἑαυτῇ λαβεῖν ὀλιγανθρωπίας αἴσθησιν ἰδίαν· ἦσαν 20
70 γὰρ ἐλάττους τῶν ἀπιόντων οἱ μένοντες. ἐπεὶ δὲ προσιὼν ἠγγέλ-
λετο, καὶ τὴν ἡμερότητα τῆς ἐντεύξεως αὐτοῦ τὴν πρὸς ἑκάστους
ἐδήλουν οἱ προσελθόντες, ἅπαν ἤδη τὸ λοιπὸν πλῆθος ἅμα γυναιξὶ
71 καὶ παισὶν ἐπὶ ταῖς παρόδοις ἐξεδέχετο, καὶ καθ' οὓς γένοιτο παρ-
ιὼν οὗτοι πρὸς τὴν ἡδονὴν τῆς θέας καὶ τὸ μειλίχιον αὐτοῦ τῆς 25
ὄψεως παντοίας ἠφίεσαν φωνάς, τὸν εὐεργέτην καὶ σωτῆρα καὶ
μόνον ἄξιον ἡγεμόνα τῆς Ῥώμης ἀνακαλοῦντες· ἅπασα δ' ἡ πόλις

PAMLVRC Lat

1 *ἐλευθέραν*] *εὐθέραν*, i. marg. ascripto *ελ* A 3 *εὐκτέον* PA 4 *πολεμικῶσ* VRC 6 *τετρυμένος* L. Dindorf 8 *ὑπολαμβάνων*] om. Lat *ὑπελάμβανεν* PLVR *τὴν ἄδειαν*] *antiquam — libertatem* Lat 10 *οὗτοι, τοι* s. A *κατορθωμένων* PA *κατορθωμάτων* V *ἐγίγνωσκον* L 11 *ἀνανδρείασ* PV¹RC 12 *ἑαυτοὺσ* M *ἀπηλάχθαι* C 13 *μόνον*] *μο·νον* (*ον* i. ras.) A *δυνάμενον, ον* ex *οσ* corr. m. 2 L 14 *τοσαύτησ* L *δ'* LC 15 *οὐκέτι* LVR *ἀνεκτὸν, ε* ex *α* corr. A 16 *αὐτῶν* L¹ 17 *οὐ — τισ*] *nec tamen quisquam* Lat 18 *ἀθρόοι* VR 19 *τὸ*] *τὸ·* (eras. uid. *ῡ*) A 20 *τότε* euan. P *ἰδίαν*] *ἰδία** P *iucundam* Lat, unde *ἡδεῖαν* Hudson, spurium putat Cardwell 21 *ἐπεὶ δὲ*] *ἐπειδὴ* C *προιὼν* L¹ *ἠγγέλετο* C 23 *προελθόντεσ* LLat 24 *καὶ, κ* ex *ν* corr. P *ταῖς*] *τοῖσ* PL *παρόδοις*] *παραδόξοισ* L *ἐξεδέχοντο* ex cod. Voss. Dindorf *γίνοιτο* AVRC 25 *οὗτοι* om. LVRC 27 *ἀποκαλοῦντες* ed. pr. *δὲ* PVR

ὡς νεὼς ἦν στεφανωμάτων καὶ θυμιαμάτων ἀνάπλεως. μόλις δ' 72
ὑπὸ πλήθους τῶν περὶ αὐτὸν ἱσταμένων δυνηθεὶς εἰς τὸ βασίλειον
ἐλθεῖν αὐτὸς μὲν τοῖς ἔνδον θεοῖς θυσίας τῆς ἀφίξεως χαριστηρίους
ἐπετέλει. προτρέπεται δὲ τὰ πλήθη πρὸς εὐωχίαν καὶ κατὰ φυλὰς 73
καὶ γένη καὶ γειτονίας κοινούμενοι τὰς ἑστιάσεις ηὔχοντο τῷ θεῷ
σπένδοντες αὐτόν τ' ἐπὶ πλεῖστον χρόνον Οὐεσπασιανὸν ἐπιμεῖναι
τῇ Ῥωμαίων ἡγεμονίᾳ, καὶ παισὶν αὐτοῦ καὶ τοῖς ἐξ ἐκείνων ἀεὶ
γινομένοις φυλαχθῆναι τὸ κράτος ἀνανταγώνιστον. ἡ μὲν οὖν Ῥω- 74
μαίων πόλις οὕτως Οὐεσπασιανὸν ἐκδεξαμένη προθύμως εὐθὺς εἰς
πολλὴν εὐδαιμονίαν ἐπεδίδου.

2. Πρὸ δὲ τούτων τῶν χρόνων, ἐν οἷς Οὐεσπασιανὸς μὲν περὶ 75
Ἀλεξάνδρειαν ἦν, Τίτος δὲ τῇ τῶν Ἱεροσολύμων προσήδρευε πο-
λιορκίᾳ, πολὺ μέρος Γερμανῶν ἐκινήθη πρὸς ἀπόστασιν, οἷς καὶ 76
Γαλατῶν οἱ πλεῖστοι συμφρονήσαντες κοινῇ μεγάλας ἐλπίδας αὐτοῖς
συνέθεσαν ὡς καὶ τῆς Ῥωμαίων ἀπαλλαξόμενοι δεσποτείας. ἐπῆρε 77
δὲ τοὺς Γερμανοὺς ἅψασθαι τῆς ἀποστάσεως καὶ τὸν πόλεμον ἐξε-
νεγκεῖν πρώτη μὲν ἡ φύσις οὖσα λογισμῶν ἔρημος ἀγαθῶν καὶ
μετὰ μικρᾶς ἐλπίδος ἑτοίμως ῥιψοκίνδυνος· ἔπειτα δὲ καὶ μῖσος 78
τὸ πρὸς τοὺς κρατοῦντας, ἐπεὶ μόνοις ἴσασι Ῥωμαίοις τὸ γένος
αὐτῶν δουλεύειν βεβιασμένον. οὐ μὴν ἀλλὰ μάλιστά γε πάντων ὁ
καιρὸς αὐτοῖς θάρσος ἐνεποίησεν· ὁρῶντες γὰρ τὴν Ῥωμαίων ἀρχὴν 79
ταῖς συνεχέσι τῶν αὐτοκρατόρων ἀλλαγαῖς ἐν ἑαυτῇ τεταραγμένην,
πᾶν τε μέρος τῆς ὑπ' αὐτοῖς οἰκουμένης πυνθανόμενοι μετέωρον
εἶναι καὶ κραδαίνεσθαι, τοῦτον σφίσιν αὐτοῖς ἄριστον ὑπὸ τῆς
ἐκείνων κακοπραγίας καὶ στάσεως καιρὸν ᾠήθησαν παραδεδόσθαι.
ἐνῆγον δὲ τὸ βούλευμα καὶ ταύταις αὐτοὺς ταῖς ἐλπίσιν ἐτίφουν 80

PAMLVRC Lat

1 *ἀνάπλεοσ* A *δὲ* VR 4 *προτρέπεται*] *τρέπεται* LVRC *uertunt — se* Lat *πλήθει* AM 5 *ἑστιάσεισ, τ* i. ras. ex *θ* corr. uid. A *θεῷ* suppl. A 6 *τ'*] ex *δ'* corr. A *τε* LVRC *ἐπὶ* om. L 7 *ἐκείνων*] *αὐτοῦ* C 8 *ἀκαταγώνιστον* Dindorf *οὖν* om. LVR 11 *πρὸσ* C *τῶν*] *ἔτι τῶν* C *μὲν* om. A 12 *τῆτοσ* C 14 *πλεῖστοι*] *πλησίον* LVRC *proximi* Lat *γρ καὶ πλησίον* i. marg. M; cf. Tac. hist. IV 25 *συμφωνήσαντεσ* AL *μεγάλασ*] *μέγα-*, eras. *σ*, i. marg. suppl. *λασ* A *αὐτοῖς*] om. Lat *αὐτοῖσ* Bekker 15 *δεσποτίασ* P *ἐπῆρε, ῆ* i. ras. A 16 *δὲ τοὺσ*] PAMLat *δ' αὐτοὺσ* L¹C *δ' αὐτοὺσ τοὺσ* L² *δὲ αὖ τοὺσ* VR *Γερμανοὺς* eicit Herwerden probato *δ' αὐτοὺς* 17 *πρῶτον* L 18 *ἔπιτα* A 19 *τὸ* om. VR *ἐπεὶ* — 20 *βεβιασμένον*] *quoniam soli sciunt prae ceteris gentem suam ui coactam seruire romanis* Lat *ἴσασι*] *ἴασισ* C 20 *βεβιασμένον*] *βεβιασμένων* L¹ *βιασαμένοισ* VRC *ἀλλά γε μάλιστα* tr. PAM 21 *καιρὸσ*] *καῖσαρ* VR 23 *τῆς*] *τοῖσ* PA¹ *αὐτοῖς*] *αὐτην* L² *πυθόμενοι* VR 24 *ἄριστον αὐτοῖσ* tr. L

Κλασσικός τις καὶ Οὐίτιλλος τῶν παρ' αὐτοῖς [ὄντες] ἡγεμόνων,
81 *οἳ δῆλον μὲν ὡς ἐκ μακροῦ ταύτης ἐφίεντο τῆς νεωτεροποιίας, ὑπὸ*
τοῦ καιροῦ δὲ θαρσῆσαι προαχθέντες τὴν αὐτῶν γνώμην ἐξέφηναν·
ἔμελλον δὲ προθύμως διακειμένοις τὴν πεῖραν τοῖς πλήθεσι προσ-
82 *φέρειν. πολλοῦ δὲ μέρους ἤδη τῶν Γερμανῶν τὴν ἀποστασίαν ἀνω-*
μολογηκότος καὶ τῶν ἄλλων οὐκ ἄνδιχα φρονησάντων, ὥστερ ἐκ
δαιμονίου προνοίας Οὐεσπασιανὸς πέμπει γράμματα Πετιλίῳ Κε-
ρεαλίῳ τὸ πρότερον ἡγεμόνι Γερμανίας γενομένῳ, τὴν ὕπατον διδοὺς
83 *τιμὴν καὶ κελεύων ἄρξοντα Βρεττανίας ἀπιέναι. πορευόμενος οὖν*
ἐκεῖνος ὅποι προσετέτακτο καὶ τὰ περὶ τὴν ἀπόστασιν τῶν Ger-
μανῶν πυθόμενος, ἤδη συνειλεγμένοις αὐτοῖς ἐπιπεσὼν καὶ παρα-
ταξάμενος πολύ τε πλῆθος αὐτῶν ἀναιρεῖ κατὰ τὴν μάχην καὶ τῆς
84 *ἀνοίας παυσαμένους ἠνάγκασε σωφρονεῖν. ἔμελλον δὲ κἀκείνου μὴ*
θᾶττον εἰς τοὺς τόπους παραβαλόντος δίκην οὐκ εἰς μακρὰν ὑφέ-
85 *ξειν· ἡνίκα γὰρ πρῶτον ἡ τῆς ἀποστάσεως αὐτῶν ἀγγελία τῇ Ῥώμῃ*
προσέπεσε, Δομετιανὸς Καῖσαρ πυθόμενος οὐχ ὡς ἂν ἕτερος ἐν
τούτῳ τῆς ἡλικίας, νέος γὰρ ἦν ἔτι παντάπασιν, τηλικοῦτον ἄρασθαι
86 *μέγεθος πραγμάτων ὤκνησεν, ἔχων δὲ πατρόθεν ἔμφυτον τὴν ἀν-*
δραγαθίαν καὶ τελειοτέραν τὴν ἄσκησιν τῆς ἡλικίας πεποιημένος
87 *ἐπὶ τοὺς βαρβάρους εὐθὺς ἤλαυνεν. οἱ δὲ πρὸς τὴν φήμην τῆς*
ἐφόδου καταπλαγέντες ἐπ' αὐτῷ σφᾶς αὐτοὺς ἐποιήσαντο μέγα τοῦ
φόβου κέρδος εἰράμενοι τὸ χωρὶς συμφορῶν ὑπὸ τὸν αὐτὸν πάλιν
88 *ζυγὸν ὑπαχθῆναι. πᾶσιν οὖν ἐπιθεὶς τοῖς περὶ τὴν Γαλατίαν τάξιν*

PAMLVRC Lat

σ

1 *κλασσικός* A *κλάσσικός* MV *Οὐίτιλλος*] *οὐϊτίλλιος* L *bailis* cod. Berol. (om. cod. Vat. relicto uacuo spatio) Lat *Cinilis* Gelenius *ὄντες* om. P *ἡγεμόνων, ων* i. ras. A 3 *αὐτῶν* Bekker 4 *δὲ*] *τε* Destinon *iamque* Lat *ἔμελλον — προσφέρειν* u. 2 post *νεωτεροποιίας* collocanda esse putat Destinon *διακειμένοι* R 5 *ἀπόστασιν* MLVR et ex corr. A *ἀποστασιανωμολογηκότος* A^1 *ἀνωμολογικότες* L *ἀνωμολογηκότες* VR 6 *ἄνδιχα*] *ἀνδιχα* P *ἂν δίχα* (*διχὰ* A^1) ALVRC 7 *γράμμα* V *Πετιλίῳ*] Lat *βεντιδίῳ* PAMVRC *πρὸς βεντιδίῳ* L 8 *τὸ*] *τῷ* ALVRC 9 *ἄρξαντα* PAC *προρευόμενος* A^1 10 *προστέτακτο* ex *προσέτακτο* corr. A *τὰ*] *τ·ὰ* (*τ* fort. corr.) A 11 *συνηλεγμένοις* VRC 13 *σωφρονεῖν, σ* ex *ν, ω* ex *ο* corr. A *φρονεῖν* VRC *ἔμελλον, μ* i. ras. A 14 *παραβαλλόντος* A^1 *παραβάλλοντος, οσ* ex *ασ* corr. uid. m. 2 L *ὑφέξιν* C 15 *πρῶτον*] MLVRC Lat, om. PA *τῆς*] *περὶ τῆσ* C 17 *τηλικοῦ***| ἄρασθαι* P *τηλικοῦτον, ληex λι* corr. uid. C *ἄρασθαι*] *ορᾶσθαι* L 18 *πατρ*| θεν* P *τὴν* om. PA 19 *τελειωτέραν* A *ἄσκ*| σιν* P *πεποιμένος* V 20 *εὐθ**| ἤλαυνεν* P 21 *ἐπ' αὐτῷ*] *ἐπ' αὐτοὺσ* P, om. A *μέγα — 22 εὑράμενοι*] *lucrum hoc ex timore maximum nancti* Lat *μέγα*] M *μετὰ* PALVRC *τοῦ* om. LC 22 *εὑρόμενοι* L *τὸ* s. P *αὐτ**| πάλιν* P 23 *ἐπιτιθεὶσ* L

τὴν κροσίχουσαν Λομεντιανός, ὡς μηδ' αὖθις ἄν ποτε ῥᾳδίως ἔτι τάκεῖ ταραχθῆναι, λαμπρὸς καὶ περίβλεπτος ἐπὶ κρείττοσι μὲν τῆς ἡλικίας, μέλπουσι δὲ τῷ πατρὶ κατορθώμασιν εἰς τὴν Ῥώμην ἀνέζευξε.

3. Τῇ δὲ προειρημένῃ Γερμανῶν ἀποστάσει κατὰ τὰς αὐτὰς 89
ἡμέρας καὶ Σκυθικὸν τόλμημα πρὸς Ῥωμαίους συνέδραμεν. οἱ γὰρ 90
καλούμενοι Σκυθῶν Σαρμάται, πολὺ πλῆθος ὄντες, ἄδηλοι μὲν τὸν Ἴστρον ἐπεραιώθησαν εἰς τὴν ἐπιτάδε, πολλῇ δὲ βίᾳ καὶ χαλεποὶ διὰ τὸ παντάπασιν ἀνέλπιστον τῆς ἐφόδου προσπεσόντες πολλοὺς μὲν τῶν ἐπὶ τῆς φρουρᾶς Ῥωμαίων ἀναιροῦσι, καὶ τὸν πρεσβευτὴν 91
τὸν ὑπατικὸν Φοντήιον Ἀγρίππαν ὑπαντιάσαντα καρτερῶς μαχόμενον κτείνουσι, τὴν δ' ὑποκειμένην χώραν ἅπασαν κατέτρεχον ἄγοντες καὶ φέροντες ὅτῳ περιπέσοιεν. Οὐεσπασιανὸς δὲ τὰ γε- 92
γενημένα καὶ τὴν πόρθησιν τῆς Μυσίας πυθόμενος Ῥούβριον Γάλλον ἐκπέμπει δίκην ἐπιθήσοντα τοῖς Σαρμάταις. ὑφ' οὗ πολλοὶ μὲν 93
αὐτῶν ἐν ταῖς μάχαις ἀπέθανον, τὸ δὲ περισωθὲν μετὰ δέους εἰς τὴν οἰκείαν διέφυγεν. τοῦτο δὲ τῷ πολέμῳ τέλος ἐπιθεὶς ὁ στρα- 94
τηγὸς καὶ τῆς εἰς τὸ μέλλον ἀσφαλείας προυνόησε· πλείοσι γὰρ καὶ μείζοσι φυλακαῖς τὸν τόπον διέλαβεν, ὡς εἶναι τοῖς βαρβάροις τὴν διάβασιν τελέως ἀδύνατον. ὁ μὲν οἶν περὶ τὴν Μυσίαν πό- 95
λεμος ταχεῖαν οὕτως ἔλαβε τὴν κρίσιν.

V. 1. Τίτος δὲ Καῖσαρ χρόνον μέν τινα διέτριβεν ἐν Βηρυτῷ, 96
καθὰ προειρήκαμεν, ἐκεῖθεν δὲ ἀναζεύξας καὶ δι' ὧν ἤει πόλεων τῆς Συρίας ἐν πάσαις θεωρίας τε συντελῶν πολυτελεῖς καὶ τῶν

PAMLVRCLat

1 *μὴδὲ* VR 2 *τὰ ἐκεῖ* L 3 *δὲ* suppl. m. 2 L 5 i. marg. *ιβ'* C *προειρημένῃ* om. L *ἀποστάσει*] *στάσει* C litt. (*ἀπο*)|*στάσει* — 6 *συνέ*|(*δραμεν*) i. ras. unius uersus circiter 40 litt. (litt. *υνέ* euan.) P *κατὰ*] *κατὰ τὰ* A 6 *Σκυθικὸν*] *σκυθρωπὸν* VR *πρὸς Ῥωμαίους* om. Lat 7 *ἄδηλον* C *τὸν* om. M 8 *Ἴστρον* L *histrum* Lat *ἐπερεώθησαν* ex corr. P *διεπέρασαν* C *εἰς τὴν ἐπιτάδε* om. Lat *ἐπιτάδε*] *ἐπίταδε* L *μυσίαν ἔπειτα δὲ* MVRC *δὲ* om. MVRC 9 *παντάσιν* A *ἀνέλπιστον*] *ἄπιστον* P 10 *τῶν*] *τὸν* A *τοὺς* VRC *Ῥωμαίων*] *ῥωμαίων προσπεσόντες* (*προσπεσόντες* expunxit ut uid. m. 2) L *πρεσβύτην* PALLat *Φοντήϊον*] ed. pr. *φροντήϊον* PMLVRC *φροντῖϊον* A *pompeium* Lat *καρτερῶς*] *καὶ καρτερῶς* PAML 12 *δὲ* VR 14 *Ῥούβριον*] Lat *γούβριον* PAMVRC *γρούβριον* L 15 *ἐκπέμπει*, *μ* i. ras. A *δίκην — Σαρμάταις* om. L *ὑφ'*] *ἀφ'* VR 16 *περισωθὲν*] *περαιωθὲν* A 17 *οἰκίαν* L¹C *domum* Lat *τοῦτο*] *τούτω* AMLVRC Lat 19 *τόπον*] *ποταμὸν* Destinon et Niese 20 *πόλε-μοσ*‖****εἰαν* P 22 i. marg. *ιγ'* C *χ**νον* P *διέτριψεν* MLVRC *Βηρυτῷ*] *πόλει βηρυτῶ* L 23 *δ'* LC

Ἰουδαίων τοὺς αἰχμαλώτους εἰς ἐπίδειξιν τῆς ἑαυτῶν ἀπωλείας
ἀποχρώμενος. θεᾶται κατὰ τὴν πορείαν ποταμοῦ φύσιν ἀξίαν ἱστο-
97 *ρηθῆναι. ῥεῖ μὲν γὰρ μέσος Ἀρκέας τῆς Ἀγρίππα βασιλείας καὶ*
98 *Ῥαφανέας, ἔχει δὲ θαυμασιὴν ἰδιότητα· πολὺς γὰρ ὤν, ὅτε ῥεῖ,*
καὶ κατὰ τὴν φορὰν οὐ σχολαῖος, ἔπειτα δὲ πᾶς ἐκ τῶν πηγῶν
ἐπιλείπων ἓξ ἡμερῶν ἀριθμὸν ξηρὸν παραδίδωσιν ὁρᾶν τὸν τόπον·
99 *εἶθ' ὥσπερ οὐδεμιᾶς γενομένης μεταβολῆς ὅμοιος κατὰ τὴν ἑβδόμην*
ἐκδίδωσι, καὶ ταύτην ἀεὶ τὴν τάξιν ἀκριβῶς τετήρηται διαφυλάτ-
των· ὅθεν δὴ καὶ Σαββατικὸν αὐτὸν κεκλήκασιν ἀπὸ τῆς ἱερᾶς τῶν
Ἰουδαίων ἑβδόμης οὕτως ὀνομάσαντες.

100 2. *Ὁ δὲ τῶν Ἀντιοχέων δῆμος ἐπεὶ πλησίον ὄντα Τίτον ἐπυν-*
θάνοντο, μένειν μὲν ἐντὸς τειχῶν ὑπὸ χαρᾶς οὐχ ὑπέμενον, ἔσπευδον
101 *δὲ ἐπὶ τὴν ὑπάντησιν· καὶ τριάκοντα σταδίων ἐπὶ πλέον προῆλθον*
οὐκ ἄνδρες μόνον ἀλλὰ καὶ γυναικῶν πλῆθος ἅμα παισὶ τῆς πόλεως
102 *ἐκχεόμενοι. κἀτειδήτερ ἐθεάσαντο προσιόντα, παρὰ τὴν ὁδὸν*
ἑκατέρωθεν καταστάντες τάς τε δεξιὰς προύτειναν προσαγορεύοντες
103 *καὶ παντοίοις ἐπιφημίσμασι χρώμενοι συνεπέστρεφον· συνεχὴς δὲ*
ἦν αὐτῶν παρὰ πάσας ἅμα τὰς εὐφημίας δέησις ἐκβαλεῖν τῆς πό-

PAMVRCLatZonaras I p. 553.

1 *τοῖσ* AMLVRC *αἰχμαλώτοισ* AMLVRC *εἰσ ἐπίδειξιν* ex *εἰσ πίδειξιν* corr. uid. A 2 *θεαταὶ* C *πορίαν* A *ἱστορηθῆναι, θῆ* i. ras. m. 2 V 3 *ῥεῖ*] *ῥέει* VR *μὲν* om. L 3 *μέσος* — 4 *Ῥαφανέας*] *medius inter arcas* (*archias* cod. Ber.) *et rafaneas agrippae regni ciuitates* Lat *ἀρκαίασ* C *σαρκαίασ* L *ἀγρίππου* AVRC 4 *Ῥαφανέας*] *ῥαφαναίασ* codd.; cf. supra § 18 *πολὺς* — 8 *ἐκδίδωσι*] *nam cum sit quando fluit plurimus neque meatu segnis, tamen interpositis sex diebus a fontibus deficiens siccum exhibet locum uidere. deinde quasi nulla mutatione facta septimo die similis exoritur* Lat *πολὺς*] *πολύσ τε* L 5 *καὶ* om. P *πᾶς*] *τὰσ* L, om. Lat 6 *ἓξ* — *ἀριθμὸν*] post u. 5 *σχολαῖος* transponenda esse coniecit Casaubonus *ἐξημεροῖ τὸ ῥεῖθρον καὶ* Destinon *ξηρὸν*] *κατὰ τὴν ἑβδόμην ἐνδίδωσι καὶ ξηρὸν* Casaubonus *κατὰ τὴν ἑβδόμην ξηρὸν* uel *μετὰ ἓξ ἡμερῶν ἀριθμὸν* Hudson; Plinius hist. nat. XXXI 24 in Iudaea riuum sabbatis omnibus siccari tradit *παραδίδοσιν* C *ὁρᾶιν* L 7 *εἶτα* VR *γενομενῆσ* sic P *γινομένησ* C *ὁμοίωσ* (ex *ὅμοιωσ* corr. P) PL¹C *κατὰ*] *μετὰ* Casaubonus 8 *αἰεὶ* VR *ἀκριβῶσ ἀεὶ τὴν τάξιν* tr. M 9 *σαβατικὸν* A *σαβατικὸν* C 11 i. marg. *ιδ'* C *ὁ* om. M 12 *μένει* A *μὲν* om. P 13 *δ'* C *καὶ* — 15 *ἐκχεόμενοι*] *usque ad tricesimum uel eo amplius stadium progressi non modo uiri sed etiam feminae cum pueris expectabant* Lat *ἐπὶ*] *ἔτι* PAL *προῆλθον*] *διῆλθον* C 14 *γυναίων* VRC *τῆς*] *καὶ τῆσ* L 15 *καὶ ἐπειδήπερ* VR *παρὰ*] *κατὰ* P 16 *καταστάντες*] *στάντεσ* M *παραστάντεσ* L *παρακαταστάντεσ* VRC 17 *εὐφημίσμασιν* Bekker *δ'* LC 18 *αὐτῶ* C *ἅμα*] i. marg. suppl. A, om. L et fort. Lat *ταῖσ εὐφημίαισ* C

λεως τοὺς Ἰουδαίους. Τίτος μὲν οὖν οὐδὲν ἐνέδωκεν πρὸς ταύτην 104
τὴν δέησιν, ἀλλ' ἡσυχῇ τῶν λεγομένων ἐπήκουεν· ἐπ' ἀδήλῳ δὲ
τῷ τί φρονεῖ καὶ τί ποιήσει πολὺς καὶ χαλεπὸς τοῖς Ἰουδαίοις ὁ
φόβος ἦν· οὐδὲ γὰρ ἐτέμενεν ἐν Ἀντιοχείᾳ Τίτος, ἀλλ' εὐθὺς ἐπὶ 105
τὸ Ζεῦγμα τὸ κατὰ τὸν Εὐφράτην συνέτεινε τὴν πορείαν, ἔνθα δὴ
καὶ παρὰ τοῦ Πάρθων βασιλέως Βολογέσου πρὸς αὐτὸν ἦκον στέ-
φανον χρυσοῦν ἐπὶ τῇ κατὰ τῶν Ἰουδαίων νίκῃ κομίζοντες. ὃν δε- 106
ξάμενος εἱστία τοὺς βασιλικούς, κἀκεῖθεν εἰς τὴν Ἀντιόχειαν ἐπαν-
έρχεται. τῆς δὲ βουλῆς καὶ τοῦ δήμου τῶν Ἀντιοχέων πολλὰς 107
ποιησαμένων δεήσεις ἐλθεῖν εἰς τὸ θέατρον αὐτόν, ἐν ᾧ πᾶν τὸ
πλῆθος ἠθροισμένον ἐξεδέχετο, φιλανθρώπως ὑπήκουσε. πάλιν 108
δ' αὐτῶν σφόδρα λιταρῶς ἐγκειμένων καὶ συνεχῶς δεομένων ἐξε-
λάσαι τῆς πόλεως τοὺς Ἰουδαίους, εὔστοχον ἐποιήσατο τὴν ἀπό-
κρισιν, εἰπών „ἀλλ' ἥ γε πατρὶς αὐτῶν, εἰς ἣν ἐκβαλεῖν ἐχρῆν 109
ὄντας Ἰουδαίους, ἀνῄρηται, καὶ δέξαιτ' ἂν οὐδεὶς αὐτοὺς ἔτι τόπος.“
ἐπὶ δευτέραν οὖν Ἀντιοχεῖς τρέπονται δέησιν τῆς προτέρας ἀπο- 110
στάντες· τὰς γὰρ χαλκᾶς ἠξίουν δέλτους ἀνελεῖν αὐτόν, ἐν αἷς γέ-
γραπται τὰ δικαιώματα τῶν Ἰουδαίων. οὐ μὴν οὐδὲ τοῦτο Τίτος 111
ἐπένευσεν αὐτοῖς, ἀλλ' ἐάσας πάντα κατὰ χώραν τοῖς ἐπ' Ἀντιο-
χείας Ἰουδαίοις ὡς πρότερον εἶχον εἰς Αἴγυπτον ἀπηλλάτιετο.
καὶ κατὰ τὴν πορείαν τοῖς Ἱεροσολύμοις προσελθὼν καὶ τὴν λυπρὰν 112
ἐρημίαν βλεπομένην ἀντιτιθεὶς τῇ ποτε τῆς πόλεως λαμπρότητι,
καὶ τὸ μέγεθος τῶν ἐρριγμένων κατασκευασμάτων καὶ τὸ πάλαι

PAMLVRC Lat Zonaras I p. 553.

1 *τοὺς* om. VR *οὖν* om. A *οὐδὲνέδωκεν* P *οὐδὲν ἔδωκεν* A *ταύτην* om. L 2 *δὲ τῷ*] *δὲ τὸ* PAM *δέ τω* L 3 *ὁ* om. L 4 *ἐπέμεινεν* MLVRC 5 *τὸν* ex *την* corr. VC *δὴ καὶ* euan. P 6 *Βολογέσου*] *βουλογέσου* C, om. Lat *αὐτ**|ῆκον* P 7 *νίκην* V¹C 8 *ἡστία* R 9 *βουλ**|καὶ* P *τοῦ δήμου* om. VR *πολὰς* R 10 *ἐλθεῖν*] *ἐλθεῖν αὐτὸν* A *εἰσελθεῖν αὐτὸν* L *αὐτὸν*] om. AL *αὐτῶν* VRC 11 *ὑπήκουσε* i. ras. A 12 *δὲ* VR *αὐτὸν* P *λειπαρῶσ* A¹ *δε*|μένων* P 13 *ἀπόκρισιν*] *ἀπολογίαν* L *ἀπόκρησιν* C 14 *ἐκβαλεῖν*] *ἐκβάλλειν* P *εἰ βαλεῖν* M *ἐμβαλεῖν* RC 15 *ὄντας Ἰουδαίους*] om. Lat *αὐτοὺς* Zon *ὄντας*] *ἂν τοὺσ* L *τοὺσ* VRC *τόπο·σ*, eras. *υ* L 16 *δ**|τέραν* P *Ἀντιοχεῖς — δέησιν*] *δέησιν οἱ ἀντιοχεῖσ τρέπονται* M *ἀποστάντες*] *ἁμαρτόντεσ* L et ut uid. Lat *ἀποτυχόντες* Zon 17 ante *ἠξίουν* ras. 4 litt. M *δέλτασ* L¹ 18 *τὸ δικαίωμα* P *τὰ δίκαια* Zon *τῶν ἰουδαίων τὰ δικαιώματα* tr. C *τοῦτο*] *πρὸς τοῦτο* Zon 20 *ὡς πρότερον εἶχον*] *quae habebant* Lat *εἶχον*] PAMLZon *ἔχειν* VRC *ἀπηλάττετο* C 21 *τὴν βλεπομένην λυπρὰν ἐρημιαν* tr. M haud male *λυγρὰν* L *tristem* Lat 22 *ἀντιθεὶσ* LVRC 23 *ἐρρηγμένων*] *ἠρειμμένων* L. Dindorf

κάλλος εἰς μνήμην βαλλόμενος, ᾤκτειρε τῆς πόλεως τὸν ὄλεθρον,
113 οἰχ ὥσπερ ἄν τις αὐχῶν ὅτι τηλικαύτην οὖσαν καὶ τοσαύτην εἶλε
κατὰ κράτος, ἀλλὰ πολλάκις ἐπαρώμενος τοῖς αἰτίοις τῆς ἀπο-
στάσεως ὑπάρξασι καὶ ταύτην ἐπὶ τῇ πόλει τὴν τιμωρίαν γενέσθαι
παρασκευάσασιν· οὕτως ἔκδηλος ἦν οὐκ ἂν θελήσας ἐκ τῆς συμφορᾶς
114 τῶν κολασθέντων γενέσθαι τῆς ἀρετῆς τὴν ἐπιφάνειαν. τοῦ δὲ
πολλοῦ πλούτου τῆς πόλεως ἔτι κἀν τοῖς ἐρειπίοις οὐκ ὀλίγον μέρος
115 ἀνηυρίσκετο· τὰ μὲν γὰρ πολλὰ ἀνέσκαπτον οἱ Ῥωμαῖοι, τὰ πλείω
δὲ ἐκ μηνύσεως τῶν αἰχμαλώτων ἀνηροῦντο, χρυσόν τε καὶ ἄργυρον
καὶ τῆς ἄλλης τὰ τιμιώτατα κατασκευῆς, ἅπερ οἱ κεκτημένοι πρὸς
τὰς ἀδήλους τοῦ πολέμου τύχας κατὰ γῆς ἀποτεθησαυρίκεσαν.

116 3. Τίτος δὲ τὴν προκειμένην ποιούμενος πορείαν ἐπ' Αἴγυπτον
117 καὶ τὴν ἔρημον ᾗ τάχιστα διανύσας ἦκεν εἰς Ἀλεξάνδρειαν, καὶ
πλεῖν ἐπὶ τῆς Ἰταλίας διεγνωκὼς δυοῖν αὐτῷ ταγμάτων συνηκολου-
θηκότων ἑκάτερον ὅθεν περ ἀφῖκτο πάλιν ἀπέστειλεν, εἰς μὲν τὴν
118 Μυσίαν τὸ πέμπτον, εἰς Παννονίαν δὲ τὸ πεντεκαιδέκατον. τῶν
αἰχμαλώτων δὲ τοὺς μὲν ἡγεμόνας Σίμωνα καὶ Ἰωάννην, τόν τ'
ἄλλον ἀριθμὸν ἑπτακοσίους ἄνδρας ἐπιλέξας μεγέθει τε καὶ κάλλει
σωμάτων ὑπερβάλλοντας, προσέταξεν εἰς τὴν Ἰταλίαν αὐτίκα μάλα
119 κομίζεσθαι βουλόμενος αὐτοὺς ἐν τῷ θριάμβῳ παραγαγεῖν. τοῦ
πλοῦ δὲ αὐτῷ κατὰ νοῦν ἀνυσθέντος ὁμοίως μὲν ἡ Ῥώμη περὶ τὴν
ὑποδοχὴν εἶχε καὶ τὰς ὑπαντήσεις ὥσπερ ἐπὶ τοῦ πατρός, λαμ-
πρότερον δ' ἦν Τίτῳ καὶ αὐτὸς ὁ πατὴρ ὑπαντῶν καὶ δεχόμενος.
120 τῷ δὲ πλήθει τῶν πολιτῶν δαιμόνιόν τινα τὴν χαρὰν παρεῖχε τὸ

PAMLVRC Lat Zonaras I p. 553.

1 *βαλόμενος* VR 2 *ἄν*] *ἄλλος ἄν* MLVRCLat *τι* A *τηλικαύτην* A 3 *αἰτίοις*] *οἰκείοις* C 4 *τῇ πόλει*] *τὴν πόλιν* V¹C *τιμωρίαν*] *ἐρημίαν*, i. marg. *γρ τιμωρίαν* L 5 *παρασκευάσιν* A 6 *ἐθελήσας* C 6 *ἀρετῆς*] *ἀρετῆς αὐτοῦ* LC *τὴν* om. L *τοῦ*] *τοῦτο* PA 7 *πολλοῦ δὲ* tr. M *ἐριπίοις* R 8 *ἀνευρίσκετο* AVRC 9 *δ'* LC *ἀνηροῦντο*] *ἀνήρισκον* PAM *auferebant* Lat *καὶ* om. C 10 *τὰ τῆς ἄλλης* tr. VRC *οἱ*] *οὐ* C 11 *ἀποτεθησαυρίσκεσαν* P¹ *ἀποτεθησαυρίκεσαν*, *κε* i. ras. M 12 *ἐπ' Αἰγύπτου* Niese 13 *καὶ τὴν* — 16 *πέμπτον* om. C *ᾗ* PA *ᾗ* L *ᾗ* V *ἡ* R *τάχιστα*] *τάχα* M 14 *πλεῖν*] *πλην* P¹ et ut uid. V¹ *πλεῖον* L¹ *τὴν Ἰταλίαν* Zon *συνη*|*κολουθηκότων* A 15 *πάλιν* om. P 17 *μὲν* om. L *τὸν* — 18 *ἑπτακοσίους*] *et alios numero septingentos* Lat *τῶν τ' ἄλλων* Destinon *τ'*] *τε* MLVRC *δ'* Niese 18 *κάλλει* ex *ἄλλῃ* corr. C 19 *τὴν* om. M *μάλα* om. PAC 20 *αὐτοῖς* C 21 i. marg. *ις'* C *δ'* LC *αὐτῷ*] *αὐτοῦ* A¹L 22 *ὑπαντιάσεις* P *ὑπαντίσεις* A 23 *δὲ* VR 24 *παρεῖχε τὸ*] *παρείχετο* PA¹L

βλέπειν αὐτοὺς ἤδη τοὺς τρεῖς ἐν ταὐτῷ γεγονότας. οὐ πολλῶν 121
δὲ ἡμερῶν διελθουσῶν ἕνα καὶ κοινὸν ἔγνωσαν τὸν ἐπὶ τοῖς κατορ-
θωμένοις ποιήσασθαι θρίαμβον, καίπερ ἑκατέρῳ τῆς βουλῆς ἴδιον
ψηφισαμένης. προδιασαφηθείσης δὲ τῆς ἡμέρας ἐφ' ἧς ἔμελλεν ἡ 122
πομπὴ γενήσεσθαι τῶν ἐπινικίων, οὐδεὶς οἶκοι καταλέλειπτο τῆς
ἀμέτρου πληθύος ἐν τῇ πόλει, πάντες δὲ ὅπη καὶ στῆναι μόνον
ἦν οἷον προελπυθότες τοὺς τόπους κατειλήφεσαν, ὅσον τοῖς ὀφθη-
σομένοις μόνον εἰς πάροδον ἀναγκαίαν καταλιπόντες.

4. Τοῦ δὲ στρατιωτικοῦ παντὸς ἔτι νύκτωρ κατὰ λόχους καὶ 123
τάξεις ὑπὸ τοῖς ἡγεμόσι διεξωδευκότος καὶ περὶ θύρας ὄντος οὐ
τῶν ἄνω βασιλείων ἀλλὰ πλησίον τοῦ τῆς Ἴσιδος ἱεροῦ, ἐκεῖ γὰρ
ἀνεπαύοντο τῆς νυκτὸς ἐκείνης οἱ αὐτοκράτορες, περὶ αὐτὴν ἀρχο- 124
μένην ἤδη τὴν ἕω προΐασιν Οὐεσπασιανὸς καὶ Τίτος δάφνῃ μὲν
ἐστεφανωμένοι, πορφυρᾶς δ' ἐσθῆτας κατρίους ἀμπεχόμενοι, καὶ
παρίασιν εἰς τοὺς Ὀκταουίας περιπάτους· ἐνταῦθα γὰρ ἥ τε βουλὴ 125
καὶ τὰ τέλη τῶν ἀρχόντων οἵ τε ἀπὸ τῶν τιμημάτων ἱππεῖς τὴν
ἄφιξιν αὐτῶν ἀνέμενον. πεποίητο δὲ βῆμα πρὸ τῶν στοῶν διάρρων 126
αὐτοῖς ἐλεφαντίνων ἐπ' αὐτοῦ κειμένων, ἐφ' οὓς παρελθόντες ἐκα-
θέσθησαν, καὶ τὸ στρατιωτικὸν εὐθέως ἐπευφήμει πολλὰς αὐτοῖς
τῆς ἀρετῆς μαρτυρίας ἀποδιδόντες ἅπαντες· κἀκεῖνοι χωρὶς ὅπλων
ἦσαν ἐν ἐσθήσεσιν σηρικαῖς ἐστεφανωμένοι δάφναις. δεξάμενος δ' 127
αὐτῶν τὴν εὐφημίαν Οὐεσπασιανὸς ἔτι βουλομένων λέγειν τὸ τῆς
σιγῆς ἐποιήσατο σύμβολον, καὶ πολλῆς ἐκ πάντων ἡσυχίας γενο- 128
μένης ἀναστὰς καὶ τῷ περιβλήματι τὸ πλέον τῆς κεφαλῆς μέρος
ἐπικαλυψάμενος εὐχὰς ἐποιήσατο τὰς νενομισμένας· ὁμοίως δὲ καὶ

PAMLVRC Lat

1 *ταυτῶ* ex *αυτῶ* corr. m. 2 L *ταὐτὸ* ex corr. R et man. 1 Lips 2 *δ'* LC *κατορθωμένοις* PAL 4 *προδιασαφησθείσης* R *προδιασαφιθείσης* C 5 *γενέσθαι* L *γίνεσθαι* C 6 *δ'* LC 7 *οἷον*] *οἶν* R *οἷόν τε* Herwerden *προελπυθότες, λυ* ex corr. M *τόπους*] *ποταμοὺς* A *τοῖς φθησομένοις* PA 8 *ἀναγκαῖον* A *καταλειπόντες* A 10 *διεξοδευκότος* L¹ *προεξωδευκότος* (*-οδευ-* C) VRC *praegressa* aut *progressa* Lat *θύραις* M 11 *ἀλλὰ*] *ἀλλὰ καὶ* AMLC 12 *περὶ*] *περὶ δὲ* VRC *περὶ αὐτὴν ἀρχομένην*] *περιερχομένην αὐτὴν* L *prima* (*-aurora*) *incipiente* Lat *προΐασιν* P *πρὸσιασιν* L 14 *δὲ* LVR 15 *παριᾶσιν* PA *ὀκτα**|ίας* P *octauianas* Lat 16 *τὰ**|λη* P 17 *ἄφηξιν* A *πεποίηνται* P *πεποίηντο* A *πρὸ*] *πρὸς* R 18 *αὐτοῖς* om. Lat *ἐπ' **|τοῦ* P *οὓς*] *οὗ* VR 19 *στρατιωκὸν* (sic), *κ* ex corr. A 20 *ἅπαντες*] *ἅπαντ*** P, om. Lat 21 *ἐν* om. PAMLVR *αἰσθήσεσιν* R *ἐσθῆσιν* Niese *σιρικαῖσ* PA *σειρικαῖσ* V *εἰρηνικαῖσ* R *δάφναισ, φν* ex corr. A *δὲ* VR 22 *τὴν* om. A *ἔτι* om. VR *βουλομένω* L¹ 23 *σιγῆς, σι* s. A 24 *καὶ τῷ* i. ras. A 25 *ἐπικαλυψάμενος*] Hudson *ἀποκαλυψάμενος* codd. *adopertus* Lat

129 *Τίτος ι΄ξατο. μετὰ δὲ τὰς εὐχὰς εἰς κοινὸν ἅπασιν Οὐεσπασιανὸς*
βραχέα διαλεχθεὶς τοὺς μὲν στρατιώτας ἀπέλυσεν ἐπὶ τὸ νενομι-
130 *σμένον ἄριστον αὐτοῖς ὑπὸ τῶν αὐτοκρατόρων εὐτρεπίζεσθαι, πρὸς*
δὲ τὴν πύλην αὐτὸς ἀνεχώρει τὴν ἀπὸ τοῦ πέμπεσθαι δι᾽ αὐτῆς
131 *αἰεὶ τοὺς θριάμβους τῆς προσηγορίας ἀπ᾽ αὐτῶν τετυχυῖαν. ἐνταῦθα*
τροφῆς τε προαπογεύονται καὶ τὰς θριαμβικὰς ἐσθῆτας ἀμφιασά-
μενοι τοῖς τε παριδρυμένοις τῇ πύλῃ θύσαντες θεοῖς ἔπεμπον τὸν
θρίαμβον διὰ τῶν θεάτρων διεξελαύνοντες, ὅπως εἴη τοῖς πλήθεσιν
ἡ θέα ῥᾴων.

132 5. *Ἀμήχανον δὲ κατὰ τὴν ἀξίαν εἰπεῖν τῶν θεαμάτων ἐκείνων*
τὸ πλῆθος καὶ τὴν μεγαλοπρέπειαν ἐν ἅπασιν οἷς ἄν τις ἐπινοή-
σειεν ἢ τεχνῶν ἔργοις ἢ πλούτου μέρεσιν ἢ φύσεως σπανιότησιν·
133 *σχεδὸν γὰρ ὅσα τοῖς ποτὲ ἀνθρώποις εὐδαιμονήσασιν ἐκτήθη,*
κατὰ μέρος ἄλλα παρ᾽ ἄλλοις θαυμαστὰ καὶ πολυτελῆ, ταῦτα ἐπὶ
τῆς ἡμέρας ἐκείνης ἀθρόα τῆς Ῥωμαίων ἡγεμονίας ἔδειξε τὸ μέγε-
134 *θος. ἀργύρου γὰρ καὶ χρυσοῦ καὶ ἐλέφαντος ἐν παντοίαις ἰδέαις*
κατασκευασμάτων ἦν ὁρᾶν οὐχ ὥσπερ ἐν πομπῇ κομιζόμενον πλῆθος,
ἀλλ᾽ ὡς ἂν εἴποι τις ῥέοντα ποταμόν, καὶ τὰ μὲν ἐκ πορφύρας
ὑφάσματα τῆς σπανιωτάτης φερόμενα, τὰ δ᾽ εἰς ἀκριβῆ ζωγραφίαν
135 *πεποικιλμένα τῇ Βαβυλωνίων τέχνῃ· λίθοι τε διαφανεῖς, οἱ μὲν*
χρυσοῖς ἐμπεπλεγμένοι στεφάνοις, οἱ δὲ κατ᾽ ἄλλας ποιήσεις, το-
σοῦτοι παρηνέχθησαν, ὥστε μαθεῖν ὅτι μάτην εἶναί τι τούτων στά-
136 *νιον ὑπειλήφαμεν. ἐφέρετο δὲ καὶ θεῶν ἀγάλματα τῶν παρ᾽ αὐτοῖς*
μεγέθεσι θαυμαστὰ καὶ κατὰ τὴν τέχνην οὐ παρέργως πεποιημένα,
καὶ τούτων οὐδέν, ὅ τι μὴ τῆς ὕλης τῆς πολυτελοῦς, ζῴων τε πολ-

---

PAMLVRCLat

1 ἅπασι A¹ *οὐεσπασιανὸς, ι* i. ras. M 2 *βραχέα, βρα* i. ras. V *τι στρατιώτας* A *ἀπέλυσεν*] *ἀπέστειλεν* L *dimittit* Lat *τὸ*] *τὸν* PALRC 3 *εὐτρεπίζεσθαι*] PALat *ἡτρεπίσθαι* L *εὐτρεπισθὲν* MVRC 4 *πύλην* ex *πόλιν* corr. V 5 *ἀεὶ* L *ἀπ᾽ αὐτῶν* om. Lat *τετυχυίας* (*νί* ex *ί* corr. P) PAR *τετευχυίας* LV *τετυχηκυῖαν* C *τετευχυῖαν* Niese 6 *τε*] CLat, om. PAMLVR *προσαπογεύονται* PAM *ἐσθῆτας* i. ras. 2—3 litt. P *ἀμφιε-σάμενοι* L 7 *τῇ πύλῃ* om. A fort. recte 8 *συνεξελαύνοντες* PL 9 *ῥᾶον* PL¹ 10 i. marg. *ιζ΄* C *ἐκεί*|*** *τὸ* P 11 *μεγαλοπρέ****** *ἐν* P *οἷς* euan. P 12 *ἢ τ*******ργοις* P *πλούτου* **ρεσιν P 13 *πώποτ* LC **ποτε P *εὐδαιμονίσασιν* M 14 *μέ*|***ἄλλα* P *ταῦτ᾽* LC 15 *ἀθρόα* VR *Ῥωμαίων*] *τῶν ῥω* i. ras. 7 fere litt. (eras. uid. *ῥωμαιων*) et i. marg. *μαίων* A **εμονίασ P 16 *γαρ*] om. A *μὲν γὰρ* M *τε γὰρ* C *ἰδίαις* R 19 *δὲ* VR 21 *ἐμπεπλεγμένοις* R *inclusae* Lat *τοσοῦτοι, ο* ante *σ* ex corr. A 24 *παρέργοις* L¹ 25 *καὶ — πολυτελοῦς* om. VR *οὐδὲν*] *μὴδὲν* L *πολυτελοὺς, λυ* i. ras. A *τε πολλαὶ, ε* ex *αι* corr., *πο* i. ras. A

λαὶ φύσεις παρήγοντο κόσμον οἰκεῖον ἁπάντων περικειμένων. ἦν 137
δὲ καὶ τὸ κομίζον ἕκαστα τούτων πλῆθος ἀνθρώπων ἁλουργαῖς
ἐσθῆσι καὶ διαχρύσοις κεκοσμημένον, οἵ τ' εἰς αὐτὸ τὸ πομπεύειν
διακριθέντες ἐξαίρετον εἶχον καὶ καταπληκτικὴν περὶ αὐτοὺς τοῦ
κόσμου τὴν πολυτέλειαν. ἐπὶ τούτοις οὐδὲ τὸν αἰχμάλωτον ἦν ἰδεῖν 138
ὄχλον ἀκόσμητον, ἀλλ' ἢ τῶν ἐσθήτων ποικιλία καὶ τὸ κάλλος αὐ-
τοῖς τὴν ἀπὸ τῆς κακώσεως τῶν σωμάτων ἀηδίαν ἔκλεπτε τῆς ὄψεως.
θαῦμα δ' ἐν τοῖς μάλιστα παρεῖχεν ἡ τῶν φερομένων πηγμάτων 139
κατασκευή· καὶ γὰρ διὰ μέγεθος ἦν δεῖσαι τῷ βεβαίῳ τῆς φορᾶς
ἀπιστήσαντα, τριώροφα γὰρ αὐτῶν πολλὰ καὶ τετρώροφα πεποί- 140
ητο, καὶ τῇ πολυτελείᾳ τῇ περὶ τὴν κατασκευὴν ἦν ἡσθῆναι μετ'
ἐκπλήξεως. καὶ γὰρ ὑφάσματα πολλοῖς διάχρυσα περιβέβλητο, καὶ 141
χρυσὸς καὶ ἐλέφας οὐκ ἀποίητος πᾶσι περιεπεπήγει. διὰ πολλῶν 142
δὲ μιμημάτων ὁ πόλεμος ἄλλος εἰς ἄλλα μεμερισμένος ἐναργεστάτην
ὄψιν αὐτοῦ παρεῖχεν· ἦν γὰρ ὁρᾶν χώραν μὲν εὐδαίμονα δῃουμένην, 143
ὅλας δὲ φάλαγγας κτεινομένας πολεμίων, καὶ τοὺς μὲν φεύγοντας
τοὺς δ' εἰς αἰχμαλωσίαν ἀγομένους, τείχη δ' ὑπερβάλλοντα μεγέθει
μηχαναῖς ἐρειπόμενα καὶ φρουρίων ἁλισκομένας ὀχυρότητας καὶ πό-
λεων πολυανθρώπους περιβόλους κατ' ἄκρας ἐχομένους, καὶ στρα- 144
τιὰν ἔνδον τειχῶν εἰσχεομένην, καὶ πάντα φόνου πλήθοντα τόπον,
καὶ τῶν ἀδυνάτων χεῖρας ἀνταίρειν ἱκεσίας, πῦρ τε ἐνιέμενον ἱεροῖς

PAMLVRCLat

1 *κόσμον*] *καὶ κόσμον* L *οἰκεῖον* ex *οἰκείων* corr. A 2 *ἀνθρώπων πλῆθος* tr. LVRC *ἁλουργαῖς* PA 3 *ἐσθήσεσι* ALVRC *διαχρύσαις* C *κεκοσμημένων* P *τε* VR *αὐτὸ*] *ταὐτὸ* P *τὸ* om. VR 4 *περιαυτοὺς* P *περὶ αὐτοὺς* Bekker 5 *τὴν πολυτελείαν* (sic) *τοῦ κόσμου* tr. C *τὸν αἰχμάλωτον*] *τῶν αἰχμαλώτων* VRC *captiuorum* Lat 6 *ὄχλον*] *ὄχλον μόνον* AM *κόσμον* VR *αὐτοῖς*] Destinon *αὐτῆσ* codd. 7 *ἀειδίαν* V¹R 8 *δὲ* VR *τοῖς*] *αὐτοῖσ* PA 9 *καὶ* — 10 *ἀπιστήσαντα*] *pro cuius magnitudine timendum uiribus portantium occurrentes putabant* Lat *φορᾶς*] *φθορᾶσ* A *συμφορᾶσ* M 10 *ἀπιστήσαντα*] *ἀπαντήσαντα* (i. marg. *γρ ἀπιστήσαντα* V) VR *ἅπαν ἀπιστῆσαντα* C 10 *τετραώροφα* P *τετρόροφα* MC *πεποίηντο* L 11 *καὶ τ***|λυτελείᾳ* P *τῇ περὶ, ῇ* ex *ἣν* corr. L *πε****ἣν* P *ἦν*] om. A *ἣν* C *ἡσθῆ***|μετ'* P 12 *περιεβέβλητο* AMVRC 13 *οὐκ*|ποίητοσ* P 14 *δὲ* om. R *μιμημάτων, ιμη* i. ras. A *ἄλλος*] *ἄλλωσ* VRC *aliter* Lat 15 *αὐτοῦ* PAML *ἑαυτοῦ* VRC *εὔδαιμον* VR 16 *κτηνομένασ* P *κτεινομένων* C 17 *δὲ* VR *αἰχμαλωσίαν, λω* s. A *δὲ* VRC *μεγέθει, εγέ* i. ras. A *μεγέθη* L¹ 18 *ἐριπόμενα* V¹ *ἐριπομένα* R *ἐρειπωμένα* C *ἁλισκόμενα* R¹ *ἁλισκομέναι* sic C 19 *πολυανθρώπων* VRCLat *ἐρχομένουσ* L *κατ' ἄκρας ἐχομένους*] *disturbari* Lat *στρατείαν* PA 20 *φόνου* RC *πληθύνοντα* L¹V et m. 1 Lips *πληθύοντα* RC et ex corr. LLips 21 *ἱκεσίαισ* PL¹M et ut uid. A (qui tamen incertum est utrum *ασ* an *αισ* uoluerit) *ἱκεσίασ* (*ουσ* R *ἐνιόμενον* P

145 καὶ κατασκαφὰς οἴκων ἐπὶ τοῖς δεσπόταις, καὶ μετὰ πολλὴν ἐρη-
μίαν καὶ κατήφειαν ποταμοὺς ῥέοντας οὐκ ἐπὶ γῆν γεωργουμένην,
οὐδὲ ποτὸν ἀνθρώποις ἢ βοσκήμασιν, ἀλλὰ διὰ τῆς ἐπιπανταχόθεν
φλεγομένης· ταῦτα γὰρ Ἰουδαῖοι πεισομένους αὐτοὺς τῷ πολέμῳ
146 παρέδοσαν. ἡ τέχνη δὲ καὶ τῶν κατασκευασμάτων ἡ μεγαλουργία
147 τοῖς οὐκ ἰδοῦσι γινόμενα τότ' ἐδείκνυεν ὡς παροῦσι. τέτακτο δ'
ἐφ' ἑκάστῳ τῶν πηγμάτων ὁ τῆς ἁλισκομένης πόλεως στρατηγὸς
148 ὃν τρόπον ἐλήφθη. πολλαὶ δὲ καὶ νῆες εἵποντο. λάφυρα δὲ τὰ
μὲν ἄλλα χύδην ἐφέρετο, διέπρεπε δὲ πάντων τὰ ἐγκαταληφθέντα
τῷ ἐν Ἱεροσολύμοις ἱερῷ, χρυσῆ τε τράπεζα τὴν ὅλκην πολυτάλαντος
καὶ λυχνία χρυσῆ μὲν ὁμοίως πεποιημένη, τὸ δ' ἔργον ἐξήλλακτο
149 τῆς κατὰ τὴν ἡμετέραν χρῆσιν συνηθείας. ὁ μὲν γὰρ μέσος ἦν
κίων ἐκ τῆς βάσεως πεπηγώς, λεπτοὶ δ' ἀπ' αὐτοῦ μεμήκυντο
καυλίσκοι τριαίνης σχήματι παραπλησίαν τὴν θέσιν ἔχοντες. λύχνον
ἕκαστος αὐτῶν ἐπ' ἄκρον κεχαλκευμένος· ἑπτὰ δ' ἦσαν οἵτοι τῆς
150 παρὰ τοῖς Ἰουδαίοις ἑβδομάδος τὴν τιμὴν ἐμφανίζοντες. ὅ τε νόμος
151 ὁ τῶν Ἰουδαίων ἐπὶ τούτοις ἐφέρετο τῶν λαφύρων τελευταῖος. ἐπὶ
τούτοις παρῆσαν πολλοὶ Νίκης ἀγάλματα κομίζοντες· ἐξ ἐλέφαντος

PAMLVRC Lat

1 *δεσπόταις, αι* i. ras. A *καὶ μετὰ — 4 φλεγομένης*] *et post multam uastationem euersionis atque amnes tristitiam (atque tristitiam amnes* fort. scribendum) *defluentes non in arua culta neque ad hominum uel pecorum potum, sed per terram ex omni parte flagrantem* Lat; graeca corrupta in hanc fere sententiam refingi possunt: *καὶ μετὰ ταῦτα πολλὴν ἐρημίαν καὶ κατήφειαν ποταμούς τε ῥέοντας — ἢ βοσκήμασιν ὕδωρ φέροντας, ἀλλ' αἵματι πεφυρμένους διὰ γῆς κατιόντας παντα-*

χόθεν φλεγομένης μετὰ] *κατὰ* Destinon *ἐρημίαν* A 2 *κατήφειαν*] *κατηφῆ* (*κατειφῆ* L¹) AMLVRC *γεωργου··μένην* R 3 *ποτὸν*] *πατητὴν* Destinon *βοσκήσιν* C *ἐπιπανταχόθεν*] *ἔτι πανταχόθεν* MLVR 4 *φλεγομένης*] *φλεγμονῆσ* A *φλεγομένησ γῆσ* L *ταῦτα — 5 παρέδοσαν*] *haec enim se iudaei bello esse passuros ipsi experti sunt* Lat *πησομένουσ* V¹R *αὐτοὺσ* PAMLVC 5 *παρέδωσαν* R *τῶν σκευασμάτων* L 6 *ἰδόσι* P *εἰδόσι* LCLat *ἰδῶσι, ῶ* ex *οῦ* corr. R *γιγνόμενα* L *τὰ γενόμενα* C *τότ' ἐδείκνυεν*] ex corr. A *τότε δεικνύει* P *τότε δεικνύειν* A¹ *τότε ἐδείκνυεν* (*ἐδείκνυε* C) MLVRC *ὡσ* ex *τωσ* corr. m. 2 C *δὲ* MVR 7 *ὁ τῆς*] *ὅλησ τῆσ* VR 8 *πολλοὶ* PA¹ 9 *διέπρεπε — 10 ἱερῷ*] *eminebant autem eorum quae apud hierosolyma in templo reperta sunt* Lat *ἐγκαταληφθέντα*] ed. pr. *καταληφθέντα* codd. 10 *τῷ ἐν*] *τῶν* PAC *ἱεροσολύμων* C *ἱερῶν* PA *ὁλκὴν* PALR *ὅλην* C 11 *χρυσοῦ* MC *πεποιημένην* C *δὲ* VR *ἐξ··κτο* A *ἐξήλακτο* C 12 *ἡμετέραν*] *ἡμέραν* A *χρῆσιν*] *χρυσὴν* C *μέσοσ*‖*****ων* P 13 *πεπηγὼς* om. L *λεπτοὶ*] *λευκοὶ* P *δὲ* VR *αὐτοῦ μεμύκηντο* (litt. *τοῦ μ* euan. P) PL¹ 14 *τριαίνη* L¹ *παρα***σίαν* P *λύχνον*] *καὶ λύχνον* ex corr. A 15 *ἐπ' ἄκρων* V¹RC *κεχαλκευμένον* A *δὲ* VR *τῆς*] *τοῖσ* C 16 *ὅ — 18 κομίζοντες* om. C 17 *ἐφέρετο*] *ἐφέρετό τε* PAL

δ' ἦν πάντων καὶ χρυσοῦ ἡ κατασκευή. μεθ' ἃ Οὐεσπασιανὸς 152
ἤλαυνε πρῶτος καὶ Τίτος εἵπετο. Δομετιανὸς δὲ παρίππευεν, αὐτός
τε διαπρεπῶς κεκοσμημένος καὶ τὸν ἵππον παρέχων θέας ἄξιον.
6. Ἦν δὲ τῆς πομπῆς τὸ τέλος ἐπὶ τὸν νεὼ τοῦ Καπετωλίου 153
Διός, ἐφ' ὃν ἐλθόντες ἔστησαν· ἦν γὰρ παλαιὸν πάτριον περι-
μένειν, μέχρις ἂν τὸν τοῦ στρατηγοῦ τῶν πολεμίων θάνατον ἀπαγ-
γείλῃ τις. Σίμων οὗτος ἦν ὁ Γιώρα, τότε πεπομπευκὼς ἐν τοῖς 154
αἰχμαλώτοις, βρόχῳ δὲ περιβληθεὶς εἰς τὸν ἐπὶ τῆς ἀγορᾶς ἐσύρετο
τόπον αἰκιζομένων αὐτὸν ἅμα τῶν ἀγόντων· νόμος δ' ἐστὶ Ῥω-
μαίοις ἐκεῖ κτείνειν τοὺς ἐπὶ κακουργίᾳ θάνατον καταγνωσθέντας.
ἐπεὶ δ' ἀπηγγέλθη τέλος ἔχων καὶ πάντες εὐφήμησαν, ἤρχοντο τῶν 155
θυσιῶν, ἃς ἐπὶ ταῖς νομιζομέναις καλλιερήσαντες εὐχαῖς ἀπήεσαν
εἰς τὸ βασίλειον. καὶ τοὺς μὲν αὐτοὶ πρὸς εὐωχίαν ὑπεδέχοντο, 156
τοῖς δ' ἄλλοις ἄστασιν εὐτρεπεῖς κατὰ τὸ οἰκεῖον αἱ τῆς ἑστιάσεως
ἦσαν παρασκευαί. ταύτην γὰρ τὴν ἡμέραν ἡ Ῥωμαίων πόλις εὐρ- 157
ταζεν ἐπινίκιον μὲν τῆς κατὰ τῶν πολεμίων στρατείας, πέρας δὲ
τῶν ἐμφυλίων κακῶν, ἀρχὴν δὲ τῶν ὑπὲρ τῆς εὐδαιμονίας ἐλπίδων.
7. Μετὰ δὲ τοὺς θριάμβους καὶ τὴν βεβαιοτάτην τῆς Ῥωμαίων 158
ἡγεμονίας κατάστασιν Οὐεσπασιανὸς ἔγνω τέμενος Εἰρήνης κατα-
σκευάσαι· ταχὺ δὲ δὴ μάλα καὶ πάσης ἀνθρωπίνης κρεῖττον ἐπι-
νοίας ἐτετελείωτο. τῇ γὰρ ἐκ τοῦ πλούτου χορηγίᾳ δαιμονίῳ χρη- 159
σάμενος ἔτι καὶ τοῖς ἔκπαλαι κατωρθωμένοις γραφῆς τε καὶ πλα-
στικῆς ἔργοις αὐτὸ κατεκόσμησεν· πάντα γὰρ εἰς ἐκεῖνον τὸν νεὼ 160
συνήχθη καὶ κατετέθη, δι' ὧν τὴν θέαν ἄνθρωποι πρότερον περὶ
πᾶσαν ἐπλανῶντο τὴν οἰκουμένην, ἕως ἄλλο παρ' ἄλλοις ἦν κείμενον

PAMLVRCLatZonaras I p. 550.

1 δ'] euan. P δὲ VR ἃ] ἃσ L 2 πρῶτος ἤλαυνε tr. C παρίππευεν] C *περιίππευεν* PAMLVR *adequitabat* Lat 3 διαπρέπων PAVR 4 i. marg. *ιη'* C *τὸν νεὼ*] τῶ νεὼ P τὸν νεῶν MVRC καπιτωλίου L 6 *μέχρι* PA¹ *τὸν* om. L *τῶν πολεμίων στρατηγοῦ* tr. A 7 *γιώρα, ι* ex *η* corr. R *πεπομπευκὼσ*, inter *ε* et *π* ras. 1—2 litt. L 8 *βρόχῳ, β* ex corr. A 9 *δέ ἐστι* VR 11 *δὲ* VR *εὐφήμισαν* C 12 *ἐπήεσαν* VR 13 *τὸ βασίλειον* ex *τὰ βασίλεια* corr. uid. A 14 *δὲ* VR *εὐτρεπεῖς*] Niese *εὐπρεπεῖσ* codd. *instructi* Lat 15 *ἑόρταζεν* PAV¹RC 16 *στρατιᾶσ* PAMVRC *δὲ*] *δὲ τῆσ* PMLVRC 17 *ὑπὲρ* om. P 18 *βεβαιοτάτην*] *βεβαιότητα τὴν* PA¹ fort. recte ita, ut *τὴν βεβαιότητα* interpretamentum sit ad *κατάστασιν* ascriptum 20 *ἀνθρωπίνης*] *ἀνθνησ*, *ι* i. ras. ex *ω* corr. uid. A *κρείττ***|πινοίασ* P *κρειττων* C 21 *ἐτελείωτο* C *τῇ*] *τὴν* C 22 *κατορθωμένοισ* (*θω* euan. P) PAC *γραφῇ* Hudson *πλαστικῆς*] C et ex corr. A *πλαστικοῖσ* PA¹MLVR 23 *κατεκόσμισε* C *νεὼν* MVR *νεὸν* C 24 *ἄνθρωποι πρότερον*] *qui ante nos fuerunt homines* Lat 25 *ἕως*] *quomodo* Lat, unde *ὡς* Hudson

161 ἰδεῖν ποθοῦντες. ἀνέθηκε δὲ ἐνταῦθα καὶ τὰ ἐκ τοῦ ἱεροῦ τῶν
162 Ἰουδαίων χρυσᾶ κατασκευάσματα σεμνυνόμενος ἐπ᾽ αὐτοῖς. τὸν
δὲ νόμιον αὐτῶν καὶ τὰ πορφυρᾶ τοῦ σηκοῦ καταπετάσματα προσ-
έταξεν ἐν τοῖς βασιλείοις ἀποθεμένους φυλάττειν.

163 VI. 1. Εἰς δὲ τὴν Ἰουδαίαν πρεσβευτὴς Λουκίλιος Βάσσος ἐκ-
πεμφθεὶς καὶ τὴν στρατιὰν παρὰ Κερεαλίου Οὐετιλιανοῦ παρα-
λαβὼν τὸ μὲν ἐν τῷ Ἡρωδείῳ φρούριον προσηγάγετο μετὰ τῶν
164 ἐχόντων, μετὰ ταῦτα δὲ πᾶν ὅσον ἦν στρατιωτικὸν συναγαγών, πολὺ
δ᾽ ἦν κατὰ μέρη διῃρημένον, καὶ τῶν ταγμάτων τὸ δέκατον, ἔγνω
στρατεύειν ἐπὶ Μαχαιροῦντα· πάνυ γὰρ ἦν ἀναγκαῖον ἐξαιρεθῆναι
τὸ φρούριον, μὴ διὰ τὴν ὀχυρότητα πολλοὺς εἰς ἀποστασίαν ἐπα-
165 γάγηται. καὶ γὰρ τοῖς κατέχουσι βεβαίαν ἐλπίδα σωτηρίας καὶ τοῖς
ἐπιοῦσιν ὄκνον καὶ δέος ἡ τοῦ χωρίου φύσις ἦν παρασχεῖν ἱκανω-
166 τάτη. αὐτὸ μὲν γὰρ τὸ τετειχισμένον πετρώδης ὄχθος ἐστὶν εἰς
μήκιστον ὕψος ἐγγεγριμένος, ὡς εἶναι καὶ διὰ τοῦτο δυσχείρωτος,
167 μεμηχάνηται δ᾽ ὑπὸ τῆς φύσεως εἶναι μηδὲ προσιτός· φάραγξιν
γὰρ πάντοθεν ἀσύνοπτον ἐχούσαις τὸ βάθος περιτετάφρευται, μήτε
περαθῆναι ῥᾳδίως δυναμέναις καὶ χωσθῆναι παντάπασιν ἀμηχάνοις.
168 ἡ μὲν γὰρ ἀπὸ τῆς ἑσπέρας περιτέμνουσα παρατείνει σταδίους ἑξή-
κοντα πέρας αὗτῆς τὴν Ἀσφαλτῖτιν ποιουμένη λίμνην· κατὰ τοῦτο
δέ πη καὶ αὐτὸς ὁ Μαχαιροῦς τὴν ὑψηλοτάτην ἔχει κορυφὴν ὑπερ-

---

PAMLVRC Lat Zonaras I p. 554.

1 δ᾽ LC τὰ — 2 κατασκευάσματα] *quae iudaeorum fuerant instrumenta* Lat χρυσᾶ] χρυ** P αὐτοῖς τὸν] αὐτὸν VR 3 καταπετάσματα] σκεύη L 4 ἀποθεμένους ex ἀποθέμενος corr. A ἀποθεμένο** P φυλάσσειν L 5 Ἰουδαίαν] τῶν Ἰουδαίων VR Λουκίλιος] Lat et ed. pr. λούκιος codd. Zon 6 στρατιὰν] στρατηγίαν PALLat κερεαλίου A κερελίου L *cereali* Lat οὐετιλλιανοῦ L οὐετιλλιανοῦ R *uitelliano* aut *uitellieno* Lat Οὐετουλενοῦ Renier; Sex. Vettulenus Ciuica Cerialis huic uiro nomen erat; fort. igitur Οὐεττιληνοῦ reponendum; cf. VI 237 7 ἡρωδίῳ AVRZon μετὰ] *ab* Lat 8 δὲ ταῦτα tr. V ἦν] om. M ἦν ἐκεῖ Zon 9 δὲ VR 10 στατεύειν (s. m. 2) V 11 ἀπόστασιν MLVRC ἀπαγάγηται M 12 ἐλπίδα, α ex ο corr. A 13 παρασχεῖν ἦν tr. M ἱκανοτάτη C 14 αὐτὸ μὲν γὰρ τὸ] τὸ μὲν γὰρ VR ἐγειγερμένος C 15 δυσχείρω-··τος (ω ex ώ corr.) A 16 μεμηχάνηται, αι i. ras. 1 litt. m. 2 V δὲ MVR προσιτός] LVRZon et ex corr. A προσητός M προσιόντος PA¹ προσβατός C 17 ἔχουσαι L 18 περαθῆναι L παντάπασιν] πάντοθεν L 20 αὐτῆς] Bekker αὐτῆσ codd. ἀσφαλτίτιν‖*****μένη P 21 μαχαι****τὴν P

ἀνίσχουσαν· αἱ δ' ἀπὸ τῆς ἄρκτου καὶ μεσημβρίας φάραγγες με- 169
γέθει μὲν ἀπολείπονται τῆς προειρημένης, ὁμοίως δ' εἰσὶν ἀμί-
χανοι πρὸς ἐπιχείρησιν. τῆς δὲ πρὸς ἀνατολὴν φάραγγος τὸ μὲν 170
βάθος οὐκ ἔλαττον ἑκατὸν εὑρίσκεται πήχεων, τέρμα δὲ γίνεται
πρὸς ὄρος ἀπαντικρὺ κείμενον Μαχαιροῦντος.

2. Ταύτην τοῦ τόπου κατιδὼν τὴν φύσιν βασιλεὺς Ἰουδαίων 171
Ἀλέξανδρος πρῶτος ἐπ' αὐτοῦ τειχίζει φρούριον, ὃ μετὰ ταῦτα
Γαβίνιος Ἀριστοβούλῳ πολεμῶν καθεῖλεν. Ἡρώδῃ δὲ βασιλεύοντι 172
ταντὸς ἔδοξε μᾶλλον ἐπιμελείας ἄξιον εἶναι καὶ κατασκευῆς ὀχυ-
ρωτάτης μάλιστα καὶ διὰ τὴν τῶν Ἀράβων γειτνίασιν· κεῖται γὰρ
ἐν ἐπικαίρῳ πρὸς τὴν ἐκείνων γῆν ἀποβλέπον. μέγαν μὲν οὖν 173
τόπον τείχεσιν καὶ πύργοις περιβαλὼν πόλιν ἐνταῦθα κατῴκισεν.
ἐξ ἧς ἄνοδος εἰς αὐτὴν ἔφερε τὴν ἀκρώρειαν. οὐ μὴν ἀλλὰ καὶ 174
περὶ αὐτὴν ἄνω τὴν κορυφὴν τεῖχος ἐδείματο καὶ πύργους ἐπὶ ταῖς
γωνίαις ἕκαστον ἑξήκοντα πηχῶν ἀνέστησεν. μέσον δὲ τοῦ περι- 175
βόλου βασίλειον ᾠκοδομήσατο μεγέθει τε καὶ κάλλει τῶν οἰκήσεων
πολυτελές, πολλὰς δὲ καὶ δεξαμενὰς εἰς ὑποδοχὴν ὕδατος καὶ χο- 176
ρηγίαν ἄφθονον ἐν τοῖς ἐπιτηδειοτάτοις τῶν τόπων κατεσκεύασεν,
ὥσπερ πρὸς τὴν φύσιν ἀμιλληθείς, ἵν' αὐτὸς τὸ κατ' ἐκείνην τοῦ
τόπου δυσάλωτον ὑπερβάληται ταῖς χειροποιήτοις ὀχυρώσεσιν· ἔτι 177
γὰρ καὶ βελῶν πλῆθος καὶ μηχανημάτων ἐγκατέθετο καὶ πᾶν ἐπε-
νόησεν ἑτοιμάσασθαι τὸ παρασχεῖν δυνάμενον τοῖς ἐνοικοῦσιν μη-
κίστης πολιορκίας καταφρόνησιν.

3. Ἐπεφύκει δ' ἐν τοῖς βασιλείοις πήγανον ἄξιον τοῦ μεγέθους 178
θαυμάσαι· συκῆς γὰρ οὐδεμιᾶς ὕψους καὶ πάχους ἐλείπετο. λόγος 179
δὲ ἦν ἀπὸ τῶν Ἡρώδου χρόνων αὐτὸ διαρκέσαι, κἂν ἐπὶ πλεῖστον

PAMLVRCLatZonaras I p. 554.

1 αἱ δ'] euan. P αἱ δὲ VRC 2 μὲν euan. P δ' εἰσὶν] δέ·σιν, eras. *r* V δὲ εἰσὶν R εἰσὶν **ήχανοι P πρὸς ἐπιχείρησιν δὲ τῆς πρὸς uertit Lat 3 τῆς δὲ] τῆσ δὲ τῆσ P ἀνατολὴν] τὴν ἀνατολὴν LVRC 4 ἔλαττον εὑρίσκεται ῥ πηχέων tr. C 5 ἀπ' ἀντικρὺ MR 9 ἄξιον] ἄξιος Destinon ex Lat, in quo est *dignior* εἶναι καὶ|τασκευῆσ A ὀχυρωτάτησ PVRC ἰσχυροτάτησ L 11 ἀποβλέπων PALV¹ ἐπιβλέπων C μέγα VRC 12 κατώκησεν C 15 ἕκαστον] R ἑκατὸν PAMLVCLat ἑξήκοντα πηχῶν ἕκαστον tr. Destinon πηχέων C 16 οἰκοδομήσατο PA¹ 17 δεξαμένασ P 19 ἵνα VR τοῦ om. R 20 ἔτι] ἔτι τε MVRC 22 μηκίστης] μήκει τῆσ L *magnae* Lat 24 i. marg. κβ' C ἐπεφύη L δὲ VR *in ipsa regia* Lat πήγανον] καὶ πήγανον cod. Voss. et inde Hudson 25 ἐλείπετο] PAMVRZon ἀπελείπετο LC 26 δ' LCZon ἡρώιδου L κἂν] καὶ L

ἴσως ἔμεινεν, ἐξεκόπη δὲ ὑπὸ τῶν παραλαβόντων τὸν τόπον Ἰου-
180 δαίων. τῆς φάραγγος δὲ τῆς κατὰ τὴν ἄρκτον περιεχούσης τὴν
πόλιν Βαάρας ὀνομάζεταί τις τόπος, φύει ῥίζαν ὁμωνύμως λεγο-
181 μένην αὐτῷ. αὕτη φλογὶ μὲν τὴν χροίαν ἔοικε, περὶ δὲ τὰς ἑσπέρας
σέλας ἀπαστράπτουσα τοῖς ἐπιοῦσι καὶ βουλομένοις λαβεῖν αὐτὴν 5
οὐκ ἔστιν εὐχείρωτος, ἀλλ' ὑποφεύγει καὶ οὐ πρότερον ἵσταται,
πρὶν ἄν τις οὖρον γυναικὸς ἢ τὸ ἔμμηνον αἷμα χέῃ κατ' αὐτῆς.
182 οὐ μὴν ἀλλὰ καὶ τότε τοῖς ἁψαμένοις πρόδηλός ἐστι θάνατος, εἰ
μὴ τύχοι τις αὐτὴν ἐκείνην ἐπενεγκάμενος τὴν ῥίζαν ἐκ τῆς χειρὸς
183 ἀπηρτημένην. ἁλίσκεται δὲ καὶ καθ' ἕτερον τρόπον ἀκινδύνως, ὃς 10
ἔστι τοιόσδε· κύκλῳ πᾶσαν αὐτὴν περιορύσσουσιν, ὡς εἶναι τὸ
184 κρυπτόμενον τῆς ῥίζης βραχύτατον. εἶτ' ἐξ αὐτῆς ἀποδοῦσι κύνα,
κἀκείνου τῷ δήσαντι συνακολουθεῖν ὁρμήσαντος ἡ μὲν ἀνασπᾶται
ῥᾳδίως, θνήσκει δ' εὐθὺς ὁ κύων ὥσπερ ἀντιδοθεὶς τοῦ μέλλοντος
τὴν βοτάνην ἀναιρήσεσθαι· φόβος γὰρ οὐδεὶς τοῖς μετὰ ταῦτα λαμ- 15
185 βάνουσιν. ἔστι δὲ μετὰ τοσούτων κινδύνων διὰ μίαν ἰσχὺν περι-
σπούδαστος· τὰ γὰρ καλούμενα δαιμόνια, ταῦτα δὲ πονηρῶν ἐστιν
ἀνθρώπων πνεύματα τοῖς ζῶσιν εἰσδυόμενα καὶ κτείνοντα τοὺς
βοηθείας μὴ τυγχάνοντας, αὕτη ταχέως ἐξελαύνει, κἂν προσενεχθῇ
186 μόνον τοῖς νοσοῦσι. ῥέουσι δὲ καὶ θερμῶν ὑδάτων πηγαὶ κατὰ 20
τὸν τόπον πολὺ τὴν γεῦσιν ἀλλήλων διαφέρουσαι· πικραὶ μὲν γὰρ
187 αὐτῶν τινές εἰσιν, αἱ δὲ γλυκύτητος οὐδὲν ἀπολείπουσαι. πολλαὶ
δὲ καὶ ψυχρῶν ὑδάτων ἀναδόσεις οὐ μόνον ἐν τῷ χθαμαλωτέρῳ
188 τὰς πηγὰς παραλλήλους ἔχουσαι, ἀλλ' ὡς ἂν καὶ μᾶλλόν τις θαυ-

---

PAMLVRC Lat Zonaras I p. 554.

1 ἐξεκόπη, κ ex corr. A δ' C τω * * * * * | λαβόντων P τὸν] τὸ R 2 δὲ * * * | κατὰ P 3 βαὰρ L Zon βαρασ (s. m. 2) V *babras* aut *brabas* Lat * * * | μάζεται P φύει] φύει τε C *ubi — gignitur* Lat καὶ φύει Zon ὃς φύει Destinon; potest etiam in hunc modum sententia restitui *τις τόπος, Βαάρας ὀνομάζεται, φύει ῥίζαν λεγομέν * *| P* 4 αὕτη] αὐτῇ PA¹ χρόαν L et ex corr. A χροιὰν MVRCZon 5 τοῖς] τοῖσ δ' L βουλομένοις λαβεῖν, λο ex λό corr., litt. ισ λαβεῖν i. ras. 6 litt. A 6 ἀχείρωτοσ R¹ ἀλλ'] ἀλ' A 7 πρὶν] πρὶ L γυναικὸς, ὸσ i. ras. A ἐμμήνιον C καταυτῆσ, τ suppl., αυτ correctum uid. A 9 τύχοι] τύ * * P τύχῃ LVRCZon ἐκ τ * * | χειρὸσ P 10 καθ' ἕτερον] κατὰ θάτερον M τρόπον] * * * | πον P 12 εἶτα VR ἐξ, ε ex α corr. A 14 δὲ VR εὐθέωσ L 15 γὰρ] δὲ Zon, qui 14 ὥσπερ — 15 ἀναιρήσεσθαι om. 16 διὰ s. C περισπούδαστοσ, σ finale ex ν corr. A περισπούδατοσ C 17 δὲ] δ' ἐπὶ L 18 ἀνθρώπων ἐστὶν tr. L πνεύματα, πν ex corr. A πνᾱ R 19 τυχόντασ ML 20 i. marg. κδ' C ῥέουσι, ι i. ras. maiore A κατὰ] κατατὰ C 22 ἀπολείπουσι (— σιν LV) AMLVR 24 παραλλήλωσ PALVC παραλλήλων R *alternos* Lat ἔχουσιν ALVRC et fort. Lat

μάσεις. σπήλαιον γάρ τι πλησίον ὑρᾶται κοιλότητι μὲν οὐ βαθεῖ, τῇ πέρᾳ δὲ προυχούσῃ σκεπόμενον· ταύτης ἄνωθεν ὁσονεὶ μαστοὶ 189 δύο ἀνέχουσιν ἀλλήλων ὀλίγῳ διεστῶτες, καὶ ψυχροτάτην μὲν ἕτερος πηγήν, ἕτερος δὲ θερμοτάτην ἐκδίδωσιν, αἳ μισγόμεναι ποιοῦσι λουτρὸν ἴδιστον παιωνίων τε νοσημάτων, πολλῷ δὲ μάλιστα νεύρων ἄκεσιν. ἔχει δὲ ὁ τόπος καὶ θείου καὶ στυπτηρίας μέταλλα.

4. Βάσσος δὲ περισκεψάμενος τὸ χωρίον ἔγνω ποιεῖσθαι τὴν 190 προόσοδον χωννὺς τὴν φάραγγα τὴν πρὸς ταῖς ἀνατολαῖς καὶ τῶν ἔργων εἴχετο, σπουδὴν ποιούμενος ἧ τάχος ἐξᾶραι τὸ χῶμα καὶ δι' αὐτοῦ ῥᾳδίαν ποιῆσαι τὴν πολιορκίαν. οἱ δ' ἔνδον ἀπειλημμένοι 191 τῶν Ἰουδαίων αὐτοὶ καθ' ἑαυτοὺς ἀπὸ τῶν ξένων διακριθέντες ἐκείνους μὲν ἠνάγκασαν, ὄχλον ἄλλως εἶναι νομίζοντες, ἐν τῇ κάτω πόλει παραμένειν καὶ τοὺς κινδύνους προεκδέχεσθαι, τὸ δ' ἄνω 192 φρούριον αὐτοὶ καταλαβόντες εἶχον καὶ διὰ τὴν ἰσχὺν τῆς ὀχυρότητος καὶ προνοίᾳ τῆς σωτηρίας αὐτῶν· τεύξεσθαι γὰρ ἀφέσεως ὑπελάμβανον, εἰ τὸ χωρίον Ῥωμαίοις ἐγχειρίσειαν. πείρᾳ δὲ πρό- 193 τερον ἐβούλοντο τὰς ὑπὲρ τοῦ διαφεύξεσθαι τὴν πολιορκίαν ἐλπίδας ἐλέγξαι. διὰ τοῦτο καὶ προθύμως ἐτοιοῦντο τὰς ἐξόδους ἀνὰ πᾶσαν ἡμέραν, καὶ τοῖς χοῦσι συμπλεκόμενοι πολλοὶ μὲν ἔθνησκον, πολ- λοὶς δὲ τῶν Ῥωμαίων ἀνῄρουν. ἀεὶ δὲ τὸ κρατεῖν ὁ καιρὸς ἐβρά- 194 βευεν ἑκατέροις τὸ πλέον, τοῖς μὲν Ἰουδαίοις, εἰ πρὸς ἀφυλακτοτέρους προσπέσοιεν, τοῖς δὲ ἐπὶ τῶν χωμάτων προϊδομένοις, εἰ τὴν ἐκδρομὴν αὐτῶν δέχοιντο πεφραγμένως. ἀλλ' οὐκ ἐν τούτοις 195 ἔμελλεν γενήσεσθαι τὸ πέρας τῆς πολιορκίας, ἔργον δέ τι πραχθὲν ἐκ συντυχίας παράλογον τῆς παραδόσεως τοῦ φρουρίου τὴν ἀνάγ-

PAMLVRC Lat Zonaras I p. 555.

1 *γὰρ* om. Hudson auctore ut ait Lat, sed in hoc *etenim* extat 3 *ἀνέ*]****σιν* P *ὀλίγον* C 5 *παιώνιόν τε*] *παιωνίων τὲ* ex *παιωνιόντα* corr. A *παιώνιον δὲ* L *παιωνείων τε* C *μάλιστα*] *μᾶλλον* L 6 *δ'* LC 7 i. marg. *κε'* C *περισκεψάμενος*] *πάντη περισκεψάμενος* C *contemplatus undique* Lat 9 *ἔργων*] *ἄλλων ἔργων* L *ἧ τάχος*] *quam plurimum* Lat *τὸ χῶμα*] PALLat *τὰ χώματα* MVRC 10 *αὐτῶν* MVRC *δὲ* VR *ἐναπειλημμένοι* Zon 11 *αὐτοὺς* L 13 *δὲ* VR 14 *καταλαμβάνοντες* L *καὶ* om. P *ὀχυρότητος*] *ἰσχυρότητος* V 15 *προνοίας* V *πρόνοιαν* C *αὐτῶν* Bekker *τεύξασθαι* L 16 *εἰ*] *εἰσ* R¹ *ἐγχειρήσειαν* PAMLR 17 *ἐβουλεύοντο* L *διαφεύξασθαι* LVRC 18 *προθύμουσ* VRC 19 *χοῦσι*] Destinon *τυχοῦσι* codd. Lat; cf. §§ 194. 197 20 *τὸ*] *τοῦ* AMLVRC *ἐβράβευεν ἐν* L 21 *ἑκατέροις*] *ἀμφοτέροις* C *ἀφυλακτοτέροις* L 22 *τοῖς* — 23 *δέχοιντο*] *in aggere autem positis, si prouisum excursum eorum bene septi armis exciperent* Lat *δ'* L *ἐπὶ* om. R *προϊδομένοις εἰ*] *προειδομένοισ εἰ* PAC *εἰ προειδομένοισ* ML *προϊδομένοισ εἰσ* (*εἰ* - R) VR 24 *γένεσθαι* C 25 *παραδώσεωσ* AL

196 κην ἐπέστησε τοῖς Ἰουδαίοις. ἦν ἐν τοῖς πολιορκουμένοις νεανίας
τολμῆσαί τε θρασὺς καὶ κατὰ χεῖρα δραστήριος, Ἐλεάζαρος ὄνομα·
197 γεγόνει δὲ οὗτος ἐν ταῖς ἐκδρομαῖς ἐπιφανὴς τοὺς πολλοὺς ἐξιέναι
καὶ κωλύειν τὴν χῶσιν παρακαλῶν καὶ κατὰ τὰς μάχας πολλὰ καὶ
δεινὰ τοὺς Ῥωμαίους διατιθείς, τοῖς δὲ σὺν αὐτῷ τολμῶσιν ἐπεκ-
τρέχειν ῥᾳδίαν μὲν τὴν προσβολὴν τιθέμενος, ἀκίνδυνον δὲ παρέχων
198 τὴν ἀναχώρησιν τῷ τελευταῖος ἀπιέναι. καὶ δή ποτε τῆς μάχης
διακριθείσης καὶ γεγονυίας ἀμφοτέρων ἀναχωρήσεως αὐτὸς ἅτε δὴ
περιφρονῶν καὶ νομίζων οὐκ ἂν ἔτι τῶν πολεμίων οὐδένα τότε
μάχης ἄρξειν, μείνας τῶν πυλῶν ἔξω τοῖς ἐπὶ τοῦ τείχους διελάλει
199 καὶ πᾶς πρὸς ἐκείνοις τὴν διάνοιαν ἦν. ὁρᾷ δὲ τὸν καιρὸν τοῦ
Ῥωμαϊκοῦ τις στρατοπέδου Ῥοῦφος, γένος Αἰγύπτιος, καὶ μηδενὸς
ἂν προσδοκήσαντος ἐξαίφνης ἐπιδραμὼν σὺν αὐτοῖς ἁράμενος αὐτὸν
τοῖς ὅπλοις. ἕως κατεῖχε τοὺς ἀπὸ τῶν τειχῶν ἰδόντας ἔκπληξις,
200 φθάνει τὸν ἄνδρα μεταθεὶς πρὸς τὸ Ῥωμαίων στρατόπεδον. τοῦ
δὲ στρατηγοῦ κελεύσαντος γυμνὸν διαλαβεῖν αὐτὸν καὶ καταστήσαν-
τας εἰς τὸ φανερώτατον τοῖς ἐκ τῆς πόλεως ἀποβλέπουσι μάστιξιν
αἰκίζεσθαι, σφόδρα τοὺς Ἰουδαίους τὸ περὶ τὸν νεανίαν πάθος
συνέχεεν, ἀθρόα τε ἡ πόλις ἀνώμωξε, καὶ θρῆνος ἦν μείζων ἢ καθ'
201 ἑνὸς ἀνδρὸς συμφοράν. τοῦτο συνιδὼν ὁ Βάσσος κατὰ τῶν πολε-
μίων ἀρχὴν ἐποιήσατο στρατηγήματος, καὶ βουληθεὶς αὐτῶν ἐπι-
τεῖναι τὸ περιαλγές, ἵνα βιασθῶσιν ἀντὶ τῆς σωτηρίας τἀνδρὸς
ποιήσασθαι τοῦ φρουρίου παράδοσιν, τῆς ἐλπίδος οὐ διήμαρτεν.
202 ὁ μὲν γὰρ προσέταξε καταπηγνύναι σταυρὸν ὡς αὐτίκα κρεμῶν τὸν
Ἐλεάζαρον, τοῖς δὲ ἀπὸ τοῦ φρουρίου τοῦτο θεασαμένοις ὀδύνη τε

PAMLVRC Lat Zonaras I p. 555.

2 *τολμῆσαί*] *τόλμη* LZon *δραστήριοσ ἐλεά|ζαροσ ὄνομα*, litt. *ήριοσ ἐλε* suppl., *άζαροσ ὄνομα* i. ras. circiter 6 litt. P *Ἐλεάζαρ* hic et infra Zon 3 *δ'* LC *οὗτος*] *αὐτὸσ* L 5 *τοὺ***|μαίουσ* P *διατεθεὶσ* C *τολμῶσιν, σι* s. C *ἐπεκτρέχειν*] *ἐπεκ***|χειν* P *ἐκτρέχειν*, i. marg. suppl. *ἐπ* A 7 *τῷ*] *τὸ* P *ἀπιέναι*] *ἀπ**ναι* P *ἀπεῖναι* MVRC 9 *καὶ* om. Lat 11 *ἐκείνουσ* MVRC *τὸν καιρὸν*] *αὐτὸν τίσ* C 12 *τισ* om. C *Ῥοῦφος*] *ροῦ|**** P 13 *ἐξαίφνησ*, *ἐξαί* euan. P *ἁράμενον* P *ἀράμενοσ*, *σ* ex *ν* corr. C *αὐτῶν* V 14 *τοῖς* om. C *ὅπλ***ἕωσ* P *ἔκπληξ**|φθάνει* P 15 *μετατιθεὶσ* PA *πρὸς*] *εἰσ* L *ῥωμαῖον* C *ῥωμαϊκὸν* P 16 *καταστήσαντοσ* PAC 18 *σφόδρα*] *σφόδρα δὲ* P *σφόδρα τε* Destinon *τὸ*] i. ras. ex *καὶ* corr. uid. A *τό τε* L 19 *ἀθρόα* VR *τε*] *δ'* C *ἀνώμοξε* (*-ξεν* V) PAVR *μεῖζον* C 23 *τῆσ ἐλπίδασ* R 24 *προσέταξε*, litt. *προσετα* i. ras. ex *π·ρ·δει* corr. A *καταπήγνυσθαι* L *κρεμνῶν* PAL *κρεμὼν* VRC *κρεμάσων* Zon 25 *τοὺσ* PA¹L *δ'* LC *θεασαμένουσ* PA¹L *θεασαμένουσ τοῦτο* tr. L

πλείων προσέπεσε, καὶ διωλίγιον ἀνήμωζον οὐκ ἀνασχετὸν εἶναι τὸ πάθος βοῶντες. ἐνταῦθα δὴ τοίνυν Ἐλεάζαρος ἑστὼς αὐτοὺς 203
μήτε αὐτὸν περιδεῖν ὑπομείναντα θανάτων τὸν οἰκτιστον καὶ σφίσιν αὐτοῖς τὴν σωτηρίαν παρασχεῖν τῇ Ῥωμαίων ἐξάντιας ἰσχύι καὶ τύχῃ μετὰ πάντας ἤδη κεχειρωμένους. οἱ δὲ καὶ πρὸς τοὺς ἐκείνου 204
λόγους κατακλώμενοι καὶ πολλῶν ἔνδον ὑπὲρ αὐτοῦ δεομένων. ἦν γὰρ ἐκ μεγάλης καὶ σφόδρα πολυανθρώπου συγγενείας, παρὰ τὴν αὐτῶν φύσιν εἰς οἶκτον ἐνέδωκαν· καί τινας ἐξαποστείλαντες κατὰ 205
τάχος διελέγοντο ποιεῖσθαι τὴν παράδοσιν τοῦ φρουρίου ἀξιοῦντες, ἵν' ἀδεεῖς ἀπαλλάττωνται κομισάμενοι τὸν Ἐλεάζαρον. δεξαμένων 206
δὲ τῶν Ῥωμαίων καὶ τοῦ στρατηγοῦ ταῦτα, τὸ πλῆθος τῶν ἐν τῇ κάτω πόλει τὴν γεγενημένην ἰδίᾳ τοῖς Ἰουδαίοις πυθόμενοι σύμβασιν αὐτοὶ κατὰ νύκτα λαθόντες ἔγνωσαν ἀποδρᾶναι. τὰς πύλας 207
δὲ αὐτῶν ἀνοιξάντων παρὰ τῶν τὴν ὁμολογίαν πεποιημένων πρὸς τὸν Βάσσον ἦκεν μήνυσις, εἴτ' οὖν τῆς σωτηρίας αὐτοῖς φθονησάντων εἴτε [καὶ] διὰ δέος, μὴ τὴν αἰτίαν αὐτοὶ λάβωσι τῆς ἐκείνων ἀποδράσεως. οἱ μὲν οὖν ἀνδρειότατοι τῶν ἐξιόντων ἔφθασαν διεκ- 208
παίσασθαι καὶ διαφυγεῖν, τῶν δ' ἔνδον καταλειφθέντων ἄνδρες μὲν ἀνηρέθησαν ἐπὶ τοῖς χιλίοις ἑπτακόσιοι, γύναια δὲ καὶ παῖδες ἠνδραποδίσθησαν. τὰς δὲ πρὸς τοὺς παραδόντας τὸ φρούριον ὁμο- 209
λογίας οἰόμενος δεῖν ὁ Βάσσος διαφυλάττειν αὐτούς τε ἀφίησιν καὶ τὸν Ἐλεάζαρον ἀπέδωκε.

5. Ταῦτα δὲ διοικησάμενος ἠπείγετο τὴν στρατιὰν ἄγων ἐπὶ 210
τὸν προσαγορευόμενον Ἰάρδην δρυμόν· πολλοὶ γὰρ εἰς αὐτὸν ἠγγέλθησαν ἠθροῖσθαι τῶν κατὰ τὰς πολιορκίας πρότερον ἐκ τε Ἱερο-

---

PAMLVRCLatZonaras I p. 556.

1 *ἀνώμοζον* PALVRC *ἀνάσχετον* L 3 *μήτ'* C *θάνατον* ALC *ὑπομείναντα*] *subiturum* Lat 4 *ἰσχύι* C 5 *κεχειρωμένους, κε* i. ras. 3 litt. L 7 *πολυανθρώπου, ολ* i. ras. A 8 *αὐτῶν*] *αὐτὴν* VR *αὐτῶν* Bekker *εἰς οἶκτον* om. C *τινες* P 9 *ἀξιοῦντες* om. Zon 10 *ἵνα* LVRCZon *ἀπαλάττωνται* C 11 *τῶν — στρατηγοῦ*] *dux romanorum* Lat 13 *λαθόντες*] *μαθόντες* VR 14 *δ'* LC 15 *βᾶσσον* L *εἴτε* VR *αὐτοῖς*] MVR et ex corr. A *αὐτῶν* PA¹LC *φθονεσάντων* PA 16 *καὶ* om. PAVR 17 *οἱ — 18 διαφυγεῖν*] *sed fortissimi quidem fugientium, qui praecesserant, euaserunt* Lat *ἀνδριότατοι* A *ἔφθασαν*] *ἔφυγον* C *διεκπέσασθαι* VR *διεκπεσεῖν* Zon 18 *διαφυγεῖν*] *διέφυγον* C *δὲ* VR *καταληφθέντων* VRCZon *reliquorum* Lat 19 *ἀνηρέθησαν, η* ante *ρ* i. ras. maiore L *ἑπτακοσίοις* L 20 *τοὺς*] *τὰς* C *φρούρειον* C 21 *δεῖν* om. VR *βᾶσσος* L *τ'* C 23 i. marg. *κς'* C *ἠπείγετο, η* ex *ο* corr. A *ἐπείγετο, ει* ex corr. (uoluit *εγ* scribere) P 24 *Ἰαρδην* L *Ἰάρδην* V *ιάρδην* R *iarden* (*uiarden* cod. Vat.) Lat

211 σολύμων καὶ Μαχαιρουῦντος ἀποδράντων. ἐλθὼν οὖν ἐπὶ τὸν τόπον
καὶ γνοὺς τὴν ἀγγελίαν οὐκ ἐψευσμένην πρῶτον μὲν τοῖς ἱππεῦσιν
ἅπαν κυκλοῦται τὸ χωρίον, ὅπως τοῖς διεκπαίεσθαι τολμῶσιν τῶν
Ἰουδαίων ἄπορος ἡ φυγὴ γίνηται διὰ τοὺς ἱππέας· τοὺς δὲ πεζοὺς
212 ἐκέλευσεν δενδροτομεῖν τὴν ὕλην, εἰς ἣν καταπεφεύγεσαν. καθί- 5
σανται δὲ διὰ τοῦτο πρὸς ἀνάγκην οἱ Ἰουδαῖοι τοῦ δρᾶν τι γενναῖον
ὡς ἐκ παραβόλου ἀγωνίσασθαι τάχα ἂν καὶ διαφυγόντες, ἀθρόοι
213 δὲ καὶ μετὰ βοῆς ἅξαντες ἐνέπιπτον τοῖς κεκυκλωμένοις. οἱ δ'
αὐτοὺς ἐδέχοντο καρτερῶς, καὶ πολλῇ τῶν μὲν ἀπονοίᾳ τῶν δὲ φιλο-
νεικίᾳ χρωμένων χρόνος μὲν οὐκ ὀλίγος διὰ τοῦτο τῇ μάχῃ προύβη, 10
214 τέλος δ' αὐτῆς οὐχ ὅμοιον ἀπέβη τοῖς ἀγωνισαμένοις. Ῥωμαίων
μὲν γὰρ δώδεκα τοὺς πάντας συνέβη πεσεῖν ὀλίγους τε τρωθῆναι,
Ἰουδαίων δὲ ἐκ τῆς μάχης ταύτης οὐδεὶς διέφυγεν, ἀλλ' ὄντες οὐκ
215 ἐλάττους τρισχιλίων πάντες ἀπέθανον, καὶ ὁ στρατηγὸς αὐτῶν
Ἰούδας ὁ τοῦ Ἀρεῖ παῖς, περὶ οὗ πρότερον εἰρήκαμεν ὅτι τάξεως 15
ἡγούμενός τινος ἐν τῇ πολιορκίᾳ τῶν Ἱεροσολύμων κατά τινας διαδὺς
τῶν ὑπονόμων ἔλαθεν ἀποδράς.

216 6. Περὶ δὲ τὸν αὐτὸν καιρὸν ἐπέστειλε Καῖσαρ Βάσσῳ καὶ
Λαβερίῳ Μαξίμῳ, οὗτος δὲ ἦν ἐπίτροπος, κελεύων πᾶσαν γῆν ἀπο-
217 δόσθαι τῶν Ἰουδαίων. οὐ γὰρ κατῴκισεν ἐκεῖ πόλιν ἰδίαν αὐτῷ τὴν 20
χώραν φυλάττων, ὀκτακοσίοις δὲ μόνοις ἀπὸ τῆς στρατιᾶς διαφει-
μένοις χωρίον ἔδωκεν εἰς κατοίκησιν, ὃ καλεῖται μὲν Ἀμμαοῦς,

PAMLVRC Lat Zonaras I p. 557.

2 *εψευσ·μένην* A 3 *διεκπέεσθαι* V¹R 4 *γίγνηται* (*γίγ* ex corr. m. 2 V) VRC *διὰ τοὺς ἱππέας* damnat Destinon *πεζοὺς, ε* i. ras. maiore L 5 *ἐκέλευε* AMVR 7 *ὡς — διαφυγόντες*] *uelut ex audaci certamine fortasse fugam etiam reperturi* Lat *ὡς ἐκπαραβόλως ἀγωνισάμενοι τάχα ἂν καὶ διαφύγοιεν* Hudson *ὡς*] *καὶ* Destinon *παραβόλου*] A¹MLVRC *παραλόγου* P *τοῦ παραβόλωσ* ex corr. A *τάχα — 8 ἅξαντες ἐνέ*‖ i. ras. 25 fere litt. P *ἀθρόοι δὲ* om. P *ἀθρόοι* V 8 *δὲ*] *δὴ* VR *τε* Niese *ἀΐξαντεσ* codd. *τοῖς κεκυκλωμένοισ*, litt. *τοῖσ κ* i. ras. 3 litt., *υ* i. ras. M *τοῖσ κεκλωμένοισ* LC *δὲ* VRZon 10 *προύβη*] *ἐτρίβη* Zon 11 *δὲ* VRZon *αὐτῆς*] *αὐτοῖσ* PA¹ *pugnae* Lat *αὐτῇ* Zon 12 *μὲν* om. PAM 13 *τῶν Ἰουδαίων δὲ* (*δ'* LC) AMLVRC *τῶν δὲ Ἰουδαίων* Zon *ἀλλ' ὄντες*] *ἀλόντεσ* PL *ἁλόντεσ δ'* A *ἀλλὰ ὄντεσ* VR *ἁλόντες δὲ καὶ* Zon 14 *ὁ* om. LVRC 15 *τοῦ Ἀρεῖ*] *gyari* Lat *Ἰαείρου* Hudson ex VI 92, ubi *Ἰαείρου* ante edebatur *ἀρὶ* L *πρότερον*] hoc ante non narrauit Iosephus 17 *ὑποδρὰσ* LVR¹ 18 i. marg. *κζ'* C *δὲ* om. A *ἀπέστειλε* M *ἐπέστελλε* L *Βάσσῳ* om. Lat 19 *Λαβερίῳ*] Lat *λιβερίω* PAMVRC *λεβερίω* LZon; cf. Mommsen, ephem. epigraph. V p. 614 *δ'* LC *ἀποδόσθαι, ὁ* i. ras. L 20 *οὐ·*| *γὰρ* (eras. fort. *χ*) A *κατώκησεν* A *αὐτῷ*] Dindorf *αὐτῶ* L *αὐτῶν* PAMVRC *ei* Lat 21 *φυλάσσων* L *διαφιεμένοισ* LVRZon 22 *ἔδωκαν* AVR *ἀμμαοῦσ* MR² *amassada* Lat

ἀπέχει δὲ τῶν Ἱεροσολύμων σταδίους τριάκοντα. φόρον δὲ τοῖς 218
ὁποτοῦν οἵοιν Ἰουδαίοις ἐπέβαλεν δύο δραχμὰς ἕκαστον
κελεύσας ἀνὰ πᾶν ἔτος εἰς τὸ Καπετώλιον φέρειν, ὥσπερ πρότερον
εἰς τὸν ἐν Ἱεροσολύμοις νεὼν συνετέλουν. καὶ τὰ μὲν Ἰουδαίων
τότε τοιαύτην εἶχε κατάστασιν.

VII. 1. Ἤδη δὲ ἔτος τέταρτον Οὐεσπασιανοῦ διέποντος τὴν 219
ἡγεμονίαν συνέβη τὸν βασιλέα τῆς Κομμαγηνῆς Ἀντίοχον μεγάλαις
συμφοραῖς πανοικεσίᾳ περιπεσεῖν ἀπὸ τοιαύτης αἰτίας· Καισέν- 220
νιος Παῖτος, ὁ τῆς Συρίας ἡγεμὼν τότε καθεστηκώς, εἴτ' οὖν ἀλη-
θεύων εἴτε καὶ διὰ τὴν πρὸς Ἀντίοχον ἔχθραν, οἱ σφόδρα γὰρ τὸ
σαφὲς ἠλέγχθη, γράμματα πρὸς Καίσαρα διεπέμψατο, λέγων τὸν 221
Ἀντίοχον μετὰ τοῦ παιδὸς Ἐπιφανοῦς διεγνωκέναι Ῥωμαίων ἀφί-
στασθαι συνθήκας πρὸς τὸν βασιλέα τῶν Πάρθων πεποιημένον·
δεῖν οὖν προκαταλαβεῖν αὐτούς, μὴ φθάσαντες τῶν πραγμάτων 222
[ἄρξασθαι] πᾶσαν τὴν Ῥωμαίων ἀρχὴν πολέμῳ συνταράξωσιν. ἔμελλε 223
Καίσαρ τοιούτου μηνύματος αὐτῷ προσπεσόντος μὴ περιορᾶν· καὶ
γὰρ ἡ γειτνίασις τῶν βασιλέων ἐποίει τὸ πρᾶγμα μείζονος ἄξιον
προνοίας· τὰ γὰρ Σαμόσατα τῆς Κομμαγηνῆς μεγίστη πόλις κεῖται 224
παρὰ τὸν Εὐφράτην, ὥστ' εἶναι τοῖς Πάρθοις, εἴ τι τοιοῦτον δι-
ενενόηντο, ῥᾴστην μὲν τὴν διάβασιν βεβαίαν δὲ τὴν ὑποδοχήν. πιστευ- 225
θεὶς οὖν Παῖτος καὶ λαβὼν ἐξουσίαν πράττειν ἃ δοκεῖ συμφέρειν
οὐκ ἐμέλλησεν, ἐξαίφνης δὲ τῶν περὶ τὸν Ἀντίοχον οὐδὲν προσ-

PAMLVRC Lat

1 *ἀπέ·χει* (eras. uid. *σ*) A *τριάκοντα*] ἑξήκοντα C 2 *ὁποδηποτοῦν* P *ὁπονδηποτοῦν* M *ὁπονδήποτ'* ex *ὑπὸ δή ποτ'* corr. A *ὅπου δήποτε* LVRZon *ὅπου δήποτ'* C *οὑσιν, ν* i. ras. M *οὗσι* C *δραγμὰς* A 3 *καπιτώλιον* LZon *προσφέρειν* A 4 *ἐν* om. C *καὶ* — 5 *κατάστασιν* om. M 6 i. marg. *κη'* C *δ'* C *οὐεσπασιανοῦ, ια* i. ras. M 7 *κομμαγινῆσ* P *κομμαγενῆσ* A 8 *πανυκεσία* P *ἀπὸ τῆσ τοιαύτησ* M *Καισέννιος*] Hudson *κεσσένιοσ* PAL *κεσσέννιοσ* M *κεσέννιοσ* VRC *cesennius* Lat 9 *Παῖτος*] Hudson *πέτοσ* codd. Lat *εἴτε οὖν* V 10 *οὐ* — 11 *ἠλέγχθη* om. R 11 *διεπέψατο* L 13 *τῶν* om. C 14 *μὴ* — 15 *ἄρξασθαι*] *ne si priores nouas res adorti essent* Lat 15 *ἄρξασθαι* om. PAM, nec uid. locus sanus esse *πᾶσαν* suspectum Destinoni *ἔμελλε*] *ἔμελλε δὲ* AMLVRCLat 18 *σαμοσάτα* PALVR *κομμαγενῆσ* A *κομμαγηνῆσ, ην* ex corr. V *κομμαγινῆσ* C *μεγίστη*] *μετέστη* PA *ἡ μεγίστη* L *κεῖται*] *κεῖται δὲ* A *καὶ* C 19 *ὥστε* VR *τοῖσ* ex *τοῖ* corr. A *πάρθοισ, ρ* i. ras. maiore L *εἴ' — διενενόηντο*] *namque id cogitauerunt* Lat *τοιοῦτο* AML *διενενόητο* A¹L *διενόηντο* C 20 *πειστευθεὶσ* C 21 *οὖν*] *οὖν ὁ* AML *ὁ* P *igitur* Lat *πέτοσ* codd. Lat 22 *ἐμέλησεν* L *τῶν* ex corr. M *προσδοκόντων* PV *προσδοκούντων* A

δοκώντων εἰς τὴν Κομμαγηνὴν ἐνέβαλεν, τῶν μὲν ταγμάτων ἄγων
226 τὸ ἕκτον καὶ πρὸς τούτῳ λόχους καί τινας ἴλας ἱππέων· συνεμά-
χουν δὲ καὶ βασιλεῖς αὐτῷ τῆς μὲν Χαλκιδικῆς λεγομένης Ἀριστό-
227 βουλος. τῆς Ἐμέσης δὲ καλουμένης Σόαιμος. ἦν δ' αὐτοῖς τὰ περὶ
τὴν εἰσβολὴν ἀνανταγώνιστα· τῶν γὰρ κατὰ τὴν χώραν οὐδεὶς ἤθελε 5
228 χεῖρας ἀνταίρειν. Ἀντίοχος δὲ τῆς ἀγγελίας ἀδοκήτως προσπεσούσης
πολέμου μὲν οὐδὲ ἐπίνοιαν πρὸς Ῥωμαίους ἔσπασεν, ἔγνω δὲ
πᾶσαν τὴν βασιλείαν ὡς εἶχεν ἐπὶ σχήματος καταλιπὼν μετὰ γυναι-
κὸς καὶ τέκνων ὑπεξελθεῖν, οὕτως ἂν οἰόμενος καθαρὸν Ῥωμαίοις
229 αὐτὸν ἀποδεῖξαι τῆς ἐπενηνεγμένης αἰτίας. καὶ προελθὼν ἀπὸ 10
τῆς πόλεως ἑκατὸν σταδίους πρὸς τοῖς εἴκοσιν εἰς τὸ πεδίον ἐν
αὐτῷ καταυλίζεται.
230 2. Παῖτος δὲ ἐπὶ μὲν τὰ Σαμόσατα τοὺς καταλιψομένους ἀπο-
στέλλει καὶ δι' ἐκείνων εἶχε τὴν πόλιν, αὐτὸς δὲ μετὰ τῆς ἄλλης
231 δυνάμεως ἐπ' Ἀντίοχον ἐποιεῖτο τὴν ὁρμήν. οὐ μὴν ὁ βασιλεὺς 15
οὐδ' ὑπὸ τῆς ἀνάγκης προῄχθη πρᾶξαί τι πρὸς Ῥωμαίους πολε-
μικόν, ἀλλὰ τὴν αὐτοῦ τύχην ὀδυρόμενος ὅ τι δέοι παθεῖν ὑπέ-
232 μενε· νέοις δὲ καὶ πολέμων ἐμπείροις καὶ ῥώμῃ σωμάτων διαφέ-
ρουσιν οὐ ῥᾴδιον ἦν τοῖς παισὶν αὐτοῦ τὴν συμφορὰν ἀμαχεὶ καρ-
τερεῖν· τρέπονται οὖν πρὸς ἀλκὴν Ἐπιφανής τε καὶ Καλλίνικος. 20
233 σφοδρᾶς δὲ τῆς μάχης καὶ παρ' ὅλην τὴν ἡμέραν γενομένης αὐτοὶ
τὴν ἀνδρείαν διατρεπῆ παρέσχον καὶ μηδὲν ἐλαττωθείσι τῇ σφε-
234 τέρᾳ δυνάμει [ἑσπέρᾳ] διελύθησαν. Ἀντιόχῳ δ' οὐδ' ἐπὶ τῇ μάχῃ
τοῦτον κεχωρηκυίᾳ τὸν τρόπον μένειν ἀνεκτὸν ἐδόκει, λαβὼν δὲ τὴν
γυναῖκα καὶ τὰς θυγατέρας μετ' ἐκείνων ἐποιεῖτο τὴν φυγὴν εἰς 25

PAMLVRC Lat

1 *κομμαγινὴν* P 2 *τούτῳ*] *τοῦτο* PALVR *εἴλας* ALV¹ *εἰλὰς* R 3 *χαλκίδιος* PA *chaldaica* Lat *Χαλκίδος* Niese *λεγομένης*] *καλουμένης* C 4 *Σόαιμος*] *σόλιμος* PA *σόεμος* MVRC *δὲ* VR 5 *τὴν* om. A 6 *δὲ*] *οὖν* M *προσπεσούσης ἀδοκήτως* tr. C 7 *οὐδ'* LC *δὲ* s. A 8 *ἐπὶ ὀχήματος* Naber *καταλειπὼν* PA 10 *αὐτὸν* LVR *ἑαυτὸν* C 11 *τῆς*] *τῆσ αἰτίασ* (*αἰτίασ* deletum) C *σταδίοις* L *εἴκοσι* VR 13 *πέτοσ* codd. Lat *δ'* LC *δὲ ἐπὶ* ut uid. i. ras. A *σαμοσάτα* PALVR 15 *μὴν*] *μὴν οὖν* VR 16 *οὐδὲ* VR 17 *αὐτοῦ* Dindorf *ὑπέμεινε* A 18 *νέοι* R 19 *πεσὶν* (s. m. 2) V 20 *ἐπιφάνησ* VR *καὶ***|λίνικοσ* P *καλίνικοσ* A¹ *callenicus* Lat 21 *γενομένην* P 22 *ἀνδρείαν, δρ* i. ras. L *ἀνδρίαν* AV²C *παρεῖχον* L 23 *ἑσπέρᾳ*] *ἑσπέρασ* RC, om. Lat *ἅμ' ἑσπέρᾳ* Destinon *δὲ* VR · *οὐδὲ* AVR *μάχη·* (eras. uid. *ν*) A 24 *κεχωρηκυία, α* s. m. 2 R *κεχωρηκυίῃ* Lips *μένειν*] *manere domi* Lat 25 *τὴν φυγὴν*] *φυγεῖν* P *φυγὴν* MVRC

Κιλικίαν, καὶ τοῦτο πράξας τὰ φρονήματα τῶν οἰκείων στρατιω-
τῶν κατέκλασεν· ὡς γὰρ κατεγνωσμένης ὑπ' αὐτοῦ τῆς βασιλείας 235
ἀπέστησαν καὶ πρὸς τοὺς Ῥωμαίους μετεβάλοντο. καὶ πάντων πρό-
δηλος ἦν ἀπόγνωσις. πρὶν οὖν τελέως ἐρημωθῆναι τῶν συμμάχων 236
τοῖς περὶ τὸν Ἐπιφανῆ σώζειν αὐτοὺς ἐκ τῶν πολεμίων ἦν ἀναγ-
καῖον, καὶ γίνονται δέκα σύμπαντες ἱππεῖς οἱ μετ' αὐτῶν τὸν Εὐφρά-
την διαβαλόντες, ἔνθεν ἤδη μετ' ἀδείας πρὸς τὸν βασιλέα τῶν 237
Πάρθων Βολογέσιην κομισθέντες οὐχ ὡς φυγάδες ὑπεριφανήθησαν,
ἀλλ' ὡς ἔτι τὴν παλαιὰν ἔχοντες εὐδαιμονίαν πάσης τιμῆς ἠξιώ-
θησαν.

3. *Ἀντιόχῳ δ' εἰς Ταρσὸν ἀφιγμένῳ τῆς Κιλικίας ἑκατοντάρ-* 238
χην Παῖτος ἐπιπέμψας δεδεμένον αὐτὸν εἰς Ῥώμην ἀπέστειλεν.
Οἰεσπασιανὸς δ' οὕτως οὐχ ὑπέμεινεν πρὸς αὐτὸν ἀναχθῆναι τὸν 239
βασιλέα, τῆς παλαιᾶς ἀξιῶν φιλίας μᾶλλον αἰδῶ λαβεῖν ἢ διὰ τὴν
τοῦ πολέμου πρόφασιν ἀπαραίτητον ὀργὴν διαφυλάττειν. κελεύει 240
δὴ καθ' ὁδὸν ἔτ' ὄντος αὐτοῦ τῶν δεσμῶν ἀφαιρεθῆναι καὶ παρέντα
τὴν εἰς τὴν Ῥώμην ἄφιξιν τὸ νῦν ἐν Λακεδαίμονι διάγειν, δίδωσί
τε μεγάλας αὐτῷ προσόδους χρημάτων, ὅπως μὴ μόνον ἄφθονον
ἀλλὰ καὶ βασιλικὴν ἔχοι τὴν δίαιταν. ταῦτα τοῖς περὶ τὸν Ἐπι- 241
φανῆ πυθομένοις, πρότερον σφόδρα περὶ τοῦ πατρὸς δεδιόσιν ἀνεί-
θησαν αἱ ψυχαὶ μεγάλης καὶ δυσδιαθέτου φροντίδος. ἐλπὶς δὲ καὶ 242
αὐτοῖς τῶν παρὰ Καίσαρος διαλλαγῶν ἐγένετο Βολογέσου περὶ
αὐτῶν ἐπιστείλαντος· οὐδὲ γὰρ εὐδαιμονοῦντες ὑπέμενον ἔξω τῆς
Ῥωμαίων ζῆν ἡγεμονίας. δόντος δὲ Καίσαρος ἡμέρως αὐτοῖς τὴν 243
ἄδειαν εἰς Ῥώμην παρεγένοντο, τοῦ τε πατρὸς ὡς αὐτοὺς ἐκ τῆς
Λακεδαίμονος εὐθὺς ἐλθόντος πάσης ἀξιούμενοι τιμῆς κατέμενον
ἐνταῦθα.

PAMLVRC Lat

2 *κατεγνωσμένης*] *ἀπεγνωσμένησ* LC *desperato* Lat 3 *πάντων*] *τούτων* VR *πρόδηλος* om. Lat 5 *τοῖς*] *τοὺσ* M *ἐπιφάνην* VR *αὐτοὺσ* LRC 6 *αὐτῶν*] *αὐτὸν* L *αὐτοῦ* ed. pr. 7 *διαβαλόντες*] Holwerda *διαλαβόντεσ* PAMVR *διαβάντεσ* LC 8 *βουλογέσην* P *βολογέσιν* A 11 *δὲ* VR 12 *πέτοσ* codd. Lat *ἀποπέμψασ* L 13 *δ'*] *δὲ* LVR *οὐχ ὑπέμεινεν οὕτω* (*οὕτωσ* L) tr. LVRC 14 *τῆς* om. P *ἀξιῶν*] *ἄξιον* P *τὴν τοῦ* i. ras. 8 litt. V 15 *τὴν ὀργὴν* Destinon 16 *δὴ*] *δὲ* L *ἔτ'*] *ἔτι* PVR, om. L *τὸν δεσμὸν* VR *ἀφαιρεθέντα* MVRC 17 *τὴν* (ante *Ῥώμην*) om. ML *λακαιδαίμονι* P *λακεδαιμόνι* AL 18 *τε*] *δὲ* L 19 *τὴν* om. PAML *ἐπιφάνην* VR 20 *σφόδρα* om. Lat *ἀνέθησαν* L 21 *δυσδιαθέτου*] *δυσθεάτου* C 22 *αὐτοῖσ* ex *αὐτοὺσ* corr. A *βουλογέσου* PR *bologessus* (nom.) Lat 23 *αὐτῶν* ex *αὐτὸν* corr. L *αὐτὸν* C *ἀποστείλαντοσ* M 24 *δόντεσ* V¹ 25 *παρεγένοντο, παρε* ex *περι* corr. C

244 4. *Τὸ δὲ τῶν Ἀλανῶν ἔθνος ὅτι μέν εἰσι Σκύθαι περὶ τὸν*
Τάναϊν καὶ τὴν Μαιῶτιν λίμνην κατοικοῦντες, πρότερόν που δεδη-
245 *λώκαμεν, κατὰ τούτους δὲ τοὺς χρόνους διανοηθέντες εἰς τὴν Μη-*
δίαν καὶ προσωτέρω ταύτης ἔτι καθ' ἁρπαγὴν ἐμβαλεῖν τῷ βασιλεῖ
τῶν Ὑρκανῶν διαλέγονται· τῆς παρόδου γὰρ οὗτος δεσπότης ἐστίν, 5
ἣν ὁ βασιλεὺς Ἀλέξανδρος πύλαις σιδηραῖς κλειστὴν ἐποίησε.
246 *κἀκείνου τὴν εἴσοδον αὐτοῖς παρασχόντος ἀθρόοι καὶ μηδὲν προ-*
ϋποπτεύσασι τοῖς Μήδοις ἐπιπεσόντες χώραν πολυάνθρωπον καὶ
παντοίων ἀνάμεστον βοσκημάτων διήρπαζον μηδενὸς αὐτοῖς τολ-
247 *μῶντος ἀνθίστασθαι. καὶ γὰρ ὁ βασιλεύων τῆς χώρας Πάκορος* 10
ὑπὸ δέους εἰς τὰς δυσχωρίας ἀναφεύγων τῶν μὲν ἄλλων ἁπάντων
παρακεχωρήκει, μόλις δὲ παρ' αὐτῶν ἐρρύσατο τήν τε γυναῖκα καὶ
248 *τὰς παλλακὰς αἰχμαλώτους γενομένας ἑκατὸν δοὺς τάλαντα. μετὰ*
πολλῆς οὖν ῥᾳστώνης ἁμαχεὶ ποιούμενοι τὰς ἁρπαγὰς μέχρι τῆς
249 *Ἀρμενίας προῆλθον πάντα λεηλατοῦντες. Τιριδάτης δ' αὐτῆς ἐβα-* 15
σίλευεν, ὃς ὑπαντιάσας αὐτοῖς καὶ ποιησάμενος μάχην παρὰ μικρὸν
250 *ἦλθεν ἐπ' αὐτῆς ζωὸς ἁλῶναι τῆς παρατάξεως· βρόχον γὰρ αὐτῷ*
περιβαλών τις ἔμελλεν ἐπισπάσειν, εἰ μὴ τῷ ξίφει θᾶττον ἐκεῖνος
251 *τὸν τόνον κόψας ἔφθη διαφυγεῖν. οἱ δὲ καὶ διὰ τὴν μάχην ἔτι*
μᾶλλον ἀγριωθέντες τὴν μὲν χώραν ἐλυμήναντο, πολὺ δὲ πλῆθος 20
ἀνθρώπων καὶ τῆς ἄλλης λείας ἄγοντες ἐξ ἀμφοῖν τῶν βασιλειῶν
πάλιν εἰς τὴν οἰκείαν ἀνεκομίσθησαν.

252 VIII. 1. *Ἐπὶ δὲ τῆς Ἰουδαίας Βάσσου τελευτήσαντος Φλαύιος*
Σίλβας διαδέχεται τὴν ἡγεμονίαν, καὶ τὴν μὲν ἄλλην ὁρῶν ἅπασαν

PAMLVRCLat Hegesippus V 50 p. 374.

1 *μὲν εἰσὶ* PAM *περὶ*] *iuxta* Lat 2 *μαιώτιν, ιν* ex *ην* corr. P *που*] *δήπου* C; Alanos antea non memorauit Iosephus 3 *τὴν μήδειαν* PA *terram mediam* Lat 4 *προσοτέρω* P *προσωτέρω* ex *πρότερον* corr. V *ἐμβάλλειν* L 5 *οὕτωσ* C *ἐστὶν*] *ἦν* C 6 *ἣν* om. R¹ 7 *ἀθρόοι* VR *καὶ* om. Lat 9 *ἀνάμεσον* L 10 *ἀναθίστασθαι* sic R *βασιλεὺσ* P 11 *ἀναφυγὼν* MLVRC *refugiens* Lat 13 *παλλα···|κὰσ* A *παλλακὰσ, α* ex *ο* corr., *λα* i. ras. V *παλακὰσ* C 15 *ἁρμενίασ* M *τηριδάτησ* MLV²R² et ex corr. A *tyridatis* Lat Heg *δὲ* VR 17 *ἐπ' αὐτῆς*] *in (acie) illa* Lat *ζωὸς*] *ζῶν, ν* i. ras. 2 litt. R *βρόχον — 18 τις*] *procul enim quidam misso eum laqueo circumdatum* Lat 18 *περιβαλών τις*] *περιβαλών τισ πόρρωθεν* M *τίσ πόρρωθεν ἐπιβαλὼν* L *τίσ (τισ* C) *πόρρωθεν περιβαλὼν* VRC *ἐπεισπάσειν* C *τῷ*] *τὸ* C 20 *μὲν*] CLat, om. PAMLVR *ἐλυμ*|*ναντο* P 21 *βασιλείων* PA¹ *βασιλέων* MVRC 22 *οἰκίαν* LC *ἐκομίσθησαν* AMLVRC *redierunt* Lat 23 i. marg. *λ'* C *Φλαύιος*] *φλοΰϊοσ* PAMVR *φλαοΰϊοσ* L *φουλβιοσ* C *flauius* Lat *Φλάβιοσ* Zon; fort. *Φλάϊος* reponendum 24 *ἅπασαν ὁρῶν* tr. VRC *ἅπασαν* om. Lat

τῷ πολέμῳ κεχειρωμένην, ἓν δὲ μόνον ἔτι φρούριον ἀφεστηκός, ἐστράτευσεν ἐπὶ τοῦτο πᾶσαν τὴν ἐν τοῖς τόποις δύναμιν συναγαγών· καλεῖται δὲ τὸ φρούριον Μασάδα. προειστήκει δὲ τῶν 253
κατειλημφότων αὐτὸ σικαρίων δυνατὸς ἀνὴρ Ἐλεάζαρος, ἀπόγονος Ἰούδα τοῦ πείσαντος Ἰουδαίους οὐκ ὀλίγους, ὡς πρότερον δεδηλώκαμεν, μὴ ποιεῖσθαι τὰς ἀπογραφάς, ὅτε Κυρίνιος τιμητὴς εἰς τὴν Ἰουδαίαν ἐπέμφθη. τότε γὰρ οἱ σικάριοι συνέστησαν ἐπὶ τοὺς 254
ὑπακούειν Ῥωμαίων θέλοντας καὶ πάντα τρόπον ὡς πολεμίοις προσεφέροντο, τὰς μὲν κτήσεις ἁρπάζοντες καὶ περιελαύνοντες, ταῖς δ' οἰκήσεσιν αὐτῶν πῦρ ἐνιέντες· οὐδὲν γὰρ ἀλλοφύλων αὐτοὺς ἔφασκον 255
διαφέρειν οὕτως ἀγεννῶς τὴν περιμάχητον Ἰουδαίοις ἐλευθερίαν προεμένους καὶ δουλείαν αἱρεῖσθαι τὴν ὑπὸ Ῥωμαίοις ἀνομολογηκότας. ἵν' δ' ἄρα τοῦτο πρόφασις εἰς παρακάλυμμα τῆς ὠμό- 256
τητος καὶ τῆς πλεονεξίας ὑπ' αὐτῶν λεγόμενον· σαφὲς δὲ διὰ τῶν ἔργων ἐποίησαν. οἱ μὲν γὰρ αὐτοῖς τῆς ἀποστάσεως ἐκοινώνησαν 257
καὶ τοῦ πρὸς Ῥωμαίους συνήραντο πολέμου* καὶ παρ' ἐκείνων δὲ τολμήματα χείρω πρὸς αὐτοὺς ἐγένετο, κἀπὶ τῷ ψεύδεσθαι πάλιν 258
τὴν πρόφασιν ἐξελεγχόμενοι μᾶλλον ἐκάκουν τοὺς τὴν πονηρίαν αὐτῶν διὰ τῆς δικαιολογίας ὀνειδίζοντας. ἐγένετο γάρ πως ὁ χρόνος 259

PAMLVRC Lat Hegesippus V 52 p. 377 Zonaras I p. 558. Exc Peiresc.
1 ἀφεστηκὼς P¹C 2 τούτῳ VR ἐ*τοῖς P 3 τὸ] τὸ μὲν VRC προειστήκει PA¹ 4 κατειληφότ̓ω A αὐτῷ PL Ἐλεάζαρ Zon, item infra 5 ἰουδαίων MLVRC πρότερον] II 117 sq. 6 κυρήνιος MLVRC Zon *cyrinius* Lat 7 οἱ σικάριοι incip. Exc 8 ὑπακόουσιν L ῥωμαίοις C 9 τὰς] καὶ τὰς VR κτίσεις C καὶ περιελαύνοντες om. LExc περιελαύνοντασ C δὲ PLVR 10 ἔφασαν L 11 ἀγενῶς C περιμάχη·τον, eras. σ A 12 προϊεμένους VRC ῥωμαίους L ἀνωμολογηκότεσ PA¹ 13 ἦν — 14 λεγόμενον] *erat autem id plane causatio et crudelitatis atque auaritiae dicebatur obtentum* Lat δὲ PMVRExc πρόφασισ τοῦτο tr. LExc fort. recte προκάλυμμα A παρακάλυμα Exc ὠμότητοσ, ω ex οι aut αι corr. P 14 σαφὲς — 15 ἐποίησαν] *manifesto autem rebus effectum est* Lat 15 οἱ μὲν — 19 ὀνειδίζοντας] *nam idem illi et defectionis socii fuerunt et bellum cum Romanis communiter susceperunt. causa uero peior illorum in eos facta est, et cum mentita eorum pridem refelleretur occasio, peius tractabant eos, qui nequitiae suae iustis assertionibus exprobrarent* Lat; locus corruptus et mutilus est; haec fere scripsisse Iosephus putandus est, etiam eos, qui cum sicariis contra Romanos pugnarint, ab eis iniurias passos esse 16 συνείροντο L συνείραντο Exc καὶ] τὰ ML 17 αὐτοῦ R ἐγένοντο, ο ante ν ex ε corr. L καὶ ἐπὶ VRExc τῷ] τὸ LExc πάλιν] *pridem* Lat 19 πωσ om. PExc

ἐκεῖνος παντοδαπῆς ἐν τοῖς Ἰουδαίοις πονηρίας πολύφορος, ὡς μηδὲν
κακίας ἔργον ἄπρακτον καταλιπεῖν, μηδ' εἴ τι ἐπίνοια διαπλάττειν
260 ἐθελήσειεν, ἔχειν ἄν τι καινότερον ἐξευρεῖν. οὕτως ἰδίᾳ τε καὶ κοινῇ
πάντες ἐνόσησαν, καὶ προσυπερβάλλειν ἀλλήλους ἔν τε ταῖς πρὸς
θεὸν ἀσεβείαις καὶ ταῖς εἰς τοὺς πλησίον ἀδικίαις ἐφιλονεί- 5
κησαν, οἱ μὲν δυνατοὶ τὰ πλήθη κακοῦντες, οἱ πολλοὶ δὲ τοὺς δυ-
261 νατοὺς ἀπολλύναι σπεύδοντες· ἦν γὰρ ἐκείνοις μὲν ἐπιθυμία τοῦ
τυραννεῖν, τοῖς δὲ τοῦ βιάζεσθαι καὶ τὰ τῶν εὐπόρων διαρπάζειν.
262 πρῶτον οὖν οἱ σικάριοι τῆς παρανομίας καὶ τῆς πρὸς τοὺς
συγγενεῖς ἤρξαντο ὠμότητος, μήτε λόγον ἄρρητον εἰς ὕβριν μήτ' 10
ἔργον ἀπείρατον εἰς ὄλεθρον τῶν ἐπιβουλευθέντων παραλιπόντες.
263 ἀλλὰ καὶ τούτους Ἰωάννης ἀπέδειξεν αὐτοῦ μετριωτέρους· οὐ γὰρ
μόνον ἀνῄρει πάντας ὅσοι τὰ δίκαια καὶ συμφέροντα συνεβούλευον,
καθάπερ ἐχθίστοις μάλιστα δὴ τῶν πολιτῶν τοῖς τοιούτοις προσ-
φερόμενος, ἀλλὰ καὶ κοινῇ τὴν πατρίδα μυρίων ἐνέπλησε κακῶν, 15
οἷα πράξειν ἔμελλεν ἄνθρωπος ἤδη καὶ τὸν θεὸν ἀσεβεῖν τετολ-
264 μηκώς· τραπεζάν τε γὰρ ἄθεσμον παρετίθετο καὶ τὴν νενομισμένην
καὶ πάτριον ἐξεδιήτησεν ἁγνείαν, ἵν' μηκέτι θαυμαστόν, εἰ τὴν
πρὸς ἀνθρώπους ἡμερότητα καὶ κοινωνίαν οὐκ ἐτήρησεν ὁ τῆς πρὸς
265 θεὸν εὐσεβείας οὕτω καταμανείς. πάλιν τοίνυν ὁ Γιώρα Σίμων τί 20
κακὸν οὐκ ἔδρασεν; ἢ ποίας ὕβρεως ἐλευθέρων ἀπέσχοντο σωμάτων
266 οἳ τοῦτον ἀνέδειξαν τύραννον; ποία δὲ αὐτοῖς φιλία, ποία δὲ συγ-

---

PAMLVRCLat Exc Peiresc.

1 *πολυφόρος* VRExc 2 *καταλιπεῖν*] Exc *καταλειπεῖν* P *παραλειπεῖν* AR *παραλιπεῖν* MLVC *μηδ'* — 3 *ἐθελήσειεν*] *nec siquis excogitando fingere voluisset* Lat *μηδὲ* VR *τι*] *τις* MLVRCExc et ex corr. A *ἐπινοία* MVRCExc et ex corr. A *διαπλάττειν*, *δ* ex *ν* corr. A *διαπλάττει* V¹ 3 *θελήσειεν* C *ἔχειν* A *ἄν* om. Exc 4 *ἐνόσησαν*] *ἐνενόησαν* LExc *ἐνόησαν* R¹C *unum erant* Lat *πρὸς ὑπερβάλλειν* AExc *προσυπερβαλεῖν* M *προσὑπερβάλλειν* L *πρὸς ὑπερβαλεῖν* VRC *exsuperare* Lat 5 *θεὸν*] *τὸν θεὸν* MLVRCExc et ex corr. A *καὶ*] *κἀν* L 6 *μὲν*] *μὲν οὖν* RC *πλήθει* A 7 *ἐκείνοις*] *ἐπεκείνοισ* Exc 9 *πρῶτον οὖν*] *πρῶτοι μὲν οὖν* MLVRCExc *primo quidem* Lat 10 *ἤρξαντο*] P *ἦρξαν* AMLVRCExc *μήτε* AVR 11 *ἀπείρατον*] L. Dindorf *ἀπείραστον* codd. Exc *παραλειπόντεσ* PA *παραλείποντεσ* L 12 *ἰωάνησ* C *αὐτοῦ*] *αὑτοῦ* R *ἑαυτοῦ* C, om. Lat 13 *ὅσοι* ex *ὅσαι* corr. M *καὶ τὰ συμφέροντα* PExc 14 *αἰχθίστοις* P *ἐ·χθίστοις* A *ἐχθροῖς τοῖσ* LExc 15 *ἐνέπλησαν* P 16 *οἷα*] *ὁποῖα* C *ἀνθρώπουσ* Exc 17 *παρατίθετο* C 18 *ἵνα* VRC *εἰ*] *εἰσ* V¹R¹ 19 *πρὸσ τοὺσ ἀνθρώπουσ* M *κοινίαν* C 20 *εὐσεβείας*] PALVRCExcLat *ἀσεβείασ* M et ex Rehd. Hudson *καταμανεί·σ* V *ὁ τοῦ γιώρα σίμων* L *ὁ σίμων του γιωρα* Exc 21 *ἢ ποίας*] *ὁποίασ* VR *ἀπέσχετο* PALVRCExc 22 *οἳ*] *εἰ* LExc *τοῦτον*, *τον* i. ras. A *δ'* LExc *δὲ συγγένεια*] MVRCLat *δὲ εὐγένεια* PA *δ' εὐγένεια* L *δ' εὐμένεια* Exc

γένεια πρὸς τοὺς ἐφ' ἑκάστης ἡμέρας φόνους οὐχὶ θρασυτέρους ἐποίησε; τὸ μὲν γὰρ τοὺς ἀλλοτρίους κακῶς ποιεῖν ἀγεννοῦς ἔργον πονηρίας [εἶναι] ὑπελάμβανον, λαμπρὰν δὲ φέρειν ἐπίδειξιν ἡγοῦντο τὴν ἐν τοῖς οἰκειοτάτοις ὠμότητα. παρῳμιλλήσατο δὲ καὶ τὴν τούτων 267
ἀπόνοιαν ἡ τῶν Ἰδουμαίων μανία· ἐκεῖνοι γὰρ οἱ μιαρώτατοι τοὺς ἀρχιερέας κατασφάξαντες, ὅπως μηδὲ μέρος τι τῆς πρὸς τὸν θεὸν εὐσεβείας διαφυλάττηται, πᾶν ὅσον ἦν λείψανον ἔτι πολιτικοῦ σχήματος ἐξέκοψαν, καὶ τὴν τελεωτάτην εἰσήγαγον διὰ πάντων ἀνομίαν. 268
ἐν ᾗ τὸ τῶν ζηλωτῶν κληθέντων γένος ἤκμασεν, οἳ τὴν προσηγορίαν τοῖς ἔργοις ἐπηλήθευσαν· πᾶν γὰρ κακίας ἔργον ἐξεμιμήσατο, μηδ' 269
εἴ τι πρότερον προϋπάρχον ἢ μνήμη παραδέδωκεν αὐτοὶ παραλιπόντες ἀζήλωτον. καίτοι τὴν προσηγορίαν αὐτοῖς ἀπὸ τῶν ἐπ' 270
ἀγαθῷ ζηλουμένων ἐπέθεσαν, ἢ κατειρωνευόμενοι τῶν ἀδικουμένων διὰ τὴν αὐτῶν θηριώδη φύσιν ἢ τὰ μέγιστα τῶν κακῶν ἀγαθὰ νομίζοντες. τοιγαροῦν προσῆκον ἕκαστοι τὸ τέλος εὗροντο τοῦ θεοῦ 271
τὴν ἀξίαν ἐπὶ πᾶσιν αὐτοῖς τιμωρίαν βραβεύσαντος· ὅσας γὰρ ἀν- 272
θρώπου δύναται φύσις κολάσεις ὑπομεῖναι, πᾶσαι κατέσκηψαν εἰς αὐτοὺς μέχρι καὶ τῆς ἐσχάτης τοῦ βίου τελευτῆς, ἣν ὑπέμειναν ἐν πολυτρόποις αἰκίαις ἀποθανόντες. οὐ μὴν ἀλλὰ φαίη τις ἂν αὐτοὺς 273
ἐλάττω παθεῖν ὧν ἔδρασαν· τὸ γὰρ δικαίως ἐπ' αὐτῶν οὐ προσῆν. τοὺς δὲ ταῖς ἐκείνων ὠμότησι περιπεσόντας οὐ τοῦ παρόντος ἂν 274
εἴη καιροῦ κατὰ τὴν ἀξίαν ὀδύρεσθαι· πάλιν οὖν ἐπάνειμι πρὸς τὸ καταλειπόμενον μέρος τῆς διηγήσεως.

2. Ἐπὶ γὰρ τὸν Ἐλεάζαρον καὶ τοὺς κατέχοντας σὺν αὐτῷ τὴν 275

PAMLVRC Lat Exc Peiresc.

1 ἐφ'] om. A φόνους] φόρους R 2 ἀγεννοῦς, ο i. ras. ex ε corr. uid. A ἀγενοὺς C 3 εἶναι πονηρίας tr. C εἶναι om. Exc ὑπέλαβον ALExc ἐπίδειξιν] σύναξιν C 4 οἰκειωτάτοις P δὲ**ὶ τὴ****|των P 5 Ἰδουμαίων] ἰουδαίων Exc μανία om. VRC Lat 6 τι] VRCLat ἔτι PAMLExc τὸν om. M 7 πᾶν ὅσον, litt. ν ὅ i. ras. L ἦν] ἦ· L ἦι Exc, om. C 8 τὴν om. C 9 γένος om. C ἤκμαζεν C οἳ] οἱ PR 10 ἐπηλήθευσαν] ἐπαληθεύσαν PA ἐκλήθεσαν Exc μηδ' — 12 ἀζήλωτον] *nullo inaemulato quod ante commissum memoria tradidit praetermisso* Lat μηδ' εἴ τι] μηδέ τι PA¹ μηδ' ὅτι LExc μηδὲ εἴ τι VRC 11 προϋπαρχθὲν MVRC προυπῆρχον Exc μνήμη] μνήμη μὴ Destinon παραλειπόντεσ PA 12 αὐτοῖς] MExc αὐτοῖσ PALVRC *sibi* Lat 13 ἀγαθῶν VC ἢ — 15 νομίζοντες] *qui eos quos laederent propter efferam sui naturam cauillando fallebant, qui malorum quae maxima essent bona ducebant* Lat 15 τὸ τέλοσ ἕκαστοι tr. LExc εὕραντο MVRExc εὔραντο C 16 ὅσα R 17 δύναται] δύναι P 19 φαίη] καὶ φαίη ed. pr. ἂν om. PAM 20 i. marg. λα' C δίκαιον primum scripserat A 21 ἂν om. Exc 23 διηγήσεως fin. Exc 24 ἐπὶ] ἐπεὶ PA σὺν s. C

Μασάδαν σικαρίους ὁ τῶν Ῥωμαίων στρατηγὸς ἦκε τὰς δυνάμεις
ἄγων, καὶ τῆς μὲν χώρας ἁπάσης εὐθὺς ἐκράτει φρουρὰς ἐν τοῖς
276 *ἐπικαιροτάτοις αὐτῆς μέρεσιν ἐγκαταστήσας, τεῖχος δὲ περιέβαλε*
κύκλῳ περὶ πᾶν τὸ φρούριον, ὅπως μηδενὶ τῶν πολιορκουμένων ᾖ
277 *ῥᾴδιον διαφυγεῖν, καὶ διανέμει τοὺς φυλάξοντας. αὐτὸς δὲ κατα-*
στρατοπεδεύει τόπον ὡς μὲν πρὸς τὴν πολιορκίαν ἐπιτηδειότατον
ἐκλαβών, καθ' ὃν αἱ τοῦ φρουρίου πέτραι τῷ πλησίον ὄρει συνήγ-
278 *γιζον, ἄλλως δὲ πρὸς ἀφθονίαν τῶν ἐπιτηδείων δύσκολον· οὐ γὰρ*
ἡ τροφὴ μόνον πόρρωθεν ἐκομίζετο καὶ σὺν μεγάλῃ ταλαιπωρίᾳ
τῶν ἐπὶ τοῦτο τεταγμένων Ἰουδαίων, ἀλλὰ καὶ τὸ ποτὸν ἦν ἀγώ-
γιμον [εἰς τὸ στρατόπεδον] τοῦ τόπου μηδεμίαν ἐγγὺς πηγὴν ἀνα-
279 *διδόντος. ταῦτ' οὖν προοικονομησάμενος ὁ Σίλβας ἐπὶ τὴν πολιορ-*
κίαν ἐτράπετο πολλῆς ἐπιτεχνήσεως καὶ ταλαιπωρίας δεομένην διὰ
τὴν ὀχυρότητα τοῦ φρουρίου τοιοῦδε τὴν φύσιν ὑπάρχοντος·
280 3. *Πέτραν οὐκ ὀλίγην τῇ περιόδῳ καὶ μῆκος ὑψηλὴν παντα-*
χόθεν περιερρώγασι βαθεῖαι φάραγγες κάτωθεν ἐξ ἀοράτου τέρ-
ματος κρημνώδεις καὶ πάσῃ βάσει ζῴων ἀπρόσιτοι, πλὴν ὅσον κατὰ
281 *δύο τόπους τῆς πέτρας εἰς ἄνοδον οὐκ εὐμαρῆ παρεικούσης. ἔστι*
δὲ τῶν ὁδῶν ἡ μὲν ἀπὸ τῆς Ἀσφαλτίτιδος λίμνης πρὸς ἥλιον ἀνί-
282 *σχοντα, καὶ πάλιν ἀπὸ τῆς δύσεως ᾗ ῥᾷον πορευθῆναι. καλοῦσι*
δὲ τὴν ἑτέραν ὄφιν, τῇ στενότητι προσεικάσαντες καὶ τοῖς συνεχέσιν
ἑλιγμοῖς· κλᾶται γὰρ περὶ τὰς τῶν κρημνῶν ἐξοχὰς καὶ πολλάκις
εἰς αὐτὴν ἀνατρέχουσα καὶ κατὰ μικρὸν αὖθις ἐκμηκυνομένη μόλις
283 *ψαύει τοῦ πρόσω. δεῖ δὲ παραλλὰξ τὸν δι' αὐτῆς βαδίζοντα τὸν*

PAMLVRC Lat Zonaras I p. 558.

1 *μασάδα* A *μάσαδαν* C ἦκε] ἦκτο PAL ἶκτο M 2 *φρουρὰσ, ὰ* ex *οῖ* aut *αῖ* corr. P ante *ἐν* erasum *δ* P 3 *αὐτῆς*] *αὐτοῖσ* A *μέρεσιν, ρ* ex *λ* corr. A 5 *καὶ — φυλάξοντας*] *utque custodes perseuerarent* Lat *διανέμει*] *διαμένειν* VRCLat *φυλάξαντασ* A *φυλάξαντασ, αν* ex corr. V 6 *τόπον*] *τὸν τόπον* L 7 *καταλαβών* Herwerden 9 *μόνη* VR *ταλαιπορία* P 10 *τοῦτο*] *τούτω* MR et ex corr. C *τούτω·* V 11 *εἰς τὸ στρατόπεδον* om. P 12 *ταῦτα* VR *προοικονομισάμενοσ* R *σίλβασ, β* suppl. L 13 *πολῆσ* R *δεομένησ* (*σ* paene eras. A) PAL 14 *τοιοῦδε*] *τοιούτου δὲ* A 16 *περιερρόγασι* A *κάτωθεν*] *καὶ κάτωθεν* PLat *ἀοράτου, ου* i. ras. 2—3 litt. m. 2 V 17 *κρημνώδεις*] *κρημνώδεισ δ' ὁδοὶ* C 18 *τόπου* R *τρόπουσ* uertit Lat *εὐμαρεῖ* A 19 *ἡ μὲν τῶν ὁδῶν* tr. P *ὁδῶν* iterauit V¹ *asfaltidis* cod. Vat. Lat 20 *καὶ — πορευθῆναι*] *et alterum ab occidente facilius ambulari* Lat *ῥᾴων* VR 21 *παρεικάσαντεσ* L 22 *ἑλιγμοῖσ* AMLVRC *κρημνὸν* C 23 *αὐτὴν* PALVC *ἀναστρέφουσα* PAMVRC *reuertens* Lat 24 *δεῖ — p. 607,1 ἐρείδεσθαι*] *namque mutanti uestigium necesse est pede altero niti* Lat *παραλλὰξ* P

ἕτερον τῶν ποδῶν ἐρείδεσθαι. ἔστι δὲ πρόδηλος ὄλεθρος· ἑκατέ-
ρωθεν γὰρ βάθος κρημνῶν ὑποκέχηνε τῇ φοβερότητι πᾶσαν εὐτολ-
μίαν ἐκπλῆξαι δυνάμενον. διὰ τοιαύτης οὖν ἐλθόντι σταδίους τριά- 284
κοντα κορυφὴ τὸ λοιπόν ἐστιν οὐκ εἰς ὀξὺ τέρμα συνηγμένη, ἀλλ'
ὥστ' εἶναι κατ' ἄκρας ἐπίπεδον. ἐπὶ ταύτῃ πρῶτον μὲν ὁ ἀρχιε- 285
ρεὺς ᾠκοδομήσατο φρούριον Ἰωνάθης καὶ προσηγόρευσε Μασάδαν,
ὕστερον δ' Ἡρώδῃ τῷ βασιλεῖ διὰ πολλῆς ἐγένετο σπουδῆς ἡ τοῦ
χωρίου κατασκευή. τεῖχός τε γὰρ ἦγειρε περὶ πάντα τὸν κύκλον 286
τῆς κορυφῆς ἑπτὰ σταδίων ὄντα λευκοῦ μὲν λίθου πεποιημένον,
ὕψος δὲ δώδεκα καὶ πλάτος ὀκτὼ πήχεις ἔχον, τριάκοντα δὲ αὐτῷ 287
καὶ ἑπτὰ πύργοι πεντηκονταπήχεις ἀνειστήκεσαν, ἐξ ὧν ἦν εἰς οἰ-
κήματα διελθεῖν περὶ πᾶν τὸ τεῖχος ἔνδον ᾠκοδομημένα. τὴν γὰρ 288
κορυφὴν πίονα καὶ πεδίου παντὸς οὖσαν μαλακωτέραν ἀνῆκεν εἰς
γεωργίαν ὁ βασιλεύς, ἵν' εἴ ποτε τῆς ἔξωθεν τροφῆς ἀπορία γέ-
νοιτο, μηδὲ ταύτῃ κάμοιεν οἱ τὴν αὐτῶν σωτηρίαν τῷ φρουρίῳ
πεπιστευκότες. καὶ βασίλειον δὲ κατεσκεύασεν ἐν αὐτῷ κατὰ τὴν 289
ἀπὸ τῆς ἑσπέρας ἀνάβασιν, ὑποκάτω μὲν τῶν τῆς ἄκρας τειχῶν,
πρὸς δὲ τὴν ἄρκτον ἐκκλίνον. τοῦ δὲ βασιλείου τὸ τεῖχος ἦν ὕψει
μέγα καὶ καρτερόν, πύργους ἔχον ἑξηκονταπήχεις ἐγγωνίους τέτταρας.
ἥ τε τῶν οἰκημάτων ἔνδον καὶ στοῶν καὶ βαλανείων κατασκευὴ 290
παντοία καὶ πολυτελὴς ἦν, κιόνων μὲν ἁπανταχοῦ μονολίθων ὑφε-
στηκότων, τοίχων δὲ καὶ τῶν ἐν τοῖς οἰκήμασιν ἐδάφων λίθου
στρώσει πεποικιλμένων. πρὸς ἕκαστον δὲ τῶν οἰκουμένων τόπων 291
ἄνω τε καὶ περὶ τὸ βασίλειον καὶ πρὸ τοῦ τείχους πολλοὺς καὶ
μεγάλους ἐτετμήκει λάκκους ἐν ταῖς πέτραις φυλακτῆρας ὑδάτων,

---

PAMLVRC Lat

1 τοῖν ποδοῖν C δὲ] δὲ καὶ τῶ παρολισθάνειν C ἑκατέροθεν R ἑτερωθεν Destinon 5 ὥστε MVR ἐπίπεδον, δ ex ν corr. A ἐπίπεδοσ C πρῶτοσ VRCLat 6 μασάδαν, ά s. A μάσαδαν C 7 δὲ VR ἡρωιδηι L ἡ om. L 9 τῆς κορυφῆς] eius Lat ἑπτὰ] sexaginta Lat 10 δὲ om. L ἔχων PAC τριάκοντα] uiginti Lat δ' LC 11 πῦργοι καὶ ἑπτά tr. L ἀνεστήκεσαν L in eo stabant Lat ἐνειστήκεσαν Herwerden οἰκοδομήματα L 12 τὸ om. P 13 πίονα] πλείονα L ποιουμενα C παντὸσ οὖσαν πεδίου tr. M 14 ἵνα VR ἔξωθεν] ἔξω LVRC 16 ἐν αὐτῷ] sibi (h. e. ἑαυτῷ) Lat fort. recte 18 δὲ om. MVRC et fort. Lat ἐκκλίνων P ἐγκλίνον MLVRC 19 ἔχων P ἑξηκονταπήχεισ ἔχον tr. M ἐκγωνίουσ PA¹ τέτταρασ, τ (in τα) i. ras. A τέσσαρασ M 22 δὲ] τε L οἰκήμασι V ἐδαφῶν MLVRC et ex corr. A λίθου στρώσει] λίθοισ τρώσει R 23 πρὸς — τόπων] ad singula uero habitacula Lat 24 τὸ om. A πρὸ τοῦ τείχους] ante turres Lat 25 ἐτεκμήκει L

μηχανώμενος εἶναι χορηγίαν ὅση τῷ ἐκ πηγῶν ἔστι χρωμένοις.
292 ὀρυκτὴ δ' ὁδὸς ἐκ τοῦ βασιλείου πρὸς ἄκραν τὴν κορυφὴν ἀνέφερε
τοῖς ἔξωθεν ἀφανής. οὐ μὴν οὐδὲ ταῖς φανεραῖς ὁδοῖς ἦν οἷόν τε
293 χρήσασθαι ῥᾳδίως πολεμίους· ἡ μὲν γὰρ ἔφα διὰ τὴν φύσιν, ὡς
προείπαμεν, ἐστὶν ἄβατος, τὴν δ' ἀπὸ τῆς ἑσπέρας μεγάλῳ κατὰ
τὸ στενότατον πύργῳ διετείχισεν ἀπέχοντι τῆς ἄκρας πήχεων οὐκ
ἔλαττον διάστημα χιλίων, ὃν οὔτε παρελθεῖν δυνατὸν ἦν οὔτε ῥᾴδιον
ἑλεῖν· δυσέξοδος δὲ καὶ τοῖς μετὰ ἀδείας βαδίζουσιν ἐπεποίητο.
294 οὕτως μὲν οὖν πρὸς τὰς τῶν πολεμίων ἐφόδους φύσει τε καὶ χειρο-
ποιήτως τὸ φρούριον ὠχύρωτο.

295 4. Τῶν δ' ἔνδον ἀποκειμένων παρασκευῶν ἔτι μᾶλλον ἄν τις
296 ἐθαύμασε τὴν λαμπρότητα καὶ τὴν διαμονήν· σῖτός τε γὰρ ἀπέκειτο
πολὺς καὶ πολὺν χρόνον ἀρκεῖν ἱκανώτατος οἶνός τε πολὺς ἦν καὶ
ἔλαιον, ἔτι δὲ παντοῖος ὀσπρίων καρπὸς καὶ φοίνικες ἐσεσώρευντο.
297 πάντα δὲ εὗρεν ὁ Ἐλεάζαρος τοῦ φρουρίου μετὰ τῶν σικαρίων ἐγ-
κρατὴς δόλῳ γενόμενος ἀκμαῖα καὶ μηδὲν τῶν νεωστὶ κειμένων
ἀποδέοντα· καίτοι σχεδὸν ἀπὸ τῆς παρασκευῆς εἰς τὴν ὑπὸ Ῥω-
μαίοις ἅλωσιν ἑκατὸν ἦν χρόνος ἐτῶν· ἀλλὰ καὶ Ῥωμαῖοι τοὺς περι-
298 λειφθέντας τῶν καρπῶν εὗρον ἀδιαφθόρους. αἴτιον δ' οὐκ ἄν
ἁμάρτοι τις ὑπολαμβάνων εἶναι τὸν ἀέρα τῆς διαμονῆς ὕψει τῷ
περὶ τὴν ἄκραν πάσης ὄντα γεώδους καὶ θολερᾶς ἀμιγῆ κράσεως.
299 εὑρέθη δὲ καὶ παντοίων πλῆθος ὅπλων ὑπὸ τοῦ βασιλέως ἀποτε-
θησαυρισμένων, ὡς ἀνδράσιν ἀρκεῖν μυρίοις, ἀργός τε σίδηρος καὶ
χαλκὸς ἔτι δὲ καὶ μόλιβος, ἅτε δὴ τῆς παρασκευῆς ἐπὶ μεγάλαις

PAMLVRCLat

1 *μηχανώμενος — χρωμένοις*] *tantam molitus abundantiam, quantam qui fontibus uterentur haberent* Lat *χορηγίαν* suppl. in exitu uersus A *τῷ*] Niese *τῶν* codd. *ἐκ τῶν πηγῶν* L *χρωμένων* C 2 *δὲ* VR *ὁδὸς*] *ὁ δὲ ὁδὸσ* V¹ *ἀνεφέρετο* VRC 4 *τοὺσ πολεμίουσ* M 5 *προείπομεν* MV²C *ἄβατόσ ἐστιν* tr. C *τὴν*] *τὸ* P *δ'*] *δὲ* VR *ἀπὸ*, supra *ὸ* m. 2 pinxit aliquid quod intellegi non potuit in L 6 *τὸ*] *τῷ* A *στενώτατον* PMC *πύργον* A *πηχῶν* L 7 *ἐλαττω* C *ἔλλαττον* R¹ 8 *μετ'* LVRC 9 *οὕτω* PVRC *πολέμων* PA *χειροποήτωσ* R *χειροποιήτουσ* C 11 i. marg. *λβ'* C *δὲ* R *παρακειμένων* L 12 *diuturnitatem et opulentiam* tr. Lat *διανομήν* PA 13 *ἀρκεῖν*] *εἰπεῖν* VR *ἦν* om. V¹ 14 *ὀσπρίον* C *ἐσεσώ-ρευντο* V *ἐπεσώρευτο* R 15 *δ'* LC *τοῦ φρουρίου*] *μετὰ τοῦ φρουρίου* PA¹ *ἐν τῷ φρουρίῳ* M 16 *γεγενημένοσ* L 18 *ἑκατὸν*] *ἑκατοστὸσ* L *ρ̄* C *περιειλειφθέντασ* C¹ 19 *δὲ* VR 20 *ἁμάρτη* C *διανομῆσ* C *τῷ*] ex corr. A *τῶν* PA¹MLVRC 22 *ἀποτεθησαυρισμένον* CLat 23 *μυρίοισ*, *ι* ante *σ* i. ras. m. 2 R 24 *μόλιβος*] *μόλυβδοσ* C *μόλιβδος* Dindorf

αἰτίαις γενομένης· λέγεται γὰρ αὐτῷ τὸν Ἡρώδην τοῦτο τὸ φρούριον 300
εἰς ὑποφυγὴν ἑτοιμάζειν διπλοῦν ὑφορώμενον κίνδυνον, τὸν μὲν
παρὰ τοῦ πλήθους τῶν Ἰουδαίων, μὴ καταλύσαντες ἐκεῖνον τοὺς
πρὸ αὐτοῦ βασιλέας ἐπὶ τὴν ἀρχὴν καταγάγωσι, τὸν μείζω δὲ καὶ
χαλεπώτερον ἐκ τῆς βασιλευούσης Αἰγύπτου Κλεοπάτρας. αὕτη 301
γὰρ τὴν αὐτῆς γνώμην οὐκ ἐπεῖχεν, ἀλλὰ πολλάκις Ἀντωνίῳ λόγους
προσέφερε τὸν μὲν Ἡρώδην ἀνελεῖν ἀξιοῦσα, χαρίσασθαι δ' αὐτῇ
τὴν βασιλείαν τῶν Ἰουδαίων δεομένη. καὶ μᾶλλον ἄν τις ἐθαύμασεν, 302
ὅτι μηδέπω τοῖς προστάγμασιν Ἀντώνιος ὑπακηκόει κακῶς ὑπὸ
τοῦ πρὸς αὐτὴν ἔρωτος δεδουλωμένος, οὐχ ὅτι περὶ τοῦ μὴ χαρίσα-
σθαι προσεδόκησεν. διὰ τοιούτους μὲν φόβους Ἡρώδης Μασάδαν 303
κατεσκευασμένος ἔμελλεν Ῥωμαίοις ἀπολείψειν ἔργον τοῦ πρὸς Ἰου-
δαίους πολέμου τελευταῖον.

5. Ἐπεὶ γὰρ ἔξωθεν ἤδη περιτετειχίκει πάντα τὸν τόπον ὁ 304
τῶν Ῥωμαίων, ὡς προείπαμεν, ἡγεμών, καὶ τοῦ μή τινα ἀποδρᾶναι
πρόνοιαν ἐπεποίητο τὴν ἀκριβεστάτην, ἐνεχείρει τῇ πολιορκίᾳ μόνον
εὑρὼν ἕνα τόπον ἐπιβολὴν χωμάτων δέξασθαι δυνάμενον. μετὰ γὰρ 305
τὸν διατειχίζοντα πύργον τὴν ἀπὸ τῆς δύσεως ὁδὸν ἄγουσαν εἴς τε
τὸ βασίλειον καὶ τὴν ἀκρώρειαν ἣν τις ἐξοχὴ πέτρας εὐμεγέθης τῷ
πλάτει καὶ πολὺ προκύπτουσα, τοῦ δὲ ὕψους τῆς Μασάδας τρια-
κοσίους πήχεις ὑποκάτω· Λευκὴν δ' αὐτὴν ὠνόμαζον. ἐπὶ ταύτην 306
οὖν ἀναβὰς καὶ κατασχὼν αὐτὴν ὁ Σίλβας ἐκέλευε τὸν στρατὸν χοῦν
ἐπιφέρειν. τῶν δὲ προθύμως καὶ μετὰ πολλῆς χειρὸς ἐργαζομένων
στερεὸν εἰς διακοσίους πήχεις ὑψώθη τὸ χῶμα. οὐ μὴν οὔτε βέ- 307
βαιον οὔτε αὐταρκες ἐδόκει τοῦτο τὸ μέτρον εἶναι τοῖς μηχανήμασιν

PAMLVRC Lat Hegesippus V 52 p. 377. Zonaras I p. 558.

1 *γενομένης* PA¹V¹R *αὐτῷ*] *αὐτὸ* P *αὐτῶ* AL *ἑαυτῶ* VRC *τοῦτο*] *id ipsum* Lat 2 *ἀποφυγὴν* L *ἑτοιμάζην* A *ὑφωρόμενον* PA 3 *τοῦ* s. R *πλήθους*] *πλήθουσ τῆσ βρώσεωσ* (*τῆσ βρώσεωσ* deletum) C 4 *βασιλεί·σ* L *βασιλέωσ* C *τὸ μείζω* PAVR *τὸ μεῖζον* ML 5 *βασιλειούσησ* VR *αὕτη* A *αὐτὴ* L 6 *αὐτῆσ* codd., corr. Bekker *ἀντωνίω*, *ω* ex *ου* corr. C 7 *προέφερε* R *δὲ* VR *αὐτὴ* L *αὐτῇ* Bekker 9 *ὑπηκηκόει* L 10 *οὐχ* — 12 *κατεσκευασμένος* om. P *οὐχ* — 11 *προσεδόκησεν*] *quam non dominaturam speraret* Lat 11 *οὑτους μὲν φόβους* — p. 611, 23 *ἢ θεῷ* primum omiserat, post duobus foliis interpositis suppleuit A; uide praefationem § 2 *φόβους*] PAMLVCLips *φόβουσ*, *β* i. ras., *ουσ* s. m. 2 R *μάσαδαν* C 12 *κατασκευασάμενοσ* MC *ἔμελε* R¹ 13 *πολέμω τελευταίω* C *πο*********λευτα**|*ον* P 14 i. marg. *λγ'* C 15 *προείπομεν* MV²C *ἀποδρᾶν* PA¹ 16 *μόνον*] *μόλις* Niese 20 *δὲ*, *δ* i. ras. A *δ'* LC *ὕψουσ*, *ψ* i. ras. A *τριακοσίασ* L 21 *δὲ* VRC 23 *καὶ* om. P *ἐργασαμένων* VRC 24 *διακοσίασ* L 25 *οὔτ'* LC

εἰς ἐπιβάθραν, ἀλλ' ἐπ' αὐτοῦ βῆμα λίθων μεγάλων συνηρμοσ-
308 μένων ἑτοιήθη πεντήκοντα πήχεων εὖρός τε καὶ ὕψος. ἦν δὲ τῶν
ἄλλων τε μιχανημάτων ἡ κατασκευὴ παραπλησία τοῖς ὑπὸ μὲν
Οὐεσπασιανοῦ πρότερον, μετὰ ταῦτα δ' ὑπὸ Τίτου πρὸς τὰς πο-
309 λιορκίας ἐπινοηθεῖσι, καὶ πύργος ἑξηκοντάπηχυς συνετελέσθη σιδήρῳ
καταπεφραγμένος ἅπας, ἐξ οὗ πολλοῖς ὀξυβελέσι καὶ πετροβόλοις
βάλλοντες οἱ Ῥωμαῖοι τοὺς ἀπὸ τοῦ τείχους μαχομένους ταχέως
310 ἀνέστειλαν καὶ προκύπτειν ἐκώλυσαν. ἐν ταὐτῷ δὲ καὶ κριὸν ὁ
Σίλβας μέγαν κατασκευασάμενος, συνεχεῖς κελεύσας ποιεῖσθαι τῷ
τείχει τὰς ἐμβολὰς μόλις μὲν ἀλλ' οὖν ἀναρρήξας τι μέρος κατή-
311 ρειψε. φθάνουσι δ' οἱ σικάριοι ταχέως ἔνδοθεν οἰκοδομησάμενοι
τεῖχος ἕτερον, ὃ μηδὲ ὑπὸ τῶν μιχανημάτων ἔμελλεν ὅμοιόν τι πεί-
σεσθαι· μαλακὸν γὰρ αὐτὸ καὶ τὴν σφοδρότητα τῆς ἐμβολῆς ὑπεκ-
312 λύειν δυνάμενον τοιῷδε τρόπῳ κατεσκεύασαν. δοκοὺς μεγάλας ἐπὶ
μῆκος προσεχεῖς ἀλλήλαις κατὰ τὴν τομὴν συνέθεσαν. δύο δὲ ἦσαν
τούτων στίχοι παράλληλοι τοσοῦτον διεστῶτες ὅσον εἶναι πλάτος
313 τείχους, καὶ μέσον ἀμφοῖν τὸν χοῦν ἐνεφόρουν. ὅπως δὲ μηδὲ
ὑψουμένου τοῦ χώματος ἡ γῆ διαχέοιτο, πάλιν ἑτέραις δοκοῖς ἐπι-
314 καρσίαις τὰς κατὰ μῆκος κειμένας διέδεον. ἦν οὖν ἐκείνοις μὲν
οἰκοδομίᾳ τὸ ἔργον παραπλήσιον, τῶν μιχανημάτων δ' αἱ πληγαὶ
φερόμεναι πρὸς εἶκον ἐξελύοντο καὶ τῷ σάλῳ συνιζάνον ἐποίουν
315 αὐτὸ στεριφώτερον. τοῦτο συνιδὼν ὁ Σίλβας πυρὶ μᾶλλον αἱρήσειν

PAMLVRC Lat Hegesippus V 52 p. 377. Zonaras I p. 558.

1 *εἰς*] *ὡσ* C *ἐπιβάθρα* ex corr. L 2 *πηχῶν* VRC *πηχῶν μὲν* L 4 *δὲ* VR 5 *ἐπινοηθεῖσα* VRC *ἑξηκοντάπηχεισ* P *ἑξηκονταπήχεισ* A *ἑξηκονταπήχησ* ML *ἑξήκοντα πήχεισ* VR *ἑξηκοντάπηχησ* C *συνετελέσθη*] *συνετέθη* C 6 *ὀξυβέλεσι* PLC 9 *μέγαν ὁ σίλβασ* tr. L *συνεχεῖς*] *συνεχεῖσ δὲ* L *κελεύσασ τῶ τείχει ποιεῖσθαι* tr. L *τῷ τείχει* om. C 10 *μέρος*] *μέριοσ* (*μέριοσ* C) *αὐτοῦ* MLVRC Lat *κατήριψε* PA *κατέρριψε* L 11 *δὲ* VR *ὠκοδομησάμενοι* C 12 *μηδ'* LC *πήσεσθαι* R 13 *καὶ, κ* ex *ν* corr. uid. A 14 *δυνάμε*||*************πω* P *μεγάλασ*|*****ῆ-κοσ* P *μεγάλουσ* L *μεγάλα·σ*, eras. *ι* V *μήκουσ* C 15 *δ'* LC 16 *πλάτοσ* ex *πλάτουσ* corr. C 17 *ἐνέφερον* C *συνεφόρουν* Zon *δὲ* om. L *μηδ'* L *μὴ* C *μηδὲ ὑψουμένου*] *μὴ τυπτομένου* Destinon 18 *ὑψουμένου* ex *ὑψούμενον* corr. A *ἑτέροισ* L *ἐπικαρ··σίαισ* V 19 *διέδουν* L. Dindorf 20 *οἰκονομία* VR *τῶν ἔργων* L *τῷ ἔργῳ* Destinon *παραπλήσιον*] LLat *παραπλησία* PALVRC probante Destinone *τῶν — 22 στεριφώτερον*] *sed quia cedenti* (sic Destinon *cedendi* codd.) *inferebantur machinarum ictus euanescebant lutoque subsidente strictiorem fabricam faciebant* Lat *δὲ* VRC 21 *πρὸς εἶκον*] Hudson et ex corr. T apud Cardwellum *προσεικὸσ* PLVR *προσεικῶσ* A *πρὸσ εἰκὸσ* MC *συνίζανον* ML *συνήζανον* C *ἐποίουντ'* C 22 *στεριφότερον* C

ἐνόμιζεν τὸ τεῖχος, καὶ τοῖς στρατιώταις προσέταττε λαμπάδας
αἰθομένας ἀθρόους ἐσακοντίζειν. τὸ δὲ οἷα δὴ ξύλων τὸ πλέον 316
πεπονημένον ταχὺ τοῦ πυρὸς ἀντελάβετο καὶ τῇ χαυνότητι πυρωθὲν
διὰ βάθους φλόγα πολλὴν ἐξεπύρσευσεν. ἀρχομένου μὲν οὖν ἔτι 317
τοῦ πυρὸς βορρᾶς ἐμπνέων τοῖς Ῥωμαίοις φοβερὸς ἦν· ἄνωθεν γὰρ
ἀποστρέφων ἐπ' ἐκείνους ἤλαυνε τὴν φλόγα, καὶ σχεδὸν ἤδη τῶν
μηχανημάτων ὡς συμφλεγησομένων ἀπέγνωσαν· ἔπειτα δ' αἰφνίδιον 318
νότος μεταβαλὼν καθάπερ ἐκ δαιμονίου προνοίας καὶ πολὺς ἐναν-
τίον πνεύσας τῷ τείχει φέρων αὐτὴν προσέβαλε, καὶ πᾶν ἤδη διὰ
βάθους ἐφλέγετο. Ῥωμαῖοι μὲν οὖν τῇ παρὰ τοῦ θεοῦ συμμαχίᾳ 319
κεχρημένοι χαίροντες εἰς τὸ στρατόπεδον ἀπηλλάττοντο μεθ' ἡμέ-
ραν ἐπιχειρεῖν τοῖς πολεμίοις διεγνωκότες καὶ τὰς φυλακὰς νύκτωρ
ἐπιμελεστέρας ἐποιήσαντο, μή τινες αὐτῶν λάθωσιν ἀποδράντες.

6. Οὐ μὴν οὔτε αὐτὸς Ἐλεάζαρος ἐν νῷ δρασμὸν ἔλαβεν οὔτε 320
ἄλλῳ τινὶ τοῦτο ποιεῖν ἔμελλεν ἐπιτρέψειν. ὁρῶν δὲ τὸ μὲν τεῖχος 321
ὑπὸ τοῦ πυρὸς ἀναλούμενον, ἄλλον δὲ οὐδένα σωτηρίας τρόπον
οὐδ' ἀλκῆς ἐπινοῶν, ἃ δὲ ἔμελλον Ῥωμαῖοι δράσειν αὐτοὺς καὶ
τέκνα καὶ γυναῖκας [αὐτῶν], εἰ κρατήσειαν, ὑπ' ὀφθαλμοὺς αὐτῷ
τιθέμενος, θάνατον κατὰ πάντων ἐβουλεύσατο. καὶ τοῦτο κρίνας 322
ἐκ τῶν παρόντων ἄριστον, τοὺς ἀνδρωδεστάτους τῶν ἑταίρων συ-
αγαγὼν τοιούτοις ἐπὶ τὴν πρᾶξιν λόγοις παρεκάλει· „πάλαι διεγνω- 323
κότας ἡμᾶς, ἄνδρες ἀγαθοί, μήτε Ῥωμαίοις μήτ' ἄλλῳ τινὶ δου-
λεύειν ἢ θεῷ, μόνος γὰρ οὗτος ἀληθὴς ἐστι καὶ δίκαιος ἀνθρώπων
δεσπότης, ἥκει νῦν καιρὸς ἐπαληθεῦσαι κελεύων τὸ φρόνημα τοῖς

PAMLVRCLatHegesippus V 53 p. 380. Zonaras I p. 558.

1 *τοὺς στρατιώτας* P 2 *εἰσακοντίζειν* LVRC *ἀκοντίζειν* Zon *δ'* C *ξύλων, ξ* i. ras. 3 litt. L *ἐκ ξύλων* MZon 4 *ἐξεπόρευσεν* L *ἐξεπύρωσεν* Lips *σεν* *οὖν* om. PAML *ἔτι*] *ἤδη* M 6 *ἐπ'*] *εἰσ* L *φόγα* A *λ* 7 *συμφλογησο-* *μένων* P *συμφλεγομένων* L *ησο* *ἀπεγνώκεσαν* LVRC *δὲ* VR 8 *ἐναντίοσ* LVRC 10 *βάθουσ, ο* i. ras. 2 litt. V 11 *ἀπηλλάττοντο* C 12 *ἐπιχειρεῖν τοῖσ πολεμίοις*] MLVRCLatZon *ἐπέρχειν τοὺσ πολεμίουσ* PA 14 i. marg. *λδ'* C *οὔτ' αὐτὸσ* LC *οὔτε*] *οὐδὲ* A *οὔτ'* LC 15 *ἐπιστρέψειν* A^1 16 *ἀναλούμενον*] *ἀνακαιόμενον* VRC *δ'* C *οὐδὲ* VR 17 *ἃ δὲ ἔμελλον*] *ἔμελλον δὲ* P *ἃ δ' ἔμελλον* LC 18 *τὰ τέκνα* M *αὐτῶν* om. P *αὐτῷ*] Dindorf *αὐτῶ* PAMVRC *αὐτῶν* L 19 *τιθέμενοσ* euan. P *τοῦτον* RC *κρίνασ*] *κ******* P 20 *ἐτ· αἴρων* P *ἑτέρων* MV^1C *συναγαγὼν*] *uesperi congregatos* Lat 21 *διεγνωκότεσ* PA^1 22 *ἡμᾶσ*] *uobis* Lat *μήτε* V 23 *μόνοσ γὰρ οὗτοσ* — p. 612,8 *μετὰ τῶν φιλτάτων* bis scripsit, et in quaternionis XXXIII fine et in suppletis A, priora expuncta sunt; uide ad p. 609,11 et praefationem *οὗτοσ*] *αὐτὸσ* L 24 *ἦκε* (*-εν* P) PAMVRC *adest* Lat

324 ἔργοις. πρὸς ὃν αὐτοὺς μὴ καταισχύνωμεν πρότερον μηδὲ δουλείαν
ἀκίνδυνον ὑπομείναντες, νῦν δὲ μετὰ δουλείας ἑλόμενοι τιμωρίας
ἀνηκέστους, εἰ ζῶντες ὑπὸ Ῥωμαίοις ἐσόμεθα· πρῶτοί τε γὰρ πάν-
325 των ἀπέστημεν καὶ πολεμοῦμεν αὐτοῖς τελευταῖοι. νομίζω δὲ καὶ
παρὰ θεοῦ ταύτην δεδόσθαι χάριν τοῦ δύνασθαι καλῶς καὶ ἐλευ- 5
θέρως ἀποθανεῖν, ὅπερ ἄλλοις οὐκ ἐγένετο παρ' ἐλπίδα κρατη-
326 θεῖσιν. ἡμῖν δὲ πρόδηλος μέν ἐστιν ἡ γενησομένη μεθ' ἡμέραν ἅλω-
σις, ἐλευθέρα δὲ ἡ τοῦ γενναίου θανάτου μετὰ τῶν φιλτάτων αἵρεσις.
οὔτε γὰρ τοῦτ' ἀποκωλύειν οἱ πολέμιοι δύνανται πάντως εὐχόμενοι
ζῶντας ἡμᾶς παραλαβεῖν, οὔθ' ἡμεῖς ἐκείνους ἔτι νικᾶν μαχόμενοι. 10
327 ἔδει μὲν γὰρ εὐθὺς ἴσως ἐξ ἀρχῆς, ὅτε τῆς ἐλευθερίας ἡμῖν ἀντι-
ποιεῖσθαι θελήσασι πάντα καὶ παρ' ἀλλήλων ἀπέβαινε χαλεπὰ καὶ
παρὰ τῶν πολεμίων χείρω, τῆς τοῦ θεοῦ γνώμης στοχάζεσθαι καὶ
γινώσκειν, ὅτι τὸ πάλαι φίλον αὐτῷ φῦλον Ἰουδαίων κατέγνωστο·
328 μένων γὰρ εὐμενὴς ἢ μετρίως γοῦν ἀπηχθημένος, οὐκ ἂν τοσούτων 15
μὲν ἀνθρώπων περιεῖδεν ὄλεθρον, προήκατο δὲ τὴν ἱερωτάτην αὐτοῦ
329 πόλιν πυρὶ καὶ κατασκαφαῖς πολεμίων. ἡμεῖς δ' ἄρα καὶ μόνοι
τοῦ παντὸς Ἰουδαίων γένους ἠλπίσαμεν περιέσεσθαι τὴν ἐλευθερίαν
φυλάξαντες, ὥσπερ ἀναμάρτητοι πρὸς τὸν θεὸν γενόμενοι καὶ μηδε-
330 μιᾶς μετασχόντες *, οἳ καὶ τοὺς ἄλλους ἐδιδάξαμεν; τοιγαροῦν ὁρᾶτε, 20
πῶς ἡμᾶς ἐλέγχει μάταια προσδοκήσαντας κρείττονα τῶν ἐλπίδων
331 τὴν ἐν τοῖς δεινοῖς ἀνάγκην ἐπαγαγών· οὐδὲ γὰρ ἡ τοῦ φρουρίου
φύσις ἀνάλωτος οὖσα πρὸς σωτηρίαν ὠφέλησεν, ἀλλὰ καὶ τροφῆς
ἀφθονίαν καὶ πλῆθος ὅπλων καὶ τὴν ἄλλην ἔχοντες παρασκευὴν
περιττεύουσαν ὑπ' αὐτοῦ περιφανῶς τοῦ θεοῦ τὴν ἐλπίδα τῆς 25

PAMLVRCLatHegesippus V 53 p. 381.

1 *αὐτοὺς* PV¹R et in suppletis A *ἑαυτοὺς* C 2 *νυνὶ* VRC *μετὰ*] *τὰ* A 3 *ὑπὸ*] *ἐπὶ* Naber *ἐσώμεθα* (*ἐσόμεθα* ex corr. in suppletis) A *τε* om. LLat et in prioribus A 4 *δὲ* om. C 5 *δεδόσθαι*] *ἡμῖν δεδόσθαι* CLat *καὶ*] om. PMLVR et in prioribus A, s. A in suppletis 7 *ἐστι* C 8 *ἐλευθέρα*] *ἐλευθερία* L *δ'* C *γεναίου* C *αἵρεσις*] *ἀναίρεσισ* L 9 *τοῦτ'*] *ταῦτα* VR *ταῦτ'* C 10 *οὔτε* VR *ἔτι*] *ἐστὶ* PA¹ *ἔστι* M *ἔτι μην* V¹ 11 *εὐθυς* ex corr. V *ἴσωσ εὐθὺσ* tr. C *ὅτε*] *τὸ* L 14 *γιγνώσκειν* L *φίλον*] *φιλούμενον* A *κατέγνωστο*] *ἀπωλείαν* (*ἀπωλεία* C) *κατέγνωστο* LCLat 15 *μένων*] *μὲν ὢν* P *μέτριοσ* (*ο* ex *ω* corr. A) AC *γοῦν*] *γοῦν ἡμῖν* AMLVRCLat *ἀπεχθημένοσ* AL *τοσοῦτον* VRC 16 *περίδεν* PA *αὐτῶ* L 17 *δὲ* VR 18 *περιέσεσθαι*] *περιελέσθαι* PA *superare* Lat 19 *φυλάξοντεσ* L *θεὸν*|**** *μενοι* P *γινόμενοι* A *μηδεμιᾶς μετασχόντες*] PALVRC *μηδεμιᾶσ μετασχόντεσ παρανομίασ* M *nullius culpae participes fuissemus* Lat *μηδεμιᾶς μετασχόντες ἁμαρτίας* Hudson *μηδενὸς μιάσματος μετασχόντες* Destinon 21 *προσδοκήσαντεσ* A 22 *ἐπάγων* L *οὐδὲ*] Bekker *οὔτε* codd. *γὰρ*] *γὰρ ἡμᾶσ* LVRCLat 23 *ὠφέλησεν* PAM

σωτηρίας ἀφῃρήμεθα. τὸ γὰρ πῦρ εἰς τοὺς πολεμίους φερόμενον 332
οὐκ αὐτομάτως ἐπὶ τὸ κατασκευασθὲν τεῖχος ὑφ' ἡμῶν ἀνέστρεψεν,
ἀλλ' ἔστι ταῦτα κόλος πολλῶν ἀδικημάτων, ἃ μανέντες εἰς τοὺς
ὁμοφύλους ἐτολμήσαμεν. ὑπὲρ ὧν μὴ τοῖς ἐχθίστοις Ῥωμαίοις δίκας 333
ἀλλὰ τῷ θεῷ δι' ἡμῶν αὐτῶν ὑπόσχωμεν· αὗται δέ εἰσιν ἐκείνων
μειριώτεραι· θνησκέτωσαν γὰρ γυναῖκες ἀνύβριστοι καὶ παῖδες 334
δουλείας ἀπείρατοι, μετὰ δ' αὐτοὺς ἡμεῖς εὐγενῆ χάριν ἀλλήλοις
παράσχωμεν καλὸν ἐντάφιον τὴν ἐλευθερίαν φυλάξαντες. πρότερον 335
δὲ καὶ τὰ χρήματα καὶ τὸ φρούριον πυρὶ διαφθείρωμεν· λυπηθή-
σονται γὰρ Ῥωμαῖοι, σαφῶς οἶδα, μήτε τῶν ἡμετέρων σωμάτων
κρατήσαντες καὶ τοῦ κέρδους ἁμαρτόντες. τὰς τροφὰς μόνας ἐάσω- 336
μεν· αὗται γὰρ ἡμῖν τεθνηκόσι μαρτυρήσουσιν ὅτι μὴ κατ' ἔνδειαν
ἐκρατήθημεν, ἀλλ' ὥσπερ ἐξ ἀρχῆς διέγνωμεν, θάνατον ἑλόμενοι
πρὸ δουλείας."

7. Ταῦτα Ἐλεάζαρος ἔλεγεν. οὐ μὴν κατ' αὐτὸ ταῖς γνώμαις 337
προσέπιπτε τῶν παρόντων, ἀλλ' οἱ μὲν ἔσπευδον ὑπακούειν καὶ
μόνον οὐχ ἡδονῆς ἐνεπίμπλαντο καλὸν εἶναι τὸν θάνατον νομί-
ζοντες, τοὺς δ' αὐτῶν μαλακωτέρους γυναικῶν καὶ γενεᾶς οἴκτος 338
εἰσῄει, πάντως δὲ καὶ τῆς ἑαυτῶν προδήλου τελευτῆς εἰς ἀλλήλους
ἀποβλέποντες τοῖς δακρύοις τὸ μὴ βουλόμενον τῆς γνώμης ἐσή-
μαινον. τούτους ἰδὼν Ἐλεάζαρος ἀποδειλιῶντας καὶ πρὸς τὸ μέγε- 339
θος τοῦ βουλεύματος τὰς ψυχὰς ὑποκλωμένους ἔδεισε, μή ποτε καὶ
τοὺς ἐρρωμένως τῶν λόγων ἀκούσαντας αὐτοὶ συνεκθηλύνωσι ποτ-
νιώμενοι καὶ δακρύοντες. οὔκουν ἀνῆκε τὴν παρακέλευσιν, ἀλλ' 340
αὐτὸν ἐπεγείρας καὶ πολλοῦ λήματος πλήρης γενόμενος λαμπροτέ-

---

PAMLVRCLatHegesippus V 53 p. 381.

2 *ἀνέστρεψεν*] *ἀνετρέψαμεν* C 3 *πολῶν* R *μανάντεσ* L 5 *δι'* om. V *δ' εἰσὶν* LC 7 *δὲ* VR *εὐγενῆ*] *συγγενῆ* L 9 *τὸ φρούριον καὶ τὰ χρήματα* tr. VRC *διαφθείρομεν* L *λυπήσονται* L. Dindorf 10 *γὰρ* om. R *μηδὲ* PAM 11 *ἁμαρτῶντεσ* (ante *μ* ras. 1 litt. A) PAR² 12 *κατ'*] *δι'* VRC 13 *ἑλόμενοι*] *εἰλάμενοι* PA¹ *εἰλόμεθα* R et ex corr. AV *εἰλάμεθα* V¹CLips 17 *οὐχὶ* L *ἡδοναῖσ* L *ἐμπίπλαντο* PA¹L *ἐνεπίπλαντο* C et ex corr. A *ἐμπίμπλαντο* V *ἐπίμπλαντο* R 18 *τοὺς* — 20 *ἐσήμαινον*] *qui uero molliores erant, coniugum ac familiarum suarum misericordia uel etiam proprius quemque apertissimus interitus deterrebat: aliusque alium intuentes contrarium uoluntatis suae motum lacrimis designabant* Lat *δὲ* VR *αὐτῶν, ν* suppl. M 19 *πάντοσ* A *εἰς*] *εἰσ γὰρ* ex corr. A *εἴσ τε* MCLat 21 *ἀποδειλιῶντας, δειλι* i. ras., *ῶ* ex *ό* corr. A 22 *ἀποκλωμένουσ* L 23 *τοὺς* om. C *ἐρρωμένωσ, ωσ* ex *ουσ* corr. AV *αὐτοὶ*] *αὐτοῖσ* L *συνεκθηλύνουσι* PA¹ 25 *αὐτὸν* LVR *ἑαυτὸν* C *λήματος*] Richter *λήματοσ* codd. *spiritu* Lat

341 ροις ἐνεχείρει λόγοις περὶ ψυχῆς ἀθανασίας, μέγα τε σχετλιάσας
καὶ τοῖς θακρύουσιν ἀτενὲς ἐμβλέψας „ἦ πλεῖστον, εἶπεν, ἐψεύσθην
νομίζων ἀνδράσιν ἀγαθοῖς τῶν ὑπὲρ τῆς ἐλευθερίας ἀγώνων συνα-
342 ρεῖσθαι, ζῆν καλῶς ἢ τεθνάναι διεγνωκόσιν. ὑμεῖς δὲ ἤτε τῶν
τυχόντων οὐδὲν εἰς ἀρετὴν οὐδ' εὐτολμίαν διαφέροντες, οἵ γε καὶ
τὸν ἐπὶ μείστων ἀπαλλαγῇ κακῶν φοβεῖσθε θάνατον δέον ὑπὲρ
343 τούτου μήτε μελλῆσαι μήτε σύμβουλον ἀναμεῖναι. πάλαι γὰρ εὐθὺς
ἀπὸ τῆς πρώτης αἰσθήσεως παιδεύοντες ἡμᾶς οἱ πάτριοι καὶ θεῖοι
λόγοι διετέλουν ἔργοις τε καὶ φρονήμασι τῶν ἡμετέρων προγόνων
αὐτοὺς βεβαιούντων, ὅτι συμφορὰ τὸ ζῆν ἐστιν ἀνθρώποις, οὐχὶ
344 θάνατος. οὗτος μὲν γὰρ ἐλευθερίαν διδοὺς ψυχαῖς εἰς τὸν οἰκεῖον
καὶ καθαρὸν ἀφίησι τόπον ἀπαλλάσσεσθαι πάσης συμφορᾶς ἀπα-
θεῖς ἐσομένας, ἕως δέ εἰσιν ἐν σώματι θνητῷ δεδεμέναι καὶ τῶν
τούτου κακῶν συναπτίμπλανται, τἀληθέστατον εἰπεῖν, τεθνήκασι·
345 κοινωνία γὰρ θείῳ πρὸς θνητὸν ἀπρεπής ἐστι. μέγα μὲν οὖν δύνα-
ται ψυχὴ καὶ σώματι συνδεδεμένη· ποιεῖ γὰρ αὐτῆς ὄργανον αἰσθα-
νόμενον ἀοράτως αὐτὸ κινοῦσα καὶ θνητῆς φύσεως περαιτέρω προ-
346 άγουσα ταῖς πράξεσιν· οὐ μὴν ἀλλ' ἐπειδὰν ἀπολυθεῖσα τοῦ καθέλ-
κοντος αὐτὴν βάρους ἐπὶ γῆν καὶ προσκρεμαμένου χῶρον ἀπολάβῃ
τὸν οἰκεῖον, τότε δὴ μακαρίας ἰσχύος καὶ πανταχόθεν ἀκωλύτου
μετέχει δυνάμεως, ἀόρατος μένουσα τοῖς ἀνθρωπίνοις ὄμμασιν
347 ὥσπερ αὐτὸς ὁ θεός· οὐδὲ γὰρ ἕως ἐστὶν ἐν σώματι θεωρεῖται·
πρόσεισι γὰρ ἀφανῶς καὶ μὴ βλεπομένη πάλιν ἀπαλλάττεται, μίαν
μὲν αὐτὴ φύσιν ἔχουσα τὴν ἄφθαρτον, αἰτία δὲ σώματι γινομένη,

---

PAMLVRC Lat Hegesippus V 53 p. 378 sq.

2 *θακρύουσιν*] *δάκρυσιν* PLR *δάκρασιν* C 3 *νομίζων* — 5 *διεγνωκόσιν*] *qui putarem uiros fortes pro libertate certantes mori bene malle quam uiuere* Lat *τῶν*] *τὸν* M *ἀγῶνα* M *συναρεῖσθαι*] Niese duce Hudsono *συναιρεῖσθαι* codd. *συναίρεσθαι* Berol. et teste Hudsono i. marg. Busb. 4 *δ'* C *ἦτε*] *ἥτε* A^1L *οὔτε* P *praestatis* Lat 5 *οὐδὲ* VR *εὐτολμίαν*] *εἰσ εὐτολμίαν* MVRC *εὐτολμία* Destinon 6 *τὸν*] *τῶν* PA^1VC *φοβεῖσθαι* AV^1R 7 *γαρ*] *enim et* Lat 9 *φρονήματι* P 10 *αὐτοὺσ* P *ἀνθρώποσ* C *οὐχὶ*] *οὐχ ὁ* Bekker 11 *μὲν* iterauit L 12 *ἀπαλλάσεσθαι* A *ἀπαλάσσεσθαι* R^1 *συμφορᾶσ, ο* suppl. m. 2 R 13 *ἐσομένασ, α* ex corr. P *δ'* LC 14 *συναπίμπλανται* V *συναναπίπλανται* C *τἀληθὲσ εἰπεῖν* M 15 *ἀπρεπέσ* L *μὲν* om. P 16 *συνδεδεμένη·* L *αὐτῆς* Bekker 17 *αὐτῶ* P *πεαι ρετέρω* R 18 *καθέλκοντοσ*] PAMLVCLips *καθελκτὸσ* R 19 *πρὸσκρεμ·αμένου* A *προσκρεμαμένου, ρ* i. ras. m. 2 L *προσκρεμμαμένου* C *προσκρεμα*‖***** P *ἀπολάβει*$^{\eta}$ L 21 *μένουσα*] *μὲν οὖσα* PAL *ἀνθρωπίνοισ*, litt. *ινο* ex *οισ* corr. uid. L 22 *ὁ* om. A *ἕωσ*] *ὡσ* AL fort. recte 23 *πρόσεισει* P *ἀπαλλάτταται* P *ἀπαλάττεται, ε* ex *α* corr. C 24 *αὐτὴ*] Bekker *αὕτη* codd. *ipsa* Lat

μεταβολῆς. ὅτου γὰρ ἂν ψυχὴ προσψαίσῃ, τοῦτο ξῇ καὶ τέθηλεν, 348
ὅτου δ' ἂν ἀπαλλαγῇ, μαρανθὲν ἀποθνήσκει· τοσοῦτον αὐτῇ περί-
εστιν ἀθανασίας. ὕπνος δὲ τεκμήριον ἡμῖν ἔστω τῶν λόγων ἐναρ- 349
γέστατον, ἐν ᾧ ψυχαὶ τοῦ σώματος αὐτὰς μὴ περισπῶντος ἡδίστην
μὲν ἔχουσιν ἀνάπαυσιν ἐφ' αὑτῶν γενόμεναι, θεῷ δ' ὁμιλοῦσαι κατὰ
συγγένειαν πάντῃ μὲν ἐπιφοιτῶσι, πολλὰ δὲ τῶν ἐσομένων προ-
θεσπίζουσι. τί δὴ δεῖ δεδιέναι θάνατον τὴν ἐν ὕπνῳ γινομένην 350
ἀνάπαυσιν ἀγαπῶντας; πῶς δ' οὐκ ἀνόητόν ἐστιν τὴν ἐν τῷ ζῆν
ἐλευθερίαν διώκοντας τῆς ἀιδίου φθονεῖν αὐτοῖς; ἔδει μὲν οὖν 351
ἡμᾶς οἰκοθεν πεπαιδευμένους ἄλλοις εἶναι παράδειγμα τῆς πρὸς
θάνατον ἑτοιμότητος· οὐ μὴν ἀλλ' εἰ καὶ τῆς παρὰ τῶν ἀλλοφύ-
λων δεόμεθα πίστεως, βλέψωμεν εἰς Ἰνδοὺς τοὺς σοφίαν ἀσκεῖν
ὑπισχνουμένους. ἐκεῖνοί τε γὰρ ὄντες ἄνδρες ἀγαθοὶ τὸν μὲν τοῦ 352
ζῆν χρόνον ὥστερ ἀναγκαίαν τινὰ τῇ φύσει λειτουργίαν ἀκουσίως
ὑπομένουσι, σπεύδουσι δὲ τὰς ψυχὰς ἀπολῦσαι τῶν σωμάτων, καὶ 353
μηδενὸς αὐτοὺς ἐπείγοντος κακοῦ μηδ' ἐξελαύνοντος πόθῳ τῆς ἀθα-
νάτου διαίτης προλέγουσι μὲν τοῖς ἄλλοις ὅτι μέλλουσιν ἀπιέναι,
καὶ ἔστιν ὁ κωλύσων οὐδείς, ἀλλὰ πάντες αὐτοὺς εὐδαιμονίζοντες
πρὸς τοὺς οἰκείους ἕκαστοι διδόασιν ἐπιστολάς· οὕτως βεβαίαν καὶ 354
ἀληθεστάτην ταῖς ψυχαῖς τὴν μετ' ἀλλήλων εἶναι δίαιταν πεπιστεύ-
κασιν. οἱ δ' ἐπειδὰν ἐπακούσωσι τῶν ἐντεταλμένων αὐτοῖς, πυρὶ 355
τὸ σῶμα παραδόντες, ὅπως δὴ καὶ καθαρωτάτην ἀποκρίνωσι τοῦ
σώματος τὴν ψυχήν, ὑμνούμενοι τελευτῶσιν· ῥᾷον γὰρ ἐκείνους εἰς 356
τὸν θάνατον οἱ φίλτατοι προπέμπουσιν ἢ τῶν ἄλλων ἀνθρώπων
ἕκαστοι τοὺς πολίτας εἰς μηκίστην ἀποδημίαν, καὶ σφᾶς μὲν αὐτοὺς
δακρύουσιν, ἐκείνους δὲ μακαρίζουσιν ἤδη τὴν ἀθάνατον τάξιν ἀπο-

---

PAMLVRC Lat Hegesippus V 53 p. 379 sq.

1 *μετα|** λῆσ* P *προσψαύσῃ] πρὸσ|σάψηται* A *προσάψηται* MLVRC 2 *αὐτῇ* L 3 *τὸν λόγον ἐναργέστερον* C 4 *ψυχαῖσ* P *μὴ* om. PAL 5 litt. *ἐφ' αὑτῶν γ* i. ras. A *ἐφ' ἑαυτῶν* (*ν* suppl. M) MLVRC *γινόμεναι* P *δὲ* MVR 6 *πάντῃ] παντὶ* A *προθεσπίζουσιν* LVC 7 *δὴ δεῖ*] VRLat *δὴ* PA¹ *δεῖ* M et ex corr. A *δὲ δεῖ* LC *γενομένην* L 8 *δὲ* VRC *ζεῖν* C 9 *φθονεῖσαι* R *φθονῆσαι* Lips *αὐτοῖσ* ALVR *ἑαυτοῖσ* C 10 *ὑμᾶσ* PL 11 *οὐ μὴν ἀλλ'*] *nam* Lat *ἄλλοφύλων, ο* ex *ω* corr. uid. V 15 *τὰς ψυχὰς*] *homines* Lat *τῶν* iterat M 16 *κατεπείγοντοσ* C *μηδὲ* R *ἐξελαύνοντοσ, α* i. ras. A *ἀθανάτου, του* i. ras. V 17 *μέλλουσι* A *ἀπεῖναι* PMVRC 19 *διδώασιν* C *οὕτω* VRC 20 *εἶναι* om. L *πεπειστεύκασιν* C 21 *δὲ* VRC *ἀκούσωσι* L litt. *υρὶ τὸ σῶμα* euan. P 22 *τὸ* s. C *παραδιδόντεσ* L *ὅπως — καθαρωτάτην*] *ut immaculata puraque* Lat *ἀποκρίνωσι, ω* ex *ου* corr. A *ἀποκρίνουσι* LVR *ἀπο*****|σι* P 24 *φίλτατοι***| πέμπουσιν* P 25 *ἕκαστοσ* LC 26 *ἤδη τὴ**| θάνατον* P

357 λαμβάνοντας. ἆρ᾽ οὖν οὐκ αἰδούμεθα χεῖρον Ἰνδῶν φρονοῦντες καὶ
διὰ τῆς αὐτῶν ἀτολμίας τοὺς πατρίους νόμους, οἳ πᾶσιν ἀνθρώ-
358 ποις εἰς ζῆλον ἥκουσιν, αἰσχρῶς ὑβρίζοντες; ἀλλ᾽ εἴ γε καὶ τοὺς
ἐναντίους ἐξ ἀρχῆς λόγους ἐπαιδεύθημεν, ὡς ἄρα μέγιστον ἀγαθὸν
ἀνθρώποις ἐστὶ τὸ ζῆν συμφορὰ δ᾽ ὁ θάνατος, ὁ γοῦν καιρὸς ἡμᾶς 5
παρακαλεῖ φέρειν εὐκαρδίως αὐτὸν θεοῦ γνώμῃ καὶ κατ᾽ ἀνάγκας
359 τελευτήσαντας· τάλαι γάρ, ὡς ἔοικε, κατὰ τοῦ κοινοῦ παντὸς Ἰου-
360 δαίων γένους ταύτην ἔθετο τὴν ψῆφον ὁ θεός, ὥσθ᾽ ἡμᾶς τοῦ ζῆν
ἀπηλλάχθαι μὴ μέλλοντας αὐτῷ χρῆσθαι κατὰ τρόπον. μὴ γὰρ
αὐτοῖς ὑμῖν ἀνάπτετε τὰς αἰτίας μηδὲ χαρίζεσθε τοῖς Ῥωμαίοις, 10
ὅτι πάντας ἡμᾶς ὁ πρὸς αὐτοὺς πόλεμος διέφθειρεν· οὐ γὰρ ἐκεί-
νων ἰσχύι ταῦτα συμβέβηκεν, ἀλλὰ κρειττων αἰτία γενομένη τὸ δοκεῖν
361 ἐκείνοις νικᾶν παρέσχηκε. ποίοις γὰρ ὅπλοις Ῥωμαίων τεθνήκασιν
362 οἱ Καισάρειαν Ἰουδαῖοι κατοικοῦντες; ἀλλ᾽ οὐδὲ μελλήσαντας αὐτοὺς
ἐκείνων ἀφίστασθαι, μεταξὺ δὲ τὴν ἑβδόμην ἑορτάζοντας τὸ πλῆθος 15
τῶν Καισαρέων ἐπιδραμὸν μηδὲ χεῖρας ἀνταίροντας ἅμα γυναιξὶ
καὶ τέκνοις κατέσφαξαν, οὐδ᾽ αὐτοὺς Ῥωμαίους ἐντραπέντες, οἳ
363 μόνους ἡμᾶς ἡγοῦντο πολεμίους τοὺς ἀφεστηκότας. ἀλλὰ φήσει τις,
ὅτι Καισαρεῦσιν ἦν ἀεὶ διαφορὰ πρὸς τοὺς παρ᾽ αὐτοῖς, καὶ τοῦ
364 καιροῦ λαβόμενοι τὸ παλαιὸν μῖσος ἀπεπλήρωσαν. τί οὖν τοὺς ἐν 20
Σκυθοπόλει φῶμεν; ἡμῖν γὰρ ἐκεῖνοι διὰ τοὺς Ἕλληνας πολεμεῖν
ἐτόλμησαν, ἀλλ᾽ οὐ μετὰ τῶν συγγενῶν ἡμῶν Ῥωμαίους ἀμύνεσθαι.
365 πολὺ τοίνυν ὤνησεν αὐτοὺς ἡ πρὸς ἐκείνους εὔνοια καὶ πίστις· ὑπ᾽
αὐτῶν μέντοι πανοικεσίᾳ πικρῶς κατεφονεύθησαν ταύτην τῆς συμ-

---

PAMLVRC Lat Hegesippus V 53 p. 381.

1 ἆρα VR αι εδούμεθα C χείρονα L 2 αὐτῶν PAMLVR ἑαυτῶν C πατρώους L 4 λόγους ἐξ ἀρχῆς tr. C ἀγαθόν ἐστιν ἀνθρώποις tr. L 5 ἀνθρώποις om. C δὲ VR 6 εὐκαρδίω·σ, ω ex corr. V 7 τελευτήσαντας] *morituros* Lat fort. recte κοινοῦ om. Lat, nec placet 8 τοῦ ζῆν om. L 9 αὐτῷ om. C 10 ἡμῖν M ἀνάπτεται L χαρίζεσθαι AV¹RC et ut uid. M¹ τοῖς om. L 11 ἡμᾶς ex ὑμᾶς corr. A 12 κρεῖττον P τὸ νικᾶν ἐκείνοις δοκεῖν tr. ed. pr. 13 παρέσχε P παρέσκε C 14 ἀλλ᾽] *ac* Lat μελλήσαντας] μελλήσοντας PA¹MLVRC μελλήσαντας ἴσμεν ex corr. A fort. recte 15 ἐφίστασθαι R ἑορτάζοντας] ἑορτὴν PA 16 καισαραίων A ἐπιδραμὼν PL ἀνταιροῦντας PA 17 οὐδὲ VRC 18 μόνους] μόνους ὡς PLVRC φήσει] τί φήσει L 19 πρὸς — αὐτοῖς] *cum suae ciuitatis iudaeis* Lat 20 παλαιὸν ‖ ******** πλήρωσαν P 21 σκυθοπόλει|*** εν P ἐκεῖνοι] ἐκεῖ VR πολε|****** όλμησαν P 22 οὐ δε] (δε s. man. recentior) P ὑμῶν VR ῥω|****νσ P ὑπ᾽ αὐτῶν μέντοι] *ac non ab ipsis* Lat ἀπατώμενοι Destinon 24 πανοικεσία, ν ex ρ corr. A ταύτην] MCLat ταύτησ (σ paene eras. A) PALVR

μαχίας ἀπολαβόντες ἀμοιβήν· ἃ γὰρ ἐκείνους ὑφ' ἡμῶν ἐκώλυσαν 366
ταῦθ' ὑπέμειναν ὡς αὐτοὶ δρᾶσαι θελήσαντες. μακρὸν ἂν εἴη νῦν
ἰδίᾳ περὶ ἑκάστων λέγειν· ἴστε γὰρ ὅτι τῶν ἐν Συρίᾳ πόλεων οὐκ 367
ἔστιν ἥτις τοὺς παρ' αὐτῇ κατοικοῦντας Ἰουδαίους οὐκ ἀνῄρηκεν,
ἡμῖν πλέον ἢ Ῥωμαίοις ὄντας πολεμίους· ὅπου γε Ἀσκαλωνῖται μηδὲ 368
πρόφασιν εὔλογον πλάσαι δυνηθέντες φόνου μιαρωτάτου τὴν αὐτῶν
πόλιν ἐνέπλησαν ὀκτακισχιλίους πρὸς τοῖς μυρίοις Ἰουδαίους ἅμα
γυναιξὶ καὶ γενεαῖς ἀποσφάξαντες. τὸ δ' ἐν Αἰγύπτῳ πλῆθος τῶν 369
μετ' αἰκίας ἀνῃρημένων ἐξ ὃν μυριάδας ὑπερβάλλειν ἐπινθανό-
μεθα. κἀκεῖνοι μὲν ἴσως ἐπ' ἀλλοτρίας γῆς οὐδὲν ἀντίπαλον εὑρά-
μενοι τοῖς πολεμίοις οὕτως ἀπέθανον, τοῖς δ' ἐπὶ τῆς οἰκείας τὸν
πρὸς Ῥωμαίους πόλεμον ἀραμένοις ἅπασί τε τῶν ἐλπίδα νίκης
ἐχυρᾶς παρασχεῖν δυναμένων οὐχ ὑπῆρξε; καὶ γὰρ ὅπλα καὶ τείχη 370
καὶ φρουρίων δυσάλωτοι κατασκευαὶ καὶ φρόνημα πρὸς τοὺς ὑπὲρ
τῆς ἐλευθερίας κινδύνους ἄτρεπτον πάντας πρὸς τὴν ἀπόστασιν
ἐτέρρωσεν. ἀλλὰ ταῦτα πρὸς βραχὺν χρόνον ἀρκέσαντα καὶ ταῖς 371
ἐλπίσιν ἡμᾶς ἐπάραντα μειζόνων ἀρχὴ κακῶν ἐφάνη· πάντα γὰρ
ἥλω, καὶ πάντα τοῖς πολεμίοις ὑπέπεσεν, ὥσπερ εἰς τὴν ἐκείνων
εὐκλεεστέραν νίκην, οὐκ εἰς τὴν τῶν παρασκευασαμένων σωτηρίαν
εὐτρεπισθέντα. καὶ τοὺς μὲν ἐν ταῖς μάχαις ἀποθνήσκοντας εὐδαι- 372
μονίζειν προσῆκον· ἀμυνόμενοι γὰρ καὶ τὴν ἐλευθερίαν οὐ προέμενοι
τεθνήκασι· τὸ δὲ πλῆθος τῶν ὑπὸ Ῥωμαίοις γενομένων τίς οὐκ ἂν

PAMLVRCLatHegesippus V 53 p. 382.

1 *ἀμοιβὴν ἀπολαβόντες* tr. LVRC *ὑφ'*] *ἐφ'* VR *ἀφ'* C *ἐκώλυσαν*] *παθεῖν ἐκώλυσαν* Holwerda 2 *τ'αὐθ'* A 4 *ἥτις*] *εἴτισ* LC *τοὺς*] *τοῦ* R^1 *ἀνήρηκεν*] *ἀνεῖρηκεν* C *ἀνήρη* P, unde *ἀνῆρει* Destinon 5 *ἢ*] *ἡ* C *Ῥωμαῖοι* cum Lowthio Hudson 7 *ἔπλησαν* M *ὀκτακισχιλίους — μυρίοις*] *VIII milia* Heg; cf. supra II 561 *ὀκτακισχιλίοισ* P *τοῖσ μυρίοισ* ex *τοὺσ μυρίουσ* corr. A 8 *γενεαῖς*] *παισὶν* C *δὲ* VRC 9 *μετὰ* P *αἰκίασ, αἰ* i. ras. A *ὑπερβαλεῖν* MVRC *πυνθανόμεθα* L 10 *εὑρόμενοι* L 11 *τοῖς — 13 ὑπῆρξε*] *omnibus autem qui domi cum romanis bellum suscepere nihil aderat eorum quae spem tutam possent praebere uictoriae* Lat *τοῖς*] *τὸν* P *τῶν* LVR *δὲ* VR *οἰκίασ* LC 12 *ἀραμένων* VR *ἅπασί τε*] *ἅπασι* C *ἅπαντα τὰ* Hudson *ἅπασι τί* Holwerda; et sine dubio *τί* reponendum est, sed *ἅπασι* quoque corruptum uid. *τῶν*] *τοῖσ* MVRC, om. Dindorf 13 *ἐχυρᾶσ* P *ὀχυρᾶσ* L *ἐχυρὰν* Bekker; *ἐχυρὰς* placet Destinoni, qui u. 12 *ἐλπίδας* proponit *δυναμένων*] *δυναμένοισ* MVRC Dindorf *δυνάμεων* ex Voss. Hudson *δυνάμενα* idem proposuit *ὑπῆρχε* L 14 *δυσάλωτοι, ι* ex *ν* corr. V *καὶ* s. A 15 *ἄτρεπτον*] *ἄτρευτον* P *ἄτρεστον* VRC *interriti* Lat; cf. infra § 396. 406 17 *ἡμᾶς* om. Lat *ἐφάνη*] *ἀνεφάνη* PAMVRC *extitere* Lat 18 *πάντα*] *πᾶν* A 19 *παρασκευασμένων* C 21 *προσῆκον*] *·προσῆκον* (eras. uid. *σ*) A *προσῆκεν* LC *προσ*********| *μενοι* P 22 *τεθνήκασι*| *τὸ* P *οὐκ ἄν* euan. P

ἐλεήσειε; τίς οὐκ ἂν ἐπειχθείη πρὸ τοῦ ταὐτὰ παθεῖν ἐκείνοις ἀπο-
373 θανεῖν; ὧν οἱ μὲν στρεβλούμενοι καὶ πυρὶ καὶ μάστιξιν αἰκιζόμενοι
τεθνήκασιν, οἱ δ' ἀπὸ θηρίων ἡμίβρωτοι πρὸς δευτέραν αὐτοῖς
τροφὴν ζῶντες ἐφυλάχθησαν, γέλωτα καὶ παίγνιον τοῖς πολεμίοις
374 παρασχόντες. ἐκείνων μὲν οὖν ἀθλιωτάτους ὑποληπτέον τοὺς ἔτι
ζῶντας, οἳ πολλάκις εὐχόμενοι τὸν θάνατον λαβεῖν οὐκ ἔχουσιν.
375 ποῦ δ' ἡ μεγάλη πόλις, ἡ τοῦ παντὸς Ἰουδαίων γένους μητρό-
πολις, ἡ τοσούτοις μὲν ἐρυμνὴ τειχῶν περιβόλοις, τοσαῦτα δ'
αὐτῆς φρούρια καὶ μεγέθη πύργων προβεβλημένη, μόλις δὲ χωροῦσα
τὰς εἰς τὸν πόλεμον παρασκευάς, τοσαύτας δὲ μυριάδας ἀνδρῶν
376 ἔχουσα τῶν ὑπὲρ αὐτῆς μαχομένων; ποῦ γέγονεν ἡμῖν ἡ τὸν θεὸν
ἔχειν οἰκιστὴν πεπιστευμένη; πρόρριζος ἐκ βάθρων ἀνῄρπασται, καὶ
μόνον αὐτῆς μνημεῖον ἀπολείπεται τὸ τῶν ἀνῃρημένων ἔτι τοῖς
377 λειψάνοις ἐποικοῦν. πρεσβῦται δὲ δύστηνοι τῇ σποδῷ τοῦ τεμέ-
νους παρακάθηνται καὶ γυναῖκες ὀλίγαι πρὸς ὕβριν αἰσχίστην ὑπὸ
378 τῶν πολεμίων τετηρημέναι. ταῦτα τίς ἐν νῷ βαλλόμενος ἡμῶν
καρτερήσει τὸν ἥλιον ὁρᾶν, κἂν δύνηται ζῆν ἀκινδύνως; τίς οὕτω
τῆς πατρίδος ἐχθρός, ἢ τίς οὕτως ἄνανδρος καὶ φιλόψυχος, ὡς μὴ
379 καὶ περὶ τοῦ μέχρι νῦν ζῆσαι μετανοεῖν; ἀλλ' εἴθε πάντες ἐτεθνή-
κειμεν πρὶν τὴν ἱερὰν ἐκείνην πόλιν χερσὶν ἰδεῖν κατασκαπτομένην
πολεμίων, πρὶν τὸν ναὸν τὸν ἅγιον οὕτως ἀνοσίως ἐξορωρυγμένον.
380 ἐπεὶ δὲ ἡμᾶς οὐκ ἀγεννὶς ἐλπὶς ἐβουκόλησεν, ὡς τάχα που δυνή-

---

PAMLVRC Lat Hegesippus V 53 p. 383 sq.

1 *ἐλεήσειε; τίς*] om. L *ἐλεήσειε ἢ τίς* C Lat *ἂν* om. L *ἐπιχθείη* A^1R *πρὸ*] *πρὸς* P *ταὐτὰ*] *ταῦτα* PA^1LC ***θεῖν* P 3 *δὲ* VR *ἀπὸ*] *ὑπὸ* Niese *ἡμίβροτοι* A 4 *παίγνιον* ex *παιγνίαν* corr. A *παιδιὰν* MLVRC 5 *μὲν οὖν*] *μὲν οὖν τοὺς* P *μὲν* L *quidem* Lat *μέντοι* Destinon 6 *εὐχόμενοι*, *υ* i. ras. 1—2 litt. A 7 *δὲ* VR *ἡ — μητρόπολις*] om. PMC Heg *aut ubi quae totius gentis iudaeae metropolis fuit* Lat 8 *το***|τα* P *δὲ* VR 9 *αὐτῆς* codd. corr. Bekker *προβεβλημένης* A^1 10 *παρασκ****|τοσαύτας* P *μυριάδας* — p. 619,27 *πρὸς τὴν* desunt uno folio amisso in L 13 *ἀπολείπεται*] *ὑπολέλειπται* C *ἀνῃρημένων*] *ἀνῃρκότων αὐτὴν* (*αὐτὴ* C) *στρατόπεδον* MVRC Lat et ut uid. Heg, apud quem extat *habitant in reliquiis urbis qui eam destruxerunt;* sed idem paullo infra *miseri seniores cinerulenta canitie et scisso amictu supra reliquias mortuorum sedent nuda tegentes ossa* tamquam etiam *ἀνῃρημένων* habuerit *ἔτι*] *ἐπὶ* PA^1 14 *τε* Niese 15 *παρακαθήμενοι* Niese 16 *τετηρημένων* C *ἡμῶν*] *ἡττων* VR 17 post *καρτερήσει* ras. ut uid. 1 litt. A *κἂν*] *καὶ* VRC 18 *οὕτως* om. C *μὴ* om. P 19 *καὶ* om. Lat 21 *πολεμίων*] VRC Lat Heg *τῶν πολεμίων* M *ὑπὸ τῶν πολεμίων* PA *τὸν ναὸν* om. A *τὸν*] *τὸ* ex corr. A *ἐξωρυγμένον* PA *flammis cremari* Heg; corruptum putat Herwerden 22 *ἀ·γεννὶς*, cras. *γ* A *ἀγενὶς* C *ἀπεβουκόλησεν* C

σεσθαι τοὺς πολεμίους ὑπὲρ αὐτῆς ἀμύνασθαι, φροὐδὲ γέγονε
νῦν καὶ μόνους ἡμᾶς ἐπὶ τῆς ἀνάγκης καταλέλοιπεν, σπεύσωμεν
καλῶς ἀποθανεῖν, ἐλεήσωμεν ἡμᾶς αὐτοὺς καὶ τὰ τέκνα καὶ τὰς
γυναῖκας, ἕως ἡμῖν ἔξεστιν παρ' ἡμῶν αὐτῶν λαβεῖν τὸν ἔλεον.
ἐπὶ μὲν γὰρ θάνατον ἐγεννήθημεν καὶ τοὺς ἐξ αὐτῶν ἐγεννήσαμεν, 381
καὶ τοῦτον οὐδὲ τοῖς εὐδαιμονοῦσιν ἔστι διαφυγεῖν· ὕβρις δὲ καὶ 382
δουλεία καὶ τὸ βλέπειν γυναῖκας εἰς αἰσχύνην ἀγομένας μετὰ τέκ-
νων οὐκ ἔστιν ἀνθρώποις κακὸν ἐκ φύσεως ἀναγκαῖον, ἀλλὰ ταῦτα
διὰ τὴν αὐτῶν δειλίαν ὑπομένουσιν οἱ παρὸν πρὸ αὐτῶν ἀποθα-
νεῖν μὴ θελήσαντες. ἡμεῖς δὲ ἐπ' ἀνδρείᾳ μέγα φρονοῦντες Ῥω- 383
μαίων ἀπέστημεν καὶ τὰ τελευταῖα νῦν ἐπὶ σωτηρίᾳ προκαλουμέ-
νων ἡμᾶς οὐχ ὑπηκούσαμεν. τίνι τοίνυν οὐκ ἔστιν ὁ θυμὸς αὐτῶν 384
πρόδηλος, εἰ ζώντων ἡμῶν κρατήσουσιν; ἄθλιοι μὲν οἱ νέοι τῆς
ῥώμης τῶν σωμάτων εἰς πολλὰς αἰκίας ἀρκέσοντες, ἄθλιοι δὲ οἱ
παρηβηκότες φέρειν τῆς ἡλικίας τὰς συμφορὰς οὐ δυναμένης. ὄψεταί 385
τις γυναῖκα πρὸς βίαν ἀγομένην, φωνῆς ἐπακούσεται τέκνου πατέρα
βοῶντος χεῖρας δεδεμένος. ἀλλ' ἕως εἰσὶν ἐλεύθεραι καὶ ξίφος 386
ἔχουσιν, καλὴν ὑπουργίαν ὑπουργησάτωσαν· ἀδούλωτοι μὲν ὑπὸ
τῶν πολεμίων ἀποθάνωμεν, ἐλεύθεροι δὲ μετὰ τέκνων καὶ γυναι-
κῶν τοῦ ζῆν συνεξέλθωμεν. ταῦθ' ἡμᾶς οἱ νόμοι κελεύουσι, 387
ταῦθ' ἡμᾶς γυναῖκες καὶ παῖδες ἱκετεύουσι· τούτων τὴν ἀνάγκην
θεὸς ἀπέσταλκε, τούτων Ῥωμαῖοι τἀναντία θέλουσι, καὶ μή τις
ἡμῶν πρὸ τῆς ἁλώσεως ἀποθάνῃ δεδοίκασι. σπεύσωμεν οὖν ἀντὶ 388
τῆς ἐλπιζομένης αὐτοῖς καθ' ἡμῶν ἀπολαύσεως ἔκπληξιν τοῦ θανά-
του καὶ θαῦμα τῆς τόλμης καταλιπεῖν."

IX. 1. Ἔτι βουλόμενον αὐτὸν παρακαλεῖν πάντες ὑπετέμινοντο 389
καὶ πρὸς τὴν πρᾶξιν ἠπείγοντο ἀνεπισχέτου τινὸς ὁρμῆς πεπληρω-
μένοι, καὶ δαιμονῶντες ἀπήεσαν ἄλλος πρὸ ἄλλου φθάσαι γλιχό-
μενος καὶ ταύτην ἐπίδειξιν εἶναι τῆς ἀνδρείας καὶ τῆς εὐβουλίας

PAMLVRCLatHegesippus V 53 p. 385.

1 *ἀμύνεσθαι* AVRC 3 *αὐτοὺσ* ex corr. AR *τὰσ, ἀσ* i. ras. A 5 *ἐγεννήθημεν*] *ipsi nati sumus* Lat *αυτῶν* PA *αὐτῶν* MVR 7 *γυναῖκασ, σ* suppl. R 8 *κακὸν, ὸ* ex *ῶ* corr. A 9 *δειλίαν*] *ὀφέλειαν δοιλείαν* sic C 10 *δ'* C *ἀνδρία* AC et ex corr. V 13 *εἰ*] *ἢ* AC *κρατήσωσιν* C 14 *αἰκίασ, ασ* ex *αισ* corr. A *δ'* C 15 *παραβηκότεσ* C 17 *δεδεμένοσ*] PA Lat Heg *δεδεμένου* MVRC 18 *ὑπουργίαν, ουρ* ex corr. m. 2 R *ὑποργίαν* C *ὑπουργησάτωσαν*] *ἡμῖν ὑπουργησάτωσαν* MVRCLat 20 *ταῦτα* VR 22 *ἀπέσταλκε*] *ἐκέλευσε* C *θέλωσι* C 25 *καὶ* om. VR *θαῦμα τῆσ*] *θαυμαστῆσ* VR *καταλειπεῖν* P 26 i. marg. *λε'* C *ἔτι*] *ἔτι γε* VRC 27 ‖*πρᾶξιν*] redit L *ὁρμῆσ*] *ὁμῆσ* M 28 *ἀπήεσαν, ἀ* ex *ἐ* corr. C *πρὸ*] *πρὸσ* L *γλιχόμενοσ*****ύτην* P 29 *καὶ* om. Lat *ἀνδρίασ* AV²C ******|ασ* P

νομίζοντες, τὸ μή τις ἐν ὑστάτοις γενόμενος ὀφθῆναι· τοσοῦτος
αὐτοῖς γυναικῶν καὶ παιδίων καὶ τῆς αὐτῶν σφαγῆς ἔρως ἐνέπεσεν.
390 καὶ μὴν οὐδ' ὅπερ ἄν τις ᾠήθη τῇ πράξει προσιόντες ἠμβλύνθη-
σαν, ἀλλ' ἀτενῆ τὴν γνώμην διεφύλαξαν οἵαν ἔσχον τῶν λόγων
ἀκροώμενοι, τοῦ μὲν οἰκείου καὶ φιλοστόργου πάθους ἅπασι παρα- 5
μένοντος, τοῦ λογισμοῦ δὲ ὡς τὰ κράτιστα βεβουλευκότος τοῖς φιλ-
391 τάτοις ἐπικρατοῦντος. ὁμοῦ γὰρ ἠσπάζοντο γυναῖκας περιπτυσσό-
μενοι καὶ τέκνα προσηγκαλίζοντο τοῖς ὑστάτοις φιλήμασιν ἐμφυόμενοι
392 καὶ δακρύοντες, ὁμοῦ δὲ καθάπερ ἀλλοτρίαις χερσὶν ὑπουργούμενοι
συνετέλουν τὸ βούλευμα, τὴν ἐπίνοιαν ὧν πείσονται κακῶν ὑπὸ 10
τοῖς πολεμίοις γενόμενοι παραμύθιον τῆς ἐν τῷ κτείνειν ἀνάγκης
393 ἔχοντες. καὶ πέρας οὐδεὶς τηλικούτου τολμήματος ἧττων εὑρέθη,
πάντες δὲ διὰ τῶν οἰκειοτάτων διεξῆλθον, ἄθλιοι τῆς ἀνάγκης, οἷς
αὐτοχειρὶ γυναῖκας τὰς αὐτῶν καὶ τέκνα κτεῖναι κακῶν ἔδοξεν εἶναι
394 τὸ κουφότατον. οὔτε δὴ τοίνυν τὴν ἐπὶ τοῖς πεπραγμένοις ὀδύνην 15
ἔτι φέροντες καὶ τοὺς ἀνῃρημένους νομίζοντες ἀδικεῖν εἰ καὶ βραχὺν
αὐτοῖς ἔτι χρόνον ἐπιζήσουσι, ταχὺ μὲν τὴν κτῆσιν ἅπασαν εἰς
395 ταὐτὸ σωρεύσαντες πῦρ εἰς αὐτὴν ἐνέβαλον, κλήρῳ δ' ἐξ αὐτῶν
ἑλόμενοι δέκα τοὺς ἁπάντων σφαγεῖς ἐσομένους, καὶ γυναικί τις
αὐτὸν καὶ παισὶ κειμένοις παραστρώσας καὶ τὰς χεῖρας περιβαλών, 20
παρεῖχον ἑτοίμους τὰς σφαγὰς τοῖς τὴν δύστηνον ὑπουργίαν ἐκτε-
396 λοῦσιν. οἱ δ' ἀτρέπτως πάντας φονεύσαντες τὸν αὐτὸν ἐπ' ἀλλή-
λοις τοῦ κλήρου νόμον ὥρισαν, ἵν' ὁ λαχὼν τοὺς ἐννέα κτείνας
ἑαυτὸν ἐπὶ πᾶσιν ἀνέλῃ· πάντες οὕτως αὐτοῖς ἐθάρρουν μήτ' εἰς

PAMLVRC Lat Hegesippus V 53 p. 386. Zonaras I p. 559.

2 καὶ] τε καὶ L παίδων M αὐτῶν AMLVRC ἐνέπεσε MLVR
3 οὐδὲ VR ὥσπερ VR τῇ i. ras. 3 litt. V προσιόντος L ἠμβλύ-
θησαν V 4 ἔσχον ex ἔχον corr. m. 2 R 6 δ' LC τοῖς φιλτάτοις]
filiis Lat 8 ἐμφυρόμενοι L 9 ὁμοῦ — 10 βούλευμα] *et simul quidem manibus alienis iussa peragentibus uolentes eos conficiebant* Lat δὲ om. C
ἀλλοτρίαις, αισ ex ασ corr. uid. L 10 πήσονται AV¹R 11 γένόμενοι R
12 τολμήματος] φρονήματος P ἧττον PAL 13 ἐξῆλθον PA 14 αὐτοχειρὶ
om. Lat τας] τίσ P τε ex τισ corr. A αὐτῶν PAVR κακὸν L
ἔδοξε P 15 οὔτε — 16 ἐπιφέροντες καὶ] *igitur neque horum iam factorum dolorem tolerantes et* Lat οὔτε] ex Lat Destinon οὗτοι codd.
16 ἔτι φέροντες] ἐπιφέροντεσ PA οὐκέτι φέροντες Hudson εἰ καὶ] καὶ C
κἂν ed. pr. 17 ἐπιζήσωσι VRC 18 ταὐτὸ] αὐτὸ V ἐνέβαλλον A¹
δὲ VR ἑξαυτῶν PAL ἐξ αὐτῶν VRC 20 αὐτὸν ex αὐτῶν corr. A αὐτῶν
P αὐτὸν LVRC τὰς s. C ἐπιβαλὼν L 22 δὲ VRC ἀτρέστωσ
MLVRC ἀλλήλουσ L 23 κλήρου ex κληρο corr. m. 2 V νόμουσ L
ἵνα L κτείνας] κτείνειν (ν finale suppl.) A 24 αὐτοῖς ἐθάρρουν] αὐτοῖσ
(ἑαυτοῖσ M) ἐθάρρουν PAML ἐθάρρουν ἑαυτοῖσ VRC

τὸ ὁρᾶν μήτ' εἰς τὸ παθεῖν ἄλλος ἄλλον διαφέρειν. καὶ τέλος οἱ 397
μὲν τὰς σφαγὰς ἐπέθεσαν, ὁ δ' εἷς καὶ τελευταῖος τὸ πλῆθος τῶν
κειμένων περιαθρήσας, μή τού τις ἔτ' ἐν πολλῷ φόνῳ τῆς αὐτοῦ
λείπεται χειρὸς δεόμενος, ὡς ἔγνω πάντας ἀνῃρημένους, πῦρ μὲν
πολὺ τοῖς βασιλείοις ἐνίησιν, ἀθρόᾳ δὲ τῇ χειρὶ δι' αὐτοῦ πᾶν
ἐλάσας τὸ ξίφος πλησίον τῶν οἰκείων κατέπεσε. καὶ οἱ μὲν ἐτε- 398
θνήκεσαν ἐπειληφότες οὐδὲν ἔχον ψυχὴν ἐπιχείριον ἐξ αὐτῶν
Ῥωμαίοις καταλιπεῖν, ἔλαθεν δὲ γυνὴ πρεσβῦτις καὶ συγγενὴς ἑτέρα 399
τις Ἐλεαζάρου, φρονήσει καὶ παιδείᾳ πλεῖστον γυναικῶν διαφέ-
ρουσα, καὶ πέντε παιδία τοῖς ἐπωνύμοις, οἳ ποτὸν ἦγον ὕδωρ διὰ
γῆς, ἐγκατακρυβῆναι τῶν ἄλλων πρὸς τῇ σφαγῇ τὰς διανοίας ἐχόν-
των, οἳ τὸν ἀριθμὸν ἦσαν ἑξήκοντα πρὸς τοῖς ἐνακοσίοις γυναικῶν 400
ἅμα καὶ παίδων αὐτοῖς συναριθμουμένων. καὶ τὸ πάθος ἐπράχθη 401
πεντεκαιδεκάτῃ Ξανθικοῦ μηνός.

2. Οἱ δὲ Ῥωμαῖοι μάχην ἔτι προσδοκῶντες, ὑπὸ τὴν ἕω δια- 402
σκευασάμενοι καὶ τὰς ἀπὸ τῶν χωμάτων ἐφόδους ταῖς ἐπιβάθραις
γεφυρώσαντες προσβολὴν ἐποιοῦντο. βλέποντες δ' οὐδένα τῶν πολε- 403
μίων, ἀλλὰ δεινὴν πανταχόθεν ἐρημίαν καὶ πῦρ ἔνδον καὶ σιωπήν,
ἀπόρως εἶχον τὸ γεγονὸς συμβαλεῖν, καὶ τέλος ὡς εἰς ἄφεσιν βολῆς
ἠλάλαξαν, εἴ τινα τῶν ἔνδον προκαλέσαιντο. τῆς δὲ βοῆς αἴσθησις 404
γίνεται τοῖς γυναίοις, κἀκ τῶν ἐπωνύμων ἀναδῦσαι τὸ πραχθὲν ὡς
εἶχε πρὸς τοὺς Ῥωμαίους ἐμήνυον, πάντα τῆς ἑτέρας ὡς ἐλέχθη τε
καὶ τίνα τρόπον ἐπράχθη σαφῶς ἐκδιηγουμένης. οὐ μὴν ῥᾳδίως 405
αὐτῇ προσεῖχον τῷ μεγέθει τοῦ τολμήματος ἀπιστοῦντες, ἐπεχείρουν

PAMLVRC Lat Hegesippus V 53 p. 386. Zonaras I p. 559.

1 τὸ (ante ὁρᾶν) om. PA¹VR 2 ὁ δ'] ὁ δὲ VR οὐδ' C 3 ἔτι LVR 4 ἔγνω] ἔγνων L ἐγνῶ C 5 πολὺ om. LLat Zon ἐνίησι A¹ ἐνίεισιν M διαντοῦ P δι' αὐτοῦ AVRC δι' ἑαυτοῦ L 7 οὐδὲν ἔχον ψυχὴν] οὐδεμίαν ἔχειν ψυχὴν PA probante Destinone οὐδεμίαν ἔχον ψυχὴν M οὐδεμίαν ψυχὴν C *nullam animam* Lat οὐδὲν — 8 καταλιπεῖν] μή τινα ζῶντα καταλειφθῆναι Zon ἑξαυτῶν PAL ἐξ αὐτῶν MVRC 8 καταλειπεῖν PA πρεσβύτης V¹C συγγενεῖσ P συγγενὶσ MR ἑταίρα ML fort. recte; uide infra u. 22 9 πλεῖστον] VRLat πλείστων PAMLC 10 διὰ γῆς ὕδωρ tr. A haud male 11 ἐγκατακρυβῆναι] *abditi* Lat τῷ ἐγκατακρυβῆναι Hudson ἐγκατακρυβεῖσαι Destinon πρὸς] πρὸ C 12 ἑξήκοντα — ἐνακοσίοις] διακόσιοι πρὸς ἑξήκοντα Zon ἐννακοσίοισ PAVR πεντακοσίοις L *nongenti* Lat Heg 13 παιδίων C τὸ] τὸ μὲν Niese Xanthici 15. dies est 2. Mai (VI non. Mai.) anni Iuliani (72 p. Chr.) 15 i. marg. λς' C προδοκῶντεσ R 16 τὰσ ἐπιβάθρασ L 17 ἐποιοῦντο] L Zon ἐποίουν PAMVRC δὲ VR 18 δεινὴν ἀπανταχόθεν ἡ ἐρημία καὶ sic C 19 γεγονῶσ (— ὼσ C) AC 20 προσκαλέσαιντο Zon 21 καὶ ἐκ VR 22 ἑταίρασ ML ἐλέγχθη V¹ 24 προσῆχον A τῷ] τὸ A

τε τὸ πῦρ σβεννύναι καὶ ταχέως ὁδὸν δι' αὐτοῦ τεμόντες τῶν βασι-
406 λείων ἐντὸς ἐγένοντο. καὶ τῷ πλήθει τῶν πεφονευμένων ἐπιτυ-
χόντες οὐχ ὡς ἐπὶ πολεμίοις ἥσθησαν, τὴν δὲ γενναιότητα τοῦ
βουλεύματος καὶ τὴν ἐν τοσούτοις ἄτρεπτον ἐπὶ τῶν ἔργων ἐθαύ-
μασαν τοῦ θανάτου καταφρόνησιν.

407 X. 1. Τοιαύτης δὲ τῆς ἁλώσεως γενομένης ἐπὶ μὲν τοῦ φρου-
ρίου καταλείπει φυλακὴν ὁ στρατηγός, αὐτὸς δὲ μετὰ τῆς δυνάμεως
408 ἀπῆλθεν εἰς Καισάρειαν. οὐδὲ γὰρ ὑπελείπετό τις τῶν κατὰ τὴν
χώραν πολεμίων, ἀλλ' ἤδη πᾶσα διὰ μακροῦ τοῦ πολέμου κατέ-
στραπτο πολλοῖς καὶ τῶν ἀπωτάτω κατοικούντων αἴσθησιν καὶ
409 κίνδυνον ταραχῆς παρασχόντος. ἔτι δὲ καὶ περὶ Ἀλεξάνδρειαν τὴν
410 ἐν Αἰγύπτῳ μετὰ ταῦτα συνέβη πολλοὺς Ἰουδαίων ἀποθανεῖν· τοῖς
γὰρ ἐκ τῆς στάσεως τῶν σικαρίων ἐκεῖ διαφυγεῖν δυνηθεῖσιν οὐκ
ἀνέχρη τὸ σώζεσθαι, πάλιν δὲ καινοτέροις ἐνεχείρουν πράγμασι καὶ
πολλοὺς τῶν ὑποδεξαμένων ἔπειθον τῆς ἐλευθερίας ἀντιποιεῖσθαι,
καὶ Ῥωμαίους μὲν μηδὲν κρείττους αὐτῶν ὑπολαμβάνειν, θεὸν δὲ
411 μόνον ἡγεῖσθαι δεσπότην. ἐπεὶ δὲ αὐτοῖς τῶν οὐκ ἀφανῶν τινες
Ἰουδαίων ἀντέβαινον, τοὺς μὲν ἀπέσφαξαν, τοῖς δ' ἄλλοις ἐνέκειντο
412 πρὸς τὴν ἀπόστασιν παρακαλοῦντες. ὁρῶντες δ' αὐτῶν τὴν ἀπό-
νοιαν οἱ πρωτεύοντες τῆς γερουσίας οὐκέτ' ἀσφαλὲς αὐτοῖς ἐνό-
μιζον περιορᾶν, ἀλλὰ πάντας ἀθροίσαντες εἰς ἐκκλησίαν τοὺς Ἰου-
δαίους ἤλεγχον τὴν ἀπόνοιαν τῶν σικαρίων πάντων αἰτίους ἀπο-
413 φαίνοντες ἐκείνους τῶν κακῶν· καὶ νῦν ἔφασαν αὐτούς, ἐπείπερ
οὐδὲ πεφευγότες τῆς σωτηρίας ἐλπίδα βεβαίαν ἔχουσιν, γνωσθέντας
γὰρ ὑπὸ Ῥωμαίων εὐθὺς ἀπολεῖσθαι, τῆς αὐτοῖς προσηκούσης συμ-

---

PAMLVRC Lat Zonaras VI p. 560.

1 τε] δὲ M ταμόντες PA 2 τῷ] τὸ A 3 πολεμί|*** ἥσθησαν R 7 κα**|λείπει P τῆσ****μεσσ P 8 τις] τησ C 9 πᾶσα] π**** P *tota iudaea* Lat 10 καὶ τῶν| euan. P ἀποτάτω MR 11 i. marg. λζ′ C ἔτι δὲ καὶ] *nam etiam* Lat ἐπειδὴ καὶ Destinon 12 ἰουδαίουσ L 13 τῶν, ν ex σ corr. C δυνηθεῖσι C 14 ἀπέχρι C ἐπεχείρουν P καὶ — 15 ἔπειθον om. Lat 16 αὐτῶν PAMLVR ἑαυτῶν C 17 ἐπεὶ| εἰ Zon δ' LC ἀφανῶ*| R 18 Ἰουδαίων] VRC Lat Zon *ioudaioi* AML οἱ *ioudaioi* P δὲ AVR ἄλλοισ, σ s. A ἐνέκειντο V 19 δὲ VR 20 προτεύοντεσ C οὐκέτι LVR αὐτοῖς ἐνόμιζον] ἐνόμιζον αὐτοὺσ C 21 πάντεσ C ἀθροίσαντεσ, ά ex corr. V 23 ἐκείνουσ ἀποφαίνοντεσ αἰτίουσ tr. C 24 πεφευγότεσ, εσ ex ασ corr. M γνωσθέντεσ R 25 γὰρ om. C recte, nisi post ἔχουσιν quid excidit τῆς — 623,2 παρεκάλουν] *proprias calamitates explere. ipsis autem, qui nullius fuissent eorum delicti participes, cauendum esse ab eorum exitio; et multitudinem precabantur* Lat τῆς] καὶ τῆσ C αὐτοῖσ C

φορᾶς ἀναπιμπλάναι τοὺς μηδενὸς τῶν ἁμαρτημάτων μετασχόντας. φυλάξασθαι τοίνυν τὸν ἐξ αὐτῶν ὄλεθρον τὸ πλῆθος παρεκάλουν 414
καὶ περὶ αὐτῶν τοὺς Ῥωμαίους ἀπολογήσασθαι τῇ τούτων παραδόσει. συνιδόντες τοῦ κινδύνου τὸ μέγεθος ἐπείσθησαν τοῖς λεγο- 415
μένοις, καὶ μετὰ πολλῆς ὁρμῆς ἐπὶ τοὺς σικαρίους ᾄξαντες συνήρταζον αὐτούς. τῶν δ' ἑξακόσιοι μὲν εὐθὺς ἑάλωσαν, ὅσοι δ' εἰς 416
τὴν Αἴγυπτον καὶ τὰς ἐκεῖ Θήβας διέφυγον, οὐκ εἰς μακρὰν συλληφθέντες ἐτανήχθησαν. ἐφ' ὧν οὐκ ἔστιν ὃς οὐ τὴν καρτερίαν καὶ 417
τὴν εἴτε ἀπόνοιαν εἴτε τῆς γνώμης ἰσχὺν χρὴ λέγειν οὐ κατεπλάγη· πάσης γὰρ ἐπ' αὐτοὺς βασάνου καὶ λύμης τῶν σωμάτων ἐπινοη- 418
θείσης ἐφ' ἓν τοῦτο μόνον, ὅπως αὐτῶν Καίσαρα δεσπότην ὁμολογήσωσιν, οὐδεὶς ἐνέδωκεν οὐδὲ ἐμέλλησεν εἰπεῖν, ἀλλὰ πάντες ὑπερτέραν τῆς ἀνάγκης τὴν αὐτῶν γνώμην διεφύλαξαν, ὥσπερ ἀναισθήτοις σώμασι χαιρούσῃ μόνον οὐχὶ τῇ ψυχῇ τὰς βασάνους καὶ τὸ πῦρ δεχόμενοι. μάλιστα δ' ἡ τῶν παίδων ἡλικία τοὺς θεω- 419
μένους ἐξέπληξεν· οὐδὲ γὰρ ἐκείνων τις ἐξενικήθη Καίσαρα δεσπότην ἐξονομάσαι. τοσοῦτον ἄρα τῆς τῶν σωμάτων ἀσθενείας ἡ τῆς τόλμης ἰσχὺς ἐπεκράτει.

2. Λοῦπος τότε διῴκει τὴν Ἀλεξάνδρειαν καὶ περὶ τοῦ κινή- 420
ματος τούτου Καίσαρι κατὰ τάχος ἐπέστειλεν. ὁ δὲ τῶν Ἰουδαίων 421
τὴν ἀκατάπαυστον ὑφορώμενος νεωτεροποιίαν καὶ δείσας, μὴ πάλιν εἰς ἓν ἀθρόοι συλλεγῶσι καί τινας αὐτοῖς συνεπισπάσωνται, προσ-

---

PAMLVRC Lat Zonaras I p. 560. Suidas s. *ἐμέλλησεν*.

1 *ἀναπιμπλάναι τοὺς*] *ἀναπιμπλᾶν αὐτοὺσ* PML *ἀναπιμπλᾶν* |··*αὐτοὺσ* A *ἀναπιπλᾶναι τοὺσ* C 2 *τοίνυν* om. CLat *τὸν*] *τῶν* P 3 *αὐτῶν* AMLVR *παραδώσει* ex corr. P 4 *συνιδόντες*] *συνιδόντεσ οὖν* M ed. pr. *συνιδόντεσ δὲ* L *οἱ δὲ συνιδόντεσ* C 5 *τοὺσ ἱκαρίουσ* L *ἀΐξαντεσ* codd. Zon 6 *δὲ* LVRC *ἑάλωσαν εὐθὺσ* tr. L *δὲ* VR 7 *θή*|*****ἐφυγον P *Θήβας*] *θήκασ* R S *ἐπανήχθη*|****φῶν, ω ex o corr. P *ἐφ' ὧν*] *quorum* Lat *ὃς οὐ*] *ὅσου* P 9 *εἴτ'* L *ἀπό*|***** *εἴτε* P *εἴτ*∗ R *ἰσχὺν*] P et ex corr. V *τὴν ἰσχὺν* AMLV¹RC 10 *πάσης*] *π**** P *ἐπινοηθείσης*] |****οηθείσησ P *ἐπενεχθείσησ* Zon 11 *αὐτῶν*] *αὐτῶ* PA *αὐτὸν* C, om. Lat Zon *δεσπότην*] ***** *την* P *ὁμολογήσουσι* PA 12 *οὐδεὶς — εἰπεῖν* habet Suidas *οὐδ'* LCSuid *ἐμέλησεν* ML *ἐμέλλη*****εῖν P 13 *τὴν*|******νώμην P *αὐτῶν* Bekker *ὥσπερ — 15 δεχόμενοι*] *tamquam brutis corporibus non animis etiam cruciatus ignemque susciperent* Lat 14 *χαίρουσι* (χ euan. P) PALR *μονονουχὶ* MLVC 15 *δὲ* VR *θεομένουσ* C *θεωμέ****** *ξέπληξεν* P 16 *ἐξέπλησσεν* Zon *ἐξενικήθη*, *ν* ex *κ* corr. A 19 *λοῦπποσ* LVC; de hoc nomine cf. Ant. Iud. XIX 190 sq. 20 *καίσαρει* A 21 *πάλην* R 22 *εἰς ἓν* i. marg. suppl. A *ἀθρόοι* VR *αὐτοῖσ* codd. *συνεπισπάσονται* P¹C

ἔταξε τῷ Λούπτῳ τὸν ἐν τῇ Ὀνίου καλουμένῃ νεὼν καθελεῖν τῶν
422 *Ἰουδαίων. ὁ δ' ἐστὶν ἐν Αἰγύπτῳ καὶ διὰ τοιαύτην αἰτίαν ᾠκίσθη*
423 *τε καὶ τὴν ἐπίκλησιν ἔλαβεν· Ὀνίας Σίμωνος υἱός, εἷς τῶν ἐν Ἱερο-*
σολύμοις ἀρχιερέων, φεύγων Ἀντίοχον τὸν Συρίας βασιλέα πολε-
μοῦντα τοῖς Ἰουδαίοις ἦκεν εἰς Ἀλεξάνδρειαν, καὶ δεξαμένου Πτολε- 5
μαίου φιλοφρόνως αὐτὸν διὰ τὴν πρὸς Ἀντίοχον ἀπέχθειαν ἔφη
σύμμαχον αὐτῷ ποιήσειν τὸ τῶν Ἰουδαίων ἔθνος, εἰ πεισθείη τοῖς
424 *ὑπ' αὐτοῦ λεγομένοις. ποιήσειν δὲ τὰ δυνατὰ τοῦ βασιλέως ὁμο-*
λογήσαντος ἠξίωσεν ἐπιτρέπειν αὐτῷ νεών τε που τῆς Αἰγύπτου
κατασκευάσασθαι καὶ τοῖς πατρίοις ἔθεσι θεραπεύειν τὸν θεόν· 10
425 *οὕτως γὰρ Ἀντιόχῳ μὲν ἔτι μᾶλλον ἐκπολεμώσεσθαι τοὺς Ἰουδαίους*
τὸν ἐν Ἱεροσολύμοις νεὼν πεπορθηκότι, πρὸς αὐτὸν δ' εὐνοϊκω-
τέρως ἕξειν καὶ πολλοὺς ἐπ' ἀδείᾳ τῆς εὐσεβείας ἐπ' αὐτὸν συλλε-
γήσεσθαι.

426 3. *Πεισθεὶς Πτολεμαῖος τοῖς λεγομένοις δίδωσιν αὐτῷ χώραν* 15
ἑκατὸν ἐπὶ τοῖς ὀγδοήκοντα σταδίους ἀπέχουσαν Μέμφεως· νομὸς
427 *δ' οὗτος Ἡλιοπολίτης καλεῖται. φρούριον ἔνθα κατασκευασάμενος*
Ὀνίας τὸν μὲν ναὸν οὐχ ὅμοιον ᾠκοδόμησε τῷ ἐν Ἱεροσολύμοις,
ἀλλὰ πύργῳ παραπλήσιον λίθων μεγάλων εἰς ἑξήκοντα πήχεις ἀνε-
428 *στηκότα· τοῦ βωμοῦ δὲ τὴν κατασκευὴν πρὸς τὸν οἰκεῖον ἐξεμι-* 20
μήσατο καὶ τοῖς ἀναθήμασιν ὁμοίως ἐκόσμησεν χωρὶς τῆς περὶ
429 *τὴν λυχνίαν κατασκευῆς· οὐ γὰρ ἐποίησε λυχνίαν, αὐτὸν δὲ χαλκευ-*
σάμενος λύχνον χρυσοῦν ἐπιφαίνοντα σέλας χρυσῆς ἁλύσεως ἐξεκρέ-

---

PAMLVRCLat

1 *λούπω* AMRCLat *τὸν] τῶν* A *τὸν — νεὼν] templum iudaeorum quod erat apud oniae* (*onio* cod. Berol.) *quae sic appellatur ciuitatem* Lat *καλουμένῃ*] Hudson *καλούμενον* codd. 2 *ὁ*] *ἥ* A *ἡ* LVR *haec* Lat *δέ* VRC *αἰγύπτω, ὑπτω* i. ras. A 3 *ἐπίκλησιν*] *ἐκκλησίαν* C *Σίμωνος*] *Ὀνίου* Hudson ex Ant. Iud. XII § 383 XIII § 62 *τοῦ Ὀνίου τοῦ Σίμωνος* Relandus 4 *τὸν*] *τῆσ* VRC 8 *λεγομένο*σ* V *δυνατὰ, υ* ex corr. A 9 *τε* om. PA 11 *οὕτω* LVRC 12 *νεὼ* P *δὲ* VR *εὐνοϊκοτέρωσ* PA 13 *ἕξειν* L *ἐπ' αὐτὸν*] *ὡσ αὐτὸν* C 15 *πεισ*****| P *πτωλεμαῖοσ* C *λεγομένοις*] *δεδογμένοις* ex *δεδομένοις* corr. A *ὑπ' αὐτοῦ λεγομένοις* M *χώραν*** τὸν* P 16 *ἐπὶ τοῖσ ἑκατὸν* tr. L *σταδίων* PAMVR *σταδίοισ* C *Μέμφεως*] *μεμ*****| P *μεμφέωσ* R *νόμοσ* PALC 17 *δὲ* VR *Ἡλιοπολίτης*] Dindorf *ἡλιουπολίτησ* codd. *ἔνθα φρούριον* tr. LVRC *ἔνθα*] *ἔν*** P 18 *ὅ******| *ὠκοδόμησε* P *τῷ*] *τῶν* A[1]LV 19 *πύργῳ — ἀνεστηκότα*] *turrim autem similem instruxit ingentibus saxis sexaginta cubitis erectam* Lat 20 *πρὸς τὸν οἰκεῖον*] *secundum patriam* (*aram*) Lat *οἰκεῖον*] *οἰ**ν* P *οἶκον* A *οἰκοι* MVRC 23 *λύχνον*] *τὸν λύχνον* VRC *ἐπιφέροντα* (*ρ* ex corr. uid.) et i. marg. m. 2 *ἐπιφαίνοντα* V

μασε. τὸ δὲ τέμενος πᾶν ὁλιῇ πλίνθῳ περιτετείχιστο πύλας ἔχον
λιθίνας. ἀνῆκε δὲ καὶ χώραν πολλὴν ὁ βασιλεὺς εἰς χρημάτων πρόσ- 430
οδον, ὅπως εἴη καὶ τοῖς ἱερεῦσιν ἀφθονία καὶ τῷ θεῷ πολλὰ τὰ
πρὸς τὴν εὐσέβειαν. οὐ μὴν Ὀνίας ἐξ ἐγγοῖς γνώμης ταῦτα ἔπρατ- 431
τεν, ἀλλ' ἦν αὐτῷ φιλονεικία πρὸς τοὺς ἐν τοῖς Ἱεροσολύμοις Ἰου-
δαίους ὀργὴν τῆς φυγῆς ἀπομνημονεύοντι, καὶ τοῦτο τὸ ἱερὸν ἐνό-
μιζε κατασκευάσας εἰς αὐτὸ περισπάσειν ἀπ' ἐκείνων τὸ πλῆθος.
ἐγεγόνει δέ τις καὶ παλαιὰ πρόρρησις ἔτεσί που πρόσθεν ἑξακοσίοις· 432
Ἡσαΐας ὄνομα τῷ προαγορεύσαντι τοῦδε τοῦ ναοῦ τὴν ἐν Αἰγύπτῳ
γενησομένην ὑπ' ἀνδρὸς Ἰουδαίου κατασκευήν. τὸ μὲν οὖν ἱερὸν
οὕτως ἐπεποίητο.

4. Λοῦππος δ' ὁ τῆς Ἀλεξανδρείας ἡγεμὼν τὰ παρὰ Καίσα- 433
ρος λαβὼν γράμματα καὶ παραγενόμενος εἰς τὸ ἱερὸν καί τινα τῶν
ἀναθημάτων ἐκφορήσας τὸν ναὸν ἀπέκλεισε. Λούππου δὲ μετὰ 434
βραχὺ τελευτήσαντος Παυλῖνος διαδεξάμενος τὴν ἡγεμονίαν οὔτε
τῶν ἀναθημάτων οὐδὲν κατέλιπε, πολλὰ γὰρ διεπείλησε τοῖς ἱερεῦ-
σιν εἰ μὴ πάντα προκομίσειαν, οὔτε προσιέναι τῷ τεμένει τοὺς
θρησκεύειν βουλομένους ἐφῆκεν, ἀλλ' ἀποκλείσας τὰς πύλας ἀπρόσ- 435
ιτον αὐτὸ παντελῶς ἐποίησεν, ὡς μηδ' ἴχνος ἔτι τῆς εἰς τὸν θεὸν
θεραπείας ἐν τῷ τόπῳ καταλιπεῖν. χρόνος δ' ἦν εἰς τὴν ἀπόκλεισιν 436
τοῦ ναοῦ γεγονὼς ἀπὸ τῆς κατασκευῆς ἔτη τρία καὶ τεσσαράκοντα
καὶ τριακόσια.

XI. 1. Ἥψατο δὲ καὶ τῶν περὶ Κυρήνην πόλεων ἡ τῶν σικα- 437
ρίων ἀπόνοια καθάπερ νόσος. διαπεσὼν γὰρ εἰς αὐτὴν Ἰωνάθης, 438
πονηρότατος ἄνθρωπος καὶ τὴν τέχνην ὑφάντης, οὐκ ὀλίγους τῶν

PAMLVRC LatZonaras I p. 561. Exc Peiresc.

1 *περιτετείχιστο*] PV et ex corr. A *περιετείχιστο* A^1 *περιετετείχιστο* MLRC *ἔχον*] ex corr. A *ἔχοντα* P *ἔχοντι* A^1MVR et fort. Lat *ἔχων* LC 2 *καὶ* om. L 5 *τοὺς*] *τοῖς* VR *τοῖς* om. M *Ἰουδαίοις* VR 6 *ὀργὴν*] *ὀργην* R^1 *καὶ τοῦτο*] *καίτοι* MVRC 7 *αὐτὸν* V^1 *αὐτ**| P 8 *πρόσθε*$^{\nu}$ A *ἑξακοσίοις*] *nongentis septuaginta* Lat; cf. Ant. Iud. XIII 64 et infra § 436 9 *ἡσαΐας* L *προσαγορεύσαντι* L 10 *τὴν κατασκευὴν* PAL 12 *λοῦποσ* AMRLat *δ' ὁ*] euan. P *δὲ ὁ* VR 13 *καὶ* (post *γράμματα*) eicit Destinon 14 *ἐκφ· ρήσας*, eras. uid. *ω* V *ἐπέκλεισε* VR *λούπου* PAM *λούππω* V 16 *οὐθὲν* VR *κατέλιπε*] C *κατελείπετο* PAMLV *κατελίπετο* R *τοῖσ ἀρχιερεῦσιν* M 18 *ἐφῆκεν*] Niese *admisit* Lat *ἀφῆκεν* codd. *ἀλλ'* euan. P 19 *αὐτὸν* L *αὐτῶ* C *μηδὲ* VR *τὸν* om. L 20 *καταλειπεῖν* PA *χρόνος*] *tempus autem* Lat *τὴν*|***όκλεισιν* P 21 *τρία καὶ τριακόσια καὶ τεσσαράκοντα* tr. C 22 *τριακόσια*] *τ̄* A; numeros corruptos esse putat Destinon 23 i. marg. *λη'* C 24 *διεκπεσὼν* Zon *Ἰωνάθης* incip. Exc 25 *πονηρώτατοσ* C *ὑφαντής* PA *gynecciarius* Lat

ἀπόρων ἀνέπεισε προσέχειν αὐτῷ καὶ προήγαγεν εἰς τὴν ἔρημον
439 σημεῖα καὶ φάσματα δείξειν ὑπισχνούμενος. καὶ τοὺς μὲν ἄλλους
ἐλάνθανε ταῦτα διαπραττόμενος καὶ φενακίζων, οἱ δὲ τοῖς ἀξιώ-
μασι προύχοντες τῶν ἐπὶ τῆς Κυρήνης Ἰουδαίων τὴν ἔξοδον αὐτοῦ
καὶ παρασκευὴν τῷ τῆς πενταπόλεως Λιβύης ἡγεμόνι Κατύλλῳ
440 προσαγγέλλουσιν. ὁ δ' ἱππέας τε καὶ πεζοὺς ἀποστείλας ῥᾳδίως
ἐκράτησεν ἀνόπλων, καὶ τὸ μὲν πλέον ἐν χερσὶν ἀπώλετο, τινὲς δὲ
441 καὶ ζωγρηθέντες ἀνήχθησαν πρὸς τὸν Κάτυλλον. ὁ δ' ἡγεμὼν τοῦ
βουλεύματος Ἰωνάθης τότε μὲν διέφυγε, πολλῆς δὲ καὶ λίαν ἐπι-
μελοῦς ἀνὰ πᾶσαν τὴν χώραν ζητήσεως γενομένης ἥλω, καὶ πρὸς
τὸν ἡγεμόνα ἀναχθεὶς αὐτῷ μὲν ἐμηχανᾶτο τῆς τιμωρίας ἀπαλλα-
442 γήν, τῷ Κατύλλῳ δ' ἔδωκεν ἀφορμὴν ἀδικημάτων. ὁ μὲν γὰρ τοὺς
πλουσιωτάτους τῶν Ἰουδαίων ἔλεγε καταψευδόμενος διδασκάλους
443 αὐτῷ τοῦ βουλεύματος γεγονέναι, 2. προθύμως δὲ τὰς διαβολὰς
ἐκεῖνος ἐξεδέχετο καὶ τῷ πράγματι πολὺν ὄγκον περιετίθει μεγάλα
προστραγῳδῶν, ἵνα δόξειε καὶτὸς Ἰουδαϊκόν τινα πόλεμον κατωρ-
444 θωκέναι. τὸ δὲ δὴ τούτου χαλεπώτερον, πρὸς γὰρ τῷ πιστεύειν
ῥᾳδίως ἔτι καὶ διδάσκαλος ἦν τῶν σικαρίων τῆς ψευδολογίας·
445 κελεύσας γοῦν αὐτὸν ὀνομάσαι τινὰ τῶν Ἰουδαίων Ἀλέξανδρον, ᾧ
πάλαι προσκεκρουκὼς φανερὸν ἐξενηνόχει τὸ μῖσος, τήν τε γυναῖκα

PAMLVRC Lips Lat Zonaras I p. 561. Exc Peiresc.

1 *ἀπόρων*] *imperitorum* Lat ἔπεισε M 2 *δείξειν* ex *δείξιν* corr. man. recens L *μὲν*] incipit folium ultimum manu recenti suppletum L *μὲν ἄλλους*] *μεγάλους* P 3 *διαπραττόμενος*‖ finit cod. R, abhinc collatus est Lips *φαινακίζων* (— *ζον* A) PA 4 *κυρίνης* P *τὴν* om. V et m. 1 Lips *apparatum eius et profectionem* tr. Lat 5 *Λιβύης*] *τῆς λιβύης* Exc *catulo* hic et infra codd. Vat. et Berol. Lat 6 *προσαγγέλλουσιν*] *προσαγορεύουσιν* C *δὲ* V et m. 1 Lips *ῥᾳδίως*] *τούτων* Exc 7 *ἐκράτησεν*] *comprehendit* Lat *ἀνόπλων* — 8 *Κάτυλλον* om. Exc *ἀπώλετο ἐν χερσὶν* tr. C 8 *ὁ δ'* — 10 *ἥλω* breuiant Exc *δὲ* V et m. 1 Lips 9 *βουλεύματος*] *βασιλέως* C *Ἰωνάθ* L *ἰωνάθην* Exc *ἐπιμελῶς* C 10 *ἀνὰ πᾶσαν*] *ἀνάπασαν* PA *τὴν* i. marg. suppl. A *ἀναζητήσεως* P 11 *ἡγεμόνα*] PAMLV Lips *ἡγεμόνα κάτυλλον* C *κάτυλλον* i. marg. m. 2 Lips *catulum* Lat *ἀναχθεὶς*] *ἀχθεὶσ* Exc *αὐτῷ* PALV *ἑαυτῷ* C Zon et ex corr. Lips 12 *δὲ* V Zon et m. 1 Lips *ὁ — τοὺς*] *τοὺσ γὰρ* Exc 13 *πλουσιοτάτους* P *πλησιωτάτους* C 15 *καὶ τὸ πράγμα|τι, ά* ex *ᾱ* corr. A *πολλὺν* C 16 *ἵνα*] *ἵνα δὴ* VC Lips *δόξῃε καὶτὸσ* P *δόξῃ ἐκκαίματοσ* V et m. 1 Lips *δόξειε καὶ αὐτὸσ* C et ex corr. Lips *δόξει ἕκαστοσ* Exc *κατορθωκέναι* PA¹V¹C et m. 1 Lips 17 *τὸ δὲ*] *τότε* L *τὸ δὲ — γὰρ*] *καὶ πρὸσ* Exc *τοῦτο* C *χαλεπώτατον* PAM *πρὸς* — 18 *τῶν*] i. marg. suppl. m. 2 partim abscissa (*ἔτι* a suppletis afuisse uid.) V *τῷ*] *τὸ* LC Lips Exc 18 *τῶν* — p. 627,3 *ἄνδρας* abscissa C 19 *τινὰ τῶν Ἰουδαίων* iterat P *Ἀλέξανδρον*] *ἄλεδρον* Exc 20 *ἐξ***|νόχει* P

τὴν ἐκείνου [Βερενίκην ταῖς αἰτίαις] συνεμπλέξας, τούτοις μὲν πρῶ-
τον ἀνεῖλεν, ἐπὶ δ' αὐτοῖς ἅπαντας τοὺς εὐπορίᾳ χρημάτων διαφέ-
ροντας ὁμοῦ τι χιλίους ἐφόνευσεν ἄνδρας· καὶ ταῦτα πράττειν ἐνό- 446
μιζεν ἀσφαλῶς, ὅτι τὰς οὐσίας αὐτῶν εἰς τὰς τοῦ Καίσαρος προσ-
όδους ἀνελάμβανεν.

3. Ὅπως δὲ μηδὲ ἀλλαχοῦ τινες τῶν Ἰουδαίων ἐλέγξωσιν αὐτοῦ 447
τὴν ἀδικίαν, ῥοῤῥωτέρω τὸ ψεῦδος ἐξέτεινε καὶ πείθει τὸν Ἰωνά-
θην καί τινας τῶν ἅμ' ἐκείνῳ συνειλημμένων νεωτερισμοῦ κατη-
γορίαν ἐπιφέρειν τοῖς ἐν Ἀλεξανδρείᾳ τε καὶ Ῥώμῃ τῶν Ἰουδαίων
δοκιμωτάτοις. τούτων εἷς τῶν ἐξ ἐπιβουλῆς αἰτιαθέντων ἦν Ἰώ- 448
σηπος ὁ ταῦτα συγγραψάμενος. οὐ μὴν κατ' ἐλπίδα τῷ Κατύλλῳ 449
τὸ σκευώρημα προεχώρησεν· ἦκε μὲν γὰρ εἰς τὴν Ῥώμην τοὺς περὶ
τὸν Ἰωνάθην ἄγων δεδεμένους καὶ πέρας ᾤετο τῆς ἐξετάσεως εἶναι
τὴν ἐπ' αὐτοῦ καὶ δι' αὐτοῦ γενομένην ψευδολογίαν. Οὐεσπα- 450
σιανὸς δὲ τὸ πρᾶγμα ὑποπτεύσας ἀναζητεῖ τὴν ἀλήθειαν καὶ γνοὺς
ἄδικον τὴν αἰτίαν τοῖς ἀνδράσιν ἐπενηνεγμένην τοὺς μὲν ἀφίησι
τῶν ἐγκλημάτων Τίτου σπουδάσαντος, δίκην δ' ἐπέθηκεν Ἰωνάθῃ
τὴν προσήκουσαν· ζῶν γὰρ κατεκαύθη πρότερον αἰκισθείς.

4. Κατύλλῳ δὲ τότε μὲν ὑπῆρξε διὰ τὴν πραότητα τῶν αὐτο- 451
κρατόρων μηδὲν πλεῖον ὑποπτεῦσαι καταγνώσεως, οὐκ εἰς μακρὰν δὲ

PAMLVC Lips Par Lat Zonaras I p. 561. Exc Peiresc.

1 *Βερενίκην*] om. PExc *βερνίκην* MLVC Lips *bernice* aut *beronice* Lat *ταῖς αἰτίαις* om. PA *συμπλέξασ* PAML 2 *δὲ* VC et m. 1 Lips 3 *ὁμοῦ τι χιλίους*] P *ὁμοῦ τρισχιλίους* AMLVC Lips Lat Exc *ἐφόνευσαν* A *ταῦτα*] abhinc usque ad u. 11 *συγγραψάμενος* multa abscissa sunt in C, quem supplet cod. Parisin. 1427 *πράττων* VLips Par 4 *εἰς τὰς* euan. P 6 *μηδὲ*] *μηδ'* ex corr. Lips *μὴ* Exc *ἀλλαχοῦ* euan. P *τινες τῶν Ἰουδαίων* om. Exc *Ἰουδαίων*] *ἰδαίων* L 7 *ποῤῥωτ*****|ψεῦδοσ* P *ποῤῥωτέρω* V *ἐξέτεινεν* Exc *ἰωνάθην, νά* ex *κά* corr. uid. A 8 *τινοσ* L *τῶν*] *τὸν* P *ἅμ'*] euan. PC *ἅμα* MLVLips Par *συνειλημμένων, σ* ex *ν* corr. A *συνειδότων* L *κατηγορίαν*] *κατὰ ταύτην* L 9 *Ἀλεξανδρείᾳ*] *ἀλεξαν* L *ἀλεδρίω* Exc *Ῥώμῃ*] *ῥωμαίοις* Exc 10 *δοκιμωτάτων* Exc *τούτων, τού* s. C *τῶν* suppl. A *αἰτια·θέντων* (eras. *σ*) A *αἱρεθέντων* L *ἦν* om. A 11 *Κατύλλῳ*] *δακτύλῳ* L 12 *σκεώρημα* A *σκαιώρημα* ML *σκευώρημα* (s. m. 2) V *σκενόρημα* CExc *προσεχώρησεν* PExc *accessit* Lat 13 i. marg. *μ'* C *ᾤετο*] *ὡσ ὡστο* Exc *εἶναι*] *σχεῖν* M *καὶ* L *esse* Lat 14 *ἐπ' αὐτοῦ*] *ἑαυτοῦ* C *καὶ δι' αὐτοῦ*] *διεκείνου* Exc 15 *πρᾶγμα, μα* suppl. in exitu uersus m. 2 V *ὑποπτεύσας*] spatium uacuum 8 litt. L *ἀνεζήτει* Exc 16 *ἀδίκωσ* C et ex corr. Lips *ἐπινηνεγμένην* A 17 *Τίτου σπουδάσαντος* om. Exc *δ'*] s. A om. C *δὲ* V et m. 1 Lips 19 *τότε*] MCExc et ex corr. A Lips *τὸ* PA¹LV¹ et m. 1 Lips *τῷ* V² 20 *πλείων* P *πλέον* MCExc et ex corr. Lips

νόσῳ καταληφθεὶς πολυτρόπῳ καὶ δυσιάτῳ χαλεπῶς ἀπήλλαττεν,
οὐ τὸ σῶμα μόνον κολαζόμενος, ἀλλ' ἦν ἡ τῆς ψυχῆς αὐτῷ νόσος
452 βαρυτέρα. δείμασι γὰρ ἐξεταράττετο καὶ συνεχῶς ἐβόα βλέπειν
εἴδωλα τῶν ὑπ' αὐτοῦ πεφονευμένων ἐφεστηκότα· καὶ κατέχειν
αὑτὸν οὐ δυνάμενος ἐξήλλετο τῆς εὐνῆς ὡς βασάνων αὐτῷ καὶ πυρὸς
453 προσφερομένων. τοῦ δὲ κακοῦ πολλὴν ἀεὶ τὴν ἐπίδοσιν λαμβά-
νοντος καὶ τῶν ἐντέρων αὐτῷ κατὰ διάβρωσιν ἐκπεσόντων, οὕτως
ἀπέθανεν, οὐδενὸς ἧττον ἑτέρου τῆς προνοίας τοῦ Θεοῦ τεκμήριον
γενόμενος, ὅτι τοῖς πονηροῖς δίκην ἐπιτίθησιν.

454 5. Ἐνταῦθα τῆς ἱστορίας ἡμῖν τὸ πέρας ἐστίν, ἣν ἐπηγγειλά-
μεθα μετὰ πάσης ἀκριβείας παραδώσειν τοῖς βουλομένοις μαθεῖν,
τίνα τρόπον οὗτος ὁ πόλεμος Ῥωμαίοις πρὸς Ἰουδαίους ἐπολεμήθη.
455 καὶ πῶς μὲν ἡρμήνευται, τοῖς ἀναγνωσομένοις κρίνειν ἀπολελείφθω.
περὶ τῆς ἀληθείας δὲ οὐκ ἂν ὀκνήσαιμι θαρρῶν λέγειν, ὅτι μόνης
ταύτης παρὰ πᾶσαν τὴν ἀναγραφὴν ἐστοχασάμην.

PAMLVC Lips Par Lat Exc Peiresc.

1 *ἀπήλλαττεν*] *ἀπαλλάττεται* LVC Lips *ἀπήλλακται* Exc 2 *νόσος αὐτῷ* tr. CExc 3 *ἐξεταράσσετο* A *καὶ — 4 ἐφεστηκότα*] *et crebro uidebat sibi instantes umbras eorum, quos peremerat, et clamitabat* Lat *ἀνεβόα* C et ex corr. Lips 4 *ἐφεστηκότα*, *φ* i. ras. ex *ξ* corr. uid. M *καὶ* suppl. M *καὶ — 9 ἐπιτίθησιν*] abscissa C 5 *αὐ·τὸν* A *ἑαυτὸν* LVLips Par Exc *οὐ*] *μὴ* Par *οὐ δυ*|*νάμενος*, *οὐ* ex *ὁ* corr., *νά* suppl. A *ἐξήλλετο* (s. m. 2) V *ἐξήλλετο* (alterum *λ* expunctum) Lips 6 *αὐτῷ·* V 7 *ἑτέρων* A *κατὰ* om. Exc 9 *ἐπιτίθησιν*] *ἐπιτίθησην* P, finiunt Exc 10 *ἐνταῦθα*] abhinc usque ad finem multa excisa sunt C *ἐστην* P 11 *μαθεῖν*] *μεθ' ἣν* L 12 *οὕτοσ* ex *οὕτωσ* corr. A *ἐπολεμώθη* PA 13 *εἰρμήνευται* P *ἡρμήνευται* A *κρίνην* P 14 *περὶ*] *περὶ δὲ* (*δὲ* deletum) Lips *δὲ*] *δ'* ex corr. Lips *θαρρῶν*, *ν* suppl. A 15 *παρὰ — ἀναγραφὴν*] *per omnia quae scripsi* Lat *ἀναγραφὴν*] *γραφὴν* ed. pr.

Subscriptiones: *τῷ συντελεστῇ τῶν καλῶν θεῷ χάρισ* A *τέλοσ* (om. Lips) *φλαουίου* (ex *φλαυίου* corr. V) *ἰωσήπου ἰουδαϊκῆσ ἱστοριασ περὶ ἁλωσεωσ λόγοσ* (*λόγοι* C) *ϛ̄* (*ἕβδομοσ* Lips) VC Lips *ἐκ τοῦ ὀκτωκαιδεκάτου λόγου τῆσ ἰωσήπου ἀρχαιολογίασ περὶ τοῦ χριστοῦ μαρτυρίαι* (*μαρτυρία* V) adiciunt MV, in quibus sequitur locus de Christo sumptus ex Ant. Iud. XVIII 63 sq.

Lipsiae, typis I. B. Hirschfeldi.

University of Toronto
Library

DO NOT
REMOVE
THE
CARD
FROM
THIS
POCKET

Acme Library Card Pocket
LOWE-MARTIN CO. LIMITED